




1837
ARTES
VERITAS
SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

4

ANTIQUA HISTORIA

EX IPSIS

VETERUM SCRIPTORUM GRAECORUM

NARRATIONIBUS CONTEXTA.

EDIDIT

JO. GODOFR. EICHHORN.

TOMUS PRIMUS.

LIPSIAE,

IN LIBRARIA WEIDMANNIA.

MDCCCXI.

HISTORIA ASIAE

EX IPSIS

VETERUM SCRIPTORUM GRAECORUM

NARRATIONIBUS CONTEXTA.

EDIDIT

JO. GODOFR. EICHHORN.

LIPSIAE,

IN LIBRARIA WEIDMANNIA.

MDCCCXI.

PRÆFATIO.

Omnem historiæ antiquæ cognitionem ex ipsis fontibus, scriptoribus græcis et latinis, imbibendam esse, in omni inde a renatis litteris ætate omnium consensu judicatum est. Qua præceptione quanquam nihil rectius et ad animum bonis copiis imbuendum utilius, nihil ad veri pulchrique sensum excitandum aptius, et ad judicium acuendum accommodatius dici poterat; paucis tamen contigit esse tam felicibus, ut ad eam tanquam ad amussim suam in historiis antiquis institutionem exactam fuisse, prædicare potuissent. A librorum classicorum historici argumenti lectione progrediebatur quidem omni tempore omnis scholastica institutio, initio facto a latinis intellectu facillimis, quibus exercerentur adolescentulorum ingenia, donec auctis sensim animi viribus provectiore ætate ad historiarum auctores latinos, in verbis rebusque difficiliores, pergere possent. Multum quidem temporis consumebatur in sterilibus Cornelii Nepotis excellentium imperatorum vitis; aliquæ etiam historiæ Romanæ partes, magno juvenum commodo, e Livio et Tacito hauriebantur; reliquorum vero antiquæ historiæ spatiorum fontes ne eminus quidem salutabantur. Imperiorum Asiaticorum notitia e Trogi Pompeji epitomatore Justino, ob turbatum rerum

)(3 et

et temporum ordinem, raro petebatur; græci historiarum auctores e scholis prorsus propemodum exsulabant, ut adeo quam plurimarum historiæ antiquæ partium cognitionem solis recentioris memoriæ scriptoribus deberent, quotquot e viris doctis non omnem suam vitam vel historiæ vel antiquitati dicabant.

Cuius rei caussa posita potissimum fuit in difficultatibus, quæ totius historiæ antiquæ ambitum et spatia, scriptoribus classicis præeuntibus, emensuris objectæ erant partim a multitudine librorum, per quos disjecta erant historiæ antiquæ membra, ut bibliotheca aliqua classica, magno pretio paranda, opus fuisset auctores classicos ipsos in addiscenda historia antiqua adituris, partim ab ordine rerum temporumque veterum a scriptoribus antiquis adhibito, qui quanquam in ætatis suæ more et consuetudine, suoque consilio excusationem habebat, historiam tamen antiquam ex iis imbibituris gravis erat et molestus. Quibus tamen e medio tollendis non impares fuissent viri docti, qui de rebus scholasticis litterarumque studiis universe ad nostram usque ætatem præclare merebant, modo ad corpus aliquod totius historiæ antiquæ e græcorum latinorumque scriptorum narrationibus condendum mentem et operam conferre voluissent, quo omnis rerum factorumque copia, serie, quantum licuisset, continua, per omnes ætates et terras ita digerenda fuisset, ut res olim gestæ ipso suo ordine et dispositione memoriæ et animo se potuissent insinuare.

Quod tamen cum intermitterent viri docti, metuisse credendi sunt, ne, ita studia juvenum adjuturi, veteres exhiberent historiarum auctores instar Deiphobi *laceros crudeliter ora, ora manusque ambas*; licet talis metus terriculamento a spectro inani injecto non sit absimilis. Ut taceum, vix unum atque alterum veterem historiarum auctorem sanum superesse ac integrum, ceteris ab ipso tempore laceratis, truncatis et mutilatis, ut iam diu nativa eorum facies in iis frustra quæratur: quis dubitet, plura

plura posse in antiquis scriptoribus suo ipsorum commodo resecari, ut a nativis suis verrucis, gibbis, aliisque partibus excretis liberentur, quibus (ut rem in exemplo ponamus) plures accensemus narrationibus interpositas orationes, quarum argumentis parum inest historicæ veritatis; ut adeo resectis iis, quæ commode et sine cohærentiæ et perspicuitatis dispendio abesse possunt, imitaremur agricolas, inutiles utilitatis caussa ramos falce amputantes. Sed fac etiam, tali instituto, quo ex veteribus historicis ea tantum excerpantur, quæ inprimis utilia sint, ipsos ita deformari, ut vix ulla amplius eorum imago supersit, non tamen talibus incisionibus id agitur, ut iis factis integra simul eorum corpora e medio tollantur. Manent illa et suis amatoribus servantur integra et ὁλόκληρα cum omni suo a tempore relicto nitore, cum sua tam vera quam opinata venustate, nihilque impedit, quo minus iis integris immorentur et innutriantur, quibus eos integros in aliqua bibliotheca classica ad suos usus paratos invenire singulari fortuna contingit. Pictorem statuæ alicuius antiquæ vel faciem vel truncum delineantem, ut artis antiquæ studiosos ad statuam ipsam contemplandam et admirandam invitet, quis reprehendat? Litterarum autem antiquarum magistrum reprehensioni obnoxium arbitremur, qui partes veterum historicorum præcipuas, resectis ceteris, in unum corpus ordine digerat, ut adolescentum in addiscenda antiqua historia minuat laborem aut levet, iisque tanquam illecebris erectioris ingenii juvenes ad eos aliquando integros perlegendos pelliciat? aut in tali corpore historico ex antiquorum scriptorum narrationibus contexto veterem illam Hippolyti fabulam renovatam credamus?

Igitur cum per gradus in qualibet disciplina progrediendum sit, liber aliquis historiæ antiquæ elementarius, primæ scholasticæ in historia institutioni inserviturus pridem curandus fuisset, qui rerum in potioribus antiquitatis imperiis gestarum continuam seriem verbis scriptorum classicorum summatim expositam, velut

lut fundamentum reliquarum historiæ partium constituentem, continuisset, ut instar Hermearum esset in via longa, quibus aliquando in singulos regnorum campos singulasque eorum areas exspatiaturis reditus in viam monstraretur, ipsum iter levaretur, et a vagorum defenderetur errorum periculis. Ut vero cum annis stadium, in quo adolescentes decurrerent, historicum proferri posset, alius etiam prolixiores antiquæ historiæ commentarios continens liber parandus fuisset, viris etiam in rerum actione iam constitutis, nec tamen ἀμούσοις, ad recolendas res in antiquitate gestas animumque narrationibus historica arte stylique elegantia et judicii maturitate conspicuis pascendum non potuisset non acceptus esse. Breviorem illam historiæ antiquæ notitiam suppeditassent historici latini; prolixiorem autem græci.

Quæ cum ita sint, jam ante multos annos (ut in præfatione ad fundamentalem antiquæ historiæ latinam partem prolixius expositum est) exoptare cœpi, ut vir aliquis doctus duplex hoc antiquæ historiæ corpus conderet, nec paucos admonui, ut huic operæ manus admoverent; quos autem cum viderem ab impedimentis externis, quibus removendis impares essent, detineri; ad hoc consilium litteris salutare et proficuum exsequendum tandem me ipse accinxi, et in horis subsecivis sensim perfeci. Quæ ad latinam partem pertinebant, monuimus in præfatione illi præmissa; jam in sola græca, cui præfamur, subsistamus.

Primi, quorum usui hoc libro inservire voluimus, sunt juvenes maturioris ætatis. Prolixioris enim historiæ antiquæ studium, cui provectior sola ætas vacare potest, cadit in illud tempus, quo adolescentes rudimentis tirocinii in lingua græca positis ad graviora et altiora adspirabunt. Commode igitur accidit, ut ex græcis scriptoribus copiosiores de rebus Asiaticis, Africanis et Europæis narrationes in hoc corpus colligere liceret, quarum partes saltem potiores cursim et quasi uno spiritu

ritu cum discipulis perlegendos suademus scholarum magistris per eos annos, quibus primas historiæ antiquæ lineas, sub primum historicum cursum ductas, ampliore commentario illustrabunt; suæ tamen disciplinæ alumnis id officii injungant, ut privata et domestica diligentia scriptores latinos, prioris historici sui cursus comites, denuo adeant, eosque ita tractent, ut ex hac lectione paratum in scholas afferant ad prolixiores rerum et factorum narrationes recipiendas animum. Sub hujus cursus initium in lectione historica solis aliquamdiu græcis scriptoribus inhærendum iis erit; nec tamen suo damno. Continuata enim per aliquod tempus cum fervore lectione græca non poterunt non tantas in lingua græca progressiones facere, ut tum, cum ad eas antiquæ historiæ partes pervenerint, quas etiam a latinis scriptoribus amplioribus commentariis consignatas habemus, græca lectio cesset multum illis negotii facere, adeoque felix et fœcundum græcarum litterarum cum latinis connubium contrahi possit, quo nihil potest litterarum culturæ exoptatius accidere, inprimis cum eo scriptorum genere nectatur, qui quanquam præ aliis a juvenibus legi mereantur, tamen ad nostram usque ætatem raro in scholis lecti sunt. Enim vero sub felicem illam studiorum græcorum in Germania instaurationem versus mediam seculi decimi octavi partem, qua tandem desiverunt scholarum magistri ex sacris quidem, sed, quod ad orationem attinet, ex impuris et turbidis fontibus Novi Testamenti disciplinæ suæ alumnis linguam græcam propinare, in scholas introductus est jam unus itemque alter Platonis dialogus, jam Cebetis tabula, aliusve hujus generis liber, quorum quidem argumentum virilem aetatem ad lectionem allicere potest, juvenilem neutiquam; ex qua consuetudine hoc incommodum natum est, ut languesceret primum in juvenibus, deinde exstingueretur legendi voluptas. Quod postquam animadversum erat, intellectumque, poëtarum lectione allici et delectari juvenes, nostra potissimum aetate poëtas græcos in scholis

legen-

legendi invaluit consuetudo, per se plane non improbanda, sed laudanda potius tanquam apprime idonea tam ad interiorem linguæ græcæ intelligentiam consequendam, quam ad pulcri sensum excitandum et formandum et ad omnis denique liberalioris doctrinæ genus imbibendum. At vero, qui poëticam alicujus linguæ dictionem, a prosaia dicendi ratione valde diversam, solam animo tenet, is ex parte tantum naturam ejus et ingenium, copiam ejus et ornatum cognitum habet; is si a poëta ad scriptorem soluta oratione utentem progrediatur, in multis hærebit, suaque experientia discet, poëtarum interpretationem grammaticam in multis esse faciliorem altera, quæ in prosaicis scriptoribus enarrandis versatur. Nec sola poëtarum lectione pulcri sensum ab omnibus partibus absolutum excitabis et formabis. Quid enim in aequabili dicendi genere prosaico liceat et deceat pro argumenti diversitate, ne quid justo elegantius, venustius et exquisitius declaretur (est enim et elegantiæ, venustati verborumque delectui suus modus) judicium requirit multa exercitatione subactum et subtile, forsitan subactius adeo et subtilius, quam ubi in poëta definiendum est, qua arte finxerit, qua elegantia descripserit; qua usus sit verborum copia, delectu et ornatu: quandoquidem soluta oratione bene recteque scribere multo difficilius est, quam poëtica. Quare cum lectione poëtarum mature conjungenda est altera illa scriptorum prosaicorum; quæ si ab historiarum auctoribus, ubi ingenium ad aliquam maturitatem pervenerit, ad librum aliquem progrediatur e genere philosophico et oratorio, et interior linguæ intelligentia, et pulcri sensus, judicium aeque ac doctrina læta capiet ad perfectionem maturitatemque assurgentia paullatim incrementa.

Exoptandum quidem esset, ut totum hoc historiæ antiquæ corpus e scriptoribus græcis congestum ea, quam supra innuimus et in præfatione partis latinæ exactius descripsimus ratione, h. e. læte, cursim, et uno quasi spiritu perlegi posset ab adolescentibus sub auspiciis

ciis viri docti, tanquam in longo itinere comitis, rerumque in hac via animadversarum interpretis perpetui, interpositis ab eo crebris inter legendum interpellationibus, interrogationibus, et disputationibus de scriptoris, qui quolibet die tractatur, argumento ejusque expositione, ut intelligeretur, quid quovis tempore, quo consilio, quibus adminiculis et quasi instrumentis, quibus impedimentis et quomodo remotis, quo fructu et effectu aliquid gestum esset; ut obiter saltem notaretur, qua ratione et arte res et facta enunciata essent, si quid vel negligenter, vel curate et eleganter, si quid vel proprie vel figurate, si quid concinne, ornate ac splendide dictum videretur. Verum cum verendum sit, ut quodlibet historiæ antiquæ volumen ex græcis scriptoribus congestum publicis sub doctoris alicujus auspiciis habendis lectionibus annuo spatio absolvi possit, nec nisi triennium maturiores juvenes in primo scholarum ordine morari soleant, eligant scholarum magistri unam et alteram historiæ antiquæ partem cum suæ disciplinæ alumnis perlegendam, et reliquas privatæ eorum diligentiæ servent, ad quas si ita præparati, ut in præfatione ad partem hujus historiæ latinam præcepimus, accedant, sibi in rebus domesticis et familiaribus versari videbuntur, erectiorisque saltem ingenii juvenes sibi placebunt in partibus, publica lectione exclusis, privata diligentia enodandis. Cui rerum ordini eorumque rationibus, quorum res familiaris angustior toti historiæ antiquæ corpori græco simul comparando non sufficit, prospectum etiam est ab hujus libri redemtore, viro honestissimo, ita, ut, singulis ejus partibus singulis titulis præfixis, singulæ venales prostarent, adeoque historia Asiatica, Africana, Græca et Romana separatim emi possent, nec tota pecuniæ summa tribus integris Tomis impendenda uno eodemque tempore eroganda esset.

Nec talem librum, qualem e græcis scriptoribus congessimus, viri rerum agendarum stadium jam ingressi, respuent aut suis annis inferiorem existimabunt, si quidem

dem in ipsa adolescentia studiis humanitatis bene imbuti fuerint, quorum pars nulla aut amœnior est aut fructuosior, quam historia. Illa igitur animum, munerum curis et laborum molestiis depressum erigent, ex ea ad res gerendas consilia petent et adjumenta, in ea adeo in temporis sui calamitatibus solatia et auxilia quærent: quæ licet etiam recentior historia suppeditet, nemo tamen, cui licuerit, eorundem causa etiam antiquiorem adire dubitabit. Circumscripta enim et vacillantia nec ab omni parte vera videas plerumque hominum, qui aut vetera ant recentiora sola animo complexi sint, de rebus tam præsentibus quam futuris judicia. Levatos autem se sentient in sua veterum cum recentioribus conjunctione libro hoc, omnium antiquorum temporum et imperiorum res et facta præcipua complectente et ex paucis voluminibus constante.

Scribebam Gottingae d. XVIII. Febr.
MDCCCXI.

J. G. Eichhorn.

ARGUMENTUM.

4. De

k. Pon-

DE

DE RERUM INITIIS.

Περὶ τῆς πρώτης γενέσεως τῶν ἀνθρώπων διτταὶ γεγόνασιν ἀποφάσεις παρὰ τοῖς νομιμωτάτοις τῶν τε Φυσιολόγων καὶ τῶν ἱςορικῶν. Οἱ μὲν γὰρ αὐτῶν ἀγέννητον καὶ ἄφθαρτον ὑποςησάμενοι τὸν κόσμον, ἀπεφήναντο καὶ τὸ γένος τῶν ἀνθρώπων ἐξ αἰῶνος ὑπάρχειν, μηδέποτε τῆς αὐτῶν τεκνώσεως ἀρχὴν ἐσχηκυίας· οἱ δὲ γεννητὸν καὶ φθαρτὸν εἶναι νομίσαντες, ἔφησαν ὁμοίως ἐκείνοις τὰς ἀνθρώπους τυχεῖν τῆς πρώτης γενέσεως ὡρισμένοις χρόνοις. Hominum origo. Diod. I. 6.

Τὰς δὲ ἐξ ἀρχῆς γεννηθέντας τῶν ἀνθρώπων φασὶν ἐν ἀτάκτῳ καὶ θηριώδει βίῳ καθεστῶτας, σποράδην ἐπὶ τὰς νομὰς ἐξιέναι, καὶ προσφέρεσθαι τῆς τε βοτάνης τὴν προσηνεςάτην καὶ τὰς αὐτομάτας ἀπὸ τῶν δένδρων καρπὰς. Καὶ πολεμυμένυς μὲν ὑπὸ τῶν θηρίων, ἀλλήλοις βοηθεῖν ὑπὸ τῦ συμφέροντος διδασκομένυς, ἀθροιζομένους δὲ διὰ τὸν φόβον, ἐπιγινώσκειν ἐκ τοῦ κατὰ μικρὸν τὰς ἀλλήλων τύπυς. τῆς φωνῆς δ' ἀσήμυ καὶ συγκεχυμένης ὔσης, ἐκ τοῦ κατ' ὀλίγον διαρθρῦν τὰς λέξεις, καὶ πρὸς ἀλλήλυς τιθέντας σύμβολα περὶ ἑκάςυ τῶν ὑποκειμένων, γνώριμον σφίσιν αὐτοῖς ποιῆσαι τὴν περὶ πάντων ἑρμηνείαν. Τοιύτων δὲ συςημάτων γινομένων, καθ' ἅπασαν τὴν οἰκυμένην, οὐχ ὁμόφωνον πάντας ἔχειν τὴν διάλεκτον, ἑκάςων, ὡς ἔτυχε, συνταξάντων τὰς λέξεις. διὸ καὶ παντοίους τε ὑπάρξαι χαρακτῆρας διαλέκτων, καὶ τὰ πρῶτα γενόμενα συςήματα τῶν ἁπάντων ἐθνῶν ἀρχέγονα γενέσθαι. Τοὺς οὖν πρώτους τῶν ἀνθρώπων, μηδενὸς τῶν πρὸς Prima hominum vita rudis et inculta. Diod. I. 8.

βίον χρησίμων εὑρημένου, ἐπιπόνως διάγειν, γυμνοὺς μὲν ἐσθῆτος ὄντας, οἰκήσεως δὲ καὶ πυρὸς ἀήθεις, τροφῆς δ' ἡμέρου παντελῶς ἀνεννοήτους. Καὶ γὰρ τὴν συγκομιδὴν τῆς ἀγρίας τροφῆς ἀγνοοῦντας, μηδεμίαν τῶν καρπῶν εἰς τὰς ἐνδείας ποιεῖσθαι παράθεσιν. διὸ καὶ πολλοὺς αὐτῶν ἀπόλλυσθαι κατὰ τοὺς χειμῶνας, διά τε τὸ ψῦχος καὶ τὴν σπάνιν τῆς τροφῆς. ἐκ δὲ τούτου κατ' ὀλίγον ὑπὸ τῆς πείρας διδασκομένους, εἴς τε τὰ σπήλαια καταφεύγειν ἐν τῷ χειμῶνι, καὶ τῶν καρπῶν τοὺς φυλάττεσθαι δυναμένους ἀποτίθεσθαι. Γνωσθέντος δὲ τοῦ πυρὸς καὶ τῶν ἄλλων τῶν χρησίμων, κατὰ μικρὸν καὶ τὰς τέχνας εὑρεθῆναι, καὶ τἄλλα τὰ δυνάμενα τὸν κοινὸν βίον ὠφελῆσαι. καθόλου γὰρ πάντων τὴν χρείαν αὐτὴν διδάσκαλον γενέσθαι τοῖς ἀνθρώποις, ὑφηγουμένην οἰκείως τὴν ἑκάστου μάθησιν εὐφυεῖ ζώῳ, καὶ συνεργοὺς ἔχοντι πρὸς ἅπαντα χεῖρας, καὶ λόγον καὶ ψυχῆς ἀγχίνοιαν.

Aetas aurea. Diod. V. 66.

Μυθολογοῦσιν — οἱ Κρῆτες — τὸν μὲν Κρόνον ὄντα πρεσβύτατον (τῶν Τιτάνων), βασιλέα γενέσθαι, καὶ τοὺς καθ' ἑαυτὸν ἀνθρώπους ἐξ ἀγρίου διαίτης εἰς βίον ἥμερον μεταστῆσαι, καὶ διὰ τοῦτο ἀποδοχῆς μεγάλης τυχόντα πολλοὺς ἐπελθεῖν τῆς οἰκουμένης τόπους. εἰσηγήσασθαι δ' αὐτὸν ἅπασι τήν τε δικαιοσύνην καὶ τὴν ἁπλότητα τῆς ψυχῆς. διὸ καὶ τοὺς ἐπὶ Κρόνου γενομένους ἀνθρώπους παραδεδόσθαι τοῖς μεταγενεστέροις εὐήθεις καὶ ἀκάκους παντελῶς, ἔτι δ' εὐδαίμονας γεγονότας. δυναστεῦσαι δ' αὐτὸν μάλιστα τῶν πρὸς ἑσπέραν τόπων, καὶ μεγίστης ἀξιωθῆναι τιμῆς. διὸ καὶ μέχρι τῶν νεωτέρων χρόνων παρὰ Ῥωμαίοις καὶ Καρχηδονίοις, ὅτε ἦν ἡ πόλις αὕτη, ἔτι δὲ καὶ τοῖς ἄλλοις τοῖς πλησιοχώροις ἔθνεσιν, ἐπιφανεῖς ἑορτὰς καὶ θυσίας γενέσθαι τούτω τῷ θεῷ, καὶ πολλοὺς τόπους ἐπωνύμους αὐτοῦ γενέσθαι. Διὰ δὲ τὴν ὑπερβολὴν τῆς εὐνομίας, ἀδίκημα μὲν μηδὲν ὅλως ὑπὸ μηδενὸς συντελεῖσθαι, πάντας δὲ τοὺς ὑπὸ τὴν ἡγεμονίαν τούτου τεταγμένους μακάριον βίον ἐζηκέναι, πάσης ἡδονῆς ἀνεμποδίστως ἀπολαύοντας. περὶ δὲ τούτων καὶ τὸν ποιητὴν Ἡσίοδον ἐπιμαρτυρεῖν ἐν τοῖσδε τοῖς ἔπεσιν·

Οἱ μὲν ἐπὶ Κρόνου ἦσαν ὅτ' οὐρανῷ ἐμβασίλευεν,
Ὥστε θεοὶ δ' ἔζωον, ἀκηδέα θυμὸν ἔχοντες,

Νόσ-

Νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· ἐδέ τι δειλὸν
Γῆρας ἐπῆν· αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
Τέρποντ' ἐν θαλίῃσι, κακῶν ἔκτοσθεν ἁπάντων·
Θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
Τοῖσιν ἔην. Καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
'Αυτομάτη πολλόν τε καὶ ἄφθονον. οἱ δ' ἐθελημοὶ
Ἥσυχοι ἔργ' ἐνέμοντο σὺν ἐσθλοῖσι πολέεσσιν,
'Αφνειοὶ μήλοισι, φίλοι μακάρεσσι θεοῖσι.

περὶ μὲν ἐν Κρόνου ταῦτα μυθολογῦσι.

I. DE REBUS ASIATICIS.

Asia, quatenus tempore Alexandri cognita fuit. c. 330 ante Chr. Diod. XVIII. c. 5. 6.

Ἀπὸ — τȣ̃ κατὰ Κιλικίαν Τάυρου συνεχὲς ὄρος δι' ὅλης τῆς Ασίας διήκει μέχρι τȣ̃ Καυκάσȣ καὶ τȣ̃ πρὸς ἀνατολὰς ὠκεανȣ̃· τȣ̃το δὲ παντοδαποῖς ἀναςήμασι λόφων διειλημμένον, ἰδίας καθ' ἕκαςον ἔχει προσηγορίας· Τȣ̃τον δὲ τὸν τρόπον εἰς δύο μέρη διαιρουμένης τῆς Ἀσίας, τὸ μὲν πρὸς τὰς ἄρκτους αὐτῆς νένευκε, τὸ δὲ πρὸς τὴν μεσημβρίαν· ἀκολȣ́θως δὲ τȣ́τοις τοῖς κλίμασι τῶν ποταμῶν τὰς ῥύσεις ἐχόντων ἀντιπροσώπους, οἱ μὲν εἰς τὴν Κασπίαν θάλατταν, οἱ δὲ εἰς τὸν Ἔυξεινον Πόντον, ἔνιοι δ' εἰς τὸν ὑπὸ τὰς ἄρκτους Ὠκεανὸν ἐξερέυγονται· οἱ δ' ἀντικείμενοι τȣ́τοις, οἱ μὲν εἰς τὸν κατὰ τὴν Ἰνδικὴν, οἱ δ' ἐπὶ τὸν συνεχῆ τῆς ἠπείρου ταύτης κείμενον Ὠκεανὸν ἐκβάλλȣσιν· ἔνιοι δ' εἰς τὴν καλȣμένην ἐρυθρὰν θάλατταν καταφέρονται· ὁμοίως δὲ τȣ́τοις διειλημμένων τῶν σατραπειῶν, αἱ μὲν ἐπὶ τὴν ἄρκτον, αἱ δὲ ἐπὶ τὴν μεσημβρίαν ἔχουσι τὰς κλίσεις. καὶ πρώτη μὲν τῶν πρὸς τὴν ἄρκτον ἐστραμμένων κεῖται παρὰ τὸν Τάναϊν ποταμὸν Σογδιανὴ καὶ Βακτριανὴ, καὶ τȣ́των ἐχομένη Ἀρεία καὶ Παρθυαία, δι' ἧς συμβαίνει περιέχεσθαι τὴν Ὑρκανίαν θάλατταν, ȣ̃σαν καθ' αὑτὴν· μετὰ δὲ ταῦτα Μηδία, πολλὰς μὲν ἔχουσα τόπων προσηγορίας, μεγίςη δ' ȣ̃σα πασῶν τῶν σατραπειῶν· ἑξῆς δ' Ἀρμενία καὶ Λυκαονία καὶ Καππαδοκία, πᾶσαι τὸν ἀέρα δυσχείμερον ἔχουσαι. ταύταις δὲ συνορίζουσι κατ' ἐυθεῖαν μὲν ἥ τε μεγάλη Φρυγία, καὶ ἡ ἐφ' Ἑλλησπόντῳ κειμένη, ἐκ δὲ τῶν πλαγίων Λυδία καὶ Καρία· ὑπερδέξιος δὲ τῆς Φρυγίας καὶ παράλληλος ἡ Πισιδικὴ, καὶ ταύτης ἐχομένη Λυκία. ἐν δὲ τοῖς παρὰ θάλατταν τόποις τȣ́των τῶν σατραπειῶν αἱ τῶν Ἑλλήνων πόλεις καθίδρυνται, ὧν τὰς προσηγορίας γράφειν ȣ̓κ ἀναγκαῖον πρὸς τὴν ὑποκειμένην ὑπόθεσιν. αἱ μὲν ȣ̓̃ν πρὸς τὴν ἄρκτον ἐςραμμέναι σατραπεῖαι τὸν εἰρημένον τρόπον καθίδρυνται.

Τῶν

Τῶν δὲ πρὸς μεσημβρίαν ἐςραμμένων πρώτη μὲν παρὰ τὸν Καύκασόν ἐςιν Ἰνδικὴ, βασιλεία μεγάλη καὶ πολυάνθρωπος, οἰκουμένη δ' ὑπὸ πλειόνων Ἰνδικῶν ἐθνῶν, ὧν ἐςι μέγιςον τὸ τῶν Γανδαριδῶν ἔθνος, ἐφ' ὃς, διὰ τὸ πλῆθος τῶν παρ' αὐτοῖς ἐλεφάντων, ἐκ ἐπεςράτευσεν ὁ Ἀλέξανδρος· ὁρίζει δὲ τὴν χώραν ταύτην καὶ τὴν ἑξῆς Ἰνδικὴν, ποταμὸς ὁ μέγιςος ὢν τῶν περὶ τὸς τόπος, καὶ τὸ πλάτος ἔχων ςαδίων τριάκοντα. ἐχομένη δὲ ταύτης ἡ λοιπὴ τῆς Ἰνδικῆς, ἣν κατεπολέμησεν ὁ Ἀλέξανδρος, παραποταμίοις ὕδασι κατάῤῥυτος, καὶ κατὰ τὴν εὐδαιμονίαν ἐπιφανεςάτη, καθ' ἣν ὑπῆρχε σὺν ἄλλαις πλείοσι βασιλείαις ἥ τε τᾶ Πώρου καὶ Ταξίλου δυναςεία, δι' ἧς συμβαίνει ῥεῖν τὸν Ἰνδὸν ποταμὸν, ἀφ' ὃ τὴν προσηγορίαν ἔσχεν ἡ χώρα. ἐχομένη δὲ τῆς Ἰνδικῆς ἀφώριςο σατραπείας Ἀραχωσία καὶ Κεδρωσία καὶ Καρμανία· πρὸς δὲ ταύταις Περσὶς, ἐν ᾗ τὴν Σεσιανὴν καὶ Σιττακηνὴν κεῖσθαι συμβέβηκεν. ἑξῆς δὲ Βαβυλωνία, μέχρι τῆς κατὰ τὴν Ἀραβίαν ἀοικήτου· ἐκ δὲ θατέρου μέρους, ἀφ' ὃ ποιέμεθα τὴν ἀνάβασιν, Μεσοποταμία περιειλημμένη δυσὶ ποταμοῖς, τῷ τε Εὐφράτῃ καὶ Τίγριδι, δι' ὃς τέτευχε ταύτης τῆς προσηγορίας. ἐχομένη δὲ τῆς Βαβυλωνίας, Συρία ἡ ἄνω καλεμένη, καὶ αἱ συνεχεῖς ταύτῃ παραθαλάττιοι, Κιλικία καὶ Παμφυλία, καὶ ἡ κοίλη Συρία, καθ' ἣν ἡ Φοινίκη περιείληπται· παρὰ δὲ τὰ πέρατα τῆς κοίλης Συρίας καὶ τὴν συνεχῶς κειμένην ἔρημον, καθ' ἣν ὁ Νεῖλος φερόμενος ὁρίζει Συρίαν τε καὶ τὴν Αἴγυπτον, ἀπεδέδεικτο σατραπεία πασῶν ἀρίστη καὶ προσόδες ἔχεσα μεγάλας, Αἴγυπτος. πᾶσαι δ' αὗται καυματώδεις εἰσὶν, ὡς ἀντιπεπονθότος τᾶ κατὰ μεσημβρίαν ἀέρος τῷ πρὸς ἄρκτους καθήκοντι. αἱ μὲν ἒν ὑπ' Ἀλεξάνδρου καταπολεμηθεῖσαι σατραπεῖαι, τὸν εἰρημένον τρόπον κείμεναι, διεμερίσθησαν τοῖς ἀξιολογωτάτοις τῶν ἀνδρῶν.

Ἡ μὲν — Ἀσσυρίων ἀρχὴ παλαιά τις ἒσα, καὶ εἰς τὸς μυθικὸς ἀναγομένη χρόνους, ὀλίγου τινὸς ἐκράτησε τῆς Ἀσίας μέρους. ἡ δὲ Μηδικὴ, καθελᾶσα τὴν Ἀσσυρίων, καὶ μείζονα δυναστείαν περιβαλομένη, χρόνον ἐ πολὺν κατέσχεν, ἀλλ' ἐπὶ τῆς

Majora Asiae imperia. Dionys. Halic. p. 2.

τῆς τετάρτης κατελύθη γενεᾶς. Πέρσαι δὲ, οἱ Μήδους καταγωνισάμενοι, τῆς μὲν Ἀσίας ὀλίγου δεῖν πάσης τελευτῶντες ἐκράτησαν, ἐπιχειρήσαντες δὲ καὶ τοῖς Ἐυρωπαίοις ἔθνεσιν, ȣ̓ πολλὰ ἐπηγάγοντο, χρόνον τε ȣ̓ πολλῷ πλείονα διακοσίων ἐτῶν ἔμειναν ἐπὶ τῆς ἀρχῆς. ἡ δὲ Μακεδονικὴ δυναστεία, τὴν Περσῶν καθελȣ̃σα ἰσχὺν, μεγέθει μὲν ἀρχῆς ἁπάσας ὑπερεβάλετο τὰς πρὸ ἀυτῆς, χρόνον δὲ ȣ̓δὲ ἀυτὴ πολὺν ἤνθησεν, ἀλλὰ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἐπὶ τὸ χεῖρον ἤρξατο Φέρεσθαι. Διασπασθεῖσα γὰρ ἐις πολλȣ̀ς ἡγεμόνας ἐυθὺς ἀπὸ τῶν διαδόχων, καὶ μετ' ἐκείνους ἄχρι τῆς δευτέρας ἢ τρίτης ἰσχύσασα προελθεῖν γενεᾶς, ἀσθενὴς ἀυτὴ δι' ἑαυτῆς ἐγένετο, καὶ τελευτῶσα ὑπὸ Ῥωμαίων ἠφανίσθη.

I. DE REBUS BABYLONIORUM, ASSYRIORUM ET MEDORUM

ante Chr.

1. Antiquioribus.

Assyriorum historia. Diod. II. 1-31.

Τὸ δὲ παλαιὸν τοίνυν κατὰ τὴν Ἀσίαν ὑπῆρχον ἐγχώριοι βασιλεῖς, ὧν ȣ̓́τε πρᾶξις ἐπίσημος, ȣ̓́τε ὄνομα μνημονεύεται. πρῶτος δὲ τῶν ἐις ἱσορίαν καὶ μνήμην παραδεδομένων Νῖνος ὁ βασιλεὺς τῶν Ἀσσυρίων, μεγάλας πράξεις ἐπετελέσατο· περὶ ȣ̃ τὰ κατὰ μέρος ἀναγράφειν πειρασόμεθα. γενόμενος γὰρ Φύσει πολεμικὸς καὶ ζηλωτὴς ἀρετῆς καθώπλισε τῶν νέων τȣ̀ς κρατίστους, γυμνάσας δ' ἀυτȣ̀ς πλείονα χρόνον συνήθεις ἐποίησε πάσῃ κακοπαθείᾳ καὶ πολεμικοῖς κινδύνοις. συσησάμενος ȣ̓̃ν σρατόπεδον ἀξιόλογον, συμμαχίαν ἐποιήσατο πρὸς Ἀριαῖον τὸν βασιλέα τῆς Ἀραβίας, ἣ κατ' ἐκείνους τȣ̀ς χρόνους ἐδόκει πληθύειν ἀλκίμων ἀνδρῶν. ἔσι δὲ καὶ καθόλου τȣ̃το τὸ ἔθνος Φιλελεύθερον, καὶ κατ' ȣ̓δένα τρόπον προσδεχόμενον ἔπηλυν ἡγεμόνα. διόπερ ȣ̓́θ' οἱ τῶν Περσῶν βασιλεῖς ὕσερον, ȣ̓́θ' οἱ τῶν Μακεδόνων, καίπερ πλεῖστον

Primus rex Ninus; 2059-2007. delectos iuvenes armat, & cum Ariæo, rege Arabiae, societatem init.

στον ἰσχύσαντες, ἐδυνήθησαν τῦτο τὸ ἔθνος καταδουλώσασθαι. καθόλου γὰρ ἡ Ἀραβία δυσπολέμητός ἐστιν ξενικαῖς δυνάμεσι διὰ τὸ τὴν μὲν ἔρημον αὐτῆς εἶναι, τὴν δὲ ἄνυδρον, καὶ διειλημμένην φρέασι κεκρυμμένοις καὶ μόνοις τοῖς ἐγχωρίοις γνωριζομένοις. Ὁ δ᾽ ὖν τῶν Ἀσσυρίων βασιλεὺς Νῖνος τὸν δυναστεύοντα τῶν Ἀράβων παραλαβὼν, ἐστράτευσε μετὰ πολλῆς δυνάμεως ἐπὶ Βαβυλωνίους, κατοικῦντας ὅμορον χώραν. κατ᾽ ἐκείνους δὲ τὺς χρόνυς ἡ μὲν νῦν ὖσα Βαβυλὼν ὐκ ἦν ἐκτισμένη, κατὰ δὲ τὴν Βαβυλωνίαν ὑπῆρχον ἄλλαι πόλεις ἀξιόλογοι. ῥᾳδίως δὲ χειρωσάμενος τὺς ἐγχωρίους, διὰ τὸ τῶν ἐν τοῖς πολέμοις κινδύνων ἀπείρως ἔχειν, τύτοις μὲν ἔταξε τελεῖν κατ᾽ ἐνιαυτὸν ὡρισμένους φόρους, τὸν δὲ βασιλέα τῶν καταπολεμηθέντων λαβὼν μετὰ τῶν τέκνων αἰχμάλωτον ἀπέκτεινε. μετὰ δὲ ταῦτα πολλοῖς πλήθεσιν εἰς τὴν Ἀρμενίαν ἐμβαλὼν, καί τινας τῶν πόλεων ἀναστάτους ποιήσας κατεπλήξατο τὺς ἐγχωρίους. διόπερ ὁ βασιλεὺς αὐτῶν Βαρζάνης, ὁρῶν ἑαυτὸν ὐκ ἀξιόμαχον ὄντα μετὰ πολλῶν δώρων ἀπήντησε, καὶ πᾶν ἔφησε ποιήσειν τὸ προσταττόμενον. ὁ δὲ Νῖνος μεγαλοψύχως αὐτῷ χρησάμενος, τῆς τε Ἀρμενίας συνεχώρησεν ἄρχειν, καὶ φίλον ὄντα, πέμπειν στρατιὰν καὶ τὴν χορηγίαν τῷ σφετέρῳ στρατοπέδῳ. ἀεὶ δὲ μᾶλλον αὐξόμενος, ἐστράτευσεν εἰς τὴν Μηδίαν. ὁ δὲ ταύτης βασιλεὺς Φάρνος παραταξάμενος ἀξιολόγῳ δυνάμει, καὶ λειφθεὶς, τῶν τε στρατιωτῶν τὺς πλείστους ἀπέβαλε, καὶ αὐτὸς μετὰ τέκνων ἑπτὰ καὶ γυναικὸς αἰχμάλωτος ληφθεὶς ἀνεσταυρώθη.

Primo Babyloniam, deinde Armeniam subigit;

Οὕτω δὲ τῶν πραγμάτων τῷ Νίνῳ προχωρύντων, δεινὴν ἐπιθυμίαν ἔσχε τῦ καταστρέψασθαι τὴν Ἀσίαν ἅπασαν τὴν ἐντὸς Τανάϊδος καὶ Νείλου· ὡς ἐπίπαν γὰρ τοῖς εὐτυχῦσιν ἡ τῶν πραγμάτων ἐπίῤῥοια τὴν τῦ πλείονος ἐπιθυμίαν παρίστησι. διόπερ τῆς μὲν Μηδίας σατράπην ἕνα τῶν περὶ αὐτὸν φίλων κατέστησεν· αὐτὸς δ᾽ ἐπῄει τὰ κατὰ τὴν Ἀσίαν ἔθνη καταστρεφόμενος, καὶ χρόνον ἑπτακαιδεκαετῆ καταναλώσας, πλὴν Ἰνδῶν καὶ Βακτριανῶν, τῶν ἄλλων ἁπάντων κύριος ἐγένετο. τὰς μὲν ὖν καθ᾽ ἕκαςα μάχας, ἢ τὸν ἀριθμὸν

tum totam Asiam intra Tanaïn & Nilum imperio subiicere parat.

μὸν ἁπάντων τῶν καταπολεμηθέντων ὑδεὶς τῶν συγγραφέων ἀνέγραψε· τὰ δ' ἐπισημότατα τῶν ἐθνῶν ἀκολύθως Κτησίᾳ τῷ Κνιδίῳ πειρασόμεθα συντόμως ἐπιδραμεῖν. Κατεστρέψατο μὲν γὰρ τῆς παραθαλαττίου καὶ τῆς συνεχῦς χώρας τήν τε Αἴγυπτον καὶ Φοινίκην, ἔτι καὶ κοίλην Συρίαν, καὶ Κιλικίαν, καὶ Παμφυλίαν, καὶ Λυκίαν, πρὸς δὲ ταύταις, τήν τε Καρίαν, καὶ Φρυγίαν, καὶ Μυσίαν, καὶ Λυδίαν. προσηγάγετο δὲ τήν τε Τρωάδα καὶ τὴν ἐφ' Ἑλλησπόντῳ Φρυγίαν, καὶ Προποντίδα, καὶ Βιθυνίαν, καὶ Καππαδοκίαν, καὶ τὰ κατὰ τὸν Πόντον ἔθνη βάρβαρα κατοικῦντα μέχρι Ταναΐδος. ἐκυρίευσε δὲ τῆς τε Καδυσίων χώρας καὶ Ταπύρων· ἔτι δ' Ὑρκανίων καὶ Δραγγῶν· πρὸς δὲ τύτοις Δερβίκων, καὶ Καρμανίων, καὶ Χωρομναίων· ἔτι δὲ Βορκανίων καὶ Παρθυαίων. ἐπῆλθε δὲ καὶ τὴν Περσίδα, καὶ Σουσιανὴν, καὶ τὴν καλουμένην Κασπιανήν· εἰς ἣν εἰσὶν εἰσβολαὶ στεναὶ παντελῶς, διὸ καὶ προσαγορεύονται Κασπίαι πύλαι. πολλὰ δὲ καὶ ἄλλα τῶν ἐλαττόνων ἐθνῶν προσηγάγετο, περὶ ὧν μακρὸν ἂν εἴη λέγειν. τῆς δὲ Βακτριανῆς ὕσης δυσεισβόλου, καὶ πλήθη μαχίμων ἀνδρῶν ἐχάσης, ἐπειδὴ πολλὰ πονήσας ἄπρακτος ἐγένετο, τὸν μὲν πρὸς Βακτριανὺς πόλεμον εἰς ἕτερον ἀνεβάλετο καιρὸν, τὰς δὲ δυνάμεις ἀπαγαγὼν εἰς τὴν Συρίαν, ἐξελέξατο τόπον εὔθετον εἰς πόλεως μεγάλης κτίσιν.

Debellatorum populorum recensus.

γ'. Ἐπιφανεστάτας γὰρ πράξεις τῶν πρὸ αὐτῦ κατειργασμένος, ἔσπευδε τηλικαύτην κτίσαι τὸ μέγεθος πόλιν, ὥστε μὴ μόνον αὐτὴν εἶναι μεγίστην τῶν τότε ὄσων κατὰ πᾶσαν τὴν οἰκουμένην, ἀλλὰ μηδὲ τῶν μεταγενεστέρων ἕτερον ἐπιβαλλόμενον ῥᾳδίως ἂν ὑπερθέσθαι. τὸν μὲν ὖν τῶν Ἀράβων βασιλέα τιμήσας δώροις καὶ λαφύροις μεγαλοπρεπέσιν, ἀπέλυσε μετὰ τῆς ἰδίας στρατιᾶς εἰς τὴν οἰκείαν· αὐτὸς δὲ τὰς πανταχόθεν δυνάμεις καὶ παρασκευὰς πάντων τῶν ἐπιτηδείων ἀθροίσας ἐπὶ τὸν Εὐφράτην ποταμὸν, ἔκτισε πόλιν εὖ τετειχισμένην, ἑτερόμηκες αὐτῆς ὑποστησάμενος τὸ σχῆμα. εἶχε δὲ τῶν μὲν μακροτέρων πλευρῶν ἑκατέραν ἡ πόλις ἑκατὸν καὶ πεντήκοντα σταδίων, τῶν δὲ βραχυτέρων, ἐνενήκοντα. διὸ καὶ τῦ σύμπαντος περιβόλου συσταθέντος ἐκ σταδίων τετρακοσίων

His peractis, urbem ingentem ad Euphratem condere constituit,

κοσίων καὶ ὀγδοήκοντα, τῆς ἐλπίδος ȣ̓ διεψεύσθη. τηλικαύτην γὰρ πόλιν ȣ̓δεὶς ὕστερον ἔκτισε κατά τε τὸ μέγεθος τȣ̃ περιβόλου, καὶ τὴν περὶ τὸ τεῖχος μεγαλοπρέπειαν. τὸ μὲν γὰρ ὕψος εἶχε τὸ τεῖχος ποδῶν ἑκατὸν, τὸ δὲ πλάτος τρισὶν ἅρμασιν ἱππάσιμον ἦν. οἱ δὲ σύμπαντες πύργοι τὸν μὲν ἀριθμὸν ἦσαν χίλιοι καὶ πεντακόσιοι, τὸ δ' ὕψος εἶχον ποδῶν διακοσίων. κατῴκισε δ' εἰς αὐτὴν τῶν μὲν Ἀσσυρίων τȣ̀ς πλείστους καὶ δυνατωτάτους, ἀπὸ δὲ τῶν ἄλλων ἐθνῶν τȣ̀ς βουλομένους· καὶ τὴν μὲν πόλιν ἐκάλεσεν ἀφ' ἑαυτȣ̃ Νῖνον, τοῖς δὲ κατοικισθεῖσι πολλὴν τῆς ὁμόρου χώρας προσώρισεν. Ninum appellatam.

δ'. Ἐπεὶ δὲ μετὰ τὴν κτίσιν ταύτην ὁ Νῖνος ἐστράτευσεν ἐπὶ τὴν Βακτριανὴν, ἐν ᾗ Σεμίραμιν ἔγημεν, ἣν ἐπιφανεστάτην ἁπασῶν τῶν γυναικῶν παρειλήφαμεν, ἀναγκαῖόν ἐστιν ὑπὲρ αὐτῆς προειπεῖν, πῶς ἐκ ταπεινῆς τύχης εἰς τηλικαύτην προήχθη δόξαν. Κατὰ τὴν Συρίαν τοίνυν ἐστὶ πόλις Ἀσκάλων, καὶ ταύτης ȣ̓κ ἄποθεν λίμνη μεγάλη καὶ βαθεῖα, πλήρης ἰχθύων. παρὰ δὲ ταύτην ὑπάρχει τέμενος θεᾶς ἐπιφανȣ̃ς, ἣν ὀνομάζουσιν οἱ Σύροι Δερκετȣ̃ν· αὕτη δὲ τὸ μὲν πρόσωπον ἔχει γυναικὸς, τὸ δ' ἄλλο σῶμα πᾶν ἰχθύος, διά τινας τοιαύτας αἰτίας. μυθολογȣ̃σιν οἱ λογιώτατοι τῶν ἐγχωρίων τὴν Ἀφροδίτην προσκόψασαν τῇ προειρημένῃ θεᾷ, δεινὸν ἐμβαλεῖν ἔρωτα νεανίσκου τινὸς τῶν θυόντων ȣ̓κ ἀειδȣ̃ς. τὴν δὲ Δερκετȣ̃ν μιγεῖσαν τῷ Σύρῳ, γεννῆσαι μὲν θυγατέρα, καταισχυνθεῖσαν δὲ ἐπὶ τοῖς ἡμαρτημένοις, τὸν μὲν νεανίσκον ἀφανίσαι, τὸ δὲ παιδίον εἴς τινας ἐρήμους καὶ πετρώδεις τόπους ἐκθεῖναι· ἐν οἷς πολλȣ̃ πλήθους περιστερῶν ἐννοσσεύειν εἰωθότος, παραδόξως τροφῆς καὶ σωτηρίας τυχεῖν τὸ βρέφος· ἑαυτὴν δὲ διὰ τὴν αἰσχύνην καὶ λύπην ῥίψασαν εἰς τὴν λίμνην, μετασχηματισθῆναι τὸν τȣ̃ σώματος τύπον εἰς ἰχθῦν. διὸ καὶ τȣ̀ς Σύρους μέχρι τȣ̃ νῦν ἀπέχεσθαι τȣ́του τȣ̃ ζώȣ καὶ τιμᾷν τȣ̀ς ἰχθῦς ὡς θεȣ́ς. περὶ δὲ τὸν τόπον, ὅπου τὸ βρέφος ἐξετέθη, πλήθους περιστερῶν ἐννοσσευόντος, παραδόξως καὶ δαιμονίως ὑπὸ τȣ́των τὸ παιδίον διατρέφεσθαι. τὰς μὲν γὰρ ταῖς πτέρυξι περιεχȣ́σας τὸ σῶμα τȣ̃ βρέφους πανταχόθεν θάλπειν· τὰς δ' ἐκ τῶν σύνεγγυς ἐπαύλεων, ὁπότε τηρή-

Bactrianos deinde bello petit, apud quos Semiramidem uxorem ducit.

Semiramidis mirabilis ortus, & miraculo servata vita.

τηρήσαιεν τὰς τε βουκόλους καὶ τὰς ἄλλους νομεῖς λιπόντας, ἐν τῷ στόματι Φερὰσας γάλα, διατρέφειν, παραστάζὰσας ἀνὰ μέσον τῶν χειλέων. ἐνιαυσιαίου δὲ τὰ παιδίου γενομένου, καὶ στερεωτέρας τροφῆς προσδεομένου, τὰς περιστερὰς ἀποκνιζὰσας ἀπὸ τῶν τυρῶν παρέχεσθαι τροφὴν ἀρκὰσαν. τὰς δὲ νομεῖς ἐπανιόντας, καὶ θεωρὰντας περιβεβρωμένους τὰς τυρὰς, θαυμάσαι τὸ παράδοξον. παρατηρήσαντας ὰν καὶ μαθόντας τὴν αἰτίαν, εὑρεῖν τὸ βρέφος διαφέρον τῷ κάλλει. εὐθὺς ὰν αὐτὸ κομίσαντας εἰς τὴν ἔπαυλιν, δωρήσασθαι τῷ προεστῶτι τῶν βασιλικῶν κτηνῶν, ὄνομα Σίμμα. καὶ τὰτον δὲ ἄτεκνον ὄντα τὸ παιδίον τρέφειν ὡς θυγάτριον μετὰ πάσης ἐπιμελείας, ὄνομα θέμενον Σεμίραμιν· ὅπερ ἐστὶ κατὰ τὴν τῶν Σύρων διάλεκτον παρωνομασμένον ἀπὸ τῶν περιστερῶν, ἃς ἀπ' ἐκείνων τῶν χρόνων οἱ κατὰ Συρίαν ἅπαντες διετέλεσαν ὡς θεὰς τιμῶντες.

Educatam a Simma, pastore regio,

έ. Τὰ μὲν ὰν κατὰ τὴν γένεσιν τῆς Σεμιράμιδος μυθολογὰμενα, σχεδὸν ταῦτ' ἐστίν. Ἤδη δ' αὐτῆς ἡλικίαν ἐχὰσης γάμου καὶ τῷ κάλλει πολὺ τὰς ἄλλας παρθένους διαφερὰσης, ἀπεστάλη παρὰ βασιλέως ἔπαρχος, ἐπισκεψόμενος τὰ βασιλικὰ κτήνη. ὰτος δ' ἐκαλεῖτο Μενόνης, πρῶτος δ' ἦν τῶν ἐκ τὰ βασιλικὰ συνεδρίου, καὶ τῆς Συρίας ἁπάσης ἀποδεδειγμένος ἔπαρχος. ὃς καταλύσας παρὰ τῷ Σίμμα, καὶ θεωρήσας τὴν Σεμίραμιν, ἐθηρεύθη τῷ κάλλει· διὸ καὶ τὰ Σίμμα καταδεηθεὶς αὐτῷ δὰναι τὴν παρθένον εἰς γάμον ἔννομον, ἀπήγαγεν αὐτὴν εἰς Νῖνον, καὶ γήμας ἐγέννησε δύο παῖδας, Ὑαπάτην καὶ Ὑδάσπην. τῆς δὲ Σεμιράμιδος ἐχὰσης καὶ τἄλλα ἀκόλουθα τῇ περὶ τὴν ὄψιν εὐπρεπείᾳ, συνέβαινε τὸν ἄνδρα τελέως ὑπ' αὐτῆς δεδουλῶσθαι, καὶ μηδὲν ἄνευ τῆς ἐκείνης γνώμης πράττοντα, κατευστοχεῖν ἐν πᾶσι. καθ' ὃν δὴ χρόνον ὁ βασιλεὺς, ἐπειδὴ τὰ περὶ τὴν κτίσιν τῆς ὁμωνύμου πόλεως συνετέλεσε, στρατεύειν ἐπὶ Βακτριανὰς ἐνεχείρησεν. εἰδὼς δὲ τά τε πλήθη καὶ τὴν ἀλκὴν τῶν ἀνδρῶν, ἔτι δὲ τὴν χώραν ἔχουσαν τόπους πολλὰς ἀπροσίτους διὰ τὴν ὀχυρότητα, κατέλεξεν ἐξ ἁπάντων τῶν ὑπ' αὐτὸν ἐθνῶν στρατιωτῶν πλῆθος. ἐπεὶ γὰρ κατὰ τὴν πρότερον στρατείαν ἀποτετευχὼς ἦν, ἔσπευδε

Menones, consilii regii princeps, primo in matrimonio habuerat.

δὲ πολλαπλασίονι παραγενέσθαι δυνάμει πρὸς τὴν Βακτριανήν. συναχθείσης δὲ τῆς στρατιᾶς πανταχόθεν, ἠριθμήθησαν, ὡς Κτησίας ἐν ταῖς ἱστορίαις ἀναγέγραφε, πεζῶν μὲν ἑκατὸν ἑβδομήκοντα μυριάδες, ἱππέων δὲ μιᾷ πλείους τῶν εἴκοσι μυριάδων, ἅρματα δὲ δρεπανηφόρα μικρὸν ἀπολείποντα τῶν μυρίων ἑξακοσίων. ἔστι μὲν ἓν ἄπιστον τοῖς αὐτόθεν ἀκούουσι τὸ πλῆθος τῆς στρατιᾶς, ἀ μὴν ἀδύνατόν γε φανήσεται τοῖς ἀναθεωρᾶσι τὸ τῆς Ἀσίας μέγεθος, καὶ τὰ πλήθη τῶν κατοικούντων αὐτὴν ἐθνῶν. εἰ γάρ τις (ἀφεὶς τὴν ἐπὶ Σκύθας Δαρείου στρατείαν μετὰ ὀγδοήκοντα μυριάδων, καὶ τὴν Ξέρξου διάβασιν ἐπὶ τὴν Ἑλλάδα τοῖς ἀναριθμήτοις πλήθεσι) τὰς χθὲς καὶ πρώην συντελεσθείσας πράξεις ἐπὶ τῆς Εὐρώπης σκέψαιτο, τάχιον ἂν πιστὸν ἡγήσαιτο τὸ ῥηθέν. κατὰ μὲν οὖν τὴν Σικελίαν ὁ Διονύσιος ἐκ μιᾶς τῆς τῶν Συρακουσίων πόλεως ἐξήγαγεν ἐπὶ τὰς στρατείας πεζῶν μὲν δώδεκα μυριάδας, ἱππεῖς δὲ μυρίους καὶ δισχιλίους, ναῦς δὲ μακρὰς ἐξ ἑνὸς λιμένος τετρακοσίας, ὧν ἦσαν ἔνιαι τριήρεις τε καὶ πεντήρεις. Ῥωμαῖοι δὲ μικρὸν πρὸ τῶν Ἀννιβαϊκῶν καιρῶν προορώμενοι τὸ μέγεθος τοῦ πολέμου, κατέγραψαν τοὺς κατὰ τὴν Ἰταλίαν ἐπιτηδείους εἰς τὴν στρατείαν, πολίτας τε καὶ συμμάχους, ὧν ὁ σύμπας ἀριθμὸς μικρὸν ἀπέλιπε τῶν ἑκατὸν μυριάδων. καίτοιγ' ἕνεκα πλήθους ἀνθρώπων, τὴν Ἰταλίαν ὅλην οὐκ ἄν τις συγκρίνειε πρὸς ἓν ἔθνος τῶν κατὰ τὴν Ἀσίαν. ταῦτα μὲν οὖν ἡμῖν εἰρήσθω πρὸς τοὺς ἐκ τῆς νῦν περὶ τὰς πόλεις οὔσης ἐρημίας τεκμαιρομένους τὴν παλαιὰν τῶν ἐθνῶν πολυανθρωπίαν.

Nini incredibilis contra Bactrianos copiarum numerus, comparatus cum aliorum populorum exercitibus.

στʹ. Ὁ δ' οὖν Νῖνος μετὰ τοσαύτης δυνάμεως στρατεύσας εἰς τὴν Βακτριανήν, ἠναγκάζετο, δυσκόλων τῶν τόπων καὶ στενῶν ὄντων, κατὰ μέρος ἄγειν τὴν δύναμιν. ἡ γὰρ Βακτριανὴ χώρα πολλαῖς καὶ μεγάλαις οἰκουμένη πόλεσι, μίαν μὲν εἶχεν ἐπιφανεστάτην, ἐν ᾗ συνέβαινεν εἶναι τὰ βασίλεια· αὕτη δ' ἐκαλεῖτο μὲν Βάκτρα, μεγέθει δὲ καὶ τῇ κατὰ ἀκρόπολιν ὀχυρότητι πολὺ πασῶν διέφερε. βασιλεύων δ' αὐτῆς Ὀξυάρτης κατέγραψεν ἅπαντας τοὺς ἐν ἡλικίᾳ στρατείας ὄντας, οἳ τὸν ἀριθμὸν ἠθροίσθησαν εἰς τετταράκοντα μυριάδας. ἀναλαβὼν οὖν τὴν δύναμιν,

Primus impetus in Bactra, ubi Oxyartes rex sedem habuit, irritus.

ναμιν, καὶ τοῖς πολεμίοις ἀπαντήσας περὶ τὰς εἰσβολὰς, εἴασε μέρος τῆς τε Νίνου στρατιᾶς εἰσβαλεῖν. ἐπεὶ δ᾽ ἔδοξεν ἱκανὸν ἀποβεβηκέναι τῶν πολεμίων πλῆθος εἰς τὸ πεδίον, ἐξέταξε τὴν ἰδίαν δύναμιν. γενομένης δὲ μάχης ἰσχυρᾶς, οἱ Βακτριανοὶ τοὺς Ἀσσυρίους τρεψάμενοι, καὶ τὸν διωγμὸν μέχρι τῶν ὑπερκειμένων ὀρῶν ποιησάμενοι, διέφθειραν τῶν πολεμίων εἰς δέκα μυριάδας. μετὰ δὲ ταῦτα πάσης τῆς δυνάμεως εἰσβαλούσης κρατούμενοι τοῖς πλήθεσι, κατὰ πόλεις ἀπεχώρησαν, ἕκαστοι ταῖς ἰδίαις πατρίσι βοηθήσοντες. τὰς μὲν οὖν ἄλλας ὁ Νῖνος ἐχειρώσατο ῥαδίως, τὰ δὲ Βάκτρα, διά τε τὴν ὀχυρότητα καὶ τὰς ἐν αὐτῇ παρασκευὰς, ἠδυνάτει κατὰ κράτος ἑλεῖν. πολυχρονίου δὲ τῆς πολιορκίας γενομένης, ὁ τῆς Σεμιράμιδος ἀνὴρ ἐρωτικῶς ἔχων πρὸς τὴν γυναῖκα, καὶ συστρατευόμενος τῷ βασιλεῖ, μετεπέμψατο τὴν ἄνθρωπον. ἡ δὲ συνέσει καὶ τόλμῃ καὶ τοῖς ἄλλοις πρὸς ἐπιφάνειαν συντείνουσι κεχορηγημένη, καιρὸν ἔλαβεν ἐπιδείξασθαι τὴν ἰδίαν ἀρετήν. πρῶτον μὲν οὖν πολλῶν ἡμερῶν ὁδὸν μέλλουσα διαπορεύεσθαι στολὴν ἐπραγματεύσατο, δι᾽ ἧς οὐκ ἦν διαγνῶναι τὸν περιβεβλημένον πότερον ἀνήρ ἐστιν ἢ γυνή. αὕτη δ᾽ ἦν εὔχρηστος αὐτῇ πρός τε τὰς ἐν τοῖς καύμασιν ὁδοιπορίας, εἰς τὸ διατηρῆσαι τὸν τοῦ σώματος χρῶτα, καὶ πρὸς τὰς ἐν τῷ πράττειν ὃ βούλοιτο χρείας, εὐκίνητος οὖσα καὶ νεανική. καὶ τὸ σύνολον τοσαύτη τις ἐπῆν αὐτῇ χάρις, ὥσθ᾽ ὕστερον Μήδους ἡγησαμένους τῆς Ἀσίας, φορεῖν τὴν Σεμιράμιδος στολὴν, καὶ μετὰ ταῦθ᾽ ὁμοίως Πέρσας. παραγενομένη εἰς τὴν Βακτριανὴν καὶ κατασκεψαμένη τὰ περὶ τὴν πολιορκίαν, ἑώρα κατὰ μὲν τὰ πεδία καὶ τὰς εὐεφόδους τῶν τόπων προσβολὰς γινομένας, πρὸς δὲ τὴν ἀκρόπολιν οὐδένα προσιόντα, διὰ τὴν ὀχυρότητα· καὶ τοὺς ἔνδον ἀπολελοιπότας τὰς ἐνταυθοῖ φυλακὰς, καὶ παρεπιβοηθοῦντας τοῖς ἐπὶ τῶν κάτω τειχῶν κινδυνεύουσι. διόπερ παραλαβοῦσα τῶν στρατιωτῶν τοὺς πετροβατεῖν εἰωθότας, καὶ μετὰ τούτων διά τινος χαλεπῆς φάραγγος προσαναβᾶσα, κατέλαβε τὸ μέρος τῆς ἀκροπόλεως, καὶ τοῖς πολιορκοῦσι τὸ κατὰ τὸ πεδίον τεῖχος ἐσήμηνεν. οἱ δ᾽ ἔνδον ἐπὶ τῇ καταλήψει τῆς ἄκρας καταπλαγέντες ἐξέλιπον τὰ τείχη, καὶ τῆς σωτηρίας ἀπέγνωσαν. τοῦτον δὲ τὸν τρόπον

In Nini castris aderat Menones; eumque secuta Semiramis,

cujus consilio & audacia arx tandem capta est.

που ἀλέσης τῆς πόλεως, ὁ βασιλεὺς θαυμάσας τὴν ἀρετὴν τῆς γυναικὸς, τὸ μὲν πρῶτον αὐτὴν μεγάλαις δωρεαῖς ἐτίμησε, μετὰ δὲ ταῦτα, διὰ τὸ κάλλος τῆς ἀνθρώπου ἔχων ἐρωτικῶς, ἐπεχείρησε τὸν ἄνδρα πείθειν ἑκουσίως αὐτῷ παραχωρῆσαι, ἐπαγγειλάμενος ἀντὶ ταύτης τῆς χάριτος αὐτῷ συνοικεῖν τὴν ἰδίαν θυγατέρα Σωσάνην. δυσχερῶς δ' αὐτῦ φέροντος, ἠπείλησεν ἐκκόψειν τὰς ὁράσεις, μὴ προχείρως ὑπηρετῦντος τοῖς προστάγμασιν· ὁ δὲ Μενόνης ἅμα μὲν τὰς τῦ βασιλέως ἀπειλὰς δείσας, ἅμα δὲ διὰ τὸν ἔρωτα περιπεσὼν λύσσῃ τινὶ καὶ μανίᾳ, βρόχον ἑαυτῷ περιθεὶς ἀνεκρέμασε. Σεμίραμις μὲν ὖν διὰ τοιαύτας αἰτίας εἰς βασιλικὸν ἦλθε πρόσχημα. Mulieris & pulchritudinem & virtutem admiratus Ninus cogit maritum, ut regi cedat uxorem.

ζ. Ὁ δὲ Νῖνος τὺς τε ἐν Βάκτροις παρέλαβε θησαυρὺς, ἔχοντας πολὺν ἄργυρόν τε καὶ χρυσὸν, καὶ τὰ κατὰ τὴν Βακτριανὴν καταστήσας ἀπέλυσε τὰς δυνάμεις. μετὰ δὲ ταῦτα γεννήσας ἐκ Σεμιράμιδος υἱὸν Νινύαν ἐτελεύτησε, τὴν γυναῖκα ἀπολιπὼν βασίλισσαν. τὸν δὲ Νῖνον ἡ Σεμίραμις ἔθαψεν ἐν τοῖς βασιλείοις, καὶ κατεσκεύασεν ἐπ' αὐτῷ χῶμα παμμέγεθες, ὖ τὸ μὲν ὕψος ἐννέα ἦν σταδίων, τὸ δ' εὖρος, ὥς φησι Κτησίας, δέκα. διὸ καὶ τῆς πόλεως παρὰ τὸν Εὐφράτην ἐν πεδίῳ κειμένης, ἀπὸ πολλῶν σταδίων ἐφαίνετο τὸ χῶμα, καθαπερεί τις ἀκρόπολις· ὃ δὲ μέχρι τῦ νῦν φασι διαμένειν, καίπερ τῆς Νίνου κατεσκαμμένης ὑπὸ Μήδων, ὅτε κατέλυσαν τὴν Ἀσσυρίων βασιλείαν. ἡ δὲ Σεμίραμις, ὖσα φύσει μεγαλεπίβολος, καὶ φιλοτιμουμένη τῇ δόξῃ τὸν βεβασιλευκότα πρότερον ὑπερθέσθαι, πόλιν μὲν ἐπεβάλετο κτίζειν ἐν τῇ Βαβυλωνίᾳ. ἐπιλεξαμένη δὲ τὺς πανταχόθεν ἀρχιτέκτονας καὶ τεχνίτας, ἔτι δὲ τὴν ἄλλην χορηγίαν παρασκευασαμένη, συνήγαγεν ἐξ ἁπάσης τῆς βασιλείας, πρὸς τὴν τῶν ἔργων συντέλειαν, ἀνδρῶν μυριάδας διακοσίας. ἀπολαβῦσα δὲ τὸν Εὐφράτην ποταμὸν εἰς μέσον, περιεβάλετο τεῖχος τῇ πόλει σταδίων τριακοσίων ἑξήκοντα, διειλημμένον πυργοῖς πυκνοῖς καὶ μεγάλοις. τηλικῦτον δ' ἦν τὸ βάρος τῶν ἔργων, ὥστε τὸ μὲν πλάτος εἶναι τῶν τειχῶν ἓξ ἅρμασιν ἱππάσιμον, τὸ δ' ὕψος ἄπιστον τοῖς ἀκῦυσιν, ὥς φησι Κτησίας ὁ Κνίδιος· ὡς δὲ Κλείταρχος καὶ τῶν ὕστερον μετ' Ἀλεξάνδρου διαβάντων εἰς

Nino mortuo Semiramis succedit. Marito monumentum ponit, ejusque opera aemulans Babylonem condere instituit. Urbis magnitudo, muri.

εις τὴν Ἀσίαν τινὲς ἀνέγραψαν, τριακοσίων ἑξήκοντα καὶ πέντε σταδίων. καὶ προστιθέασιν, ὅτι τῶν ἴσων ἡμερῶν εις τὸν ἐνιαυτὸν ὄσῶν, ἐφιλοτιμήθη τὸν ἴσον ἀριθμὸν τῶν σταδίων ὑποστήσασθαι. ὀπτὰς δὲ πλίνθους εις ἄσφαλτον ἐνδησαμένη, τεῖχος κατεσκεύασε, τὸ μὲν ὕψος, ὡς μὲν Κτησίας φησὶ, πεντήκοντα ὀργυιῶν, ὡς δ' ἔνιοι τῶν νεωτέρων ἔγραψαν, πηχῶν πεντήκοντα· τὸ δὲ πλάτος, πλεῖον ἢ δυσὶν ἅρμασιν ἱππάσιμον. πύργους δὲ τὸν μὲν ἀριθμὸν διακοσίους καὶ πεντήκοντα, τὸ δ' ὕψος καὶ πλάτος ἐξ ἀναλόγου τῷ βάρει τῶν κατὰ τὸ τεῖχος ἔργων. ὀ χρὴ δὲ θαυμάζειν ει τηλικȣ̃τȣ τὸ μέγεθος τȣ̃ περιβόλου κατεστῶτος ὀλίγους πύργους κατεσκεύασεν. ἐπὶ πολὺν γὰρ τόπον τῆς πόλεως ἕλεσι περιεχομένης, κατὰ τȣ̃τον τὸν τόπον ȣ̓κ ἔδοξεν αὐτῇ πύργους οικοδομεῖν, τῆς φύσεως τῶν ἑλῶν ἱκανὴν παρεχομένης ὀχυρότητα. ἀνὰ μέσον δὲ τῶν οικιῶν καὶ τῶν τειχῶν ὁδὸς πάντη κατελέλειπτο δίπλεθρος.

η'. Πρὸς δὲ τὴν ὀξύτητα τῆς τȣ́των οικοδομίας, ἑκάστῳ τῶν φίλων στάδιον διεμέτρησε, δȣ̃σα τὴν ἱκανὴν εις τȣ̃το χορηγίαν, καὶ διακελευσαμένη τέλος ἐπιθεῖναι τοῖς ἔργοις ἐν ἐνιαυτῷ. ὧν ποιησάντων τὸ προσταχθὲν μετὰ πολλῆς σπουδῆς, τȣ́των μὲν ἀπεδέξατο τὴν φιλοτιμίαν, αὐτὴ δὲ κατὰ τὸ στενότατον μέρος τȣ̃ ποταμȣ̃ γέφυραν σταδίων πέντε τὸ μῆκος κατεσκεύασεν, εις βυθὸν φιλοτέχνως καθίσασα τȣ̀ς κίονας· οι δὲ ειστήκεισαν ἀπ' ἀλλήλων πόδας δώδεκα. τȣ̀ς δὲ συνερειδομένους λίθους τόρμοις σιδηροῖς διελάμβανε, καὶ τὰς τȣ́των ἁρμονίας ἐπλήρου μόλιβδον ἐντήκουσα· τοῖς δὲ κίοσι πρὸ τῶν τὸ ῥεῦμα δεχομένων πλευρῶν γωνίας προκατεσκεύασεν, ἐχȣ́σας τὴν ἀποῤῥοὴν περιφερῆ, καὶ συνδεδεμένην κατ' ὀλίγον ἕως τȣ̃ κατὰ τὸν κίονα πλάτους· ὅπως αι μὲν περὶ τὰς γωνίας ὀξύτητες τέμνωσι τὴν καταφορὰν τȣ̃ ῥεύματος, αι δὲ περιφέρειαι τῇ τȣ́του βίᾳ συνείκουσαι πραΰνωσι τὴν σφοδρότητα τȣ̃ ποταμȣ̃. ἡ μὲν ȣ̓̃ν γέφυρα κεδρίναις καὶ κυπαριττίναις δοκοῖς, ἔτι δὲ φοινίκων στελέχεσι ὑπερμεγέθεσι κατεστεγασμένη, καὶ τριάκοντα ποδῶν ȣ̓̃σα τὸ πλάτος, ȣ̓δενὸς ἐδόκει τῶν Σεμιράμιδος ἔργων τῇ φιλοτεχνίᾳ λείπεσθαι. ἐξ ἑκατέρου δὲ μέρους τȣ̃ ποταμȣ̃ κρηπῖδα πολυτελῆ κατεσκεύασε, παραπλησίαν κατὰ τὸ πλάτος τοῖς τείχεσιν,

Pons Euphrati impositus iungit urbem.

χεσιν, ἐπὶ στάδια ἑκατὸν ἑξήκοντα. ᾠκοδόμησε δὲ καὶ βασίλεια διπλᾶ παρὰ τὸν ποταμὸν ἐξ ἑκατέρου μέρους τῆς γεφύρας, ἐξ ὧν ἅμα μὲν ἔμελλε τήν τε πόλιν ἅπασαν κατοπτεύειν, καὶ καθαπερεὶ τὰς κλεῖς ἕξειν τῶν ἐπικαιροτάτων τῆς πόλεως τόπων. τοῦ δ' Εὐφράτου διὰ μέσης τῆς Βαβυλῶνος ῥέοντος καὶ πρὸς μεσημβρίαν καταφερομένου, τῶν βασιλείων τὰ μὲν πρὸς ἀνατολὴν ἔνευε, τὰ δὲ πρὸς δύσιν· ἀμφότερα δὲ πολυτελῶς κατεσκεύαστο. τοῦ μὲν γὰρ εἰς τὸ πρὸς ἑσπέραν κειμένου μέρους ἐποίησε τὸν πρῶτον περίβολον ἑξήκοντα σταδίων, ὑψηλοῖς καὶ πολυτελέσι τείχεσιν ὠχυρωμένον, ἐξ ὀπτῆς πλίνθου· ἕτερον δ' ἐντὸς τούτου κυκλοτερῆ κατεσκεύασε, καθ' ὃν ἐν ὠμαῖς ἔτι ταῖς πλίνθοις διετετύπωτο θηρία παντοδαπὰ, τῇ τῶν χρωμάτων φιλοτεχνίᾳ τὴν ἀλήθειαν ἀπομιμούμενα. ἔτος δ' ὁ περίβολος ἦν τὸ μὲν μῆκος, σταδίων τεσσαράκοντα· τὸ δὲ πλάτος, ἐπὶ τριακοσίους πλίνθους· τὸ δ' ὕψος, ὡς Κτησίας φησὶν, ὀργυιῶν πεντήκοντα. τῶν δὲ πύργων ὑπῆρχε τὸ ὕψος ὀργυιῶν ἑβδομήκοντα. κατεσκεύασε δὲ τρίτον ἐνδοτέρω περίβολον, ὃς περιεῖχεν ἀκρόπολιν, ἧς ἡ μὲν περίμετρος ἦν σταδίων εἴκοσι, τὸ δὲ μῆκος καὶ πλάτος τῆς οἰκοδομίας ὑπεραῖρον τοῦ μέσου τείχους τὴν κατασκευήν. ἐνῆσαν δ' ἔν τε τοῖς πύργοις καὶ τείχεσι ζῶα παντοδαπὰ φιλοτέχνως τοῖς τε χρώμασι καὶ τοῖς τῶν τύπων ἀπομιμήμασι κατεσκευασμένα. τὸ δ' ὅλον ἐπεποίητο κυνήγιον παντοίων θηρίων ὑπάρχον πλῆρες, ὧν ἦσαν τὰ μεγέθη πλεῖον ἢ πηχῶν τεττάρων. κατεσκεύαστο δ' ἐν αὐτοῖς καὶ ἡ Σεμίραμις, ἀφ' ἵππου πάρδαλιν ἀκοντίζουσα, καὶ πλησίον αὐτῆς ὁ ἀνὴρ Νῖνος, παίων ἐκ χειρὸς λέοντα λόγχῃ. ἐπέστησε δὲ καὶ πύλας τρισσὰς, ὑφ' ὧν ὑπῆρχον δίαιται χάλκεαι διὰ μηχανῆς ἀνοιγόμεναι. ταῦτα μὲν οὖν τὰ βασίλεια καὶ τῷ μεγέθει καὶ ταῖς κατασκευαῖς πολὺ προεῖχε τῶν ὄντων ἐπὶ θάτερα μέρη τοῦ ποταμοῦ. ἐκεῖνα γὰρ εἶχε τὸν μὲν περίβολον τοῦ τείχους τριάκοντα σταδίων ἐξ ὀπτῆς πλίνθου· ἀντὶ δὲ τῆς περὶ τὰ ζῶα φιλοτεχνίας, χαλκᾶς εἰκόνας Νίνου καὶ Σεμιράμιδος καὶ τῶν ὑπάρχων, ἔτι δὲ Διὸς, ὃν καλοῦσιν οἱ Βαβυλώνιοι Βῆλον. ἐνῆσαν δὲ καὶ παρατάξεις καὶ κυνήγια παντο-

Regiae duae,

castella duo.

Turres;

muris impressa animalium simulacra, venationes;

portae cum aedibus regiis.

παντοδαπὰ, ποικίλην ψυχαγωγίαν παρεχόμενα τοῖς θεαμένοις.

Fossa ingens.

θ΄. Μετὰ δὲ ταῦτα τῆς Βαβυλωνίας ἐκλεξαμένη τὸν ταπεινότατον τόπον, ἐποίησε δεξαμενὴν τετράγωνον, ἧς ἦν ἑκάστη πλευρὰ σταδίων τριακοσίων, ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου κατεσκευασμένη, καὶ τὸ βάθος ἔχουσα ποδῶν τριάκοντα καὶ πέντε· εἰς ταύτην δ' ἀποστρέψασα τὸν ποταμὸν, κατεσκεύασεν ἐκ τῶν ἐπὶ τάδε βασιλείων εἰς θάτερα διώρυγα. ἐξ ὀπτῆς δὲ πλίνθου συνοικοδομήσασα τὰς καμάρας, ἐξ ἑκατέρου μέρους ἀσφάλτῳ κατέχρισεν ἡψημένῃ, μέχρις ὅτου τὸ πάχος τοῦ χρίσματος ἐποίησε πηχῶν τεσσάρων. τῆς δὲ διώρυγος ὑπῆρχον οἱ μὲν τοῖχοι τὸ πλάτος ἐπὶ πλίνθους εἴκοσι· τὸ δ' ὕψος, χωρὶς τῆς καμφθείσης ψαλίδος, ποδῶν δώδεκα, τὸ δὲ πλάτος, ποδῶν δεκαπέντε. ἐν ἡμέραις δὲ ἑπτὰ κατασκευασθείσης αὐτῆς, ἀποκατέστησε τὸν ποταμὸν ἐπὶ τὴν προϋπάρχουσαν ῥύσιν, ὥστε τοῦ ῥεύματος ἐπάνω τῆς διώρυγος φερομένου, δύνασθαι τὴν Σεμίραμιν ἐκ τῶν πέραν βασιλείων ἐπὶ θάτερα διαπορεύεσθαι, μὴ διαβαίνουσαν τὸν ποταμόν. ἐπέστησε δὲ καὶ πύλας τῇ διώρυγι χαλκᾶς ἐφ' ἑκάτερον μέρος, αἳ διέμειναν μέχρι τῆς τῶν Περσῶν βασιλείας. μετὰ δὲ ταῦτα ἐν μέσῃ τῇ πόλει κατεσκεύασεν ἱερὸν Διὸς, ὃν καλοῦσιν οἱ Βαβυλώνιοι, καθάπερ εἰρήκαμεν, Βῆλον. Περὶ δὲ τούτου τῶν συγγραφέων διαφωνούντων, καὶ τοῦ κατασκευάσματος διὰ τὸν χρόνον καταπεπτωκότος, οὐκ ἔστιν ἀποφήνασθαι τἀκριβές. ὁμολογεῖται δ' ὑψηλὸν γεγενῆσθαι καθ' ὑπερβολὴν, καὶ τοὺς Χαλδαίους ἐν αὐτῷ τὰς τῶν ἄστρων πεποιῆσθαι παρατηρήσεις, ἀκριβῶς θεωρουμένων τῶν τε ἀνατολῶν καὶ δύσεων διὰ τὸ τοῦ κατασκευάσματος ὕψος. Τῆς δ' ὅλης οἰκοδομίας ἐξ ἀσφάλτου καὶ πλίνθου πεφιλοτεχνημένης πολυτελῶς, ἐπ' ἄκρας τῆς ἀναβάσεως τρία κατεσκεύασεν ἀγάλματα χρυσᾶ σφυρήλατα, Διὸς, Ἥρας, Ῥέας. τούτων δὲ τὸ μὲν τοῦ Διὸς, ἑστηκὸς ἦν καὶ διαβεβηκὸς, ὑπάρχον ποδῶν τεσσαράκοντα τὸ μῆκος, σταθμὸν δ' εἶχε χιλίων ταλάντων Βαβυλωνίων· τὸ δὲ τῆς Ῥέας, ἐπὶ δίφρου καθήμενον χρυσοῦ, τὸν ἴσον σταθμὸν εἶχε τῷ προειρημένῳ. ἐπὶ δὲ τῶν γονάτων αὐτῆς εἱστήκεισαν λέοντες δύο, καὶ πλησίον ὄφεις ὑπερμεγέθεις ἀργυροῖ. τριά-

Beli templum

cum specula siderum.

Deorum statuae,

τριάκοντα ταλάντων ἕκαστος ἔχων τὸ βάρος. τὸ δὲ τῆς Ἥρας ἑστηκὸς ἦν ἄγαλμα, σταθμὸν ἔχον ταλάντων ὀκτακοσίων. καὶ τῇ μὲν δεξιᾷ χειρὶ κατεῖχε τῆς κεφαλῆς ὄφιν, τῇ δὲ ἀριστερᾷ σκῆπτρον λιθοκόλλητον. τούτοις δ᾽ ἅπασι κοινὴ παρέκειτο τράπεζα χρυσῆ σφυρήλατος, τὸ μὲν μῆκος ποδῶν τεσσαράκοντα, τὸ δ᾽ εὖρος δεκαπέντε, σταθμὸν ἔχουσα ταλάντων πεντακοσίων. ἐπὶ δὲ ταύτης ἐπίκειντο δύο καρχήσια, σταθμὸν ἔχοντα τριάκοντα ταλάντων. ἦσαν δὲ καὶ θυμιατήρια, τὸν μὲν ἀριθμὸν ἴσα, τὸν δὲ σταθμὸν ἑκάτερον ταλάντων τριακοσίων. ὑπῆρχον δὲ καὶ κρατῆρες χρυσοῖ τρεῖς, ὧν ὁ μὲν τοῦ Διὸς εἷλκε τάλαντα Βαβυλώνια χίλια καὶ διακόσια, τῶν δ᾽ ἄλλων ἑκάτερος ἑξακόσια. ἀλλὰ ταῦτα μὲν οἱ τῶν Περσῶν βασιλεῖς ὕστερον ἐσύλησαν. τῶν δὲ βασιλείων καὶ τῶν ἄλλων κατασκευασμάτων ὁ χρόνος τὰ μὲν ὁλοσχερῶς ἠφάνισε, τὰ δ᾽ ἐλυμήνατο. καὶ γὰρ αὐτῆς τῆς Βαβυλῶνος νῦν βραχύ τι μέρος οἰκεῖται, τὸ δὲ πλεῖστον ἐντὸς τείχους γεωργεῖται. mensa aurea, vasa.

ί. Ὑπῆρχε δὲ καὶ ὁ κρεμαστὸς καλούμενος κῆπος παρὰ τὴν ἀκρόπολιν, οὐ Σεμιράμιδος, ἀλλά τινος ὕστερον Σύρου βασιλέως κατασκευάσαντος χαρὶν γυναικὸς παλλακῆς. ταύτην γάρ φασὶν οὖσαν τὸ γένος Περσίδα, καὶ τοὺς ἐν τοῖς ὄρεσι λειμῶνας ἐπιζητοῦσαν ἀξιῶσαι τὸν βασιλέα μιμήσασθαι διὰ τῆς τοῦ φυτουργίου φιλοτεχνίας τὴν τῆς Περσίδος χώρας ἰδιότητα. ἔστι δ᾽ ὁ παράδεισος τὴν μὲν πλευρὰν ἑκάστην παρεκτείνων εἰς τέτταρα πλέθρα, τὴν δὲ πρόσβασιν ὀρεινὴν καὶ τὰς οἰκοδομίας ἄλλας ἐξ ἄλλων ἔχων, ὥστε τὴν πρόσοψιν εἶναι θεατροειδῆ. ὑπὸ δὲ ταῖς κατεσκευασμέναις ἀναβάσεσιν ᾠκοδόμηντο σύριγγες, ἅπαν μὲν ἀναδεχόμεναι τὸ τοῦ φυτουργίου βάρος, ἀλλήλων δ᾽ ἐκ τοῦ κατ᾽ ὀλίγον ἀεὶ μικρὸν ὑπερέχουσαι κατὰ τὴν πρόσβασιν. ἡ δ᾽ ἀνωτάτη σύριγξ οὖσα πεντήκοντα πηχῶν τὸ ὕψος, εἶχεν ἐπ᾽ αὐτῇ τοῦ παραδείσου τὴν ἀνωτάτην ἐπιφάνειαν, συνεξισουμένην τῷ περιβόλῳ τῶν ἐπάλξεων. ἔπειθ᾽ οἱ μὲν τοῖχοι πολυτελῶς ἠσφαλισμένοι τὸ πάχος εἶχον ποδῶν εἰκοσιδύο, τῶν δ᾽ ἐξόδων ἑκάστη τὸ πλάτος δέκα. τὰς δ᾽ ὀροφὰς κατεστέγαζον λίθιναι δοκοί, τὸ μὲν μῆκος σὺν ταῖς ἐπιβολαῖς ἔχουσαι ποδῶν ἓξ καὶ Horti pensiles.

δέκα, τὸ δὲ πλάτος τεσσάρων. τὸ δ' ἐπὶ ταῖς δοκοῖς ὀρόφωμα πρῶτον μὲν εἶχεν ὑπερστρωμένον κάλαμον μετὰ πολλῆς ἀσφάλτου, μετὰ δὲ ταῦτα πλίνθον ὀπτὴν διπλῆν ἐν γύψῳ δεδεμένην. τρίτην δ' ἐπιβολὴν ἐπεδέχετο μολιβᾶς στέγας, πρὸς τὸ μὴ διϊκνεῖσθαι κατὰ βάθος τὴν ἐκ τοῦ χώματος νοτίδα. ἐπὶ δὲ τούτοις ἐσεσώρευτο γῆς ἱκανὸν βάθος, ἀρκοῦμενον ταῖς τῶν μεγίστων δένδρων ῥίζαις. τὸ δ' ἔδαφος ἐξωμαλισμένον, πλῆρες ἦν παντοδαπῶν δένδρων τῶν δυναμένων κατά τε τὸ μέγεθος καὶ τὴν ἄλλην χάριν τοὺς θεωμένους ψυχαγωγῆσαι. αἱ δὲ σύριγγες τὰ φῶτα δεχόμεναι ταῖς δι' ἀλλήλων ὑπεροχαῖς, πολλὰς καὶ παντοδαπὰς εἶχον διαίτας βασιλικάς. μία δ' ἦν ἐκ τῆς ἀνωτάτης ἐπιφανείας διατομὰς ἔχουσα, καὶ πρὸς τὰς ἐπαντλήσεις τῶν ὑδάτων ὄργανα, δι' ὧν ἀνεσπᾶτο πλῆθος ὕδατος ἐκ τοῦ ποταμοῦ, μηδενὸς τῶν ἔξωθεν τὸ γινόμενον συνιδεῖν δυναμένου. οὗτος μὲν οὖν ὁ παράδεισος, ὡς προεῖπον, ὕστερον κατεσκευάσθη.

Urbes aliae & emporia multa ad Euphratem & Tigrin constructa.

ια'. Ἡ δὲ Σεμίραμις ἔκτισε καὶ ἄλλας πόλεις παρὰ τὸν ποταμὸν τόν τε Εὐφράτην καὶ τὸν Τίγριν, ἐν αἷς ἐμπόρια κατεσκεύασε τοῖς φορτία διακομίζουσιν ἐκ τῆς Μηδίας καὶ Παραιτακηνῆς, καὶ πάσης τῆς σύνεγγυς χώρας. μετὰ γὰρ τὸν Νεῖλον καὶ Γάγγην ὄντες ἐπισημότατοι σχεδὸν τῶν κατὰ τὴν Ἀσίαν ποταμῶν Εὐφράτης καὶ Τίγρις, τὰς μὲν πηγὰς ἔχουσιν ἐκ τῶν Ἀρμενίων ὀρῶν, διεστήκασι δ' ἀπ' ἀλλήλων σταδίους δισχιλίους καὶ πεντακοσίους. ἐνεχθέντες δὲ διὰ Μηδίας καὶ Παραιτακηνῆς, ἐμβάλλουσιν εἰς τὴν Μεσοποταμίαν· ἣν ἀπολαμβάνοντες εἰς μέσον, αἴτιοι κατέστησαν τῇ χώρᾳ ταύτης τῆς προσηγορίας· μετὰ δὲ ταῦτα τὴν Βαβυλωνίαν διελόντες, εἰς τὴν ἐρυθρὰν ἐξερεύγονται θάλασσαν. μεγάλοι δ' ὄντες καὶ συχνὴν χώραν διαπορευόμενοι, πολλὰς ἀφορμὰς παρέχονται τοῖς ἐμπορικῇ χρωμένοις ἐργασίᾳ. διὸ καὶ συμβαίνει τοὺς παραποταμίους τόπους πλήρεις ὑπάρχειν ἐμπορίων εὐδαιμόνων, καὶ μεγάλα συμβαλλομένων πρὸς τὴν τῆς Βαβυλῶνος ἐπιφάνειαν. ἡ δὲ Σεμίραμις ἐκ τῶν Ἀρμενίων ὀρῶν λίθον ἔτεμε, τὸ μὲν μῆκος ποδῶν ἑκατὸν καὶ τριάκοντα, τὸ πλάτος δὲ καὶ πάχος εἰκοσιπέντε. τοῦτον δὲ πολλοῖς πλήθεσι ζευγῶν ὀρικῶν τε καὶ βοϊκῶν καταγαγοῦσα πρὸς τὸν

τὸν ποταμὸν, ἐπεβίβασε πρὸς τὴν σχεδίαν. ἐπὶ ταύτης δὲ κατακομίσασα κατὰ τοῦ ῥεύματος μέχρι τῆς Βαβυλῶνος, ἔστησεν αὐτὸν παρὰ τὴν ἐπισημοτάτην ὁδὸν, παράδοξον θέαμα τοῖς παριοῦσιν. ὃν τινες ὀνομάζουσιν ἀπὸ τοῦ σχήματος ὀβελίσκον, ὃν ἐν τοῖς ἑπτὰ τοῖς κατονομαζομένοις ἔργοις καταριθμοῦσι.

Obeliscus ingens in via nobilissima.

ιβ'. Πολλῶν δὲ καὶ παραδόξων ὄντων θεαμάτων κατὰ τὴν Βαβυλωνίαν, οὐχ ἥκιστα θαυμάζεται καὶ τὸ πλῆθος τῆς ἐν αὐτῇ γεννωμένης ἀσφάλτου. τοσοῦτον γάρ ἐστιν ὥστε μὴ μόνον ταῖς τοσαύταις καὶ τηλικαύταις οἰκοδομίαις διαρκεῖν, ἀλλὰ καὶ συλλεγόμενον τὸν λαὸν ἀφειδῶς ἀρύεσθαι, καὶ ξηραίνοντα καίειν ἀντὶ ξύλων. ἀναριθμήτων δὲ τὸ πλῆθος ἀνθρώπων ἀρυομένων, καθάπερ ἔκ τινος πηγῆς μεγάλης, ἀκέραιον διαμένει τὸ πλήρωμα. ἔστι δὲ καὶ πλησίον τῆς πηγῆς ταύτης ἀνάδοσις τῷ μὲν μεγέθει βραχεῖα, δύναμιν δὲ θαυμάσιον ἔχουσα· προσβάλλει γὰρ ἀτμὸν θειώδη καὶ βαρὺν, ᾧ τὸ προσελθὸν ζῶον ἅπαν ἀποθνήσκει, περιπίπτον ὀξείᾳ καὶ παραδόξῳ τελευτῇ. πνεύματος γὰρ κατοχῇ χρόνον ὑπομεῖναν διαφθείρεται, καθάπερ κωλυομένης τῆς τοῦ πνεύματος ἐκφορᾶς ὑπὸ τῆς προσπεσούσης ταῖς ἀναπνοαῖς δυνάμεως· εὐθὺς δὲ διοιδεῖ καὶ πίμπραται τὸ σῶμα, μάλιστα τοὺς περὶ τὸν πνεύμονα τόπους. ἔστι δὲ καὶ πέραν τοῦ ποταμοῦ λίμνη στερεὸν ἔχουσα τὸν περὶ αὐτὴν τόπον, εἰς ἣν ὅταν τὶς ἐμβῇ τῶν ἀπείρων, ὀλίγον μὲν νήχεται χρόνον· προϊὼν δ' εἰς τὸ μέσον, καθάπερ ὑπό τινος βίας κατασπᾶται. ἑαυτῷ δὲ βοηθῶν καὶ πάλιν ἀναστρέψαι προαιρούμενος, ἀντέχεται μὲν τῆς ἐκβάσεως, ἀντισπωμένῳ δ' ὑπό τινος ἔοικε. καὶ τὸ μὲν πρῶτον ἀπονεκροῦται τοὺς πόδας, εἶτα τὰ σκέλη, μέχρι τῆς ὀσφύος· τὸ δὲ τελευταῖον ὅλον τὸ σῶμα νάρκῃ κρατηθεὶς, φέρεται πρὸς βυθὸν, καὶ μετ' ὀλίγον τετελευτηκὼς ἀναβάλλεται. περὶ μὲν οὖν τῶν ἐν τῇ Βαβυλωνίᾳ θαυμαζομένων ἀρκείσθω τὰ ῥηθέντα.

Immensa bituminis copia.

Lacus mortifer.

ιγ'. Ἡ δὲ Σεμίραμις, ἐπειδὴ τοῖς ἔργοις ἐπέθηκε πέρας, ἀνέζευξεν ἐπὶ Μηδίας μετὰ πολλῆς δυνάμεως· καταντήσασα δὲ πρὸς ὄρος τὸ καλούμενον Βαγίστανον, πλησίον αὐτοῦ κατεστρατοπέδευσε, καὶ κατεσκεύασε παράδεισον, ὃς τὴν μὲν περίμετρον ἦν δώδεκα σταδίων ἐν πεδίῳ κείμενος,

Horti in Media apud Bagistanum montem a Semiramide apparati.

εἶχε δὲ πηγὴν μεγάλην, ἐξ ἧς ἀρδεύεσθαι συνέβαινε τὸ Φυτούργιον. τὸ δὲ Βαγίστανον ὄρος, ἔστι μὲν ἱερὸν Διὸς, ἐκ δὲ τοῦ παρὰ τὸν παράδεισον μέρους ἀποτομάδας ἔχει πέτρας εἰς ὕψος ἀνατεινούσας στάδια ἑπτακαίδεκα. οὗ τὸ κατώτατον μέρος καταξύσασα, τὴν ἰδίαν ἐνεχάραξεν εἰκόνα, δορυφόρους αὐτῇ παραστήσασα ἑκατόν.

Petris insculptae inscriptiones Syriae.

ἐπέγραψε δὲ καὶ Συρίοις γράμμασιν εἰς τὴν πέτραν, ὅτι Σεμίραμις τοῖς σάγμασι τοῖς τῶν ἀκολουθέντων ὑποζυγίων ἀπὸ τοῦ πεδίου χώσασα τὸν προειρημένον κρημνὸν, διὰ τούτων εἰς τὴν ἀκρώρειαν προσανέβη. ἐντεῦθεν δ' ἀναζεύξασα, καὶ παραγενομένη πρὸς Χαύονα πόλιν τῆς Μηδίας, κατενόησεν ἔν τινι μετεώρῳ πεδίῳ πέτραν τῷ τε ὕψει καὶ τῷ μεγέθει καταπληκτικήν.

Horti alii ad urbem Chauonem, ingentem petram includentes.

ἐνταῦθα οὖν ἕτερον παράδεισον ὑπερμεγέθη κατεσκεύασεν, ἐν μέσῳ τὴν πέτραν ἀπολαβοῦσα. καθ' ἣν οἰκοδομήματα πολυτελῆ πρὸς τρυφὴν ἐπέθηκεν, ἐξ ὧν τάτε κατὰ τὸν παράδεισον ἀπεθεώρει φυτούργια, καὶ πᾶσαν τὴν στρατιὰν παρεμβεβληκυῖαν ἐν τῷ πεδίῳ. ἐν τούτῳ δὲ τῷ τόπῳ συχνὸν ἐνδιατρίψασα χρόνον, καὶ πάντων τῶν εἰς τρυφὴν ἀνηκόντων ἀπολαύσασα, γῆμαι μὲν νομίμως οὐκ ἠθέλησεν, εὐλαβουμένη μήποτε στερηθῇ τῆς ἀρχῆς·

Semiramidis vaga libido.

ἐπιλεγομένη δὲ τῶν στρατιωτῶν τοὺς εὐπρεπείᾳ διαφέροντας, τούτοις ἐμίσγετο· καὶ πάντας τοὺς αὐτῇ πλησιάσαντας ἠφάνιζε. μετὰ δὲ ταῦτα ἐπ' Ἐκβατάνων τὴν πορείαν ποιησαμένη, παρεγένετο πρὸς ὄρος τὸ Ζαρκαῖον καλούμενον. τοῦτο δ' ἐπὶ πολλοὺς παρῆκον σταδίους, καὶ πλῆρες ὂν κρημνῶν καὶ φαράγγων, μακρὰν εἶχε τὴν περίοδον. ἐφιλοτιμεῖτο οὖν ἅμα μὲν μνημεῖον ἀθάνατον ἑαυτῆς ἀπολιπεῖν, ἅμα δὲ σύντομον ποιήσασθαι τὴν ὁδόν.

Via per montem Zarcæum structa.

διόπερ τούς τε κρημνοὺς κατακόψασα, καὶ τοὺς κοίλους τόπους χώσασα, σύντομον καὶ πολυτελῆ κατεσκεύασεν ὁδὸν, ἣ μέχρι τοῦ νῦν ἀπ' ἐκείνης Σεμιράμιδος καλεῖται.

Ecbatanis regiam condit,

παραγενομένη δ' εἰς Ἐκβάτανα πόλιν ἐν πεδίῳ κειμένην, κατεσκεύασεν ἐν αὐτῇ πολυτελῆ βασίλεια, καὶ τὴν ἄλλην ἐπιμέλειαν ἐποιήσατο τοῦ τόπου περιττοτέραν.

eoque per montem Orontem aquas deducit.

ἀνύδρου γὰρ οὔσης τῆς πόλεως, καὶ μηδαμοῦ σύνεγγυς ὑπαρχούσης πηγῆς, ἐποίησεν αὐτὴν πᾶσαν κατάρρυτον, ἐπαγαγοῦσα πλεῖστον καὶ κάλλιστον ὕδωρ μετὰ πολλῆς κακοπαθείας τε καὶ δαπάνης. τῶν γὰρ Ἐκβατάνων ὡς δώ-

δεκα

δεκα σταδίους ἀπέχον ἐστὶν ὄρος, ὃ καλεῖται μὲν Ὀρόντης, τῇ δὲ τραχύτητι καὶ τῷ πρὸς ὕψος ἀνατείνοντι μεγέθει διάφορον, ὡς ἂν τὴν πρόσβασιν ἔχον ὄρθιον ἕως τῆς ἀκρωρείας σταδίων εἰκοσιπέντε. ἐκ θατέρου δὲ μέρους οὔσης λίμνης μεγάλης εἰς ποταμὸν ἐκβαλλούσης, διέσκαψε τὸ προειρημένον ὄρος κατὰ τὴν ῥίζαν. ἦν δὲ ἡ διώρυξ τὸ μὲν πλάτος, ποδῶν δεκαπέντε, τὸ δ' ὕψος, τετταράκοντα. δι' ἧς ἐπαγαγοῦσα τὸν ἐκ τῆς λίμνης ποταμὸν, ἐπλήρωσε τὴν πόλιν ὕδατος. ταῦτα μὲν οὖν ἐποίησεν ἐν τῇ Μηδίᾳ.

Semiramidis itinera in Persiam & reliquam Asiam, & opera ubique exstructa.

ιδ'. Μετὰ δὲ ταῦτα ἐπῆλθε τήν τε Περσίδα καὶ τὴν ἄλλην χώραν ἅπασαν, ἧς ἐπῆρχε κατὰ τὴν Ἀσίαν· πανταχοῦ δὲ τὰ μὲν ὄρη καὶ τὰς ἀποῤῥῶγας πέτρας διακόπτουσα, κατεσκεύασεν ὁδοὺς πολυτελεῖς, ἐν δὲ τοῖς πεδίοις ἐποίει χώματα, ποτὲ μὲν τάφους κατασκευάζουσα τοῖς τελευτῶσι τῶν ἡγεμόνων, ποτὲ δὲ πόλεις ἐν τοῖς ἀναστήμασι κατοικίζουσα. εἰώθει δὲ καὶ κατὰ τὰς στρατοπεδείας μικρὰ χώματα κατασκευάζειν, ἐφ' ὧν καθιστᾶσα τὴν ἰδίαν σκηνὴν, ἅπασαν κατώπτευε τὴν παρεμβολήν. διὸ καὶ πολλὰ κατὰ τὴν Ἀσίαν μέχρι τοῦ νῦν διαμένει τῶν ὑπ' ἐκείνης κατασκευασθέντων, καὶ καλεῖται Σεμιράμιδος ἔργα.

Iter per Aegyptum in Libyam ad Jovem Ammonem,

μετὰ δὲ ταῦτα τήν τε Αἴγυπτον πᾶσαν ἐπῆλθε, καὶ τῆς Λιβύης τὰ πλεῖστα καταστρεψαμένη, παρῆλθεν εἰς Ἄμμωνα, χρησομένη τῷ θεῷ περὶ τῆς ἰδίας τελευτῆς. λέγεται δ' αὐτῇ γενέσθαι λόγιον, ἐξ ἀνθρώπων ἀφανισθήσεσθαι, καὶ κατὰ τὴν Ἀσίαν παρ' ἐνίοις τῶν ἐθνῶν ἀθανάτου τεύξεσθαι τιμῆς· ὅπερ ἔσεσθαι καθ' ὃν ἂν χρόνον ὁ υἱὸς αὐτῇ Νινύας ἐπιβουλεύσῃ.

& in Aethiopiam.

ἀπὸ δὲ τούτων γενομένη, τῆς Αἰθιοπίας ἐπῆλθε τὰ πλεῖστα καταστρεφομένη, καὶ τὰ κατὰ τὴν χώραν θεωμένη παράδοξα. εἶναι γὰρ ἐν αὐτῇ φασὶ λίμνην τετράγωνον, τὴν μὲν περίμετρον ἔχουσαν ποδῶν ὡς ἑκατὸν ἑξήκοντα, τὸ δ' ὕδωρ τῇ μὲν χρόᾳ παραπλήσιον κινναβάρει, τὴν δ' ὀσμὴν καθ' ὑπερβολὴν ἡδεῖαν, οὐκ ἀνόμοιον οἴνῳ παλαιῷ, δύναμιν δ' ἔχειν παράδοξον. τὸν γὰρ πίοντα φασὶν εἰς μανίαν ἐμπίπτειν, καὶ πάνθ', ἃ πρότερον διέλαθεν ἁμαρτήσας, ἑαυτοῦ κατηγορεῖν. τοῖς μὲν οὖν ταῦτα λέγουσιν οὐκ ἂν τις ῥᾳδίως συγκατάθοιτο.

ιε'. Τα-

Obiter Aethiopum sepeliendi ritus describitur.

ιέ. Ταφὰς δὲ τῶν τελευτησάντων ἰδίως οἱ κατὰ τὴν Ἀιθιοπίαν ποιȣ̃νται. ταριχεύσαντες γὰρ τὰ σώματα, καὶ περιχεύσαντες αὐτοῖς πολλὴν ὕελον, ἱστᾶσιν ἐπὶ στήλης, ὥστε τοῖς παριȣ̃σι φαίνεσθαι διὰ τῆς ὑέλου τὸ τȣ̃ τετελευτηκότος σῶμα, καθάπερ Ἡρόδοτος εἴρηκε. Κτησίας δ' ὁ Κνίδιος ἀποφαινόμενος τȣ̃τον σχεδιάζειν, αὐτὸς φησὶ τὸ μὲν σῶμα ταριχεύεσθαι, τὴν μέντοιγε ὕελον μὴ περιχεῖσθαι γυμνοῖς τοῖς σώμασι· κατακαυθήσεσθαι γὰρ ταῦτα, καὶ λυμανθέντα τελείως τὴν ὁμοιότητα μὴ δυνήσεσθαι διατηρεῖν· διὸ καὶ χρυσῆν εἰκόνα κατασκευάζεσθαι κοίλην, εἰς ἣν ἐντεθέντος τȣ̃ νεκρȣ̃, περὶ τὴν εἰκόνα χεῖσθαι τὴν ὕελον. τȣ̃ δὲ κατασκευάσματος τεθέντος ἐπὶ τὸν τάφον, διὰ τῆς ὑέλου φανῆναι τὸν χρυσὸν ἀφωμοιωμένον τῷ τετελευτηκότι. τȣ̀ς μὲν ȣ̃ν πλουσίους αὐτῶν ȣ̃τω θάπτεσθαι φησί· τȣ̀ς δ' ἐλάττονας καταλιπόντας ȣ̓σίας, ἀργυρᾶς τυγχάνειν εἰκόνος· τȣ̀ς δὲ πένητας, κεραμίνης. τὴν δὲ ὕελον πᾶσιν ἐξαρκεῖν, διὰ τὸ πλείστην γεννᾶσθαι κατὰ τὴν Ἀιθιοπίαν, καὶ τελέως παρὰ τοῖς ἐγχωρίοις ἐπιπολάζειν. περὶ δὲ τῶν νομίμων τῶν παρὰ τοῖς Ἀιθίοψι, καὶ τῶν ἄλλων τῶν γινομένων ἐν τῇ τȣ́των χώρᾳ, τὰ κυριώτατα καὶ μνήμης ἄξια μικρὸν ὕστερον ἀναγράψομεν, ὅταν καὶ τὰς παλαιὰς αὐτῶν πράξεις καὶ μυθολογίας διεξίωμεν.

Causae, quibus permota Semiramis bellum Indiae intulit.

ιστ'. Ἡ δὲ Σεμίραμις καταστήσασα τά τε κατὰ τὴν Ἀιθιοπίαν καὶ τὴν Ἄιγυπτον, ἐπανῆλθε μετὰ τῆς δυνάμεως εἰς Βάκτρα τῆς Ἀσίας. ἔχουσα δὲ δυνάμεις μεγάλας, καὶ πολυχρόνιον εἰρήνην ἄγουσα, φιλοτίμως ἔσχε πρᾶξαί τι λαμπρὸν κατὰ πόλεμον. πυνθανομένη δὲ τὸ τῶν Ἰνδῶν ἔθνος μέγιστον εἶναι τῶν κατὰ τὴν οἰκουμένην, καὶ πλείστην τε καὶ καλλίστην χώραν νέμεσθαι, διενοεῖτο στρατεύειν εἰς τὴν Ἰνδικήν· ἧς ἐβασίλευε μὲν Σταβροβάτης κατ' ἐκείνους τȣ̀ς χρόνους, στρατιωτῶν δ' εἶχεν ἀναρίθμητον πλῆθος. ὑπῆρχον δ' αὐτῷ καὶ ἐλέφαντες πολλοὶ καθ' ὑπερβολὴν λαμπρῶς κεκοσμημένοι τοῖς εἰς τὸν πόλεμον καταπληκτικοῖς. ἡ γὰρ Ἰνδικὴ χώρα διάφορος ȣ̃σα τῷ κάλλει, καὶ πολλοῖς διειλημμένη ποταμοῖς, ἀρδεύεταί τε πολλαχȣ̃, καὶ διττȣ̀ς καθ' ἕκαστον ἐνιαυτὸν ἐκφέρει καρπȣ̀ς. διὸ καὶ τῶν πρὸς τὸ ζῆν ἐπιτηδείων τοσȣ̃τον ἔχει πλῆθος, ὥστε διὰ παν-

παντὸς ἄφθονον ἀπόλαυσιν τοῖς ἐγχωρίοις παρέχεσθαι. λέγεται δὲ μηδέποτε κατ' αὐτὴν γεγονέναι σιτοδείαν, ἢ φθορὰν καρπῶν, διὰ τὴν εὐκρασίαν τῶν τόπων· ἔχει δὲ καὶ τῶν ἐλεφάντων ἄπιςον πλῆθος, οἱ ταῖς τε ἀλκαῖς καὶ ταῖς τῦ σώματος ῥώμαις πολὺ προέχουσι τῶν ἐν τῇ Λιβύῃ γινομένων· ὁμοίως δὲ χρυσὸν, ἄργυρον, σίδηρον, χαλκόν· πρὸς δὲ τύτοις, λίθων παντοίων καὶ πολυτελῶν ἐν αὐτῇ ἐςι πλῆθος· ἔτι δὲ τῶν ἄλλων ἁπάντων σχεδὸν τῶν πρὸς τρυφὴν καὶ πλῦτον διατεινόντων. ὑπὲρ ὧν τὰ κατὰ μέρος ἡ Σεμίραμις ἀκύσασα, προήχθη, μηδὲν προαδικηθεῖσα, τὸν πρὸς Ἰνδὺς ἐξενεγκεῖν πόλεμον. ὁρῶσα δ' αὐτὴν μεγάλων καθ' ὑπερβολὴν προσδεομένην δυνάμεων, ἐξέπεμψεν ἀγγέλους εἰς πάσας τὰς ςρατοπεδείας, διακελευσαμένη τοῖς ἐπάρχοις καταγράφειν τῶν νέων τὺς ἀρίςους, δῦσα τὸν ἀριθμὸν κατὰ τὰ μεγέθη τῶν ἐθνῶν. προσέταξε δὲ πᾶσι κατασκευάζειν καινὰς πανοπλίας, καὶ τοῖς ἄλλοις ἅπασι λαμπρῶς παραγενέσθαι κεκοσμημένους μετὰ τρίτον ἔτος εἰς Βάκτρα. μετεπέμψατο δὲ καὶ ναυπηγὺς ἔκ τε Φοινίκης καὶ Συρίας καὶ Κύπρου, καὶ τῆς ἄλλης τῆς παραθαλαττίου χώρας, οἷς ἄφθονον ὕλην μεταγαγῦσα, διεκελεύσατο κατασκευάζειν ποτάμια πλοῖα διαιρετά. ὁ γὰρ Ἰνδὸς ποταμὸς, μέγιςος ὢν τῶν περὶ τὺς τόπους, καὶ τὴν βασιλείαν αὐτῆς ὁρίζων, πολλῶν προσεδεῖτο πλοίων πρός τε τὴν διάβασιν, καὶ πρὸς τὸ τὺς Ἰνδὺς ἀπὸ τύτων ἀμύνασθαι. παρὰ δὲ τὸν ποταμὸν ὐκ ὔσης ὕλης, ἀναγκαῖον ἦν ἐκ τῆς Βακτριανῆς πεζῇ παρακομίζεσθαι τὰ πλοῖα. θεωρῦσα δὲ ἡ Σεμίραμις ἑαυτὴν ἐν τῇ τῶν ἐλεφάντων χρείᾳ πολὺ λειπομένην, ἐπενοήσατό τι κατασκευάζειν ἰδίωμα τύτων τῶν ζώων, ἐλπίζυσα καταπλήξεσθαι τὺς Ἰνδὺς, διὰ τὸ νομίζειν αὐτὺς μηδ' εἶναι τὸ σύνολον ἐλέφαντας ἐκτὸς τῶν κατὰ τὴν Ἰνδικήν. ἐπιλέξασα δὲ βοῶν μελάνων τριάκοντα μυριάδας, τὰ μὲν κρέα τοῖς τεχνίταις καὶ τοῖς πρὸς τὴν τῶν κατασκευασμάτων ὑπηρεσίαν τεταγμένοις διένειμε, τὰς δὲ βύρσας συῤῥάπτυσα καὶ χόρτυ πληρῦσα, κατεσκεύασεν εἴδωλα, κατὰ πᾶν ἀπομιμυμένη τὴν τῶν ζώων τύτων φύσιν. ἕκαςον δὲ τύτων εἶχεν ἐντὸς ἄνδρα τὸν ἐπιμελησόμενον, καὶ κάμηλον, ὑφ' ὗ φερόμενον φαντασίαν τοῖς πόῤῥωθεν ὁρῶσιν ἀληθινῦ θηρίυ παρείχετο. οἱ δὲ ταῦτα κατασκευάζοντες

Apparatus belli Indici.

præsertim elephantorum simulacra.

ζοντες αὐτῇ τεχνῖται προσεκαρτέρουν τοῖς ἔργοις ἔν τινι περιβόλῳ περιῳκοδομημένῳ, καὶ πύλας ἔχοντι τηρουμένας ἐπιμελῶς, ὥστε μηδένα μήτε τῶν ἔσωθεν ἐξιέναι τεχνιτῶν, μήτε τῶν ἔξωθεν εἰσιέναι πρὸς αὐτούς. τοῦτο δ' ἐποίησεν, ὅπως μηδεὶς τῶν ἔξωθεν ἴδῃ τὸ γινόμενον, μηδὲ διαπέσῃ φήμη πρὸς Ἰνδοὺς περὶ τούτων.

ιζ´. Ἐπεὶ δὲ ἅιτε ναῦς καὶ τὰ θηρία κατεσκευάσθησαν ἐν τοῖς δυσὶν ἔτεσι, τῷ τρίτῳ μετεπέμψατο τὰς πανταχόθεν δυνάμεις εἰς τὴν Βακτριανήν. τὸ δὲ πλῆθος τῆς ἀθροισθείσης στρατιᾶς ἦν, ὡς Κτησίας ὁ Κνίδιος ἀνέγραψε, πεζῶν μὲν τριακόσιαι μυριάδες, ἱππέων δὲ πεντήκοντα μυριάδες, ἁρμάτων δὲ δέκα μυριάδες. ὑπῆρχον δὲ καὶ ἄνδρες ἐπὶ καμήλων ὀχούμενοι, μαχαίρας τετραπήχεις ἔχοντες, τὸν ἀριθμὸν ἴσοι τοῖς ἅρμασι. ναῦς δὲ ποταμίας κατεσκεύασε διαιρετὰς δισχιλίας, αἷς παρεσκευάσατο καμήλους τὰς πεζῇ παρακομιζούσας τὰ σκάφη. ἐφόρουν δὲ καὶ τὰ τῶν ἐλεφάντων εἴδωλα κάμηλοι, καθότι προείρηται· καὶ πρὸς αὐτὰς τοὺς ἵππους οἱ στρατιῶται συνάγοντες, συνήθεις ἐποίουν τοῦ μὴ φοβεῖσθαι τὴν ἀγριότητα τῶν θηρίων. παραπλήσιον δὲ πολλοῖς ἔτεσιν ὕστερον ἔπραξε Περσεὺς ὁ τῶν Μακεδόνων βασιλεὺς, ὅτε πρὸς Ῥωμαίους ἔμελλε διακινδυνεύειν, ἔχοντας ἐκ Λιβύης ἐλέφαντας. ἀλλ' οὔτ' ἐκείνῳ ῥοπὴν ἐπενεγκεῖν εἰς τὸν πόλεμον συνέβη τὴν περὶ τὰ τοιαῦτα σπουδὴν καὶ φιλοτεχνίαν, οὔτε Σεμιράμιδι· περὶ ὧν ἀκριβέστερον ὁ προϊὼν λόγος δηλώσει. ὁ δὲ τῶν Ἰνδῶν βασιλεὺς Σταβροβάτης πυνθανόμενος τά τε μεγέθη τῶν ἑτοιμαζομένων δυνάμεων, καὶ τὴν ὑπερβολὴν τῆς εἰς τὸν πόλεμον παρασκευῆς, ἔσπευδεν ἐν ἅπασιν ὑπερθέσθαι τὴν Σεμίραμιν. καὶ πρῶτον μὲν ἐκ τοῦ καλάμου κατεσκεύασε πλοῖα ποτάμια τετρακισχίλια. ἡ γὰρ Ἰνδικὴ παρά τε τοὺς ποταμοὺς καὶ τοὺς ἑλώδεις τόπους φέρει καλάμου πλῆθος, οὗ τὸ πάχος οὐκ ἂν ῥᾳδίως ἄνθρωπος περιλάβοι. λέγεται δὲ καὶ τὰς ἐκ τούτων κατασκευαζομένας ναῦς διαφόρους κατὰ τὴν χρείαν ὑπάρχειν, οὔσης ἀσήπτου ταύτης τῆς ὕλης. ποιησάμενος δὲ καὶ τῆς τῶν ὅπλων παρασκευῆς πολλὴν ἐπιμέλειαν, καὶ πᾶσαν ἐπελθὼν τὴν Ἰνδικὴν ἤθροισε δύναμιν πολὺ μείζονα τῆς Σεμιράμιδι συνεχθείσης. ποιησάμενος δὲ καὶ τῶν ἀγρίων ἐλεφάντων θήραν,

Indorum regis ab adversa parte apparatus, præcipue 4000 naves ex arundine.

ρεαν, καὶ πολλαπλασιάσας τοὺς προϋπάρχοντας, ἐκόσμησεν ἅπαντας τοῖς εἰς τὸν πόλεμον καταπληκτικοῖς λαμπρῶς· διὸ καὶ συνέβαινε κατὰ τὴν ἔφοδον αὐτῶν, διά τε τὸ πλῆθος καὶ τὴν ἐπὶ τῶν θωρακίων κατασκευὴν, ἀνυπόστατον ἀνθρωπίνῃ φύσει φαίνεσθαι τὴν ἐπιφάνειαν.

ιη΄. Ἐπεὶ δ' αὐτῷ πάντα πρὸς τὸν πόλεμον κατεσκεύαστο, πρὸς τὴν Σεμίραμιν καθ' ὁδὸν οὖσαν ἀπέστειλεν ἀγγέλους, ἐγκαλῶν ὅτι προκατάρχεται τοῦ πολέμου μηδὲν ἀδικηθεῖσα. πολλὰ δὲ καὶ ἄῤῥητα κατ' αὐτῆς εἰς ἑταιρείαν βλασφημήσας διὰ τῶν γραμμάτων, καὶ θεοὺς ἐπιμαρτυράμενος, ἠπείλει, καταπολεμήσας αὐτὴν σταυρῷ προσηλώσειν. ἡ δὲ Σεμίραμις ἀναγνοῦσα τὴν ἐπιστολὴν, καὶ καταγελάσασα τῶν γεγραμμένων, διὰ τῶν ἔργων ἔφησε τὸν Ἰνδὸν πειραθήσεσθαι τῆς περὶ αὐτὴν ἀρετῆς. ἐπεὶ δὲ προαγαγοῦσα μετὰ τῆς δυνάμεως ἐπὶ τὸν Ἰνδὸν ποταμὸν παρεγένετο, κατέλαβε τὰ τῶν πολεμίων πλοῖα πρὸς μάχην ἕτοιμα· διόπερ καὶ αὐτὴ καταρτίσασα ταχέως τὰς ναῦς, καὶ πληρώσασα τῶν κρατίστων ἐπιβατῶν, συνεστήσατο κατὰ τὸν ποταμὸν ναυμαχίαν, συμφιλοτιμουμένων καὶ τῶν παρεμβεβληκότων παρὰ τὸ ῥεῖθρον πεζῶν. ἐπὶ πολὺν δὲ χρόνον τοῦ κινδύνου παρατείνοντος, καὶ προθύμως ἑκατέρων ἀγωνισαμένων, τὸ τελευταῖον ἡ Σεμίραμις ἐνίκησε, καὶ διέφθειρε τῶν πλοίων περὶ χίλια· συνέλαβε δ' αἰχμαλώτους οὐκ ὀλίγους. ἐπαρθεῖσα δὲ τῇ νίκῃ τὰς ἐν τῷ ποταμῷ νήσους καὶ πόλεις ἐξηνδραποδίσατο, καὶ συνήθροισεν αἰχμαλώτων σωμάτων ὑπὲρ τὰς δέκα μυριάδας. μετὰ δὲ ταῦθ' ὁ μὲν τῶν Ἰνδῶν βασιλεὺς ἀπήγαγε τὴν δύναμιν ἀπὸ τοῦ ποταμοῦ, προσποιούμενος μὲν ἀναχωρεῖν διὰ φόβον, τῇ δ' ἀληθείᾳ βουλόμενος τοὺς πολεμίους προτρέψασθαι διαβῆναι τὸν ποταμόν. ἡ δὲ Σεμίραμις, κατὰ νοῦν αὐτῇ τῶν πραγμάτων χωρούντων, ἔζευξε τὸν ποταμὸν, κατασκευάσασα πολυτελῆ καὶ μεγάλην γέφυραν, δι' ἧς ἅπασαν διακομίσασα τὴν δύναμιν, ἐπὶ μὲν τοῦ ζεύγματος φυλακὴν κατέλιπεν ἀνδρῶν ἑξακισμυρίων, τῇ δ' ἄλλῃ στρατιᾷ προῆγεν ἐπιδιώκουσα τοὺς Ἰνδοὺς, προηγουμένων τῶν εἰδώλων, ὅπως οἱ τῶν πολεμίων κατάσκοποι δηλώσωσι τῷ βασιλεῖ τὸ πλῆθος τῶν παρ' αὐτῇ θηρίων. οὐ διεψεύσθη δὲ κατά γε τοῦτο τῆς ἐλπίδος, ἀλλὰ τῶν ἐπὶ κατασκοπὴν ἐκπεμφθέντων

Is admonitione & minis reginam nequidquam deterrere studet.

Prima navalis pugna, qua Semiramis vicit.

των τοῖς Ἰνδοῖς, ἀπαγγελλόντων τὸ πλῆθος τῶν παρὰ τοῖς πολεμίοις ἐλεφάντων, ἅπαντες διηπορᾶντο πόθεν αὐτῇ συνακολεθεῖ τοσᾶτο πλῆθος θηρίων· ἐ μὴν ἔμεινέ γε τὸ ψεῦδος πλείω χρόνον κρυπτόμενον. τῶν γὰρ παρὰ τῇ Σεμιράμιδι στρατευομένων κατελήφθησάν τινες νυκτὸς ἐν τῇ στρατοπεδείᾳ ῥαθυμᾶντες τὰ περὶ τὰς φυλακάς. φοβηθέντες δὲ τὴν ἐπακολεθᾶσαν τιμωρίαν, ηὐτομόλησαν πρὸς τὰς πολεμίας, καὶ τὴν κατὰ τὰς ἐλέφαντας πλάνην ἀπήγγειλαν. ἐφ' οἷς θαῤῥήσας ὁ τῶν Ἰνδῶν βασιλεὺς, καὶ τῇ δυνάμει διαγγείλας τὰ περὶ τῶν εἰδώλων, ἐπέστρεψεν ἐπὶ τὰς Ἀσσυρίας, διατάξας τὴν δύναμιν.

Pugna terrestris.

ιϑ'. Τὸ δ' αὐτὸ καὶ τῆς Σεμιράμιδος ἐπιτελάσης, ὡς ἤγγισαν ἀλλήλοις τὰ στρατόπεδα, Σταβροβάτης ὁ τῶν Ἰνδῶν βασιλεὺς προαπέστειλε πολὺ πρὸ τῆς φάλαγγος τὰς ἱππεῖς μετὰ τῶν ἁρμάτων. δεξαμένης δὲ τῆς βασιλίσσης εὐρώστως τὴν ἔφοδον τῶν ἱππέων, καὶ τῶν κατεσκευασμένων ἐλεφάντων πρὸ τῆς φάλαγγος ἐν ἴσοις διαστήμασι τεταγμένων, συνέβαινε πτύρεσθαι τὰς τῶν Ἰνδῶν ἵππας. τὰ γὰρ εἴδωλα πόῤῥωθεν μὲν ὁμοίαν εἶχε τὴν πρόσοψιν τοῖς ἀληθινοῖς θηρίοις, οἷς συνήθεις ὄντες οἱ τῶν Ἰνδῶν ἵπποι τεθαῤῥηκότως προσήρχοντο. τοῖς δ' ἐγγίσασιν ἥ τε ὀσμὴ προσέβαλλεν ἀσυνήθης, καὶ τἄλλα διαφορὰν ἔχοντα πάντα παμμεγέθη τὰς ἵππας ὁλοσχερῶς συνετάραττε. διὸ καὶ τῶν Ἰνδῶν οἱ μὲν ἐπὶ τὴν γῆν ἔπιπτον, οἱ δὲ, τῶν ζώων ἀπειθέντων τοῖς χαλινοῖς, ὡς ἐτύγχανεν εἰς τὰς πολεμίας ἐξέπιπτον μετὰ τῶν κομιζόντων αὐτὰς ἵππων. ἡ δὲ Σεμίραμις μετὰ στρατιωτῶν ἐπιλέκτων μαχομένη, καὶ τῷ προτερήματι δεξιῶς χρησαμένη, τὰς Ἰνδὰς ἐτρέψατο. ὧν φυγόντων πρὸς τὴν φάλαγγα, Σταβροβάτης ὁ βασιλεὺς ἐ καταπλαγεὶς ἐπήγαγε τὰς τῶν πεζῶν τάξεις, προηγεμένων τῶν ἐλεφάντων. αὐτὸς δ' ἐπὶ τᾶ δεξιᾶ κέρατος τεταγμένος, καὶ τὴν μάχην ἐπὶ τᾶ κρατίςε θηρία ποιέμενος, ἐπήγαγε καταπληκτικῶς ἐπὶ τὴν βασίλισσαν κατ' αὐτὸν τυχικῶς τεταγμένην. τὸ δ' αὐτὸ καὶ τῶν ἄλλων ἐλεφάντων ποιησάντων, ἡ μετὰ τῆς Σεμιράμιδος δύναμις βραχὺν ὑπέςη χρόνον τὴν τῶν θηρίων ἔφοδον. τὰ γὰρ ζῷα διάφορα ταῖς ἀλκαῖς ὄντα, καὶ ταῖς ἰδίαις ῥώμαις πεποιθότα, πάντα τὸν ὑφιςάμενον ῥαδίως ἀνῄρει. διόπερ πολὺς

Indi iterum in fugam acti.

Sed Stabrobates rex aciem restituit.

πολὺς καὶ παντοῖος ἐγίνετο φόνος, τῶν μὲν ὑπὸ τοὺς πόδας ὑποπιπτόντων, τῶν δὲ τοῖς ὀδοῦσιν ἀνασχιζομένων, ἐνίων δὲ ταῖς προβοσκίσιν ἀναῤῥιπτουμένων. συχνοῦ δὲ πλήθους νεκρῶν σωρευομένου, καὶ τοῦ κινδύνου τοῖς ὁρῶσι δεινὴν ἔκπληξιν καὶ φόβον παριστάντος, οὐθεὶς ἔτι μένειν ἐπὶ τῆς τάξεως ἐτόλμα. τραπέντος οὖν τοῦ πλήθους ἅπαντος, ὁ βασιλεὺς τῶν Ἰνδῶν ἐπ' αὐτὴν ἐβιάζετο τὴν Σεμίραμιν· καὶ τὸ μὲν πρῶτον ἐπ' ἐκείνην τοξεύσας, ἔτυχε τοῦ βραχίονος. ἔπειτ' ἀκοντίσας διήλασε διὰ τοῦ νώτου τῆς βασιλίσσης, πλαγίας ἐνεχθείσης τῆς πληγῆς. διόπερ οὐδὲν παθοῦσα δεινὸν ἡ Σεμίραμις ταχέως ἀφίππευσε, πολὺ λειπομένου κατὰ τὸ τάχος τοῦ διώκοντος θηρίου. πάντων δὲ φευγόντων ἐπὶ τὴν σχεδίαν, καὶ τοσούτου πλήθους εἰς ἕνα καὶ στενὸν βιαζομένου τόπον, οἱ μὲν τῆς βασιλίσσης ὑπ' ἀλλήλων ἀπέθνησκον συμπατούμενοι καὶ φυρόμενοι παρὰ φύσιν ἀναμὶξ ἱππεῖς τε καὶ πεζοί. τῶν δὲ Ἰνδῶν ἐπικειμένων, διωγμὸς ἐγίνετο βίαιος ἐπὶ τῆς γεφύρας διὰ τὸν φόβον, ὥστε πολλοὺς ἐξωθουμένους ἐφ' ἑκάτερα μέρη τῆς γεφύρας ἐμπίπτειν εἰς τὸν ποταμόν. ἡ δὲ Σεμίραμις ἐπειδὴ τὸ πλεῖστον μέρος τῶν ἀπὸ τῆς μάχης διασωζομένων διὰ τὸν ποταμὸν ἔτυχε τῆς ἀσφαλείας, ἀπέκοψε τοὺς συνέχοντας δεσμοὺς τὴν γέφυραν. ὧν λυθέντων, ἡ μὲν σχεδία κατὰ πολλὰ διαιρεθεῖσα μέρη, καὶ συχνοὺς ἐφ' ἑαυτῆς ἔχουσα τῶν διωκόντων Ἰνδῶν, ὑπὸ τῆς τοῦ ῥεύματος σφοδρότητος, ὡς ἔτυχε, κατηνέχθη, καὶ πολλοὺς μὲν τῶν Ἰνδῶν διέφθειρε, τῇ δὲ Σεμιράμιδι πολλὴν ἀσφάλειαν παρεσκεύασε, κωλύσασα τὴν τῶν πολεμίων ἐπ' αὐτὴν διάβασιν. μετὰ δὲ ταῦθ' ὁ μὲν τῶν Ἰνδῶν βασιλεὺς, Διὸς σημασιῶν αὐτῷ γεγονυιῶν, καὶ τῶν μάντεων ἀποφαινομένων σημαίνεσθαι τὸν ποταμὸν μὴ διαβαίνειν, ἡσυχίαν ἔσχεν. ἡ δὲ Σεμίραμις ἀλλαγὴν ποιησαμένη τῶν αἰχμαλώτων, ἐπανῆλθεν εἰς Βάκτρα, δύο μέρη τῆς δυνάμεως ἀποβεβληκυῖα.

Regina, vulnere accepto,

vix cum tertia exercitus parte evasit.

κ'. Μετὰ δέ τινα χρόνον ὑπὸ Νινύου τοῦ υἱοῦ δι' εὐνούχου τινὸς ἐπιβουλευθεῖσα, καὶ τὸ παρ' Ἄμμωνος λόγιον ἀνανεωσαμένη, τὸν ἐπιβουλεύσαντα κακὸν οὐδὲν εἰργάσατο· τοὐναντίον δὲ τὴν βασιλείαν αὐτῷ παραδοῦσα, καὶ τοῖς ὑπάρχοις ἀκούειν ἐκείνου προστάξασα, ταχέως ἠφάνισεν ἑαυτὴν

Ob insidias factas, & memor oraculi Iovis Ammonis, Ninyæ filio regnum tradit.

Confestim evanuit,

τὴν, ὡς εἰς θεοὺς κατὰ τὸν χρησμὸν μεταστησομένη. ἔνιοι δὲ μυθολογοῦντες φασὶν αὐτὴν γενέσθαι περιστερὰν, καὶ πολλῶν ὀρνέων εἰς τὴν οἰκίαν καταπετασθέντων, μετ' ἐκείνων ἐκπετασθῆναι.

ab Assyriis deinde inter Deos relata, & sub columbæ imagine culta.

διὸ καὶ τοὺς Ἀσσυρίους τὴν περιστερὰν τιμᾶν ὡς θεὸν, ἀπαθανατίζοντας τὴν Σεμίραμιν. αὕτη μὲν οὖν βασιλεύσασα τῆς Ἀσίας ἁπάσης πλὴν Ἰνδῶν, ἐτελεύτησε τὸν προειρημένον τρόπον, βιώσασα μὲν ἔτη ἑξήκοντα καὶ δύο, βασιλεύσασα δὲ δύο πρὸς τοῖς τεσσαράκοντα. Κτησίας μὲν οὖν ὁ Κνίδιος περὶ Σεμιράμιδος τοιαῦθ' ἱστόρηκεν.

Scriptores recensentur, qui de Semiramide diversa narrant.

Ἀθήναιος δὲ καί τινες τῶν ἄλλων συγγραφέων φασὶν αὐτὴν ἑταίραν γεγονέναι εὐπρεπῆ, καὶ διὰ τὸ κάλλος ἐρωτικῶς ἔχειν αὐτῆς τὸν βασιλέα τῶν Ἀσσυρίων. τὸ μὲν οὖν πρῶτον μετρίας αὐτὴν ἀποδοχῆς τυγχάνειν ἐν τοῖς βασιλείοις. μετὰ δὲ ταῦτα γνησίαν ἀναγορευθεῖσαν γυναῖκα, πεῖσαι τὸν βασιλέα πένθ' ἡμέρας παραχωρῆσαι αὐτῇ τῆς βασιλείας. τὴν δὲ Σεμίραμιν ἀναλαβοῦσαν τό τε σκῆπτρον καὶ τὴν βασίλειον στολὴν, κατὰ μὲν τὴν πρώτην ἡμέραν εὐωχίαν ποιῆσαι καὶ μεγαλοπρεπῆ δεῖπνα, ἐν οἷς τοὺς τῶν δυνάμεων ἡγεμόνας καὶ πάντας τοὺς ἐπιφανεστάτους πεῖσαι συμπράττειν ἑαυτῇ. τῇ δ' ὑστεραίᾳ τοῦ τε πλήθους καὶ τῶν ἀξιολογωτάτων ἀνδρῶν ὡς βασίλισσαν θεραπευόντων, τὸν μὲν ἄνδρα καταβαλεῖν εἰς τὴν εἱρκτὴν, αὐτὴν δὲ φύσει μεγαλεπίβολον οὖσαν καὶ τολμηρὰν κατασχεῖν τὴν ἀρχὴν, καὶ μέχρι γήρως βασιλεύσασαν πολλὰ καὶ μεγάλα κατεργάσασθαι· περὶ μὲν οὖν τῶν κατὰ τὴν Σεμίραμιν τοιαύτας ἀντιλογίας εἶναι συμβαίνει παρὰ τοῖς συγγραφεῦσι.

κά. Μετὰ δὲ τὸν ταύτης θάνατον Νινύας ὁ Νίνου καὶ Σεμιράμιδος υἱὸς παραλαβὼν τὴν ἀρχὴν ἦρχεν εἰρηνικῶς, τὸ φιλοπόλεμον καὶ κεκινδυνευμένον τῆς μητρὸς οὐδαμῶς ζηλώσας.

Ninyæ, & successorum omnium per XXX ætates, vita desidiosa.

πρῶτον μὲν γὰρ ἐν τοῖς βασιλείοις τὸν ἅπαντα χρόνον διέτριβεν, ὑπ' οὐδενὸς ὁρώμενος πλὴν τῶν παλλακίδων καὶ τῶν περὶ αὐτὸν εὐνούχων. ἐζήλου δὲ τρυφὴν καὶ ῥαθυμίαν, καὶ τὸ μηδέποτε κακοπαθεῖν, μηδὲ μεριμνᾶν· ὑπολαμβάνων βασιλείας εὐδαίμονος εἶναι τέλος τὸ πάσαις χρῆσθαι ταῖς ἡδοναῖς ἀνεπικαλύπτως. πρὸς δὲ τὴν ἀσφάλειαν τῆς ἀρχῆς καὶ τὸν κατὰ τῶν ἀρχομένων γινόμενον φόβον, κατ' ἐνιαυτὸν μετεπέμπετο στρατιωτῶν ἀριθμὸν ὡρισμένον, καὶ στρατηγὸν ἀπὸ ἔθνους ἑκάστου. καὶ τὸ μὲν

ἐκ

ἐκ πάντων ἀθροισθὲν στράτευμα ἐκτὸς τῆς πόλεως συνεῖχεν, ἑκάστου τῶν ἐθνῶν τὸν εὐνούστατον τῶν περὶ αὐτὸν ἀποδεικνύων ἡγεμόνα. τοῦ δ' ἐνιαυτοῦ διελθόντος μετεπέμπετο πάλιν ἀπὸ τῶν ἐθνῶν τοὺς ἴσους στρατιώτας, καὶ τοὺς προτέρους ἀπέλυεν εἰς τὰς πατρίδας. οὗ συντελουμένου, συνέβαινε τοὺς ὑπὸ τὴν βασιλείαν τεταγμένους πάντας καταπεπλῆχθαι, θεωροῦντας ἀεὶ δυνάμεις μεγάλας ἐν ὑπαίθρῳ στρατοπεδευομένας, καὶ τοῖς ἀφισταμένοις ἢ μὴ πειθαρχοῦσιν ἑτοίμην οὖσαν τιμωρίαν. τὰς δὲ κατ' ἐνιαυτὸν καταλλαγὰς τῶν στρατιωτῶν ἐπενόησεν, ἵνα πρὶν ἢ καλῶς γνωσθῆναι τοὺς στρατηγοὺς καὶ τοὺς ἄλλους ἅπαντας ὑπ' ἀλλήλων, εἰς τὴν ἰδίαν ἕκαστος χωρίζηται πατρίδα. ὁ γὰρ πολὺς χρόνος τῆς στρατείας ἐμπειρίαν τε τῶν κατὰ τὸν πόλεμον καὶ φρόνημα τοῖς ἡγεμόσι περιτίθησι, καὶ τὸ μὲν πλεῖστον, ἀφορμὰς παρέχεται πρὸς ἀπόστασιν καὶ συνωμοσίαν κατὰ τῶν ἡγουμένων· τὸ δὲ μηδ' ὑφ' ἑνὸς τῶν ἔξωθεν θεωρεῖσθαι, τῆς μὲν ἀληθοῦς περὶ αὐτὸν τρυφῆς ἄγνοιαν παρείχετο πᾶσι, καθάπερ δὲ θεὸν ἀόρατον διὰ τὸν φόβον ἕκαστος οὐδὲ λόγῳ βλασφημεῖν ἐτόλμα. στρατηγοὺς δὲ καὶ σατράπας καὶ διοικητάς, ἔτι δὲ δικαστὰς καθ' ἕκαστον ἔθνος ἀποδείξας, καὶ τἄλλα πάντα διατάξας ὡς ποτ' ἔδοξεν αὐτῷ συμφέρειν, τὸν τοῦ ζῆν χρόνον κατέμεινεν ἐν τῇ Νίνῳ. παραπλησίως δὲ τούτῳ καὶ οἱ λοιποὶ βασιλεῖς, παῖς παρὰ πατρὸς διαδεχόμενος τὴν ἀρχήν, ἐπὶ γενεὰς τριάκοντα ἐβασίλευσαν, μέχρι Σαρδαναπάλου. ἐπὶ τούτου γὰρ ἡ τῶν Ἀσσυρίων ἡγεμονία μετέπεσεν εἰς Μήδους, ἔτη διαμείνασα πλείω τῶν χιλίων καὶ τριακοσίων, ἔτι δ' ἑξήκοντα, καθάπερ φησὶ Κτησίας ὁ Κνίδιος ἐν τῇ δευτέρᾳ βίβλῳ.

Sardanapalus ultimus. Tunc Assyria Medis subjecta.

κβ'. Τὰ δ' ὀνόματα πάντων τῶν βασιλέων, καὶ τὸ πλῆθος τῶν ἐτῶν, ὧν ἕκαστος ἐβασίλευσεν, οὐ κατεπείγει γράφειν, διὰ τὸ μηδὲν ὑπ' αὐτῶν πεπρᾶχθαι μνήμης ἄξιον. μόνη γὰρ τετύχηκεν ἀναγραφῆς ἡ πεμφθεῖσα συμμαχία τοῖς Τρωσὶν ὑπ' Ἀσσυρίων, ἧς ἐστρατήγει Μέμνων ὁ Τιθωνοῦ. Τευτάμου γὰρ βασιλεύοντος τῆς Ἀσίας, ὃς ἦν εἰκοστὸς ἀπὸ Νινύου τοῦ Σεμιράμιδος, φασὶ τοὺς μετ' Ἀγαμέμνονος Ἕλληνας ἐπὶ Τροίαν στρατεῦσαι, τὴν ἡγεμονίαν ἐχόντων τῆς Ἀσίας τῶν Ἀσσυρίων ἔτη πλείω τῶν χιλίων. καὶ τὸν μὲν Πρίαμον βαρυνόμενον τῷ πολέμῳ

Ex tot obscuris regibus Teutamus memorabilis, qui copias ad bellum Trojanum misit.

καὶ

καὶ βασιλεύοντα τῆς Τρωάδος, ὑπήκοον δ' ὄντα τῷ βασιλεῖ τῶν Ἀσσυρίων, πέμψαι πρὸς αὐτὸν πρεσβευτὰς περὶ βοηθείας. τὸν δὲ Τεύταμον μυρίες μὲν Αἰθίοπας, ἄλλες δὲ τοσέτες Σεσιανὲς σὺν ἅρμασι διακοσίοις ἐξαποςεῖλαι, στρατηγὸν κατασήσαντα Μέμνονα τὸν Τιθωνῦ. καὶ τὸν μὲν Τιθωνὸν κατ' ἐκείνες τοὺς χρόνες ὄντα στρατηγὸν τῆς Περσίδος εὐδοκιμεῖν παρὰ τῷ βασιλεῖ μάλιςα τῶν καθεςαμένων ἐπάρχων, τὸν δὲ Μέμνονα τὴν ἡλικίαν ἀκμάζοντα διαφέρειν ἀνδρείᾳ τε καὶ ψυχῆς λαμπρότητι. οἰκοδομῆσαι δ' αὐτὸν ἐπὶ τῆς ἄκρας τὰ ἐν Σέσοις βασίλεια, τὰ διαμείναντα μέχρι τῆς Περσῶν ἡγεμονίας, κληθέντα δ' ἀπ' ἐκείνε Μεμνόνεια. κατασκευάσαι δὲ καὶ διὰ τῆς χώρας λεωφόρον ὁδὸν, τὴν μέχρι τε νῦν ὀνομαζομένην Μεμνόνειον. ἀμφισβητῦσι δὲ καὶ οἱ περὶ τὴν Αἴγυπτον Αἰθίοπες, λέγοντες ἐν ἐκείνοις τοῖς τόποις γεγονέναι τὸν ἄνδρα τῦτον, καὶ βασίλεια παλαιὰ δεικνύεσιν, ἃ μέχρι τῦ νῦν ὀνομάζεσθαι φασὶ Μεμνόνεια. ἐ μὴν ἀλλὰ τοῖς Τρωσὶ λέγεται βοηθήσαντα τὸν Μέμνονα μετὰ δισμυρίων μὲν πεζῶν, ἁρμάτων δὲ διακοσίων, ὀνομασθῆναί τε δι' ἀνδρείαν, καὶ πολλὲς ἐν ταῖς μάχαις ἀνελεῖν τῶν Ἑλλήνων, τὸ δὲ τελευταῖον ὑπὸ Θετταλῶν ἐνεδρευθέντα κατασφαγῆναι. τε δὲ σώματος τὲς Αἰθίοπας ἐγκρατεῖς γενομένες, κατακαῦσαι τὸν νεκρὸν καὶ τὰ ὀςᾶ πρὸς Τιθωνὸν ἀποκομίσαι. περὶ μὲν ἐν τε Μέμνονος τοιαῦτ' ἐν ταῖς βασιλικαῖς ἀναγραφαῖς ἱςορεῖσθαί φασιν οἱ βάρβαροι.

Harum dux Memnon, a quo Memnonia, i. e. ædes regiæ, Susis exstructæ.

Σαρδανάπαλος δὲ, τριακοςὸς μὲν ὢν ἀπὸ Νίνε τε συςησαμένε τὴν ἡγεμονίαν, ἔσχατος δὲ γενόμενος Ἀσσυρίων βασιλεὺς, ὑπερῆρεν ἅπαντας τὲς πρὸ αὐτε τρυφῇ καὶ ῥαθυμίᾳ. χωρὶς γὰρ τε μηδ' ὑφ' ἑνὸς τῶν ἔξωθεν ὁρᾶσθαι, βίον ἔζησε γυναικώδη. καὶ διαιτώμενος μὲν μετὰ τῶν παλλακίδων, πορφύραν δὲ καὶ τὰ μαλακώτατα τῶν ἐρίων ταλασιεργῶν, στολὴν μὲν γυναικείαν ἐνεδεδύκει, τὸ δὲ πρόσωπον καὶ πᾶν τὸ σῶμα ψιμυθίοις καὶ τοῖς ἄλλοις τοῖς τῶν ἑταιρῶν ἐπιτηδεύμασιν ἁπαλώτερον πάσης γυναικὸς τρυφερᾶς κατεσκεύαςο. ἐπετήδευσε δὲ καὶ τὴν φωνὴν ἔχειν γυναικώδη, καὶ κατὰ τὲς πότες ἐ μόνον βρωτῶν καὶ ποτῶν τῶν δυναμένων μάλιςα τὰς ἡδονὰς παρέχεσθαι, συνεχῶς ἀπολαύειν, ἀλλὰ καὶ τὰς ἀφροδισιακὰς τέρψεις μετα-

Sardanapali vita luxuriosa.

μεταδιώκειν ἀνδρὸς ἅμα καὶ γυναικός. ἐχρῆτο γὰρ ταῖς ἐπ' ἀμφότερα συνουσίαις ἀναίδην, τῆς ἐκ τῆς πράξεως αἰσχύνης οὐδὲν ὅλως φροντίζων. ἐπὶ τοσοῦτο δὲ προήχθη τρυφῆς καὶ τῆς αἰσχίστης ἡδονῆς καὶ ἀκρασίας, ὥστε ἐπικήδειον εἰς αὑτὸν ποιῆσαι, καὶ παραγγεῖλαι τοῖς διαδόχοις τῆς ἀρχῆς μετὰ τὴν ἑαυτοῦ τελευτὴν ἐπὶ τὸν τάφον ἐπιγράψαι τὸ συγγραφὲν μὲν ὑπ' ἐκείνου βαρβαρικῶς, μεθερμηνευθὲν δὲ ὕστερον ὑπό τινος Ἕλληνος,

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε,
Τερπόμενος θαλίῃσι, θανόντι σοι ἔτις ὄνησις,
Καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας,
Ταῦτ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
Τέρπν' ἔπαθον. τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.

Τοιοῦτος δ' ὢν τὸν τρόπον, οὐ μόνον αὐτὸς αἰσχρῶς κατέστρεψε τὸν βίον, ἀλλὰ καὶ τὴν Ἀσσυρίων ἡγεμονίαν ἄρδην ἀνέτρεψε, πολυχρονιωτάτην γενομένην τῶν μνημονευομένων.

κδ'. Ἀρβάκης γάρ τις, Μῆδος μὲν τὸ γένος, ἀνδρείᾳ δὲ καὶ ψυχῆς λαμπρότητι διαφέρων, ἐστρατήγει Μήδων, τῶν κατ' ἐνιαυτὸν ἐκπεμπομένων εἰς τὴν Νίνον. κατὰ δὲ τὴν στρατείαν γενόμενος συνήθης τῷ στρατηγῷ τῶν Βαβυλωνίων, ὑπ' ἐκείνου παρεκλήθη καταλῦσαι τὴν τῶν Ἀσσυρίων ἡγεμονίαν. ἦν δ' οὗτος ὄνομα μὲν Βέλεσυς, τῶν δ' ἱερέων ἐπισημότατος, οὓς Βαβυλώνιοι καλοῦσι Χαλδαίους. ἐμπειρίαν οὖν ἔχων μεγίστην ἀστρολογίας τε καὶ μαντικῆς, προέλεγε τοῖς πολλοῖς τὸ ἀποβησόμενον ἀδιαπτώτως. διὸ καὶ θαυμαζόμενος ἐπὶ τούτοις, τῷ στρατηγῷ τῶν Μήδων, ὄντι φίλῳ, προεῖπεν, ὅτι πάντως αὐτὸν δεῖ βασιλεῦσαι πάσης τῆς χώρας, ἧς ἄρχει Σαρδανάπαλος. ὁ δ' Ἀρβάκης ἐπαινέσας τὸν ἄνδρα, τούτῳ μὲν ἐπηγγείλατο δώσειν σατραπείαν τῆς Βαβυλωνίας, τῆς πράξεως ἐπὶ τέλος ἐλθούσης, αὐτὸς δὲ καθαπερεί τινος θεοῦ φωνῇ μετεωρισθείς, τοῖς τε ἡγεμόσι τῶν ἄλλων ἐθνῶν συνίστατο, καὶ πρὸς τὰς ἑστιάσεις καὶ κοινὰς ὁμιλίας ἐκτενῶς ἅπαντας παρελάμβανε, φιλίαν ἐγκατασκευάζων πρὸς ἕκαστον· ἐφιλοτιμήθη δὲ καὶ τὸν βασιλέα κατ' ὄψιν ἰδεῖν, καὶ τὸν ὅλον τούτου βίον κατασκέψασθαι. διόπερ δοὺς τινὶ τῶν εὐνούχων χρυσῆν φιάλην, εἰσήχθη πρὸς τὸν Σαρδανάπαλον, καὶ τήν τε τρυ-

Arbaces & Belesys defectionis consilia ineunt.

τρυφὴν αὐτοῦ καὶ τὸν γυναικώδη τῶν ἐπιτηδευμάτων ζῆλον ἀκριβῶς κατανοήσας, κατεφρόνησε μὲν τοῦ βασιλέως ὡς οὐδενὸς ἀξίου, προήχθη δὲ πολὺ μᾶλλον ἀντέχεσθαι τῶν δοθεισῶν ἐλπίδων ὑπὸ τοῦ Χαλδαίου. τέλος δὲ συνωμοσίαν ἐποιήσατο πρὸς τὸν Βέλεσυν, ὥστε αὐτὸν μὲν Μήδους ἀποστῆσαι καὶ Πέρσας, ἐκεῖνον δὲ πεῖσαι Βαβυλωνίους κοινωνῆσαι τῆς πράξεως καὶ τὸν τῶν Ἀράβων ἡγεμόνα φίλον ὄντα προσλαβέσθαι πρὸς τὴν τῶν ὅλων ἐπίθεσιν. ὡς δὲ ὁ ἐνιαύσιος τῆς στρατείας διεληλύθει χρόνος, διαδοχῆς δ' ἑτέρας ἐλθούσης, ἀπελύθησαν οἱ πρότεροι κατὰ τὸ ἔθος εἰς τὰς πατρίδας. ἐνταῦθα ὁ Ἀρβάκης ἔπεισε τοὺς μὲν Μήδους ἐπιθέσθαι τῇ βασιλείᾳ, Πέρσας δ' ἐπ' ἐλευθερίᾳ κοινωνῆσαι τῆς ἡγεμονίας. παραπλησίως δὲ καὶ ὁ Βέλεσυς τούς τε Βαβυλωνίους ἔπεισεν ἀντέχεσθαι τῆς ἐλευθερίας, καὶ πρεσβεύσας εἰς Ἀραβίαν, παρεστήσατο τὸν ἡγούμενον τῶν ἐγχωρίων, ὄντα φίλον αὐτοῦ καὶ ξένον, μετασχεῖν τῆς ἐπιθέσεως. τοῦ δ' ἐνιαυσιαίου χρόνου διελθόντος, πάντες οὗτοι, πλῆθος στρατιωτῶν συναγαγόντες, ἧκον πανδημεὶ πρὸς τὴν Νῖνον, τῷ μὲν λόγῳ διαδοχὴν ἄγοντες, ὡς ἦν σύνηθες, τῇ δ' ἀληθείᾳ καταλύσοντες τὴν τῶν Ἀσσυρίων ἡγεμονίαν. ἀθροισθέντων οὖν τῶν προειρημένων τεττάρων ἐθνῶν εἰς ἕνα τόπον, ὁ μὲν σύμπας αὐτῶν ἀριθμὸς ὑπῆρχεν εἰς τετταράκοντα μυριάδας. εἰς μίαν δὲ παρεμβολὴν συναχθέντες, ἐβουλεύοντο κοινῇ περὶ τοῦ συμφέροντος.

Insurgentium contra Sardanapalum coactæ copiæ & socii advocati.

κέ. Σαρδανάπαλος δὲ γνοὺς τὴν ἀπόστασιν, εὐθὺς ἐξήγαγεν ἐπ' αὐτοὺς τὰς ἀπὸ τῶν ἄλλων ἐθνῶν δυνάμεις. καὶ τὸ μὲν πρῶτον γενομένης ἐν τῷ πεδίῳ παρατάξεως, ἐλείφθησαν οἱ τὴν ἀπόστασιν ποιησάμενοι, καὶ πολλοὺς ἀποβαλόντες, συνεδιώχθησαν εἰς ὄρος, ἀπέχον τῆς Νίνου σταδίους ἑβδομήκοντα. μετὰ δὲ ταῦτα πάλιν καταβάντων αὐτῶν εἰς τὸ πεδίον, καὶ πρὸς μάχην παρασκευαζομένων, ὁ μὲν Σαρδανάπαλος ἀντιτάξας τὴν ἰδίαν στρατιὰν προαπέστειλε πρὸς τὸ τῶν πολεμίων στρατόπεδον τοὺς κηρύξοντας, διότι Σαρδανάπαλος τοῖς μὲν ἀνελοῦσιν Ἀρβάκην τὸν Μῆδον δώσει χρυσίου διακόσια τάλαντα, τοῖς δὲ ζῶντα παραδοῦσι, χρήματα μὲν δωρήσεται δὶς τοσαῦτα, τῆς δὲ Μηδίας ἔπαρχον καταστήσει. παραπλησίως δὲ ἐπηγγείλατο δώσειν δωρεὰς τοῖς Βέλεσυν τὸν Βαβυλώνιον ἀνελοῦσιν, ἢ ζωγρή-

Duplici prœlio victor Sardanapalus.

ζωγρήσασιν. ὐδενὸς δὲ προσέχοντος τοῖς κηρύγμασι, συνῆψε μάχην, καὶ πολλὺς μὲν ἐφόνευσε τῶν ἀποςάντων, τὸ δ' ἄλλο πλῆθος συνεδίωξεν εἰς τὴν ἐν τοῖς ὄρεσι παρεμβολήν. οἱ δὲ περὶ τὸν Ἀρβάκην διὰ τὴν ἧτταν ἀθυμῦντες, συνήγαγον τῶν φίλων συνέδριον, καὶ προέθηκαν βυλὴν τί δέοι πράττειν. οἱ πλεῖςοι μὲν ὖν ἔφασαν δεῖν εἰς τὰς πατρίδας ἀπιέναι, καὶ τόπυς ὀχυρὺς καταλαμβάνεσθαι, καὶ τῶν ἄλλων τῶν εἰς τὸν πόλεμον χρησίμων τὴν ἐνδεχομένην παρασκευὴν ποιεῖσθαι. Βέλεσυς δ' ὁ Βαβυλώνιος, φήσας τὺς θεὺς αὐτοῖς σημαίνειν, μετὰ πόνων καὶ κακοπαθείας ἐπὶ τέλος ἄξειν τὴν προαίρεσιν, καὶ τἄλλα παρακαλέσας ἐνδεχομένως, ἔπεισεν ἅπαντας ὑπομένειν τὺς κινδύνυς. γενομένης ὖν παρατάξεως πάλιν ὁ βασιλεὺς ἐνίκησε, καὶ τῆς παρεμβολῆς τῶν ἀποςατῶν ἐκυρίευσε, καὶ τὺς ἡττηθέντας ἐδίωξε μέχρι τῶν ὅρων τῆς Βαβυλωνίας. συνέβη δὲ καὶ τὸν Ἀρβάκην αὐτὸν, λαμπρότατα κινδυνεύσαντα καὶ πολλὺς ἀνελόντα τῶν Ἀσσυρίων, γενέσθαι τραυματίαν. τηλικύτων δ' ἐλαττωμάτων κατὰ τὸ συνεχὲς γενομένων τοῖς ἀφεςηκόσιν, οἱ τὰς ἡγεμονίας ἔχοντες, ἀπελπίσαντες περὶ τῆς νίκης, παρεσκευάζοντο διαχωρίζεσθαι πρὸς τὺς οἰκείυς ἕκαςοι τόπυς. ὁ δὲ Βέλεσυς ἐν ὑπαίθρῳ τὴν νύκτα διηγρυπνηκὼς, καὶ περὶ τὴν τῶν ἄςρων παρατήρησιν φιλοτιμηθεὶς, ἔφησε τοῖς ἀπηλπικόσι τὰ πράγματα, ἂν πένθ' ἡμέρας ἀναμείνωσιν, αὐτομάτην ἥξειν βοήθειαν, καὶ μεταβολὴν ἔσεσθαι τῶν ὅλων παμμεγέθη εἰς τὐναντίον. ταῦτα γὰρ ὁρᾷν διὰ τῆς τῶν ἄςρων ἐμπειρίας προσημαίνοντας αὐτοῖς τὺς θεύς· καὶ παρεκάλει, ταύτας τὰς ἡμέρας μείνοντας, πεῖραν λαβεῖν τῆς ἰδίας τέχνης καὶ τῆς τῶν θεῶν εὐεργεσίας. Tertium adeo victor,

κστ΄. Μετακληθέντων ὖν πάλιν ἁπάντων, καὶ τὸν ὡρισμένον χρόνον ἀναμεινάντων, ἧκέ τις ἀπαγγέλλων, διότι δύναμις ἐκ τῆς Βακτριανῆς ἀπεςαλμένη τῷ βασιλεῖ πλησίον ἐςὶ πορευομένη κατὰ σπυδήν. ἔδοξεν ὖν τοῖς περὶ τὸν Ἀρβάκην ἀπαντῆσαι τοῖς στρατηγοῖς τὴν ταχίςην, ἀναλαβόντας τῶν στρατιωτῶν τὺς κρατίςυς, καὶ μάλιςα εὐζώνυς, ὅπως, ἂν μὴ διὰ τῶν λόγων τὺς Βακτριανὺς δύνωνται πεῖσαι συναποςῆναι, τοῖς ὅπλοις βιάσωνται μετασχεῖν τῶν αὐτῶν ἐλπίδων. τέλος δὲ πρὸς τὴν ἐλευθερίαν

& interea in propinquo novæ copiæ e Bactriana missæ.

Sed hæ interceptæ & ad defectionem illectæ.

Sardanapalus, triplici victoria elatus, & novæ defectionis ignarus, ad pristinam ignaviam se convertit.

Regii noctu oppressi funduntur,

ρίαν ἀσμένως ὑπακουσάντων τὸ μὲν πρῶτον τῶν ἡγεμόνων, ἔπειτα καὶ τῆς ὅλης δυνάμεως, πάντες ἐν ταυτῷ κατεστρατοπέδευσαν. ὅτε δὴ συνέβη τὸν βασιλέα τῶν Ἀσσυρίων, τὴν μὲν ἀπόστασιν τῶν Βακτριανῶν ἀγνοοῦντα, ταῖς δὲ προγεγενημέναις εὐημερίαις μετεωρισθέντα, τραπῆναι πρὸς ἄνεσιν, καὶ τοῖς στρατιώταις διαδοῦναι πρὸς εὐωχίαν ἱερεῖα, καὶ πλῆθος οἴνου τε καὶ τῶν ἄλλων ἐπιτηδείων. διόπερ τῆς δυνάμεως ἁπάσης ἑστιωμένης οἱ περὶ τὸν Ἀρβάκην παρά τινων αὐτομόλων πυθόμενοι τὴν ἐν τῇ παρεμβολῇ τῶν πολεμίων ῥαθυμίαν καὶ μέθην, νυκτὸς ἀπροσδοκήτως τὴν ἐπίθεσιν ἐποιήσαντο. προσπεσόντες δὲ συντεταγμένοι μὲν ἀσυντάκτοις, ἕτοιμοι δὲ ἀπαρασκεύοις, τῆς τε παρεμβολῆς ἐκράτησαν, καὶ τῶν στρατιωτῶν πολλοὺς ἀνελόντες, τοὺς ἄλλους μέχρι τῆς πόλεως κατεδίωξαν. μετὰ δὲ ταῦτα ὁ μὲν βασιλεὺς Σαλαιμένην τὸν ἀδελφὸν τῆς γυναικὸς ἀποδείξας στρατηγὸν, αὐτὸς τῶν κατὰ τὴν πόλιν ἐπιμέλειαν ἐποιεῖτο· οἱ δ' ἀποστάται κατὰ τὸ πεδίον τὸ πρὸ τῆς πόλεως παραταξάμενοι, δυσὶ μάχαις ἐνίκησαν τοὺς Ἀσσυρίους, καὶ τόν τε Σαλαιμένην ἀνεῖλον, καὶ τῶν ἀντιταξαμένων τοὺς μὲν ἐν τῇ φυγῇ κατέσφαξαν, τοὺς δ' ἀποκλεισθέντας τῆς εἰς τὴν πόλιν ἐπανόδου, καὶ συναναγκασθέντας ἑαυτοὺς ῥίπτειν εἰς τὸν Εὐφράτην ποταμὸν, πλὴν ὀλίγων πάντας ἀνεῖλον. τοσοῦτο δὲ πλῆθος ἦν τῶν φονευθέντων, ὥστε τὸ φερόμενον ῥεῦμα κερασθὲν αἵματι τὴν χρόαν ἐφ' ἱκανὸν τόπον μεταβαλεῖν. ἔπειτα τοῦ βασιλέως συγκλεισθέντος εἰς πολιορκίαν, πολλὰ τῶν ἐθνῶν ἀφίστατο, ἑκάστου πρὸς τὴν ἐλευθερίαν αὐτομολοῦντος. ὁ δὲ Σαρδανάπαλος ὁρῶν τὴν ὅλην βασιλείαν ἐν τοῖς μεγίστοις οὖσαν κινδύνοις, τοὺς μὲν υἱοὺς, τρεῖς ὄντας, καὶ θυγατέρας δύο, μετὰ πολλῶν χρημάτων εἰς Παφλαγονίαν ἀπέστειλε πρὸς Κότταν τὸν ἔπαρχον, ὄντα τῶν ἀρχομένων εὐνούστατον. αὐτὸς δὲ βιβλιαφόρους ἀποστείλας πρὸς ἅπαντας τοὺς ὑπ' αὐτὸν τεταγμένους, μετεπέμπετο δυνάμεις, καὶ τὰ πρὸς τὴν πολιορκίαν παρεσκευάζετο. ἦν δ' αὐτῷ λόγιον παραδεδομένον ἐκ προγόνων, ὅτι τὴν Νῖνον οὐδεὶς ἕλῃ κατὰ κράτος, ἐὰν μὴ πρότερον ὁ ποταμὸς τῇ πόλει γένηται πολέμιος. ὑπολαμβάνων δὲ τοῦτο μηδέποτε ἔσεσθαι, ταῖς ἐλπίσιν

ἀντεῖ-

ἀντεῖχε, διανοούμενος ὑπομένειν τὴν πολιορκίαν, καὶ τὰ παρὰ τῶν ὑποτεταγμένων ἀποσταλησόμενα στρατόπεδα προσεδέχετο.

κζ. Οἱ δ' ἀποστάται τοῖς προτερήμασιν ἐπαρθέντες, προσέκειντο μὲν τῇ πολιορκίᾳ, διὰ δὲ τὴν ὀχυρότητα τῶν τειχῶν οὐδὲν ἠδύναντο βλάψαι τοὺς ἐν τῇ πόλει. πετροβόλοι γὰρ ἢ χελῶναι χωστρίδες, ἢ κριοὶ πρὸς ἀνατροπὴν μεμηχανημένοι τειχῶν, οὔπω κατ' ἐκείνους τοὺς καιροὺς ἐξεύρηντο. τῶν δ' ἐπιτηδείων ἁπάντων οἱ κατὰ τὴν πόλιν πολλὴν εἶχον δαψίλειαν, προνενοημένου τοῦ βασιλέως τούτου τοῦ μέρους. διὸ καὶ χρονιζούσης τῆς πολιορκίας, ἐπ' ἔτη μὲν δύο προσέκειντο προσβολὰς ποιούμενοι τοῖς τείχεσι, καὶ τῆς ἐπὶ τὴν χώραν ἐξόδου τοὺς ἐκ τῆς πόλεως εἴργοντες. τῷ τρίτῳ δ' ἔτει, συνεχῶς ὄμβρων ῥαγδαίων καταρραγέντων, συνέβη τὸν Εὐφράτην μέγαν γενόμενον κατακλύσαι τε μέρος τῆς πόλεως, καὶ καταβαλεῖν τὸ τεῖχος ἐπὶ σταδίους εἴκοσιν. ἐνταῦθα ὁ βασιλεὺς νομίσας τετελέσθαι τὸν χρησμὸν, καὶ τῇ πόλει τὸν ποταμὸν γεγονέναι φανερῶς πολέμιον, ἀπέγνω τὴν σωτηρίαν. ἵνα δὲ μὴ τοῖς πολεμίοις γένηται ὑποχείριος, πυρὰν ἐν τοῖς βασιλείοις κατεσκεύασεν ὑπερμεγέθη, καὶ τόν τε χρυσὸν καὶ τὸν ἄργυρον ἅπαντα, πρὸς δὲ τούτοις τὴν βασιλικὴν ἐσθῆτα πᾶσαν ἐπὶ ταύτην ἐσώρευσε. τὰς δὲ παλλακίδας καὶ τοὺς εὐνούχους συγκλείσας εἰς τὸν ἐν μέσῃ τῇ πυρᾷ κατεσκευασμένον οἶκον, ἅμα τούτοις ἅπασιν ἑαυτόν τε καὶ τὰ βασίλεια κατέκαυσεν. οἱ δ' ἀποστάται, πυθόμενοι τὴν ἀπώλειαν Σαρδαναπάλου, τῆς μὲν πόλεως ἐκράτησαν, εἰσπεσόντες κατὰ τὸ πεπτωκὸς μέρος τοῦ τείχους· τὸν δ' Ἀρβάκην ἐνδύσαντες τὴν βασιλικὴν στολὴν, προσηγόρευσαν βασιλέα, καὶ τὴν τῶν ὅλων ἐξουσίαν αὐτῷ ἐπέτρεψαν.

rex in tertium annum obsidione clausus tenetur.

Euphrates, facta exundatione, muri partem diruit.

Tum rex, abjecta spe, incendio omnia delet, & semetipsum perimit.

Arbaces, confestim rex appellatus,

κή. Ἔνθα δὴ τοῦ βασιλέως τοῖς συναγωνισαμένοις δωρεάς τε διδόντος κατὰ τὴν ἀξίαν, καὶ σατράπας ἐθνῶν καθιστάντος, προσελθὼν αὐτῷ Βέλεσυς ὁ Βαβυλώνιος, ὁ προειπὼν ὅτι βασιλεὺς ἔσται τῆς Ἀσίας, τῆς τε εὐεργεσίας ὑπέμνησε, καὶ τὴν Βαβυλωνίαν ἀρχὴν ἠξίου δοῦναι, καθάπερ ἐξ ἀρχῆς ὑπέσχετο. ἀπεφαίνετο δὲ καὶ κατὰ τοὺς κινδύνους ἑαυτὸν εὐχὴν πεποιῆσθαι τῷ Βήλῳ, Σαρδαναπάλου κρατηθέντος, καὶ τῶν ἄλλων βασιλείων ἐμπυρισθέντων, ἀπο-

pietatis specimina in amicos exhibet & indulgentiæ præcipuæ in Belesyn, qui magnam vim auri, sub cinere absconditam, fraude abstulerat.

ἀποκομιεῖν τὴν σποδὸν ἐκ τούτων εἰς Βαβυλῶνα, καὶ πλησίον τοῦ τεμένους τοῦ θεοῦ καταθέμενον χῶμα κατασκευάσειν, τὸ παρεξόμενον τοῖς κατὰ τὸν Εὐφράτην πλέουσιν ἀθάνατον ὑπόμνημα τοῦ καταλύσαντος τὴν Ἀσσυρίων ἀρχήν. τοῦτο δ' ἠτεῖτο, πυθόμενος τινὸς εὐνούχου τὰ περὶ τὸν ἄργυρον καὶ χρυσὸν, ὃν διαδράντα καὶ πρὸς αὐτὸν αὐτομολήσαντα κατέκρυψεν. ὁ δ' Ἀρβάκης τούτων οὐδὲν εἰδὼς, διὰ τὸ πάντας τοὺς ἐν τοῖς βασιλείοις συγκατακαῆναι τῷ βασιλεῖ, τήν τε σποδὸν ἀποκομίσαι, καὶ τὴν Βαβυλῶνα ἔχειν ἀτελῆ συνεχώρησεν. εἶθ' ὁ μὲν Βέλεσυς πλοῖα παραστησάμενος, μετὰ τῆς σποδοῦ τὸ πλεῖστον τοῦ τε ἀργύρου καὶ τοῦ χρυσοῦ συντόμως ἀπέστειλεν εἰς τὴν Βαβυλῶνα· ὁ δὲ βασιλεὺς, μηνυθείσης αὐτῷ τῆς πράξεως αὐτοφώρου, δικαστὰς ἀπέδειξε τοὺς συναγωνιζομένους στρατηγούς. τοῦ πράξαντος δ' ὁμολογοῦντος ἀδικεῖν, τὸ μὲν δικαστήριον αὐτοῦ κατέγνω θάνατον· ὁ δὲ βασιλεὺς, μεγαλόψυχος ὢν, καὶ τὴν ἀρχὴν τῆς ἡγεμονίας βουλόμενος ἐπιεικῆ παρέχεσθαι, τῶν τε κινδύνων ἀπέλυσε τὸν Βέλεσυν, καὶ τὸν ἀποκεκομισμένον ἄργυρον καὶ χρυσὸν ἔχειν συνεχώρησεν· ὁμοίως δὲ καὶ τὴν δοθεῖσαν ἐξ ἀρχῆς ἐξουσίαν τῆς Βαβυλωνίας οὐκ ἀφείλετο, φήσας μείζονας εἶναι τὰς ἐξ αὐτοῦ προγεγενημένας εὐεργεσίας τῶν ὕστερον ἀδικημάτων. διαβοηθείσης δὲ τῆς ἐπιεικείας, οὐ τὴν τυχοῦσαν εὔνοιαν, ἀλλὰ καὶ δόξαν παρὰ τῶν ἐθνῶν ἀπηνέγκατο· πάντων κρινόντων, ἄξιον εἶναι τῆς βασιλείας τὸν οὕτω προσενεχθέντα τοῖς ἀδικήσασιν. ὁ δ' οὖν Ἀρβάκης τοῖς κατὰ τὴν πόλιν ἐπιεικῶς προσενεχθεὶς, αὐτοὺς μὲν κατὰ κώμας διῴκισε, τὰς ἰδίας κτήσεις ἑκάστοις ἀποδοὺς, τὴν δὲ πόλιν εἰς ἔδαφος κατέσκαψεν. ἔπειτα τόν τε ἄργυρον καὶ χρυσὸν τὸν ἐκ τῆς πυρᾶς ὑπολειφθέντα, πολλῶν ὄντα ταλάντων, ἀπεκόμισε τῆς Μηδίας εἰς Ἐκβάτανα. ἡ μὲν οὖν ἡγεμονία τῶν Ἀσσυρίων ἀπὸ Νίνου διαμείνασα μὲν τριάκοντα γενεὰς, ἔτη δὲ πλείω τῶν χιλίων καὶ τριακοσίων, ὑπὸ Μήδων κατελύθη τὸν προειρημένον τρόπον.

Regni sedes Ecbatana, Nino deleta.

Obiter de *Chaldaeis*, Babyloniorum sacerdotibus & eruditis.

κθ'. Ἡμῖν δ' οὐκ ἀνάρμοστον εἶναι δοκεῖ περὶ τῶν ἐν Βαβυλῶνι καλουμένων Χαλδαίων καὶ τῆς ἀρχαιότητος αὐτῶν βραχέα διελθεῖν, ἵνα μηδὲν παραλείπωμεν τῶν ἀξίων μνήμης. Χαλδαῖοι τοίνυν τῶν ἀρχαιοτάτων ὄντες Βαβυλω-

λωνίων, τῇ μὲν διαιρέσει τῆς πολιτείας παραπλησίαν ἔχουσι τάξιν τοῖς κατ' Αἴγυπτον ἱερεῦσι. πρὸς γὰρ τῇ θεραπείᾳ τῶν θεῶν τεταγμένοι, πάντα τὸν τοῦ ζῆν χρόνον φιλοσοφοῦσι, μεγίστην δόξαν ἔχοντες ἐν ἀστρολογίᾳ. ἀντέχονται δ' ἐπὶ πολὺ καὶ μαντικῆς, ποιούμενοι προῤῥήσεις περὶ τῶν μελλόντων, καὶ τῶν μὲν καθαρμοῖς, τῶν δὲ θυσίαις, τῶν δ' ἄλλαις τισὶν ἐπῳδαῖς ἀποτροπὰς κακῶν καὶ τελειώσεις ἀγαθῶν πειρῶνται πορίζειν. ἐμπειρίαν δ' ἔχουσι καὶ τῆς διὰ τῶν οἰωνῶν μαντικῆς· ἐνυπνίων τε καὶ τεράτων ἐξηγήσεις ἀποφαίνονται. οὐκ ἀσόφως δὲ ποιοῦνται καὶ τὰ περὶ τὴν ἱεροσκοπίαν, ἀκριβῶς ἐπιτυγχάνειν νομίζονται. τὴν δὲ τούτων μάθησιν ἁπάντων οὐχ ὁμοίαν ποιοῦνται τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσι τῶν Ἑλλήνων. παρὰ μὲν γὰρ τοῖς Χαλδαίοις ἐκ γένους ἡ τούτων φιλοσοφία παραδέδοται, καὶ παῖς παρὰ πατρὸς διαδέχεται, τῶν ἄλλων λειτουργιῶν πασῶν ἀπολελυμένος. διὸ καὶ γονεῖς ἔχοντες διδασκάλους, ἅμα μὲν ἀφθόνως ἅπαντα μανθάνουσιν, ἅμα δὲ τοῖς παραγγελλομένοις προσέχουσι, πιστεύοντες βεβαιότερον. ἔπειτ' εὐθὺς ἐκ παίδων συντρεφόμενοι τοῖς μαθήμασι, μεγάλην ἕξιν εἰς τὴν ἀστρολογίαν περιποιοῦνται, διὰ δὲ τὸ τῆς ἡλικίας εὐδίδακτον, καὶ διὰ τὸ πλῆθος τοῦ καρτερουμένου χρόνου. παρὰ δὲ τοῖς Ἕλλησιν ὁ πολὺς ἀπαράσκευος προσιὼν, ὀψέ ποτε τῆς φιλοσοφίας ἅπτεται, καὶ μέχρι τινὸς φιλοπονήσας ἀπῆλθε, περισπασθεὶς ὑπὸ βιωτικῆς χρείας. ὀλίγοι δὲ παντελῶς ἐπὶ φιλοσοφίαν ἀποδύντες, ἐργολαβίας ἕνεκεν παραμένουσιν ἐν τῷ μαθήματι, καινοτομοῦντες ἀεὶ περὶ τῶν μεγίστων δογμάτων, καὶ τοῖς πρὸ αὐτῶν οὐκ ἀκολουθοῦντες. τοιγαροῦν οἱ μὲν Βάρβαροι διαμένοντες ἐπὶ τῶν αὐτῶν ἀεὶ, βεβαίως ἕκαστα λαμβάνουσιν· οἱ δὲ Ἕλληνες τοῦ κατὰ τὴν ἐργολαβίαν κέρδους στοχαζόμενοι, καινὰς αἱρέσεις κτίζουσι, καὶ περὶ τῶν μεγίστων θεωρημάτων ἀλλήλοις ἀντιδοξοῦντες, διχονοεῖν ποιοῦσι τοὺς μανθάνοντας, καὶ τὰς ψυχὰς αὐτῶν πλανᾶσθαι, τὸν πάντα βίον ἐνωρέας γενομένας, καὶ μηδενὶ ὅλως δυναμένας πιστεῦσαι βεβαίως. τὰς γοῦν ἐπιφανεστάτας αἱρέσεις τῶν φιλοσόφων εἴτις ἀκριβῶς ἐξετάζοι, πλεῖστον ὅσον εὑρήσει διαφερούσας ἀλλήλων, καὶ περὶ τῶν μεγίστων δοξῶν ἐναντία δοξαζούσας.

Eorum officia & disciplinæ recensentur.

Comparantur cum Græcorum philosophis.

λ'. Οἱ

Doctrina de mundo, Deo, providentia.

λʹ. Οἱ δ' οὖν Χαλδαῖοι τὴν μὲν τοῦ κόσμου φύσιν ἀΐδιον φασὶν εἶναι, καὶ μήτε ἐξ ἀρχῆς γένεσιν ἐσχηκέναι, μήθ' ὕστερον φθορὰν ἐπιδέξεσθαι. τὴν δὲ τῶν ὅλων τάξιν τε καὶ διακόσμησιν θείᾳ τινὶ προνοίᾳ γεγονέναι, καὶ νῦν ἕκαστα τῶν ἐν οὐρανῷ γινομένων, οὐχ ὡς ἔτυχεν, οὐδ' αὐτομάτως, ἀλλ' ὡρισμένῃ τινὶ καὶ βεβαίως κεκυρωμένῃ θεῶν κρίσει συντελεῖσθαι. τῶν δ' ἀστέρων πολυχρονίους παρατηρήσεις πεποιημένοι, καὶ τὰς ἑκάστου κινήσεις τε καὶ δυνάμεις ἀκριβέστατα πάντων ἀνθρώπων ἐπεγνωκότες, πολλὰ τῶν μελλόντων συμβαίνειν προλέγουσι τοῖς ἀνθρώποις·

Planetarum & stellarum fixarum systema,

μεγίστην τε φασὶν εἶναι θεωρίαν καὶ κίνησιν περὶ τοὺς πέντε ἀστέρας, τοὺς πλανήτας καλουμένους, οὓς ἐκεῖνοι μὲν ἑρμηνεῖς ὀνομάζουσιν, ἰδίᾳ δὲ τὸν νῦν ὑπὸ τῶν Ἑλλήνων Κρόνον ὀνομαζόμενον. ἐπιφανέστατον δὲ καὶ πλεῖστα καὶ μέγιστα προσημαίνοντα καλοῦσιν ἥλιον· τοὺς δ' ἄλλους τέσσαρας ὁμοίως τοῖς παρ' ἡμῖν ἀστρολόγοις ὀνομάζουσιν, Ἄρεως, Ἀφροδίτης, Ἑρμοῦ, Διός. διὰ τοῦτο δ' αὐτοὺς ἑρμηνεῖς καλοῦσιν, ὅτι τῶν ἄλλων ἀστέρων ἀπλανῶν ὄντων καὶ τεταγμένην ἐχόντων πορείαν, οὗτοι μόνοι πορείαν ἰδίαν ποιούμενοι, τὰ μέλλοντα γίνεσθαι δεικνύουσιν, ἑρμηνεύοντες τοῖς ἀνθρώποις τὴν τῶν θεῶν εὔνοιαν. τὰ μὲν γὰρ διὰ τῆς ἀνατολῆς, τὰ δὲ διὰ τῆς δύσεως, τινὰ δὲ διὰ τῆς χρόας προσημαίνειν φασὶν αὐτοὺς τοῖς προσέχειν ἀκριβῶς βουληθεῖσι. ποτὲ μὲν γὰρ πνευμάτων μεγέθη δηλοῦν αὐτοὺς, ποτὲ δὲ ὄμβρων ἢ καυμάτων ὑπερβολάς. ἔστι δὲ ὅτε κομήτων ἀστέρων ἐπιτολὰς, ἔτι δὲ ἡλίου τε καὶ σελήνης ἐκλείψεις, καὶ σεισμοὺς, καὶ τὸ σύνολον πάσας τὰς ἐκ τοῦ περιέχοντος γεννωμένας περιστάσεις, ὠφελίμους τε καὶ βλαβερὰς οὐ μόνον ἔθνεσι καὶ τόποις, ἀλλὰ καὶ βασιλεῦσι καὶ τοῖς τυχοῦσιν ἰδιώταις. ὑπὸ δὲ τὴν τούτων φορὰν λέγουσι τετάχθαι τριάκοντα ἀστέρας, οὓς προσαγορεύουσι βουλαίους θεούς. τούτων δὲ τοὺς μὲν ἡμίσεις εἰς τοὺς ὑπὲρ γῆν τόπους ἐφορᾶν, τοὺς δὲ ἡμίσεις ὑπὸ τὴν γῆν, τὰ κατ' ἀνθρώπους ἐπισκοποῦντας, ἅμα καὶ τὰ κατὰ τὸν οὐρανὸν συμβαίνοντα. διὰ δ' ἡμερῶν δέκα πέμπεσθαι τῶν μὲν ἄνω πρὸς τοὺς κάτω καθάπερ ἄγγελον τῶν ἀστέρων, τῶν δ' ὑπὸ γῆν πρὸς τοὺς ἄνω πάλιν ὁμοίως ἕνα. καὶ ταύτην ἔχειν αὐτοὺς φορὰν ὡρισμένην, καὶ περιόδῳ κεκυρωμένην αἰωνίῳ. τῶν θεῶν δὲ

δὲ κυρίους εἶναί φασι δώδεκα τὸν ἀριθμὸν, ὧν ἑκάστῳ μῆνα καὶ τῶν δώδεκα λεγομένων ζωδίων ἓν προσνέμουσι. διὰ δὲ τούτων φασὶ ποιεῖσθαι τὴν πορείαν τόν τε ἥλιον καὶ τὴν σελήνην, καὶ πέντε τοὺς πλανήτας ἀστέρας, τοῦ μὲν ἡλίου τὸν ἴδιον κύκλον ἐνιαυτῷ τελοῦντος, τῆς δὲ σελήνης ἑνὶ μηνὶ τὴν ἰδίαν πορείαν διαπορευομένης.

λά. Τῶν δὲ πλανητῶν ἕκαστον ἴδιον ἔχειν δρόμον, καὶ διηλλαγμένως καὶ ποικίλως χρῆσθαι τοῖς τάχεσι καὶ τῇ τῶν χρόνων διαιρέσει. πλεῖστα δὲ πρὸς τὰς γενέσεις τῶν ἀνθρώπων συμβάλλεσθαι τούτους τοὺς ἀστέρας ἀγαθά τε καὶ κακά· διὰ δὲ τῆς τούτων φύσεώς τε καὶ θεωρίας μάλιστα γινώσκειν τὰ συμβαίνοντα τοῖς ἀνθρώποις. πεποιῆσθαι δὲ φασὶ προῤῥήσεις ἄλλοις τε βασιλεῦσιν οὐκ ὀλίγοις καὶ τῷ καταπολεμήσαντι Δαρεῖον Ἀλεξάνδρῳ, καὶ τοῖς μετ' αὐτὸν βασιλεύσασιν Ἀντιγόνῳ τε καὶ Σελεύκῳ τῷ Νικάτορι· ἐν ἅπασι δὲ τοῖς ῥηθεῖσιν εὐστοχηκέναι δοκοῦσιν. ὑπὲρ ὧν τὰ κατὰ μέρος ἐν οἰκειοτέροις ἀναγράψομεν καιροῖς. προλέγουσι δὲ καὶ τοῖς ἰδιώταις τὰ μέλλοντα συμβαίνειν, οὕτως εὐστόχως, ὥστε τοὺς πειραθέντας θαυμάζειν τὸ γινόμενον, καὶ μεῖζον ἢ κατ' ἄνθρωπον ἡγεῖσθαι. μετὰ δὲ τὸν ζωδιακὸν κύκλον εἴκοσι τέσσαρας ἀφορίζουσιν ἀστέρας, ὧν τοὺς μὲν ἡμίσεις ἐν τοῖς βορείοις μέρεσι, τοὺς δ' ἡμίσεις ἐν τοῖς νοτίοις τετάχθαι φασί· καὶ τούτων τοὺς μὲν ὁρωμένους, τῶν ζώντων εἶναι καταριθμοῦσι, τοὺς δ' ἀφανεῖς, τοῖς τετελευτηκόσιν ἠθροῖσθαι νομίζουσιν, οὓς δικαστὰς τῶν ὅλων προσαγορεύουσιν. ὑπὸ πάντα δὲ τὰ προειρημένα τὴν σελήνην λέγουσι φέρεσθαι, ἔγγιστα μὲν τῆς γῆς οὖσαν διὰ τὴν βραχύτητα, διαπορευομένην δ' ἐν ὀλίγῳ χρόνῳ τὸν ἑαυτῆς δρόμον, οὐ διὰ τὴν ὀξύτητα τῆς φορᾶς, ἀλλὰ διὰ τὴν βραχύτητα τοῦ κύκλου. ὅτι δὲ τὸ φῶς ἀλλότριον ἔχει, καὶ διότι τὰς ἐκλείψεις ποιεῖται διὰ τὸ σκίασμα τῆς γῆς, παραπλήσια λέγουσι τοῖς Ἕλλησι. περὶ δὲ τῆς κατὰ τὸν ἥλιον ἐκλείψεως ἀσθενεστάτας ἀποδείξεις φέροντες, οὐ τολμῶσι προλέγειν, οὐδ' ἀκριβῶς ὑπὲρ αὐτῆς παραγράφειν τοὺς χρόνους. περὶ δὲ τῆς γῆς ἰδιωτάτας ἀποφάσεις ποιοῦνται, λέγοντες ὑπάρχειν αὐτὴν σκαφοειδῆ καὶ κοίλην, καὶ πολλὰς καὶ πιθανὰς ἀποδείξεις εὐποροῦσι περί τε ταύτης καὶ περὶ τῶν ἄλλων τῶν κατὰ τὸν κόσμον. ὑπὲρ ὧν τὰ κατὰ μέ-

ρος

& ex iis sumtæ prædictiones.

XII stellas extra Zodiacum viventibus, XII stellas mortuis destinatas putant.

De luna,

terra.

ρος διεξιέναι, τῆς ὑποκειμένης ἱστορίας ἀλλότριον εἶναι νομίζομεν. τοῦτο μέντοιγε διαβεβαιώσαιτ᾽ ἄν τις προσηκόντως, ὅτι Χαλδαῖοι μεγίστην ἕξιν ἐν ἀστρολογίᾳ τῶν ἁπάντων ἀνθρώπων ἔχουσι, καὶ διότι πλείστην ἐπιμέλειαν ἐποιήσαντο ταύτης τῆς θεωρίας. περὶ δὲ τοῦ πλήθους τῶν ἐτῶν ἐν οἷς φασι τὴν θεωρίαν τῶν κατὰ τὸν κόσμον πεποιῆσθαι τὸ σύστημα τῶν Χαλδαίων, οὐκ ἄν τις ῥᾳδίως πιστεύσειεν.

Chronologia infinita.

ἐτῶν γὰρ ἑπτὰ καὶ τετταράκοντα μυριάδας, καὶ τρεῖς ἐπὶ ταύταις χιλιάδας εἰς τὴν Ἀλεξάνδρου διάβασιν γεγονέναι καταριθμοῦσιν, ἀφ᾽ ὅτου τὸ παλαιὸν ἤρξαντο τῶν ἄστρων τὰς παρατηρήσεις ποιεῖσθαι. καὶ περὶ μὲν Χαλδαίων ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσιν, ἵνα μὴ μακρότερον ἀποπλανώμεθα τῆς οἰκείας ἱστορίας. Περὶ δὲ τῆς Ἀσσυρίων βασιλείας, ὡς ὑπὸ Μήδων κατελύθη προειρηκότες, ἐπάνιμεν ὅθεν ἐξέβημεν.

---

2. De rebus recentioribus

a. *Medorum et Assyriorum.*

Medorum historia. *Diodor.* II. 32--34.

λβ'. Ἐπεὶ δὲ διαφωνοῦσιν οἱ μέγιστοι τῶν συγγραφέων περὶ τῆς μεγίστης τῶν Μήδων ἡγεμονίας, οἰκεῖον εἶναι διαλαμβάνομεν τοῖς φιλαλήθως τὰς πράξεις ἱστορεῖν βουλομένοις, τὴν διαφορὰν τῶν ἱστοριογράφων παράλληλα θεῖναι.

Auctores, Herodotus, & Ctesias, sub examen vocantur.

Ἡρόδοτος μὲν οὖν κατὰ Ξέρξην γεγονὼς τοῖς χρόνοις, φησὶν Ἀσσυρίους ἔτη πεντακόσια πρότερον τῆς Ἀσίας ἄρξαντας, ὑπὸ Μήδων καταλυθῆναι· ἔπειτα βασιλέα μὲν μηδένα γενέσθαι, τὸν ἀμφισβητήσαντα τῶν ὅλων ἐπὶ πολλὰς γενεάς, τὰς δὲ πόλεις καθ᾽ ἑαυτὰς ταττομένας διοικεῖσθαι δημοκρατικῶς· τὸ δὲ τελευταῖον, πολλῶν ἐτῶν διελθόντων, αἱρεθῆναι βασιλέα παρὰ τοῖς Μήδοις ἄνδρα δικαιοσύνῃ διάφορον, ὄνομα Κυαξάρην. τοῦτον δὲ πρῶτον ἐπιχειρῆσαι προσάγεσθαι τοὺς πλησιοχώρους τοῖς Μήδοις, καὶ ἀρχηγὸν γενέσθαι τῆς τῶν ὅλων ἡγεμονίας· ἔπειτα τοὺς ἐγγόνους, ἀεὶ προσκατακτωμένους πολλὴν τῆς ὁμόρου χώρας, αὐξῆσαι τὴν βασιλείαν, μέχρις Ἀστυάγους τοῦ καταπολεμηθέντος ὑπὸ Κύρου καὶ Περσῶν. περὶ ὧν νῦν ἡμεῖς τὰ κεφάλαια προειρηκότες, τὰ κατὰ μέρος ὕστερον ἀκριβῶς ἀναγράψομεν, ἐπειδὰν ἐπὶ τοὺς οἰκείους χρόνους ἐπιβάλλωμεν.

κατὰ

κατὰ γὰρ τὸ δεύτερον ἔτος τῆς ἑπτακαιδεκάτης Ὀλυμπιάδος ἡρέθη βασιλεὺς ὑπὸ Μήδων Κυαξάρης, καθ' Ἡρόδοτον. Κτησίας δὲ ὁ Κνίδιος τοῖς μὲν χρόνοις ὑπῆρξε κατὰ τὴν Κύρε στρατείαν ἐπὶ Ἀρταξέρξην τὸν ἀδελφὸν, γενόμενος δὲ αἰχμάλωτος, καὶ διὰ τὴν ἰατρικὴν ἐπιστήμην ἀναληφθεὶς ὑπὸ τε βασιλέως, ἑπτακαίδεκα ἔτη διετέλεσε τιμώμενος ὑπ' αὐτε. ἔτος ἐν φησιν ἐκ τῶν βασιλικῶν διφθερῶν, ἐν αἷς οἱ Πέρσαι τὰς παλαιὰς πράξεις κατά τινα νόμον εἶχον συντεταγμένας, πολυπραγμονῆσαι τὰ καθ' ἕκαστα καὶ συνταξάμενον τὴν ἱστορίαν εἰς τὲς Ἕλληνας ἐξενεγκεῖν. φησὶν ἐν, μετὰ τὴν κατάλυσιν τῆς Ἀσσυρίων ἡγεμονίας Μήδες προστῆναι τῆς Ἀσίας, Ἀρβάκε βασιλεύοντος, τε Σαρδανάπαλον καταπολεμήσαντος, καθότι προείρηται. τέτε δ' ἄρξαντος ἔτη δυσὶ λείποντα τῶν τριάκοντα, διαδέξασθαι τὴν βασιλείαν τὸν υἱὸν Μανδαύκην, ὃν ἄρξαι τῆς Ἀσίας ἔτη πεντήκοντα. μετὰ δὴ τέτον τριάκοντα μὲν ἔτη βασιλεῦσαι Σώσαρμον, πεντήκοντα δὲ Ἀρτύκαν, δύο δὲ πρὸς τοῖς εἴκοσι τὸν προσαγορευόμενον Ἀρβιάνην, τεσσαράκοντα δὲ Ἀρταῖον.

Regum successiones usque ad Artæum.

λγʹ. Ἐπὶ δὲ τέτε συστῆναι μέγαν πόλεμον τοῖς Μήδοις πρὸς Καδεσίες, διὰ τοιαύτας αἰτίας. Παρσώδην τὸν Πέρσην, θαυμαζόμενον ἐπ' ἀνδρείᾳ καὶ συνέσει καὶ ταῖς ἄλλαις ἀρεταῖς, φίλον τε ὑπάρξαι τῷ βασιλεῖ, καὶ μέγιστον ἰσχύσαι τῶν μετεχόντων τε βασιλικε συνεδρίε· τέτον δ' ὑπὸ τε βασιλέως ἔν τινι κρίσει λυπηθέντα, φυγεῖν μετὰ πεζῶν μὲν τρισχιλίων, ἱππέων δὲ χιλίων εἰς Καδεσίες· παρ' οἷς ἦν ἐκδεδομένος τὴν ἰδίαν ἀδελφὴν τῷ μάλιστα δυναστεύοντι κατὰ τέτες τὲς τόπες. γενόμενον δὲ ἀποστάτην, καὶ πείσαντα τὸ σύμπαν ἔθνος ἀντέχεσθαι τῆς ἐλευθερίας, αἱρεθῆναι στρατηγὸν διὰ τὴν ἀνδρείαν. ἔπειτα πυνθανόμενον ἀθροιζομένην ἐπ' αὐτὸν μεγάλην δύναμιν, καθοπλίσαι τὲς Καδεσίες πανδημεὶ, καὶ καταστρατοπεδεῦσαι πρὸς ταῖς εἰς τὴν χώραν εἰσβολαῖς, ἔχοντα τὲς σύμπαντας ἐκ ἐλάττες εἴκοσι μυριάδων. τε δὲ βασιλέως Ἀρταίε στρατεύσαντος ἐπ' αὐτὸν μυριάσιν ὀγδοήκοντα κρατῆσαι, καὶ πλείες μὲν τῶν πεντακισμυρίων ἀνελεῖν, τὴν δ' ἄλλην δύναμιν ἐκβαλεῖν ἐκ τῆς Καδεσίων χώρας. διὸ καὶ παρὰ τοῖς ἐγχωρίοις θαυμαζόμενον, αἱρεθῆναι βασιλέα,

Hujus bellum cum Cadusiis.

σιλέα, καὶ τὴν Μηδίαν συνεχῶς λεηλατεῖν, καὶ πάντα τόπον καταφθείρειν. μεγάλης δὲ δόξης τυχόντα, καὶ γήρᾳ μέλλοντα καταστρέφειν τὸν βίον, ἀρὰν θέσθαι παραιτησάμενον τὸν διαδεχόμενον τὴν ἀρχὴν, ὅπως μηδέποτε διαλύσωνται ἔχθραν Καδούσιοι πρὸς Μήδους· εἰ δὲ συνθοῖντο ὁμολογίας, ἐξώλεις γενέσθαι τούς τε ἀπὸ τοῦ γένους αὐτοῦ καὶ Καδουσίους ἅπαντας. διὰ δὲ ταύτας τὰς αἰτίας ἀεὶ πολεμικῶς ἐσχηκέναι Καδουσίους πρὸς Μήδους, καὶ μηδέποτε τοῖς τούτων βασιλεῦσιν ὑπηκόους γεγονέναι, μέχρις ὅτου Κῦρος εἰς Πέρσας περιέστησε τὴν ἡγεμονίαν.

Artynes. Astibaras. Parthi deficiunt ad Sacas. Inde bellum cum Sacis.

λδ'. Τῶν δὲ Μήδων βασιλεῦσαι μετὰ τὴν Ἀρταίου τελευτὴν Ἀρτύνην μὲν ἔτη δύο πρὸς τοῖς εἴκοσι, Ἀστιβάραν δὲ τεσσαράκοντα. ἐπὶ δὲ τούτου Πάρθους ἀποστάντας Μήδων, Σάκαις τήν τε χώραν καὶ τὴν πόλιν ἐγχειρίσαι. διόπερ συστάντος πολέμου τοῖς Σάκαις πρὸς Μήδους ἐπ' ἔτη πλείω, γενέσθαι τε μάχας οὐκ ὀλίγας, καὶ συχνῶν παρ' ἀμφοτέροις ἀναιρεθέντων, τὸ τελευταῖον εἰρήνην αὐτοὺς ἐπὶ τοῖσδε συνθέσθαι· Πάρθους μὲν ὑπὸ Μήδους τετάχθαι, τῶν δὲ προϋπαρχόντων ἑκατέρους κυριεύσαντας, φίλους εἶναι καὶ συμμάχους ἀλλήλοις εἰς τὸν ἅπαντα χρόνον.

Sacæ, mulierum ferocia clari; regina Zarina, sapientia & virtute nobilissima.

βασιλεῦσαι δὲ τότε τῶν Σακῶν γυναῖκα τὰ κατὰ πόλεμον ἐζηλωκυῖαν, καὶ τόλμῃ τε καὶ πράξει πολὺ διαφέρουσαν τῶν ἄλλων γυναικῶν τῶν ἐν Σάκαις, ὄνομα Ζαρίναν. καθόλου μὲν οὖν τὸ ἔθνος τοῦτο γυναῖκας ἀλκίμους ἔχει, καὶ κοινωνούσας τοῖς ἀνδράσι τῶν ἐν τοῖς πολέμοις κινδύνων· ταύτην δὲ λέγεται τῷ τε κάλλει γενέσθαι πασῶν εὐπρεπεστάτην, καὶ ταῖς ἐπιβολαῖς καὶ τοῖς κατὰ μέρος ἐγχειρήμασι θαυμαστήν. τῶν μὲν γὰρ πλησιοχώρων βαρβάρων τοὺς ἐπηρμένους τῷ θράσει καὶ καταδουλουμένους τὸ ἔθνος τῶν Σακῶν καταπολεμῆσαι, τῆς δὲ χώρας πολλὴν ἐξημερῶσαι, καὶ πόλεις οὐκ ὀλίγας κτίσαι, καὶ τὸ σύνολον εὐδαιμονέστερον τὸν βίον τῶν ὁμοεθνῶν ποιῆσαι.

Monumentum sepulcrale, ei publice consecratum.

διὸ καὶ τοὺς ἐγχωρίους μετὰ τὴν τελευτὴν αὐτῆς χάριν ἀποδιδόντας τῶν εὐεργεσιῶν, καὶ τῆς ἀρετῆς μνημονεύοντας, τάφον οἰκοδομῆσαι πολὺ τῶν ὄντων παρ' αὐτοῖς ὑπερέχοντα. ὑποστησαμένους γὰρ πυραμίδα τρίγωνον, τριῶν μὲν σταδίων ἑκάστην πλευρὰν αὐτῆς κατασκευάσαι τὸ μῆκος, τὸ δ' ὕψος σταδιαῖον, εἰς ὀξὺ συνηγμένης τῆς κορυφῆς. ἐπιστῆσαι δὲ τῷ τάφῳ καὶ χρυ-

χρυσῆν εἰκόνα κολοσσικὴν, καὶ τιμὰς ἡρωϊκὰς ἀπονεῖμαι, καὶ τἄλλα πάντα μεγαλοπρεπέςερα ποιεῖν τῶν τοῖς προγεγονόσιν αὐτῆς συγχωρηθέντων. Ἀςιβάρα δὲ τῦ βασιλέως τῶν Μήδων γήρα τελευτήσαντος ἐν Ἐκβατάνοις, τὴν ἀρχὴν Ἀσπάδαν τὸν υἱὸν διαδέξαθαι, τὸν ὑπὸ τῶν Ἑλλήνων Ἀςυάγην καλόμενον. τότο δ' ὑπὸ Κύρο τῦ Πέρσο καταπολεμηθέντος, μεταπεσεῖν τὴν βασιλείαν εἰς Πέρσας.

Aspadas (Astyages) ultimus Medorum rex, a Cyro victus; Media Persarum provincia.

Ἡ δὲ Ἡροδότο ἱςορίης ἀπόδεξις ἥδε. Ἀσσυρίων ἀρχόντων τῆς ἄνω Ἀσίης ἐπ' ἔτεα εἴκοσι καὶ πεντακόσια, πρῶτοι ἀπ' αὐτῶν Μῆδοι ἤρξαντο ἀπίςαθαι· καί κως ὗτοι περὶ τῆς ἐλευθερίης μαχεσάμενοι τοῖσι Ἀσσυρίοισι, ἐγένοντο ἄνδρες ἀγαθοί· καὶ ἀπωσάμενοι τὴν δολοσύνην, ἠλευθερώθησαν. μετὰ δὲ τότος, καὶ τὰ ἄλλα ἔθνεα ἐποίεε τὠυτὸ τοῖσι Μήδοισι. Ἐόντων δὲ αὐτονόμων πάντων ἀνὰ τὴν ἤπειρον, ὧδε αὖτις ἐς τυραννίδας περιῆλθον· ἀνὴρ ἐν τοῖσι Μήδοισι ἐγένετο σοφὸς, τῷ ὄυνομα ἦν Δηϊόκης, παῖς δ' ἦν Φραόρτεω. ὗτος ὁ Δηϊόκης, ἐραθεὶς τυραννίδος, ἐποίεε τοιάδε· κατοικημένων τῶν Μήδων κατὰ κώμας, ἐν τῇ ἑωϋτο ἐὼν καὶ πρότερον δόκιμος, καὶ μᾶλλόν τι καὶ προθυμότερον δικαιοσύνην ἐπιθέμενος ἤσκεε· καὶ ταῦτα μέντοι, ἐούσης ἀνομίης πολλῆς ἀνὰ πᾶσαν τὴν Μηδικὴν, ἐποίεε, ἐπιςάμενος ὅτι τῷ δικαίῳ τὸ ἄδικον πολεμιόν ἐςι. οἱ δ' ἐκ τῆς αὐτῆς κώμης Μῆδοι, ὁρῶντες αὐτο τὸς τρόπος, δικαςήν μιν ἑωϋτῶν αἱρέοντο. ὁ δὲ δὴ, οἷα μνεώμενος ἀρχὴν, ἰθύς τε καὶ δίκαιος ἦν. ποιέων δὲ ταῦτα, ἔπαινον εἶχε οὐκ ὀλίγον πρὸς τῶν πολιτέων, οὕτω ὥςε πυνθανόμενοι οἱ ἐν τῇσι ἄλλῃσι κώμῃσι ὡς Δηϊόκης εἴη ἀνὴρ μοῦνος κατὰ τὸ ὀρθὸν δικάζων, πρότερον περιπίπτοντες ἀδίκοισι γνώμῃσι, τότε ἐπεί τε ἤκουσαν, ἄσμενοι ἐφοίτεον παρὰ τὸν Δηϊόκεα καὶ αὐτοὶ δικασόμενοι· τέλος δὲ, οὐδενὶ ἄλλῳ ἐπετράποντο. Πλεῦνος δὲ ἀεὶ γινομένο τῦ ἐπιφοιτέοντος, οἷα πυνθανομένων τὰς δίκας ἀποβαίνειν κατὰ τὸ ἐὸν, γνὸς ὁ Δηϊόκης ἐς ἑωϋτὸν πᾶν ἀνακείμενον, οὔτε κατίζειν ἔτι ἤθελε ἐνθάπερ πρότερον προκατίζων ἐδίκαζε, οὔτ' ἔφη δικᾷν ἔτι. ὀ γὰρ οἱ λυσιτελέειν, τῶν ἑωϋτο ἐξημεληκότα, τοῖσι πέλας δι' ἡμέρης δικάζειν. ἐούσης ὦν ἁρπαγῆς καὶ ἀνομίης ἔτι πολλῷ μᾶλλον

Herodot. I. cap. 95 - c. 130.

cap. 96. Dejoces, imperium apud Medos affectans, justitiæ laudi studuit.

cap. 97. Medi consultant de statu rerum communium.

λον ἀνὰ τὰς κώμας ἢ πρότερον ἦν, συνελέχθησαν οἱ Μῆδοι ἐς τὠυτὸ, καὶ ἐδίδοσαν σφίσι λόγον, λέγοντες περὶ τῶν κατηκόντων. ὡς δ' ἐγὼ δοκέω, μάλιϛα ἔλεγον οἱ τοῦ Δηϊόκεω φίλοι, "Ου γὰρ δὴ τρόπῳ τῷ παρεόντι χρεώμενοι, δυνατοί εἰμεν οἰκέειν τὴν χώρην· φέρε, ϛήσωμεν ἡμέων αὐτῶν βασιλέα· καὶ οὕτω ἥ τε χώρη εὐνομήσεται, καὶ αὐτοὶ πρὸς ἔργα τρεψόμεθα, οὐδὲ ὑπ' ἀνομίης ἀνάϛατοι ἐσόμεθα." Ταῦτά κῃ λέγοντες, πείθουσι ἑωϋτοὺς βασιλεύεσθαι. Αὐτίκα δὲ προβαλλομένων ὅντινα ϛήσονται βασιλέα, ὁ Δηϊόκης ἦν πολλὸς ὑπὸ παντὸς ἀνδρὸς καὶ προβαλλόμενος καὶ αἰνεόμενος· ἐς ὃ τοῦτον καταινέουσι βασιλέα σφίσι εἶναι. ὁ δ' ἐκέλευε αὐτοὺς οἰκία τε ἑωϋτῷ ἄξια τῆς βασιληΐης οἰκοδομῆσαι, καὶ κρατῦναι αὐτὸν δορυφόροισι. ποιεῦσι δὴ ταῦτα οἱ Μῆδοι. οἰκοδομέουσί τε γὰρ αὐτῷ οἰκία μεγάλα τε καὶ ἰσχυρὰ, ἵνα αὐτὸς ἔφρασε τῆς χώρης· καὶ δορυφόρους αὐτῷ ἐπιτρέπουσι ἐκ πάντων Μήδων καταλέξασθαι· ὁ δὲ, ὡς ἔσχε τὴν ἀρχὴν, τοὺς Μήδους ἠνάγκασε ἓν πόλισμα ποιήσασθαι, καὶ τοῦτο περιϛέλλοντας, τῶν ἄλλων ἧσσον ἐπιμέλεσθαι· πειθομένων δὲ καὶ ταῦτα τῶν Μήδων, οἰκοδομέει τείχεα μεγάλα τε καὶ καρτερὰ, ταῦτα τὰ νῦν Ἀγβάτανα κέκληται, ἕτερον ἑτέρῳ κύκλῳ ἐνεϛεῶτα· μεμηχάνηται δὲ οὕτω τοῦτο τὸ τεῖχος, ὥϛε ὁ ἕτερος τοῦ ἑτέρου κύκλος τοῖσι προμαχεῶσι μουνοισί ἐϛι ὑψηλότερος. τὸ μέν κου τι καὶ τὸ χωρίον συμμαχέει, κολωνὸς ἐὸν, ὥϛε τοιοῦτο εἶναι· τὸ δὲ καὶ μᾶλλόν τι ἐπετηδεύθη, κύκλων ἐόντων τῶν συναπάντων ἑπτὰ, ἐν δὲ τῷ τελευταίῳ τὰ βασιλήϊα ἔνεϛι καὶ οἱ θησαυροί· τὸ δὲ αὐτῶν μέγιϛόν ἐϛι τεῖχος κατὰ τὸν Ἀθηνέων κύκλον μάλιϛά κῃ τὸ μέγαθος. τοῦ μὲν δὴ πρώτου κύκλου οἱ προμαχεῶνές εἰσι λευκοί· τοῦ δὲ δευτέρου, μέλανες· τρίτου δὲ κύκλου, φοινίκεοι· τετάρτου δὲ, κυάνεοι· πέμπτου δὲ, σανδαράκινοι· οὕτω πάντων τῶν κύκλων οἱ προμαχεῶνες ἠνθισμένοι εἰσὶ φαρμάκοισι. δύο δὲ οἱ τελευταῖοί εἰσι, ὁ μὲν καταργυρωμένους, ὁ δὲ κατακεχρυσωμένους ἔχων τοὺς προμαχεῶνας. Ταῦτα μὲν δὴ ὁ Δηϊόκης ἑωϋτῷ τε ἐτείχεε, καὶ περὶ τὰ ἑωϋτοῦ οἰκία. τὸν δὲ ἄλλον δῆμον πέριξ ἐκέλευε τὸ τεῖχος οἰκέειν. οἰκοδομηθέντων δὲ πάντων, κόσμον τόνδε Δηϊόκης πρῶτός ἐϛι ὁ καταϛησά-

μενος

cap. 98. Dejoces anno 700 rex creatus, condidit Ecbatana.

cap. 99. quibus institutis regnum firmarit.

μενος, μήτε ἐσιέναι παρὰ βασιλέα μηδένα, δι' ἀγγέλων δὲ πάντα χρέεσθαι, ὁρᾶσθαί τε βασιλέα ὑπὸ μηδενός. πρός τε τούτοις ἔτι γελᾶν τε καὶ πτύειν ἀντίον, καὶ ἅπασι τοῦτό γε εἶναι αἰσχρόν. ταῦτα δὲ περὶ ἑωϋτὸν ἐσέμνυνε τῶνδε εἵνεκεν, ὅκως ἂν μὴ ὁρέοντες οἱ ὁμήλικες ἐόντες σύντροφοί τε ἐκείνῳ καὶ οἰκίης οὐ φλαυροτέρης, οὐδὲ ἐς ἀνδραγαθίην λειπόμενοι, λυπεοίατο καὶ ἐπιβουλεύοιεν, ἀλλ' ἑτεροῖός σφι δοκέοι εἶναι μὴ ὁρέωσι. Ἐπεί τε δὲ ταῦτα διεκόσμησε, καὶ ἐκράτυνε ἑωϋτὸν τῇ τυραννίδι, ἦν τὸ δίκαιον φυλάσσων χαλεπός. καὶ τάς τε δίκας γράφοντες, ἔσω παρ' ἐκεῖνον ἐσεπέμπεσκον· καὶ ἐκεῖνος διακρίνων τὰς ἐσφερομένας, ἐκπέμπεσκε. ταῦτα μὲν κατὰ τὰς δίκας ἐποίεε. τὰ δὲ δὴ ἄλλα ἐκεκοσμέατό οἱ· εἴ τινα πυνθάνοιτο ὑβρίζοντα, τοῦτον ὅκως μεταπέμψαιτο κατ' ἀξίην ἑκάστου ἀδικήματος ἐδικαίευ· καὶ οἱ κατάσκοποί τε καὶ κατήκοοι ἦσαν ἀνὰ πᾶσαν τὴν χώρην τῆς ἦρχε. Δηϊόκης μέν νυν τὸ Μηδικὸν ἔθνος συνέστρεψε μοῦνον, καὶ τούτου ἦρξε· ἔστι δὲ Μήδων τοσάδε γένεα, Βουσαὶ, Παρητακηνοὶ, Στρούχατες, Ἀριζαντοὶ, Βούδιοι, Μάγοι. γένεα μὲν δὴ Μήδων ἐστὶ τοσάδε. Δηϊόκεω δὲ παῖς γίνεται Φραόρτης, ὃς, τελευτήσαντος Δηϊόκεω, βασιλεύσαντος τρία καὶ πεντήκοντα ἔτεα, παρεδέξατο τὴν ἀρχήν. παραδεξάμενος δὲ, οὐκ ἀπεχρῆτο μούνων ἄρχειν τῶν Μήδων, ἀλλὰ στρατευσάμενος ἐπὶ τοὺς Πέρσας, πρώτοισί τε τούτοισι ἐπεθήκατο, καὶ πρώτους Μήδων ὑπηκόους ἐποίησε. μετὰ δὲ, ἔχων δύο ταῦτα ἔθνεα, καὶ ἀμφότερα ἰσχυρὰ, κατεστρέφετο τὴν Ἀσίην, ἀπ' ἄλλου ἐπ' ἄλλο ἰὼν ἔθνος· ἐς ὃ στρατευσάμενος ἐπὶ τοὺς Ἀσσυρίους καὶ Ἀσσυρίων τούτους οἳ Νῖνον εἶχον, καὶ ἦρχον πρότερον πάντων, τότε δὲ ἦσαν μεμουνωμένοι μὲν συμμάχων, ἅτε ἀπεστεώτων, ἄλλως μέντοι ἑωϋτῶν εὖ ἥκοντες· ἐπὶ τούτους δὴ στρατευσάμενος ὁ Φραόρτης αὐτός τε διεφθάρη, ἄρξας δύο καὶ εἴκοσι ἔτεα, καὶ ὁ στρατὸς αὐτοῦ ὁ πολλός. *) Φραόρτεω δὲ τελευτήσαντος, ἐξεδέξατο

cap. 100. jus dixit severe.

cap. 101. Medorum populi.

cap. 102. Phraortes rex anno 647 Persis & aliis Asiæ gentibus imperio adjunctis, Assyrios aggressus, periit.

*) De Assyriorum regibus post Sardanapalum, adeoque de Phulo, Tiglatpilesare & Salmanassare, quos libri Ebræorum sacri nominant, tacent Græcorum monumenta. Sennacheribum memorat Herodotus tanquam **Ἀραβίων καὶ Ἀσσυρίων βασιλέα** lib. II. c. 141. cui à filiis jugulato Assarhaddon in imperio suffectus ab Ebræis narratur.

cap. 103. Cyaxares anno 625 secutus, militum genera distinxit, & in ordines partitus est. Hic ille, qui Lydis bellum fecit. Obsidenti ei Ninum urbem a. 624 supervenit Scytharum ex Europa in Asiam eruptio.

ξατο Κυαξάρης ὁ Φραόρτεω τοῦ Δηϊόκεω παῖς. οὗτος λέγεται πολλὸν ἔτι γενέσθαι ἀλκιμώτερος τῶν προγόνων· καὶ πρῶτός τε ἐλόχισε κατὰ τέλεα τοὺς ἐν τῇ Ἀσίῃ, καὶ πρῶτος διέταξε χωρὶς ἑκάστους εἶναι, τούς τε αἰχμοφόρους, καὶ τοὺς ἱππέας, καὶ τοὺς τοξοφόρους· πρωτοῦ δὲ ἀναμὶξ ἦν πάντα ὁμοίως ἀναπεφυρμένα. οὗτος ὁ τοῖσι Λυδοῖσί ἐστι μαχεσάμενος, ὅτε νὺξ ἡ ἡμέρη ἐγένετό σφι μαχομένοισι· καὶ ὁ τὴν Ἅλυος ποταμοῦ ἄνω Ἀσίην πᾶσαν συστήσας ἑωϋτῷ. συλλέξας δὲ τοὺς ὑπ' ἑωϋτοῦ ἀρχομένους πάντας, ἐστρατεύετο ἐπὶ τὴν Νῖνον, τιμωρέων τε τῷ πατρὶ, καὶ τὴν πόλιν ταύτην θέλων ἐξελεῖν. καί οἱ, ὡς συμβαλὼν ἐνίκησε τοὺς Ἀσσυρίους, περικατημένῳ τὴν Νῖνον, ἐπῆλθε Σκυθέων στρατὸς μέγας. ἦγε δὲ αὐτοὺς βασιλεὺς ὁ Σκυθέων Μαδύης, Πρωτοθύεω παῖς· οἳ ἐσέβαλον μὲν ἐς τὴν Ἀσίην, Κιμμερίους ἐκβαλόντες ἐκ τῆς Εὐρώπης, τούτοισι δὲ ἐπισπόμενοι φεύγουσι, οὕτω ἐς τὴν Μηδικὴν χώρην ἀπίκοντο.

cap. 104. Scythae victores de Medis, omni Asia potiti.

Ἔστι δὲ ἀπὸ τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Φᾶσιν ποταμὸν καὶ ἐς Κόλχους τριήκοντα ἡμερέων εὐζώνῳ ὁδός. ἐκ δὲ τῆς Κολχίδος οὐ πολλὸν ὑπερβῆναι ἐς τὴν Μηδικὴν, ἀλλὰ ἓν τὸ διὰ μέσου ἔθνος αὐτῶν ἐστὶ, Σάσπειρες· τοῦτο δὲ παραμειβομένοισι, εἶναι ἐν τῇ Μηδικῇ. οὐ μέντοι οἵ γε Σκύθαι ταύτῃ ἐσέβαλον, ἀλλὰ τὴν κατύπερθεν ὁδὸν πολλῷ μακροτέρην ἐκτραπόμενοι, ἐν δεξιῇ ἔχοντες τὸ Καυκάσιον ὄρος. ἐνθαῦτα οἱ μὲν Μῆδοι συμβαλόντες τοῖσι Σκύθῃσι, καὶ ἑσσωθέντες τῇ μάχῃ, τῆς ἀρχῆς κατελύθησαν· οἱ δὲ Σκύθαι τὴν Ἀσίην πᾶσαν ἐπέσχον.

cap. 105. Pergentibus iis in Aegyptum, occurrit Psammitichus rex, iisque persuadet ut redeant.

Ἐνθεῦτεν δὲ ἦσαν ἐπ' Αἴγυπτον· καὶ ἐπεί τε ἐγένοντο ἐν τῇ Παλαιστίνῃ Συρίῃ, Ψαμμίτιχός σφεας Αἰγύπτου βασιλεὺς ἀντιάσας δώροισί τε καὶ λιτῇσι ἀποτρέπει τοπροσωτέρω μὴ πορεύεσθαι. οἱ δὲ, ἐπεί τε ἀναχωρέοντες ὀπίσω, ἐγένοντο τῆς Συρίης ἐν Ἀσκάλωνι πόλι, τῶν πλεόνων Σκυθέων παρεξελθόντων ἀσινέων. ὀλίγοι τινὲς αὐτῶν ὑπολειφθέντες, ἐσύλησαν τῆς Οὐρανίης Ἀφροδίτης τὸ ἱρόν. ἔστι δὲ τοῦτο τὸ ἱρὸν, ὡς ἐγὼ πυνθανόμενος εὑρίσκω, πάντων ἀρχαιότατον ἱρῶν ὅσα ταύτης τῆς θεοῦ. καὶ γὰρ τὸ ἐν Κύπρῳ ἱρὸν ἐνθεῦτεν ἐγένετο, ὡς αὐτοὶ λέγουσι Κύπριοι· καὶ τὸ ἐν Κυθήροισι Φοίνικές εἰσιν οἱ ἱδρυσάμενοι, ἐκ ταύτης τῆς Συρίης ἐόν-

τες

τες. τοῖσι δὲ τῶν Σκυθέων συλήσασι τὸ ἱρὸν τὸ ἐν Ἀσκάλωνι, καὶ τοῖσι τουτέων αἰεὶ ἐκγόνοισι ἐνέσκηψε ἡ θεὸς θήλειαν νοῦσον· ὥστε ἅμα λέγουσί τε οἱ Σκύθαι διὰ τοῦτό σφεας νοσέειν, καὶ ὁρᾷν παρ' ἑωϋτοῖσι τοὺς ἀπικνεομένους ἐς τὴν Σκυθικὴν χώρην ὡς διακέαται, τοὺς καλέουσι Ἐναρέας οἱ Σκύθαι. Ἐπὶ μέν νυν ὀκτὼ καὶ εἴκοσι ἔτεα ἦρχον τῆς Ἀσίης οἱ Σκύθαι, καὶ τὰ πάντα σφι ὑπό τε ὕβριος καὶ ὀλιγωρίης ἀνάστατα ἦν. χωρὶς μὲν γὰρ φόρων, ἔπρησσον παρ' ἑκάστων τὸ ἑκάστοισι ἐπέβαλλον. χωρὶς δὲ τοῦ φόρου, ἥρπαζον περιελαύνοντες τοῦτο ὅ, τι ἔχοιεν ἕκαστοι. καὶ τούτων μὲν τοὺς πλεῦνας Κυαξάρης τε καὶ Μῆδοι ξεινίσαντες καὶ μεταμεθύσαντες κατεφόνευσαν. καὶ οὕτω ἀνεσώσαντο τὴν ἀρχὴν Μῆδοι, καὶ ἐπεκράτεον τῶνπερ καὶ πρότερον. καὶ τήν τε Νίνον εἷλον, (ὡς δὲ εἷλον, ἐν ἑτέροισι λόγοισι δηλώσω,) καὶ τοὺς Ἀσσυρίους ὑποχειρίους ἐποιήσαντο, πλὴν τῆς Βαβυλωνίης μοίρης. μετὰ δὲ ταῦτα Κυαξάρης μὲν, βασιλεύσας τεσσαράκοντα ἔτεα, σὺν τοῖσι Σκύθαι ἦρξαν, τελευτᾷ. Ἐκδέκεται δὲ Ἀστυάγης ὁ Κυαξάρεω παῖς τὴν βασιληΐην. καὶ οἱ ἐγένετο θυγάτηρ, τῇ οὔνομα ἔθετο Μανδάνην. τὴν ἐδόκεε Ἀστυάγης ἐν τῷ ὕπνῳ οὐρῆσαι τοσοῦτον, ὥστε πλῆσαι μὲν τὴν ἑωϋτοῦ πόλιν, ἐπικατακλύσαι δὲ καὶ τὴν Ἀσίην πᾶσαν. ὑποθέμενος δὲ τῶν μάγων τοῖσι ὀνειροπόλοισι τὸ ἐνύπνιον, ἐφοβήθη, παρ' αὐτέων αὐτὰ ἕκαστα μαθών. μετὰ δὲ, τὴν Μανδάνην ταύτην ἐοῦσαν ἤδη ἀνδρὸς ὡραίην, Μήδων μὲν τῶν ἑωϋτοῦ ἀξίων οὐδενὶ διδοῖ γυναῖκα, δεδοικὼς τὴν ὄψιν· ὁ δὲ Πέρσῃ διδοῖ, τῷ οὔνομα ἦν Καμβύσης· τὸν εὕρισκε οἰκίης μὲν ἐόντα ἀγαθῆς, τρόπου δὲ ἡσυχίου. πολλῷ ἔνερθε ἄγων αὐτὸν μέσου ἀνδρὸς Μήδου. Συνοικεούσης δὲ τῷ Καμβύσῃ τῆς Μανδάνης, ὁ Ἀστυάγης τῷ πρώτῳ ἔτεϊ εἶδε ἄλλην ὄψιν. ἐδόκεε δέ οἱ ἐκ τῶν αἰδοίων τῆς θυγατρὸς ταύτης φῦναι ἄμπελον. τὴν δὲ ἄμπελον ἐπισχεῖν τὴν Ἀσίην πᾶσαν· ἰδὼν δὲ τοῦτο καὶ ὑπερθέμενος τοῖσι ὀνειροπόλοισι, μετεπέμψατο ἐκ τῶν Περσέων τὴν θυγατέρα ἐπίτεκα ἐοῦσαν. ἀπικομένην δὲ ἐφύλασσε, βουλόμενος τὸ γεννώμενον ἐξ αὐτῆς διαφθεῖραι· ἐκ γάρ οἱ τῆς ὄψιος οἱ τῶν μάγων ὀνειροπόλοι ἐσήμαινον, ὅτι μέλλοι ὁ τῆς θυγατρὸς αὐτοῦ γόνος βασιλεύσειν ἀντὶ ἐκείνου. ταῦτα δὴ ὦν φυλασ-

cap. 106. Scythæ Asia ejecti a. 596. Ninus capta (& eversa, dominantibus adhuc Scythis,) a. 606.

cap. 107. Astyages anno 685 factus rex, & idem pater Mandanes, ob somnium de filia sibi oblatum, conditione quæsita extranea, dat eam uxorem Cambysi Persæ a. 572.

cap. 108. ob aliud somnium Astyages, filia gravida primo nuptiarum anno ex Persis accersita, quem ea puerum peperit, Harpago dat necandum.

φυλασσόμενος ὁ Ἀςυάγης, ὡς ἐγένετο ὁ Κῦρος, καλέσας Ἅρπαγον, ἄνδρα οἰκήϊον, καὶ πιςότατόν τε Μήδων, καὶ πάντων ἐπίτροπον τῶν ἑωϋτοῦ, ἔλεγέ οἱ τοιάδε· "Ἅρπαγε, πρῆγμα τὸ ἄν τοι προσθέω, μηδαμᾶ παραχρήσῃ· μηδὲ ἐμέ τε παραβάλῃ, καὶ ἄλλους ἑλόμενος, ἐξ ὑςέρης σοι ἑωϋτῷ περιπέσῃς. λάβε τὸν Μανδάνη ἔτεκε παῖδα· φέρων δὲ ἐς σεωϋτοῦ, ἀπόκτεινον· μετὰ δὲ, θάψον τρόπῳ ὅτεῳ αὐτὸς βούλεαι." Ὁ δὲ ἀμείβεται "ὦ βασιλεῦ, οὔτε ἄλλοτέ κω παρεῖδες ἀνδρὶ τῷδε ἄχαρι οὐδὲν, φυλασσόμεθα δὲ ἐς σὲ καὶ ἐς τὸν μετέπειτα χρόνον μηδὲν ἐξαμαρτεῖν, ἀλλ' εἴ τοι φίλον τοῦτο οὕτω γίνεσθαι, χρὴ δὴ, τό γε ἐμὸν, ὑπηρετέεσθαι ἐπιτηδέως." Τούτοισι ἀμειψάμενος ὁ Ἅρπαγος, ὥς οἱ παρεδόθη τὸ παιδίον κεκοσμημένον τὴν ἐπὶ θανάτῳ, ἤει κλαίων ἐς τὰ οἰκία. παρελθὼν δὲ ἔφραζε τῇ ἑωϋτοῦ γυναικὶ τὸν πάντα Ἀςυάγεος ῥηθέντα λόγον. ἡ δὲ πρὸς αὐτὸν λέγει "Νῦν ὦν τί σοι ἐν νόῳ ἐςὶ ποιέειν;" Ὁ δὲ ἀμείβεται· "οὐκ ᾗ ἐνετέλλετο Ἀςυάγης. οὐδ' εἰ παραφρονήσει τε καὶ μανεῖται κάκιον ἢ νῦν μαίνεται, οὔ οἱ ἔγωγε προσθήσομαι τῇ γνώμῃ, οὐδὲ ἐς φόνον τοιοῦτον ὑπηρετήσω. πολλῶν δὲ εἵνεκα οὐ φονεύσω μιν. καὶ ὅτι αὐτῷ μοί συγγενής ἐςιν ὁ παῖς, καὶ ὅτι Ἀςυάγης μέν ἐςι γέρων, καὶ ἄπαις ἔρσενος γόνου. εἰ δὲ θελήσει τούτου τελευτήσαντος ἐς τὴν θυγατέρα ταύτην ἀναβῆναι ἡ τυραννὶς, ἧς νῦν τὸν υἱὸν κτείνει δι' ἐμεῦ, ἄλλό τι ἢ λείπεται τὸ ἐνθεῦτεν ἐμοὶ κινδύνων ὁ μέγιςος; ἀλλὰ τοῦ μὲν ἀσφαλέος εἵνεκα ἐμοὶ, δεῖ τοῦτον τελευτᾶν τοῦ παῖδα· δεῖ μέντοι τῶν τινὰ Ἀςυάγεος, αὐτοῦ φονέα γενέσθαι, καὶ μὴ τῶν ἐμῶν." Ταῦτα εἶπε, καὶ αὐτίκα ἄγγελον ἔπεμπε ἐπὶ τῶν βουκόλων τῶν Ἀςυάγεος τὸν ἠπίςατο νομάς τε ἐπιτηδεωτάτας νέμοντα, καὶ οὔρεα θηριωδέςατα, τῷ οὔνομα ἦν Μιτραδάτης. συνοίκεε δὲ ἑωϋτοῦ συνδούλῃ· οὔνομα δὲ τῇ γυναικὶ ἦν, τῇ συνοίκεε, Κυνὼ, κατὰ τὴν Ἑλλήνων γλῶσσαν· κατὰ δὲ τὴν Μηδικὴν, Σπακώ. τὴν γὰρ κύνα καλέουσι Σπάκα Μῆδοι. αἱ δὲ ὑπώρεαί εἰσι τῶν οὐρέων ἔνθα τὰς νομὰς τῶν βοῶν εἶχε οὗτος δὴ ὁ βουκόλος, πρὸς βορέω τε ἀνέμου τῶν Ἀγβατάνων, καὶ πρὸς τοῦ πόντου τοῦ Εὐξείνου. ταύτῃ μὲν γὰρ ἡ Μηδικὴ χώρη πρὸς Σασπείρων ὀρεινή ἐςι κάρτα, καὶ ὑψηλή τε καὶ ἴδῃσι συνηρεφής·

c. 109 & 110. Is medio consilio usus, Mitradati regis bubulco exponendum in montibus tradit.

ἡ

ἡ δὲ ἄλλη Μηδικὴ χώρη ἐςὶ πᾶσα ἄπεδος. ἐπεὶ ὦν ὁ βȣκόλος σπȣδῇ πολλῇ καλεόμενος ἀπίκετο, ἔλεγε ὁ Ἅρπαγος τάδε, "Κελέυει σε Ἀςυάγης τὸ παιδίον τȣ̃το λαβόντα θεῖναι ἐς τὸ ἐρημότατον τῶν ὀυρέων, ὅκως ἂν τάχιςα διαφθαρέιη· καὶ τάδε τοι ἐκέλευσε ἐιπεῖν, ἢν μὴ ἀποκτείνῃς ἀυτὸ, ἀλλά τεῳ τρόπῳ περιποιήσῃ, ὀλέθρῳ τῷ κακίςῳ σε διαχρήσεσθαι· ἐπορᾷν δὲ ἐκκείμενον διατέταγμαι ἐγώ." Ταῦτα ἀκέσας ὁ βȣκόλος καὶ ἀναλαβὼν τὸ παιδίον, ἤϊε τὴν ἀυτὴν ὀπίσω ὁδὸν, καὶ ἀπικνέεται ἐς τὴν ἔπαυλιν. τῷ δ' ἄρα καὶ ἀυτῷ ἡ γυνὴ ἐπίτεξ ἐȣ̃σα πᾶσαν ἡμέρην, τότε κως κατὰ δαίμονα τίκτει, ὀιχομένȣ τȣ̃ βȣκόλȣ ἐς πόλιν. ἦσαν δὲ ἐν φροντίδι ἀμφότεροι ἀλλήλων πέρι· ὁ μὲν, τȣ̃ τόκȣ τῆς γυναικὸς ἀῤῥωδέων· ἡ δὲ γυνὴ, ὅτι ὀυκ ἐωθὼς ὁ Ἅρπαγος μεταπέμψαιτο ἀυτῆς τὸν ἄνδρα. ἐπεί τε δὲ ἀπονοςήσας ἐπέςη, ὃια ἐξ ἀέλπτȣ ἰδȣ̃σα ἡ γυνὴ, ἔιρετο προτέρη, ὅ, τι μιν ȣ̃τω προθύμως Ἅρπαγος μεταπέμψαιτο· ὁ δὲ ἔιπε· "Ὦ γύναι, ἐιδόν τε ἐς πόλιν ἐλθὼν καὶ ἤκȣσα τὸ μή τε ἰδεῖν ὄφελόν, μή τέ κοτε γενέσθαι ἐς δεσπότεας τȣ̀ς ἡμετέρȣς· ὄικος μὲν πᾶς Ἁρπάγȣ κλαυθμῷ κατείχετο· ἐγὼ δὲ ἐκπλαγεὶς ἤϊα ἔσω· ὡς δὲ τάχιςα ἐσῆλθον, ὁρέω παιδίον προκείμενόν, ἀσπαῖρόν τε καὶ κραυγανόμενον, κεκοσμημένον χρυσῷ τε καὶ ἐσθῆτι ποικίλῃ· Ἅρπαγος δὲ ὡς ἐιδέ με, ἐκέλευε τὴν ταχίςην ἀναλαβόντα τὸ παιδίον, ὄιχεσθαι φέροντα, καὶ θεῖναι ἔνθα θηριωδέςατον ἐιη τῶν ὀυρέων· φὰς Ἀςυάγεα ἐιναι τὸν ταῦτα ἐπιθέμενόν μοι· πόλλ' ἀπειλήσας, ἐι μὴ σφεα ποιήσαιμι· καὶ ἐγὼ ἀναλαβὼν, ἔφερον, δοκέων τῶν τινὸς ὀικετέων ἐιναι· ȣ̉ γὰρ ἄν κοτε κατέδοξα ἔνθεν γε ἦν. ἐθάμβεον δὲ ὁρέων χρυσῷ τε καὶ ἔιμασι κεκοσμημένον· πρὸς δὲ, καὶ κλαυθμὸν κατεςεῶτα ἐμφανέα ἐν Ἁρπάγȣ. καὶ πρόκα τε δὴ κατ' ὁδὸν πυνθάνομαι τὸν πάντα λόγον θεράποντος, ὃς ἐμὲ προπέμπων ἔξω πόλιος, ἐνεχείρισε τὸ βρέφος· ὡς ἄρα Μανδάνης τε ἐιη παῖς τῆς Ἀςυάγεος θυγατρὸς, καὶ Καμβύσεω τȣ̃ Κύρȣ. καί μιν Ἀςυάγης ἐντέλλεται ἀποκτεῖναι· νῦν τε ὧδέ ἐςι." Ἅμα δὲ ταῦτα ἔλεγε ὁ βȣκόλος, καὶ ἐκκαλύψας ἀπεδείκνυε. ἡ δὲ, ὡς ἔιδε τὸ παιδίον, μέγα τε καὶ ἐυειδὲς ἐὸν, δακρύσασα, καὶ λαβομένη τῶν γȣνάτων

cap. 111–113. Bubulcus re uxori narrata, ejus consilio puerum, quem ipsa mortuum pepererat, pro altero exponit: hunc autem, qui postea *Cyrus* dictus, pro suo educat.

των τοῦ ἀνδρὸς, ἔχρηζε μηδεμιῇ τέχνῃ ἐκθεῖναί μιν. ὁ δὲ οὐκ ἔφη οἷός τ' εἶναι ἄλλως αὐτὰ ποιέειν. ἐπιφοιτήσειν γὰρ κατασκόπους ἐξ Ἁρπάγου ἐποψομένους. ἀπολέεσθαί τε κάκιστα, ἢν μή σφεα ποιήσῃ· ὡς δὲ οὐκ ἔπειθε ἄρα τὸν ἄνδρα, δεύτερα λέγει ἡ γυνὴ τάδε· "ἐπεὶ τοίνυν οὐ δύναμαί σε πείθειν μὴ ἐκθεῖναι, σὺ δὲ ὧδε ποίησον, εἰ δὴ πᾶσα ἀνάγκη ὀφθῆναι ἐκκείμενον· τέτοκα γὰρ καὶ ἐγώ· τέτοκα δὲ τεθνεός· τοῦτο μὲν φέρων πρόθες· τὸν δὲ τῆς Ἀστυάγεος θυγατρὸς παῖδα ὡς ἐξ ἡμέων ἐόντα τρέφωμεν. καὶ οὕτω οὔτε σὺ ἁλώσεαι ἀδικέων τοὺς δεσπότεας, οὔτε ἡμῖν κακῶς βεβουλευμένα ἔσται. ὅ, τε γὰρ τεθνεὼς βασιληΐης ταφῆς κυρήσει, καὶ ὁ περιεὼν οὐκ ἀπολέει τὴν ψυχήν." Κάρτα τε ἔδοξε τῷ βουκόλῳ πρὸς τὰ παρεόντα εὖ λέγειν ἡ γυνὴ, καὶ αὐτίκα ἐποίεε ταῦτα· τὸν μὲν ἔφερε θανατώσων παῖδα, τοῦτον μὲν παραδιδοῖ τῇ ἑωϋτοῦ γυναικί· τὸν δὲ ἑωϋτοῦ ἐόντα νεκρὸν λαβὼν, ἔθηκε ἐς τὸ ἄγγος ἐν τῷ ἔφερε τὸν ἕτερον. κοσμήσας δὲ τῷ κόσμῳ παντὶ τοῦ ἑτέρου παιδὸς, φέρων ἐς τὸ ἐρημότατον τῶν οὐρέων τιθεῖ. ὡς δὲ τρίτη ἡμέρη τῷ παιδίῳ ἐκκειμένῳ ἐγένετο, ἤϊε ἐς πόλιν ὁ βουκόλος, τῶν τινὰ προβόσκων φύλακον αὐτοῦ καταλιπών. ἐλθὼν δὲ ἐς τοῦ Ἁρπάγου, ἀποδεικνύναι ἔφη ἑτοῖμος εἶναι τοῦ παιδίου τὸν νέκυν. πέμψας δὲ ὁ Ἅρπαγος τῶν ἑωϋτοῦ δορυφόρων τοὺς πιστοτάτους εἶδέ τε διὰ τούτων, καὶ ἔθαψε τοῦ βουκόλου τὸ παιδίον. καὶ τὸ μὲν ἐτέθαπτο. τὸν δὲ ὕστερον τούτων Κῦρον ὀνομασθέντα, παραλαβοῦσα ἔτρεφε ἡ γυνὴ τοῦ βουκόλου, οὔνομα ἄλλό κου τι καὶ οὐ Κῦρον θεμένη.

cap. 114. Cyrus decennis a. 561 rex in lusu a congerronibus factus, puero nobili verberato, accusatur ab ejus patre Artembare apud Astyagen.

Καὶ ὅτε δὴ ἦν δεκαέτης ὁ παῖς, πρῆγμα ἐς αὐτὸν τοιόνδε γενόμενον ἐξέφηνέ μιν· ἔπαιζε ἐν τῇ κώμῃ ταύτῃ ἐν τῇ ἦσαν καὶ αἱ βουκολίαι αὗται· ἔπαιζε δὲ μετ' ἄλλων ἡλίκων ἐν ὁδῷ· καὶ οἱ παῖδες παίζοντες εἵλοντο ἑωϋτῶν βασιλέα εἶναι τοῦτον δὴ τὸν τοῦ βουκόλου ἐπίκλησιν παῖδα. ὁ δὲ αὐτέων διέταξε τοὺς μὲν, οἰκίας οἰκοδομέειν· τοὺς δὲ, δορυφόρους εἶναι· τῶν δέ κου τινὰ αὐτέων, ὀφθαλμὸν βασιλῆος εἶναι· τῷ δέ τινι, τὰς ἀγγελίας φέρειν ἐδίδου γέρας· ὡς ἑκάστῳ ἔργον προστάσσων. εἷς δὴ τούτων τῶν παιδίων συμπαίζων, ἐὼν Ἀρτεμβάρεος παῖς, ἀνδρὸς δοκίμου ἐν Μήδοισι, (οὐ γὰρ δὴ ἐποίησε τὸ προσταχθὲν ἐκ τοῦ Κύρου)

Κύρου) ἐκέλευε αὐτὸν τοὺς ἄλλους παῖδας διαλαβέειν· πειθομένων δὲ τῶν παίδων, ὁ Κῦρος τὸν παῖδα τρηχέως κάρτα περιέσπε μαστιγέων· ὁ δὲ, ἐπεί τε μετείθη τάχιστα, ὥς γε δὴ ἀνάξια ἑωϋτοῦ παθὼν, μᾶλλόν τι περιημεκτέε· κατελθὼν δὲ ἐς πόλιν, πρὸς τὸν πατέρα ἀποικτίζετο τῶν ὑπὸ Κύρου ἤντησε. λέγων δὲ οὐ Κύρου (οὐ γάρ κω ἦν τοῦτο τοὔνομα) ἀλλὰ πρὸς τοῦ βουκόλου τοῦ Ἀστυάγεος παιδός. ὁ δὲ Ἀρτεμβάρης ὀργῇ, ὡς εἶχε, ἐλθὼν παρὰ τὸν Ἀστυάγεα, καὶ ἅμα ἀγόμενος τὸν παῖδα, ἀνάρσια πρήγματα ἔφη πεπονθέναι, λέγων· "Ὦ βασιλεῦ, ὑπὸ τοῦ σοῦ δούλου, βουκόλου δὲ παιδὸς, ὧδε περιυβρίσμεθα." (δεικνὺς τοῦ παιδὸς τοὺς ὤμους). Ἀκούσας δὲ καὶ ἰδὼν ὁ Ἀστυάγης, θέλων τιμωρῆσαι τῷ παιδὶ τιμῆς τῆς Ἀρτεμβάρεος εἵνεκα, μετεπέμπετο τόν τε βουκόλον καὶ τὸν παῖδα· ἐπεί τε δὲ παρῆσαν ἀμφότεροι, βλέψας πρὸς τὸν Κῦρον ὁ Ἀστυάγης, ἔφη· "Σὺ δὴ ἐὼν τοῦδε τοιούτου ἐόντος παῖς, ἐτόλμησας τὸν τοῦδε παῖδα ἐόντος πρώτου παρ' ἐμοὶ ἀεικείῃ τοιῇδε περισπεῖν;" Ὁ δὲ ἀμείβεται ὧδε, "Ὦ δέσποτα, ἐγὼ δὲ ταῦτα τοῦτον ἐποίησα σὺν δίκῃ· οἱ γάρ με ἐκ τῆς κώμης παῖδες, τῶν καὶ ὅδε ἦν, παίζοντες, σφέων αὐτῶν ἐστήσαντο βασιλέα· ἐδόκεον γάρ σφι εἶναι ἐς τοῦτο ἐπιτηδεώτατος· οἱ μέν νυν ἄλλοι παῖδες τὰ ἐπιτασσόμενα ἐπετέλεον· οὗτος δὲ ἀνηκούστεέ τε καὶ λόγον εἶχε οὐδένα· ἐς ὃ ἔλαβε τὴν δίκην. εἰ ὦν δὴ τοῦδε εἵνεκα ἄξιός τευ κακοῦ εἰμὶ, ὧδέ τοι πάρειμι." Ταῦτα λέγοντος τοῦ παιδὸς, τὸν Ἀστυαγέα ἐσήιε ἀνάγνωσις αὐτοῦ· καί οἱ ὅ, τε χαρακτὴρ τοῦ προσώπου προσφέρεσθαι ἐδόκεε ἐς ἑωϋτὸν, καὶ ἡ ὑπόκρισις ἐλευθεριωτέρη εἶναι. ὅ, τε χρόνος τῆς ἐκθέσιος τῇ ἡλικίῃ τοῦ παιδὸς ἐδόκεε συμβαίνειν· ἐκπλαγεὶς δὲ τούτοισι, ἐπὶ χρόνον ἄφθογγος ἦν. μόγις δὲ δή κοτε ἀνενειχθεὶς, εἶπε (θέλων ἐκπέμψαι τὸν Ἀρτεμβάρεα, ἵνα τὸν βουκόλον μοῦνον λαβὼν βασανίσῃ) "Ἀρτέμβαρες, ἐγὼ ταῦτα ποιήσω, ὥστε σὲ καὶ τὸν παῖδα τὸν σὸν μηδὲν ἐπιμέμφεσθαι." Τὸν μὲν δὴ Ἀρτεμβάρεα πέμπει· τὸν δὲ Κῦρον ἦγον ἔσω οἱ θεράποντες, κελεύσαντος τοῦ Ἀστυάγεος. ἐπεὶ δὲ ὑπελέλειπτο ὁ βουκόλος μοῦνος, μουνωθέντα τάδε αὐτὸν εἴρετο ὁ Ἀστυάγης, κόθεν λάβοι τὸν παῖδα, καὶ τίς εἴη ὁ παραδούς· ὁ δὲ ἐξ ἑωυτοῦ τε ἔφη γεγονέναι,

cap. 115. Cyri a rege interrogati constantia.

cap. 116. Rex eum agnoscit, & bubulcus verum fatetur.

καὶ τὴν τεκοῦσαν αὐτὸν ἔτι εἶναι παρ' ἑωϋτῷ. Ἀςυάγης δέ μιν οὐκ εὖ βουλεύεσθαι ἔφη, ἐπιθυμέοντα ἐς ἀνάγκας μεγάλας ἀπικνέεσθαι. ἅμα τε λέγων ταῦτα, ἐσήμαινε τοῖσι δορυφόροισι λαμβάνειν αὐτόν· ὁ δὲ ἀγόμενος ἐς τὰς ἀνάγκας, οὕτω δὴ ἔφαινε τὸν ἐόντα λόγον. ἀρχόμενος δὴ ἀπ' ἀρχῆς, διεξήει τῇ ἀληθηΐῃ χρεώμενος· καὶ κατέβαινε ἐς λιτάς τε, καὶ συγγνώμην ἑωϋτῷ κελεύων ἔχειν αὐτόν. Ἀςυάγης δὲ, τοῦ μὲν βουκόλου τὴν ἀληθηΐην ἐκφήναντος, λόγον ἤδη καὶ ἐλάσσω ἐποιέετο· Ἁρπάγῳ δὲ καὶ μεγάλως μεμφόμενος, καλέειν αὐτὸν τοὺς δορυφόρους ἐκέλευε. ὡς δέ οἱ παρῆν ὁ Ἅρπαγος, εἴρετό μιν ὁ Ἀςυάγης, "Ἅρπαγε, τέῳ δὴ μόρῳ τὸν παῖδα κατεχρήσαο, τόν τοι παρέδωκα ἐκ θυγατρὸς γεγονότα τῆς ἐμῆς;" Ὁ δὲ Ἅρπαγος, ὡς εἶδε τὸν βουκόλον ἔνδον ἐόντα, οὐ τρέπεται ἐπὶ ψευδέα ὁδὸν, ἵνα μὴ ἐλεγχόμενος ἁλίσκηται· ἀλλὰ λέγει τάδε, "Ὦ βασιλεῦ, ἐπεί τε παρέλαβον τὸ παιδίον, ἐβούλευον σκοπῶν ὅκως σοί τε ποιῶ κατὰ νόον, καὶ ἐγὼ πρὸς σὲ γενόμενος ἀναμάρτητος, μήτε θυγατρὶ τῇ σῇ, μήτε αὐτῷ σοι εἴην αὐθέντης. ποιῶ δὴ ὧδε. καλέσας τὸν βουκόλον τόνδε, παραδίδωμι τὸ παιδίον· φὰς σέ τε εἶναι τὸν κελεύοντα ἀποκτεῖναι αὐτό. καὶ λέγων τοῦτό γε, οὐκ ἐψευδόμην. σὺ γὰρ ἐνετέλλεο οὕτω. παραδίδωμι μέντοι τῷδε κατὰ τάδε, ἐντειλάμενος θεῖναί μιν ἐς ἔρημον οὖρος, καὶ παραμένοντα φυλάσσειν ἄχρι οὗ τελευτήσει· ἀπειλήσας παντοῖα τῷδε, ἢν μὴ τάδε ἐπιτελέα ποιήσῃ. ἐπεί τε δὲ ποιήσαντος τούτου τὰ κελευόμενα, ἐτελεύτησε τὸ παιδίον, πέμψας τῶν εὐνούχων τοὺς πιςοτάτους, καὶ εἶδον δι' ἐκείνων, καὶ ἔθαψά μιν. οὕτως ἔσχε, ὦ βασιλεῦ, περὶ τοῦ πρήγματος τούτου· καὶ τοιούτῳ μόρῳ ἐχρήσατο ὁ παῖς." Ἅρπαγος μὲν δὴ τὸν ἰθὺν ἔφαινε λόγον. Ἀςυάγης δὲ, κρύπτων τόν οἱ ἐνείχεε χόλον διὰ τὸ γεγονὸς, πρῶτα μὲν κατάπερ ἤκουσε αὐτὸς πρὸς τοῦ βουκόλου τὸ πρῆγμα, πάλιν ἀπηγέετο τῷ Ἁρπάγῳ· μετὰ δὲ, ὥς οἱ ἐπαλιλλόγητο, κατέβαινε λέγων, ὡς περίεςί τε ὁ παῖς, καὶ τὸ γεγονὸς ἔχει καλῶς. "Τῷ τε γὰρ πεποιημένῳ, ἔφη λέγων, ἐς τὸν παῖδα τοῦτον ἔκαμνον μεγάλως, καὶ θυγατρὶ τῇ ἐμῇ διαβεβλημένος, οὐκ ἐν ἐλαφρῷ ἐποιεύμην. ὡς ὦν τῆς τύχης εὖ μετεςεώσης, τοῦτο μὲν, τὸν

cap. 117. Harpagi excusatio.

cap. 118. Astyages iram dissimulat.

τὸν σεωϋτȢ παῖδα ἀπόπεμψον παρὰ τὸν παῖδα τὸν νεήλυδα· τȢτο δὲ (σῶςρα τȢ παιδὸς γὰρ μέλλω θύειν τοῖσι θεῶν τιμὴ ἄυτη προσκέεται), πάρισθί μοι ἐπὶ δεῖπνον." Ἅρπαγος μὲν, ὡς ἤκȢσε ταῦτα, προσκυνήσας, καὶ μεγάλα ποιησάμενος ὅτιτε ἡ ἁμαρτάς οἱ ἐς δέον ἐγεγόνεε, καὶ ὅτι ἐπὶ τύχῃσι χρηςῇσι ἐπὶ δεῖπνον ἐκέκλητο, ἤϊε ἐς τὰ οἰκία· ἐσελθὼν δὲ τὴν ταχίςην, ἦν γάρ οἱ παῖς ἐις μȢνος, ἔτεα τρία καὶ δέκα κου μάλιςα γεγονὼς, τȢτον ἐκπέμπει, ἰέναι τε κελεύων ἐς Ἀςυάγεος, καὶ ποιέειν ὅ τι ἂν ἐκεῖνος κελεύοι· αὐτὸς δὲ περιχαρὴς ἐὼν, Φράζει τῇ γυναικὶ τὰ συγκυρήσαντα. Ἀςυάγης δὲ, ὥς οἱ ἀπίκετο ὁ Ἁρπάγȣ παῖς, σφάξας αὐτὸν, καὶ κατὰ μέλεα διελὼν, τὰ μὲν ὤπτησε, τὰ δὲ ἕψησε τῶν κρεῶν. ἔυτυκτα δὲ ποιησάμενος, ἔιχε ἑτοῖμα. ἐπεί τε δὲ, τῆς ὥρης γινομένης τȢ δείπνȢ, παρῆσαν οἵ τε ἄλλοι δαιτυμόνες καὶ ὁ Ἅρπαγος, τοῖσι μὲν ἄλλοισι καὶ αὐτῷ Ἀςυάγεϊ παρετιθέατο τράπεζαι ἐπιπλέαι μηλείων κρεῶν. Ἁρπάγῳ δὲ τȢ παιδὸς τȢ ἑωϋτȢ, πλὴν κεφαλῆς τε καὶ ἄκρων χειρῶν τε καὶ ποδῶν, τἆλλα πάντα· ταῦτα δὲ χωρὶς ἔκειτο ἐπὶ κανέῳ κατακεκαλυμμένα. ὡς δὲ τῷ Ἁρπάγῳ ἐδόκεε ἅλις ἔχειν τῆς βορῆς, Ἀςυάγης ἔιρετό μιν, ἐι ἡσθείη τι τῇ θοίνῃ· Φαμένȣ δὲ Ἁρπάγȣ καὶ κάρτα ἡσθῆναι, παρέΦερον, τοῖσι προσέκειτο, τὴν κεφαλὴν τȢ παιδὸς κατακεκαλυμμένην, καὶ τὰς χεῖρας καὶ τȢς πόδας. Ἅρπαγον δὲ ἐκέλευον προςάντες ἀποκαλύπτειν τε καὶ λαβεῖν τὸ βȢλεται αὐτέων. πειθόμενος δὲ ὁ Ἅρπαγος, καὶ ἀποκαλύπτων, ὁρᾷ τȢ παιδὸς τὰ λείμματα· ἰδὼν δὲ ȣ̓́τε ἐξεπλάγη, ἐντός τε ἑωϋτȢ γίνεται· ἔιρετο δὲ αὐτὸν ὁ Ἀςυάγης, ἐι γινώσκοι ὅτευ θηρίȣ κρέα βεβρώκοι. ὁ δὲ καὶ γινώσκειν ἔΦη, καὶ ἀρεςὸν ἐῖναι πᾶν τὸ ἂν βασιλεὺς ἔρδῃ. τȢτοισι δὲ ἀμειψάμενος, καὶ ἀναλαβὼν τὰ λοιπὰ τῶν κρεῶν, ἤϊε ἐς τὰ οἰκία. ἐνθεῦτεν δὲ ἔμελλε, ὡς ἐγὼ δοκέω, ἁλίσας θάψειν τὰ πάντα. Ἁρπάγῳ μὲν Ἀςυάγης δίκην ταύτην ἐπέθηκε. Κύρȣ δὲ πέρι βȣλεύων, ἐκάλεε τȢς αὐτȢς τῶν μάγων, ὃι τὸ ἐνύπνιόν οἱ ταύτῃ ἔκριναν· ἀπικομένȣς δὲ ἔιρετο ὁ Ἀςυάγης, τῇ ἔκρινάν οἱ τὴν ὄψιν· ὁι δὲ κατὰ ταῦτα ἐῖπαν, λέγοντες ὡς βασιλεῦσαι χρῆν τὸν παῖδα, ἐι ἐπέζωσε καὶ μὴ ἀπέθανε

cap. 119. Harpagus in convivio apud regem pastus filii sui carnibus, potuit calamitate sua intellecta regem adulari.

cap. 120. Rex de Cyro deliberans, Magis affirmantibus credit, somnii fatum impletum esse.

θανε πρότερον. ὁ δὲ ἀμείβεται αὐτοὺς τοῖσδε· "ἐστί τε ὁ "παῖς καὶ περίεστι· καί μιν ἐπ' ἀγροῦ διαιτώμενον οἱ ἐκ "τῆς κώμης παῖδες ἐστήσαντο βασιλέα. ὁ δὲ, πάντα ὅσα-"περ οἱ ἀληθεῖ λόγῳ βασιλῆες, ἐτελέωσε ποιήσας· καὶ "γὰρ δορυφόρους καὶ θυρωροὺς, καὶ ἀγγελιηφόρους καὶ τὰ "λοιπὰ πάντα διατάξας ἦρχε. καὶ νῦν ἐς τί ὑμῖν ταῦ-"τα φαίνεται φέρειν;" Εἶπαν οἱ μάγοι, "εἰ μὲν πε-"ρίεστί τε, καὶ ἐβασίλευσε ὁ παῖς μὴ ἐκ προνοίης τινὸς, "θάρσει τε τούτου εἵνεκα, καὶ θυμὸν ἔχε ἀγαθόν· οὐ γὰρ "ἔτι τοδεύτερον ἄρξει. παρὰ σμικρὰ γὰρ καὶ τῶν λογίων "ἡμῖν ἔνια κεχώρηκε. καὶ τά γε τῶν ὀνειράτων ἐχόμε-"να, τελέως ἐς ἀσθενὲς ἔρχεται." Ἀμείβεται Ἀστυάγης τοῖσδε καὶ αὐτός, "ὦ μάγοι, ταύτῃ πλεῖστος γνώμην εἰ-"μί, βασιλῆος ὀνομασθέντος τοῦ παιδὸς, ἐξήκειν τε τὸν "ὄνειρον, καί μοι τὸν παῖδα τοῦτον εἶναι δεινὸν οὐδὲν ἔτι. "ὅμως μέν γέ τοι συμβουλεύσατέ μοι, εὖ περισκεψάμε-"νοι, τὰ μέλλει ἀσφαλέστατα εἶναι οἴκῳ τε τῷ ἐμῷ καὶ "ὑμῖν." Εἶπαν πρὸς ταῦτα οἱ Μάγοι, "Ὦ βασιλεῦ, "καὶ αὐτοῖσι ἡμῖν περὶ πολλοῦ ἐστὶ κατορθοῦσθαι ἀρχὴν "τὴν σήν· κείνως μὲν γὰρ ἀλλοτριοῦται, ἐς τὸν παῖδα "τοῦτον περιιοῦσα ἐόντα Πέρσην· καὶ ἡμεῖς ἐόντες Μῆδοι, "δουλούμεθά τε, καὶ λόγου οὐδενὸς γινόμεθα πρὸς Περσέων, "ἐόντες ξεῖνοι· σέο δ' ἐνεστεῶτος βασιλῆος, ἐόντος πολιή-"τεω, καὶ ἄρχομεν τό μέρος, καὶ τιμὰς πρὸς σέο με-"γάλας ἔχομεν· οὕτω ὦν πάντως ἡμῖν σέο τε καὶ τῆς "σῆς ἀρχῆς προοπτέον ἐστί. καὶ νῦν εἰ φοβερόν τι ἑω-"ρῶμεν, πᾶν ἄν σοι προεφράζομεν. νῦν δὲ ἀποσκήψαν-"τος τοῦ ἐνυπνίου ἐς φλαῦρον, αὐτοί τε θαρσέομεν, καί "σοι ἕτερα τοιαῦτα παρακελευόμεθα. τὸν δὲ παῖδα τοῦ-"τον ἐξ ὀφθαλμῶν ἀπόπεμψαι ἐς Πέρσας τε καὶ τοὺς "γεινάμένους."

cap. 121. Cyrus in Persiam ad parentes dimissus.

Ἀκούσας ταῦτα ὁ Ἀστυάγης, ἐχάρη τε, καὶ καλέσας τὸν Κῦρον, ἔλεγέ οἱ τάδε. "Ὦ παῖ, σὲ "γὰρ ἐγὼ δι' ὄψιν ὀνείρου οὐ τελέην ἠδίκεον, τῇ σεωϋτοῦ "δὲ μοίρῃ περιεῖς· νῦν ὦν ἴθι χαίρων ἐς Πέρσας· πομ-"ποὺς δ' ἐγὼ ἅμα πέμψω. ἐλθὼν δὲ ἐκεῖ, πατέρα δὲ "καὶ μητέρα εὑρήσεις, οὐ κατὰ Μιτραδάτην τε τὸν βου-"κόλον καὶ τὴν γυναῖκα αὐτοῦ."

cap. 122. Exceptus a suis cum in-

Ταῦτα εἴπας ὁ Ἀστυάγης, ἀποπέμπει τὸν Κῦρον. νοστήσαντα δέ μιν ἐς τοῦ

Καμ-

Καμβύσεω τὰ οἰκία, ἐδέξαντο οἱ γεινάμενοι· καὶ δεξάμενοι, ὡς ἐπύθοντο, μεγάλως ἀσπάζοντο, οἷα δὴ ἐπιστάμενοι αὐτίκα τότε τελευτῆσαι. ἱςόρεόν τε ὅτεῳ τρόπῳ περιγένοιτο· ὁ δὲ σφι ἔλεγε, Φὰς πρὸτȣ μὲν ȣκ εἰδέναι, ἀλλὰ ἡμαρτηκέναι πλεῖςον. κατ' ὁδὸν δὲ πυθέσθαι πᾶσαν τὴν ἑωϋτȣ πάθην· ἐπίςασθαι μὲν γὰρ ὡς βȣκόλȣ τȣ Ἀςυάγεος εἴη παῖς· ἀπὸ δὲ τῆς κεῖθεν ὁδȣ τὸν πάντα λόγον τῶν πομπῶν πυθέσθαι. τραφῆναι δὲ ἔλεγε ὑπὸ τῆς τȣ βȣκόλȣ γυναικός· ἤϊέ τε ταύτην αἰνέων διαπαντός· ἦν τέ οἱ ἐν τῷ λόγῳ τὰ πάντα ἡ Κυνώ· οἱ δὲ τοκέες παραλαβόντες τὸ ȣνομα τȣτο, (ἵνα θειοτέρως δοκέῃ τοῖσι Πέρσῃσι περιεῖναί σφι ὁ παῖς) κατέβαλον Φάτιν ὡς ἐκκείμενον Κῦρον κύων ἐξέθρεψε· ἐνθεῦτεν μὲν ἡ Φάτις αὕτη κεχωρήκεε. Κύρῳ δὲ ἀνδρευμένῳ, καὶ ἐόντι τῶν ἡλίκων ἀνδρειοτάτῳ καὶ προσφιλεςάτῳ, προσέκειτο ὁ Ἅρπαγος, δῶρα πέμπων, τίσασθαι Ἀςυάγεα ἐπιθυμέων· ἀπ' ἑωϋτȣ γὰρ ἐόντος ἰδιώτεω ȣκ ἐνεώρα τιμωρίην ἐσομένην ἐς Ἀςυάγεα· Κῦρον δὲ ὁρέων ἐπιτρεφόμενον, ἐποιέετο σύμμαχον, τὰς πάθας τὰς Κύρȣ τῇσι ἑωϋτȣ ὁμοιȣμενος· πρὸ δ' ἔτι τȣτȣ τάδε οἱ κατέργαςο· ἐόντος τȣ Ἀςυάγεος πικρȣ ἐς τȣς Μήδȣς, συμμίσγων ἑνὶ ἑκάςῳ ὁ Ἅρπαγος τῶν πρώτων Μήδων, ἀνέπειθε ὡς χρὴ Κῦρον προςησαμένȣς, τὸν Ἀςυάγεα παῦσαι τῆς βασιληΐης· κατεργασμένȣ δέ οἱ τȣτȣ, καὶ ἐόντος ἑτοίμȣ, ȣτω δὴ τῷ Κύρῳ διαιτωμένῳ ἐν Πέρσῃσι βȣλόμενος ὁ Ἅρπαγος δηλῶσαι τὴν ἑωϋτȣ γνώμην, ἄλλως μὲν ȣδαμῶς εἶχε, ἅτε τῶν ὁδῶν Φυλασσομένων· ὁ δὲ ἐπιτεχνᾶται τοιόνδε. λαγὸν μηχανησάμενος, καὶ ἀνασχίσας τȣτȣ τὴν γαςέρα, καὶ ȣδὲν ἀποτίλας, ὡς δὲ εἶχε, ȣτω ἐσέθηκε βιβλίον, γράψας τά οἱ ἐδόκεε· ἀποῤῥάψας δὲ τȣ λαγȣ τὸν γαςέρα, καὶ δίκτυα δȣς, ἅτε θηρευτῇ, τῶν οἰκετέων τῷ πιςοτάτῳ, ἀπέςειλε ἐς τȣς Πέρσας· ἐντειλάμενός οἱ ἀπὸ γλώσσης, διδόντα τὸν λαγὸν Κύρῳ ἐπειπεῖν, αὐτοχειρίῃ μὲν διελεῖν, καὶ μηδένα οἱ ταῦτα ποιεῦντι παρεῖναι. Ταῦτα δὲ δὴ ὦν ἐπιτελέα ἐγίνετο· καὶ ὁ Κῦρος παραλαβὼν τὸν λαγὸν ἀνέσχισε. εὑρὼν δὲ ἐν αὐτῷ τὸ βιβλίον ἐνεὸν, λαβὼν ἐπελέγετο. τὰ δὲ γράμματα ἔλεγε τάδε. "Ὦ παῖ Καμβύσεω, σὲ γὰρ θεοὶ ἐπορέωσι· ȣ γὰρ ἄν κοτε

genti lætitia. Fama de nutrice illius cane.

c. 123. & 124. Harpagus odio regis in vindictæ occasionem dilato, Cyrum adultum extimulat regni spe in avum, litteris missis intra exenteratum leporem insutis.

"κοτε ἐς τοσȣ̃τον τύχης ἀπίκευ· σὺ νῦν Ἀςυάγεα τὸν
"σεωϋτȣ̃ φονέα τίσαι· κατὰ μέν γὰρ τὴν τȣ́τȣ προθυ-
"μίην τέθνηκας· τό δὲ κατὰ θεȣ̀ς τε καὶ ἐμὲ περιεῖς·
"τά σε καὶ πάλαι δοκέω πάντα ἐκμεμαθηκέναι· σέο τε
"αὐτȣ̃ πέρι, ὡς ἐπρήχθη, καὶ οἷα ἐγὼ ὑπὸ Ἀςυάγεος
"πέπονθα· ὅτι σε ȣ̓κ ἀπέκτεινα, ἀλλὰ ἔδωκα τῷ βȣκό-
"λῳ· σὺ νῦν ἢν βȣ́λῃ ἐμοὶ πείθεσθαι, τῆσπερ Ἀςυάγης
"ἄρχει χώρης, ταύτης ἁπάσης ἄρξεις· Πέρσας γὰρ ἀνα-
"πείσας ἀπίςασθαι, ςρατηλάτεε ἐπὶ Μήδȣς. καὶ ἤν τε
"ἐγὼ ὑπὸ Ἀςυάγεος ἀποδεχθῶ ςρατηγὸς ἀντία σεῦ,
"ἔςι τοι τὰ σὺ βȣ́λεαι, ἤν τε τῶν τις δοκίμων ἄλλος
"Μήδων· πρῶτοι γὰρ ȣ̃τοι ἀποςάντες ἀπ᾽ ἐκείνȣ, καὶ γε-
"νόμενοι πρὸς σέο, Ἀςυάγεα καταιρέειν πειρήσονται. ὡς
"ὧν ἑτοίμȣ τȣ̃ γε ἐνθάδε ἐόντος, ποίεε ταῦτα, καὶ ποίεε
"κατὰ τάχος." Ἀκȣ́σας ταῦτα ὁ Κῦρος, ἐφρόντιζε ὅτεῳ
τρόπῳ σοφωτάτῳ Πέρσας ἀναπείσει ἀπίςασθαι. Φροντίζων
δὲ, εὑρίσκεται ταῦτα καιριώτατα εἶναι· ἐποίεε δὴ ταῦτα·
γράψας ἐς βιβλίον, τὰ ἐβȣ́λετο, ἁλίην τῶν Περσέων
ἐποιήσατο· μετὰ δὲ, ἀναπτύξας τὸ βιβλίον καὶ ἐπιλεγό-
μενος, ἔφη Ἀςυάγεά μιν ςρατηγὸν Περσέων ἀποδεικνύ-
ναι. "Νῦν, ἔφη τε λέγων, ὦ Πέρσαι, προαγορεύω ὑ-
"μῖν, παρεῖναι ἕκαςον ἔχοντα δρέπανον." Κῦρος μὲν
ταῦτα προηγόρευσε· ἔςι δὲ Περσέων συχνὰ γένεα· καὶ
τὰ μὲν αὐτέων ὁ Κῦρος συνάλισε, καὶ ἀνέπεισε ἀπίςα-
σθαι ἀπὸ Μήδων· ἔςι δὲ τάδε, ἐξ ὧν ὦλλοι πάντες ἀρ-
τέαται Πέρσαι, Πασαργάδαι, Μαράφιοι, Μάσπιοι· τȣ-
τέων Πασαργάδαι εἰσὶ ἄριςοι· ἐν τοῖσι καὶ Ἀχαιμενίδαι
εἰσὶ φρήτρη, ἔνθεν οἱ βασιλέες οἱ Περσεῖδαι γεγόνασι.
ἄλλοι δὲ Πέρσαι εἰσὶ οἵδε, Πανθιαλαῖοι, Δηρȣσιαῖοι,
Γερμάνιοι· ȣ̃τοι μὲν πάντες ἀροτῆρές εἰσι· οἱ δὲ ἄλλοι
νομάδες, Δάοι, Μάρδοι, Δροπικοὶ, Σαγάρτιοι. Ὡς δὲ
παρῆσαν ἅπαντες ἔχοντες τὸ προειρημένον, ἐνθαῦτα ὁ
Κῦρος, (ἦν γάρ τις χῶρος τῆς Περσικῆς ἀκανθώδης,
ὅσον τε ἐπὶ ὀκτωκαίδεκα ςαδίȣς ἢ εἴκοσι) πάντα τȣ̃τόν
σφι τὸν χῶρον προεῖπε ἐξημερῶσαι ἐν ἡμέρῃ· ἐπιτελε-
σάντων δὲ τῶν Περσέων τὸν προκείμενον ἄεθλον, δεύτε-
ρά σφι προεῖπε, ἐς τὴν ὑςεραίην παρεῖναι λελȣμένȣς· ἐν
δὲ τȣ́τῳ τά τε αἰπόλια καὶ τὰς ποίμνας καὶ τὰ βȣκόλια
ὁ

c. 125. & 126. Persarum populi, & Cyri artes, impellentis eos ab Astyage deficere.

ὁ Κῦρος πάντα τοῦ πατρὸς συναλίσας ἐς τοῦτο, ἔθυε καὶ παρεσκεύαζε, ὡς δεξόμενος τῶν Περσέων τὸν στρατόν· πρὸς δὲ οἴνῳ τε καὶ σιτίοισι ὡς ἐπιτηδεωτάτοισι. ἀπικομένους δὲ τῇ ὑστεραίῃ τοὺς Πέρσας κατακλίνας ἐς λειμῶνα, εὐώχεε. ἐπεί τε δὲ ἀπὸ δείπνου ἦσαν, εἴρετό σφεας ὁ Κῦρος, κότερα τὰ τῇ προτεραίῃ εἶχον, ἢ τὰ παρεόντά σφι εἴη αἱρετώτερα. οἱ δὲ ἔφασαν πολλὸν εἶναι αὐτέων τὸ μέσον· τὴν μὲν γὰρ προτέρην ἡμέρην πάντα σφι κακὰ ἔχειν· τὴν δὲ τότε παρεοῦσαν, πάντα ἀγαθά. παραλαβὼν δὲ τοῦτο τὸ ἔπος ὁ Κῦρος, παρεγύμνου τὸν πάντα λόγον, λέγων· "Ἄνδρες Πέρσαι, οὕτω ὑμῖν ἔχει. βουλομένοισι μὲν ἐμέο πείθεσθαι, ἔστι τάδε τε καὶ ἄλλα μυρία ἀγαθὰ, οὐδένα πόνον δουλοπρεπέα ἔχουσι· μὴ βουλομένοισι δὲ ἐμέο πείθεσθαι, εἰσὶ ὑμῖν πόνοι τῷ χθιζῷ παραπλήσιοι ἀναρίθμητοι· νῦν ὦν ἐμέο πειθόμενοι, γίνεσθε ἐλεύθεροι· αὐτός τε γὰρ δοκέω θείῃ τύχῃ γεγονὼς, τάδε ἐς χεῖρας ἄγεσθαι. καὶ ὑμέας ἥγημαι ἄνδρας Μήδων εἶναι οὐ φαυλοτέρους, οὔτε τἆλλα οὔτε τὰ πολέμια· ὡς ὦν ἐχόντων ὧδε, ἀπίστασθε ἀπ' Ἀστυάγεος τὴν ταχίστην." Πέρσαι μέν νυν προστάτεω ἐπιλαβόμενοι, ἄσμενοι ἐλευθεροῦντο, καὶ πάλαι δεινὸν ποιεύμενοι ὑπὸ Μήδων ἄρχεσθαι. Ἀστυάγης δὲ ὡς ἐπύθετο Κῦρον πρήσσοντα ταῦτα, πέμψας ἄγγελον, ἐκάλεε αὐτόν· ὁ δὲ Κῦρος ἐκέλευε τὸν ἄγγελον ἀπαγγέλλειν, ὅτι πρότερον ἥξοι παρ' ἐκεῖνον ἢ αὐτὸς Ἀστυάγης βουλήσεται. ἀκούσας δὲ ταῦτα ὁ Ἀστυάγης, Μήδους τε ὥπλισε πάντας, καὶ στρατηγὸν αὐτέων ὥστε θεοβλαβὴς ἐὼν, ἀπέδεξε Ἅρπαγον, λήθην ποιεύμενος τά μιν ἐόργεε. ὡς δ' οἱ Μῆδοι στρατευσάμενοι τοῖσι Πέρσῃσι συνέμισγον, οἱ μέν τινες αὐτέων ἐμάχοντο, ὅσοι μὴ τοῦ λόγου μετέσχον· οἱ δὲ αὐτομόλεον πρὸς τοὺς Πέρσας· οἱ δὲ πλεῖστοι ἐθελοκάκεόν τε καὶ ἔφευγον. Διαλυθέντος δὲ τοῦ Μηδικοῦ στρατεύματος αἰσχρῶς, ὡς ἐπύθετο τάχιστα ὁ Ἀστυάγης, ἔφη, ἀπειλέων τῷ Κύρῳ, "Ἀλλ' οὐδ' ὡς ὁ Κῦρός γε χαιρήσει." Τοσαῦτα εἴπας, πρῶτον μὲν τῶν μάγων τοὺς ὀνειροπόλους, οἵ μιν ἀνέγνωσαν μετεῖναι τὸν Κῦρον, τούτους ἀνεσκολόπισε. μετὰ δὲ, ὥπλισε τοὺς ὑπολειφθέντας τῶν Μήδων ἐν τῷ ἄστεϊ, νέους τε καὶ πρεσβύτας ἄνδρας. ἐξαγαγὼν δὲ τού-

cap. 127. Medi prælio fusi.

cap. 128. Altero prælio Astyages ipse victus & vivus captus a. 550.

τους

τους, καὶ συμβαλὼν τοῖσι Πέρσῃσι, ἑσσώθη· καὶ αὐτὸς ὁ Ἀστυάγης ἐζωγρήθη, καὶ τοὺς ἐξήγαγε τῶν Μήδων ἀπέβαλε.

cap. 129. Harpago insultanti quid Astyages captivus responderit.

Ἐόντι δὲ αἰχμαλώτῳ τῷ Ἀστυάγεϊ προστὰς ὁ Ἅρπαγος, κατέχαιρέ τε καὶ κατεκερτόμεε, καὶ ἄλλα λέγων ἐς αὐτὸν θυμαλγέα ἔπεα, καὶ δὴ καὶ εἴρετό μιν πρὸς τὸ ἑωϋτοῦ δεῖπνον, τό μιν ἐκεῖνος σαρξὶ τοῦ παιδὸς ἐθοίνισε, ὅ, τι εἴη ἡ ἐκείνου δουλοσύνη ἀντὶ τῆς βασιληΐης. ὁ δέ μιν προσιδὼν ἀντείρετο, εἰ ἑωϋτοῦ ποιέεται τὸ Κύρου ἔργον. Ἅρπαγος δὲ ἔφη, αὐτὸς γὰρ γράψαι, τὸ πρῆγμα δὴ ἑωϋτοῦ δικαίως εἶναι. Ἀστυάγης δέ μιν ἀπέφαινε τῷ λόγῳ σκαιότατόν γε καὶ ἀδικώτατον ἐόντα πάντων ἀνθρώπων· σκαιότατον μέν γε, εἰ παρεὸν αὐτῷ βασιλέα γενέσθαι, εἰ δὴ δι' ἑωϋτοῦ γε ἐπρήχθη τὰ παρεόντα, ἄλλῳ περιέθηκε τὸ κράτος· ἀδικώτατον δὲ, ὅτι τοῦ δείπνου εἵνεκε Μήδους κατεδούλωσε· εἰ γὰρ δὴ δέον πάντως περιθεῖναι ἄλλῳ τέῳ τὴν βασιληΐην, καὶ μὴ αὐτὸν ἔχειν, δικαιότερον εἶναι Μήδων τέῳ περιβαλεῖν τοῦτο τὸ ἀγαθὸν ἢ Περσέων· νῦν δὲ Μήδους μὲν, ἀναιτίους τούτου ἐόντας, δούλους ἀντὶ δεσποτέων γεγονέναι· Πέρσας δὲ, δούλους ἐόντας τοπρὶν Μήδων, νῦν γεγονέναι δεσπότας. Ἀστυάγης μέν νυν βασιλεύσας ἐπ' ἔτεα πέντε καὶ τριήκοντα, οὕτω τῆς βασιληΐης κατεπαύθη.

cap. 130. Quamdiu Medi Asiæ imperarint. Parcit Astyagi Cyrus.

Μῆδοι δὲ ὑπέκυψαν Πέρσῃσι διὰ τὴν τούτου πικρότητα, ἄρξαντες τῆς ἄνω Ἅλυος ποταμοῦ Ἀσίης ἐπ' ἔτεα τριήκοντα καὶ ἑκατὸν δυῶν δέοντα, παρὲξ ἢ ὅσον οἱ Σκύθαι ἦρχον. ὑστέρῳ μέντοι χρόνῳ μετεμέλησέ τέ σφι ταῦτα ποιήσασι, καὶ ἀπέστησαν ἀπὸ Δαρείου· ἀποστάντες δὲ ὀπίσω κατεστράφθησαν, μάχῃ νικηθέντες. τότε δὲ ἐπὶ Ἀστυάγεος οἱ Πέρσαι τε καὶ ὁ Κῦρος ἐπαναστάντες τοῖσι Μήδοισι, ἦρχον τὸ ἀπὸ τούτου τῆς Ἀσίης. Ἀστυάγεα δὲ Κῦρος, κακὸν οὐδὲν ἄλλο ποιήσας, εἶχε παρ' ἑωϋτῷ, ἐς ὃ ἐτελεύτησε· οὕτω δὴ Κῦρος γενόμενός τε καὶ τραφεὶς, καὶ ἐβασίλευσε, καὶ Κροῖσον ὕστερον τοῦτον ἄρξαντα ἀδικίης κατεστρέψατο, ὡς εἴρηταί μοι τοπρότερον· τοῦτον δὲ καταστρεψάμενος, οὕτω πάσης τῆς Ἀσίης ἦρξε.

b. *Babyloniorum.*

Ἡ δὲ Χαλδαίων [ἀρχὴ] λείπεται στοιχειωθῆναι, ἥτις ἀπὸ Σαλμανασὰρ, ὃν καὶ Ναβονασὰρ καλοῦσι, λαμβάνεται, παρά τε Χαλδαίοις ἐν τῇ τῶν ἀστέρων ψηφοφορίᾳ, καὶ παρὰ τοῖς Ἑλλήνων μαθηματικοῖς, ὡς μαρτυρεῖ ὁ σοφώτατος Κλαύδιος ὁ Πτολεμαῖος ἐν τῇ μεγάλῃ συντάξει τῇ τῆς ἀστρονομίας, τοῖς ἀπὸ Ναβονασάρου χρώμενος ἔτεσιν, ἔν τε ταῖς τῶν δύο φωστήρων ἐποχαῖς, συνόδοις τε, καὶ πανσελήνοις, καὶ ἐν ταῖς κατ' αὐτὰς συμβαινούσαις σεληνιακαῖς καὶ ἡλιακαῖς ἐκλείψεσιν, ἔντε ταῖς τῶν πέντε πλανωμένων κατὰ μῆκος καὶ πλάτος ψηφοφορίαις, καὶ τῶν λοιπῶν ἀπλανῶν ἀστέρων. πάντων γὰρ αὐτὴν ἀκριβεστέραν, ὁμολογοῦσιν εἶναι, συνάγουσαν ἀπὸ τοῦ αὐτοῦ Ναβονασάρου, ἐπεὶ τὸ πρῶτον, ἤτοι ζ' ἔτος Ἀλεξάνδρου τοῦ Μακεδόνων, καὶ Περσῶν, καὶ πάσης σχεδὸν τῆς οἰκουμένης βασιλεύσαντος ἔτη υιθ'. ἐπὶ δὲ τὴν τελευτὴν τοῦ αὐτοῦ Ἀλεξάνδρου ἔτη υκδ'. Georg. Syncell. pag. 165. ed. Venet. p. 206. ed. Paris.

Ἀπὸ δὲ Ναβονασάρου τοὺς χρόνους τῆς τῶν ἀστέρων κινήσεως Χαλδαῖοι ἠκρίβωσαν, καὶ ἀπὸ Χαλδαίων οἱ παρ' Ἕλλησι μαθηματικοὶ λαβόντες· ἐπειδὰν, ὡς ὁ Ἀλέξανδρος καὶ Βηρωσσός φασιν, οἱ τὰς Χαλδαϊκὰς ἀρχαιολογίας περιειληφότες, Ναβονάσαρος συναγαγὼν τὰς πράξεις τῶν πρὸ αὐτοῦ βασιλέων, ἠφάνισεν, ὅπως ἀπ' αὐτοῦ ἡ καταρίθμησις γίνεται τῶν Χαλδαίων βασιλέων.

Λέξω δὲ νῦν ἤδη τὰ παρὰ Χαλδαίοις ἀναγεγραμμένα καὶ ἱστορούμενα περὶ ἡμῶν, ἅπερ ἔχει πολλὴν ὁμολογίαν καὶ περὶ τῶν ἄλλων τοῖς ἡμετέροις γράμμασι. μάρτυς δὲ τούτων Βηρωσσὸς, ἀνὴρ Χαλδαῖος μὲν τὸ γένος, γνώριμος δὲ τοῖς περὶ παιδείαν ἀναστρεφομένοις, ἐπειδὴ περί τε ἀστρονομίας, καὶ περὶ τῶν παρὰ Χαλδαίοις φιλοσοφουμένων αὐτὸς εἰς τοὺς Ἕλληνας ἐξήνεγκε τὰς συγγραφάς. οὗτος τοίνυν ὁ Βηρωσσὸς ταῖς ἀρχαιοτάταις ἐπακολουθῶν ἀναγραφαῖς, περί τε τοῦ γενομένου κατακλυσμοῦ καὶ τῆς ἐν αὐτῷ φθορᾶς τῶν ἀνθρώπων, καθάπερ Μωϋσῆς οὕτως ἱστόρηκε· καὶ περὶ τῆς λάρνακος, ἐν ᾗ Νῶχος ὁ τοῦ γένους ἡμῶν ἀρχηγὸς διεσώθη, προσενεχθείσης αὐτῆς ταῖς ἀκρωρείαις τῶν Ἀρμενίων ὀρῶν. εἶτα τοὺς ἀπὸ Νώχου κατα- *Josephus* contra Apion. I. cap. 19—21. Berosus Chaldæus.

καταλέγων, καὶ τὰς χρόνους αὐτοῖς προστιθεὶς, ἐπὶ Ναβολάσσαρον παραγίνεται, τὸν Βαβυλῶνος καὶ Χαλδαίων βασιλέα, καὶ τὰς τούτου πράξεις ἀφηγούμενος λέγει, "τίνα "τρόπον πέμψας ἐπὶ τὴν Αἴγυπτον καὶ ἐπὶ τὴν ἡμετέ-"ραν γῆν τὸν υἱὸν τὸν ἑαυτοῦ Ναβουχοδονόσορον μετὰ πολ-"λῆς δυνάμεως, ἐπειδήπερ ἀφεστῶτας αὐτοὺς ἐπύθετο, "πάντων ἐκράτησε, καὶ τὸν ναὸν ἐνέπρησε τὸν ἐν Ἱερο-"σολύμοις, ὅλως τε πάντα τὸν παρ' ἡμῶν λαὸν ἀναστή-"σας, εἰς Βαβυλῶνα μετῴκησεν. συνέβη δὲ καὶ τὴν πό-"λιν ἐρημωθῆναι χρόνον ἐτῶν ἑβδομήκοντα, μέχρι Κύρου "τοῦ Περσῶν βασιλέως. κρατῆσαι δὲ φησὶ τὸν Βαβυλώ-"νιον Αἰγύπτου, Συρίας, Φοινίκης, Ἀραβίας, πάντας δὲ "ὑπερβαλλόμενον ταῖς πράξεσι τοὺς πρὸ αὐτοῦ Χαλδαίων "καὶ Βαβυλωνίων βεβασιλευκότας." εἶθ' ἑξῆς ὑποκαταβὰς ὀλίγον ὁ Βηρωσσὸς, πάλιν παρατίθεται ἐν τῇ τῆς ἀρχαιότητος ἱστοριογραφίᾳ. αὐτὰ δὲ παραθήσομαι τὰ τοῦ Βηρωσσοῦ, τοῦτον ἔχοντα τὸν τρόπον. "ἀκούσας δὲ ὁ πατὴρ "αὐτοῦ Ναβολάσσαρος, ὅτι ὁ τεταγμένος σατράπης ἔν τε "Αἰγύπτῳ καὶ τοῖς περὶ τὴν Συρίαν τὴν Κοίλην καὶ τὴν "Φοινίκην τόποις ἀποστάτης γέγονεν, οὐ δυνάμενος αὐτὸς "ἔτι κακοπαθεῖν, συστήσας τῷ υἱῷ Ναβουχοδονοσόρῳ ὄντι "ἔτι ἐν ἡλικίᾳ, μέρη τινα τῆς δυνάμεως, ἐξέπεμψεν ἐπ' "αὐτόν. συμμίξας δὲ Ναβουχοδονόσορος τῷ ἀποστάτῃ, καὶ "παραταξάμενος, αὐτοῦ τε ἐκυρίευσεν, καὶ τὴν χώραν ἐξ "ἀρχῆς ὑπὸ τὴν αὐτοῦ βασιλείαν ἐποίησεν. τῷ δὲ πατρὶ "αὐτοῦ συνέβη Ναβολασσάρῳ, κατὰ τοῦτον τὸν καιρὸν ἀῤῥω-"στήσαντι, ἐν τῇ Βαβυλωνίων πόλει μεταλλάξαι τὸν βίον, "ἔτη βεβασιλευκότι εἴκοσιν ἐννέα. αἰσθόμενος δὲ μετ' οὐ "πολὺ τὴν τοῦ πατρὸς τελευτὴν Ναβουχοδονόσορος, κατα-"στήσας τὰ κατὰ τὴν Αἴγυπτον πράγματα καὶ τὴν λοιπὴν "χώραν, καὶ τοὺς αἰχμαλώτους Ἰουδαίων τε καὶ Φοινίκων "καὶ Σύρων καὶ τῶν κατὰ τὴν Αἴγυπτον ἐθνῶν συντά-"ξας τισὶ τῶν φίλων, μετὰ βαρυτάτης δυνάμεως καὶ τῆς "λοιπῆς ὠφελείας ἀνακομίζειν εἰς τὴν Βαβυλωνίαν, αὐ-"τὸς ὁρμήσας ὀλιγοστὸς παρεγένοτο διὰ τῆς ἐρήμου εἰς Βα-"βυλῶνα. καταλαβὼν δὲ τὰ πράγματα διοικούμενα ὑπὸ "Χαλδαίων, καὶ διατηρουμένην τὴν βασιλείαν ὑπὸ τοῦ βελ-"τίστου αὐτῶν, κυριεύσας ἐξ ὁλοκλήρου τῆς πατρικῆς ἀρ-

"χῆς, τοῖς μὲν αἰχμαλώτοις παραγενόμενος συνέταξεν αὐτοῖς ἀποικίας ἐν τοῖς ἐπιτηδειοτάτοις τῆς Βαβυλωνίας τόποις ἀποδεῖξαι. αὐτὸς δὲ ἀπὸ τῶν ἐκ τοῦ πολέμου λαφύρων τό τε Βήλου ἱερὸν καὶ τὰ λοιπὰ κοσμήσας φιλοτίμως, τήν τε ὑπάρχουσαν ἐξ ἀρχῆς πόλιν, καὶ ἑτέραν ἔξωθεν προσχαρισάμενος καὶ ἀνακαινήσας. πρὸς τὸ μηκέτι δύνασθαι τοὺς πολιορκοῦντας τὸν ποταμὸν ἀναστρέψοντας ἐπὶ τὴν πόλιν κατασκευάζειν, ὑπερεβάλετο τρεῖς μὲν τῆς ἔνδον πόλεως περιβόλους, τρεῖς δὲ τῆς ἔξω τούτων, τοὺς μὲν ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, τοὺς δὲ ἐξ αὐτῆς τῆς πλίνθου. καὶ τειχίσας ἀξιολόγως τὴν πόλιν, καὶ τοὺς πυλῶνας κοσμήσας ἱεροπρεπῶς, προσκατεσκεύακεν τοῖς πατρικοῖς βασιλείοις ἕτερα βασίλεια ἐχόμενα ἐκείνων, ὑπεραίροντα ἀνάστημα καὶ τὴν πολλὴν πολυτέλειαν. μακρὰ δ' ἴσως ἔσται ἐάν τις ἐξηγῆται. πλὴν ὄντα γε εἰς ὑπερβολὴν ὡς μεγάλα καὶ ὑπερήφανα, συνετελέσθη ἡμέραις δεκαπέντε. ἐν δὲ τοῖς βασιλείοις τούτοις ἀναλήμματα λίθινα ὑψηλὰ ἀνῳκοδομήσας, καὶ τὴν ὄψιν ἀποδοὺς ὁμοιοτάτην τοῖς ὄρεσι, καταφυτεύσας δένδρεσι παντοδαποῖς ἐξειργάσατο, καὶ κατασκευάσας τὸν καλούμενον κρεμαστὸν παράδεισον, διὰ τὸ τὴν γυναῖκα αὐτοῦ ἐπιθυμεῖν τῆς ὀρείας διαθέσεως, τεθραμμένην ἐν τοῖς κατὰ τὴν Μηδίαν τόποις."

cap. 20. Alia ex Beroso testimonia.

Ταῦτα μὲν οὗτος ἱστόρησε περὶ τοῦ προειρημένου βασιλέως, καὶ πολλὰ πρὸς τούτοις ἐν τῇ τρίτῃ βίβλῳ τῶν Χαλδαϊκῶν, ἐν ᾗ μέμφεται τοῖς Ἑλληνικοῖς συγγραφεῦσιν, ὡς μάτην οἰομένοις ὑπὸ Σεμιράμιδος τῆς Ἀσσυρίας κτισθῆναι τὴν Βαβυλῶνα, καὶ τὰ θαυμάσια κατασκευασθῆναι περὶ αὐτὴν ὑπ' ἐκείνης ἔργα ψευδῶς γεγραφόσι. καὶ κατὰ ταῦτα τὴν μὲν τῶν Χαλδαίων γραφὴν ἀξιόπιστον ἡγητέον· οὐ μὴν ἀλλὰ κἀν τοῖς ἀρχείοις τῶν Φοινίκων σύμφωνα τοῖς ὑπὸ Βηρασσοῦ λεγομένοις ἀναγέγραπται περὶ τοῦ τῶν Βαβυλωνίων βασιλέως, ὅτι καὶ τὴν Συρίαν καὶ τὴν Φοινίκην ἅπασαν ἐκεῖνος κατεστρέψατο. περὶ τούτων γοῦν συμφωνεῖ καὶ Φιλόστρατος ἐν ταῖς ἱστορίαις, μεμνημένος τῆς Τύρου πολιορκίας. καὶ Μεγαθένης ἐν τῇ τετάρτῃ τῶν Ἰνδικῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται τὸν προειρημένον βασιλέα τῶν Βαβυλωνίων, Ἡρακλέους ἀνδρείᾳ καὶ μέ-

γέθει

γέθει πράξεων διενηνοχέναι· καταςρέψαϑαι γὰρ αὐτὸν φησὶ καὶ Λιβύης τὴν πολλὴν καὶ Ἰβηρίαν. τὰ δὲ περὶ τȣ͂ ναȣ͂ προειρημένα τȣ͂ ἐν Ἱεροσολύμοις, ὅτι κατεπρήϑη μὲν ὑπὸ τῶν Βαβυλωνίων ἐπιςρατευσάντων, ἤρξατο δὲ πάλιν ἀνοικοδομεῖϑαι, Κύρȣ τῆς Ἀσίας τὴν βασιλείαν παρειληφότος, ἐκ τȣ͂ Βηρωσσȣ͂ σαφῶς ἐπιδειχϑήσεται παρατεϑέντων. λέγει γὰρ ȣ̔́τω διὰ τῆς τρίτης. "Ναβȣχοδονόσορος μὲν ȣ͂ν μετὰ τὸ ἄρξαϑαι τȣ͂ προειρημένȣ τείχȣς, "ἐμπεσὼν εἰς ἀῤῥωςίαν, μετηλλάξατο τὸν βίον, βεβασιλευκὼς ἔτη τεσσαράκοντα τρία. τῆς δὲ βασιλείας κύ"ριος ἐγένετο ὁ υἱὸς αὐτȣ͂ Ευειλμαράδȣχος. ȣ̔͂τος προ"ςὰς τῶν πραγμάτων ἀνόμως καὶ ἀσελγῶς, ἐπιβȣλευ"ϑεὶς ὑπὸ τȣ͂ τὴν ἀδελφὴν ἔχοντος αὐτȣ͂ Νηριγλισσοόρȣ "ἀνῃρέϑη, βασιλεύσας ἔτη δύο. μετὰ δὲ τὸ ἀναιρεϑῆ"ναι τȣ͂τον, διαδεξάμενος τὴν ἀρχὴν ὁ ἐπιβȣλεύσας αὐτῷ "Νηριγλισόορος, ἐβασίλευσεν ἔτη τέσσαρα. τȣ́τȣ υἱὸς "Λαβοροσοάρχοδος ἐκυρίευσε μὲν τῆς βασιλείας παῖς ὢν "μῆνας ἐννέα· ἐπιβȣλευϑεὶς δὲ, διὰ τὸ πολλὰ ἐμφαίνειν "κακοήϑη, ὑπὸ τῶν φίλων ἀπετυμπανίϑη. ἀπολομένȣ "δὲ τȣ́τȣ, συνελϑόντες οἱ ἐπιβȣλεύσαντες αὐτῷ, κοινῇ "τὴν βασιλείαν περιέϑηκαν Ναβοννήδῳ τινὶ τῶν ἐκ Βαβυ"λῶνος, ὄντι ἐκ τῆς αὐτῆς ἐπισυςάσεως. ἐπὶ τȣ́τȣ τὰ "περὶ τὸν ποταμὸν τείχη τῆς Βαβυλωνίων πόλεως, ἐξ "ὀπτῆς πλίνϑȣ καὶ ἀσφάλτȣ κατεκοσμήϑη. ȣ̔́σης δὲ τῆς "βασιλείας αὐτȣ͂ ἐν τῷ ἑπτακαιδεκάτῳ ἔτει, προεξεληλυϑὼς Κῦρος ἐκ τῆς Περσίδος μετὰ δυνάμεως πολλῆς, "καὶ καταςρεψάμενος τὴν λοιπὴν Ἀσίαν πᾶσαν, ὥρμη"σεν ἐπὶ τῆς Βαβυλωνίας. αἰσϑόμενος δὲ Ναβόννηδος "τὴν ἔφοδον αὐτȣ͂, ἀπαντήσας μετὰ τῆς δυνάμεως καὶ "παραταξάμενος, ἡττηϑεὶς τῇ μάχῃ καὶ φυγὼν ὀλιγο"ςὸς, συνεκλείσϑη εἰς τὴν Βορσιππηνῶν πόλιν. Κῦρος δὲ "Βαβυλῶνα καταλαβόμενος, καὶ συντάξας τὰ ἔξω τῆς "πόλεως τείχη κατασκάψαι, διὰ τὸ λίαν αὐτῷ πραγμα"τικὴν καὶ δυσάλωτον φανῆναι τὴν πόλιν, ἀνέζευξεν "ἐπὶ Βόρσιππον, ἐκπολιορκήσων τὸν Ναβόννηδον. τȣ͂ δὲ "Ναβοννήδȣ ȣ̓χ ὑπομείναντος τὴν πολιορκίαν, ἀλλ' ἐγ"χειρήσαντος αὐτὸν, πρότερον χρησάμενος Κῦρος φιλαν"ϑρώπως, καὶ δȣ̀ς οἰκητήριον αὐτῷ Καρμανίαν, ἐξέπεμ-

ψεν

"ψεν ἐκ τῆς Βαβυλωνίας. Ναβόννηδος μὲν ὖν, τὸ λοι-
"πὸν τῦ χρόνυ διαγενόμενος ἐν ἐκείνῃ τῇ χώρᾳ, κατέ-
"ςρεψε τὸν βίον."

Ταῦτα σύμφωνον ἔχει ταῖς ἡμετέραις βίβλοις τὴν ἀλήθειαν. γέγραπται γὰρ ἐν αὐταῖς, ὅτι Ναβυχοδονόσορος ὀκτωκαιδεκάτῳ τῆς αὐτῦ βασιλείας ἔτει τὸν παρ' ἡμῶν ναὸν ἠρήμωσε, καὶ ἦν ἀφανὴς ἐπὶ ἔτη πεντήκοντα· δευτέρῳ δὲ τῆς Κύρυ βασιλείας ἔτει τῶν θεμελίων ὑποβληθέντων, δευτέρῳ πάλιν τῆς Δαρείυ βασιλείας ἀπετελέσθη. προσθήσω δὲ καὶ τὰς τῶν Φοινίκων ἀναγραφάς. ὐ γὰρ παραληπτέον τῶν ἀποδείξεων τὴν περιυσίαν. ἔςι δὲ τοιαύτη τῶν χρόνων ἡ καταρίθμησις. "ἐπεὶ Ἐιθω-"βάλυ τῦ βασιλέως ἐπολιόρκησε Ναβυχοδονόσορος τὴν Τύ-"ρον ἐπ' ἔτη δεκατρία. μετὰ τῦτον ἐβασίλευσε Βαὰλ ἔτη "δέκα. μετὰ τῦτον δικαςαὶ κατεςάθησαν καὶ ἐδίκασαν. "Ἐκνίβαλος Βασλάχυ μῆνας δύο, Χέλβης Ἀβδαίυ μῆνας "δέκα, Ἄββαρος ἀρχιερεὺς μῆνας τρεῖς. Μύτγονος καὶ "Γεράςρατος τῦ Ἀβδηλέμυ δικαςαὶ ἔτη ἕξ, ὧν μεταξὺ "ἐβασίλευσε Βαλάτορος ἐνιαυτὸν ἕνα. τύτυ τελευτήσαν-"τος, ἀποςείλαντες μετεπέμψαντο Μέρβαλον ἐκ τῆς Βα-"βυλῶνος, καὶ ἐβασίλευσεν ἔτη τέσσαρα. τύτυ τελευτή-"σαντος μετεπέμψαντο τὸν ἀδελφὸν αὐτῦ Εἴρωμον, ὃς "ἐβασίλευσε ἔτη εἴκοσιν. ἐπὶ τύτυ Κῦρος Περσῶν ἐδυνά-"ςευσεν." ὐκῦν ὁ σύμπας χρόνος ἔτη πεντήκοντα τέσσαρα καὶ τρεῖς μῆνες πρὸς αὐτοῖς. ἑβδόμῳ μὲν γὰρ περὶ τῆς Ναβυχοδονοσόρυ βασιλείας ἤρξατο πολιορκεῖν Τύρον, τέσσαρεσκαιδεκάτῳ δ' ἔτει τῆς Εἰρώμυ Κῦρος ὁ Πέρσης τὸ κράτος παρέλαβεν.

cap. 21. Cum quo consentiunt sacræ literæ, Phœnicumque historiæ.

Ἐπεὶ δὲ πρὸς Βαβυλῶνι ἦν ὁ Κῦρος, περιέςησε μὲν πᾶν τὸ ςράτευμα περὶ τὴν πόλιν, ἔπειτα αὐτὸς περιήλαυνε τὴν πόλιν σὺν τοῖς φίλοις τε καὶ ἐπικαιρίοις τῶν συμμάχων. ἐπεὶ δὲ κατεθεάσατο τὰ τείχη, ἀπάγειν παρεσκευάσατο τὴν ςρατιὰν ἀπὸ τῆς πόλεως· ἐξελθὼν δέ τις αὐτόμολος εἶπεν, ὅτι ἐπιτίθεσθαι μέλλοιεν αὐτῷ, ὁπότε ἀπάγοι τὸ ςράτευμα· καταθεωμένοις γὰρ, ἔφη, αὐτοῖς ἀπὸ τῦ τείχυς ἀσθενὴς ἐδόκει εἶναι ἡ φάλαγξ. καὶ ὐδὲν θαυμαςὸν ἦν ὕτως ἔχειν· περὶ γὰρ πολὺ τεῖχος κυκλυμένυς

Nabonid. 555 — 538 ante Chr. Babylonis expugnatio. *Xenophont. Cyrop.* VII. 5.

μένȣς ἀνάγκη ἦν ἐπ᾽ ὀλίγον τὸ βάθος γενέϑαι τὴν Φάλαγγα. ἀκȣ́σας ȣ̓͂ν ὁ Κῦρος ταῦτα, ϛὰς κατὰ μέσον τῆς αὐτȣ͂ ϛρατιᾶς σὺν τοῖς περὶ αὐτὸν, παρήγγειλεν, ἀπὸ τȣ͂ ἄκρȣ ἑκατέρωθεν τȣ̀ς ὁπλίτας ἀναπτύσσοντας τὴν Φάλαγγα ἀπιέναι παρὰ τὸ ἑϛηκὸς τȣ͂ ϛρατεύματος, ἕως γένοιτο ἑκατέρωθεν τὸ ἄκρον καθ᾽ ἑαυτὸν καὶ κατὰ τὸ μέσον. Οὕτως ȣ̓͂ν ποιȣ́ντων, ὅι τε μένοντες εὐθὺς θαῤῥαλεώτεροι ἐγίγνοντο, ἐπὶ διπλάσιον τὸ βάθος γιγνόμενοι· οἵ τ᾽ ἀπιόντες, ὡσαύτως θαῤῥαλεώτεροι· εὐθὺς γὰρ οἱ μένοντες αὐτῶν πρὸς τοῖς πολεμίοις ἐγίγνοντο. ἐπεὶ δὲ πορευόμενοι ἑκατέρωθεν συνῆψαν τὰ ἄκρα, ἔϛησαν ἰσχυρότεροι γεγενημένοι, οἵ τε ἀπεληλυθότες, διὰ τȣ̀ς ἔμπροσθεν, οἵ τ᾽ ἔμπροσθεν, διὰ τȣ̀ς ὄπισθεν προσγεγενημένȣς. Ἀναπτυχθείσης δ᾽ ȣ̓́τω τῆς Φάλαγγος, ἀνάγκη τȣ̀ς πρώτȣς ἀρίϛȣς εἶναι καὶ τȣ̀ς τελευταίȣς, ἐν μέσῳ δὲ τȣ̀ς κακίϛȣς τετάχθαι· ἡ δ᾽ ȣ̓́τως ἔχȣσα τάξις, καὶ πρὸς τὸ μάχεσθαι ἐδόκει εὖ παρεσκευάσθαι, καὶ πρὸς τὸ μὴ Φεύγειν. καὶ οἱ ἱππεῖς δὲ καὶ οἱ γυμνῆται ὅσῳ ἀπὸ τῶν κεράτων ἀεὶ ἐγγύτερον ἐγίγνοντο τȣ͂ ἄρχοντος, τοσȣ́τῳ ἡ Φάλαγξ βραχυτέρα ἐγίγνετο ἀναδιπλȣμένη. ἐπεὶ δὲ ȣ̓́τω συνεσπειράθησαν, ἀπῄεσαν, ἕως μὲν ἐξικνεῖτο τὰ βέλη ἀπὸ τȣ͂ τείχȣς, ἐπὶ πόδα· ἐπεὶ δὲ ἔξω βελῶν ἐγένοντο, ϛραφέντες, καὶ τὸ μὲν πρῶτον ὀλίγα βήματα προϊόντες μετεβάλλοντο ἐπ᾽ ἀσπίδα, καὶ ἵϛαντο πρὸς τὸ τεῖχος βλέποντες· ὅσῳ δὲ προσωτέρω ἐγίγνοντο, τοσῷδε μανότερον μετεβάλλοντο. ἐπεὶ δὲ ἐν τῷ ἀσφαλεῖ ἐδόκȣν εἶναι, ξυνεῖρον ἀπιόντες, ἔϛε ἐπὶ ταῖς σκηναῖς ἐγένοντο.

Quasi ad obsidendam urbem, fossa lata profundaque circumducitur.

Ἐπεὶ δὲ κατεϛρατοπεδεύσαντο, συνεκάλεσεν ὁ Κῦρος τȣ̀ς ἐπικαιρίȣς, καὶ ἔλεξεν· ἄνδρες σύμμαχοι, τεθεάμεθα μὲν κύκλῳ τὴν πόλιν· ἐγὼ δὲ, ὅπως μὲν ἄν τις τείχη ȣ̓́τως ἰσχυρὰ καὶ ὑψηλὰ προσμαχόμενος ἕλοι, ȣ̓κ ἐνορᾷν μοι δοκῶ· ὅσῳ δὲ πλέονες ἄνθρωποι ἐν τῇ πόλει εἰσὶν, ἐπείπερ ȣ̓ μάχονται ἐξιόντες, τοσȣ́τῳ ἂν θᾶττον λιμῷ αὐτȣ̀ς ἡγȣ͂μαι ἁλῶναι. εἰ μή τινα ȣ̓͂ν ἄλλον τρόπον ἔχετε λέγειν, τȣ́τῳ πολιορκητέȣς Φημὶ εἶναι τȣ̀ς ἄνδρας. καὶ ὁ Χρυσάντας εἶπεν· ὁ δὲ ποταμὸς, ἔφη, ȣ̓͂τος ȣ̓ διὰ μέσης τῆς πόλεως ῥεῖ, πλάτος ἔχων πλεῖον, ἢ ἐπὶ δύο ϛάδια; Ναὶ μὰ Δί᾽, ἔφη ὁ Γωβρύας· καὶ βάθος

γε

γε ὡς ἐδ' ἂν δύο ἄνδρες, ὁ ἕτερος ἐπὶ τε ἑτέρε ἑςηκὼς, τοῖς ὕδατος ὑπερέχοιεν· ὥςε τῷ ποταμῷ ἔτι ἰσχυροτέρα ἐςὶν ἡ πόλις, ἢ τοῖς τείχεσι. Καὶ ὁ Κῦρος, ταῦτα μὲν, ἔφη, ὦ Χρύσαντα, ἐῶμεν, ὅσα κρείττω ἐςὶ τῆς ἡμετέρας δυνάμεως. διαμετρησαμένες δὲ χρὴ ὡς τάχιςα τὸ μέρος ἑκάςε ἡμῶν, ὀρύττειν τάφρον ὡς πλατυτάτην καὶ βαθυτάτην, ὅπως ὅτι ἐλαχίςων ἡμῖν τῶν φυλάκων δέοι. ὅτω δὴ κύκλῳ διαμετρήσας περὶ τὸ τεῖχος, ἀπολιπὼν ὅσον τύρσεσι μεγάλαις ἀπὸ τε ποταμε, ὤρυσσεν ἔνθεν καὶ ἔνθεν τε τείχες τάφρον ὑπερμεγέθη, καὶ τὴν γῆν ἀνέβαλλον πρὸς ἑαυτές. Καὶ πρῶτον μὲν πύργες ἐπὶ τῷ ποταμῷ ᾠκοδόμει, φοίνιξι θεμελιώσας ἐ μεῖον ἢ πλεθριαίοις· (εἰσὶ γὰρ καὶ μείζονες, ἢ τοσἒτοι τὸ μῆκος πεφυκότες· καὶ γὰρ δὴ πιεζόμενοι οἱ φοίνικες ὑπὸ βάρες ἄνω κυρτἒνται, ὥσπερ οἱ ὄνοι οἱ κανθήλιοι·) τέτες δ' ὑπετίθει τέτε ἕνεκα, ὅπως ὅτι μάλιςα ἐοίκοι πολιορκήσειν παρασκευαζομένῳ, ὡς, εἰ καὶ διαφύγοι ὁ ποταμὸς εἰς τὴν τάφρον, μὴ ἀνέλοι τὲς πύργες. Ἀνίςη δὲ καὶ ἄλλες πολλὲς πύργες ἐπὶ τῆς ἀμβολάδας γῆς, ὅπως ὅτι πλεῖςα φυλακτήρια εἴη. Οἱ μὲν δὴ ταῦτ' ἐποίεν· οἱ δὲ ἐν τῷ τείχει κατεγέλων τῆς πολιορκίας, ὡς ἔχοντες τὰ ἐπιτήδεια πλέον, ἢ εἴκοσιν ἐτῶν. Ἀκέσας δὲ ταῦτα ὁ Κῦρος, τὸ ςράτευμα κατένειμε δώδεκα μέρη, ὡς μῆνα τε ἐνιαυτε ἕκαςον τὸ μέρος φυλάξον. Οἱ δὲ αὖ Βαβυλώνιοι, ἀκέσαντες ταῦτα, πολὺ ἔτι μᾶλλον κατεγέλων, ἐννοέμενοι, εἰ σφᾶς Φρύγες καὶ Λυδοὶ καὶ Ἀράβιοι καὶ Καππαδόκαι φυλάξοιεν, ὲς σφίσιν ἐνόμιζον πάντας εὐμενεςέρες εἶναι ἢ Πέρσαις.

Καὶ αἱ μὲν τάφροι ἤδη ὀρωρυγμέναι ἦσαν. Ὁ δὲ Κῦρος, ἐπεὶ ἑορτὴν τοιαύτην ἐν Βαβυλῶνι ἤκεσεν εἶναι, ἐν ᾗ πάντες οἱ Βαβυλώνιοι ὅλην τὴν νύκτα πίνεσι καὶ κωμάζεσιν, ἐν ταύτῃ, ἐπεὶ τάχιςα συνεσκότασε, λαβὼν πολλὲς ἀνθρώπες, ἀνεςόμωσε τὰς τάφρες πρὸς τὸν ποταμόν. Ὡς δὲ τἒτο ἐγένετο, τὸ ὕδωρ κατὰ τὰς τάφρες ἐχώρει ἐν τῇ νυκτί· ἡ δὲ διὰ τῆς πόλεως τε ποταμε ὁδὸς πορεύσιμος ἀνθρώποις ἐγίγνετο. Ὡς δὲ τὸ τε ποταμε ὅτως ἐπορσύνετο, παρηγγύησεν ὁ Κῦρος Πέρσαις χιλιάρχοις καὶ πεζῶν καὶ ἱππέων, εἰς δύο ἄγοντας τὴν

Urbs, Euphrate in fossas derivato, vino somnoque sepulta capitur.

χιλιοστὺν παρεῖναι πρὸς αὐτὸν, τοὺς δ᾽ ἄλλους συμμάχους κατ᾽ οὐρὰν τούτων ἕπεσθαι, ᾗπερ πρόσθεν τεταγμένους. Οἱ μὲν δὴ παρῆσαν· ὁ δὲ καταβιβάσας εἰς τὸ ξηρὸν τοῦ ποταμοῦ τοὺς ὑπηρέτας καὶ πεζοὺς καὶ ἱππέας, ἐκέλευσε σκέψασθαι, εἰ πορεύσιμον εἴη τὸ ἔδαφος τοῦ ποταμοῦ. Ἐπεὶ δὲ ἀπήγγειλαν, ὅτι πορεύσιμον εἴη, ἐνταῦθα δὴ, συγκαλέσας τοὺς ἡγεμόνας τῶν πεζῶν καὶ τῶν ἱππέων, ἔλεξε τοιάδε. Ἄνδρες, ἔφη, φίλοι, ὁ μὲν ποταμὸς ἡμῖν παραχώρηκε τῆς εἰς τὴν πόλιν ὁδοῦ· ἡμεῖς δὲ θαῤῥοῦντες εἰσίωμεν δὴ εἴσω, ἐννοούμενοι, ὅτι οὗτοι, ἐφ᾽ οὓς νῦν πορευσόμεθα, ἐκεῖνοί εἰσιν, οὓς ἡμεῖς καὶ συμμάχους πρὸς ἑαυτοῖς ἔχοντας, καὶ ἐγρηγορότας ἅπαντας καὶ νήφοντας, καὶ ἐξωπλισμένους καὶ συντεταγμένους ἐνικῶμεν· νῦν δ᾽ ἐπ᾽ αὐτοὺς ἴμεν, ἐν ᾧ πολλοὶ μὲν αὐτῶν καθεύδουσι, πολλοὶ δ᾽ αὐτῶν μεθύουσι, πάντες δὲ ἀσύντακτοί εἰσιν· ὅταν δὲ καὶ αἴσθωνται ἡμᾶς ἔνδον ὄντας, πολὺ ἂν ἔτι μᾶλλον ἢ νῦν ἀχρεῖοι ἔσονται ὑπὸ τοῦ ἐκπεπλῆχθαι. Εἰ δέ τις τοῦτο ἐννοεῖται, ὃ δὴ λέγεται φοβερὸν εἶναι τοῖς εἰς πόλιν εἰσιοῦσι, μὴ ἐπὶ τὰ τέγη ἀναβάντες βάλλλωσιν ἔνθεν καὶ ἔνθεν, τοῦτο μάλιστα θαῤῥεῖτε· ἢν γὰρ ἀναβῶσί τινες ἐπὶ τὰς οἰκίας, ἔχομεν σύμμαχον θεὸν Ἥφαιστον. Εὔφλεκτα δὲ τὰ πρόθυρα αὐτῶν, φοίνικος μὲν αἱ θύραι πεποιημέναι, ἀσφάλτῳ δὲ ὑπεκκαύματι κεχρισμέναι. Ἡμεῖς δ᾽ αὖ πολλὴν μὲν δᾷδα ἔχομεν, ἣ ταχὺ πολὺ πῦρ τέξεται, πολλὴν δὲ πίτταν καὶ στυππεῖον, ἃ ταχὺ παρακαλεῖ πολλὴν φλόγα· ὥστε ἀνάγκην εἶναι, ἢ φεύγειν ταχὺ τοὺς ἀπὸ τῶν οἰκιῶν, ἢ ταχὺ κατακεκαῦσθαι. Ἀλλ᾽ ἄγετε, λαμβάνετε τὰ ὅπλα· ἡγήσομαι δὲ ἐγὼ σὺν τοῖς θεοῖς. Ὑμεῖς δ᾽, ἔφη, ὦ Γαδάτα καὶ Γωβρύα, δείκνυτε τὰς ὁδούς· ἴστε γάρ· ὅταν δὲ ἐντὸς γενώμεθα, τὴν ταχίστην ἄγετε ἐπὶ τὰ βασίλεια. Καὶ μὴν, ἔφασαν οἱ ἀμφὶ τὸν Γωβρύαν, οὐδὲν ἂν εἴη θαυμαστὸν, εἰ καὶ ἄκλειστοι αἱ πύλαι αἱ τοῦ βασιλείου εἶεν· ὡς ἐν κώμῳ γὰρ δοκεῖ ἡ πόλις πᾶσα εἶναι τῇδε τῇ νυκτί. Φυλακῇ μέντοι πρὸ τῶν πυλῶν ἐντευξόμεθα· ἔστι γὰρ αἰεὶ τεταγμένη. Οὐκ ἂν ἀμελεῖν δέοι, ἔφη ὁ Κῦρος, ἀλλ᾽ ἰέναι, ἵνα ἀπαρασκεύους ὡς μάλιστα λάβωμεν τοὺς ἄνδρας. Ἐπεὶ δὲ ταῦτα ἐῤῥήθη, ἐπορεύοντο· τῶν δὲ

ἀπαν-

ἀπαντώντων οἱ μὲν ἀπέθνησκον παιόμενοι, οἱ δ᾽ ἔφευγον πάλιν ὀπίσω· οἱ δ᾽ ἐβόων. Οἱ δ᾽ ἀμφὶ τὸν Γωβρύαν συνεβόων αὐτοῖς, ὡς κωμασαὶ ὄντες καὶ αὐτοί· καὶ ἰόντες ᾗ ἐδύναντο ὡς τάχιστα ἐπὶ τοῖς βασιλείοις ἐγένοντο. Καὶ οἱ μὲν σὺν τῷ Γωβρύᾳ καὶ Γαδάτᾳ τεταγμένοι κεκλεισμένας εὑρίσκουσι τὰς πύλας τοῦ βασιλείου· οἱ δ᾽ ἐπὶ τοὺς φύλακας ταχθέντες ἐπεισπίπτουσιν αὐτοῖς πίνουσι πρὸς φῶς πολὺ, καὶ εὐθὺς ὡς πολεμίοις ἐχρῶντο αὐτοῖς. Ὡς δὲ κραυγὴ καὶ κτύπος ἐγίγνετο, αἰσθόμενοι οἱ ἔνδον τοῦ θορύβου, κελεύσαντος τοῦ βασιλέως σκέψασθαι, τί εἴη τὸ πρᾶγμα, ἐκθέουσί τινες ἀνοίξαντες τὰς πύλας. Οἱ δ᾽ ἀμφὶ τὸν Γαδάταν ὡς εἶδον τὰς πύλας χαλώσας, εἰσπίπτουσι, καὶ τοῖς πάλιν φεύγουσιν εἴσω ἐφεπόμενοι, καὶ παίοντες ἀφικνοῦνται πρὸς τὸν βασιλέα· καὶ ἤδη ἑστηκότα αὐτὸν καὶ σπασάμενον, ὃν εἶχεν, ἀκινάκην εὑρίσκουσι. Καὶ τοῦτον μὲν οἱ σὺν Γαδάτᾳ καὶ Γωβρύᾳ πολλοὶ ἐχειροῦντο· καὶ οἱ σὺν αὐτῷ δὲ ἀπέθνησκον, ὁ μὲν προβαλλόμενός τι, ὁ δὲ φεύγων, ὁ δέ γε καὶ ἀμυνόμενος ὅτῳ ἐδύνατο. Ὁ δὲ Κῦρος διέπεμπε τὰς τῶν ἱππέων τάξεις κατὰ τὰς ὁδούς· καὶ προεῖπεν, οὓς μὲν ἔξω λαμβάνοιεν κατακαίνειν, τοὺς δ᾽ ἐν ταῖς οἰκίαις κηρύττειν τοὺς Συριστὶ ἐπισταμένους ἔνδον μένειν· εἰ δέ τις ἔξω ληφθήσοιτο, ὅτι θανατώσοιτο.

Οἱ μὲν δὴ ταῦτα ἐποίουν. Γαδάτας δὲ καὶ Γωβρύας ἧκον· καὶ θεοὺς μὲν πρῶτον προσεκύνουν, ὅτι τετιμωρημένοι ἦσαν τὸν ἀνόσιον βασιλέα, ἔπειτα δὲ Κύρου κατεφίλουν καὶ χεῖρας καὶ πόδας, πολλὰ δακρύοντες ἅμα χαρᾷ καὶ εὐφραινόμενοι. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ ᾔσθοντο οἱ τὰς ἄκρας ἔχοντες ἑαλωκυῖάν τε τὴν πόλιν καὶ τὸν βασιλέα τεθνηκότα, παραδιδόασι καὶ τὰς ἄκρας. Ὁ δὲ Κῦρος τὰς μὲν ἄκρας εὐθὺς παρελάμβανε, καὶ φρουράρχους τε καὶ φρουροὺς εἰς ταύτας ἀνέπεμπε· τοὺς δὲ τεθνηκότας θάπτειν ἐφῆκε τοῖς προσήκουσι· τοὺς δὲ κήρυκας κηρύττειν ἐκέλευσεν, ἀποφέρειν πάντας τὰ ὅπλα Βαβυλωνίους· ὅπου δὲ ληφθήσοιτο ὅπλα ἐν οἰκίᾳ, προηγόρευεν, ὡς πάντες οἱ ἔνδον ἀποθανοῖντο. Οἱ μὲν δὴ ἀπέφερον· ὁ δὲ Κῦρος ταῦτα μὲν εἰς τὰς ἄκρας κατέθετο, ὡς εἴη ἕτοιμα, εἴ τί ποτε δέοι χρῆσθαι. Ἐπεὶ δὲ ταῦτ᾽ ἐπέ-

Res urbis captæ ordinantur.

ἐπέπρακτο, πρῶτον μὲν τοὺς μάγους καλέσας, ὡς δορυαλώτου τῆς πόλεως οὔσης, ἀκροθίνια τοῖς θεοῖς καὶ τεμένη ἐκέλευσεν ἐξελεῖν· ἐκ τούτου δὲ καὶ οἰκίας διεδίδου καὶ ἀρχεῖα τούτοις, οὕσπερ κοινωνοὺς ἐνόμιζε τῶν κατα-πεπραγμένων· οὕτω δὲ διένειμεν, ὥσπερ ἐδέδοκτο, τὰ κράτιστα τοῖς ἀρίστοις. Ἐι δέ τις ὄιοιτο μεῖον ἔχειν, διδάσκειν προσιόντα ἐκέλευε. Προεῖπε δὲ, Βαβυλωνίοις μὲν τὴν γῆν ἐργάζεσθαι, καὶ τοὺς δασμοὺς ἀποφέρειν, καὶ θεραπεύειν τούτους, ὄις ἕκαστοι ἀυτῶν ἐδόθησαν. Πέρσας δὲ τοὺς κοινωνοῦντας, καὶ τῶν συμμάχων, ὅσοι μένειν ἡροῦντο παρ᾽ ἀυτῷ, ὡς δεσπότας ὧν ἔλαβον προηγόρευε διαλέγεσθαι.

II. DE REBUS PERSARUM.

Persiæ descriptio. *Strabo* libr. XV.

Μετὰ δὲ Καρμανίαν ἡ Περσίς ἐστι, πολλὴ μὲν ἐν τῇ παραλίᾳ τοῦ ἀπ᾽ ἀυτῆς ὀνομαζομένου Περσικοῦ κόλπου· πολλῷ δὲ μείζων ἐν τῇ μεσογαίᾳ, καὶ μάλιστα ἐπὶ μῆκος τὸ ἀπὸ τοῦ νότου, καὶ τῆς Καρμανίας, ἐπὶ τὰς ἄρκτους, καὶ τὰ περὶ Μηδίαν ἔθνη. Τριπλῆ δ᾽ ἐστὶ καὶ τῇ φύσει, καὶ τῇ τῶν ἀέρων κράσει. Ἡ μὲν γὰρ παραλία καυματηρά τε καὶ ἀνεμώδης, καὶ σπανίστη καρποῦ ἐστι, πλὴν φοινίκων, ὅσον ἐν τετρακισχιλίοις ἢ τριακοσίοις ἐξεταζομένη σταδίοις· καταστρέφουσα εἰς ποταμὸν μέγιστον τὸν ταύτῃ καλούμενον Ὀροάτην. Ἡ δ᾽ ὑπὲρ ταύτης ἐστὶ πάμφορος καὶ πεδινὴ, καὶ θρεμμάτων ἀρίστη τροφὸς, ποταμοῖς τε καὶ λίμναις πληθύει. Τρίτη δ᾽ ἐστὶν ἡ πρὸς βοῤῥᾶν χειμέριος καὶ ὀρεινή· πρὸς δὲ ταῖς ἐσχάταις εἰσὶν οἱ καμηλοβοσκοί. Μῆκος μὲν οὖν ἐστι κατ᾽ Ἐρατοσθένη τὸ ἐπὶ τὰς ἄρκτους καὶ τὰς Κασπίους πύλας περὶ ὀκτακισχιλίων, κατά τινας προπιπτούσας ἄκρας. Λοιπὴ δ᾽ ἐστὶν ἐπὶ Κασπίους πύλας οὐ πλείους, ἢ τῶν δισχιλίων. Πλάτος δὲ τὸ ἐν τῇ μεσογαίᾳ ἀπὸ Σούσων εἰς Περσαίπολιν στάδιοι τετρακισχίλιοι διακόσιοι· κἀντεῦθεν ἐπὶ τοὺς Καρμανίας ὅρους ἄλλοι χίλιοι ἑξακόσιοι. Φῦλα δὲ οἰκεῖ τὴν χώραν ὅι τε Πατεισχορεῖς λεγόμενοι, καὶ οἱ

Ἀχαι-

'Αχαιμενίδαι, καὶ οἱ Μάγοι· ἔτοι μὲν ἔν σεμνῦ τινος εισι βίε ζηλωταί. Κύρτιοι δὲ καὶ Μάρδοι ληςρικοί· ἄλλοι δὲ γεωργικοί· σχεδὸν δέ τι καὶ ἡ Σεσὶς μέρος γεγένηται τῆς Περσίδος, μεταξὺ αὐτῆς κειμένη καὶ τῆς Βαβυλωνίας, ἔχεσα πόλιν ἀξιολογωτάτην τὰ Σῦσα. 'Οι γὰρ Πέρσαι κρατήσαντες Μήδων καὶ ὁ Κῦρος, ὁρῶντες τὴν μὲν οἰκείαν γῆν ἐπ' ἐσχάτοις πε ταττομένην, τὴν δὲ Σεσίδα ἐνδοτέρω καὶ πλησιαιςέραν τῇ Βαβυλωνίᾳ ἐν τοῖς ἄλλοις ἔθνεσιν, ἐνταῦτα ἔθεντο τὸ τῆς ἡγεμονίας βασίλειον· ἅμα καὶ τὸ ὅμορον τῆς χώρας ἀποδεξάμενοι, καὶ τὸ ἀξίωμα τῆς πόλεως καὶ κρεῖσον ὂν μηδέποτε καθ' ἑαυτὴν τὴν Σεσίδα πραγμάτων μεγάλων ἐπίβελον γεγονέναι, ἀλλ' ἀεὶ ὑφ' ἑτέροις ὑπάρξαι, καὶ ἐν μέρει τέτακται συςήματος μείζονος, πλὴν ἐι ἄρα τὸ παλαιὸν τὸ κατὰ τὲς ἥρωας. Λέγεται γὰρ δὴ καὶ κτίσμα Τιθωνῦ τῦ Μέμνονος πατρὸς, κύκλον ἔχεσα ἑκατὸν καὶ ἔικοσι ςαδίων, παραμήκης τῷ σχήματι· ἡ δ' ἀκρόπολις ἐκαλεῖτο Μεμνόνειον. Λέγονται δὲ καὶ Κίσσιοι οἱ Σέσιοι, Φησὶ δὲ καὶ 'Αισχύλος τὴν μητέρα Μέμνονος Κισσίαν. Ταφῆναι δὴ λέγεται Μέμνων περὶ Πάλτων τῆς Συρίας παρὰ Βαυδῶν ποταμὸν, ὡς ἔιρηκε Σιμωνίδης ἐν Μήμνονι διθυράμβῳ τῶν Δαλιακῶν. Τὸ δὲ τεῖχος ᾠκοδόμητο τῆς πόλεως καὶ ἱερὰ καὶ βασίλεια παραπλησίως ὥσπερ τὰ τῶν Βαβυλωνίων ἐξ ὀπτῆς πλίνθε καὶ ἀσφάλτε, καθάπερ ἐιρήκασί τινες. Πολύκλειτός τε διακοσίων Φησὶ τὸν κύκλον καὶ ἀτείχιςον. Κοσμήσαντες δὲ τὰ ἐν Σέσοις βασίλεια μάλιςα τῶν ἄλλων ἐδὲν ἧττον καὶ τὰ ἐν Περσεπόλει, καὶ τὰ ἐν Πασαργάδαις ἐξετίμησαν· καὶ ἦγε γάζα καὶ οἱ θησαυροὶ καὶ τὰ μνήματα ἐνταῦθα ἦν τοῖς Πέρσαις, ὡς ἐν τόποις ἐρυμνοτέροις καὶ ἅμα προγονικοῖς. Ἦν δὲ καὶ ἄλλα βασίλεια τὰ ἐν Γάβαις, ἐν τοῖς ἀνωτέρω πε μέρεσι τῆς Περσίδος· καὶ τὰ ἐν τῇ παραλίᾳ, τὰ κατὰ τὴν 'Οκην λεγομένην· ταῦτα μὲν τὰ κατὰ τὴν τῶν Περσῶν ἀρχήν. 'Οι δ' ὕςερον ἄλλοις καὶ ἄλλοις ἐχρήσαντο, ὡς ἐικὸς ἐυτελεςέροις τισὶν, ἅτε καὶ τῆς Περσίδος ἠλαττωμένης ὑπὸ τῶν Μακεδόνων, καὶ ἔτι μᾶλλον ὑπὸ τῶν Παρθυαίων. Καὶ γὰρ ἐι βασιλέυονται μέχρι νῦν, ἴδιον βασιλέα ἔχοντες οἱ Πέρσαι, τῇ γε δυνάμει

μει πλεῖϛον ἀπολείπονται, καὶ τῷ Παρθυαίων προσέχουσι βασιλεῖ. Τὰ μὲν οὖν Σοῦσα ἐν μεσογαίοις κεῖται, ἐπὶ τῷ Χοάσπῃ ποταμῷ περαιτέρω ἢ κατὰ ζεῦγμα· ἡ δὲ χώρα μέχρι τῆς θαλάττης καθήκει· καὶ ἔϛιν αὐτῆς ἡ παραλία μέχρι τῶν ἐκβολῶν σχεδόν τι τοῦ Τίγριος, ἀπὸ τῶν ὅρων τῆς Περσικῆς παραλίας, ϛαδίων ὡς τρισχιλίων· ῥεῖ δὲ διὰ τῆς χώρας ὁ Χοάσπης εἰς τὴν αὐτὴν τελευτῶν παραλίαν, ἀπὸ τῶν Ὀυξίων τὰς ἀρχὰς ἔχων. Παρεμπίπτει γάρ τις ὀρεινὴ τραχεῖα καὶ ἀπότομος μεταξὺ τῶν Σουσίων καὶ τῆς Περσίδος, στενὰ ἔχουσα δυσπαρόδα καὶ ἀνθρώπους λῃϛὰς, οἳ μισθοὺς ἐπράττοντο καὶ αὐτοὺς τοὺς βασιλέας, κατὰ τὴν ἐκ Σούσων εἰς Πέρσας εἰσβολήν. Φησὶ δὲ Πολύκλειτος εἰς λίμνην τινὰ συμβάλλειν τόν τε Χοάσπην καὶ τὸν Ἔυλαιον καὶ ἔτι τὸν Τίγριν, εἶτ' ἐκεῖθεν ἐς τὴν θάλατταν ἐκδιδόναι· πρὸς δὲ τῇ λίμνῃ καὶ ἐμπορεῖον εἶναι, τῶν ποταμῶν μὲν οὐ δεχομένων τὰ ἐκ τῆς θαλάττης, οὐδὲ καταπεμπόντων διὰ τοὺς καταῤῥάκτας ἐπίτηδες γινομένους, πεζῇ δ' ἐμπορευομένων· ὀκτακοσίους γὰρ εἶναι ϛαδίους εἰς Σοῦσα λέγουσιν ἄλλοι· ἄλλοι δέ φασι τοὺς διὰ Σούσων ποταμοὺς εἰς ἓν ῥεῦμα τὸ τοῦ Τίγριος συμπίπτειν, καὶ τὰς μεταξὺ διώρυγας τοῦ Ἐυφράτου· διὰ δὲ τοῦτο κατὰ τὰς ἐκβολὰς ὀνομάζεσθαι Πασίτιγριν. Νέαρχος δὲ τὸν παράπλουν τῆς Σουσίδος τεναγώδη φήσας, τέλος αὐτοῦ λέγει τὸν Ἐυφράτην ποταμόν· πρὸς δὲ τῷ ϛόματι κώμην οἰκεῖσθαι τὴν ὑποδεχομένην τὰ ἐκ τῆς Ἀραβίας φορτία, συνάπτειν γὰρ ἐφεξῆς τὴν τῶν Ἀράβων παραλίαν τῷ ϛόματι τοῦ Ἐυφράτου καὶ τοῦ Πασιτίγριδος· τὸ δὲ μεταξὺ πᾶν ἐπέχειν λίμνην τὴν ὑποδεχομένην τὸν Τίγριν. Ἀναπλεύσαντι δὲ τὸν Πασίτιγριν ϛαδίους πεντήκοντα καὶ ἑκατὸν τὴν σχεδίαν εἶναι τὴν ἄγουσαν ἐπὶ Σούσων ἐκ τῆς Περσίδος, ἀπέχουσαν Σούσων ϛαδίους ἑξήκοντα· τὸν δὲ Πασίτιγριν ἀπὸ τοῦ Ὀροάτιδος διέχειν περὶ δισχιλίους ϛαδίους· διὰ δὲ τῆς λίμνης ἐπὶ τὸ ϛόμα τοῦ Τίγριος τὸν ἀνάπλουν εἶναι ϛαδίων ἑξακοσίων· πλησίον δὲ τοῦ ϛόματος κώμην οἰκεῖσθαι τὴν Σουσιανὴν, διέχουσαν τῶν Σούσων ϛαδίους πεντακοσίους· ἀπὸ δὲ τοῦ ϛόματος τοῦ Ἐυφράτου μέχρι Βαβυλῶνος τὸν ἀνάπλουν εἶναι διὰ γῆς οἰκουμένης καλῶς ϛαδίων πλειόνων ἢ τρισχιλίων. Ὀνησίκριτος δὲ πάν-

πάντας φησὶν ἐκβάλλειν εἰς τὴν λίμνην, τόν τε Εὐφράτην καὶ τὸν Τίγριν· ἐκπεσόντα δὲ πάλιν τὸν Εὐφράτην ἐκ τῆς λίμνης ἰδίῳ στόματι πρὸς τὴν θάλατταν συνάπτειν. Ἔστι δὲ καὶ ἄλλα πλείω στενὰ διεκβαίνοντι τὰ ἐν τοῖς Οὐξίοις κατ' αὐτὴν τὴν Περσίδα, ἃ καὶ αὐτὰ βίᾳ διῆλθεν Ἀλέξανδρος, κατά τε τὰς Περσικὰς πύλας, καὶ κατ' ἄλλους τόπους διεξιὼν τὴν χώραν, καὶ κατοπτεῦσαι σπεύδων τὰ κυριώτατα μέρη, καὶ τὰ γαζοφυλάκια, ἃ τοσούτοις χρόνοις ἐξεπεπλήρωτο οἷς ἐδασμολόγησαν Πέρσαι τὴν Ἀσίαν· ποταμοὺς δὲ διέβη πλοίοις τοὺς διαῤῥέοντας τὴν χώραν, καὶ καταφερομένους εἰς τὸν Περσικὸν κόλπον. Μετὰ γὰρ τὸν Χοάσπην ὁ Κοπράτας ἐστὶ καὶ ὁ Πασίτιγρις, ὃς ἐκ τῆς Οὐξίας καὶ αὐτὸς ῥεῖ· ἔστι δὲ καὶ Κῦρος ποταμὸς, διὰ τῆς κοίλης καλουμένης Περσίδος ῥέων περὶ Πασαργάδας, οὗ μετέβαλε τὸ ὄνομα ὁ βασιλεὺς, ἀντὶ Ἀγραδάτου μετωνομασθεὶς Κῦρος. Πρὸς αὐτῇ δὲ Περσαιπόλει τὸν Ἀράξην διέβη· ἦν δὲ ἡ Περσαίπολις ἔχουσα βασίλεια ἐκπρεπῆ, μάλιστα τῇ πολυτελείᾳ τῶν κειμένων. Ῥεῖ δ' ὁ Ἀράξης ἐκ τῶν Παραιτάκων, συμβάλλει δ' εἰς αὐτὸν ὁ Μῆδος, ἐκ Μηδείας ὁρμηθείς· φέρονται δὲ δι' αὐλῶνος παμφόρου συνάπτοντος τῇ Καρμανίᾳ, καὶ τοῖς ἑωθινοῖς μέρεσι τῆς χώρας, καθάπερ καὶ αὐτὴ ἡ Περσαίπολις. Ἐνέπρησε δὲ ὁ Ἀλέξανδρος τὰ ἐν Περσαιπόλει βασίλεια, τιμωρῶν τοῖς Ἕλλησιν, ὅτι κἀκείνων ἱερὰ καὶ πόλεις οἱ Πέρσαι πυρὶ καὶ σιδήρῳ διεπόρθησαν· εἶτ' εἰς Πασαργάδας ἧκε· καὶ τοῦτο δ' ἦν βασίλειον ἀρχαῖον· ἐνταῦθα δὲ καὶ τὸν Κύρου τάφον εἶδεν ἐν παραδείσῳ, πύργον οὐ μέγαν, τῷ δάσει τῶν δένδρων ἐναποκεκρυμμένον, κάτω μὲν στερεὸν, ἄνω δὲ στέγην ἔχοντα καὶ σηκὸν, στενὴν τελέως ἔχοντα τὴν εἴσοδον· δι' ἧς παρελθεῖν εἴσω φησὶν Ἀριστόβουλος κελεύσαντος τοῦ βασιλέως, καὶ κοσμῆσαι τὸν τάφον· ἰδεῖν δὲ κλίνην τε χρυσῆν καὶ τράπεζαν σὺν ἐκπώμασι, καὶ πύελον χρυσῆν, καὶ ἐσθῆτα πολλὴν, κόσμον τε λιθοκόλλητον· μετὰ μὲν οὖν τὴν πρώτην ἐπιδημίαν ταῦτ' ἰδεῖν· ὕστερον δὲ συληθῆναι, καὶ τὰ μὲν ἄλλα ἐκκομιθῆναι· τὴν δὲ κλίνην θραυθῆναι μόνον καὶ τὴν πύελον μεταθέντων, τὸν νεκρὸν δ' οὐ ὡς δῆλον· γενέθαι διότι προνομευτῶν ἔργον ἦν,

ἦν, ὀυχὶ τȣ̃ σατράπȣ, καταλιπόντων ἃ μὴ δυνατὸν ἦν ῥαδίως ἐκκομίσαι. συμβῆναι δὲ ταῦτα καίπερ Φυλακῆς περικειμένης μάγων σίτισιν λαμβανόντων καθ' ἡμέραν πρόβατον, διὰ μηνὸς δ' ἵππον. Ἀλλ' ὁ ἐκτοπισμὸς τῆς Ἀλεξάνδρȣ ϛρατιᾶς ἐις Βάκτρα καὶ Ἰνδȣ̀ς, πολλά τε ἄλλα νεωτερισθῆναι παρεσκέυασε, καὶ δὴ καὶ τȣ̃θ' ἓν τῶν νεωτερισθέντων ὑπῆρξεν. Ὅυτω μὲν ȣ̃ν Ἀριϛόβȣλος ἔιρηκε, καὶ τὸ ἐπίγραμμα δὲ ἀπομνημονέυει τȣ̃το· ὦ ἄνθρωπε, ἐγὼ Κῦρός ἐιμι ὁ τὴν ἀρχὴν τοῖς Πέρσαις κτησάμενος, καὶ τῆς Ἀσίας βαλιλεύς· μὴ ȣ̃ν Φθονήσῃς μοι τȣ̃ μνήματος. Ὀνησίκριτος δὲ τὸν μὲν πύργον δεκάϛεγον ἔιρηκε, καὶ ἐν τῇ ἀνωτάτῳ ϛέγῃ κεῖσθαι τὸν Κῦρον· ἐπίγραμμα δ' ἔιναι Ἑλληνικὸν, περσικοῖς κεχαραγμένον γράμμασιν· ἐνθάδ' ἐγὼ κεῖμαι Κῦρος βασιλεὺς βασιλήων. Καὶ ἄλλο περσικὸν πρὸς τὸν ἀυτὸν νȣ̃ν. Μέμνηται δ' Ὀνησίκριτος καὶ τὸ ἐπὶ τȣ̃ Δαρείȣ τάφῳ γράμμα τόδε· Φίλος ἦν τοῖς Φίλοις, ἱππεὺς καὶ τοξότης ἄριϛος ἐγενόμην, κυνηγῶν ἐκράτȣν, πάντα ποιεῖν ἠδυνάμην. Ἄριϛος δ' ὁ Σαλαμίνιος πολὺ μέν ἐϛι νεώτερος τȣ́των· λέγει δὲ δίϛεγον τὸν πύργον καὶ μέγαν, ἐν δὲ τῇ Περσῶν διαδοχῇ ἱδρῦσθαι, Φυλάττεσθαι δὲ τὸν τάφον· ἐπίγραμμα δὲ τὸ λεχθὲν Ἑλληνικὸν καὶ ἄλλο Περσικὸν πρὸς τὸν ἀυτὸν νȣ̃ν. Τȣ̀ς δὲ Πασαργάδας ἐτίμησε Κῦρος, ὅτι τὴν ὑϛάτην μάχην ἐνίκησεν Ἀϛυάγην ἐνταῦθα τὸν Μῆδον, καὶ τὴν ἀρχὴν τῆς Ἀσίας μετήνεγκεν ἐις ἑαυτὸν, καὶ πόλιν ἔκτισε, καὶ βασίλειον κατεσκέυασε τῆς νίκης· μνημεῖον· πάντα δὲ τὰ ἐν τῇ Περσίδι χρήματα ἐξεσκευάσατο ἐις τὰ Σȣ̃σα, καὶ ἀυτὰ θησαυρῶν καὶ κατασκευῆς μεϛά· ȣ̓δὲ τȣ̃θ' ἡγεῖτο τὸ βασίλειον, ἀλλὰ τὴν Βαβυλῶνα, καὶ διενοεῖτο τάυτην προσκατασκευάζειν· κἀνταῦθα δ' ἔκειντο θησαυροί. Φασὶ δὲ χωρὶς τῶν ἐν Βαβυλῶνι καὶ τῶν ἐν ϛρατοπέδῳ τῶν περὶ ταῦτα μὴ ληΦθέντων, ἀυτὰ τὰ ἐν Σȣ́σοις, καὶ τὰ ἐν Περσίδι τέτταρας μυριάδας ταλάντων ἐξετασθῆναι· τινὲς δὲ καὶ πέντε λέγȣσιν· ἄλλοι δὲ πάντα πάντοθεν συναχθῆναι παραδεδώκασιν ἐις Ἐκβάτανα ὀκτωκαίδεκα μυριάδας ταλάντων· τὰ δὲ Δαρείῳ Φυγόντι ἐκ τῆς Μηδίας συνεκκομισθέντα τάλαντα ὀκτακισχίλια διήρπασαν οἱ δολοΦονήσαντες ἀυτόν. Τὴν γȣ̃ν

Βα-

Βαβυλῶνα προέκρινεν ὁ Ἀλέξανδρος, ὁρῶν δὲ τῷ μεγέθει πολὺ ὑπερβάλλȣσαν, καὶ τοῖς ἄλλαις. Ἐυδαίμων δ' ȣ̃σα ἡ Σȣσὶς, ἔκπυρον τὸν ἀέρα ἔχει, καυματηρὸν, καὶ μάλιϛα τὸν περὶ τὴν πόλιν, ὥς Φησιν ἐκεῖνος· τὰς γȣ̃ν σαύρας καὶ τȣ̀ς ὄφεις θέρȣς ἀκμάζοντος τȣ̃ ἡλίȣ κατὰ μεσημβρίαν, μὴ Φθάνειν διαβῆναι τὰς ὁδȣ̀ς τὰς ἐν τῇ πόλει, ἀλλ' ἐν μέσαις περιΦλέγεσθαι· ὅπερ τῆς Περσίδος μηδαμȣ̃ συμβαίνει, καίπερ νοτιωτέρας ȣ̓́σης· λȣτρὰ δὲ ψυχρὰ προτεθέντα, ἐκθερμαίνεσθαι παραχρῆμα, τὰς δὲ κριθὰς διασπαρείσας εις τὸν ἥλιον, ἀλήθεσθαι, καθάπερ ἐν τοῖς ἰπνοῖς τὰς κέγχρȣς· διὸ καὶ ταῖς ϛέγαις ἐπὶ δύο πήχεις τὴν γῆν ἐπιτίθεσθαι, ὑπὸ δὲ τȣ̃ βάρȣς ἀναγκάζεσθαι ϛενȣ̀ς μὲν, μακρȣ̀ς δὲ ποιεῖσθαι τȣ̀ς ὄικȣς, ἀπορȣμένȣς μὲν μακρῶν δοκῶν, δεομένȣς δὲ μεγάλων ὄικων διὰ τὸ πνίγος. Ἴδιον δέ τι πάσχειν τὴν Φοινικίνην δοκὸν· ϛερεὰν γὰρ ȣ̃σαν παλαιȣμένην, ȣ̓κ εις τὸ κάτω τὴν ἔνδοσιν λαμβάνειν, ἀλλ' εις τὸ ἄνω μέρος κυρτȣ̃σθαι τῷ βάρει, καὶ βέλτιον ἀνέχειν τὴν ὀροΦήν. Ἄιτιον δὲ τῶν καυμάτων λέγεται τὸ ὑπερκεῖσθαι πρὸς ἄρκτον ὄρη ὑψηλὰ τὰ προεκδεχόμενα ἅπαντας τȣ̀ς βορείȣς ἀνέμȣς· ὑπερπετεῖς δὲ πνέοντες ἀπὸ τῶν ἀκρωτηρίων μετέωροι, τῶν γε πεδίων ȣ̓ προσάπτονται, ἀλλὰ παρελάυνȣσιν εις τὰ νοτιώτερα τῆς Σȣσίδος· ἄυτη δὲ νηνεμίαις κατέχεται, καὶ μάλιϛα τότε, ἡνίκα ἐτησίαι τὴν ἄλλην γῆν καταψύχȣσιν ἐκκεκαυμένην ὑπὸ τῶν καυμάτων. Πολύσιτος δ' ἄγαν ἐϛὶν, ὥς τε ἑκατοντάχȣν δὶ ὁμαλȣ̃ καὶ κριθὴν καὶ πυρὸν ἐκτρέΦειν· ἔϛι δ' ὅτε καὶ διακοσιοντάχȣν· διόπερ ȣ̓δὲ πυκνὰς τὰς ἄυλακας τέμνȣσιν, ἐκκαιομένην γὰρ κωλύȣσιν ἁι ῥίζαι τὴν βλάϛην. Τὴν δ' ἄμπελον ȣ̓ Φυομένην πρότερον Μακεδόνες κατεΦύτευσαν κἀκεῖ καὶ ἐν Βαβυλῶνι· ȣ̓ ταΦρεύοντες, ἀλλὰ παττάλȣς ἄτε σεσιδηρωμένȣς ἐξ ἄκρων πήττοντες, ἐιτ' ἐξαιροȣ̃ντες, ἀντὶ δ' αὐτῶν τὰ κλήματα καθιέντες ἐυθέως. Ἡ μὲν δὴ μεσόγαια πολλάκις, καὶ δὴ καὶ ἐΦ' ἡμῶν ἄλλοτ' ἄλλως συνέβη. Καὶ Φησὶν ὁ Νέαρχος μήτε καθοδηγῶν ἐπιχωρίων τυγχάνειν, ἡνίκα τῷ ϛόλῳ παρέπλει πρὸς τὴν Βαβυλωνίαν ἐκ τῆς Ἰνδικῆς· ὅτι προσόρμȣς ȣ̓κ ἔχειν, ȣ̓δ' ἀνθρώπων ἐυπορεῖν ὅιός τ' ἦν τῶν ἡγησομένων κατ' ἐμπειρίαν. Γειτνιȣ̃

δὲ τῇ Σϐσίδι τῆς Βαβυλωνίας ἡ Σιτακηνὴ μὲν πρότερον, Ἀπολλωνιάτις δὲ ὕϛερον προσαναγορευθεῖσα· ἀπὸ τῶν ἄρκτων δ' ὑπέρκεινται ἀμφοῖν πρὸς ἕω Ἐλυμαῖοι τὲ καὶ Παραιτακηνοὶ, λῃϛρικοὶ ἄνδρες, καὶ ὀρεινῇ τραχείᾳ πεποιθότες· μᾶλλον δ' οἱ Παραιτακηνοὶ τοῖς Ἀπολλωνιάταις ἐπίκεινται, ὥϛε καὶ χεῖρον ἐκείνοις διατιθέασιν. Οἱ δ' Ἐλυμαῖοι κἀκείνοις καὶ τοῖς Σϐσίοις, τϐτοις δὲ καὶ οἱ Οὔξιοι προσπολεμϐσιν· ἧττον δὲ νῦν, ὡς εἰκὸς, διὰ τὴν τῶν Παρθυαίων ἰσχὺν, ὑφ' ἧς εἰσιν ἅπαντες οἱ ταύτῃ. Εὖ μὲν ϐν πραττόντων ἐκείνων, εὖ πράττϐσιν ἅπαντες καὶ οἱ ὑπήκοοι αὐτῶν· ϛασιαζόντων δὲ, ὅπερ συμβαίνει πολλάκις, καὶ δὴ καὶ ἐφ' ἡμῶν, ἄλλοτ' ἄλλως συμβαίνει· καὶ δὴ καὶ τὰ αὐτὰ πᾶσι· τοῖς μὲν γὰρ συνήνεγκεν ἡ ταραχὴ, τοῖς δὲ παρὰ γνώμην ἀπήντησεν. Ἡ μὲν δὴ χώρα ἥ τε Περσὶς καὶ ἡ Σϐσιανὴ τοιαύτη. Ἡ δὲ, παραλία τεναγώδης ἐϛὶ καὶ ἀλίμενος. διὰ τϐτο ϐν τὰ ἔθη τὰ Περσικὰ, τϐτοις καὶ Μήδοις τὰ αὐτὰ καὶ ἄλλοις πλείοσι, περὶ ὧν εἰρήκασι μὲν πλείϐς, τὰ δὲ καίρια καὶ ἡμῖν λεκτέον.

Πέρσαι τοίνυν ἀγάλματα μὲν καὶ βωμϐς ϐχ ἱδρύονται· θύϐσι δὲ ἐν ὑψηλῷ τόπῳ, τὸν ϐρανὸν ἡγϐμενοι Δία· τιμῶσι δὲ καὶ ἥλιον, ὃν καλϐσι Μίθραν, καὶ σελήνην, καὶ Ἀφροδίτην, καὶ πῦρ, καὶ γῆν, καὶ ἀνέμϐς, καὶ ὕδωρ· θύϐσι δ' ἐν καθαρῷ τόπῳ, κατευξάμενοι καὶ παραϛησάμενοι τὸ ἱερεῖον ἐϛεμμένον· μελίσαντος δὲ τϐ μάγϐ τὰ κρέα τϐ ὑφηγϐμένϐ τὴν ἱερϐργίαν ἀπίασι διελόμενοι· τοῖς θεοῖς ϐδὲν ἀπονείμαντες μέρος· τῆς γὰρ ψυχῆς φασι τϐ ἱερείϐ δεῖσθαι τὸν θεὸν, ἄλλϐ δὲ ϐδενὸς· ὅμως δὲ τϐ ἐπίπλϐ τι μικρὸν τιθέασιν, ὡς λέγϐσί τινες, ἐπὶ τὸ πῦρ. Διαφερόντως δὲ τῷ πυρὶ καὶ τῷ ὕδατι θύϐσι, τῷ μὲν πυρὶ προστιθέντες ξηρὰ ξύλα τϐ λέπϐς χωρὶς, πιμελὴν ἐπιτιθέντες ἄνωθεν· εἶθ' ὑφάπτϐσιν ἔλαιον ἐπιχέαντες, ϐ φυσῶντες ἀλλὰ ῥιπίζοντες· τϐς δὲ φυσήσαντας ἢ νεκρὸν ἐπὶ πῦρ θέντας ἢ βόλβιτον, θανατϐσι. Τῷ δὲ ὕδατι ἐπὶ λίμνην ἢ ποταμὸν ἢ κρήνην ἐλθόντες, βόθρον ὀρύξαντες εἰς τϐτον σφαγιάζονται, φυλαττόμενοι μή τι τϐ πλησίον ὕδατος καθαρϐ αἱμαχθείη, ὡς μιανϐντες· εἶτ' ἐπὶ μυῤῥίνην ἢ δάφνην διαθέντες τὰ κρέα, ῥάβ-

δοις

δοις λεπτοῖς ὑφάττουσιν οἱ μάγοι καὶ ἐπάδουσιν, ἀποσπένδοντες ἔλαιον ὁμοῦ γάλακτι καὶ μέλιτι κεκραμένον, οὐκ εἰς πῦρ, οὐχ᾽ ὕδωρ, ἀλλ᾽ εἰς τοὔδαφος· τὰς δ᾽ ἐπῳδὰς ποιοῦνται πολὺν χρόνον, ῥάβδων μυρικίνων λεπτῶν δέσμην κατέχοντες. Ἐν δὲ τῇ Καππαδοκίᾳ (πολὺ γὰρ ἐστι τὸ τῶν μάγων φῦλον, οἳ καὶ πύραιθοι καλοῦνται, πολλὰ δὲ καὶ τῶν Περσικῶν θεῶν ἱερά) οὐδὲ μαχαίρᾳ θύουσι, ἀλλὰ κορμῷ τινὶ, ὡς ἂν ὑπέρῳ τύπτοντες. ἔστι δὲ καὶ πυραιθεῖα, σηκοί τινες ἀξιόλογοι, ἐν δὲ τούτοις μέσοις βωμὸς, ἐν ᾧ πολλή τε σποδὸς καὶ πῦρ ἄσβεστον φυλάττουσιν οἱ μάγοι· καθ᾽ ἡμέραν δὲ εἰσιόντες, ἐπάδουσιν ὥραν σχεδόν τι, πρὸ τοῦ πυρὸς τὴν δέσμην τῶν ῥάβδων ἔχοντες, τιάρας περικείμενοι πιλωτὰς, καθηκυίας ἑκατέρωθεν, μέχρι τοῦ καλύπτειν τὰ χείλη, καὶ τὰς παραγναθίδας· ταῦτα δ᾽ ἐν τοῖς τῆς Ἀναΐτιδος καὶ τοῦ Ὠμανοῦ ἱεροῖς νενόμισται· τούτων δὲ καὶ σηκοί εἰσι, καὶ ξοάνον τοῦ Ὠμανοῦ πομπεύει· ταῦτα μὲν οὖν ἡμεῖς ἑωράκαμεν. Ἐκεῖνα δ᾽ ἐν ταῖς ἄλλαις ἱστορίαις λέγεται καὶ τὰ ἐφεξῆς. Εἰς γὰρ ποταμὸν οὔτ᾽ οὐροῦσιν οὔτε νίπτονται Πέρσαι οὐδὲ λούονται, οὐδὲ νεκρὸν ἐκβάλλουσιν, οὐδ᾽ ἄλλα τῶν δοκούντων εἶναι μυσαρῶν· ὅτῳ δ᾽ ἂν θύσωσι θεῷ, πρώτῳ τῷ πυρὶ εὔχονται. Βασιλεύονται δ᾽ ὑπὸ τῶν ἀπὸ γένους· ὁ δ᾽ ἀπειθῶν, ἀποτμηθεὶς κεφαλὴν καὶ βραχίονα ῥίπτεται. Γαμοῦσι δὲ πολλὰς καὶ ἅμα παλλακὰς τρέφουσι πλείους πολυτεκνίας χάριν. Τιθέασι δὲ καὶ οἱ βασιλεῖς ἆθλα πολυτεκνίας κατ᾽ ἔτος· τὰ δὲ τρεφόμενα μέχρι τῶν τεττάρων ἐτῶν οὐκ ἄγεται τοῖς γονεῦσιν εἰς ὄψιν. Οἱ δὲ γάμοι κατὰ τὰς ἀρχὰς τῆς ἐαρινῆς ἰσημερίας ἐπιτελοῦνται· παρέρχεται δ᾽ ἐπὶ τὸν θάλαμον προφαγὼν μῆλον ἢ καμήλου μυελὸν, ἄλλο δ᾽ οὐδὲν τὴν ἡμέραν ἐκείνην. Ἀπὸ δὲ πέντε ἐτῶν ἕως τετάρτου καὶ εἴκοσι παιδεύονται τοξεύειν, καὶ ἀκοντίζειν, καὶ ἀληθεύειν, διδασκάλοις τε λόγων τοῖς σωφρονεστάτοις χρῶνται, οἳ καὶ τὸ μυθῶδες πρὸς τὸ συμφέρον ἀνάγοντες παραπλέκουσι, καὶ μέλους χωρὶς, καὶ μετ᾽ ᾠδῆς, ἔργα θεῶν τε καὶ ἀνδρῶν τῶν ἀρίστων ἀναδιδόντες. Συνάγουσι δὲ εἰς ἕνα τόπον ψόφῳ χαλκοῦ πρὸ ὄρθρου, διεγείροντες ἐπὶ ἐξοπλισίαν, ἢ θήραν· τάξαντες δ᾽ ἀνὰ πεντήκοντα ἡγεμόνα

μόνα τῶν βασιλέως τινὰ παίδων ἀυτοῖς, ἢ σατράπȣ, τρέχοντι κελέυȣσιν ἕπεθαι, χωρίον ἀφορίσαντες τριάκοντα, ἢ τετταράκοντα ςαδίων. Ἀπαιτȣ͂σι δὲ καὶ λόγον ἑκάςȣ μαθήματος, ἅμα καὶ μεγαλοφωνίαν, καὶ πνεῦμα, καὶ πλευρὰν ἀσκȣ͂ντες· καὶ πρὸς καῦμα δὲ καὶ πρὸς ψύχος, καὶ ὄμβρȣ καὶ χειμάῤῥȣ διαβάσεις, ὡς τ' ἄβροχα φυλάττειν, καὶ ὅπλα καὶ ἐσθῆτα· καὶ ποιμαίνειν δὲ καὶ ἀγραυλεῖν καὶ καρποῖς ἀγρίοις χρῆσθαι, τερμίνθῳ, δρυοβαλάνοις, ἀχράδι· καλȣ͂νται δ' ȣ̔͂τοι Κάρδακες, ἀπὸ κλοφίας τρεφόμενοι· κάρδα γὰρ τὸ ἀνδρῶδες καὶ πολεμικὸν λέγεται. Ἡ δὲ καθ' ἡμέραν δίαιτα ἄρτος μετὰ τὸ γυμνάσιον, καὶ μάζα καὶ κάρδαμον καὶ ἁλῶν χόνδρος, καὶ κρέα ὀπτὰ, ἢ ἑφθὰ ἐξ ὕδατος, ποτὸν δ' ὕδωρ. Θηρέυȣσι δὲ σαύνια ἀφ' ἵππων βάλλοντες καὶ τοξεύματα, καὶ σφενδονȣ͂ντες. Δείλης δὲ φυτȣργεῖν καὶ ῥιζοτομεῖν ἀσκȣ͂σι, καὶ ὁπλοποιεῖν, καὶ λίνα καὶ ἄρκυς φιλοτεχνεῖν· ȣ̓χ ἅπτονται δὲ τῶν θηρευμάτων οἱ παῖδες, ἀλλὰ κομίζειν ὄικαδε ἔθος. Τίθεται δ' ὑπὸ τȣ͂ βασιλέως ἆθλα δρόμȣ, καὶ τῶν ἐν τοῖς πενθάτλοις. Κοσμȣ͂νται οἱ παῖδες χρυσῷ τὸ πυρωπὸν τιθεμένων ἐν τιμῇ· διὸ ȣ̓δὲ νεκρῷ προσφέρȣσι, καθάπερ ȣ̓δὲ τὸ πῦρ κατὰ τιμήν. Στρατέυονται δὲ καὶ ἄρχȣσιν ἀπὸ ἔικοσιν ἐτῶν ἕως πεντήκοντα, πεζοί τε καὶ ἱππεῖς· ἀγορᾶς δὲ ȣ̓χ ἅπτονται· ȣ̓́τε γὰρ πωλȣ͂σιν ȣ̓́τε ὠνȣ͂νται· ὁπλίζονται δὲ γέῤῥῳ ῥομβοειδεῖ· παρὰ δὲ τὰς φαρέτρας σαγάρεις ἔχȣσι καὶ κοπίδας· περὶ δὲ τῇ κεφαλῇ πίλημα πυργωτόν· θώραξ δ' ἐςὶν ἀυτοῖς φαλιδωτός. Ἐσθὴς δὲ τοῖς ἡγεμόσι μὲν ἀναξυρὶς τριπλῆ, χειτὼν δὲ χειριδωτὸς διπλȣ͂ς ἕως γόνατος· ὁ ὑπενδύτης μὲν λευκὸς, ἄνθινος δ' ὁ ἐπάνω· ἱμάτιον θέρȣς μὲν πορφυρȣ͂ν ἢ ἰάνθινον, χειμῶνος δ' ἄνθινον· τιάραι παραπλήσιαι ταῖς τῶν μάγων, ὑπόδημα κοῖλον διπλȣ͂ν· τοῖς δὲ πολλοῖς χιτὼν ἕως μεσοκνημίȣ καὶ διπλȣ͂ς· ῥάκος δὲ σινδόνιόν τι περὶ τῇ κεφαλῇ· ἔχει δ' ἕκαςος τόξον καὶ σφενδόνην· Δειπνȣ͂σι πολυτελῶς Πέρσαι, τιθέντες καὶ ὁλομελῆ, καὶ πολλὰ καὶ ποικίλα· κόσμος τε λαμπρὸς ςρωμνῆς, ἐκπωμάτων δὲ τῶν ἄλλων, ὥς τε χρυσῷ καὶ ἀργύρῳ καταλάμπεσθαι. Ἐν ὄινῳ τὰ μέγιςα βȣλέυονται, καὶ βεβαιότερα τῶν ἐν νήψει τίθενται. Τῶν κατὰ

τὰς

τὰς ὁδοὺς συναντώντων τοὺς μὲν γνωρίμους καὶ ἰσοτίμους φιλοῦσι προσιόντας, τοῖς δὲ ταπεινοτέροις παραβάλλουσι τὴν γνάθον, καὶ δέχονται ταύτῃ τὸ φίλημα· οἱ δ' ἔτι ταπεινότεροι προσκυνοῦσι μόνον. Θάπτουσι δὲ κηρῷ περιπλάσσοντες τὰ σώματα· τοὺς δὲ μάγους οὐ θάπτουσιν, ἀλλ' οἰωνοβότοις ἐῶσι· τούτοις δὲ καὶ μητράσι συνέρχεσθαι πάτριον νενόμισθαι. Τοιαῦτα μὲν τὰ ἔθη· ἔστι δ' ἴσως καὶ ταῦτα τῶν ἐθίμων, ἅ φησι Πολύκριτος. Ἐν γὰρ Σούσαις ἑκάστῳ τῶν βασιλέων ἐπὶ τῆς ἄκρας ἰδίᾳ πεποιῆσθαι οἴκησιν, καὶ θησαυροὺς καὶ παραθέσεις, ὧν ἔπραττον τῶν φόρων, ὑπομνήματα τῆς οἰκονομίας· πράττεσθαι δ' ἐκ μὲν τῆς παραλίας ἀργύριον, ἐκ δὲ τῆς μεσογαίας ἃ φέρει ἑκάστη χώρα, ὥς τε καὶ χρώματα καὶ φάρμακα, καὶ τρίχα ἐρέαν, ἤ τι τοιοῦθ' ἕτερον, καὶ θρέμματα ὁμοίως. Τὸν δὲ διατάξαντα τοὺς φόρους Δαρεῖον εἶναι τὸν μακρόχειρα, καὶ κάλλιστον ἀνθρώπων, πλὴν τοῦ μήκους τῶν βραχιόνων καὶ τῶν πήχεων, ἅπτεσθαι γὰρ καὶ τῶν γονάτων· τὸ δὲ πλεῖστον, καὶ χρυσὸν καὶ ἄργυρον ἐν κατασκευαῖς εἶναι, νομίσματι δὲ οὐ πολλῷ· πρός τε τὰς δωρεὰς ἐκεῖνα κεχαρισμένα νομίζειν μᾶλλον καὶ πρὸς κειμηλίων ἀπόθεσιν· τὸ δὲ νόμισμα τὸ πρὸς τὰς χρείας ἀρκοῦν ἱκανὸν εἶναι; κόπτειν δὲ πάλιν τὸ τοῖς ἀναλώμασι σύμμετρον. Τὰ μὲν οὖν ἔθη σωφρονικὰ τὰ πλείω. Διὰ δὲ τὸν πλοῦτον εἰς τρυφὴν ἐξέπεσον οἱ βασιλεῖς, ὥς τε πυρὸν μὲν ἐξ Ἄσσου τῆς Αἰολίδος μετήεσαν, οἶνον δ' ἐκ Συρίας τὸν χαλυβώνιον, ὕδωρ δὲ ἐκ τοῦ Εὐλαίου, πάντων ἐλαφρότατον, ὥς τ' ἐν Ἀττικῇ κοτύλῃ δραχμῇ ἀφολκότερον εἶναι. Συνέβη δὲ τοῖς Πέρσαις ἐνδοξοτάτους γενέσθαι τῶν βαρβάρων παρὰ τοῖς Ἕλλησιν, ὅτι τῶν μὲν ἄλλων οὐδένες τῶν τῆς Ἀσίας ἀρξάντων Ἑλλήνων ἦρξαν, οὐδ' ᾔδεισαν οὐδ' ἐκεῖνοι τούτους, οὐδ' οἱ Ἕλληνες τοὺς βαρβάρους· ἀλλ' ἐπὶ μικρὸν μόνον ἐκ τῆς πόῤῥωθεν ἀκοῆς. Ὅμηρος γοῦν οὔτε τὴν τῶν Σύρων, οὔτε τὴν Μήδων ἀρχὴν οἶδεν· οὐδὲ γὰρ ἂν Θήβας Αἰγυπτίας ὀνομάζων, καὶ τὸν ἐκεῖ καὶ τὸν ἐν Φοινίκῃ πλοῦτον, τὸν ἐν Βαβυλῶνι, καὶ Νίνῳ καὶ Ἐκβατάνοις παρεσιώπησε. Πρῶτοι δὲ Πέρσαι καὶ Ἑλλήνων ἐπῆρξαν. Λυδοὶ δὲ ἐπῆρξαν μέν, ἀλλ' οὔτε τῆς Ἀσίας ὅλης ἐπάρξαντες, ἀλλὰ μέρους τινὸς

μικροῦ,

μικρῦ, τῦ ἐντὸς Ἅλυος μόνον· καὶ ταῦτ᾽ ἐπ᾽ ὀλίγων χρόνων τῶν κατὰ Κροῖσον καὶ Ἀλυάττην. Κρατηθέντες δ᾽ ὑπὸ Περσῶν, ἐι καί τι τῆς δόξης ἦν ἀυτοῖς, ἀφηρέθησαν τῦθ᾽ ὑπ᾽ ἐκείνων. Πέρσαι δ᾽ ἀφ᾽ ὗ κατέλυσαν τὰ Μήδων, ἐυθὺς καὶ Λυδῶν ἐκράτησαν, καὶ τὺς κατὰ τὴν Ἀσίαν Ἕλληνας ὑπηκόυς ἔσχον· ὕστερον δὲ καὶ διέβησαν ἐις τὴν Ἑλλάδα· καὶ ἡττηθέντες πολλοῖς καὶ πολλάκις ἀγῶσιν, ὅμως διετέλεσαν τὴν Ἀσίαν μέχρι τῶν ἐπὶ θαλάττῃ τόπων κατέχοντες, ἕως ὑπὸ Μακεδόνων κατεπολεμήθησαν. Ὁ μὲν ὖν ἐις τὴν ἡγεμονίαν καταστήσας ἀυτὺς Κύρος ἦν· διαδεξάμενος δὲ τῦτον Καμβύσης ὑιὸς, ἀπὸ τῶν μάγων κατελύθη. Τύτυς δ᾽ ἀνελόντες οἱ ἑπτὰ Πέρσαι Δαρείῳ τῷ Ὑστάσπυ παρέδοσαν τὴν ἀρχήν· ἔιθ᾽ οἱ ἀπὸ τύτυ διαδεχόμενοι κατέλυσαν ἐις Νάρσην· ὃν ἀποκτείνας Βαγῶος ὁ ἐυνῦχος, κατέστησε Δαρεῖον ὐκ ὄντα τῦ γένυς τῶν βασιλέων. Τῦτον δὲ καταλύσας Ἀλέξανδρος, ἀυτὸς ἦρξε δέκα ἐι ἕνδεκα ἔτει· ἔιτ᾽ ἐις πλείυς τὺς διαδεξαμένυς καὶ τὺς ἐπιγόνυς τύτων μεριθεῖσα ἡ ἡγεμονία τῆς Ἀσίας διελύθη· συνέμεινε δ᾽ ὅσον πεντήκοντα ἐπὶ τοῖς διακοσίοις ἔτη. Νῦν δ᾽ ἤδη καθ᾽ ἀυτὺς συνεστῶτες οἱ Πέρσαι, βασιλέας ἔχυσιν, ὑπηκόυς ἑτέροις βασιλεῦσι, πρότερον μὲν Μακεδόσι, νῦν δὲ Παρθυαίοις.

Ctesiae Persica. 1—14. Κτησίυ τῦ Κνιδίυ τὰ Περσικὰ ἐν βιβλίοις ἐστὶ κγ΄. ἀλλ᾽ ἐν μὲν τοῖς πρώτοις ἓξ τά τε Ἀσσύρια διαλαμβάνει καὶ ὅσα πρὸ τῶν Περσικῶν· ἀπὸ μέντοι τῦ ζ΄ τὰ Περσικὰ διεξέρχεται. καὶ ἐν μὲν τῷ ζ΄ καὶ ή καὶ ί καὶ ιά καὶ ιβ΄ καὶ ιγ΄ διέξεισι τὰ περὶ Κύρυ καὶ Καμβύσυ καὶ τῦ μάγυ, Δαρείυ τε καὶ τῦ Ξέρξυ· σχεδὸν ἐν ἅπασιν ἀντικείμενα Ἡροδότῳ ἱστορῶν, ἀλλὰ καὶ ψέυστην ἀυτὸν ἀποκαλῶν ἐν πολλοῖς, καὶ λογοποιὸν ἀποκαλῶν· καὶ γὰρ νεώτερος μέν ἐστιν ἀυτῦ· φησὶ δὲ ἀυτὸν, τῶν πλειόνων ἃ ἱστορεῖ, ἀυτόπτην γινόμενον, ἢ παρ᾽ ἀυτῶν Περσῶν (ἔνθα τὸ ὁρᾷν μὴ ἐνεχώρει) ἀυτήκοον καταστάντα, ὕτως τὴν ἱστορίαν συγγράψαι. ὐχ Ἡροδότῳ δὲ μόνῳ τἀναντία ἱστορεῖ, ἀλλὰ καὶ πρὸς Ξενοφῶντα τὸν Γρύλλυ ἐπ᾽ ἐνίων διαφωνεῖ. ἤκμασε δὲ ἐν τοῖς χρόνοις Κύρυ τῦ ἐκ Δαρείυ καὶ Παρυσάτιδος, ὃς ἀδελφὸς Ἀρτοξέρξυ (ἐις ὃν ἡ Περσικὴ βασιλεία κατῆλθεν) ἐτύγχανεν.

Φυσὶν

Φησὶν ἓν αὐτίκα περὶ τῦ Ἀςυάγυς, ὡς ἐδὲν αὐτῷ Κῦρος πρὸς γένος ἐχρημάτιζεν· ἔτος δὲ αὐτὸν καὶ Ἀςυΐγαν καλεῖ. Φυγεῖν δὲ ἀπὸ προσώπυ Κύρυ Ἀςυΐγαν ἐν Ἐκβατάνοις, καὶ κρυφθῆναι ἐν τοῖς κριοκράνοις τῶν βασιλείων οἰκημάτων, κρυψάντων αὐτὸν τῆς τε θυγατρὸς Ἀμύτιος καὶ τῦ ἀνδρὸς αὐτῆς Σπιταμᾶ. ἐπιςάντα δὲ Κῦρον, ἐπιτάξαι ἀνακρίνειν διὰ ςρεβλώσεων Σπιταμᾶν τε καὶ Ἄμυτιν, ἀλλὰ καὶ τὺς παῖδας αὐτῶν Σπιτάκην τε καὶ Μεγαβέρνην, περὶ Ἀςυΐγα. τὸν δὲ ἑαυτὸν προσαγγεῖλαι, ἵνα μὴ δἰ αὐτὸν ςρεβλωθείησαν οἱ παῖδες. ληφθέντα δὲ πέδαις παχείαις ὑπὸ Οἰβαρᾶ δεθῆναι. λυθῆναι δὲ ὑπ᾽ αὐτῦ Κύρυ μετ᾽ ὐ πολὺ, καὶ ὡς πατέρα τιμηθῆναι· καὶ τὴν θυγατέρα Ἄμυτιν πρῶτον μὲν μητρικῆς ἀπολαῦσαι τιμῆς, ἔπειτα δὲ καὶ εἰς γυναῖκα ἀχθῆναι τῷ Κύρῳ, Σπιταμᾶ τῦ ἀνδρὸς αὐτῆς ἀνῃρημένυ, ὅτι ἐψεύσατο, ἀγνοεῖν εἰπὼν ἐρευνώμενον Ἀςυΐγαν. Ταῦτα λέγει Κτησίας περὶ Κύρυ, καὶ ὐχ᾽ οἷα Ἡρόδοτος. καὶ ὅτι πρὸς Βακτρίυς ἐπολέμησε, καὶ ἀγχώμαλος ἡ μάχη ἐγένετο. ἐπεὶ δὲ Βάκτριοι Ἀςυΐγαν μὲν, πατέρα Κύρυ γεγεννημένον, Ἄμυτιν δὲ μητέρα καὶ γυναῖκα, ἔμαθον, ἑαυτὺς ἑκόντες Ἄμυτι καὶ Κύρῳ παρέδοσαν. Καὶ ὅτι πρὸς Σάκας ἐπολέμησε Κῦρος, καὶ συνέλαβεν Ἀμόργην τῶν Σακῶν μὲν βασιλέα, ἄνδρα δὲ Σπαρέθρης· ἥτις καὶ μετὰ τὴν ἅλωσιν τῦ ἀνδρὸς ςρατὸν συλλέξασα ἐπολέμησε Κύρῳ, ἀνδρῶν μὲν ςράτευμα τριάκοντα μυριάδας ἐπαγομένη, γυναικῶν δὲ εἴκοσι. καὶ νικᾷ Κῦρον, καὶ συλλαμβάνει ζωγρίαν, μετὰ καὶ ἄλλων πλείςων· Παρμίσην τε τὸν Ἀμύτιος ἀδελφὸν, καὶ τρεῖς αὐτῦ παῖδας. δἰ ὓς ὕςερον καὶ Ἀμόργης ἀφείθη, ἐπεὶ κἀκεῖνοι ἀφείθησαν. Καὶ ὅτι ςρατεύει Κῦρος ἐπὶ Κροῖσον καὶ πόλιν Σάρδεις, συνεργὸν ἔχων Ἀμόργην. ὅπως τε τῇ βυλῇ Οἰβαρᾶ Περσῶν εἴδωλα ξύλινα ἀνὰ τὸ τεῖχος φανέντα, εἰς δέος μὲν κατέςησε τὺς ἐνοικῦντας, ἥλω δὲ διὰ ταῦτα καὶ αὐτὴ ἡ πόλις. ὅπως τε πρὸ τῆς ἁλώσεως δίδοται ὁ παῖς Κροίσυ ἐν ὁμήρυ λόγῳ, δαιμονίυ φαντάσματος ἀπατήσαντος Κροῖσον. ὅπως τε δολοῤῥαφῦντος Κροίσυ, ὁ παῖς κατ᾽ ὀφθαλμὺς ἀναιρεῖται· καὶ ὅπως ἡ μήτηρ τὸ πάθος ἰδῦσα, ἑαυτὴν τῦ τείχυς ἀποκρη-

Cyrus ante Chr. 558—528.

κρημνίζει, καὶ ἐ θνήσκει. ὅπως τε, ἁλέσης τῆς πό λεως, πρὸς τὸ ἐν τῇ πόλει ἱερὸν τȣ̃ Ἀπόλλωνος κατα Φεύγει καὶ θνήσκει. καὶ ὡς τρὶς ἐν τῷ ἱερῷ πεδηθεὶ ὑπὸ Κύρȣ, λύεται τρίτον ἀοράτως· καίτοι σφραγίδων τῷ ἱερῷ ἐπικειμένων, καὶ τȣ́των τὴν Φυλακὴν Ὀιβαρᾷ ἐμπεπισευμένȣ. ὅπως τε οἱ συνδȣ́μενοι Κροίσῳ τὰς κεφαλὰς ἀπετέμνοντο, ὡς καταπροδιδόντες λύεθαι Κροῖσον. καὶ ὅτε ἀναληφθεὶς ἐν τοῖς βασιλείοις καὶ δεθεὶς ἀσφαλέςερον, βροντῶν καὶ σκηπτῶν ἐπενεχθέντων, λύεται πάλιν· καὶ τότε μόλις ὑπὸ Κύρȣ ἀφίεται. ἐξ ȣ̃ καὶ περιείπετο, καὶ ἔδωκε Κύρος Κροίσῳ πόλιν μεγάλην Βαρήνην, ἐγγὺς Ἐκβατάνων· ἐν ᾗ ἦσαν ἱππεῖς μὲν πεντακισχίλιοι, πελτασαὶ δὲ καὶ ἀκοντισαὶ καὶ τοξόται μύριοι. Ἔτι δὲ διαλαμβάνει ὡς ἀποσέλλει Κύρος ἐν Περσίδι Πετισάκαν τὸν ἡμιάῤῥενα, μέγα παρ' αὐτῷ δυνάμενον, ἐνέγκαι ἀπὸ Βαρκανίων Ἀςυΐγαν, ἐπόθει γὰρ αὐτός τε καὶ ἡ θυγάτηρ Ἄμυτις τὸν πατέρα ἰδεῖν. καὶ ὡς Ὀιβαρᾶς βȣλεύει Πτισάκᾳ ἐν ἐρήμῳ τόπῳ καταλιπόντα Ἀςυΐγαν, λιμῷ καὶ δίψει ἀπολέσαι. καὶ γέγονε. δι' ἐνυπνίων δὲ τȣ̃ μιάσματος μηνυθέντος, Πετισάκας, πολλάκις αἰτησαμένης Ἀμύτιος, εἰς τιμωρίαν παρὰ Κύρȣ ἐκδίδοται. ἡ δὲ τȣ̀ς ὀφθαλμȣ̀ς ἐξορύξασα, καὶ τὸ δέρμα περιδείρασα, ἀνεσαύρωσεν· Ὀιβαρᾶς δὲ δεδιὼς μὴ τὰ ὅμοια πείσεται, καίτοι Κύρȣ μηδὲν τοιȣ̃τον ἰσχυριζομένȣ παραχωρῆσαι, αὐτὸς ὅμως ἀποκαρτερήσας δι' ἡμερῶν δέκα, ἑαυτὸν ἐξήγαγεν. Ἀςυΐγας δὲ μεγαλοπρεπῶς ἐτάφη. καὶ ἐν τῇ ἐρήμῳ δὲ ἄβρωτος αὐτȣ̃ διέμεινεν ὁ νεκρός. λέοντες γὰρ αὐτȣ̃ (φασὶ) μέχρι Πετισάκα πάλιν ἐλθεῖν καὶ ἀναλαβεῖν, ἐφύλαττον τὸν νεκρόν. Κύρος δὲ ςρατεύει ἐπὶ Δέρβικας, Ἀμοραίȣ βασιλεύοντος αὐτῶν. καὶ ἐξ ἐνέδρας οἱ Δέρβικες ἱςῶσιν ἐλέφαντας, καὶ τȣ̀ς ἱππεῖς Κύρȣ τρέπȣσι· καὶ πίπτει καὶ αὐτὸς Κύρος ἐκ τȣ̃ ἵππȣ, καὶ Ἰνδὸς ἀνὴρ· (συνεμάχοντο γὰρ καὶ Ἰνδοὶ τοῖς Δερβίκεσιν, ἐξ ὧν καὶ τȣ̀ς ἐλέφαντας ἔφερον) ἔτος ȣ̃ν ὁ Ἰνδὸς πεπτωκότα Κύρον βάλλει ἀκοντίῳ ὑπὸ τὸ ἰσχίον, εἰς τὸν μηρόν· ἐξ ȣ̃ καὶ τελευτᾷ. τότε δὲ ζῶντα ἀνελόμενοι αὐτὸν οἱ οἰκεῖοι, ἐπὶ τὸ ςρατόπεδον ἧεσαν. ἀπέθανον δὲ ἐν τῇ μάχῃ καὶ Περσῶν πολλοὶ

καὶ

καὶ Δερβίκων ἴσοι. μύριοι γὰρ καὶ αὐτοί. Ἀμόργης δὲ περὶ Κύρου ἀκούσας, σπουδῇ παραγίνεται, ἔχων Σακῶν δισμυρίους ἱππέας. καὶ πολέμου συῤῥαγέντος Περσῶν καὶ Δερβίκων, νικᾷ κατακράτος, ὁ Περσικὸς καὶ Σακῶν στρατός. ἀναιρεῖται δὲ καὶ ὁ τῶν Δερβίκων βασιλεὺς Ἀμοραῖος, καὶ αὐτὸς καὶ οἱ δύο παῖδες αὐτοῦ. ἀπέθανον δὲ Δερβίκων μὲν τρισμύριοι, Περσῶν δὲ ἐννεακισχίλιοι. καὶ προσεχώρησεν ἡ χώρα Κύρῳ. Κῦρος δὲ μέλλων τελευτᾷν, Καμβύσην μὲν τὸν πρῶτον υἱὸν, βασιλέα καθίστη. Τανυοξάρκην δὲ τὸν νεώτερον ἐπέστησε δεσπότην Βακτρίων καὶ τῆς χώρας, καὶ Χοραμνίων, καὶ Παρθίων, καὶ Καρμανίων, ἀτελεῖς ἔχειν τὰς χώρας διορισάμενος. τῶν δὲ Σπιταμᾶ παίδων, Σπιτάδην μὲν Δερβίκων ἀνέδειξε σατράπην, Μεγαβέρνην δὲ Βαρκανίων. τῇ μητρὶ δὲ πάντα πείθεσθαι προσέταττε. καὶ Ἀμόργην φίλον τούτοις, τῶν δεξιῶν ἐμβαλλομένων, ἐποιεῖτο καὶ ἀλλήλοις· καὶ τοῖς μὲν ἐμμένουσι ταῖς πρὸς ἀλλήλους εὐνοίαις ἀγαθὰ ηὔχετο, ἐπηρᾶτο δὲ τοῖς χειρῶν ἄρξουσιν ἀδίκων. ταῦτα εἰπὼν, ἐτελεύτησε τρίτῃ ὕστερον ἀπὸ τοῦ τραύματος ἡμέρᾳ, βασιλεύσας ἔτη λ΄. ἐν οἷς ὁ ιά Κτησίου λόγος τοῦ Κνιδίου.

Ἄρχεται δὲ ὁ ιβ΄ ἀπὸ τῆς Καμβύσου βασιλείας. οὗτος βασιλεύσας ἀπέστειλε τὸν τοῦ πατρὸς διὰ Βαγαπάτου τοῦ ἡμιάῤῥενος εἰς Πέρσας ταφῆναι νεκρόν· καὶ τἄλλα ὡς ὁ πατὴρ ὡρίσατο, διῳκήσατο. μέγιστον δὲ παρ' αὐτῷ ἠδύνατο Ἀρτασύρας Ὑρκάνιος· τῶν δὲ ἡμιαῤῥένων Ἰξαβάτης τε καὶ Ἀσπαδάτης καὶ Βαγαπάτης, ὃς καὶ παρὰ τῷ πατρὶ μέγιστος, καὶ μετὰ τὸν Πετισάκα θάνατον, οὗτος στρατεύει ἐπ' Αἴγυπτον, καὶ τὸν Αἰγυπτίων βασιλέα Ἀμυρταῖον, Κομβαφέως τοῦ ἡμιάῤῥενος, ὃς ἦν μέγα δυνάμενος παρὰ τῷ Αἰγυπτίων βασιλεῖ, καταπροδόντος τάς τε γεφύρας καὶ τἄλλα τῶν Αἰγυπτίων πράγματα, ἐφ' ᾧ γενέσθαι ὕπαρχος Αἰγύπτου· καὶ γέγονε. ταῦτα γὰρ αὐτῷ Καμβύσης διὰ Ἰξαβάτου τοῦ Κομβαφέως ἀνεψιοῦ συνέθετο, καὶ αὐτὸς οἰκειοφώνως ὕστερον. ζωγρίαν δὲ λαβὼν τὸν Ἀμυρταῖον, οὐδὲν ἄλλο κακὸν εἰργάσατο ἢ ὅτι εἰς Σοῦσα ἀνάσπαστον σὺν ἑξακισχιλίοις Αἰγυπτίοις, οὓς αὐτὸς ᾑρετίσατο, ἐποιήσατο. καὶ τὴν Αἴγυπτον δὲ πᾶσαν ὑπέταξεν.

Cambyses. ant. Chr. 528 — 522.

ταξεν. ἀπέθανον δὲ ἐν τῇ μάχῃ Ἀιγυπτίων μὲν μυριάδες πέντε, Περσῶν δὲ δύο. Μάγος δέ τις Σφενδαδάτης ὄνομα, ἁμαρτήσας καὶ μαστιγωθεὶς ὑπὸ Τανυοξάρκȣ, ἀφικνεῖται πρὸς Καμβύσην, ἐνδιαβάλλων τὸν ἀδελφὸν Τανυοξάρκην ὡς ἐπιβȣλεύοντα αὐτῷ· καὶ σημεῖον ἐδίδȣ τῆς ἀποστάσεως, ὡς ἐι κληθείη ἐλθεῖν, ἐκ ἂν ἔλθοι· δηλοῖ τοίνυν ὁ Καμβύσης ἐλθεῖν τὸν ἀδελφόν· ὁ δὲ, χρείας ἄλλης ἀπαιτέσης μένειν, ἀνεβάλετο. παῤῥησιάζεται ταῖς διαβολαῖς πλέον ὁ μάγος. Ἄμυτις δὲ ἡ μήτηρ τὰ τȣ̃ μάγȣ ὡς ἦν ὑπονοȣ̃σα, ἐνȣθέτη Καμβύσην τὸν ὑιὸν μὴ πείθεσθαι· ὁ δὲ ὑπεκρίνετο μὴ πείθεσθαι, ἐπείθετο δὲ μάλιστα. διαπεμψαμένȣ δὲ τρίτον Καμβύσȣ πρὸς τὸν ἀδελφὸν, παραγίνεται. καὶ ἀσπάζεται μὲν αὐτὸν ὁ ἀδελφὸς, ȣ̓δὲν δὲ ἧττον ἀνελεῖν αὐτὸν ἐμελέτα. κρύφα δὲ Ἀμύτιος εἰς πρᾶξιν ἀγαγεῖν τὴν μελέτην ἔσπευδε. καὶ λαμβάνει πέρας ἡ πρᾶξις. ὁ γάρ τοι μάγος βȣλῆς τῷ βασιλεῖ κοινωνῶν, βȣλεύει τοιȣ̃τον· ὅμοιος ἦν αὐτὸς ὁ μάγος κάρτα τῷ Τανυοξάρκῃ· βȣλεύει τοιγαρȣ̃ν αὐτὸν μὲν ἐν τῷ φανερῷ, ὡς δῆθεν ἀδελφȣ̃ βασιλέως κατειπόντα τὴν κεφαλὴν προστάξαι ἀποτμηθῆναι, ἐν δὲ τῷ κρυπτῷ ἀναιρεθῆναι Τανυοξάρκην, καὶ τὴν ἐκείνȣ στολὴν ἀμφιασθῆναι τὸν μάγον· ὥστε καὶ τῷ ἀμφιάσματι νομίζεσθαι Τανυοξάρκην. καὶ γίνεται ταῦτα. αἵματι γὰρ ταύρȣ, ὃ ἐξέπιεν, ἀναιρεῖται Τανυοξάρκης. ἀμφιάζεται δὲ ὁ μάγος, καὶ νομίζεται Τανυοξάρκης. καὶ λανθάνει πάντας ἐπὶ πολὺν χρόνον, πλὴν Ἀρτασύρα καὶ Βαγαπάτȣ καὶ Ἰξαβάτȣ· τȣ́τοις γὰρ μόνοις Καμβύσης ἐθάῤῥησε τὴν πρᾶξιν. Λάβυζον δὲ ἡμιαῤῥένων τὸν πρῶτον ὃι ἦσαν Τανυοξάρκεω, προσκαλεσάμενος ὁ Καμβύσης καὶ τȣ̀ς ἄλλȣς ὑποδείξας τὸν μάγον ὡς ἐσχημάτιστο καθεζόμενον, Τȣ̃τον, ἔφη, νομίζετε Τανυοξάρκην; ὁ δὲ Λάβυζος θαυμάσις, καὶ τίνα ἄλλον, ἔφη, νομιȣ̃μεν; τοσȣ̃τον ἐλάνθανε τῇ ὁμοιότητι ὁ μάγος. ἐκπέμπεται ȣ̃ν ἐις Βακτρίȣς καὶ πράττει πάντα ὡς Τανυοξάρκης. πέντε δὲ ἐνιαυτῶν διελθόντων, μηνύεται ἡ Ἄμυτις τὸ δρᾶμα διὰ Τιβέθεως τȣ̃ ἡμιάῤῥενος, ὃν ὁ μάγος τυπτήσας ἐτύγχανε. καὶ αἰτεῖ τὸν Σφενδαδάτην παρὰ Καμβύσȣ. ὁ δὲ ȣ̓ δίδωσιν. ἡ δὲ ἐπαρᾶται,

ται, καὶ πιῦσα φάρμακον, τελευτᾷ. Θύει ὁ Καμβύσης, καὶ τῶν ἱερείων σφαζομένων αἷμα ἐκ ἀποῤῥεῖ· καὶ ἀθυμεῖ. καὶ τίκτει αὐτῷ ἡ Ῥωξάνη παιδίον ἀκέφαλον· καὶ πλέον ἀθυμεῖ. ἀφικόμενος δὲ εἰς Βαβυλῶνα, καὶ ξέων ξυλάριον μαχαίρᾳ, διατριβῆς χάριν, παίει τὸν μηρὸν εἰς τὸν μῦν, καὶ ἑνδεκαταῖος τελευτᾷ, βασιλεύσας δυοῖν δέοντα εἴκοσι.

Βαγαπάτης δὲ καὶ Ἀρτασύρας, πρὶν ἢ Καμβύσης τελευτήσῃ, ἐβουλεύσαντο βασιλεῦσαι τὸν μάγον. καὶ ἐβασίλευσεν, ἐκείνου τελευτήσαντος. λαβὼν δὲ τοῦ Καμβύσου σῶμα Ἰξαβάτης ἦγεν εἰς Πέρσας. τοῦ μάγου δὲ βασιλεύσαντος ἐπ' ὀνόματι τοῦ Τανυοξάρκου, ἧκεν Ἰξαβάτης ἐκ Περσίδος, καὶ κατειπὼν τῇ στρατιᾷ πάσῃ, καὶ θριαμβεύσας τὸν μάγον, κατέφυγεν εἰς τὸ ἱερόν· ἐκεῖθεν δὲ συλληφθεὶς ἀπετμήθη. Ἐντεῦθεν ἑπτὰ τῶν Περσῶν ἐπίσημοι συνέθεντο ἀλλήλοις κατὰ τοῦ μάγου, Ὀνόφας, Ἰδέρνης, Νορονδαβάτης, Μαρδόνιος, Βαρίσσης, Ἀρταφέρνης καὶ Δαρεῖος Ὑστάσπεω. τούτων ἀλλήλοις πίστεις δόντων, προσλαμβάνεται καὶ ὁ Ἀρτασύρας, εἶτα καὶ ὁ Βαγαπάτης, ὃς τὰς κλεῖς πάσας τῶν βασιλείων εἶχε. καὶ εἰσελθόντες διὰ τοῦ Βαγαπάτου οἱ ἑπτὰ εἰς τὰ βασίλεια, εὑρίσκουσι τὸν μάγον παλλακῇ Βαβυλωνίᾳ συγκαθεύδοντα. ὡς δὲ εἶδεν, ἀνεπήδησε· καὶ μηδὲν εὑρὼν τῶν πολεμικῶν ὀργάνων, (πάντα γὰρ ὁ Βαγαπάτης λάθρα ὑπεξήγαγε) δίφρον χρύσεον συντρίψας, καὶ λαβὼν τὸν πόδα, ἐμάχετο. καὶ τέλος, κατακεντηθεὶς ὑπὸ τῶν ἑπτὰ, ἀπέθανε, βασιλεύσας μῆνας ἑπτά. Ἄγεται τοῖς Πέρσαις ἑορτὴ τῆς μαγοφονίας, καθ' ἣν Σφενδαδάτης ὁ μάγος ἀνῄρηται.

Sphendadates Magus. a. C. 522.

Ἡρόδοτος ἱστορεῖ τούτοις οὐ συμφωνοῦντα. Καμβύσῃ τῷ Κύρου, φησὶ, χρονίζοντι περὶ Αἴγυπτον καὶ παραφρονήσαντι, ἐπανιστέαται ἄνδρες μάγοι δύο ἀδελφεοί· τῶν τὸν ἕτερον καταλελοίπεε τῶν οἰκίων μελεδωνὸν ὁ Καμβύσης. οὗτος δὴ ὦν οἱ ἐπανέστη, μαθὼν δὲ τὸν Σμέρδιος θάνατον ὡς κρύπτοιτο γενόμενος, καὶ ὡς ὀλίγοι τε ἦσαν οἱ ἐπιστάμενοι αὐτὸν Περσέων, οἱ δε πολλοὶ περιεόντά μιν εἰδείησαν· πρὸς ταῦτα βουλεύσας τάδε, ἐπεχείρησε τοῖσι βασιληΐοισι. ἦν οἱ ἀδελφεὸς τὸν εἶπα οἱ συνεπανασῆ-

Herodot. III. cap. 61 — 87. Magi duo, fratres, insurgunt contra Cambysen. a. 523.

νμεῆναι, οἰκὼς μάλιςα τὸ εἶδος Σμέρδι τῷ Κύρε, τὸν ὁ Καμβύσης ἐόντα ἑωϋτε ἀδελφεὸν ἀπέκτεινε. ἦν τε δὴ ὅμοιος εἶδος τῷ Σμέρδι, καὶ δὴ καὶ ἔνομα τὠυτὸ εἶχε Σμέρδιν. τἔτον τὸν ἄνδρα αναγνώσας ὁ μάγος Πατιζείθης, ὥς οἱ αὐτὸς πάντα διαπρήξει, εἷσε ἄγων ἐς τὸν βασιλήϊον θρόνον. ποιήσας δὲ τἔτο, κήρυκας διέπεμπε τῇ τε ἄλλῃ καὶ δὴ καὶ ἐς Αἴγυπτον, προερέοντα τῷ ςρατῷ ὡς Σμέρδιος τἔ Κύρε ἀκεςέα εἴη τἔ λοιπἔ, ἀλλ' ἐ Καμβύσεω.

cap. 62. Caduceator in Aegyptum a Magis missus: Prexaspes purgat se Cambysi.

Οἵ τε δὴ ὦν ἄλλοι κήρυκες προηγόρευον ταῦτα, καὶ δὴ καὶ ὁ ἐπ' Αἴγυπτον ταχθεὶς, εὕρισκε γὰρ Καμβύσεα καὶ τὸν ςρατὸν ἐόντα τῆς Συρίης ἐν Ἀγβατάνοισι, προηγόρευε ςὰς ἐς μέσον τὰ ἐντεταλμένα ἐκ τἔ μάγε. Καμβύσης δὲ ἀκέσας ταῦτα ἐκ τἔ κήρυκος, καὶ ἐλπίσας μιν λέγειν ἀληθέα, αὐτὸς δὲ προδεδόσθαι ἐκ Πρηξάσπεος, (πεμφθέντα γὰρ αὐτὸν ὡς ἀποκτενέοντα Σμέρδιν, ἐ ποιῆσαι ταῦτα,) βλέψας ἐς τὸν Πρηξάσπεα, εἶπε, "Πρήξασπες, ἔτω μοι διεπρήξαο τό τοι προσέθηκα πρῆγμα;" Ὁ δὲ εἶπε, "ὦ δέσποτα, ἐκ ἔςι ταῦτα ἀληθέα, ὅκως κοτέ σοι Σμέρδις ἀδελφεὸς ὁ σὸς ἐπανέςηκε, ἐδὲ ὅκως τι ἐξ ἐκείνε τἔ ἀνδρὸς νεῖκός τοι ἔςαι ἢ μέγα ἢ σμικρόν· ἐγὼ γὰρ αὐτὸς, ποιήσας τὰ σύ με ἐκέλευες, ἔθαψά μιν χερσὶ τῇσι ἐμεωϋτἔ. εἰ μέν νυν οἱ τεθνεῶτες ἀνεςέασι, προσδέκεό τοι καὶ Ἀςυάγεα τὸν Μῆδον ἐπαναςήσεσθαι· εἰ δ' ἔςι ὥσπέρ προτἔ, ἐ μήτι τοι ἔκ γε ἐκείνε νεώτερον ἀναβλαςήσει. νῦν ὦν μοι δοκέει, μεταδιώξαντες τὸν κήρυκα, ἐξετάζειν εἰρωτεῦντας παρ' ὅτευ ἥκων προαγορένει ἡμῖν Σμέρδιος βασιλῆος ἀκέειν."

cap. 63. Caduceator interrogatus verum fatetur.

Ταῦτα εἴπαντος Πρηξάσπεος, ἤρεσέ γὰρ Καμβύσῃ, αὐτίκα μεταδίωκτος γενόμενος ὁ κήρυξ ἧκε· ἀπιγμένον δέ μιν εἴρετο ὁ Πρηξάσπης τάδε, "Ὤνθρωπε, φῂς γὰρ ἥκειν παρὰ Σμέρδιος τἔ Κύρε ἄγγελος· νῦν ὦν εἴπας τὴν ἀληθηΐην, ἄπιθι χαίρων· κότερα αὐτός τοι Σμέρδις φαινόμενος ἐς ὄψιν ἐνετέλλετο ταῦτα, ἢ τῶν τις ἐκείνε ὑπηρετέων;" Ὁ δὲ εἶπε· "ἐγὼ Σμέρδιν μὲν τὸν τἔ Κύρε ἐξ ὅτε βασιλεὺς Καμβύσης ἤλασε ἐς Αἴγυπτον, ἔκω ὄπωπα· ὁ δέ μοι μάγος, τὸν Καμβύσης ἐπίτροπον τῶν οἰκίων ἀπέδειξε, ἔτος ταῦτα ἐνετείλατο, φὰς Σμέρδιν τὸν Κύρε εἶναι τὸν ταῦτα ἐπιθόμενον εἶπαι

παι πρὸς ὑμέας." Ὁ μὲν δή σφι ἔλεγε, ἐδὲν ἐπικατεψευσμένος. Καμβύσης δὲ εἶπε, "Πρήξασπες, σὺ μὲν, οἷα ἀνὴρ ἀγαθὸς, ποιήσας τὸ κελευόμενον, αἰτίην ἐκπέφευγας· ἐμοὶ δὲ τίς ἂν εἴη Περσέων ὁ ἐπανεςεὼς, ἐπιβατεύων τῦ Σμέρδιος ἐνόματος;" Ὁ δὲ εἶπε, "ἐγώ μοι δοκέω συνιέναι τὸ γεγονὸς τῦτο, ὦ βασιλεῦ· οἱ μάγοι εἰσί τοι οἱ ἐπανεςεῶτες, τόν τε ἔλιπες μελεδωνὸν τῶν οἰκίων, Πατιζείθης, καὶ ὁ τῦτυ ἀδελφεὸς Σμέρδις." Ἐνταῦθα ἀκέσαντα Καμβύσεα τὸ Σμέρδιος ὄνομα, ἔτυψε ἡ ἀληθηΐη τῶν τε λόγων καὶ τῦ ἐνυπνίυ· ὃς ἐδόκεε ἐν τῷ ὕπνῳ ἀπαγγεῖλαί τινά οἱ, ὡς Σμέρδις ἱζόμενος ἐς τὸν βασιλήϊον θρόνον, ψαύσειε τῇ κεφαλῇ τῦ ἐρανῦ. μαθὼν δὲ ὡς μάτην ἀπολωλεκὼς εἴη τὸν ἀδελφεὸν, ἀπέκλαιε Σμέρδιν. ἀποκλαύσας δὲ, καὶ περιημεκτήσας τῇ ἁπάσῃ συμφορῇ, ἀναθρώσκει ἐπὶ τὸν ἵππον, ἐν νόῳ ἔχων τὴν ταχίςην ἐς Σῦσα ςρατέυεσθαι ἐπὶ τὸν μάγον. καί οἱ ἀναθρώσκοντι ἐπὶ τὸν ἵππον, τῦ κωλεῦ τῦ ξίφεος ὁ μύκης ἀποπίπτει· γυμνωθὲν δὲ τὸ ξίφος παίει τὸν μηρόν· τρωματισθεὶς δὲ κατὰ τῦτο τῇ αὐτὸς πρότερον τὸν τῶν Αἰγυπτίων θεὸν Ἆπιν ἔπληξε, ὥς οἱ καιρίη ἔδοξε τετύφθαι, εἴρετο ὁ Καμβύσης ὅ, τι τῇ πόλι ὄνομα εἴη. οἱ δὲ εἶπαν, ὅτι Ἀγβάτανα. τῷ δὲ ἔτι πρότερον ἐκέχρηςο ἐκ Βυτῦς πόλιος, ἐν Ἀγβατάνοισι τελευτήσειν τὸν βίον. ὁ μὲν δὴ ἐν τοῖσι Μηδικοῖσι Ἀγβατάνοισι ἐδόκεε τελευτήσειν γηραιὸς, ἐν τοῖσί οἱ ἦν πάντα τὰ πρήγματα· τὸ δὲ χρηςήριον τοῖσι ἐν Συρίῃ Ἀγβατάνοισι ἔλεγε ἄρα. καὶ δὴ ὡς τότε ἐπειρεόμενος ἐπύθετο τῆς πόλιος τὸ ὄνομα, ὑπὸ τῆς συμφορῆς τῆς τε ἐκ τῦ μάγυ ἐκπεπληγμένος, καὶ τῦ τρώματος, ἐσωφρόνησε· συλλαβὼν δὲ τὸ θεοπρόπιον, εἶπε, "ἐνθαῦτα Καμβύσεα τὸν Κύρυ ἐςὶ πεπρωμένον τελευτᾶν." Τότε μὲν τοσαῦτα· ἡμέρῃσι δὲ ὕςερον ὡς εἴκοσι μεταπεμψάμενος Περσέων τῶν παρεόντων τὺς λογιμωτάτυς, ἔλεγέ σφι τάδε· "ὦ Πέρσαι, καταλελάβηκέ με, τὸ πάντων μάλιςα ἔκρυπτον πρηγμάτων, τῦτο ἐς ὑμέας ἐκφῆναι. ἐγὼ γὰρ ἐὼν ἐν Αἰγύπτῳ, εἶδον ὄψιν ἐν τῷ ὕπνῳ τὴν μηδαμᾶ ὄφελον ἰδεῖν· ἐδόκεον δέ μοι ἄγγελον ἐλθόντα ἐξ οἴκυ ἀγγέλλειν, ὡς Σμέρδις ἱζόμενος ἐς τὸν βασιλήϊον θρόνον, ψαύσειε τῇ κεφα-

cap. 64. Somnium Cambysis de Smerdi: vulnus letale in femore: oraculum ex urbe Buto: Ecbatana Syriæ.

cap. 65. Ultima verba Cambysis ad amicos.

κεφαλῇ τοῦ οὐρανοῦ· δείσας δὲ μὴ ἀπαιρεθέω τὴν ἀρχ
πρὸς τοῦ ἀδελφεοῦ, ἐποίησα ταχύτερα ἢ σοφώτερα· ἐ
τῇ γὰρ ἀνθρωπηΐῃ φύσει οὐκ ἐνῆν ἄρα τὸ μέλλον γ
νεσθαι ἀποτρέπειν· ἐγὼ δὲ ὁ μάταιος Πρηξάσπεα ἀπο
πέμπω ἐς Σοῦσα ἀποκτενέοντα Σμέρδιν. ἐξεργασθέντο
δὲ κακοῦ τοσούτου, ἀδεῶς διαιτώμην, οὐδαμᾶ ἐπιλεξάμενο
μή κοτέ τίς μοι, Σμέρδιος ὑπαραιρημένου, ἄλλος ἐπα
ναστάιη ἀνθρώπων. παντὸς δὲ τοῦ μέλλοντος ἔσεσθαι ἁ
μαρτὼν, ἀδελφεοκτόνος τε, οὐδὲν δέον, γέγονα, κα
τῆς βασιληΐης οὐδὲν ἧσσον ἐστέρημαι. Σμέρδις γὰρ δὴ
ἦν ὁ μάγος, τόν μοι ὁ δαίμων προέφαινε ἐν τῇ ὄψει
ἐπαναστήσεσθαι. τὸ μὲν δὴ ἔργον ἐξέργασταί μοι, καὶ
Σμέρδιν τὸν Κύρου μηκέτι ὑμῖν ἐόντα λογίζεσθε· οἱ δὲ
ὑμῖν μάγοι κρατέουσι τῶν βασιληΐων, τόν τε ἔλιπον ἐπί-
τροπον τῶν οἰκίων, καὶ ὁ ἐκείνου ἀδελφεὸς Σμέρδις. τὸν
μέν νυν μάλιστα χρῆν ἐμεῦ αἰσχρὰ πρὸς τῶν μάγων πε-
πονθότος τιμωρέειν ἐμοὶ, οὗτος μὲν ἀνοσίῳ μόρῳ τετελεύ-
τηκε ὑπὸ τῶν ἑωυτοῦ οἰκηϊωτάτων. τούτου δὲ μηκέτι ἐόν-
τος, δεύτερα τῶν λοιπῶν ὑμῖν ὦ Πέρσαι γίνεταί μοι
ἀναγκαιότατον ἐντέλλεσθαι, τὰ θέλω μοι γενέσθαι, τελευ-
τῶν τὸν βίον· καὶ δὴ ὑμῖν τάδε ἐπισκήπτω, θεοὺς τοὺς
βασιληΐους ἐπικαλέων, καὶ πᾶσιν ὑμῖν, καὶ μάλιστα Ἀ-
χαιμενιδέων τοῖσι παρεοῦσι, μὴ περιϊδεῖν τὴν ἡγεμονίην
αὖτις ἐς Μήδους περιελθοῦσαν· ἀλλ' εἴτε δόλῳ ἔχουσι αὐ-
τὴν κτησάμενοι, δόλῳ ἀπαιρεθῆναι ὑπὸ ὑμέων· εἴτε καὶ
σθένεΐ τεῳ κατεργασάμενοι, σθένεϊ κατὰ τὸ καρτερὸν
ἀνασώσασθαι. καὶ ταῦτα μὲν ποιεῦσι ὑμῖν γῆ τε καρ-
πὸν ἐκφέροι, καὶ γυναῖκές τε καὶ ποῖμναι τίκτοιεν, ἐοῦ-
σι ἐς τὸν ἅπαντα χρόνον ἐλευθέροισι· μὴ ἀνασωσαμένοι-
σι δὲ τὴν ἀρχὴν, μηδ' ἐπιχειρήσασι ἀνασώζειν, τὰ ἐναν-
τία τούτοισι ἀρέομαι ὑμῖν γενέσθαι· καὶ πρὸς ἔτι τούτοισι,
τὸ τέλος Περσέων ἑκάστῳ ἐπιγενέσθαι οἷον ἐμοὶ ἐπιγέγο-
νε." Ἅμα τε εἴπας ταῦτα ὁ Καμβύσης, ἀπέκλαιε πᾶ-

cap. 66. Persarum luctus: Cambyses post regnum 7 ann. & 5 mens. obit ann. 523. ex-

σαν τὴν ἑωυτοῦ πρῆξιν. Πέρσαι δ' ὡς τὸν βασιλέα εἶ-
δον ἀνακλαύσοντα, πάντες τά τε ἐσθῆτος ἐχόμενα εἶχον,
ταῦτα κατηρείκοντο, καὶ οἰμωγῇ ἀφθόνῳ διεχρέωντο.
μετὰ δὲ ταῦτα, ὡς ἐσφακέλισέ τε τὸ ὀστέον, καὶ ὁ μη-
ρὸς τάχιστα ἐσάπη, ἀπήνεικε Καμβύσεα τὸν Κύρου, βα-
σιλεύ-

σιλεύσαντα μὲν τὰ πάντα ἑπτὰ ἔτεα, καὶ μῆνας πέντε, ἄπαιδα δὲ τὸ παράπαν ἐόντα ἔρσενος καὶ θήλεος γόνου. Περσέων δὲ τοῖσι παρεοῦσι ἀπιστίη πολλὴ ὑπεκέχυτο, τοὺς μάγους ἔχειν τὰ πρήγματα· ἀλλ' ἠπιστέατο ἐπὶ διαβολῇ εἰπεῖν Καμβύσεα, τὰ εἶπε περὶ τοῦ Σμέρδιος θανάτου, ἵνα οἱ ἐκπολεμωθῇ πᾶν τὸ Περσικόν. οὗτοι μέν νυν ἠπιστέατο Σμέρδιν τὸν Κύρου βασιλέα ἐνεστεῶτα· δεινῶς γὰρ καὶ ὁ Πρηξάσπης ἔξαρνος ἦν μὴ μὲν ἀποκτεῖναι Σμέρδιν· οὐ γὰρ ἦν οἱ ἀσφαλὲς, Καμβύσεω τετελευτηκότος, φάναι τὸν Κύρου υἱὸν ἀπολωλεκέναι αὐτοχειρίῃ.

tremo: Smerdin Cyri fil. occisum nec Persæ credunt, & Prexaspes negat.

Ὁ δὲ δὴ μάγος, τελευτήσαντος Καμβύσεω, ἀδεῶς ἐβασίλευσε, ἐπιβατεύων τοῦ ὁμωνύμου Σμέρδιος τοῦ Κύρου, μῆνας ἑπτὰ τοὺς ἐπιλοίπους Καμβύσῃ ἐς τὰ ὀκτὼ ἔτεα τῆς πληρώσιος· ἐν τοῖσι ἀπεδέξατο ἐς τοὺς ὑπηκόους πάντας εὐεργεσίας μεγάλας, ὥστε ἀποθανόντος αὐτοῦ πόθον ἔχειν πάντας τοὺς ἐν τῇ Ἀσίῃ, πάρεξ αὐτῶν Περσέων. διαπέμψας γὰρ ὁ μάγος ἐς πᾶν ἔθνος τῶν ἦρχε, προεῖπε ἀτελείην εἶναι στρατηίης καὶ φόρου ἐπ' ἔτεα τρία, προεῖπε μὲν δὴ ταῦτα αὐτίκα ἐνιστάμενος ἐς τὴν ἀρχήν.

cap. 67. Magus regnat VII menses: ejus liberalitas in subjectos.

Ὀγδόῳ δὲ μηνὶ ἐγένετο κατάδηλος τρόπῳ τοιῷδε. Ὀτάνης ἦν Φαρνάσπεω μὲν παῖς, γένεϊ δὲ καὶ χρήμασι ὁμοῖος τῷ πρώτῳ Περσέων· οὗτος ὁ Ὀτάνης πρῶτος ὑπόπτευσε τὸν μάγον, ὡς οὐκ εἴη ὁ Κύρου Σμέρδις, ἀλλ' ὅσπερ ἦν· τῇδε συμβαλλεόμενος, ὅτι τε οὐκ ἐξεφοίτα ἐκ τῆς ἀκροπόλιος, καὶ ὅτι οὐκ ἐκάλεε ἐς ὄψιν ἑωυτῷ οὐδένα τῶν λογίμων Περσέων. ὑποπτεύσας δέ μιν, ἐποίεε τάδε. ἔσχε αὐτοῦ ὁ Καμβύσης θυγατέρα, τῇ οὔνομα ἦν Φαιδύμη· τὴν αὐτὴν δὴ ταύτην εἶχε τότε ὁ μάγος, καὶ ταύτῃ τε συνοίκεε, καὶ τῇσι ἄλλῃσι πάσῃσι τῇσι τοῦ Καμβύσεω γυναιξί. πέμπων δὴ ὦν ὁ Ὀτάνης παρ' αὐτὴν τὴν θυγατέρα, ἐπυνθάνετο παρ' ὅτεῳ ἀνθρώπων κοιμῷτο, εἴτε μετὰ Σμέρδιος τοῦ Κύρου, εἴτε μετὰ ἄλλου τευ. ἡ δέ οἱ ἀντέπεμπε, φαμένη οὐ γινώσκειν· οὔτε γὰρ τὸν Κύρου Σμέρδιν ἰδέσθαι οὐδαμᾶ, οὔτε ὅστις εἴη ὁ συνοικέων αὐτῇ εἰδέναι. ἔπεμπε δεύτερα ὁ Ὀτάνης, λέγων, "Εἰ μὲν αὐτὴ Σμέρδιν τὸν Κύρου οὐ γινώσκεις, σὺ δὲ παρὰ Ἀτόσσης πύθευ ὅτεῳ τούτῳ συνοικέει αὐτή τε ἐκείνη, καὶ σύ· πάντως γὰρ δή κου τόν γε ἑωυτῆς ἀδελφεὸν γινώσ-

cap. 68. 69. Otanes Persa Magi fraudem suspicatus, quomodo eam Phædymæ filiæ opera, unius regiarum uxorum, detexerit.

νώσκει." Ἀντιπέμπει πρὸς ταῦτα ἡ θυγάτηρ, "Οὔτε Ἀτόσσῃ δύναμαι ἐς λόγους ἐλθεῖν, οὔτε ἄλλην οὐδεμίην ἰδέσθαι τῶν συγκατημένων γυναικῶν. ἐπεί τε γὰρ τάχιστα οὗτος ὥνθρωπος, ὅστις κοτέ ἐστι, παρέλαβε τὴν βασιληΐην, διέσπειρε ἡμέας, ἄλλην ἄλλῃ τάξας." Ἀκούοντι
cap. 69. δὲ ταῦτα τῷ Ὀτάνῃ, μᾶλλον κατεφαίνετο τὸ πρῆγμα. τρίτην δὲ ἀγγελίην ἐσπέμπει παρ' αὐτὴν, λέγουσαν ταῦτα, "Ὦ θύγατερ, δεῖ σε γεγονυῖαν εὖ, κίνδυνον ἀναλαβέσθαι τὸν ἂν ὁ πατὴρ ὑποδύνειν κελεύῃ. ἢν γὰρ δὴ μή ἐστι ὁ Κύρου Σμέρδις, ἀλλὰ τὸν καταδοκέω ἐγὼ, οὔτοι μιν σοί τε συγκοιμώμενον, καὶ τὸ Περσέων κράτος ἔχοντα, δεῖ χαίροντα ἀπαλάσσειν, ἀλλὰ δοῦναι δίκην. νῦν ὦν ποίησον τάδε· ἐπεάν σοι συνεύδῃ, καὶ μάθῃς αὐτὸν κατυπνωμένον, ἄφασσον αὐτοῦ τὰ ὦτα. καὶ ἢν μὲν φαίνηται ἔχων ὦτα, νόμιζε σεωϋτὴν Σμέρδι τῷ Κύρου συνοικέειν· ἢν δὲ μὴ ἔχων, σὺ δὲ τῷ μάγῳ Σμέρδι." Ἀντιπέμπει πρὸς ταῦτα ἡ Φαιδύμη, φαμένη κινδυνεύσειν μεγάλως, ἢν ποιῇ ταῦτα. ἢν γὰρ δὴ μὴ τυγχάνῃ τὰ ὦτα ἔχων, ἐπίλαμπτος δὲ ἀφάσσουσα ἔσται, εὖ εἰδέναι ὡς ἀϊστώσει μιν. ὅμως μέντοι ποιήσειν ταῦτα. ἡ μὲν δὴ ὑπεδέξατο ταῦτα τῷ πατρὶ κατεργάσεσθαι. τοῦ δὲ μάγου τούτου τοῦ Σμέρδιος Κῦρος ὁ Καμβύσεω ἄρχων τὰ ὦτα ἀπέταμε ἐπ' αἰτίῃ δή τινι οὐ σμικρῇ. ἡ ὦν δὴ Φαιδύμη αὕτη, ἡ τοῦ Ὀτάνεω θυγάτηρ, πάντα ἐπιτελέουσα τὰ ὑπεδέξατο τῷ πατρὶ, ἐπεί τε αὐτῇ μέρος ἐγίνετο τῆς ἀπίξιος παρὰ τὸν μάγον, ἐν περιτροπῇ γὰρ δὴ αἱ γυναῖκες φοιτέουσι τοῖσι Πέρσῃσι, ἐλθοῦσα παρ' αὐτὸν ηὗδε. ὑπνωμένου δὲ καρτερῶς τοῦ μάγου, ἤφασσε τὰ ὦτα. μαθοῦσα δὲ οὐ χαλεπῶς, ἀλλ' εὐπετέως οὐκ ἔχοντα τὸν ἄνδρα ὦτα, ὡς ἡμέρη τάχιστα ἐγεγόνεε, πέμψασα ἐσήμηνε
cap. 70. Septem Persæ conspirant adversus Magum. τῷ πατρὶ τὰ γενόμενα. Ὁ δὲ Ὀτάνης παραλαβὼν Ἀσπαθίνην καὶ Γωβρύην, Περσέων τε πρώτους ἐόντας καὶ ἑωϋτῷ ἐπιτηδεωτάτους ἐς πίστιν, ἀπηγήσατο πᾶν τὸ πρῆγμα· οἱ δὲ καὶ αὐτοὶ ἄρα ὑπώπτευον οὕτω τοῦτο ἔχειν. ἀνενείκαντος δὲ τοῦ Ὀτάνεω τοὺς λόγους, ἐδέξαντο· καὶ ἔδοξέ σφι ἕκαστον ἄνδρα Περσέων προσεταιρίσασθαι τοῦτον, τῷ πιστεύει μάλιστα. Ὀτάνης μέν νυν ἐσάγεται Ἰνταφέρνεα· Γωβρύης δὲ, Μεγάβυζον· Ἀσπαθίνης δὲ, Ὑδάρ-

δάρνεα. γεγονότων δὲ τȣτων ἓξ, παραγίνεται ἐς τὰ Σȣ̃σα Δαρεῖος ὁ Ὑςάσπεος, ἐκ Περσέων ἥκων· τȣτων γὰρ δὴ ἦν οἱ ὁ πατὴρ ὕπαρχος. ἐπεὶ ὦν αὐτὸς ἀπίκετο, τοῖσι ἓξ τῶν Περσέων ἔδοξε καὶ Δαρεῖον προσεταιρίσασθαι. Συνελθόντες δὲ ȣ̃τοι ἐόντες ἑπτὰ ἐδίδοσάν σφισι πίςις καὶ λόγȣς. ἐπεί τε δὲ ἐς Δαρεῖον ἀπίκετο γνώμην ἀποφαίνεσθαι, ἔλεγέ σφι τάδε· "Ἐγὼ ταῦτα ἐδόκεον μὲν αὐτὸς μȣ̃νος ἐπίςασθαι, ὅτι τε ὁ μάγος εἴη ὁ βασιλεύων, καὶ Σμέρδις ὁ Κύρȣ τετελεύτηκε· καὶ αὐτȣ̃ τȣ́τȣ εἵνεκεν ἥκω σπȣδῇ, ὡς συςήσων ἐπὶ τῷ μάγῳ θάνατον. ἐπεί τε δὲ συνήνεικε, ὥςε καὶ ὑμέας εἰδέναι, καὶ μὴ μȣ̃νον ἐμὲ, ποιέειν αὐτίκα μοι δοκέει, καὶ μὴ ὑπερβάλλεσθαι· ȣ̓ γὰρ ἄμεινον." Εἶπε πρὸς ταῦτα ὁ Ὀτάνης, "Ὦ παῖ Ὑςάσπεος, εἶς τε πατρὸς ἀγαθȣ̃, καὶ ἐκφαίνειν ἔοικας σεωϋτὸν ἐόντα τȣ̃ πατρὸς ȣ̓δὲν ἥσσω. τὴν μέντοι ἐπιχείρησιν ταύτην μὴ ȣ̃τω συντάχυνε ἀβȣ́λως, ἀλλ' ἐπὶ τὸ σωφρονέςερον αὐτὴν λάμβανε· δεῖ γὰρ πλεῦνας γενομένȣς, ȣ̃τω ἐπιχειρέειν." Λέγει πρὸς ταῦτα Δαρεῖος, "Ἄνδρες οἱ παρεόντες, τρόπῳ τῷ εἰρημένῳ ἐξ Ὀτάνεος εἰ χρήσεσθε, ἐπίςασθε ὅτι ἀπολέεσθε κάκιςα. ἐξοίσει γάρ τις πρὸς τὸν μάγον, ἰδίῃ περιβαλλόμενος ἑωϋτῷ κέρδεα. μάλιςα μέν νυν ὀφείλετε ἐπ' ὑμέων αὐτῶν βαλόμενοι ποιέειν ταῦτα· ἐπεί τε δὲ ὑμῖν ἀναφέρειν ἐς πλεῦνας ἐδόκεε, καὶ ἐμοὶ ὑπερέθεσθε, ἢ ποιέωμεν σήμερον, ἢ ἴςε ὑμῖν ὅτι ἢν ὑπερπέσῃ ἡ νῦν ἡμέρη, ὡς ȣ̓κ ἄλλος φθὰς ἐμεῦ κατήγορος ἔςαι, ἀλλά σφεας αὐτὸς ἐγὼ κατερέω πρὸς τὸν μάγον." Λέγει πρὸς ταῦτα Ὀτάνης, ἐπειδὴ ὥρα σπερχόμενον Δαρεῖον, "Ἐπεί τε ἡμέας συνταχύνειν ἀναγκάζεις, καὶ ὑπερβάλλεσθαι ȣ̓κ ἐᾷς, ἴθι ἐξηγέο αὐτὸς ὅτεῳ τρόπῳ πάριμεν ἐς τὰ βασιλήϊα, καὶ ἐπιχειρήσομεν αὐτοῖσι. Φυλακὰς γὰρ δὴ διεςεώσας οἶδάς κȣ καὶ αὐτὸς, εἰ μὴ ἰδὼν, ἀλλ' ἀκȣ́σας· ἃς τέῳ τρόπῳ περήσομεν;" Ἀμείβεται Δαρεῖος τοῖσδε· "Ὀτάνη, ἦ πολλά ἐςι τὰ λόγῳ μὲν ȣ̓κ οἷά τε δηλῶσαι, ἔργῳ δέ· ἄλλα δ' ἐςὶ τὰ λόγῳ μεν οἷά τε, ἔργον δὲ ȣ̓δὲν ἀπ' αὐτῶν λαμπρὸν γίνεται. ὑμεῖς δὲ ἴςε φυλακὰς τὰς κατεςεώσας, ȣ̓́σας ȣ̓δὲν χαλεπὰς παρελθεῖν. τȣ̃το μὲν γὰρ, ἡμέων ἐόντων τοιῶνδε, ȣ̓δεὶς ὅςις ȣ̓ παρήσει·

cap. 71—73. Darii sententia festinationem suadentis vincit.

cap. 72.

ρήσει· τὰ μέν κȣ καταιδεόμενος ἡμέας, τὰ δέ κȣ καὶ δειμαίνων. τȣ̃το δὲ, ἔχω αὐτὸς σκῆψιν εὐπρεπεστάτην, τῇ πάριμεν· Φὰς ἄρτι τε ἥκειν ἐκ Περσέων, καὶ βȣλέσθαί τι ἔπος παρὰ τȣ̃ πατρὸς σημῆναι τῷ βασιλέϊ. ἔνθα γάρ τι δεῖ ψεῦδος λέγεσθαι, λεγέσθω. τȣ̃ γὰρ αὐτȣ̃ γλιχόμεθα ὅι τε ψευδόμενοι καὶ ὁι τῇ ἀληθηΐῃ διαχρεώμενοι. ὁι μέν γε ψεύδονται τότε, ἐπεάν τι μέλλωσι τοῖσι ψεύδεσι πείσαντες, κερδήσεσθαι· ὁι δ' ἀληθίζονται, ἵνα τε τῇ ἀληθηΐῃ ἐπισπάσωνται κέρδος, καί τι μᾶλλόν σΦισι ἐπιτράπηται. ȣ̃τω ȣ̓ ταυτὰ ἀσκέοντες, τὠυτȣ̃ περιεχόμεθα. ἐι δὲ μηδὲν κερδήσεσθαι μέλλοιεν, ὁμοίως ἂν ὅ, τε ἀληθιζόμενος, ψευδὴς ἔιη, καὶ ὁ ψευδόμενος, ἀληθής. ὃς ἂν μέν νυν τῶν πυλȣρῶν ἑκὼν παρείῃ, αὐτῷ ὁι ἄμεινον ἐς χρόνον ἔσαι· ὃς δ' ἂν ἀντιβαίνειν πειρᾶται, δεικνύσθω ἐνθαῦτα ἐὼν πολέμιος, καὶ ἔπειτα

cap, 73. ὠσάμενοι ἔσω, ἔργȣ ἐχώμεθα." Λέγει Γωβρύης μετὰ ταῦτα, "Ἄνδρες Φίλοι, ἡμῖν κότε κάλλιον παρέξει ἀνασώσασθαι τὴν ἀρχὴν, ἢ, ἔι γε μὴ ὁιοί τε ἐσόμεθα αὐτὴν ἀναλαβέειν, ἀποθανέειν; ὅτε γε ἀρχόμεθα μὲν, ἐόντες Πέρσαι, ὑπὸ Μήδȣ ἀνδρὸς μάγȣ, καὶ τȣ́τȣ ὦτα ȣ̓κ ἔχοντος. ὅσοι τε ὑμέων Καμβύσῃ νοσέοντι παρεγένοντο, πάντως κȣ μέμνησθε τὰ ἐπέσκηψε Πέρσῃσι τελευτῶν τὸν βίον, μὴ πειρεωμένοισι ἀνακτᾶσθαι τὴν ἀρχήν. τὰ τότε ȣ̓κ ἐνεδεκόμεθα, ἀλλ' ἐπὶ διαβολῇ ἐδοκέομεν ἐιπεῖν Καμβύσεα. νῦν ὦν τίθεμαι ψῆΦον πείθεσθαι Δαρείῳ, καὶ μὴ διαλύεσθαι ἐκ τȣ̃ συλλόγȣ τȣ̃δε ἄλλοθι ἰόντας ἢ ἐπὶ τὸν μάγον ἰθέως." Ταῦτα ἔιπε

cap. 74. Quid Prexaspes Magis postulantibus receperit. Γωβρύης· καὶ πάντες ταῦτα ἄινεον. Ἐν ᾧ δὲ ȣ̃τοι ταῦτα ἐβȣλεύοντο, ἐγίνετο κατὰ συντυχίην τάδε. τοῖσι μάγοισι ἔδοξε βȣλευομένοισι Πρηξάσπεα Φίλον προσθέσθαι, ὅτι τε ἐπεπόνθεε πρὸς Καμβύσεω ἀνάρσια, ὅς ὁι τὸν παῖδα τοξεύσας ἀπολωλέκεε· καὶ διότι μȣ̃νος ἠπίστατο τὸν Σμέρδιος τȣ̃ Κύρȣ θάνατον, αὐτοχειρίῃ μιν ἀπολέσας· πρὸς δ' ἔτι, ἐόντα ἐν ἄινῃ μεγίσῃ τὸν Πρηξάσπεα ἐν Πέρσῃσι. τȣ́των δή μιν ἕινεκε καλέσαντες, Φίλον προσεκτέωντο πίσι τε λαβόντες καὶ ὁρκίοισι, ἢ μὴν ἕξειν παρ' ἑωϋτῷ, μηδ' ἐξοίσειν μηδενὶ ἀνθρώπων τὴν ἀπὸ σΦέων ἀπάτην ἐς Πέρσας γεγονυῖαν· ὑπισχνεύμενοι τὰ

πάντα

πάντα οἱ μυρία δώσειν. ὑποδεκομένȣ δὲ τȣ̃ Πρηξάσπεω ποιήσειν ταῦτα, ὡς ἀνέπεισάν μιν οἱ μάγοι, δεύτερα προσέφερον, αὐτοὶ μὲν Φάμενοι Πέρσας πάντας συγκαλέειν ὑπὸ τὸ βασιλήϊον τεῖχος, κεῖνον δ' ἐκέλευον ἀναβάντα ἐπὶ πύργον ἀγορεῦσαι, ὡς ὑπὸ τȣ̃ Κύρȣ Σμέρδιος ἄρχονται, καὶ ὑπ' ȣ̓δενὸς ἄλλȣ. ταῦτα δὲ ȣ̂τω ἐνετέλλοντο, ὡς πιςοτάτȣ δῆθεν ἐόντος αὐτȣ̃ ἐν Πέρσῃσι, καὶ πολλάκις ἀποδεξαμένȣ γνώμην ὡς περιείη ὁ Κύρȣ Σμέρδις καὶ ἐξαρνησαμένȣ τὸν Φόνον αὐτȣ̃. Φαμένȣ δὲ καὶ ταῦτα ἑτοίμȣ ε̃ιναι ποιέειν τȣ̃ Πρηξάσπεω, συγκαλέσαντες Πέρσας οἱ μάγοι, ἀνεβίβασαν αὐτὸν ἐπὶ πύργον, καὶ ἀγορεύειν ἐκέλευον. ὁ δὲ, τῶν μέν τοι ἐκεῖνοι προσεδέοντο αὐτȣ̃, τȣ́των μὲν ἑκὼν ἐπελήθετο· ἀρξάμενος δὲ ἀπ' Ἀχαιμένεος, ἐγενεηλόγησε τὴν πατριὴν τȣ̃ Κύρȣ· μετὰ δὲ, ὡς ἐς τȣ̃τον κατέβη, τελευτῶν ἔλεγε ὅσα ἀγαθὰ Κῦρος Πέρσας πεποιήκοι· διεξελθὼν δὲ ταῦτα, ἐξέΦαινε τὴν ἀληθηΐην, Φάμενος πρότερον μὲν κρύπτειν· ȣ̓ γὰρ ὁι ε̃ιναι ἀσΦαλὲς λέγειν τὰ γενόμενα· ἐν δὲ τῷ παρεόντι ἀναγκαίην μιν καταλαμβάνειν Φαίνειν· καὶ δὴ ἔλεγε, τὸν μὲν Κύρȣ Σμέρδιν ὡς αὐτὸς ὑπὸ Καμβύσεω ἀναγκαζόμενος ἀποκτείνειε, τȣ̀ς μάγȣς δὲ βασιλεύειν. Πέρσῃσι δὲ πολλὰ ἐπαρησάμενος, ἐι μὴ ἀνακτησαίατο ὀπίσω τὴν ἀρχὴν, καὶ τȣ̀ς μάγȣς τισαίατο, ἀπῆκε ἑωϋτὸν ἐπὶ κεΦαλὴν Φέρεσθαι ἀπὸ τȣ̃ πύργȣ κάτω. Πρηξάσπης μέν νυν ἐὼν τὸν πάντα χρόνον ἀνὴρ δόκιμος, ȣ̃τω ἐτελεύτησε. Ὁι δὲ δὴ ἑπτὰ τῶν Περσέων, ὡς ἐβȣλεύσαντο αὐτίκα ἐπιχειρέειν τοῖσι μάγοισι, καὶ μὴ ὑπερβάλλεσθαι, ἤϊσαν εὐξάμενοι τοῖσι θεοῖσι, τῶν περὶ Πρηξάσπεα πρηχθέντων ἐιδότες ȣ̓δέν. ἔν τε δὴ τῇ ὁδῷ μέσῃ ςείχοντες ἐγένοντο, καὶ τὰ περὶ Πρηξάσπεα γεγονότα ἐπυνθάνοντο. ἐνθαῦτα ἐκςάντες τῆς ὁδȣ̃, ἐδίδοσαν αὐτοῖσι σΦίσι λόγȣς· οἱ μὲν ἀμΦὶ τὸν Ὀτάνην, πάγχυ κελεύοντες ὑπερβαλέσθαι, μηδὲ οἰδεόντων τῶν πρηγμάτων, ἐπιτίθεσθαι· οἱ δὲ ἀμΦὶ τὸν Δαρεῖον, αὐτίκα τε ἰέναι, καὶ τὰ δεδογμένα ποιέειν, μηδ' ὑπερβάλλεσθαι. ὠθιζομένων δ' αὐτῶν, ἐΦάνη ἰρήκων ἑπτὰ ζεύγεα, δύο αἰγυπιῶν ζεύγεα διώκοντά τε καὶ τίλλοντα καὶ ἀμύσσοντα· ἰδόντες δὲ ταῦτα οἱ ἑπτὰ, τήν τε Δαρείȣ πάντες

cap. 75. Ejus veritas contra datam fidem, & mors voluntaria.

cap. 76. Conjurati septem ad facinus euntes, cognito rerum statu, egressi de via quum inter se contenderent, augurio confirmantur.

πάντες αἴνεον γνώμην, καὶ ἔπειτα ἤϊσαν ἐπὶ τὰ βασιλήϊα τεθαῤῥηκότες τοῖσι ὄρνισι. Ἐπιστᾶσι δὲ ἐπὶ τὰς πύλας ἐγίνετο οἷόν τι Δαρείῳ ἡ γνώμη ἔφερε· καταιδεόμενοι γὰρ οἱ φύλακοι ἄνδρας τοὺς Περσέων πρώτους, καὶ οὐδὲν τοιοῦτον ὑποπτεύοντες ἐξ αὐτῶν ἔσεσθαι, παρίεσαν, θείῃ πομπῇ χρεωμένους· οὐδ' ἐπειρώτα οὐδείς. ἐπεί τε δὲ καὶ παρῆλθον ἐς τὴν αὐλὴν, ἐνέκυρσαν τοῖσι τὰς ἀγγελίας ἐσφέρουσι εὐνούχοισι, οἵ σφεας ἱστόρεον ὅ, τι θέλοντες ἥκοιεν· καὶ ἅμα ἱστορέοντες τούτους, τοῖσι πυλουροῖσι ἀπείλεον, ὅτι σφέας παρῆκαν. ἴσχον τε βουλομένους τοὺς ἑπτὰ ἐς τὸ πρόσω παριέναι· οἱ δὲ, διακελευσάμενοι, καὶ σπασάμενοι τὰ ἐγχειρίδια, τούτους μὲν τοὺς ἴσχοντας αὐτοῦ ταύτῃ συγκεντέουσι· αὐτοὶ δὲ ἤϊσαν δρόμῳ ἐς τὸν ἀνδρεῶνα.

cap. 77. In aulam admissi, eunuchorum obsistentium strage facta, in conclave irruunt.

Οἱ δὲ μάγοι ἔτυχον ἀμφότεροι τηνικαῦτα ἐόντες τε ἔσω, καὶ τὰ ἀπὸ Πρηξάσπεω γενόμενα ἐν βουλῇ ἔχοντες. ἐπεὶ ὦν εἶδον τοὺς εὐνούχους τεθορυβημένους τε καὶ βοῶντας, ἀνά τε ἔδραμον πάλιν ἀμφότεροι, καὶ ὡς ἔμαθον τὸ ποιεύμενον, πρὸς ἀλκὴν ἐτράποντο. ὁ μὲν δὴ αὐτέων φθάνει τὰ τόξα κατελόμενος· ὁ δὲ, πρὸς τὴν αἰχμὴν ἐτράπετο. ἐνθαῦτα δὲ συνέμισγον ἀλλήλοισι. τῷ μὲν δὴ τὰ τόξα ἀναλαβόντι αὐτέων, ἐόντων τε ἀγχοῦ τῶν πολεμίων, καὶ προσκειμένων, ἦν χρηστὰ οὐδέν· ὁ δ' ἕτερος τῇ αἰχμῇ ἠμύνετο· καὶ τοῦτο μὲν, Ἀσπαθίνην παίει ἐς τὸν μηρόν· τοῦτο δὲ, Ἰνταφέρνεα ἐς τὸν ὀφθαλμόν· καὶ ἐστερήθη μὲν τοῦ ὀφθαλμοῦ ἐκ τοῦ τρώματος ὁ Ἰνταφέρνης, οὐ μέντοι ἀπέθανέ γε. τῶν μὲν δὴ μάγων οὗτερος τρωματίζει τούτους· ὁ δὲ ἕτερος, ἐπεί τέ οἱ τὰ τόξα οὐδὲν χρηστὰ ἐγένετο, ἦν γὰρ δὴ θάλαμος ἐσέχων ἐς τὸν ἀνδρεῶνα, ἐς τοῦτον καταφεύγει, θέλων αὐτοῦ προσθεῖναι τὰς θύρας. καὶ οἱ συνεσπίπτουσι τῶν ἑπτὰ δύο, Δαρεῖός τε καὶ Γωβρύης· συμπλακέντος δὲ Γωβρύεω τῷ μάγῳ, ὁ Δαρεῖος ἐπεστεὼς ἠπόρει, οἷα ἐν σκότεϊ, προμηθεόμενος μὴ πλήξῃ τὸν Γωβρύην· ὁρέων δέ μιν ἀργὸν ἐπεστεῶτα ὁ Γωβρύης, εἴρετο ὅ, τι οὐ χρῆται τῇ χερί· ὁ δὲ εἶπε, "Προμηθεόμενος σέο, μὴ πλήξω·" Γωβρύης δὲ ἀμείβετο, "Ὤθει καὶ δι' ἀμφοτέρων τὸ ξίφος." Δαρεῖος δὲ πειθόμενος, ὦσέ τε τὸ ἐγχειρίδιον καὶ ἔτυχέ κως τοῦ μάγου. Ἀποκτείναντες δὲ τοὺς μάγους,

cap. 78. Magorum virtus & cædes: vulnerati duo e conjuratis.

γυς, καὶ ἀποταμόντες αὐτέων τὰς κεφαλὰς, τὺς μὲν τρωματίας ἑωϋτῶν αὐτῦ λείπυσι, καὶ ἀδυνασίης ἕινεκεν, καὶ φυλακῆς τῆς ἀκροπόλιος· οἱ δὲ πέντε αὐτέων ἔχοντες τῶν μάγων τὰς κεφαλὰς, ἔθεον ἔξω, βοῇ τε καὶ πατάγῳ χρεώμενοι· καὶ Πέρσας τὺς ἄλλυς ἐπεκαλέοντο, ἐξηγεόμενοί τε τὸ πρῆγμα, καὶ δεικνύοντες τὰς κεφαλὰς, καὶ ἅμα ἔκτεινον πάντα τινὰ τῶν μάγων τὸν ἐν ποσὶ γινόμενον· οἱ δὲ Πέρσαι, μαθόντες τό, τε γεγονὸς ἐκ τῶν ἑπτὰ, καὶ τῶν μάγων τὴν ἀπάτην, ἐδικαίευν καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιέειν· σπασάμενοι δὲ τὰ ἐγχειρίδια, ἔκτεινον ὅκυ τινὰ μάγον ἕυρισκον· ἐι δὲ μὴ νὺξ ἐπελθῦσα ἔσχε, ἔλιπον ἂν ὐδένα μάγον· ταύτην τὴν ἡμέρην θεραπεύυσι Πέρσαι κοινῇ μάλιστα τῶν ἡμερέων· καὶ ἐν αὐτῇ ὁρτὴν μεγάλην ἀνάγυσι, ἣ κέκληται ὑπὸ Περσέων μαγοφόνια· ἐν τῇ μάγον ὐδένα ἔξεσι φανῆναι ἐς τὸ φῶς, ἀλλὰ κατ᾽ ὁικυς ἑωϋτὺς οἱ μάγοι ἔχυσι τὴν ἡμέρην ταύτην. Ἐπεί τε δὲ κατέστη ὁ θόρυβος, καὶ ἐκτὸς πέντε ἡμερέων ἐγένετο, ἐβυλεύοντο οἱ ἐπαναστάντες τοῖσι μάγοισι περὶ τῶν πρηγμάτων πάντων· καὶ ἐλέχθησαν λόγοι ἄπιστοι μὲν ἐνίοισι Ἑλλήνων, ἐλέχθησαν δ᾽ ὦν. Ὀτάνης μὲν ἐκέλευε ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα, λέγων τάδε, "Ἐμοὶ δοκέει, ἕνα μὲν ἡμέων μύναρχον μῦνον μηκέτι γενέσθαι· ὔτε γὰρ ἡδὺ, ὔτε ἀγαθόν. ἕιδετε μὲν γὰρ τὴν Καμβύσεω ὕβριν ἐπ᾽ ὅσον ἐπεξῆλθε, μετεσχήκατε δὲ καὶ τῆς τῦ μάγυ ὕβριος. κῶς δ᾽ ἂν ἔιη χρῆμα κατηρτημένον μυναρχίη; τῇ ἔξεστι ἀνευθύνω ποιέειν τὰ βύλεται; καὶ γὰρ ἂν τὸν ἄριστον ἀνδρῶν πάντων στάντα ἐς ταύτην τὴν ἀρχὴν, ἐκτὸς τῶν ἐωθότων νοημάτων στήσειε. ἐγγίνεται μὲν γὰρ οἱ ὕβρις ὑπὸ τῶν παρεόντων ἀγαθῶν, φθόνος δὲ ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. δύο δ᾽ ἔχων ταῦτα, ἔχει πᾶσαν κακότητα· τὰ μὲν γὰρ ὕβρει κεκορημένος ἔρδει πολλὰ καὶ ἀτάσθαλα, τὰ δὲ, φθόνῳ. καίτοι ἄνδρα γε τύραννον, ἄφθονον ἔδει ἐιναι, ἔχοντά γε πάντα τὰ ἀγαθά· τὸ δ᾽ ὑπεναντίον τύτυ ἐς τὺς πολιήτας πέφυκε· φθονέει γὰρ τοῖσι ἀρίστοισι περιεῦσί τε καὶ ζώυσι, χαίρει δὲ τοῖσι κακίστοισι τῶν ἀστῶν· διαβολὰς δὲ ἄριστος ἐνδέκεσθαι. ἀναρμοστότατον δὲ πάντων· ἤν τε γὰρ αὐτὸν μετρίως θωϋμάζῃς,

cap. 79. Exposita populo re gesta, Magi vulgo contrucidantur: festum Persicum ingens, Magophonia.

cap. 80. Proposita consultatione de rerum statu optimo, suadet Otanes Democratiam;

ζῆς, ἄχθεται ὅτι οὐ κάρτα θεραπεύεται· ἤν τε θεραπεύῃ τις κάρτα, ἄχθεται ἅτε θωπί. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων· νόμαιά τε κινεῖ πάτρια, καὶ βιᾶται γυναῖκας, κτείνει τε ἀκρίτους. πλῆθος δὲ ἄρχον, πρῶτα μὲν, οὔνομα πάντων κάλλιστον ἔχει, ἰσονομίην. δεύτερα δὲ, τούτων τῶν ὁ μούναρχος ποιέει οὐδέν. πάλῳ μὲν ἀρχὰς ἄρχει, ὑπεύθυνον δὲ ἀρχὴν ἔχει, βουλεύματα δὲ πάντα ἐς τὸ κοινὸν ἀναφέρει. τίθεμαι ὦν γνώμην, μετέντας ἡμέας μουναρχίην, τὸ πλῆθος ἀέξειν· ἐν γὰρ τῷ πολλῷ ἔνι τὰ πάντα." Ὀτάνης μὲν δὴ ταύτην τὴν γνώμην ἐσέφερε.

cap. 81. Megabyzus Aristocratiam;

Μεγάβυζος δὲ ὀλιγαρχίῃ ἐκέλευε ἐπιτράπειν, λέγων τάδε, "Τὰ μὲν Ὀτάνης εἶπε, τυραννίδα παύων, λελέχθω κἀμοὶ ταῦτα· τὰ δ' ἐς τὸ πλῆθος ἄνωγε φέρειν τὸ κράτος, γνώμης τῆς ἀρίστης ἡμάρτηκε. ὁμίλου γὰρ ἀχρηΐου οὐδέν ἐστι ἀξυνετώτερον, οὐδὲ ὑβριστότερον. καί τοι τυράννου ὕβριν φεύγοντας ἄνδρας, ἐς δήμου ἀκολάστου ὕβριν πεσέειν, ἐστὶ οὐδαμῶς ἀνασχετόν. ὁ μὲν γὰρ, εἴ τι ποιέει, γινώσκων ποιέει· τῷ δὲ οὐ γινώσκειν ἔνι· κῶς γὰρ ἂν γινώσκοι, ὃς οὔτ' ἐδιδάχθη, οὔτε οἶδε καλὸν οὐδὲν, οὐδ' οἰκήϊον; ὠθέει τε ἐμπεσὼν τὰ πρήγματα ἄνευ νόου, χειμάρρῳ ποταμῷ ἴκελος; δήμῳ μέν νυν, οἳ Πέρσῃσι κακὸν νοέουσι, οὗτοι χράσθων. ἡμεῖς δὲ ἀνδρῶν τῶν ἀρίστων ἐπιλέξαντες ὁμιλίην, τούτοισι περιθέωμεν τὸ κράτος· ἐν γὰρ δὴ τούτοισι καὶ αὐτοὶ ἐνεσόμεθα. ἀρίστων δὲ ἀνδρῶν εἰκὸς ἄριστα βουλεύματα γίνεσθαι." Μεγάβυζος μὲν δὴ ταύτην γνώμην ἐσέφερε.

cap. 82. Darius Monarchiam.

Τρίτος δὲ Δαρεῖος ἀπεδείκνυτο γνώμην, λέγων, "Ἐμοὶ δὲ τὰ μὲν εἶπε Μεγάβυζος, ἐς τὸ πλῆθος ἔχοντα, δοκέει ὀρθῶς λέξαι· τὰ δ' ἐς ὀλιγαρχίην, οὐκ ὀρθῶς. τριῶν γὰρ προκειμένων, καὶ πάντων τῶν λέγω ἀρίστων ἐόντων, δήμου τε ἀρίστου, καὶ ὀλιγαρχίης, καὶ μουνάρχου, πολλῷ τοῦτο προέχειν λέγω. ἀνδρὸς γὰρ ἑνὸς τοῦ ἀρίστου οὐδὲν ἄμεινον ἂν φανείη· γνώμῃ γὰρ τοιαύτῃ χρεώμενος, ἐπιτροπεύοι ἂν ἀμωμήτως τοῦ πλήθεος· σιγῷτό τε ἂν βουλεύματα ἐπὶ δυσμενέας ἄνδρας οὕτω μάλιστα. ἐν δὲ ὀλιγαρχίῃ, πολλοῖσι ἀρετὴν ἐπασκέουσι ἐς τὸ κοινὸν, ἔχθεα ἴδια ἰσχυρὰ φιλέει ἐγγίνεσθαι· αὐτὸς γὰρ ἕκαστος βουλόμενος κορυφαῖος εἶναι, γνώμῃσί τε νικᾶν, ἐς ἔχθεα μεγάλα ἀλλήλοισι ἀπικνέον-

ται·

ται· ἐξ ὧν στάσιες ἐγγίνονται· ἐκ δὲ τῶν στασίων, φόνος· ἐκ δὲ τοῦ φόνου, ἀπέβη ἐς μουναρχίην· καὶ ἐν τούτῳ διέδεξε ὅσῳ ἐστὶ τοῦτο ἄριστον. δήμου τε αὖ ἄρχοντος ἀδύνατα μὴ οὐ κακότητα ἐγγίνεσθαι· κακότητος τοίνυν ἐγγινομένης ἐς τὰ κοινὰ, ἔχθεα μὲν οὐκ ἐγγίνεται τοῖσι κακοῖσι, φιλίαι δὲ ἰσχυραί· οἱ γὰρ κακοῦντες τὰ κοινὰ, συγκύψαντες ποιεῦσι· τοῦτο δὲ τοιοῦτο γίνεται, ἐς ὃ ἂν προστάς τις τοῦ δήμου τοὺς τοιούτους παύσῃ. ἐκ δὲ αὖ τῶνδε θωϋμάζεται οὗτος δὴ ὑπὸ τοῦ δήμου· θωϋμαζόμενος δὲ, ἀν' ὧν ἐφάνη μούναρχος ἐών· καὶ ἐν τούτῳ δηλοῖ καὶ οὗτος ὡς ἡ μουναρχίη κράτιστον. ἑνὶ δὲ ἔπει πάντα συλλαβόντα εἰπεῖν, κόθεν ἡμῖν ἡ ἐλευθερίη ἐγένετο; καὶ τεῦ δόντος; κότερα παρὰ δήμου, ἢ ὀλιγαρχίης, ἢ μουνάρχου; ἔχω τοίνυν γνώμην, ἡμέας ἐλευθερωθέντας διὰ ἕνα ἄνδρα, τὸ τοιοῦτο περιστέλλειν. χωρίς τε τούτου, πατρίους νόμους μὴ λύειν ἔχοντας εὖ· οὐ γὰρ ἄμεινον."

cap. 83. Placet Darii sententia: Otanes a regni contentione discedit, pacta sibi & suis posteris libertate.

Γνῶμαι μὲν δὴ τρεῖς αὗται προεκέατο· οἱ δὲ τέσσερες τῶν ἑπτὰ ἀνδρῶν προσέθεντο ταύτῃ. ὡς δὲ ἑσσώθη τῇ γνώμῃ ὁ Ὀτάνης, Πέρσῃσι ἰσονομίην σπεύδων ποιῆσαι, ἔλεξε ἐς μέσον αὐτοῖσι τάδε, "Ἄνδρες στασιῶται, δῆλα γὰρ δή ὅτι δεῖ ἕνα γέ τινα ἡμέων βασιλέα γενέσθαι, ἤτοι κλήρῳ γε λαχόντα, ἢ ἐπιτρεψάντων τῷ Περσέων πλήθεϊ τὸν ἂν ἐκεῖνοι ἕλωνται, ἢ ἄλλῃ τινὶ μηχανῇ· ἐγὼ μέν νυν ὑμῖν οὐκ ἐναγωνιεῦμαι· οὔτε γὰρ ἄρχειν οὔτε ἄρχεσθαι ἐθέλω· ἐπὶ τούτῳ δὲ ὑπεξίσταμαι τῆς ἀρχῆς, ἐπ' ᾧ τε ὑπ' οὐδενὸς ὑμέων ἄρξομαι, οὔτε αὐτὸς ἐγὼ, οὔτε οἱ ἀπ' ἐμεῦ αἰεὶ γινόμενοι." Τούτου εἴπαντος ταῦτα, ὡς συνεχώρεον οἱ ἓξ ἐπὶ τούτοισι, οὗτος μὲν δή σφι οὐκ ἐνηγωνίζετο, ἀλλ' ἐκ τοῦ μέσου κατῆστο. καὶ νῦν αὕτη ἡ οἰκίη διατελέει μούνη ἐλευθέρη ἐοῦσα Περσέων, καὶ ἄρχεται τοσαῦτα ὅσα αὐτὴ θέλει, νόμους οὐκ ὑπερβαίνουσα τοὺς Περσέων.

cap. 84. Reliqui sex quos honores Otani & posteris ejus decreverint: quæ sibi jura inter se pepigerint: qua ratione regem fieri voluerint.

Οἱ δὲ λοιποὶ τῶν ἑπτὰ ἐβουλεύοντο ὡς βασιλέα δικαιότατα στήσονται· καί σφι ἔδοξε, Ὀτάνῃ μὲν καὶ τοῖσι ἀπὸ Ὀτάνεω αἰεὶ γινομένοισι, ἢν ἐς ἄλλον τινὰ τῶν ἑπτὰ ἔλθῃ ἡ βασιληΐη, ἐξαίρετα δίδοσθαι ἐσθῆτά τε Μηδικὴν ἔτεος ἑκάστου καὶ τὴν πᾶσαν δωρεὴν ἣ γίνεται ἐν Πέρσῃσι τιμιωτάτη. τοῦδε δὲ εἵνεκεν ἐβουλεύσαντό οἱ δίδοσθαι ταῦτα, ὅτι ἐβούλευσέ τε πρῶτος τὸ πρῆγμα, καὶ συνέστησε αὐτούς.

τȢς. ταῦτα μὲν δὴ Ὀτάνῃ ἐξαίρετα· τάδε δὲ ἐς τὸ κοινὸν ἐβȣλευσαν, παριέναι ἐς τὰ βασιλήϊα πάντα τὸν βȣλόμενον τῶν ἑπτὰ ἄνευ ἐσαγγελέος, ἢν μὴ τυγχάνῃ εὕδων μετὰ γυναικὸς βασιλεύς· γαμέειν δὲ μὴ ἐξεῖναι ἄλλοθεν τῷ βασιλέϊ ἢ ἐκ τῶν συνεπαναςάντων. περὶ δὲ τῆς βασιληΐης ἐβȣλεύσαντο τοιόνδε· ὅτευ ἂν ὁ ἵππος ἡλίȣ ἐπανατέλλοντος πρῶτος φθέγξηται ἐν τῷ προαςείῳ, αὐτῶν ἐπιβεβηκότων, τȣ͂τον ἔχειν τὴν βασιληΐην.

cap. 85. Solertia Oebaris, Darii equisonis.

Δαρείῳ δὲ ἦν ἱπποκόμος, ἀνὴρ σοφὸς, τῷ ȣ̓́νομα ἦν Οἰβάρης· πρὸς τȣ͂τον τὸν ἄνδρα, ἐπεί τε διελύθησαν, ἔλεξε Δαρεῖος τάδε, "Οἴβαρες, ἡμῖν δέδοκται περὶ τῆς βασιληΐης ποιέειν κατὰ τάδε· ὅτευ ἂν ὁ ἵππος πρῶτος φθέγξηται ἅμα τῷ ἡλίῳ ἀνιόντι, αὐτῶν ἐπαναβεβηκότων, τȣ͂τον ἔχειν τὴν βασιληΐην. νῦν ὦν εἴ τινα ἔχεις σοφίην, μηχανῶ ὡς ἂν ἡμεῖς σχῶμεν τȣ͂το τὸ γέρας καὶ μὴ ἄλλος τις." Ἀμείβεται Οἰβάρης τοῖσδε, "Εἰ μὲν δὴ, ὦ δέσποτα, ἐν τȣ́τῳ τοί ἐςι ἢ βασιλέα εἶναι ἢ μὴ, θάρσεε τȣ́τȣ εἵνεκε, καὶ θυμὸν ἔχε ἀγαθόν· ὡς βασιλεὺς ȣ̓δεὶς ἄλλος πρὸ σεῦ ἔςαι· τοιαῦτα ἔχω φάρμακα." Λέγει Δαρεῖος, "Εἰ τοίνυν τι τοιȣ͂τον ἔχεις σόφισμα, ὥρη μηχανᾶσθαι, καὶ μὴ ἀναβάλλεσθαι· ὡς τῆς ἐπιȣ́σης ἡμέρης ὁ ἀγὼν ἡμῖν ἐςι." Ἀκȣ́σας ταῦτα ὁ Οἰβάρης, ποιέει τοιόνδε· ὡς ἐγίνετο ἡ νὺξ, τῶν θηλέων ἵππων μίην, τὴν ὁ Δαρείȣ ἵππος ἔςεργε μάλιςα, ταύτην ἀγαγὼν ἐς τὸ προάσειον, κατέδησε, καὶ ἐπήγαγε τὸν Δαρείȣ ἵππον· καὶ τὰ μὲν πολλὰ περιήγαγε ἀγχȣ͂ τῇ ἵππῳ, ἐγχρίμπτων τῇ θηλέῃ· τέλος δὲ, ἐπῆκε ὀχεῦσαι τὴν ἵππον.

cap. 86. Darius equi hinnitu factus rex, & statim omine confirmatus.

Ἅμ' ἡμέρῃ δὲ διαφαυσκȣ́σῃ, οἱ ἓξ, κατὰ συνεθήκαντο, παρῆσαν ἐπὶ τῶν ἵππων· διεξελαυνόντων δὲ κατὰ τὸ προάσειον, ὡς κατὰ τȣ͂το τὸ χωρίον ἐγίνοντο ἵνα τῆς παροιχομένης νυκτὸς κατεδέδετο ἡ θήλεα ἵππος, ἐνθαῦτα ὁ Δαρείȣ ἵππος προσδραμὼν ἐχρεμέτισε· ἅμα δὲ τῷ ἵππῳ τȣ͂το ποιήσαντι, ἀςραπὴ ἐξ αἰθρίης καὶ βροντὴ ἐγένετο. ἐπιγενόμενα δὲ ταῦτα τῷ Δαρείῳ, ἐτέλεσέ μιν, ὥσπερ ἐκ συνθέτȣ τευ γενόμενα· οἱ δὲ καταθορόντες ἀπὸ των ἵππων, προσεκύνεον τὸν Δαρεῖον ὡς βασιλῆα.

cap. 87. Oebaris artificium ab aliis aliter narrari.

Οἱ μὲν δή φασι τὸν Οἰβάρεα ταῦτα μηχανήσασθαι· οἱ δὲ, τοιάδε· (καὶ γὰρ ἐπ' ἀμφότερα λέγεται ὑπὸ

ὑπὸ Περσέων·) ὡς τῆς ἵππου ταύτης τῶν ἄρθρων ἐπιψαύσας τῇ χειρὶ, ἔχει αὐτὴν κρύψας ἐν τῇσι ἀναξυρίσι· ὡς δὲ ἅμα τῷ ἡλίῳ ἀνιόντι ἀπίεσθαι μέλλειν τοὺς ἵππους, τὸν Ὀιβάρεα τοῦτον ἐξείραντα τὴν χεῖρα πρὸς τοῦ Δαρείου ἵππου τοὺς μυκτῆρας προσενεῖκαι· τὸν δὲ, αἰσθόμενον, φριμάξασθαί τε καὶ χρεμετίσαι.

Δαρεῖός τε δὴ ὁ Ὑστάσπεος βασιλεὺς ἀπεδέδεκτο, καί οἱ ἦσαν ἐν τῇ Ἀσίῃ πάντες κατήκοοι, πλὴν Ἀραβίων, Κύρου τε καταστρεψαμένου, καὶ ὕστερον αὖτις Καμβύσεω. Ἀράβιοι δὲ οὐδαμᾶ κατήκουσαν ἐπὶ δουλοσύνῃ Πέρσῃσι, ἀλλὰ ξεῖνοι ἐγένοντο, παρέντες Καμβύσεα ἐπ' Αἴγυπτον· ἀεκόντων γὰρ Ἀραβίων, οὐκ ἂν ἐσβάλλοιεν Πέρσαι ἐς Αἴγυπτον. γάμους τε τοὺς πρώτους ἐγάμεε Πέρσῃσι ὁ Δαρεῖος, Κύρου μὲν δύο θυγατέρας, Ἄτοσσάν τε καὶ Ἀρτυστώνην· τὴν μὲν Ἄτοσσαν, προσυνοικήσασαν Καμβύσει τε τῷ ἀδελφεῷ καὶ αὖτις τῷ Μάγῳ· τὴν δὲ Ἀρτυστώνην παρθένον. ἑτέρην δὲ Σμέρδιος τοῦ Κύρου θυγατέρα ἔγημε, τῇ οὔνομα ἦν Πάρμυς· ἔσχε δὲ καὶ τὴν τοῦ Ὀτάνεω θυγατέρα, ἣ τὸν Μάγον κατάδηλον ἐποίησε. δυνάμιός τε πάντα οἱ ἐπεπλέατο. πρῶτον μέν νυν τύπον ποιησάμενος λίθινον, ἔστησε· ζῶον δέ οἱ ἐνῆν, ἀνὴρ ἱππεύς· ἐπέγραψε δὲ γράμματα λέγοντα τάδε· Δαρεῖος ὁ Ὑστάσπεος σύν τε τοῦ ἵππου τῇ ἀρετῇ (τὸ οὔνομα λέγων) καὶ Ὀιβάρεος τοῦ ἱπποκόμου, ἐκτήσατο τὴν Περσέων βασιληΐην. Ποιήσας δὲ ταῦτα ἐν Πέρσῃσι, ἀρχὰς κατεστήσατο εἴκοσι, τὰς αὐτοὶ καλέουσι σατραπηΐας· καταστήσας δὲ τὰς ἀρχὰς καὶ ἄρχοντας ἐπιστήσας, ἐτάξατο φόρους οἱ προσιέναι κατὰ ἔθνεά τε, καὶ πρὸς τοῖσι ἔθνεσι τοὺς πλησιοχώρους προστάσσων, καὶ ὑπερβαίνων τοὺς προσεχέας, τὰ ἑκαστέρω ἄλλοισι ἄλλα ἔθνεα νέμων. ἀρχὰς δὲ καὶ φόρων πρόσοδον τὴν ἐπέτειον κατὰ τάδε διεῖλε. τοῖσι μὲν αὐτέων ἀργύριον ἀπαγινέουσι εἴρητο Βαβυλώνιον σταθμὸν τάλαντον ἀπαγινέειν· τοῖσι δὲ χρυσίον ἀπαγινέουσι, Εὐβοεικόν. τὸ δὲ Βαβυλώνιον τάλαντον δύναται Εὐβοΐδας ἑβδομήκοντα μνέας. ἐπὶ γὰρ Κύρου ἄρχοντος, καὶ αὖτις Καμβύσεω, ἦν κατεστηκὸς οὐδὲν φόρου πέρι, ἀλλὰ δῶρα ἀγίνεον· διὰ δὲ ταύτην τὴν ἐπίταξιν τοῦ φόρου, καὶ παραπλήσια ταύτῃ ἄλλα, λέγουσι Πέρσαι ὡς Δαρεῖος μὲν

Darius Hystaspis 521 – 484. ant. Chr.

Herodot. III. cap. 88—97. Darius imperium in Asianos omnes, præter Arabas, tenet.

cap. 89. Satrapiarum 20 & rei tributariæ descriptio a Dario facta.

ἦν κάπηλος, Καμβύσης δὲ δεσπότης, Κῦρος δὲ πατήρ· ὁ μὲν, ὅτι ἐκαπήλευε πάντα τὰ πρήγματα· ὁ δὲ, ὅτι χαλεπός τε ἦν καὶ ὀλίγωρος· ὁ δὲ, ὅτι ἤπιός τε καὶ ἀγαθά σφι πάντα ἐμηχανήσατο.

cap. 90—94. Populorum in Satrapias descriptorum nomina; tributique singulis satrapiis impositi magnitudo.

Ἀπὸ μὲν δὴ Ἰώνων, καὶ Μαγνήτων τῶν ἐν τῇ Ἀσίῃ, καὶ Αἰολέων, καὶ Καρῶν, καὶ Λυκίων, καὶ Μιλυέων, καὶ Παμφύλων, εἷς γὰρ ἦν οἱ τεταγμένος φόρος, προσήϊε τετρακόσια τάλαντα ἀργυρίου. ὁ μὲν δὴ πρῶτος οὗτός οἱ νομὸς κατεστήκεε. ἀπὸ δὲ Μυσῶν, καὶ Λυδῶν, καὶ Λασονίων, καὶ Καβαλίων, καὶ Ὑγεννέων, πεντακόσια τάλαντα· νομὸς δεύτερος οὗτος. ἀπὸ δὲ Ἑλλησποντίων τῶν ἐπὶ δεξιὰ ἐσπλέοντι, καὶ Φρυγῶν, καὶ Θρηΐκων τῶν ἐν τῇ Ἀσίῃ, καὶ Παφλαγόνων, καὶ Μαριανδυνῶν καὶ Συρίων, ἑξήκοντα καὶ τριηκόσια ἦν τάλαντα φόρος· νομὸς τρίτος οὗτος. ἀπὸ δὲ Κιλίκων, ἵπποι τε λευκοὶ ἑξήκοντα καὶ τριηκόσιοι, ἑκάστης ἡμέρης εἷς γινόμενος, καὶ τάλαντα ἀργυρίου πεντακόσια· τούτων δὲ τεσσεράκοντα καὶ ἑκατὸν ἐς τὴν φρουρέουσαν ἵππον τὴν Κιλικίην χώρην ἀναισιμοῦτο, τὰ δὲ τριηκόσια καὶ ἑξήκοντα Δαρείῳ ἐφοίτα· νομὸς τέταρτος οὗτος. Ἀπὸ δὲ Ποσειδηΐου πόλιος, τὴν Ἀμφίλοχος ὁ Ἀμφιάρεω οἴκισε ἐπ' οὔροισι τοῖσι Κιλίκων τε καὶ Σύρων, ἀρξάμενον ἀπὸ ταύτης μέχρι Αἰγύπτου πλὴν μοίρης τῆς Ἀραβίων, ταῦτα γὰρ ἦν ἀτελέα, πεντήκοντα καὶ τριηκόσια τάλαντα φόρος ἦν· ἔστι δὲ ἐν τῷ νομῷ τούτῳ Φοινίκη τε πᾶσα, καὶ Συρίη ἡ Παλαιστίνη καλεομένη, καὶ Κύπρος· νομὸς πέμπτος οὗτος. ἀπ' Αἰγύπτου δὲ καὶ Λιβύων τῶν προσεχέων Αἰγύπτῳ, Κυρήνης τε καὶ Βάρκης, ἐς γὰρ τὸν Αἰγύπτιον νομὸν αὗται ἐκεκοσμέατο, ἑπτακόσια προσήϊε τάλαντα, πάρεξ τοῦ ἐκ τῆς Μοίριος λίμνης γινομένου ἀργυρίου, τὸ ἐγίνετο ἐκ τῶν ἰχθύων· τούτου τε δὴ χωρὶς τοῦ ἀργυρίου, καὶ τοῦ μετρουμένου σίτου προσήϊε ἑπτακόσια τάλαντα· πρὸς γὰρ δύο καὶ δέκα μυριάσι Περσέων τε τοῖσι ἐν τῷ Λευκῷ τείχεϊ τῷ ἐν Μέμφι κατοικημένοισι καταμετρέουσι, καὶ τοῖσι τούτων ἐπικούροισι· νομὸς ἕκτος οὗτος. Σατταγύδαι δὲ καὶ Γανδάριοι, καὶ Δαδίκαι τε καὶ Ἀπαρύται, ἐς τὠυτὸ τεταγμένοι, ἑβδομήκοντα καὶ ἑκατὸν τάλαντα προσέφερον· νομὸς δὲ οὗτος ἕβδομος. ἀπὸ Σούσων δὲ, καὶ τῆς ἄλλης Κισ-

Κισσίων χώρης, τριηκόσια· νομὸς ὄγδοος ἔτος. Ἀπὸ Βαβυλῶνος δὲ καὶ τῆς λοιπῆς Ἀσσυρίης χίλιά οἱ προσήϊε τάλαντα ἀργυρίου, καὶ παῖδες ἐκτομίαι πεντακόσιοι· νομὸς ἔνατος ἔτος. ἀπὸ δὲ Ἀγβατάνων καὶ τῆς λοιπῆς Μηδικῆς, καὶ Παρικανίων, καὶ Ὀρθοκορυβαντίων, πεντήκοντά τε καὶ τετρακόσια τάλαντα· νομὸς δέκατος ἔτος. Κάσπιοι δὲ καὶ Παυσίκαι, Παντίμαθοί τε καὶ Δαρεῖται, ἐς τὠυτὸ συμφέροντες, διηκόσια τάλαντα ἀπαγίνεον· νομὸς ἑνδέκατος ἔτος. ἀπὸ Βακτριανῶν δὲ μέχρι Αἰγλῶν, ἑξήκοντα καὶ τριηκόσια τάλαντα φόρος ἦν· νομὸς δυωδέκατος ἔτος. Ἀπὸ Πακτυϊκῆς δὲ καὶ Ἀρμενίων, καὶ τῶν προσεχέων μέχρι τοῦ Πόντου τοῦ Εὐξείνου, τετρακόσια τάλαντα· νομὸς τρίτος καὶ δέκατος ἔτος. ἀπὸ δὲ Σαγαρτίων, καὶ Σαραγγέων, καὶ Θαμαναίων, καὶ Οὐτίων, καὶ Μύκων, καὶ τῶν ἐν τῇσι νήσοισι οἰκεόντων τῶν ἐν τῇ ἐρυθρῇ θαλάσσῃ, ἐν τῇσι τοὺς Ἀνασπάστους καλεομένους κατοικίζει βασιλεὺς, ἀπὸ τούτων πάντων ἑξακόσια τάλαντα ἐγίνετο φόρος· νομὸς τέταρτος καὶ δέκατος ἔτος. Σάκαι δὲ καὶ Κάσπειροι πεντήκοντα καὶ διηκόσια ἀγίνεον τάλαντα· νομὸς πέμπτος καὶ δέκατος ἔτος. Πάρθοι δὲ καὶ Χοράσμιοι, καὶ Σογδοί τε καὶ Ἄρειοι, τριηκόσια τάλαντα· νομὸς ἕκτος καὶ δέκατος ἔτος. Παρικάνιοι δὲ καὶ Αἰθίοπες οἱ ἐκ τῆς Ἀσίης, τετρακόσια τάλαντα ἀπαγίνεον· νομὸς ἕβδομος καὶ δέκατος ἔτος. Ματιηνοῖσι, καὶ Σάσπειρσι, καὶ Ἀλαροδίοισι διηκόσια ἐπετέτακτο τάλαντα· νομὸς ὄγδοος καὶ δέκατος ἔτος. Μόσχοισε δὲ, καὶ Τιβαρηνοῖσι, καὶ Μάκρωσι, καὶ Μοσυνοίκοισι, καὶ Μαρσὶ, τριηκόσια τάλαντα προείρητο· νομὸς ἔνατος καὶ δέκατος ἔτος. Ἰνδῶν δὲ πλῆθός τε πολλῷ πλεῖστόν ἐστι πάντων τῶν ἡμεῖς ἴδμεν ἀνθρώπων, καὶ φόρον ἀπαγίνεον πρὸς πάντας τοὺς ἄλλους, ἑξήκοντα καὶ τριηκόσια τάλαντα ψήγματος· νομὸς εἰκοστὸς ἔτος. Τὸ μὲν δὴ ἀργύριον τὸ Βαβυλώνιον πρὸς τὸ Εὐβοεικὸν συμβαλλεόμενον τάλαντον, εἶναι τεσσεράκοντα καὶ πεντακόσια καὶ εἰνακισχίλια τάλαντα· τὸ δὲ χρυσίον τρισκαιδεκαστάσιον λογιζόμενον, τὸ ψῆγμα εὑρίσκεται ἐὸν Εὐβοεικῶν ταλάντων ὀγδώκοντα καὶ ἑξακοσίων καὶ τετρακισχιλίων. τούτων ὦν πάντων συντιθεμένων τὸ

cap. 95. Argentum ex tributis, Euboica talenta 9880: auri ad argentum proportio, tredecupla Herodoti tempore:

subducta summa omnium tributorum.

τὸ πλῆθος, Ἐυβοεικὰ τάλαντα συνελέγετο ἐς τὸν ἐπέτειον φόρον Δαρείῳ, μύρια καὶ τετρακισχίλια καὶ πεντακόσια καὶ ἑξήκοντα· τὸ δ' ἔτι τούτων ἔλασσον ἀπιεὶς, οὐ λέγω.

cap. 96. Tributum aliud tempore post rediens ex insulis Græcis&locis Europæ usque ad Thessaliam: pecunia quomodo in thesauros condita.

Οὗτος Δαρείῳ προσήϊε φόρος ἀπό τε τῆς Ἀσίης, καὶ τῆς Λιβύης ὀλιγαχόθεν. προϊόντος μέντοι τοῦ χρόνου, καὶ ἀπὸ νήσων προσήϊε ἄλλος φόρος, καὶ τῶν ἐν τῇ Ἐυρώπῃ μέχρι Θεσσαλίης οἰκημένων· τοῦτον τὸν φόρον θησαυρίζει ὁ βασιλεὺς τρόπῳ τοιῷδε· ἐς πίθους κεραμίνους τήξας καταχέει· πλήσας δὲ τὸ ἄγγος, περιαιρέει τὸν κέραμον· ἐπεὰν δὲ δεηθῇ χρημάτων, κατακόπτει τοσοῦτον ὅσου ἂν ἑκάστοτε δέηται. Αὗται μέν νυν ἀρχαί τε ἦσαν, καὶ φόρων ἐπιτάξιες.

cap. 97. Persæ a tributis immunes: Aethiopum Aegypto finitimorum, & Colchorum, & Arabum dona.

ἡ Περσὶς δὲ χώρη μούνη μοι οὐκ εἴρηται δασμοφόρος· ἀτελέα γὰρ Πέρσαι νέμονται χώρην. οἵδε δὲ φόρον μὲν οὐδένα ἐτάχθησαν φέρειν, δῶρα δὲ ἀγίνεον· Αἰθίοπες οἱ πρόσουροι Αἰγύπτῳ, τοὺς Καμβύσης ἐλάυνων ἐπὶ τοὺς Μακροβίους Αἰθίοπας κατεστρέψατο· οἳ περί τε Νύσην τὴν ἱρὴν κατοίκηνται, καὶ τῷ Διονύσῳ ἀνάγουσι τὰς ὁρτάς. οὗτοι οἱ Αἰθίοπες καὶ οἱ πλησιόχωροι τούτοισι, σπέρματι μὲν χρέωνται τῷ αὐτῷ τῷ καὶ οἱ Καλαντίαι Ἰνδοί· οἰκήματα δὲ ἔκτηνται κατάγαια. οὗτοι συναμφότεροι διὰ τρίτου ἔτεος ἀγίνεον, ἀγινέουσι δὲ καὶ τὸ μέχρι ἐμεῦ, δύο χοίνικας ἀπύρου χρυσίου, καὶ διηκοσίας φάλαγγας ἐβένου, καὶ πέντε παῖδας Αἰθίοπας, καὶ ἐλέφαντος ὀδόντας μεγάλους εἴκοσι. Κόλχοι δ' ἐτάξαντο ἐς τὴν δωρεὴν, καὶ οἱ προσεχέες μέχρι τοῦ Καυκάσιος οὔρεος· ἐς τοῦτο γὰρ τὸ οὖρος ὑπὸ Πέρσῃσι ἄρχεται· τὰ δὲ πρὸς βορῆν ἄνεμον τοῦ Καυκάσιος, Περσέων οὐδὲν ἔτι φροντίζει· οὗτοι ὦν δῶρα τὰ ἐτάξαντο, ἔτι καὶ ἐς ἐμὲ διὰ πεντετηρίδος ἀγίνεον, ἑκατὸν παῖδας, καὶ ἑκατὸν παρθένους. Ἀράβιοι δὲ χίλια τάλαντα ἀγίνεον λιβανωτοῦ ἀνὰ πᾶν ἔτος. ταῦτα μὲν ὦν δῶρα πάρεξ τοῦ φόρου βασιλέϊ ἐκομίζοντο.

Herodot. III. c. 150-160. Babylonii rebus ad obsidionem tolerandam paratis deficiunt & mulierum turbam strangulant.

Ἐν ὅσῳ ὅ, τε μάγος ἦρχε καὶ οἱ ἑπτὰ ἐπανέστησαν, ἐν τούτῳ παντὶ τῷ χρόνῳ καὶ τῇ ταραχῇ ἐς τὴν πολιορκίην παρεσκευάσαντο οἱ Βαβυλώνιοι. καί κως ταῦτα ποιεῦντες ἐλάνθανον· ἐπεί τε δὲ ἐκ τοῦ ἐμφανέος ἀπέστησαν, ἐποίησαν τοιόνδε· τὰς μητέρας ἐξελόντες, γυναῖκα ἕκαστος μίην προσεξαιρέετο, τὴν ἐβούλετο ἐκ τῶν ἑωϋ-

τοῦ

τῶ οἰκίων· τὰς δὲ λοιπὰς ἁπάσας συναγαγόντες ἀπέπνιξαν· τὴν δὲ μίην ἕκαστος σιτοποιὸν ἐξαιρέετο. ἀπέπνιξαν δὲ αὐτὰς, ἵνα μή σφεων τὸν σῖτον ἀναισιμώσωσι. Πυθόμενος δὲ ταῦτα ὁ Δαρεῖος, καὶ συλλέξας ἅπασαν τὴν ἑωϋτῶ δύναμιν, ἐστρατεύετο ἐπ' αὐτούς· ἐπελάσας δὲ ἐπὶ τὴν Βαβυλῶνα ἐπολιόρκεε, φροντίζοντας ὐδὲν τῆς πολιορκίης. ἀναβαίνοντες γὰρ ἐπὶ τὰς προμαχεῶνας τῶ τείχεος οἱ Βαβυλώνιοι, κατωρχέοντο, καὶ κατέσκωπτον Δαρεῖον καὶ τὴν στρατιὴν αὐτῶ· καί τις αὐτῶν εἶπε τοῦτο τὸ ἔπος, "τί κάτησθε ἐνθαῦτα ὦ Πέρσαι, ἀλλ' ὐκ ἀπαλλάσσεσθε; τότε γὰρ αἱρήσετε ἡμέας, ἐπεὰν ἡμίονοι τέκωσι." Τοῦτο εἶπε τῶν τις Βαβυλωνίων, ὐδαμᾶ ἐλπίζων ἂν ἡμίονον τεκεῖν. Ἑπτὰ δὲ μηνῶν καὶ ἐνιαυτῶ διεληλυθότος ἤδη, ὁ Δαρεῖός τε ἤσχαλλε, καὶ ἡ στρατιὴ πᾶσα, ὐ δυνατὴ ἐοῦσα ἑλεῖν τοὺς Βαβυλωνίους. καί τοι πάντα σοφίσματα καὶ πάσας μηχανὰς ἐπεποιήκεε ἐς αὐτοὺς Δαρεῖος· ἀλλ' ὐδ' ὣς ἐδύνατο ἑλεῖν σφεας· ἄλλοισί τε σοφίσμασι πειρησάμενος, καὶ δὴ καὶ τῷ Κῦρος εἷλέ σφεας, καὶ τούτῳ ἐπειρήθη. ἀλλὰ γὰρ δεινῶς ἔσαν ἐν φυλακῇσι οἱ Βαβυλώνιοι, ὐδέ σφεας οἷός τε ἦν ἑλεῖν. Ἐνθαῦτα εἰκοστῷ μηνὶ Ζωπύρῳ τῷ Μεγαβύζου τούτου, ὃς τῶν ἑπτὰ ἀνδρῶν ἐγένετο, τῶν τὸν μάγον κατελόντων, τούτῳ τῷ Μεγαβύζου παιδὶ Ζωπύρῳ ἐγένετο τέρας τόδε· τῶν οἱ σιτοφόρων ἡμιόνων μίη ἔτεκε. ὡς δέ οἱ ἐξαγγέλθη, καὶ ὑπὸ ἀπιστίης αὐτὸς ὁ Ζώπυρος εἶδε τὸ βρέφος, ἀπείπας τοῖσι δούλοισι μηδενὶ φράζειν τὸ γεγονὸς, ἐβουλεύετο. καί οἱ πρὸς τὰ τοῦ Βαβυλωνίου ῥήματα, ὃς κατ' ἀρχὰς ἔφησε, ἐπεάν περ ἡμίονοι τέκωσι, τότε τὸ τεῖχος ἁλώσεσθαι, πρὸς ταύτην τὴν φήμην Ζωπύρῳ ἐδόκεε ἁλώσιμος εἶναι ἡ Βαβυλών· σὺν γὰρ θεῷ ἐκεῖνόν τε εἰπεῖν, καὶ ἑωϋτῷ τεκεῖν τὴν ἡμίονον. Ὡς δέ οἱ ἐδόκεε μόρσιμον εἶναι ἤδη τῇ Βαβυλῶνι ἁλίσκεσθαι, προσελθὼν Δαρείῳ ἀπεπυνθάνετο, εἰ περὶ πολλοῦ κάρτα ποιέεται τὴν Βαβυλῶνα ἑλεῖν. πυθόμενος δὲ ὡς πολλοῦ τιμῷτο, ἄλλο ἐβουλεύετο, ὅκως αὐτός τε ἔσται ὁ ἑλὼν αὐτὴν, καὶ ἑωϋτοῦ τὸ ἔργον ἔσται· κάρτα γὰρ ἐν τοῖσι Πέρσῃσι αἱ ἀγαθοεργίαι ἐς τὸ πρόσω μεγάθεος τιμῶνται. ἄλλῳ μέν νυν ὐκ ἐφράζετο ἔργῳ δυνατὸς εἶναί μιν ὑποχειρίην ποιῆσαι, εἰ

cap. 151. obsessi a Dario eum irrident.

cap. 152. Nihil Darius efficit per undeviginti menses.

cap. 153. Mense vicesimo prodigium Zopyro factum partu mulæ.

cap. 154. Zopyrus doli causa transiturus ad Babylonios, corpus mutilat & deformat.

εἰ δ' ἑωυτὸν λωβησάμενος αὐτομολήσειε ἐς αὐτούς. ἐνθαῦτα ἐν ἐλαφρῷ ποιησάμενος, ἑωυτὸν λωβᾶται λώβην ἀνήκεστον· ἀποταμὼν γὰρ ἑωυτοῦ τὴν ῥῖνα καὶ τὰ ὦτα, καὶ τὴν κόμην κακῶς περικείρας, καὶ μαστιγώσας, ἦλθε παρὰ Δαρεῖον. Δαρεῖος δὲ κάρτα βαρέως ἤνεικε, ἰδὼν ἄνδρα δοκιμώτατον λελωβημένον· ἔκ τε τοῦ θρόνου ἀναπηδήσας, ἀνέβωσέ τε καὶ εἴρετό μιν, ὅστις εἴη ὁ λωβησάμενος, καὶ ὅ, τι ποιήσαντα. ὁ δὲ εἶπε, "οὐκ ἔστι οὗτος ὠνὴρ ὅτι μὴ σὺ, τῷ ἐστὶ δύναμις τοσαύτη ἐμὲ δὴ ὧδε διαθεῖναι· οὔτέ τις ἀλλοτρίων, ὦ βασιλεῦ, τάδε ἔργασται, ἀλλ' αὐτὸς ἐγὼ ἐμεωυτόν· δεινόν τι ποιεύμενος Ἀσσυρίους Πέρσῃσι καταγελᾶν."

cap. 155. Exponit Dario modum rei gerendæ.

Ὁ δ' ἀμείβετο, "ὦ σχετλιώτατε ἀνδρῶν, ἔργῳ τῷ αἰσχίστῳ οὔνομα τὸ κάλλιστον ἔθευ, φὰς διὰ τοὺς πολιορκευμένους σεωυτὸν ἀνηκέστως διαθεῖναι· τί, ὦ μάταιε, λελωβημένου σεῦ, θᾶσσον οἱ πολέμιοι παραστήσονται; κῶς οὐκ ἐξέπλωσας τῶν φρενῶν, σεωυτὸν διαφθείρας;" Ὁ δὲ εἶπε, "εἰ μέν τοι ὑπερετίθεα τὰ ἔμελλον ποιήσειν, οὐκ ἄν με περιεῖδες· νῦν δ' ἐπ' ἐμεωυτοῦ βαλλόμενος ἔπρηξα. ἤδη ὦν ἢν μὴ τῶν σῶν δεήσῃ, αἱρέομεν Βαβυλῶνα. ἐγὼ μὲν γὰρ ὡς ἔχω αὐτομολήσω εἰς τὸ τεῖχος, καὶ φήσω πρὸς αὐτοὺς ὡς ὑπὸ σεῦ τάδε ἔπαθον· καὶ δοκέω, πείσας σφέας ταῦτα ἔχειν οὕτω, τεύξεσθαι στρατιῆς. σὺ δὲ, ἀπ' ἧς ἂν ἡμέρης ἐγὼ ἐσέλθω ἐς τὸ τεῖχος, ἀπὸ ταύτης ἐς δεκάτην ἡμέρην τῆς σεωυτοῦ στρατιῆς, τῆς οὐδεμίη ἔσται ὤρη ἀπολλυμένης, ταύτης χιλίους τάξον κατὰ τὰς Σεμιράμιος καλεομένας πύλας· μετὰ δὲ, αὖτις ἀπὸ τῆς δεκάτης ἐς ἑβδόμην, ἄλλους μοι τάξον δισχιλίους κατὰ τὰς Νινίων καλεομένας πύλας· ἀπὸ δὲ τῆς ἑβδόμης διαλιπὼν εἴκοσι ἡμέρας, καὶ ἔπειτα ἄλλους κάτισον, ἀγαγὼν κατὰ τὰς Χαλδαίων καλεομένας πύλας, τετρακισχιλίους. ἐχόντων δὲ μήτε οἱ πρότεροι μηδὲν τῶν ἀμυνούντων, μήτε οὗτοι, πλὴν ἐγχειριδίων· τοῦτο δὲ ἐᾶν ἔχειν. μετὰ δὲ τὴν εἰκοστὴν ἡμέρην, ἰθέως τὴν μὲν ἄλλην στρατιὴν κελεύειν πέριξ προσβάλλειν πρὸς τὸ τεῖχος· Πέρσας δέ μοι τάξον κατά τε τὰς Βηλίδας καλεομένας πύλας καὶ Κισσίας· ὡς γὰρ ἐγὼ δοκέω, ἐμέο μεγάλα ἔργα ἀποδεξαμένου, τά τε ἄλλα ἐπιτράψονται ἐμοὶ Βαβυλώνιοι, καὶ δὴ καὶ τῶν πυλέων τὰς βαλανάγρας·

γρας· τὸ δ' ἐνθεῦτεν, ἐμοί τε καὶ Πέρσῃσι μελήσει τάδε ποιέειν." Ταῦτα ἐντειλάμενος ἤϊε ἐπὶ τὰς πύλας, ἐπιστρεφόμενος ὡς δὴ ἀληθέως αὐτόμολος. ὁρέοντες δὲ ἀπὸ τῶν πύργων οἱ κατὰ τοῦτο τεταγμένοι, κατέτρεχον κάτω· καὶ ὀλίγον τι παρακλίναντες τὴν ἑτέρην πύλην, εἰρώτεον τίς τε εἴη, καὶ ὅτευ δεόμενος ἥκοι. ὁ δέ σφι ἠγόρευε ὡς εἴη τε Ζώπυρος, καὶ αὐτομολέοι ἐς ἐκείνους. ἦγον δή μιν οἱ πυλωροὶ, ταῦτα ὡς ἤκουσαν, ἐπὶ τὰ κοινὰ τῶν Βαβυλωνίων· καταστὰς δὲ ἐπ' αὐτὰ, κατοικτίζετο, φὰς ὑπὸ Δαρείου πεπονθέναι τὰ ἐπεπόνθεε ὑπ' ἑωϋτοῦ· παθέειν δὲ ταῦτα διότι συμβουλεῦσαι οἱ ἀπανιστάναι τὴν στρατιὴν, ἐπεί τε δὴ οὐδεὶς πόρος ἐφαίνετο τῆς ἁλώσιος. "Νῦν τε, ἔφη λέγων, ἐγὼ ὑμῖν, ὦ Βαβυλώνιοι, ἥκω μέγιστον ἀγαθὸν, Δαρείῳ δὲ καὶ στρατιῇ καὶ Πέρσῃσι μέγιστον κακόν· οὐ γὰρ δὴ, ἐμέ γε ὧδε λωβησάμενος, καταπροΐξεται· ἐπίσταμαι δ' αὐτοῦ πάσας τὰς διεξόδους τῶν βουλευμάτων. Τοιαῦτα ἔλεγε. Οἱ δὲ Βαβυλώνιοι ὁρέοντες ἄνδρα τῶν ἐν Πέρσῃσι δοκιμώτατον ῥινός τε καὶ ὤτων ἐστερημένον, μάστιξί τε καὶ αἵματι ἀναπεφυρμένον, πάγχυ ἐλπίσαντες λέγειν μιν ἀληθέα, καί σφι ἥκειν σύμμαχον, ἐπιτράπεσθαι ἕτοιμοι ἔσαν τῶν ἐδέετο σφέων· ἐδέετο δὲ στρατιῆς. ὁ δὲ, ἐπεί τε αὐτέων τοῦτο παρέλαβε, ἐποίεε τά περ τῷ Δαρείῳ συνεθήκατο· ἐξαγαγὼν γὰρ τῇ δεκάτῃ ἡμέρῃ τὴν στρατιὴν τῶν Βαβυλωνίων, καὶ κυκλωσάμενος τοὺς χιλίους, τοὺς πρώτους ἐνετείλατο Δαρείῳ τάξαι, τούτους κατεφόνευσε. μαθόντες δέ μιν οἱ Βαβυλώνιοι τοῖσι ἔπεσι τὰ ἔργα παρεχόμενον ὅμοια, πάγχυ περιχαρέες ἐόντες, πᾶν δὴ ἕτοιμοι ἔσαν ὑπηρετέειν. ὁ δὲ, διαλιπὼν ἡμέρας τὰς συγκειμένας, αὖτις ἐπιλεξάμενος τῶν Βαβυλωνίων, ἐξήγαγε καὶ κατεφόνευσε τῶν Δαρείου στρατιωτέων τοὺς δισχιλίους. ἰδόντες δὲ καὶ τοῦτο τὸ ἔργον οἱ Βαβυλώνιοι, πάντες Ζώπυρον ἐν στόμασι αἰνέοντες. ὁ δὲ, αὖτις διαλιπὼν τὰς συγκειμένας ἡμέρας, ἐξήγαγε ἐς τὸ προειρημένον· καὶ κυκλωσάμενος κατεφόνευσε τοὺς τετρακισχιλίους. ὡς δὲ καὶ τοῦτο κατέργαστο, πάντα δὴ ἦν ἐν τοῖσι Βαβυλωνίοισι Ζώπυρος, καὶ στρατάρχης τε οὗτός σφι καὶ τειχοφύλαξ ἀπεδέδεκτο. Προσβολὴν δὲ Δαρείου κατὰ τὰ συγκείμενα ποιευμένου πέριξ τὸ

cap. 156. Transfugit Zopyrus ad Babylonios.

cap. 157. Babylonii Zopyro dant milites, & rebus ter ab eo bene gestis, exercitus imperium & murorum custodiam.

cap. 158. Zopyrus Darium per duas portas recipit a. 516.

τὸ τεῖχος, ἐνθαῦτα δὴ πάντα τὸν δόλον ὁ Ζώπυρος ἐξέφαινε. οἱ μὲν γὰρ δὴ Βαβυλώνιοι ἀναβάντες ἐπὶ τὸ τεῖχος, ἠμύνοντο τὴν Δαρείου στρατιὴν προσβάλλουσαν· ὁ δὲ Ζώπυρος τάς τε Κισσίας καὶ Βηλίδας καλεομένας πύλας ἀναπετάσας, ἐσῆκε τοὺς Πέρσας εἰς τὸ τεῖχος. τῶν δὲ Βαβυλωνίων οἳ μὲν εἶδον τὸ ποιηθὲν, οὗτοι ἔφευγον ἐς τοῦ Διὸς τοῦ Βήλου τὸ ἱρόν· οἳ δὲ οὐκ εἶδον, ἔμενον ἐν τῇ ἑωϋτοῦ τάξι ἕκαστος, ἐς ὃ δὴ καὶ οὗτοι ἔμαθον προδεδομένοι. Βαβυλὼν μέν νυν οὕτω τοδεύτερον αἱρέθη.

cap. 159. Darius urbem captam nudat muris & portis.

Δαρεῖος δὲ ἐπεί τε ἐκράτησε τῶν Βαβυλωνίων, τοῦτο μέν σφεων τὸ τεῖχος περιεῖλε, καὶ τὰς πύλας πάσας ἀπέσπασε· τὸ γὰρ πρότερον ἑλὼν Κῦρος τὴν Βαβυλῶνα, ἐποίησε τουτέων οὐδέτερον· τοῦτο δὲ ὁ Δαρεῖος τῶν ἀνδρῶν τοὺς κορυφαίους μάλιστα ἐς τρισχιλίους ἀνεσκολόπισε, τοῖσι δὲ λοιποῖσι Βαβυλωνίοισι ἀπέδωκε τὴν πόλιν οἰκέειν. ὡς δ' ἕξουσι γυναῖκας οἱ Βαβυλώνιοι, ἵνα σφι γένεα ὑπογίνηται, τάδε Δαρεῖος προϊδὼν ἐποίησε· τὰς γὰρ ἑωϋτῶν, ὡς καὶ κατ' ἀρχὰς δεδήλωται, ἀπέπνιξαν οἱ Βαβυλώνιοι, τοῦ σίτου προορέωντες· ἐπέταξε τοῖσι περιοίκοισι ἔθνεσι γυναῖκας ἐς Βαβυλῶνα κατιστάναι, ὅσας δὴ ἑκάστοισι ἐπιτάσσων, ὥστε πέντε μυριάδων τὸ κεφαλαίωμα τῶν γυναικῶν συνῆλθε. ἐκ τουτέων δὲ τῶν γυναικῶν οἱ νῦν Βαβυλώνιοι γεγόνασι.

cap. 160. Zopyrus quanti a Dario factus; Babylonem, quoad vivit, propriam & immunem tenet —

Ζωπύρου δὲ οὐδεὶς ἀγαθοεργίην Περσέων ὑπερεβάλλετο παρὰ Δαρείῳ κριτῇ, οὔτε τῶν ὕστερον γενομένων, οὔτε τῶν πρότερον, ὅτι μὴ Κῦρος μοῦνος· τούτῳ γὰρ οὐδεὶς Περσέων ἠξίωσέ κω ἑωϋτὸν συμβαλλέειν. πολλάκις δὲ Δαρεῖον λέγεται γνώμην τήνδε ἀποδέξασθαι, ὡς βούλοιτο ἂν Ζώπυρον εἶναι ἀπαθέα τῆς ἀεικείης μᾶλλον, ἢ Βαβυλῶνάς οἱ εἴκοσι πρὸς τῇ ἐούσῃ προσγενέσθαι. ἐτίμησε δέ μιν μεγάλως· καὶ γὰρ δῶρά οἱ ἀνὰ πᾶν ἔτος ἐδίδου ταῦτα τὰ Πέρσῃσί ἐστι τιμιώτατα, καὶ τὴν Βαβυλῶνά οἱ ἔδωκε ἀτελέα νέμεσθαι μέχρι τῆς ἐκείνου ζόης· καὶ ἄλλα πολλὰ ἐπέδωκε. Ζωπύρου δὲ τούτου γίνεται Μεγάβυζος, ὃς ἐν Αἰγύπτῳ ἀντία Ἀθηναίων καὶ τῶν συμμάχων ἐστρατήγησε· Μεγαβύζου δὲ τούτου γίνεται Ζώπυρος, ὃς ἐς Ἀθήνας ηὐτομόλησε ἐκ Περσέων.

Ctesias cap. 15—19.

Δαρεῖος προστάσσει τάφον ἑαυτῷ κατασκευασθῆναι ἐν τῷ δισσῷ ὄρει, καὶ κατασκευάζεται. ἐπιθυμήσας δὲ ἰδεῖν αὐτὸν

αὐτὸν, ὑπό τε τῶν Χαλδαίων καὶ τῶν γονέων κωλύεται. οἱ δὲ γονεῖς, ἀνελθεῖν βȣληθέντες, ἐπειδὴ οἱ ἱερεῖς εἶδον οἱ ἀνέλκοντες αὐτȣ̀ς, καὶ ἐφοβήθησαν, καὶ φοβηθέντες ἀφῆκαν τὰ σχοινία, ἔπεσον καὶ ἐτελεύτησαν. καὶ ἐλυπήθη Δαρεῖος λίαν· καὶ ἀπετμήθησαν αἱ κεφαλαὶ, τεσσαράκοντα ὄντων τῶν ἀνελκόντων. Ὅτι ἐπιτάσσει Δαρεῖος Ἀριαράμνῃ τῷ σατράπῃ Καππαδοκίας, ἐπὶ Σκύθας διαβῆναι, καὶ ἄνδρας καὶ γυναῖκας αἰχμαλωτίσαι. ὁ δὲ διαβὰς πεντηκοντόροις λ', ᾐχμαλώτησε, συνέλαβε δὲ καὶ τὸν ἀδελφὸν τȣ̃ βασιλέως τῶν Σκυθῶν Μαρσαγέτην, ἐπὶ κακώσει εὑρὼν παρὰ τȣ̃ οἰκείȣ ἀδελφȣ̃ δεδεμένον. Σκυθάρκης δὲ ὁ Σκυθῶν βασιλεὺς ὀργισθεὶς ἔγραψε ὑβρίζων Δαρεῖον· καὶ ἀντεγράφη αὐτῷ ὁμοίως. ςράτευμα δὲ ἀγείρας Δαρεῖος, ὀγδοήκοντα μυριάδας, καὶ ζεύγας τὸν Βόσπορον καὶ τὸν Ἴςρον, διέβη ἐπὶ Σκύθας, ὁδὸν ἐλάσας ἡμερῶν ιέ. καὶ ἀντέπεμπον ἀλλήλοις τόξα· ἐπικρατέςερα δ' ἦν τὰ τῶν Σκυθῶν. διὸ καὶ φεύγων Δαρεῖος διέβη τὰς γεφυρώσεις· καὶ ἔλυσε σπεύδων πρὶν ἢ τὸ ὅλον διαβῆναι ςράτευμα· καὶ ἀπέθανον ὑπὸ Σκυθάρκȣ οἱ καταλειφθέντες ἐν τῇ Εὐρώπῃ, μυριάδες ὀκτώ. Δαρεῖος δὲ τὴν γέφυραν διαβὰς, Χαλκηδονίων οἰκίας καὶ ἱερὰ ἀνέπρησεν, ἐπεὶ τὰς πρὸς αὐτοῖς γεφύρας ἐμελέτησαν λῦσαι· καὶ ὅτι τὸν βωμὸν, ὃν περῶν Δαρεῖος κατέθετο ἐπ' ὀνόματι διαβατηρίȣ Διὸς, ἠφάνισαν. Δάτις δ' ἐπανιὼν ἐκ Πόντȣ, καὶ τȣ̃ Μηδικȣ̃ ςόλȣ ἡγέμενος, ἐπόρθει νήσȣς καὶ τὴν Ἑλλάδα. ἐν Μαραθῶνι δὲ Μιλτιάδης ὑπαντιάζει, καὶ νικᾷ τȣ̀ς βαρβάρȣς, καὶ πίπτει καὶ αὐτὸς Δάτις. καὶ ȣ̓δὲ τὸ σῶμα Πέρσαις αἰτησαμένοις ἐδόθη. Δαρεῖος δὲ ἐπανελθὼν εἰς Πέρσας, καὶ θύσας, καὶ ἡμέρας νοσήσας λ', τελευτᾷ, ζήσας μὲν ἔτη ιβ' πρὸ τῆς βασιλείας, βασιλεύσας δὲ ἔτη λά. ἀπέθανε δὲ καὶ Ἀρτασύρας. καὶ ὁ Βαγαπάτης δὲ τὸ σῆμα Δαρείȣ παρακαθίσας ἔτη ζ', ἐτελεύτησε.

Δαρεῖος βȣλόμενος Ἰνδὸν ποταμὸν, ὃς κροκοδείλȣς δεύτερος ȣ̃τος ποταμῶν πάντων παρέχεται, τȣ̃τον τὸν ποταμὸν εἰδέναι τῇ ἐς θάλασσαν ἐκδιδοῖ, πέμπει πλοίοισι ἄλλȣς τε τοῖσι ἐπίςευε τὴν ἀληθίην ἐρέειν, καὶ δὴ καὶ Σκύλακα ἄνδρα Καρυανδέα. οἱ δὲ, ὁρμηθέντες ἐκ Κασπατύ- Herodot. IV. cap. 44.

πατύρυ τε πόλιος καὶ τῆς Πακτυϊκῆς γῆς, ἔπλεον κατὰ ποταμὸν πρὸς ἠῶ τε καὶ ἡλίυ ἀνατολὰς ἐς θάλασσαν· διὰ θαλάσσης δὲ πρὸς ἑσπέρην πλέοντες, τριηκοςῷ μηνὶ ἀπικνέονται ἐς τῦτον τὸν χῶρον, ὅθεν ὁ Αἰγυπτίων βασιλεὺς τὺς Φοίνικας, τὺς πρότερον εἶπα, ἀπέςειλε περιπλώειν Λιβύην· μετὰ δὲ τύτυς περιπλώσαντας, Ἰνδὺς τε κατεςρέψατο Δαρεῖος, καὶ τῇ θαλάσσῃ ταύτῃ ἐχρᾶτο.

Xerxes I. 485—464. ant. Chr. *Ctesias* cap. 20—26.

Βασιλέυει Ξέρξης ὁ ὑιὸς Δαρείυ, καὶ Ἀρτάπανος ὁ Ἀρτασύρα παῖς γίνεται δυνατὸς παρ' αὐτῷ, ὡς ὁ πατὴρ παρὰ τῷ πατρὶ, καὶ Μαρδόνιος ὁ παλαιός. ἡμιαῤῥένων δὲ μέγιςον ἠδύνατο Νατάκας. Γαμεῖ δὲ Ξέρξης Ὀνόφα θυγατέρα Ἄμιςριν, καὶ γίνεται αὐτῷ παῖς Δαρεῖος· καὶ ἕτερος μετὰ δύο ἔτη, Ὑςάσπης, καὶ ἔτι Ἀρταξέρξης· καὶ θυγατέρες δύο, ὧν ἡ μὲν Ἄμυτις, κατὰ τὴν ὀνομασίαν τῆς μάμμης· ἡ δὲ Ῥοδογύνη. Ὁ δὲ δὴ Ξέρξης ςρατέυει ἐπὶ τὺς Ἕλληνας, ὅτι τε Χαλκηδόνιοι λῦσαι τὴν γέφυραν, ὡς ἤδη εἴρηται, ἐπειράθησαν· καὶ ὅτι τὸν βωμὸν ὃν ἔςησε Δαρεῖος, καθεῖλον· καὶ ὅτι Δάτιν Ἀθηναῖοι ἀνεῖλον, καὶ ὐδὲ τὸν νεκρὸν ἔδοσαν. πρότερον δὲ εἰς Βαβυλῶνα ἀφίκετο, καὶ ἰδεῖν ἐπεθύμησε τὸν Βελιτανᾶ τάφον, καὶ εἶδε διὰ Μαρδονίυ· καὶ τὴν πύελον ἐλαίυ ὐκ ἴσχυσεν, ὥσπερ καὶ ἐγέγραπτο, πληρῶσαι. Ἐξελάυνει Ξέρξης εἰς Ἐκβάτανα, καὶ ἀγγέλλεται αὐτῷ ἀπόςασις Βαβυλωνίων, καὶ Ζωπύρυ τῦ ςρατηγῦ αὐτῶν ὑπὸ σφῶν ἀναίρεσις. ὕτως καὶ περὶ τύτων φησὶ Κτησίας, καὶ ὐχ ὡς Ἡρόδοτος· ἃ δὲ περὶ Ζωπύρυ ἐκεῖνος λέγει, πλὴν ὅτι ἡμίονος αὐτῷ ἔτεκεν. ἐπεὶ τάγε ἄλλα Μεγάβυζον ὗτος λέγει διαπράξαθαι, ὃς ἦν γαμβρὸς ἐπὶ τῇ θυγατρὶ Ἄμυτι, τῦ Ξέρξυ. ὕτως μὲν ἥλω διὰ τῦ Μεγαβύζυ Βαβυλών. δίδωσι δὲ αὐτῷ Ξέρξης ἄλλά τε πολλὰ, καὶ μύλην χρυσῆν, ἓξ ἕλκυσαν τάλαντα· ὃ τιμιώτατον τῶν βασιλικῶν δώρων παρὰ Πέρσαις ἐςί. Ξέρξης δὲ συναγείρας ςρατιὰν Περσικὴν, ἄνευ τῶν ἁρμάτων, ὀγδοήκοντα μυριάδας, καὶ τριήρεις χιλίας, ἤλαυνεν ἐπὶ τὴν Ἑλλάδα, ζευγνὺς τὴν Ἄβυδον. Δημάρατος δὲ ὁ Λακεδαιμόνιος παρεγένετο ἤδη πρῶτον, καὶ συνῆν αὐτῷ ἐν τῇ διαβάσει, καὶ ἀπεῖργε τῆς εἰς Λακεδαίμονα ἐφό-

δε. Ξέρξης δὲ προσβάλλει ἐν Θερμοπύλαις Λεωνίδα τῷ ϛρατηγῷ τῶν Λακεδαιμονίων, δι' Ἀρταπάνε, ἔχοντος μυρίες. καὶ κατεκόπη τὸ Περσικὸν πλῆθος, τῶν Λακεδαιμονίων δύο ἢ τριῶν ἀναιρεθέντων. εἶτα προσβαλεῖν κελεύει μετὰ δισμυρίων· καὶ ἧττα γίνεται κἀκείνων. εἶτα μαϛιγῦνται ἐπὶ τῷ πολεμεῖν· καὶ μαϛιγέμενοι, ἔτι ἡττῶντο. τῇ δὲ ὑϛεραίᾳ κελεύει μάχεθαι, μετὰ πεντακισμυρίων· καὶ ἐπεὶ ἐδὲν ἤνυεν, ἔλυσε τότε τὸν πόλεμον. Θώραξ δὲ ὁ Θεσσαλὸς, καὶ Τραχινίων οἱ δυνατοὶ, Καλλιάδης καὶ ΤιμαΦέρνης, παρῆσαν ϛρατιὰν ἔχοντες. καλέσας δὲ Ξέρξης τέτες δὲ καὶ τὸν Δημάρατον καὶ τὸν Ἡγίαν τὸν Ἐφέσιον, ἔμαθεν ὡς ἐκ ἂν ἡττηθεῖεν Λακεδαιμόνιοι ει μὴ κυκλωθείησαν. ἡγεμένων δὲ τῶν δύο Τραχινίων διὰ δυσβάτε ϛρατὸς Περσικὸς διελήλυθε, μυριάδες τέσσαρες· καὶ κατὰ νώτε γίνονται τῶν Λακεδαιμονίων, καὶ κυκλωθέντες ἀπέθανον μαχόμενοι ἀνδρείως ἅπαντες. Ξέρξης δὲ πάλιν ϛράτευμα πέμπει κατὰ Πλαταιέων μυριάδας ιβ', ἡγέμενον ἀυτοῖς Μαρδόνιον ἐπιϛήσας. Θηβαῖοι δ' ἦσαν οἱ κατὰ Πλαταιέων τὸν Ξέρξην κινῦντες. ἀντιϛρατέυει δὲ Παυσανίας ὁ Λακεδαιμόνιος, τριακοσίες μὲν ἔχων Σπαρτιήτας, χιλίες δὲ τῶν περιοίκων, ἐκ δὲ τῶν ἄλλων πόλεων χιλιάδας ἓξ. καὶ νικᾶται κατακράτος ἡ Περσικὴ ϛρατιὰ, καὶ Φέυγει τραυματισθεὶς καὶ Μαρδόνιος. ἕτος ὁ Μαρδόνιος πέμπεται συλῆσαι τὸ τε̃ Ἀπόλλωνος ἱερὸν παρὰ Ξέρξε· κἀκεῖ, Φησὶ, θνήσκει, χαλάζης ἐπιπεσέσης παχείας· ἐΦ' ᾧ λίαν Ξέρξης ἐλυπήθη. Ξέρξης δὲ ἐπ' ἀυτὰς Ἀθήνας ἐλάυνει. καὶ Ἀθηναῖοι, πληρώσαντες ἑκατὸν δέκα τριήρεις, Φέυγεσιν εἰς Σαλαμῖνα. καὶ Ξέρξης τὴν πόλιν κενὴν αἱρεῖ, καὶ ἐμπίμπρησι, πλὴν τῆς ἀκροπόλεως. ἐν ἀυτῇ γὰρ ἔτι τινὲς ὑπολειΦθέντες ἐμάχοντο. τέλος κἀκείνων νυκτὶ Φυγόντων, κἀκείνην συνέΦλεξαν. ὁ δὲ Ξέρξης ἀυτόθεν ἐλθὼν ἐπὶ ϛενότατον τῆς Ἀττικῆς, ὃ Ἡράκλειον καλεῖται, ἐχώννυε χῶμα ἐπὶ Σαλαμῖνα, πεζῇ ἐπ' ἀυτὴν διαβῆναι διανοέμενος. βελῇ δὲ Θεμιϛοκλέες Ἀθηναίε καὶ Ἀριϛείδε, τοξόται μὲν ἀπὸ Κρήτης προσκαλῦνται καὶ παραγίνονται. εἶτα ναυμαχία Περσῶν καὶ Ἑλλήνων γίνεται· Περσῶν μὲν ναῦς ἐχόντων ὑπὲρ τὰς χιλίας, ϛρατηγῦντος

τος αὐτοῖς Ὀνόφα· Ἑλλήνων δὲ ἑπτακοσίας. καὶ νικῶσιν Ἕλληνες, καὶ διαφθείρονται Περσικαὶ πεντακόσιαι νῆες. καὶ φεύγει Ξέρξης, βουλῇ πάλιν καὶ τέχνῃ Ἀριστείδου καὶ Θεμιστοκλέους. ἐν δὲ ταῖς λοιπαῖς ἁπάσαις μάχαις ἀπέθανον Περσῶν ιβ´ μυριάδες.

Diodor. XI. 1—37. Mardonius belli suasor.

Περὶ δὲ τούτου τοῦ πολέμου οὕτως φησὶ Διοδῶρος. Ξέρξης ὁ βασιλεὺς ἐστράτευσεν ἐπὶ τὴν Ἑλλάδα διὰ ταύτην τὴν αἰτίαν. Μαρδόνιος ὁ Πέρσης ἀνεψιὸς μὲν καὶ κηδεστὴς ἦν Ξέρξου, διὰ δὲ σύνεσιν καὶ ἀνδρείαν μάλιστα θαυμαζόμενος παρὰ τοῖς Πέρσαις. οὗτος μετέωρος ὢν τῷ φρονήματι, καὶ τὴν ἡλικίαν ἀκμάζων, ἐπεθύμει μεγάλων δυνάμεων ἀφηγήσασθαι. διόπερ ἔπεισε τὸν Ξέρξην καταδουλώσασθαι τοὺς Ἕλληνας, ἀεὶ πολεμικῶς ἔχοντας πρὸς τοὺς Πέρσας. ὁ δὲ Ξέρξης πεισθεὶς αὐτῷ, καὶ βουλόμενος πάντας τοὺς Ἕλληνας ἀναστάτους ποιῆσαι, διεπρεσβεύσατο πρὸς Καρχηδονίους περὶ κοινοπραγίας, καὶ συνέθετο πρὸς αὐτοὺς, ὥστε αὐτὸν μὲν ἐπὶ τοὺς τὴν Ἑλλάδα κατοικοῦντας Ἕλληνας στρατεύειν, Καρχηδονίους δὲ τοῖς αὐτοῖς χρόνοις μεγάλας παρασκευάσασθαι δυνάμεις, καὶ καταπολεμῆσαι τῶν Ἑλλήνων τοὺς περὶ Σικελίαν καὶ Ἰταλίαν οἰκοῦντας. ἀκολούθως οὖν ταῖς συνθήκαις Καρχηδόνιοι μὲν πλῆθος χρημάτων ἀθροίσαντες, μισθοφόρους συνῆγον ἔκ τε τῆς Ἰταλίας καὶ Λιγυστικῆς, ἔτι δὲ Γαλατίας καὶ Ἰβηρίας, πρὸς δὲ τούτοις ἐκ τῆς Λιβύης ἁπάσης καὶ τῆς Καρχηδόνος κατέγραφον πολιτικὰς δυνάμεις· τέλος δὲ τριετῆ χρόνον περὶ τὰς παρασκευὰς ἀσχοληθέντες, ἤθροισαν μὲν ὑπὲρ τὰς τριάκοντα μυριάδας, ναῦς δὲ διακοσίας.

socii Carthaginienses, quorum apparatus bellicus describitur.

Olymp. LXXV, 1.

Xerxes tribus annis ante & ingentes copias terrestres, jam a patre collectas, & naves longas MCC. paraverat.

β´. Ὁ δὲ Ξέρξης ἁμιλλώμενος πρὸς τὴν τῶν Καρχηδονίων σπουδὴν, ὑπερεβάλετο πάσαις ταῖς παρασκευαῖς τοσοῦτον, ὅσον καὶ τῷ πλήθει τῶν ἐθνῶν ὑπερεῖχε Καρχηδονίων. ἤρξατο δὲ ναυπηγεῖσθαι κατὰ πᾶσαν τὴν παραθαλάττιον, τὴν ὑπ' αὐτὸν ταττομένην, Αἴγυπτόν τε καὶ Φοινίκην, καὶ Κύπρον, πρὸς δὲ τούτοις Κιλικίαν, καὶ Παμφυλίαν, καὶ Πισιδικὴν, ἔτι δὲ Λυκίαν, καὶ Καρίαν, καὶ Μυσίαν, καὶ Τρωάδα, καὶ τὰς ἐφ' Ἑλλησπόντῳ πόλεις, καὶ τὴν Βιθυνίαν, καὶ τὸν Πόντον. ὁμοίως δὲ καὶ τοῖς Καρχηδονίοις τριετῆ χρόνον παρασκευασά-

ασάμενος κατεσκεύασε ναῦς μακρὰς πλείȣς τῶν χιλίων καὶ διακοσίων. συνεβάλετο δὲ αὐτῷ καὶ ὁ πατὴρ Δαρεῖος, πρὸ τῆς τελευτῆς παρασκευὰς πεποιημένος μεγάλων δυνάμεων. καὶ γὰρ ἐκεῖνος ἡττημένος ὑπὸ Ἀθηναίων ἐν Μαραθῶνι Δάτιδος ἡγȣμένȣ, χαλεπῶς διέκειτο πρὸς τȣ̀ς νενικηκότας Ἀθηναίȣς. ἀλλὰ Δαρεῖος μὲν μέλλων ἤδη διαβαίνειν ἐπὶ τȣ̀ς Ἕλληνας, ἐμεσολαβήθη τελευτήσας· ὁ δὲ Ξέρξης διά τε τὴν τȣ̃ πατρὸς ἐπιβολὴν, καὶ τὴν τȣ̃ Μαρδονίȣ συμβȣλὴν, καθότι προείρηται, διέγνω πολεμεῖν τοῖς Ἕλλησιν. ὡς δ' αὐτῷ πάντα τὰ πρὸς τὴν ϛρατείαν ἡτοίμαςο, τοῖς μὲν ναυάρχοις παρήγγειλεν ἀθροίζειν τὰς ναῦς εἰς Κύμην καὶ Φώκαιαν. αὐτὸς δ' ἐξ ἁπασῶν τῶν σατραπειῶν συναγαγὼν τὰς πεζικὰς καὶ ἱππικὰς δυνάμεις προῆγεν ἐκ τῶν Σȣ́σων. ὡς δ' ἧκεν εἰς Σάρδεις, κήρυκας ἐξέπεμψεν εἰς τὴν Ἑλλάδα, προστάξας εἰς πάσας τὰς πόλεις ἰέναι, καὶ τȣ̀ς Ἕλληνας αἰτεῖν ὕδωρ καὶ γῆν. τὴν δὲ ϛρατιὰν διελόμενος, ἐξαπέςειλε τȣ̀ς ἱκανȣ̀ς ζεῦξαι μὲν τὸν Ἑλλήσποντον, διασκάψαι δὲ τὸν Ἄθω κατὰ τὸν αὐχένα τῆς Χεῤῥονήσȣ· ἅμα μὲν ταῖς δυνάμεσιν ἀσφαλῆ καὶ σύντομον τὴν δίεξοδον ποιȣ́μενος, ἅμα δὲ τῷ μεγέθει τῶν ἔργων ἐλπίζων προκαταπλήξεσθαι τȣ̀ς Ἕλληνας. οἱ μὲν ȣ̃ν πεμφθέντες ἐπὶ τὴν κατασκευὴν τῶν ἔργων, ταχέως ἤνυον, διὰ τὴν πολυχειρίαν τῶν ἐργαζομένων. οἱ δ' Ἕλληνες πυθόμενοι τὸ μέγεθος τῆς τῶν Περσῶν δυνάμεως, ἐξέπεμψαν εἰς Θετταλίαν μυρίȣς ὁπλίτας, τȣ̀ς καταληψομένȣς τὰς ἐπὶ τὰ Τέμπη παρόδȣς, ἡγεῖτο δὲ τῶν μὲν Λακεδαιμονίων Συνετὸς, τῶν δὲ Ἀθηναίων Θεμιςοκλῆς. ȣ̃τοι δὲ πρὸς τὰς πόλεις πρεσβευτὰς ἀποςείλαντες, ἠξίȣν ἀποςέλλειν ϛρατιώτας τȣ̀ς κοινῇ φυλάξοντας τὰς παρόδȣς. ἔςπευδον γὰρ ἁπάσας τὰς Ἑλληνίδας πόλεις περιλαβεῖν ταῖς προφυλακαῖς, καὶ κοινοποιήσασθαι τὸν πρὸς τȣ̀ς Πέρσας πόλεμον. ἐπεὶ δὲ τῶν Θετταλῶν καὶ τῶν ἄλλων Ἑλλήνων τῶν πλησιοχώρων ταῖς παρόδοις ἔδωκαν οἱ πλείȣς ὕδωρ τε καὶ γῆν τοῖς ἀφιγμένοις ἀγγέλοις ἀπὸ Ξέρξȣ, ἀπογνόντες τὴν ἐπὶ τὰ Τέμπη φυλακὴν, ἐπανῆλθον εἰς τὴν οἰκείαν.

Ipse Susis Sardes movit, præmissis in Græciam præconibus, juncto ponte Hellesponto, perfossoque monte Athone.

Duces Græcorum Synetus Lacedæmonius & Themistocles Atheniensis;

sed populi multi ultro ad Persas defecerant.

γ'. Χρή-

Græci defectionis infamia notati recensentur.

γʹ. Χρήσιμον δὲ διορίσαι τῶν Ἑλλήνων τοὺς τὰ τῶν βαρβάρων ἑλομένους, ἵνα τυγχάνοντες ὀνείδους, ἀποτρέπωσι ταῖς βλασφημίαις τοὺς προδότας γενομένους τῆς κοινῆς ἐλευθερίας. Αἰνιᾶνες μὲν οὖν καὶ Δόλοπες καὶ Μιλήσιοι καὶ Περραιβοὶ καὶ Μάγνητες μετὰ τῶν βαρβάρων ἐτάχθησαν· ἔτι δὲ παρούσης τῆς ἐν τοῖς Τέμπεσι φυλακῆς, Ἀχαιοί τε καὶ Φθιῶται καὶ Λοκροὶ καὶ Θετταλοὶ, καὶ Βοιωτοὶ οἱ πλείους τούτων ἀπελθόντων ἀπέκλιναν πρὸς τοὺς βαρβάρους. οἱ δ᾽ ἐν Ἰσθμῷ συνεδρεύοντες τῶν Ἑλλήνων ἐψηφίσαντο τοὺς μὲν ἐθελοντὶ τῶν Ἑλλήνων ἑλομένους τὰ Περσῶν, δεκατεῦσαι τοῖς θεοῖς, ἐπὰν τῷ πολέμῳ κρατήσωσι· πρὸς δὲ τοὺς τὴν ἡσυχίαν ἔχοντας ἐκπέμψαι πρέσβεις τοὺς παρακαλέσοντας συναγωνίζεσθαι περὶ τῆς κοινῆς ἐλευθερίας. ὧν οἱ μὲν εἵλοντο γνησίως τὴν συμμαχίαν, οἱ δὲ παρῆγον ἐφ᾽ ἱκανὸν χρόνον, ἀντεχόμενοι τῆς ἰδίας μόνον ἀσφαλείας, καὶ καραδοκοῦντες τὸ τοῦ πολέμου τέλος. Ἀργεῖοι δὲ πρέσβεις ἀποστείλαντες εἰς τὸ κοινὸν συνέδριον, ἐπηγγέλοντο συμμαχήσειν, ἐὰν αὐτοῖς μέρος τι τῆς ἡγεμονίας συγχωρήσωσιν. οἷς οἱ σύνεδροι διεσάφησαν, εἰ μὲν δεινότερον ἡγοῦνται τὸ στρατηγὸν ἔχειν Ἕλληνα, ἢ δεσπότην βάρβαρον, ὀρθῶς αὐτοὺς ἔχειν ἡσυχίαν· εἰ δὲ φιλοτιμοῦνται λαβεῖν τὴν τῶν Ἑλλήνων ἡγεμονίαν, ἄξια ταύτης δεῖν ἔφασαν αὐτοὺς πεπραχότας, ἐπιζητεῖν τὴν τηλικαύτην δόξαν. μετὰ δὲ ταῦτα τῶν παρὰ Ξέρξου πρέσβεων ἐπιόντων τῇ Ἑλλάδι, καὶ γῆν καὶ ὕδωρ αἰτούντων, αἱ πόλεις ἅπασαι διὰ τῶν ἀποκρίσεων ἀπεδείκνυντο τὴν περὶ τῆς κοινῆς ἐλευθερίας σπουδήν.

Interea Xerxes copias per pontem in Thraciam ductas & apud Doriscum collectas lustravit.

Ξέρξης δὲ ὡς ἐπύθετο τὸν Ἑλλήσποντον ἐζεῦχθαι, καὶ τὸν Ἄθω διεσκάφθαι, προῆγεν ἐκ τῶν Σάρδεων, ἐφ᾽ Ἑλλησπόντου τὴν πορείαν ποιούμενος. ὡς δὲ ἧκεν εἰς Ἄβυδον, διὰ τοῦ ζεύγματος τὴν δύναμιν διήγαγεν εἰς τὴν Εὐρώπην. πορευόμενος δὲ διὰ τῆς Θρᾴκης, πολλοὺς προσελαμβάνετο στρατιώτας καὶ τῶν Θρᾳκῶν καὶ τῶν ὁμόρων τούτοις Ἑλλήνων. ὡς δ᾽ ἧκεν εἰς τὸν ὀνομαζόμενον Δορίσκον, ἐνταῦθα μετεπέμψατο τὸ ναυτικὸν, ὥστε ἀμφοτέρας τὰς δυνάμεις εἰς ἕνα τόπον ἀθροιθῆναι. ἐποιήσατο δὲ καὶ τὸν ἐξετασμὸν τῆς στρατιᾶς ἁπάσης.

Navium copiarumque & navalium numerus.

ἠριθμήθησαν δὲ τῆς πεζῆς δυνάμεως μυριάδες πλείους τῶν ὀγδοήκοντα· νῆες δὲ σύμπασαι μακραὶ

κραὶ πλείȣς τῶν χιλίων καὶ διακοσίων· καὶ τȣ́των Ἑλληνίδες τριακόσιαι καὶ ἔικοσι, τὰ μὲν πληρώματα τῶν ἀνδρῶν παρεχομένων τῶν Ἑλλήνων, τὰ δὲ σκάφη τȣ͂ βασιλέως χορηγȣ͂ντος. ἁι δὲ λοιπαὶ πᾶσαι βαρβαρικαὶ κατηριθμȣ͂ντο· καὶ τȣ́των Ἀιγύπτιοι μὲν διακοσίας παρέσχοντο, Φοίνικες δὲ τριακοσίας, Κίλικες δὲ ὀγδοήκοντα, Πάμφυλοι δὲ τετταράκοντα, καὶ Λύκιοι τὰς ἴσας. πρὸς δὲ τȣ́τοις Κᾶρες μὲν ὀγδοήκοντα, Κύπριοι δὲ ἑκατὸν καὶ πεντήκοντα. τῶν δὲ Ἑλλήνων ἔπεμψαν Δωριεῖς μὲν ὁι πρὸς τῇ Καρίᾳ κατοικȣ͂ντες, μετὰ Ῥοδίων καὶ Κώων, τετταράκοντα· Ἴωνες δὲ μετὰ Χίων καὶ Σαμίων, ἑκατόν· Ἀιολεῖς δὲ μετὰ Λεσβίων καὶ Τενεδίων, τετταράκοντα· Ἑλλησπόντιοι δὲ ὀγδοήκοντα, σὺν τοῖς περὶ τὸν Πόντον κατοικȣ͂σι· νησιῶται δὲ πεντήκοντα. τὰς γὰρ νήσȣς τὰς ἐντὸς Κυανέων καὶ Τριοπίȣ καὶ Σȣνίȣ προσηγμένος ἦν ὁ βασιλεύς. τριήρεις μὲν ȣ͂ν τοσαῦται τὸ πλῆθος ὑπῆρχον· ἱππαγωγοὶ δὲ, ὀκτακόσιαι πεντήκοντα· ἁι δὲ τριηκόντοροι, τρισχίλιαι. ὁ μὲν ȣ͂ν Ξέρξης περὶ τὸν ἐξετασμὸν τῶν δυνάμεων διέτριβε περὶ τὸν Δορίσκον.

Græcorum copiæ, duce Leonida, Persis ad Thermopylas oppositæ.

δ'. Τοῖς δὲ συνέδροις τῶν Ἑλλήνων, ἐπειδὴ πλησίον ἐῖναι προσαπηγγέλθησαν ἁι τῶν Περσῶν δυνάμεις, ἔδοξε ταχέως ἀποςέλλειν τὴν μὲν ναυτικὴν δύναμιν ἐπὶ τὸ Ἀρτεμίσιον τῆς Εὐβοίας, ἔυθετον ὁρῶσι τὸν τόπον τȣ͂τον πρὸς τὴν ἀπάντησιν τῶν πολεμίων· ἐις δὲ τὰς Θερμοπύλας τȣ̀ς ἱκανȣ̀ς ὁπλίτας, προκαταληψομένȣς τὰς ἐν τοῖς ςενοῖς παρόδȣς, καὶ κωλύσοντας προάγειν ἐπὶ τὴν Ἑλλάδα τȣ̀ς βαρβάρȣς. ἔσπευδον γὰρ τȣ̀ς τὰ τῶν Ἑλλήνων προελομένȣς ἐντὸς περιλαβεῖν, καὶ σώζειν ἐις τὸ δυνατὸν τȣ̀ς συμμάχȣς. ἡγεῖτο δὲ τȣ͂ μὲν ςόλȣ παντὸς Ἐυρυβιάδης ὁ Λακεδαιμόνιος, τῶν δὲ ἐις Θερμοπύλας ἐκπεμφθέντων Λεωνίδης ὁ τῶν Σπαρτιατῶν βασιλεὺς, μέγα φρονῶν ἐπ' ἀνδρείᾳ καὶ ςρατηγίᾳ. ȣ͂τος δὲ λαβὼν τὴν ἐξȣσίαν, ἐπήγγειλε χιλίοις μόνον ἐπὶ τὴν ςρατείαν ἀκολȣθεῖν αὐτῷ. τῶν δὲ Ἐφόρων λεγόντων ὡς ὀλίγȣς παντελῶς ἄγει πρὸς μεγάλην δύναμιν, καὶ προσταττόντων πλείονας παραλαμβάνειν, ἐῖπε πρὸς αὐτȣ̀ς ἐν ἀποῤῥήτοις, ὅτι πρὸς μὲν τὸ κωλῦσαι τȣ̀ς βαρβάρȣς διελ-

διελθεῖν τὰς παρόδους, ὀλίγοι, πρὸς μέντοιγε τὴν πρᾶξιν ἐφ' ἣν πορεύονται νῦν, πολλοί. αἰνιγματωδῶς δὲ καὶ ἀσαφῶς τῆς ἀποκρίσεως γενομένης, ἐπηρώτησαν αὐτὸν εἰ πρὸς εὐτελῆ τινα πρᾶξιν αὐτοὺς ἄγειν διανοεῖται. ἀπεκρίθη δὲ, ὅτι τῷ λόγῳ μὲν ἐπὶ τὴν φυλακὴν ἄγει τῶν παρόδων, τῷ δὲ ἔργῳ περὶ τῆς κοινῆς ἐλευθερίας ἀποθανουμένους. ὥστε ἐὰν μὲν οἱ χίλιοι πορευθῶσιν, ἐπιφανεστέραν ἔσεσθαι τὴν Σπάρτην, τούτων τελευτησάντων· ἐὰν δὲ πανδημεὶ στρατεύσωσι Λακεδαιμόνιοι, παντελῶς ἀπολεῖσθαι τὴν Λακεδαίμονα. οὐδένα γὰρ αὐτῶν τολμήσειν φεύγειν, ἵνα τύχῃ σωτηρίας. τῶν μὲν οὖν Λακεδαιμονίων ἦσαν χίλιοι, καὶ σὺν αὐτοῖς Σπαρτιᾶται τριακόσιοι, τῶν δ' ἄλλων Ἑλλήνων τῶν ἅμα αὐτοῖς συνεκπεμφθέντων ἐπὶ τὰς Θερμοπύλας, τρισχίλιοι. ὁ μὲν οὖν Λεωνίδης μετὰ τετρακισχιλίων, προῆγεν ἐπὶ τὰς Θερμοπύλας. Λοκροὶ δὲ οἱ πλησίον τῶν παρόδων κατοικοῦντες ἐδεδώκεσαν μὲν γῆν καὶ ὕδωρ τοῖς Πέρσαις, κατεπαγγελλόμενοι δ' ἦσαν προκαταλήψεσθαι τὰς παρόδους· ὡς δ' ἐπύθοντο τὸν Λεωνίδην ἥκειν εἰς Θερμοπύλας, μετενόησαν, καὶ μετέθεντο πρὸς τοὺς Ἕλληνας. ἧκον δὲ εἰς τὰς Θερμοπύλας καὶ Λοκροὶ χίλιοι, καὶ Μηλιέων τοσοῦτοι, καὶ Φωκέων οὐ πολὺ λειπόμενοι τῶν χιλίων. ὁμοίως δὲ καὶ Θηβαίων ἀπὸ τῆς ἑτέρας μερίδος ὡς τετρακόσιοι. διεφέροντο γὰρ οἱ τὰς Θήβας κατοικοῦντες πρὸς ἀλλήλους περὶ τῆς πρὸς τοὺς Πέρσας συμμαχίας. οἱ μὲν οὖν μετὰ Λεωνίδου συναχθέντες Ἕλληνες, τοσοῦτοι τὸν ἀριθμὸν ὄντες, διέτριβον περὶ τὰς Θερμοπύλας, ἀναμένοντες τὴν τῶν Περσῶν παρουσίαν.

ε'. Ξέρξης δὲ μετὰ τὸν ἐξετασμὸν τῶν δυνάμεων προῆγεν εὐθὺς μετὰ παντὸς τοῦ στρατεύματος, καὶ μέχρι μὲν Ἀκάνθου πόλεως τῇ πεζῇ στρατιᾷ πορευομένου, συμπαρέπλει πᾶς ὁ στόλος· ἐκεῖθεν δὲ κατὰ τὸν διορυχθέντα τόπον διεκομίσθησαν εἰς τὴν ἑτέραν θάλασσαν συντόμως καὶ ἀσφαλῶς. ὡς δ' ἧκεν ἐπὶ τὸν Ἠλιακὸν κόλπον, ἐπύθετο τοὺς πολεμίους προκατειληφέναι τὰς παρόδους. διόπερ ἐνταῦθα προσαναλαβὼν τὴν δύναμιν, μετεπέμψατο τοὺς ἀπὸ τῆς Εὐρώπης συμμάχους, οὐ πολὺ λείποντας τῶν εἴκοσι μυριάδων. ὥστε ἔχειν αὐτὸν τοὺς σύμπαν-

Ad Acanthum urbem progressus Xerxes,

παντας ἐκ ἐλάττες τῶν ἑκατὸν μυριάδων, χωρὶς τῆς ναυτικῆς δυνάμεως. ὁ δὲ σύμπας ὄχλος τῶν τε ἐν ταῖς μακραῖς ναυσὶν ὄντων καὶ τῶν τὴν ἀγορὰν καὶ τὴν ἄλλην παρασκευὴν κομιζόντων, ἐκ ἐλάττων ἦν τῶν προειρημένων· ὥστε μηδὲν θαυμαστὸν ἐῖναι τὸ λεγόμενον ὑπὲρ τῦ πλήθες τῶν ὑπὸ Ξέρξε συναχθέντων. Φασὶ γὰρ τὲς ἀεννάες ποταμὲς διὰ τὴν τῦ πλήθες συνέχειαν ἐπιλιπεῖν, τὰ δὲ πελάγη τοῖς τῶν νεῶν ἱστίοις κατακαλυφθῆναι. μέγισται μὲν ἔν δυνάμεις τῶν ἐις ἱστορικὴν μνήμην παραδεδομένων ἀι μετὰ Ξέρξε γενόμεναι παραδέδονται. τῶν δὲ Περσῶν κατεστρατοπεδευκότων παρὰ τὸν Σπερχειὸν ποταμὸν, ὁ μὲν Ξέρξης ἀπέστειλεν ἀγγέλες ἐις τὰς Θερμοπύλας, τὲς ἅμα μὲν κατασκεψομένες τίνα διάνοιαν ἔχεσι περὶ τῦ πρὸς αὐτὸν πολέμε. προσέταξε δ' αὐτοῖς παραγγέλλειν, ὅτι βασιλεὺς Ξέρξης κελεύει τὰ μὲν ὅπλα πάντας ἀποθέσθαι, αὐτὲς δὲ ἀκινδύνες ἐις τὰς πατρίδας ἀπιέναι, καὶ συμμάχες ἐῖναι Περσῶν· καὶ ταῦτα πράξασιν αὐτοῖς ἐπηγγείλατο δώσειν χώραν τοῖς Ἕλλησι πλείω καὶ βελτίω τῆς νῦν ὑπ' αὐτῶν κατεχομένης. ὁι δὲ περὶ τὸν Λεωνίδην ἀκέσαντες τῶν ἀγγέλων, ἀπεκρίναντο, ὅτι καὶ συμμαχῦντες τῷ βασιλεῖ, χρησιμώτεροι μετὰ τῶν ὅπλων ἔσονται· καὶ πολεμεῖν ἀναγκαζόμενοι, μετὰ τέτων γενναιότερον ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιῦνται. περὶ δὲ τῆς χώρας, ἣν ὑπισχνεῖται δώσειν, ὅτι πάτριόν ἐστι τοῖς Ἕλλησι, μὴ διὰ κακίας, ἀλλὰ δι' ἀρετὴν κτᾶσθαι χώραν.

Græcos ad Thermopylas obstantes nuntiis evocat, ut abjectis armis discedant; sed superbum Leonidæ responsum fert.

στ'. Ὁ δὲ βασιλεὺς ἀκέσας παρὰ τῶν ἀγγέλων τὰς τῶν Ἑλλήνων ἀποκρίσεις, προσεκαλέσατο Δημάρατον Σπαρτιάτην, ἐκ τῆς πατρίδος πεφευγότα πρὸς αὐτόν· καταγελάσας δὲ τῶν ἀποκρίσεων, ἐπηρώτησε τὸν Λάκωνα, πότερον ὁι Ἕλληνες ὀξύτερον τῶν ἐμῶν ἵππων φεύξονται, ἢ πρὸς τηλικαύτας δυνάμεις παρατάξασθαι τολμήσεσι; τὸν δὲ Δημάρατον ἐιπεῖν φασιν, ὡς ἐδ' αὐτὸς σὺ τὴν ἀνδρίαν τῶν Ἑλλήνων ἀγνοεῖς· τὲς γὰρ ἀφισαμένες τῶν βαρβάρων Ἑλληνικαῖς δυνάμεσι καταπολεμεῖς. ὥστε μὴ νόμιζε τὲς ὑπὲρ τῆς σῆς ἀρχῆς ἄμεινον τῶν Περσῶν ἀγωνιζομένες, ὑπὲρ τῆς ἰδίας ἐλευθερίας ἧττον κινδυνεύσειν πρὸς τὲς Πέρσας. ὁ δὲ Ξέρξης καταγελάσας αὐτῦ, προσέταξεν ἀκολεθεῖν, ὅπως ἴδῃ φεύγοντας

Contemta Demarati Lacedæmonii admonitione,

primo Medos impetum facere in Græcos jubet,

τοὺς Λακεδαιμονίους. τὴν δὲ δύναμιν ἀναλαβὼν ἧκεν ἐπὶ τοὺς ἐν Θερμοπύλαις Ἕλληνας, προτάξας ἁπάντων τῶν ἐθνῶν Μήδους· εἴτε δι' ἀνδρίαν προκρίνας αὐτοὺς, εἴτε καὶ βουλόμενος ἅπαντας ἀπολέσαι. ἐνῆν γὰρ ἔτι φρόνημα τοῖς Μήδοις τῆς τῶν προγόνων ἡγεμονίας οὐ πάλαι καταπεπονημένης. συνέβη δὲ ἐν τοῖς Μήδοις εἶναι καὶ τῶν ἐν Μαραθῶνι τετελευτηκότων. συνυπέδειξε δὲ τοῖς Μήδοις καὶ τῶν ἐν Μαραθῶνι τετελευτηκότων ἀδελφοὺς καὶ υἱοὺς, νομίζων τούτους ἐκθυμότατα τιμωρήσεσθαι τοὺς Ἕλληνας. οἱ μὲν οὖν Μῆδοι τοῦτον τὸν τρόπον συνταχθέντες προσέπεσον τοῖς φυλάττουσι τὰς Θερμοπύλας. ὁ δὲ Λεωνίδης εὖ παρεσκευασμένος συνήγαγε τοὺς Ἕλληνας ἐπὶ τὸ στενότατον τῆς παρόδου.

ζ'. Γενομένης δὲ μάχης καρτερᾶς, καὶ τῶν μὲν βαρβάρων θεατὴν ἐχόντων τῆς ἀρετῆς τὸν βασιλέα, τῶν δὲ Ἑλλήνων μιμνησκομένων τῆς ἐλευθερίας, καὶ παρακαλουμένων ὑπὸ τοῦ Λεωνίδου πρὸς τὸν ἀγῶνα, θαυμαστὸν συνέβαινε γίνεσθαι τὸν κίνδυνον. συστάδην γὰρ οὔσης τῆς μάχης, καὶ τῶν πληγῶν ἐκ χειρὸς γινομένων, ἔτι δὲ τῆς συστάσεως πεπυκνωμένης, ἐπὶ πολὺν χρόνον ἰσόῤῥοπος ἦν ἡ μάχη. τῶν δ' Ἑλλήνων ὑπερεχόντων ταῖς ἀρεταῖς καὶ τῷ μεγέθει τῶν ἀσπίδων, μόγις ἐνέδωκαν οἱ Μῆδοι. πολλοὶ μὲν γὰρ αὐτῶν ἔπεσον, οὐκ ὀλίγοι δὲ κατετραυματίσθησαν. τοῖς δὲ Μήδοις ἐπιτεταγμένοι Κίσσιοι καὶ Σάκαι κατ' ἀρετὴν ἐπίλεκτοι διεδέξαντο τὴν μάχην, καὶ νεοχμοὶ πρὸς διαπεπονημένους συμβαλόντες, ὀλίγον μὲν χρόνον ὑπέμενον τὸν κίνδυνον, κτεινόμενοι δ' ὑπὸ τῶν περὶ τὸν Λεωνίδην καὶ βιασθέντες ὑπεχώρησαν. ἀσπίσι γὰρ καὶ πέλταις μικραῖς οἱ βάρβαροι χρώμενοι, κατὰ μὲν τὰς εὐρυχωρίας ἐπλεονέκτουν, εὐκίνητοι γενόμενοι, κατὰ δὲ τὰς στενοχωρίας τοὺς μὲν πολεμίους οὐκ εὐχερῶς ἐτίτρωσκον, συμπεφραγμένους καὶ μεγάλαις ἀσπίσι σκεπαζομένους ὅλον τὸ σῶμα· αὐτοὶ δὲ διὰ τὰς κουφότητας τῶν σκεπαστηρίων ὅπλων ἐλαττούμενοι, πυκνοῖς τραύμασι περιέπιπτον. τέλος δὲ ὁ Ξέρξης πάντα μὲν τὸν περὶ τὰς παρόδους τόπον νεκρῶν ἐστρωμένον, τοὺς δὲ βαρβάρους οὐχ ὑπομένοντας τὰς τῶν Ἑλλήνων ἀρετὰς, προσέπεμψε τοὺς τῶν Περσῶν ἐπιλέκτους, ὀνομαζομένους ἀθανάτους, καὶ δοκοῦντας

tum Persas ipsos, qui im-

κῶντας ταῖς ἀνδραγαθίαις πρωτεύειν τῶν συστρατευομένων. ὡς δὲ καὶ οὗτοι βραχὺν ἀντιστάντες χρόνον ἔφυγον, τότε μὲν τῆς νυκτὸς ἐπιλαβούσης διελύθησαν, παρὰ μὲν τοῖς βαρβάροις πολλῶν ἀνῃρημένων, παρὰ δὲ τοῖς Ἕλλησιν ὀλίγων πεπτωκότων. mortales vocantur; sed ingenti cæde utrique repulsi.

η΄. Τῇ δ' ὑστεραίᾳ Ξέρξης μὲν, παρὰ προσδοκίαν αὐτῷ τῆς μάχης λαβούσης τὸ τέλος, ἐξ ἁπάντων τῶν ἐθνῶν ἐπέλεξε τοὺς δοκοῦντας ἀνδρίᾳ καὶ θράσει διαφέρειν, καὶ πολλὰ δεηθεὶς αὐτῶν, προσεῖπεν ὅτι βιασαμένοις αὐτοῖς τὴν εἴσοδον δωρεὰς ἀξιολόγους δώσει, φεύγουσι δὲ θάνατος ἔσται τὸ πρόστιμον. τούτων δὲ μετὰ μεγάλης συστροφῆς καὶ βίας ἐπιῤῥαξάντων τοῖς Ἕλλησιν, οἱ περὶ Λεωνίδην τότε συμφράξαντες, καὶ τείχει παραπλησίαν ποιησάμενοι τὴν σύστασιν, ἐκθύμως ἠγωνίζοντο. ἐπὶ τοσοῦτο δὲ προέβησαν ταῖς προθυμίαις, ὥστε τοὺς εἰωθότας ἐκ διαδοχῆς μεταλαμβάνειν τῆς μάχης οὐ συνεχώρησαν, ἀλλὰ τῇ συνεχείᾳ τῆς κακοπαθείας περιγενόμενοι, πολλοὺς ἀνῄρουν τῶν ἐπιλέκτων βαρβάρων. ἐφημερεύοντες δὲ τοῖς κινδύνοις, ἡμιλλῶντο πρὸς ἀλλήλους. οἱ μὲν γὰρ πρεσβύτεροι πρὸς τὰς τῶν νέων ἀκμὰς ὑπερεβάλλοντο, οἱ δὲ νεώτεροι πρὸς τὰς τῶν πρεσβυτέρων ἐμπειρίας τε καὶ δόξας ἡμιλλῶντο. τέλος δὲ φευγόντων καὶ τῶν ἐπιλέκτων, οἱ τὴν ἐπιτεταγμένην στάσιν ἔχοντες τῶν βαρβάρων, συμφράξαντες, οὐκ εἴων φεύγειν τοὺς ἐπιλέκτους. διόπερ ἠναγκάζοντο πάλιν ἀναστρέφειν καὶ μάχεσθαι. ἀπορουμένου δὲ τοῦ βασιλέως καὶ νομίζοντος μηδένα τολμήσειν ἔτι μάχεσθαι, ἧκε πρὸς αὐτὸν Τραχίνιός τις τῶν ἐγχωρίων, ἔμπειρος ὢν τῆς ὀρεινῆς χώρας· οὗτος τῷ Ξέρξῃ προσελθὼν, ἐπηγγείλατο διά τινος ἀτραποῦ στενῆς καὶ παρακρήμνου τοὺς Πέρσας ὁδηγήσειν, ὥστε γενέσθαι τοὺς συνελθόντας αὐτῷ κατόπιν τῶν περὶ τὸν Λεωνίδην· καὶ τούτῳ τῷ τρόπῳ περιληφθέντας αὐτοὺς εἰς τὸ μέσον, ῥᾳδίως ἀναιρεθήσεσθαι. ὁ δὲ βασιλεὺς περιχαρὴς ἐγένετο, καὶ τιμήσας δωρεαῖς τὸν Τραχίνιον, συνεξέπεμψεν αὐτῷ στρατιώτας δισμυρίους νυκτός. τῶν δὲ παρὰ τοῖς Πέρσαις τὶς ὄνομα Τυρασιάδας, τὸ γένος ὢν Κυμαῖος, φιλόκαλος δὲ, καὶ τὸν τρόπον ὢν ἀγαθὸς, διαδρὰς ἐκ τῆς τῶν Περσῶν παρεμ-

Tertio prœlio victi Persæ.

Tandem Trachinius quidam per montana viam monstrat;

quod per transfugam Leonidas comperit.

παρεμβολῆς νυκτὸς, ἧκε πρὸς τὰς περὶ τὸν Λεωνίδην, καὶ τὰ περὶ τὸν Τραχίνιον ἀγνοῦσιν ἐδήλωσεν.

Dimissis itaque reliquis, Leonidas cum solis Spartanis restitit,

θ'. Ἀκούσαντες δ' οἱ Ἕλληνες συνήδρευσαν περὶ μέσας νύκτας, καὶ ἐβουλεύσαντο περὶ τῶν ἐπιφερομένων κινδύνων. ἔνιοι μὲν οὖν ἔφασαν δεῖν παραχρῆμα καταλιπόντας τὰς παρόδους διασώζεσθαι πρὸς τοὺς συμμάχους· ἀδύνατον γὰρ εἶναι τοῖς μείνασι τυχεῖν σωτηρίας· Λεωνίδης δὲ ὁ βασιλεὺς τῶν Λακεδαιμονίων φιλοτιμούμενος αὑτῷ τε δόξαν περιθεῖναι μεγάλην καὶ τοῖς Σπαρτιάταις, προσέταξε τοὺς μὲν ἄλλους Ἕλληνας ἅπαντας ἀπιέναι καὶ σώζειν ἑαυτοὺς, ἵνα κατὰ τὰς ἄλλας μάχας συναγωνίζωνται τοῖς Ἕλλησιν· αὐτοὺς δε τοὺς Λακεδαιμονίους ἔφησε δεῖν μένειν, καὶ τὴν φυλακὴν τῶν παρόδων μὴ λιπεῖν. πρέπειν γὰρ τοὺς ἡγουμένους τῆς Ἑλλάδος, ὑπὲρ τῶν πρωτείων ἀγωνιζομένους, ἑτοίμως ἀποθνήσκειν. εὐθὺς μὲν οὖν οἱ μὲν ἄλλοι πάντες ἀπηλλάγησαν. ὁ δὲ Λεωνίδης μετὰ τῶν πολιτῶν ἡρωϊκὰς πράξεις καὶ παραδόξους ἐπετελέσατο. ὀλίγων δ' ὄντων Λακεδαιμονίων, (Θεσπιεῖς γὰρ μόνους παρακατέσχε) καὶ τοὺς σύμπαντας ἔχων οὐ πλείους τῶν πεντακοσίων, ἕτοιμος ἦν ἀποδέξασθαι τὸν ὑπὲρ τῆς Ἑλλάδος θάνατον. μετὰ δὲ ταῦτα οἱ μὲν μετὰ τοῦ Τραχινίου Πέρσαι περιελθόντες τὰς δυσχωρίας, ἄφνω τοὺς περὶ τὸν Λεωνίδην ἀπέλαβον εἰς τὸ μέσον. οἱ δ' Ἕλληνες τὴν μὲν σωτηρίαν ἀπογνόντες, τὴν δ' εὐδοξίαν ἑλόμενοι, μιᾷ φωνῇ τὸν ἡγούμενον ἠξίουν ἄγειν ἐπὶ τοὺς πολεμίους, πρὶν ἢ γνῶναι τοὺς Πέρσας τὴν τῶν ἰδίων περίοδον. Λεωνίδης δὲ τὴν ἑτοιμότητα τῶν στρατιωτῶν ἀποδεξάμενος, τούτοις παρήγγειλε ταχέως ἀριστοποιεῖσθαι, ὡς ἐν ᾅδου δειπνησομένους, αὐτὸς δ' ἀκολούθως τῇ παραγγελίᾳ τροφὴν προσηνέγκατο· οὕτω γὰρ δυνήσεσθαι πολὺν χρόνον ἰσχύειν καὶ φέρειν τὴν ἐν τοῖς κινδύνοις ὑπομονήν. ἐπεὶ δὲ συντόμως ἀναλαβόντες αὑτοὺς, ἕτοιμοι πάντες ὑπῆρξαν, παρήγγειλε τοῖς στρατιώταις, εἰσπεσόντας εἰς τὴν παρεμβολὴν φονεύειν τοὺς ἐντυγχάνοντας, καὶ ἐπ' αὐτὴν ὁρμῆσαι τὴν τοῦ βασιλέως σκηνήν.

qui tandem omnes fortiter pugnantes, cæsaque

ι'. Οὗτοι μὲν οὖν ἀκολούθως ταῖς παραγγελίαις συμφράξαντες νυκτὸς εἰσέπεσον εἰς τὴν τῶν Περσῶν στρατοπεδείαν, προκαθηγουμένου τοῦ Λεωνίδου. οἱ δὲ βάρβαροι διά

διά τε τὸ παράδοξον καὶ τὴν ἄγνοιαν μετὰ πολλοῦ θορύβου συνέτρεχον ἐκ τῶν σκηνῶν ἀτάκτως, καὶ νομίσαντες τοὺς μετὰ τοῦ Τραχινίου πορευομένους ἀπολωλέναι, καὶ τὴν δύναμιν ἅπασαν τῶν Ἑλλήνων παρεῖναι, κατεπλάγησαν. διὸ καὶ πολλοὶ μὲν ὑπὸ τῶν περὶ τὸν Λεωνίδην ἀνῃροῦντο, πλείους δὲ ὑπὸ τῶν ἰδίων, ὡς ὑπὸ πολεμίων, διὰ τὴν ἄγνοιαν ἀπώλλυντο. ἥ τε γὰρ νὺξ ἀφῄρητο τὴν ἀληθινὴν ἐπίγνωσιν, ἥ τε ταραχὴ καθ᾽ ὅλην οὖσα τὴν στρατοπεδείαν, εὐλόγως πολὺν ἐποίει φόνον. ἔκτεινον γὰρ ἀλλήλους, οὐ διδούσης τῆς περιστάσεως τὸν ἐξετασμὸν ἀκριβῆ· διὰ τὸ μήτε ἡγεμόνος παραγγελίαν, μήτε συνθήματος ἐρώτησιν, μήτε ὅλως διανοίας κατάστασιν ὑπάρχειν. εἰ μὲν οὖν ὁ βασιλεὺς ἔμεινεν ἐπὶ τῆς βασιλικῆς σκηνῆς, ῥᾳδίως ἂν καὶ αὐτὸς ὑπὸ τῶν Ἑλλήνων ἀνῄρειτο, καὶ ὁ πόλεμος ἅπας ταχείας ἂν ἐτετεύχει καταλύσεως· νῦν δ᾽ ὁ μὲν Ξέρξης ἦν ἐκπεπηδηκὼς πρὸς τὴν ταραχήν, οἱ δ᾽ Ἕλληνες εἰσπεσόντες εἰς τὴν σκηνήν, τοὺς ἐγκαταλειφθέντας ἐν αὐτῇ σχεδὸν ἅπαντας ἐφόνευσαν. τῆς δὲ νυκτὸς καθεστώσης ἐπλανῶντο καθ᾽ ὅλην τὴν παρεμβολήν, ζητοῦντες τὸν Ξέρξην εὐλόγως. ἡμέρας δὲ γενομένης καὶ τῆς ὅλης περιστάσεως δηλωθείσης, οἱ μὲν Πέρσαι θεωροῦντες ὀλίγους ὄντας τοὺς Ἕλληνας, κατεφρόνησαν αὐτῶν, καὶ κατὰ στόμα μὲν οὐ συνεπλέκοντο, φοβούμενοι τὰς ἀρετὰς αὐτῶν· ἐκ δὲ τῶν πλαγίων καὶ ἐξόπισθεν περιϊστάμενοι, καὶ πανταχόθεν τοξεύοντες καὶ ἀκοντίζοντες, ἅπαντας ἀπέκτειναν. οἱ μὲν οὖν μετὰ Λεωνίδου τὰς ἐν Θερμοπύλαις παρόδους τηροῦντες, τοιοῦτον ἔσχον τοῦ βίου τὸ τέλος. magna Persarum multitudine, occubuere.

ιά. Ὧν τὰς ἀρετὰς τίς οὐκ ἂν θαυμάσειεν; οἵτινες μιᾷ γνώμῃ χρησάμενοι, τὴν μὲν ἀφωρισμένην τάξιν ὑπὸ τῆς Ἑλλάδος οὐκ ἔλιπον, τὸν ἑαυτῶν δὲ βίον προθύμως ἐπέδωκαν εἰς τὴν κοινὴν τῶν Ἑλλήνων σωτηρίαν· καὶ μᾶλλον εἵλοντο τελευτᾶν καλῶς ἢ ζῆν αἰσχρῶς. καὶ τὴν τῶν Περσῶν δὲ κατάπληξιν οὐκ ἄν τις ἀπιστήσαι γενέσθαι. τίς γὰρ ἂν τῶν βαρβάρων ὑπέλαβε τὸ γεγενημένον; τίς δ᾽ ἂν προσεδόκησεν ὅτι πεντακόσιοι τὸν ἀριθμὸν ὄντες ἐτόλμησαν ἐπιθέσθαι ταῖς ἑκατὸν μυριάσι; διὸ καὶ τίς οὐκ ἂν τῶν μεταγενεστέρων ζηλώσαι τὴν ἀρετὴν τῶν Laudes justæ his vindicatæ.

τῶν ἀνδρῶν, οἵτινες τῷ μεγέθει τῆς περιςάσεως κατεσχημένοι, τοῖς μὲν σώμασι κατεπονήθησαν, ταῖς δὲ ψυχαῖς ȣ̓χ ἡττήθησαν· τοιγαρȣ̃ν ȣ̓͂τοι μόνοι τῶν μνημονευομένων, κρατηθέντες ἐνδοξότεροι γεγόνασι τῶν ἄλλων τῶν τὰς καλλίςας νίκας ἀπενηνεγμένων. χρὴ γὰρ ȣ̓κ ἐκ τῶν ἀποτελεσμάτων κρίνειν τȣ̀ς ἀγαθȣ̀ς ἄνδρας, ἀλλ' ἐκ τῆς προαιρέσεως· τȣ̃ μὲν γὰρ ἡ τύχη κυρία, τȣ̃ δ' ἡ προαίρεσις δοκιμάζεται. τίς γὰρ ἂν ἐκείνων ἀμείνȣς ἄνδρας κρίνειεν, οἵτινες ȣ̓δὲ τῷ χιλιοςῷ μέρει τῶν πολεμίων ἴσοι τὸν ἀριθμὸν ὄντες, ἐτόλμησαν τοῖς ἀπιςȣμένοις πλήθεσι παρατάξαι τὴν ἑαυτῶν ἀρετήν; ȣ̓ κρατήσειν τῶν τοσȣ́των μυριάδων ἐλπίζοντες, ἀλλ' ἀνδραγαθίᾳ τȣ̀ς πρὸ αὐτῶν ἅπαντας ὑπερβαλεῖν νομίζοντες· καὶ τὴν μὲν μάχην αὐτοῖς εἶναι κρίνοντες πρὸς τȣ̀ς βαρβάρȣς, τὸν ἀγῶνα δὲ καὶ τὴν ὑπὲρ τῶν ἀριςείων κρίσιν πρὸς ἅπαντας τȣ̀ς ἐπ' ἀρετῇ θαυμαζομένȣς ὑπάρχειν. μόνοι γὰρ τῶν ἐξ αἰῶνος μνημονευομένων εἵλοντο μᾶλλον τηρεῖν τȣ̀ς τῆς πόλεως νόμȣς, ἢ τὰς ἰδίας ψυχάς· ȣ̓ δυσφορȣ̃ντες ἐπὶ τῷ μεγίςȣς ἑαυτοῖς ἐφεςάναι κινδύνȣς, ἀλλὰ κρίνοντες εὐκταιότατον εἶναι τοῖς ἀρετὴν ἀσκȣ̃σι τοιȣ́των ἀγώνων τυγχάνειν. δικαίως δ' ἂν τις τȣ́τȣς καὶ τῆς κοινῆς τῶν Ἑλλήνων ἐλευθερίας αἰτίȣς ἡγήσαιτο, ἢ τȣ̀ς ὕςερον ἐν ταῖς πρὸς Ξέρξην μάχαις νικήσαντας. τȣ́των γὰρ τῶν πραξέων μνημονεύοντες οἱ μὲν βάρβαροι κατεπλάγησαν, οἱ δὲ Ἕλληνες παρωξύνθησαν πρὸς τὴν ὁμοίαν ἀνδραγαθίαν· καθόλȣ δὲ μόνοι τῶν πρὸ ἑαυτῶν διὰ τὴν ὑπερβολὴν τῆς ἀρετῆς εἰς ἀθανασίαν μετήλλαξαν. διόπερ ȣ̓χ οἱ τῶν ἱςοριῶν συγγραφεῖς μόνοι, ἀλλὰ καὶ πολλοὶ τῶν ποιητῶν καθύμνησαν αὐτῶν τὰς ἀνδραγαθίας. ὧν γέγονε καὶ Σιμωνίδης ὁ μελοποιὸς, ἄξιον τῆς ἀρετῆς αὐτῶν ποιήσας ἐγκώμιον, ἐν ᾧ λέγει·

"Τῶν ἐν Θερμοπύλαις θανόντων εὐκλεὴς μὲν ἁ "τύχα, καλὸς δ' ὁ πότμος, βωμὸς δ' ὁ τάφος· προγό"νων δὲ μνᾶστις· ὁ δ' οἶτος ἔπαινος. ἐντάφιον δὲ τοιȣ̃"τον ȣ̓͂τ' εὐρὼς, ȣ̓͂θ' ὁ πανδαμάτωρ ἀμαυρώσει χρόνος, "ἀνδρῶν ἀγαθῶν. ὁ δὲ σηκὸς οἰκετᾶν εὐδοξίαν Ἑλλά"δος εἵλατο. μαρτυρεῖ δὲ Λεωνίδας ὁ Σπάρτας βασι"λεὺς, ἀρετᾶς μέγαν λελοιπὼς κόσμον, ἀέναόν τε κλέος."

ιβ'. Ἡ-

ιβ΄. Ἡμεῖς δὲ ἀκρέντως περὶ τῆς τϛτων τῶν ἀνδρῶν ἀρετῆς εἰρηκότες, ἐπάνιμεν ἐπὶ τὰ συνεχῆ τοῖς εἰρημένοις. Ξέρξης γὰρ τῶν παρόδων τὸν εἰρημένον τρόπον κρατήσας, καὶ, κατὰ τὴν παροιμίαν, τὴν Καδμείαν νίκην νενικηκὼς, ὀλίγϛς μὲν τῶν πολεμίων ἀνεῖλε, πολλαπλασίϛς δὲ τῶν ἰδίων ἀπώλεσεν. ἐπεὶ δὲ πεζῆ τῶν παρόδων ἐκυρίευσε, τῶν κατὰ τὴν θάλασσαν ἀγώνων ἔκρινε λαμβάνειν πεῖραν. εὐθὺς ἕν τὸν ἀφηγϛμενον τϛ ςόλϛ Μεγαβάτην προσκαλεσάμενος, διεκελεύσατο πλεῖν ἐπὶ τὸ τῶν Ἑλλήνων ναυτικὸν, καὶ πειρᾶσθαι παντὶ τῷ ςόλῳ ναυμαχεῖν πρὸς τϛς Ἕλληνας. ὁ δὲ ταῖς τϛ βασιλέως παραγγελίαις ἀκολϛθῶν, ἐκ Πύδνης τῆς Μακεδονικῆς ἀνήχθη παντὶ τῷ ςόλῳ, καὶ κατέπλευσε τῆς Μαγνησίας πρὸς ἄκραν τὴν ὀνομαζομένην Σηπιάδα. ἐνταῦθα δὲ μεγάλϛ πνεύματος ἐπιγενομένϛ, ἀπέβαλε ναῦς μακρὰς, τριήρεις μὲν ὑπὲρ τὰς τριακοσίας, ἱππαγωγϛς δὲ καὶ τῶν ἄλλων παμπληθεῖς. λήξαντος δὲ τϛ πνεύματος ἀναχθεὶς κατέπλευσεν εἰς Ἀφέτας τῆς Μαγνησίας. ἐκεῖθεν δὲ τριακοσίας τριήρεις ἐξέπεμψε, προστάξας τοῖς ἡγεμόσι περιπλεῦσαι, καὶ τὴν Εὔβοιαν δεξιὰν λαβόντας, κυκλώσασθαι τϛς πολεμίϛς. οἱ δ' Ἕλληνες ὥρμϛν μὲν ἐπ' Ἀρτεμισίῳ τῆς Εὐβοίας, εἶχον δὲ τὰς πάσας τριήρεις διακοσίας καὶ ὀγδοήκοντα· καὶ τϛτων ἦσαν αὐτῶν μὲν Ἀθηναίων ἑκατὸν καὶ τετταράκοντα, αἱ δὲ λοιπαὶ τῶν ἄλλων Ἑλλήνων. τϛτων δὲ ναύαρχος μὲν Εὐρυβιάδης ὁ Σπαρτιάτης· διῴκει δὲ τὰ περὶ τὸν ςόλον Θεμιςοκλῆς ὁ Ἀθηναῖος. ἕτος γὰρ διὰ σύνεσιν καὶ ςρατηγίαν μεγάλης ἀποδοχῆς ἐτύγχανεν, ἐ μόνον ἐν τοῖς κατὰ τὸ ναυτικὸν Ἕλλησιν, ἀλλὰ καὶ παρ' αὐτῷ τῷ Εὐρυβιάδῃ, καὶ πάντες τϛτῳ προσέχοντες προθύμως ὑπήκϛον. προτεθείσης δὲ βϛλῆς ἐν τοῖς τῶν νεῶν ἡγεμόσι περὶ τῆς ναυμαχίας, οἱ μὲν ἄλλοι πάντες τὴν ἡσυχίαν ἔκριναν ἔχειν, καὶ τὸν ἐπίπλϛν τῶν πολεμίων ἀναδέχεσθαι· μόνος δὲ Θεμιςοκλῆς τὴν ἐναντίαν ἀπεκρίνατο γνώμην, διδάσκων ὅτι συμφέρει ἀεὶ τῷ ςόλῳ συντεταγμένῳ πλεῖν ἐπὶ τϛς πολεμίϛς· ἕτω γὰρ αὐτϛς πλεονεκτήσειν ἀθρόαις ταῖς ναυσὶν ἐπιπλέοντας τοῖς διὰ τὴν ταραχὴν διεσπασμένην ἔχϛσι τὴν τάξιν, ὡς ἂν ἐκ πολλῶν

Ita transitu potitus Xerxes. Quo facto navalis etiam pugna initur.

Classis Græcorum ad Artemisium duce Eurybiade, auspiciis Themistoclis, Persas adoritur.

λῶν καὶ διεστηκότων λιμένων ἐκπλέουσι. τέλος δὲ κατὰ τὴν Θεμιστοκλέους κρίσιν οἱ Ἕλληνες παντὶ τῷ στόλῳ τοῖς πολεμίοις ἐπέπλευσαν. τῶν δὲ βαρβάρων ἐκ πολλῶν λιμένων ἀναγομένων, τὸ μὲν πρῶτον οἱ περὶ τὸν Θεμιστοκλέα διεσπαρμένοις τοῖς Πέρσαις συμπλεκόμενοι, πολλὰς μὲν ναῦς κατέδυσαν, οὐκ ὀλίγας δὲ φυγεῖν ἀναγκάσαντες, μέχρι τῆς γῆς κατεδίωξαν· μετὰ δὲ ταῦτα παντὸς τοῦ στόλου συναχθέντος, καὶ γενομένης ναυμαχίας ἰσχυρᾶς, μέρει μὲν τῶν νεῶν ἑκάτεροι ἐπροτέρησαν, οὐδέτεροι δὲ ὁλοσχερεῖ νίκῃ πλεονεκτήσαντες, νυκτὸς ἐπιλαβούσης διελύθησαν.

Pugna nocte interrupta; victoria dubia.

Oborta tempestas Persarum classi magnam infert stragem.

ιγ΄. Μετὰ δὲ τὴν ναυμαχίαν χειμὼν ἐπιγενόμενος μέγας πολλὰς ἐκτὸς τοῦ λιμένος ὁρμούσας τῶν νεῶν διέφθειρεν· ὥστε δοκεῖν τὸ θεῖον ἀντιλαμβάνεσθαι τῶν Ἑλλήνων, ἵνα τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν ταπεινωθέντος, ἀντίπαλος ἡ τῶν Ἑλλήνων δύναμις γένηται, καὶ πρὸς τὰς ναυμαχίας ἀξιόχρεως. διόπερ οἱ μὲν Ἕλληνες ἀεὶ μᾶλλον ἐθάῤῥουν, οἱ δὲ βάρβαροι ἀεὶ πρὸς τοὺς κινδύνους ἐγίνοντο δειλότεροι. οὐ μὴν ἀλλ' ἀναλαβόντες αὐτοὺς ἐκ τῆς ναυαγίας, ἁπάσαις ταῖς ναυσὶν ἀνήχθησαν ἐπὶ τοὺς πολεμίους. οἱ δ' Ἕλληνες προσγενομένων αὐτοῖς τριηρῶν πεντήκοντα Ἀττικῶν, ἀντιπαρετάχθησαν τοῖς βαρβάροις. ἦν δ' αὐτῶν ἡ ναυμαχία παραπλήσιος ταῖς περὶ τὰς Θερμοπύλας μάχαις. οἱ μὲν γὰρ Πέρσαι διεγνώκεισαν βιάσασθαι τοὺς Ἕλληνας, καὶ τὸν Εὔριπον διεκπλεῦσαι· οἱ δ' Ἕλληνες ἐμφράξαντες τὰ στενὰ τῶν ἐντὸς τῆς Εὐβοίας συμμαχέντων. γενομένης δὲ ναυμαχίας ἰσχυρᾶς, πολλαὶ νῆες παρ' ἀμφοτέρων διεφθάρησαν, καὶ νυκτὸς ἐπιγενομένης ἠναγκάσθησαν ἀνακάμπτειν ἐπὶ τοὺς οἰκείους λιμένας. ἀριστεῦσαι δὲ ἐν ἀμφοτέραις ταῖς ναυμαχίαις φασί, παρὰ μὲν τοῖς Ἕλλησιν Ἀθηναίους, παρὰ δὲ τοῖς βαρβάροις Σιδωνίους. μετὰ δὲ ταῦτα οἱ Ἕλληνες ἀκούσαντες τὰ περὶ Θερμοπύλας γενόμενα, πυθόμενοι δὲ καὶ τοὺς Πέρσας πεζῇ προάγειν ἐπὶ τὰς Ἀθήνας, ἠθύμησαν. διόπερ ἀποπλεύσαντες εἰς Σαλαμῖνα, διέτριβον ἐνταῦθα. οἱ δ' Ἀθηναῖοι θεωροῦντες πανδημεὶ κινδυνεύοντας τοὺς ἐν ταῖς Ἀθήναις, τέκνα μὲν καὶ γυναῖκας, τῶν τε ἄλλων χρησίμων ὅσα δυνατὸν

τὸν ἦν, ἐις τὰς ναῦς ἐνθέντες, διεκόμισαν ἐις Σαλαμῖνα. ὁ δὲ τῶν Περσῶν ναύαρχος πυθόμενος τὸν τῶν πολεμίων ἀπόπλϐν, κατῆρεν ἐις τὴν Ἔυβοιαν μετὰ παντὸς τϐ͂ ϛόλϐ, καὶ τὴν τῶν Ἱϛιαιέων πόλιν βίᾳ χειρωσάμενος καὶ διαρπάσας τὴν χώραν ἀυτῶν ἐδῄωσεν.

Terrestri itinere Xerxes a Thermopylis usque in Atticam progressus, omnia vastat.

ιδ. Ἅμα δὲ τϐ́τοις πραττομένοις Ξέρξης ἀπὸ τῶν Θερμοπυλῶν ἀναζεύξας, προῆγε διὰ τῆς Φωκέων χώρας, πορθῶν μὲν τὰς πόλεις, καταφθείρων δὲ τὰς ἐπὶ τῆς χώρας κτήσεις. ὁι δὲ Φωκεῖς μετὰ τῶν Ἑλλήνων ᾑρημένοι, καὶ θεωρϐ͂ντες ἀυτϐ̀ς ἐκ ἀξιομάχϐς ὄντας, τὰς μὲν πόλεις ἁπάσας ἐξέλιπον πανδημεὶ, πρὸς δὲ τὰς δυσχωρίας τὰς ἐν τῷ Παρνασσῷ κατέφυγον. μετὰ δὲ ταῦτα ὁ βασιλεὺς τὴν μὲν τῶν Δωριέων χώραν διεξιὼν, ϐ̓δὲν ἠδίκει· (συνεμάχϐν γὰρ Πέρσαις) ἀυτὸς δὲ μέρος μὲν δυνάμεως ἀπέλιπε, καὶ προσέταξεν ἐις Δελφϐ̀ς ἰέναι, καὶ τὸ μὲν τέμενος τϐ͂ Ἀπόλλωνος ἐμπρῆσαι, τὰ δὲ ἀναθήματα συλῆσαι. ἀυτὸς δὲ μετὰ τῶν ἄλλων βαρβάρων προελθὼν ἐις τὴν Βοιωτίαν κατεϛρατοπέδευσεν. ὁι δ' ἐπὶ τὴν σύλησιν τϐ͂ μαντείϐ πεμφθέντες, προῆλθον μὲν μέχρι τϐ͂ ναϐ͂ τῆς Προναίας Ἀθηνᾶς· ἐνταῦθα δὲ παραδόξων ὄμβρων καὶ μεγάλων κεραυνῶν πολλῶν ἐκ τϐ͂ περιέχοντος πεσόντων, πρὸς δὲ τϐ́τοις τῶν χειμώνων πέτρας μεγάλας ἀπορρηξάντων ἐις τὸ ϛρατόπεδον τῶν βαρβάρων, συνέβη διαφθαρῆναι συχνϐ̀ς τῶν Περσῶν, πάντας δὲ καταπλαγέντας τὴν τῶν θεῶν ἐνέργειαν, φυγεῖν ἐκ τῶν τόπων. τὸ μὲν ϐ̓͂ν ἐν Δελφοῖς μαντεῖον δαιμονίᾳ τινὶ προνοίᾳ τὴν σύλησην διέφυγεν· ὁι δὲ Δελφοὶ τῆς τῶν θεῶν ἐπιφανείας ἀθάνατον ὑπόμνημα καταλιπεῖν τοῖς μεταγενεϛέροις βϐλόμενοι, τρόπαιον ἔϛησαν παρὰ τὸ τῆς Προναίας Ἀθηνᾶς ἱερὸν, ἐν ᾧ τόδε τὸ ἐλεγεῖον ἐνέγραψαν·

Μνᾶμά τ' ἀλεξάνδρϐ πολέμϐ καὶ μάρτυρα νίκας
  Δελφοί με ϛᾶσαν, Ζανὶ χαριζόμενοι,
Σὺν Φοίβῳ· πτολίπορθον ἀπωσάμενοι ϛίχα Μήδων,
  Καὶ χαλκοϛέφανον ῥυσάμενοι τέμενος.

Ξέρξης δὲ διὰ τῆς Βοιωτίας διεξιὼν, τὴν μὲν τῶν Θεσπιέων χώραν κατέφθειρε, τὰς δὲ Πλαταιὰς ἐρήμϐς ϐ̓͂σας ἐνέπρησεν. ὁι γὰρ ἐν ταῖς πόλεσι ταύταις κατοικϐ͂ντες

κοῦντες ἐπεφεύγεισαν εἰς Πελοπόννησον πανδημεί. μετὰ δὲ ταῦτα εἰς τὴν Ἀττικὴν ἐμβαλόντες, τὴν μὲν χώραν ἐδῄωσαν, τὰς δὲ Ἀθήνας κατέσκαψαν, καὶ τοὺς τῶν θεῶν ναοὺς ἐνέπρησαν. τοῦ δὲ βασιλέως περὶ ταῦτα διατρίβοντος, κατέπλευσεν ὁ στόλος ἐκ τῆς Εὐβοίας εἰς τὴν Ἀττικὴν, πεπορθηκὼς τήν τε Εὔβοιαν καὶ τὴν παράλιον τῆς Ἀττικῆς.

Græcorum consilia diversa de ineunda pugna navali.

ιέ. Κατὰ δὲ τοῦτον τὸν καιρὸν Κερκυραῖοι μὲν πληρώσαντες ἑξήκοντα τριήρεις διέτριβον περὶ τὴν Πελοπόννησον· ὡς μὲν αὐτοί φασιν, οὐ δυνάμενοι κάμψαι τὸ περὶ Μαλέαν ἀκρωτήριον, ὡς δέ τινες τῶν συγγραφέων ἱστοροῦσι, καραδοκοῦντες τὰς τοῦ πολέμου ῥοπὰς, ὅπως Περσῶν μὲν κρατησάντων, ἐκείνοις δώσειν ὕδωρ καὶ γῆν, τῶν δ' Ἑλλήνων νικώντων δόξωσιν αὐτοῖς βεβοηθηκέναι. οἱ δὲ περὶ τὴν Σαλαμῖνα διατρίβοντες Ἀθηναῖοι, θεωροῦντες τὴν Ἀττικὴν πυρπολουμένην, καὶ τὸ τέμενος τῆς Ἀθηνᾶς ἀκούοντες κατεσκάφθαι, δεινῶς ἠθύμουν. ὁμοίως δὲ καὶ τοὺς ἄλλους Ἕλληνας πολὺς κατεῖχε φόβος, πανταχόθεν συνεληλαμένους εἰς αὐτὴν τὴν Πελοπόννησον. ἔδοξεν οὖν αὐτοῖς πάντας τοὺς ἐφ' ἡγεμονίας τεταγμένους συνεδρεῦσαι, καὶ βουλεύσασθαι κατὰ ποίους τόπους συμφέρει πεποιῆσθαι τὴν ναυμαχίαν. πολλῶν δὲ καὶ ποικίλων ῥηθέντων οἱ μὲν Πελοποννήσιοι τῆς ἰδίας μόνον ἀσφαλείας φροντίζοντες, ἔφασαν δεῖν περὶ τὸν Ἰσθμὸν συστήσασθαι τὸν ἀγῶνα. τετειχισμένου γὰρ αὐτοῦ καλῶς, ἐάν τι περὶ τὴν ναυμαχίαν γένηται πταῖσμα, δυνήσεσθαι τοὺς ἠτυχηκότας εἰς ἑτοιμοτάτην ἀσφάλειαν καταφυγεῖν τὴν Πελοπόννησον· ἐὰν δὲ συγκλείσωσιν ἑαυτοὺς εἰς μικρὰν νῆσον τὴν Σαλαμῖνα, δυσβοηθήτοις κακοῖς περιπεσεῖσθαι.

Aptissimum locum ad Salaminem esse Themistocles censet.

Θεμιστοκλῆς δὲ συνεβούλευσε περὶ τὴν Σαλαμῖνα ποιεῖσθαι τὸν ἀγῶνα τῶν νεῶν. πολλὰ γὰρ πλεονεκτήσειν ἐν ταῖς στενοχωρίαις τοὺς ὀλίγοις σκάφεσι διαγωνιζομένους πρὸς πολλαπλασίας ναῦς. καθόλου δὲ τὸν περὶ τὸν Ἰσθμὸν τόπον ἀπεφαίνετο παντελῶς ἄθετον ἔσεσθαι πρὸς τὴν ναυμαχίαν. ἔσεσθαι γὰρ πελάγιον τὸν ἀγῶνα, καὶ τοὺς Πέρσας διὰ τὴν εὐρυχωρίαν ῥᾳδίως καταπονήσεσθαι τὰς ὀλίγας ναῦς ταῖς πολλαπλασίαις. ὁμοίως δὲ καὶ ἄλλα πολλὰ διαλεχθεὶς οἰ-

κεῖα

κεῖα τῆς περιστάσεως, ἅπαντας ἔπεισεν αὐτῷ συμψήφους γενέσθαι τοῦτον τὸν τρόπον.

ις'. Τέλος δὲ κοινοῦ δόγματος γενομένου περὶ Σαλαμῖνα ναυμαχεῖν, οἱ μὲν Ἕλληνες παρεσκευάζοντο τὰ πρὸς τοὺς Πέρσας καὶ πρὸς τὸν κίνδυνον. ὁ δ' οὖν Εὐρυβιάδης, παραλαβὼν τὸν Θεμιστοκλέα, παρακαλεῖν ἐπεχείρει τὰ πλήθη, καὶ προτρέπεσθαι πρὸς τὸν ἐπιφερόμενον κίνδυνον. οὐ μὴν τὸ πλῆθος ὑπήκουεν, ἀλλὰ πάντων καταπεπληγμένων τὸ μέγεθος τῶν Περσικῶν δυνάμεων, οὐδεὶς προσεῖχε ἡγεμόσιν, ἀλλ' ἕκαστος ἐκ τῆς Σαλαμῖνος ἐκπλεῖν ἔσπευδεν εἰς τὴν Πελοπόννησον. οὐδὲν δ' ἧττον καὶ τὸ πεζικὸν στρατόπεδον τῶν Ἑλλήνων ἐδεδίει τὰς τῶν πολεμίων δυνάμεις· ἥ τε τῶν περὶ Θερμοπύλας ἀπώλεια τῶν ἀξιολογωτάτων ἀνδρῶν παρείχετο κατάπληξιν, καὶ τὰ περὶ τὴν Ἀττικὴν συμπτώματα πρὸ ὀφθαλμῶν ὄντα πολλὴν ἀθυμίαν ἐνεποίει τοῖς Ἕλλησιν. οἱ δὲ σύνεδροι τῶν Ἑλλήνων, ὁρῶντες τὴν τῶν ὄχλων ταραχὴν καὶ τὴν ὅλην ἔκπληξιν, ἐψηφίσαντο διατειχίζειν τὸν Ἰσθμόν. καὶ ταχὺ τῶν ἔργων συντελεσθέντων, διὰ τὴν προθυμίαν καὶ τὸ πλῆθος τῶν ἐργαζομένων, οἱ μὲν Πελοποννήσιοι ὠχύρουν τὸ τεῖχος, διατεῖνον ἐπὶ σταδίους τετταράκοντα, ἀπὸ Λεχαίου μέχρι Κεγχρεῶν· οἱ δ' ἐν τῇ Σαλαμῖνι διατρίβοντες μετὰ παντὸς τοῦ στόλου, κατεπλάγησαν ἐπὶ τοσοῦτον, ὥστε μηκέτι πειθαρχεῖν τοῖς ἡγεμόσιν.

Interea pavor omnes occupat & in Peloponnesum convertit,

quam muro muniunt.

ιζ'. Ὁ δὲ Θεμιστοκλῆς ὁρῶν τὸν μὲν ναύαρχον Εὐρυβιάδην μὴ δυνάμενον περιγενέσθαι τῆς τοῦ πλήθους ὁρμῆς, τὰς δὲ περὶ Σαλαμῖνα δυσχωρίας δύνασθαι πολλὰ συμβαλέσθαι πρὸς τὴν νίκην, ἐμηχανήσατό τι τοιοῦτον· ἔπεισε τινὰ πρὸς τὸν Ξέρξην αὐτομολῆσαι, καὶ διαβεβαιώσασθαι, διότι μέλλουσιν αἱ κατὰ Σαλαμῖνα νῆες ἀποδιδράσκειν ἐκ τῶν τόπων, καὶ πρὸς τὸν Ἰσθμὸν ἀθροίζεσθαι. διόπερ ὁ βασιλεὺς διὰ τὴν πιθανότητα τῶν προσαγγελθέντων πιστεύσας, ἔσπευδε κωλῦσαι τὰς ναυτικὰς δυνάμεις τῶν Ἑλλήνων τοῖς πεζοῖς στρατοπέδοις πλησιάζειν. εὐθὺς οὖν τὸ τῶν Αἰγυπτίων ναυτικὸν ἐξέπεμψε, προστάξας ἐμφράττειν τὸν μεταξὺ πόρον τῆς τε Σαλαμῖνος καὶ τῆς Μεγαρίδος χώρας· τὸ δὲ ἄλλο πλῆθος τῶν νεῶν ἐξέπεμψεν ἐπὶ τὴν Σαλαμῖνα, προστάξας ἐξάπτεσθαι τῶν πολεμίων,

Themistocles Xerxem falso nuntio decipit, & ad pugnam navalem exoptato loco committendam impellit,

καὶ

καὶ ναυμαχίᾳ κρίνειν τὸν ἀγῶνα. ἦσαν δὲ αἱ τριήρεις διατεταγμέναι κατὰ ἔθνος, ἑξῆς, ἵνα διὰ ὁμοφωνίαν καὶ γνῶσιν προθύμως ἀλλήλοις βοηθῶσιν. ὅτω δὲ ταχθέντος τοῦ ναυτικοῦ στόλου, τὸ μὲν δεξιὸν κέρας ἐπεῖχον Φοίνικες, τὸ δ' εὐώνυμον οἱ μετὰ τῶν Περσῶν ὄντες Ἕλληνες. οἱ δὲ τῶν Ἰώνων ἡγεμόνες ἀπέστειλαν ἄνδρα Σάμιον πρὸς τοὺς Ἕλληνας, τὸν διασαφήσοντα περὶ τῶν δεδογμένων τῷ βασιλεῖ, καὶ περὶ τῆς ὅλης ἐκτάξεως, καὶ διότι κατὰ τὴν μάχην ἀποστήσονται τῶν βαρβάρων. τοῦ δὲ Σαμίου λάθρα διανηξαμένου, καὶ περὶ τούτου διασαφήσαντος τοῖς περὶ τὸν Εὐρυβιάδην, ὁ μὲν Θεμιστοκλῆς, κατὰ νοῦν αὐτῷ προκεχωρηκότος τοῦ στρατηγήματος, περιχαρὴς ἦν, καὶ τὰ πλήθη παρεκάλεσεν εἰς τὸν κίνδυνον· οἱ δ' Ἕλληνες ἐπὶ τῇ τῶν Ἰώνων ἐπαγγελίᾳ θαῤῥήσαντες, καὶ τῆς περιστάσεως βιαζομένης αὐτοὺς παρὰ τὴν ἰδίαν προαίρεσιν ναυμαχεῖν, ἀπὸ τῆς Σαλαμῖνος προθύμως συγκατέβαινον εἰς τὴν ναυμαχίαν.

clam accepto per Jones de ipsorum defectione nuntio.

ιη. Τέλος δὲ τῶν περὶ τὸν Εὐρυβιάδην καὶ Θεμιστοκλέα διαταξάντων τὰς δυνάμεις, τὸ μὲν εὐώνυμον μέρος ἐπεῖχον Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι, πρὸς τὸ τῶν Φοινίκων ναυτικὸν ἀντιταχθησόμενοι· (μεγάλην γὰρ οἱ Φοίνικες ὑπεροχὴν εἶχον, διά τε τὸ πλῆθος καὶ διὰ τὴν ἐκ προγόνων ἐν τοῖς ναυτικοῖς ἔργοις ἐμπειρίαν) Αἰγινῆται δὲ καὶ Μεγαρεῖς τὸ δεξιὸν κέρας ἀνεπλήρουν· (οὗτοι γὰρ ἐδόκουν εἶναι ναυτικώτατοι μετὰ τοὺς Ἀθηναίους, καὶ μάλιστα φιλοτιμηθήσεσθαι, διὰ τὸ μόνους τῶν Ἑλλήνων μηδεμίαν ἔχειν καταφυγὴν, εἴ τι συμβαίη πταῖσμα κατὰ τὴν ναυμαχίαν) τὴν δὲ μέσην τάξιν ἐπεῖχε τὸ λοιπὸν τῶν Ἑλλήνων πλῆθος. οὗτοι μὲν οὖν τοῦτον τὸν τρόπον συνταχθέντες ἐξέπλευσαν, καὶ τὸν πόρον μεταξὺ Σαλαμῖνος καὶ Ἡρακλείου κατεῖχον. ὁ δὲ βασιλεὺς τῷ μὲν ναυάρχῳ προσέταξεν ἐπιπλεῖν τοῖς πολεμίοις, αὐτὸς δ' εἰς τὸν ἐναντίον τόπον τῆς Σαλαμῖνος παρῆλθεν, ἐξ οὗ θεωρεῖν ἦν τὴν ναυμαχίαν γινομένην. οἱ δὲ Πέρσαι τὸ μὲν πρῶτον πλέοντες διετήρουν τὴν τάξιν, ἔχοντες πολλὴν εὐρυχωρίαν· ὡς δ' εἰς τὸ στενὸν ἦλθον, ἠναγκάζοντο τῶν νεῶν τινας ἀπὸ τῆς τάξεως ἀποσπᾷν, καὶ πολὺν ἐποίουν θόρυβον. ὁ δὲ ναύαρχος προηγούμενος τῆς τάξεως καὶ πρῶτος συνάψας μά-

Pugna committitur ad Salaminem,

μάχην, διεφθάρη, λαμπρῶς ἀγωνισάμενος· τῆς δὲ νεὼς βυθισθείσης, ταραχὴ κατέσχε τὸ ναυτικὸν τῶν βαρβάρων. πολλοὶ μὲν γὰρ ἦσαν οἱ προστάττοντες, ὐ ταυτὰ δ᾽ ἕκαςος παρήγγελλε· διὸ καὶ τῦ πλεῖν εἰς τὔμπροσθεν ἐπέσχον, ἀνακωχεύοντες δ᾽ ἀνεχώρυν εἰς τὴν εὐρυχωρίαν. οἱ δὲ Ἀθηναῖοι θεωρῦντες τὴν ταραχὴν τῶν βαρβάρων, ἐπέπλεον τοῖς πολεμίοις, καὶ τὰς μὲν τοῖς ἐμβόλοις ἔτυπτον, ὧν δὲ τὺς ταρσὺς παρέσυρον. τῆς δ᾽ εἰρεσίας ὐχ ὑπηρετύσης, πολλαὶ τῶν Περσῶν τριήρεις πλάγιαι γινόμεναι ταῖς ἐμβολαῖς, πυκνῶς κατετιτρώσκοντο. διὸ καὶ πρύμναν μὲν ἀνακρύεθαι κατέπαυσαν, εἰς τὐπίσω δὲ πλέυσαι προτροπάδην ἔφευγον.

ιθ΄. Τῶν δὲ Φοινισσῶν καὶ Κυπρίων νεῶν ὑπὸ τῶν Ἀθηναίων χειρυμένων, αἱ τῶν Κιλίκων καὶ Παμφύλων ἔτι δὲ καὶ Λυκίων νῆες ἐχόμεναι τύτων ὖσαι, τὸ μὲν πρῶτον εὐρώςως ἀντείχοντο. ὡς δ᾽ εἶδον τὰς κρατίςας ναῦς πρὸς φυγὴν ὡρμημένας, καὶ αὐταὶ τὸν κίνδυνον ἐξέλιπον. ἐπὶ δὲ θατέρυ κέρατος γενομένης καρτερᾶς ναυμαχίας, μέχρι μέν τινος ἰσόῤῥοπος ἦν ὁ κίνδυνος· ὡς δὲ οἱ Ἀθηναῖοι πρὸς τὴν γῆν καταδιώξαντες τὺς Φοίνικας καὶ Κυπρίυς ἐπέςρεψαν, ἐκβιασθέντες ὑπὸ τύτων ἐτράπησαν οἱ βάρβαροι, καὶ πολλὰς ναῦς ἀπέβαλον. οἱ μὲν ὖν Ἕλληνες τῦτον τὸν τρόπον προτερήσαντες, ἐπιφανεςάτῃ ναυμαχίᾳ τὺς βαρβάρυς ἐνίκησαν. κατὰ δὲ τὸν κίνδυνον διεφθάρησαν ναῦς τῶν μὲν Ἑλλήνων τετταράκοντα, τῶν δὲ Περσῶν ὑπὲρ τὰς διακοσίας, χωρὶς τῶν σὺν αὐτοῖς ἀνδράσι ληφθεισῶν. ὁ δὲ βασιλεὺς παρ᾽ ἐλπίδας ἡττημένος, τῶν μὲν Φοινίκων τῶν ἀρξάντων τῆς φυγῆς τὺς αἰτιωτάτυς ἀπέκτεινε· τοῖς δὲ ἄλλοις ἠπείλησεν ἐπιθήσειν τὴν προσήκυσαν τιμωρίαν. οἱ δὲ Φοίνικες φοβηθέντες τὰς ἀπειλὰς τὸ μὲν πρῶτον εἰς τὴν Ἀττικὴν κατέπλευσαν, τῆς δὲ νυκτὸς ἐπιγενομένης ἀπῆραν εἰς τὴν Ἀσίαν. Θεμιςοκλῆς δὲ, δόξας αἴτιος γενέθαι τῆς νίκης, ἕτερον ὐκ ἔλαττον τύτυ ςρατήγημα ἐπενόησε. φοβυμένων γὰρ τῶν Ἑλλήνων πεζῇ διαγωνίζεθαι, πρὸς τοσαύτας μυριάδας, ἐταπείνωσε πολὺ τὰς δυνάμεις τῶν πεζικῶν ςρατοπέδων τοιῷδέ τινι τρόπῳ. τὸν παιδαγωγὸν τῶν ἰδίων υἱῶν ἀπέςειλε πρὸς τὸν Ξέρξην, δηλώσοντα διότι μέλλυσιν

qua Græci insignem consequuntur victoriam.

σιν οἱ Ἕλληνες πλεύσαντες ἐπὶ τὸ ζεῦγμα λύειν τὴν γέφυραν. διόπερ ὁ βασιλεὺς, πιστεύσας τοῖς λόγοις διὰ τὴν πιθανότητα, περίφοβος ἐγένετο μὴ τῆς εἰς τὴν Ἀσίαν ἐπανόδου στερηθῇ, τῶν Ἑλλήνων θαλαττοκρατούντων. ἔγνω δὲ τὴν ταχίστην διαβαίνειν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν, καταλιπὼν Μαρδόνιον ἐπὶ τῆς Ἑλλάδος μετὰ τῶν ἀρίστων ἱππέων τε καὶ πεζῶν, ὧν ὁ σύμπας ἀριθμὸς ὑπῆρχεν οὐκ ἐλάττων τῶν τετταράκοντα μυριάδων. Θεμιστοκλῆς μὲν οὖν δυσὶ στρατηγήμασι χρησάμενος, μεγάλων προτερημάτων αἴτιος ἐγένετο τοῖς Ἕλλησι. καὶ τὰ μὲν κατὰ τὴν Ἑλλάδα πραχθέντα ἐν τούτοις ἦν.

Rex metuens, ne Græci, mari potiti, abrupto ponte reditum intercluderent, inopinato in regnum revertitur, relicto in Græcia Mardonio.

κ΄. Ἡμεῖς δὲ ἀρκούντως διεληλυθότες περὶ τῶν κατὰ τὴν Εὐρώπην πραχθέντων, μεταβιβάσομεν τὴν διήγησιν ἐπὶ τὰς ἑτερογενεῖς πράξεις. Καρχηδόνιοι γὰρ συντιθέμενοι πρὸς Πέρσας τοῖς αὐτοῖς καιροῖς καταπολεμῆσαι τοὺς κατὰ τὴν Σικελίαν Ἕλληνας, μεγάλας παρασκευὰς ἐποιήσαντο τῶν πρὸς τὸν πόλεμον χρησίμων. ὡς δ᾽ εὐτρεπῆ πάντα αὐτοῖς ὑπῆρχε, στρατηγὸν εἵλοντο Ἀμίλκωνα, τὸν μάλιστα παρ᾽ αὐτοῖς θαυμαζόμενον προκρίναντες. οὗτος δὲ παραλαβὼν πεζικάς τε καὶ ναυτικὰς δυνάμεις μεγάλας, ἐξέπλευσεν ἐκ τῆς Καρχηδόνος, ἔχων πεζὴν μὲν δύναμιν οὐκ ἐλάττω τῶν τριάκοντα μυριάδων, ναῦς δὲ μακρὰς πλείους τῶν δισχιλίων, καὶ χωρὶς δὲ πολλὰς ναῦς φορτίδας τὰς κομιζούσας τὴν ἀγορὰν, ὑπὲρ τὰς τρισχιλίας. οὗτος μὲν οὖν διανύσας τὸ Λιβυκὸν πέλαγος, καὶ χειμασθεὶς, ἀπέβαλε τῶν σκαφῶν τὰ κομίζοντα τοὺς ἱππεῖς καὶ τὰ ἅρματα. καταπλεύσας δὲ τῆς Σικελίας εἰς τὸν ἐν τῷ Πανόρμῳ λιμένα, διαπεπολεμηκέναι τὸν πόλεμον ἔφησε. πεφοβῆσθαι γὰρ μή ποτε ἡ θάλαττα τοὺς Σικελιώτας ἐξέληται τῶν κινδύνων. ἐπὶ δὲ τρεῖς ἡμέρας ἀναλαβὼν τοὺς στρατιώτας, καὶ διορθωσάμενος τὴν ἐν τῷ χειμῶνι γενομένην ναυαγίαν, προῆγε μετὰ τῆς δυνάμεως ἐπὶ τὴν Ἱμέραν, συμπαραπλέοντος τοῦ ναυτικοῦ. ὡς δ᾽ ἦλθε πλησίον τῆς προειρημένης πόλεως, δύο παρεμβολὰς ἔθετο, τὴν μὲν τῷ πεζῷ στρατεύματι, τὴν δὲ τῇ ναυτικῇ δυνάμει· καὶ τὰς μὲν μακρὰς ναῦς ἁπάσας ἐνεώλκησε, καὶ τάφρῳ βαθείᾳ καὶ τείχει ξυλίνῳ περιέλαβε· τὴν δὲ τῶν πεζῶν παρεμβολὴν ὠχύρωσεν, ἀντιπρόσω-

Carthaginienses, e foedere cum Persis facto, Amilcare duce bellum contra Græcos in Sicilia movent.

Eorum terrestres & navales copiæ in Siciliam transvectæ.

Himera primum obsessa.

πον

πον ποιήσας τῇ πόλει, καὶ παρεκτείνας ἀπὸ τοῦ ναυτικοῦ παρατειχίσματος μέχρι τῶν περικειμένων λόφων. καθόλου δὲ πᾶν τὸ πρὸς δυσμὰς μέρος καταλαβόμενος, τὴν μὲν ἀγορὰν ἅπασαν ἐκ τῶν φορτίδων νεῶν ἐξείλετο, τὰ δὲ λοιπὰ ἅπαντα ταχέως ἐξαπέστειλε, προστάξας ἔκ τε τῆς Λιβύης καὶ Σαρδοῦς σῖτον καὶ τὴν ἄλλην ἀγορὰν κομίζειν. αὐτὸς δὲ τοὺς ἀρίστους τῶν στρατιωτῶν ἀναλαβὼν, ἧκεν ἐπὶ τὴν πόλιν, καὶ τῶν Ἱμεραίων τοὺς ἐπεξιόντας τρεψάμενος, καὶ πολλοὺς ἀνελὼν, κατεπλήξατο τοὺς ἐν τῇ πόλει. διὸ καὶ Θήρων ὁ Ἀκραγαντίνων δυνάστης, ἔχων δύναμιν ἱκανὴν, καὶ παραφυλάττων τὴν Ἱμέραν, φοβηθεὶς εὐθὺς ἀπέστειλεν εἰς τὰς Συρακούσας, ἀξιῶν τὸν Γέλωνα βοηθεῖν τὴν ταχίστην.

κα΄. Ὁ δὲ Γέλων καὶ αὐτὸς ἡτοιμακὼς ἦν τὴν δύναμιν, πυθόμενος δὲ τὴν τῶν Ἱμεραίων ἀθυμίαν, ἀνέζευξεν ἐκ τῶν Συρακουσῶν κατὰ σπουδὴν, ἔχων πεζοὺς μὲν οὐκ ἐλάττους τῶν πεντακισμυρίων, ἱππεῖς δὲ ὑπὲρ τοὺς πεντακισχιλίους. διανύσας δὲ ταχέως τὴν ὁδὸν, καὶ πλησιάσας τῇ πόλει τῶν Ἱμεραίων, ἐποίησε θαῤῥεῖν τοὺς πρότερον καταπεπληγμένους τὰς τῶν Καρχηδονίων δυνάμεις. αὐτὸς μὲν γὰρ στρατοπεδείαν οἰκείαν βαλόμενος τῶν περὶ τὴν πόλιν τόπων, ταύτην μὲν ὠχύρωσε, τάφρῳ βαθείᾳ καὶ χαρακώματι περιλαβών· τοὺς δ' ἱππεῖς ἅπαντας ἐξαπέστειλεν ἐπὶ τοὺς κατὰ τὴν χώραν πλανωμένους τῶν πολεμίων, καὶ περὶ τὰς ὠφελείας διατρίβοντας. οὗτοι δὲ παραδόξως ἐπιφανέντες διεσπαρμένοις ἀτάκτως κατὰ τὴν χώραν, τοσούτους ἀνῆγον αἰχμαλώτους, ὅσον ἕκαστος ἄγειν ἠδύνατο. εἰσαχθέντων δὲ αἰχμαλώτων εἰς τὴν πόλιν πλειόνων ἢ μυρίων, ὁ μὲν Γέλων μεγάλης ἀποδοχῆς ἐτύγχανεν· οἱ δὲ κατὰ τὴν Ἱμέραν κατεφρόνησαν τῶν πολεμίων. ἀκόλουθα δὲ τούτοις πράττων ὁ μὲν Γέλων ἀπούσας τὰς πύλας, ἃς διὰ φόβον πρότερον ἀνῳκοδόμησαν οἱ περὶ Θήρωνα, ταύτας τοὐναντίον διὰ τὴν καταφρόνησιν ἐξῳκοδόμησεν, καὶ ἄλλας προσκατεσκεύασε, δι' ὧν ἦν εὔχρηστός τε πρὸς τὰς κατεπειγούσας χρείας. καθόλου δὲ Γέλων στρατηγίᾳ καὶ συνέσει διαφέρων, εὐθὺς ἐζήτει δι' οὗ τρόπου καταστρατηγήσας τοὺς βαρβάρους, ἀκινδύνως αὐτῶν ἄρδην ἀνέλῃ τὴν δύναμιν. συνεβάλετο δὲ αὐτῷ καὶ τὸ αὐτόματον

Gelo, Syracusarum princeps, Himerensibus auxilio venit.

Hic strategemate usus,

ματον πρὸς τὴν ἐπίνοιαν μεγάλα. Τοιαύτης γενομένης περιστάσεως, κρίναντος αὐτοῦ τὰς τῶν πολεμίων ναῦς ἐμπρῆσαι, καὶ τοῦ Ἀμίλκα διατρίβοντος μὲν κατὰ τὴν ναυτικὴν στρατοπεδείαν, παρασκευαζομένου δὲ θύειν τῷ Ποσειδῶνι μεγαλοπρεπῶς, ἧκον ἀπὸ τῆς χώρας ἱππεῖς ἄγοντες πρὸς τὸν Γέλωνα βιβλιαφόρον, ἐπιστολὰς κομίζοντα παρὰ Σελινουντίων, ἐν αἷς ἦν γεγραμμένον ὅτι πρὸς ἣν ἔγραψεν ἡμέραν Ἀμίλκας ἀποστεῖλαι τοὺς ἱππεῖς, πρὸς αὐτὴν ἐκπέμψουσιν. οὔσης δὲ τῆς ἡμέρας ταύτης καθ' ἣν ἔμελλε συντελεῖν τὴν θυσίαν Ἀμίλκας, κατὰ ταύτην Γέλων ἀπέστειλεν ἰδίους ἱππεῖς, οἷς ἦν προστεταγμένον περιελθεῖν τοὺς πλησίον τόπους, καὶ προσελαύνειν ἅμ' ἡμέρᾳ πρὸς τὴν ναυτικὴν στρατοπεδείαν, ὡς ὄντας Σελινουντίων συμμάχους· γενομένους δὲ ἐντὸς τοῦ ξυλίνου τείχους, τὸν μὲν Ἀμίλκαν ἀποκτεῖναι, τὰς δὲ ναῦς ἐμπρῆσαι. ἐξέπεμψε δὲ καὶ σκοποὺς εἰς τοὺς ὑπερκειμένους λόφους, οἷς προσέταξεν, ὅταν ἴδωσι τοὺς ἱππεῖς γενομένους ἐντὸς τοῦ τείχους, ἆραι τὸ σύσσημον. αὐτὸς δ' ἅμ' ἡμέρᾳ τὴν δύναμιν διατεταχὼς, ἀνέμενε τὴν ἀπὸ τῶν σκοπῶν ἐσομένην δήλωσιν.

κβ'. Τῶν δὲ ἱππέων ἅμα τῇ κατὰ τὸν ἥλιον ἀνατολῇ προσιππευσάντων τῇ ναυτικῇ τῶν Καρχηδονίων στρατοπεδείᾳ, καὶ προσδεχθέντων ὑπὸ τῶν φυλάκων ὡς συμμάχων, οὗτοι μὲν εὐθὺς προσδραμόντες τῷ Ἀμίλκᾳ περὶ τὴν θυσίαν γινομένῳ, τοῦτον μὲν ἀνεῖλον, τὰς δὲ ναῦς ἐνέπρησαν· ἔπειτα τῶν σκοπῶν ἀράντων τὸ σύσσημον, ὁ Γέλων πάσῃ τῇ δυνάμει συντεταγμένῃ προσῆγεν ἐπὶ τὴν παρεμβολὴν τῶν Καρχηδονίων. οἱ δὲ ἐν τῇ στρατοπεδείᾳ τῶν Φοινίκων ἡγεμόνες, τὸ μὲν πρῶτον ἐξάγοντες τὴν δύναμιν, ἀπήντων τοῖς Σικελοῖς, καὶ συνάψαντες μάχην, εὐρώστως ἠγωνίζοντο· ὁμοῦ δὲ ταῖς σάλπιγξιν ἐν ἀμφοτέροις τοῖς στρατοπέδοις ἐσήμαινον τὸ πολεμικὸν, καὶ κραυγὴ τῶν δυνάμεων ἐναλλὰξ ἐγίνετο, φιλοτιμουμένων ἀμφοτέρων τῷ μεγέθει τῆς βοῆς ὑπερᾶραι τοὺς ἀντιτεταγμένους. πολλοῦ δὲ γενομένου φόνου, καὶ τῆς μάχης δεῦρο κἀκεῖσε ταλαντευομένης, ἄφνω τῆς κατὰ τὰς ναῦς φλογὸς ἀρθείσης εἰς ὕψος, καί τινων ἀπαγγειλάντων τὸν τοῦ στρατηγοῦ φόνον, οἱ μὲν Ἕλληνες ἐθάῤῥησαν, καὶ ταῖς φωναῖς

simul incendit hostium classem, unaque Amilcarem obtruncat,

simul proelio pedestrem exercitum ad internecionem cædit.

φωναῖς [καὶ] ταῖς ἐλπίσι τῆς νίκης ἐπαρθέντες τοῖς φρονήμασιν, ἐπέκειντο θρασύτερον τοῖς βαρβάροις· οἱ δὲ Καρχηδόνιοι καταπλαγέντες καὶ τὴν νίκην ἀπογνόντες, πρὸς φυγὴν ἐτράπησαν. τοῦ δὲ Γέλωνος παραγγείλαντος μηδένα ζωγρεῖν, πολὺς ἐγένετο φόνος τῶν φευγόντων· καὶ πέρας κατεκόπησαν αὐτῶν οὐκ ἐλάττους τῶν πεντεκαίδεκα μυριάδων. οἱ δὲ λοιποὶ φεύγοντες ἐπί τινα τόπον ἐρυμνὸν, τὸ μὲν πρῶτον ἠμύναντο τοὺς βιαζομένους, ἄνυδρον δὲ κατειληφότες τόπον, καὶ τῷ δίψει πιεζόμενοι, ἠναγκάσθησαν ἑαυτοὺς παραδοῦναι τοῖς κρατοῦσι. Γέλων δὲ ἐπιφανεστάτῃ μάχῃ νικήσας, καὶ ταύτην κατορθωκὼς μάλιστα διὰ τῆς ἰδίας στρατηγίας, περιβόητον ἔσχε τὴν δόξαν, οὐ μόνον παρὰ τοῖς Σικελιώταις, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν. οὐδεὶς γὰρ τῶν πρὸ αὐτοῦ μνημονεύεται τοιούτῳ στρατηγήματι κεχρημένος, οὐδὲ πλείονας ἐν μιᾷ παρατάξει κατακόψας τῶν βαρβάρων, οὐδὲ πλῆθος αἰχμαλώτων τοσοῦτον χειρωσάμενος. Gelonis encomium.

κγ'. Διὸ καὶ πολλοὶ τῶν συγγραφέων παραβάλλουσι ταύτην τὴν μάχην τῇ περὶ Πλαταιὰς γενομένῃ τοῖς Ἕλλησι, καὶ στρατήγημα τὸ Γέλωνος τοῖς ἐπινοήμασι τοῖς Θεμιστοκλέους· καὶ τὸ πρωτεῖον, διὰ τὰς ἀμφοτέρων ὑπερβολὰς τῆς ἀρετῆς, οἱ μὲν τούτοις, οἱ δὲ τοῖς ἑτέροις ἀπονέμουσι. καὶ γὰρ τῶν κατὰ τὴν Ἑλλάδα, καὶ τῶν κατὰ τὴν Σικελίαν πρὸ τῆς μάχης καταπεπληγμένων τὸ πλῆθος τῶν βαρβαρικῶν δυνάμεων, οἱ κατὰ Σικελίαν πρότερον νικήσαντες, ἐποίησαν τοὺς κατὰ τὴν Ἑλλάδα θαῤῥῆσαι, πυθομένους τὴν τοῦ Γέλωνος νίκην. καὶ τῶν τὴν ὅλην ἡγεμονίαν παρ' ἀμφοτέροις ἐσχηκότων. παρὰ μὲν τοῖς Πέρσαις διαπεφευγέναι τὸν βασιλέα, καὶ πολλὰς μυριάδας μετ' αὐτοῦ· παρὰ δὲ τοῖς Καρχηδονίοις μὴ μόνον ἀπολέσθαι τὸν στρατηγὸν, ἀλλὰ καὶ τοὺς μετασχόντας τοῦ πολέμου κατακοπῆναι, καὶ, τὸ δὴ λεγόμενον, μηδὲ ἄγγελον εἰς τὴν Καρχηδόνα διασωθῆναι. πρὸς δὲ τούτοις, τοὺς ἐπιφανεστάτους τῶν ἡγεμόνων, παρὰ μὲν τοῖς Ἕλλησι Παυσανίαν καὶ Θεμιστοκλέα, τὸν μὲν ὑπὸ τῶν ἰδίων πολιτῶν θανατωθῆναι διὰ πλεονεξίαν καὶ προδοσίαν, τὸν δὲ, ἐξ ἁπάσης τῆς Ἑλλάδος ἐξελαθέντα,

 κατα-

καταφυγεῖν πρὸς τὸν ἐχθρότατον Ξέρξην, καὶ παρ' ἐκείνῳ βιῶσαι μέχρι τελευτῆς. Γέλωνα δὲ μετὰ τὴν μάχην ἀεὶ καὶ μᾶλλον ἀποδοχῆς τυγχάνοντα παρὰ τοῖς Συρακουσίοις, ἐγγηράσαι τῇ βασιλείᾳ, καὶ τελευτῆσαι θαυμαζόμενον· καὶ τοσοῦτον ἰσχύσαι τὴν πρὸς αὐτὸν εὔνοιαν παρὰ τοῖς πολίταις, ὥστε καὶ τρισὶν ἐκ τῆς οἰκίας ἐκείνου τὴν ἀρχὴν διαφυλαχθῆναι. ἀλλὰ γὰρ τούτων οἱ δικαίαν δόξαν κεκτημένοι τοὺς προσήκοντας ἐπαίνους καὶ παρ' ἡμῶν ἔχουσιν.

κδ'. Ἐπὶ δὲ τὸ συνεχὲς τοῖς προειρημένοις μεταβησόμεθα. συνέβη γὰρ τῇ αὐτῇ ἡμέρᾳ τὸν Γέλωνα νικῆσαι, καὶ τοὺς περὶ Θερμοπύλας μετὰ Λεωνίδου διαγωνίσασθαι πρὸς Ξέρξην· ὥσπερ ἐπίτηδες τοῦ δαιμονίου περὶ τὸν αὐτὸν καιρὸν ποιήσαντος γενέσθαι τήν τε καλλίστην νίκην καὶ τὴν ἐνδοξοτάτην ἧτταν. μετὰ δὲ τὴν γενομένην μάχην πρὸς τῇ πόλει τῶν Ἱμεραίων, εἴκοσι ναῦς μακραὶ διέφυγον τὸν κίνδυνον, ἃς Ἀμίλκας οὐκ ἐνεώλκησεν πρὸς τὰς ἀναγκαίας χρείας. διὸ καὶ τῶν ἀνδρῶν σχεδὸν ἁπάντων, τῶν μὲν ἀνῃρημένων, τῶν δὲ ἐζωγρημένων, ἔφθασαν αὗται τὸν ἀπόπλουν ποιησάμεναι. πολλοὺς δὲ τῶν φευγόντων ἀναλαβοῦσαι, καὶ διὰ τοῦτο κατάγομοι γενόμεναι, περιέπεσον χειμῶνι, καὶ πᾶσαι διεφθάρησαν. ὀλίγοι δέ τινες ἐν μικρῷ σκάφει διασωθέντες εἰς Καρχηδόνα, διεσάφησαν τοῖς πολίταις, σύντομον ποιησάμενοι τὴν ἀπόφασιν, ὅτι πάντες, οἱ διαβάντες εἰς τὴν Σικελίαν, ἀπολώλασιν.

Summa consternatio, quæ civitatem Carthaginiensium occupat, describitur.

οἱ δὲ Καρχηδόνιοι παρ' ἐλπίδας μεγάλῃ συμφορᾷ περιπεσόντες ἐπὶ τοσοῦτον κατεπλάγησαν, ὥστε τὰς νύκτας ἅπαντας διαγρυπνεῖν φυλάττοντας τὴν πόλιν, ὡς τοῦ Γέλωνος πάσῃ τῇ δυνάμει παραχρῆμα διεγνωκότος πλεῖν ἐπὶ τὴν Καρχηδόνα. διὰ δὲ τὸ πλῆθος τῶν ἀπολωλότων ἥτε πόλις ἐπένθησε κοινῇ, καὶ κατ' ἰδίαν αἱ τῶν ἰδιωτῶν οἰκίαι κλαυθμοῦ καὶ πένθους ἐπληροῦντο. οἱ μὲν γὰρ υἱοὺς, οἱ δὲ ἀδελφοὺς ἐπεζήτουν· πλεῖστοι δὲ παῖδες ὀρφανοὶ πατέρων γεγονότες ἔρημοι ὠδύροντο τόν τε τῶν γεγεννηκότων θάνατον, καὶ τὴν ἰδίαν ἐρημίαν τῶν βοηθούντων. οἱ δὲ Καρχηδόνιοι, φοβούμενοι μὴ φθάσῃ διαβὰς εἰς Λιβύην Γέλων, εὐθὺς ἐξέπεμψαν πρὸς αὐτὸν

αὐτὸν πρεσβευτὰς αὐτοκράτορας, τὰς δυνατωτάτας εἰπεῖν τε καὶ βουλεύσασθαι.

κέ. Ὁ δὲ Γέλων μετὰ τὴν νίκην τούς τε ἱππεῖς τοὺς ἀνελόντας τὸν Ἀμίλκαν δωρεαῖς ἐτίμησε, καὶ τῶν ἄλλων τοὺς ἠνδραγαθηκότας ἀριστείοις ἐκόσμησε. τῶν δὲ λαφύρων τὰ καλλιστεύοντα παρεφύλαξε, βουλόμενος τοὺς ἐν ταῖς Συρακούσαις νεὼς κοσμῆσαι τοῖς σκύλοις. τῶν δ' ἄλλων πολλὰ μὲν ἐν Ἱμέρᾳ προσήλωσε τοῖς ἐπιφανεστάτοις τῶν ἱερῶν, τὰ δὲ λοιπὰ μετὰ τῶν αἰχμαλώτων διεμέρισε τοῖς συμμάχοις, κατὰ τὸν ἀριθμὸν τῶν συστρατευσάντων τὴν ἀναλογίαν ποιησάμενος. αἱ δὲ πόλεις εἰς πέδας κατέστησαν τοὺς διαιρεθέντας αἰχμαλώτους, καὶ τὰ δημόσια τῶν ἔργων διὰ τούτων ἐπεσκεύαζον. πλείστους δὲ λαβόντες Ἀκραγαντῖνοι, τήν τε πόλιν ἑαυτῶν καὶ τὴν χώραν ἐκόσμησαν. τοσοῦτον γὰρ παρ' αὐτοῖς τῶν ἡλωκότων ἦν τὸ πλῆθος, ὥστε πολλοὺς τῶν ἰδιωτῶν παρ' αὐτοῖς ἔχειν δεσμώτας πεντακοσίους. συνεβάλετο γὰρ αὐτοῖς τὸ πλῆθος τῶν αἰχμαλώτων, οὐ μόνον ὅτι πολλοὺς στρατιώτας ἀπεσταλκότες ἦσαν ἐπὶ τὴν μάχην, ἀλλὰ καὶ διότι γενομένης τῆς τροπῆς πολλοὶ τῶν φευγόντων εἰς τὴν μεσόγειον ἀνεχώρησαν· μάλιστα δὲ εἰς τὴν Ἀκραγαντίνων. ὧν ἁπάντων ὑπὸ τῶν Ἀκραγαντίνων ζωγρηθέντων, ἔγεμεν ἡ πόλις τῶν ἑαλωκότων. πλείστων δὲ εἰς τὸ δημόσιον ἀνενεχθέντων, οὗτοι μὲν τοὺς λίθους ἔτεμνον, ἐξ ὧν οὐ μόνον οἱ μέγιστοι τῶν θεῶν ναοὶ κατεσκευάσθησαν, ἀλλὰ καὶ πρὸς τὰς τῶν ὑδάτων τῶν ἐκ τῆς πόλεως ἐκροὰς ὑπόνομοι κατεσκευάσθησαν, τηλικοῦτοι δὲ τὸ μέγεθος, ὥστε ἀξιοθέατον εἶναι τὸ κατασκεύασμα, καίπερ διὰ τὴν εὐτέλειαν καταφρονούμενον. ἐπιστάτης δὲ γενόμενος τούτων τῶν ἔργων ὁ προσαγορευόμενος Φαίαξ, διὰ τὴν δόξαν τοῦ κατασκευάσματος ἐποίησεν ἀφ' ἑαυτοῦ κληθῆναι τοὺς ὑπονόμους Φαίακας. κατεσκεύασαν δὲ οἱ Ἀκραγαντῖνοι καὶ κολυμβήθραν πολυτελῆ, τὴν περίμετρον ἔχουσαν σταδίων ἑπτὰ, τὸ δὲ βάθος πηχῶν εἴκοσιν. εἰς δὲ ταύτην ἐπαγομένων ποταμῶν καὶ κρηναίων ὑδάτων, ἰχθυοτροφεῖον ἐγένετο, πολλοὺς παρεχόμενον ἰχθῦς εἰς τρυφὴν καὶ ἀπόλαυσιν· κύκνων τε πλῆθος εἰς αὐτὴν καταπταμένους, συνέβη τὴν πρόσοψιν αὐτῆς ἐπιτερπῆ γενέσθαι.

Gelo militum virtutem præmiis ornat; captivorum autem incredibilem multitudinem inter socios distribuit, quorum servitio multa opera publica perficiuntur.

θαι. ἀλλ' αὐτὴ μὲν ἐν τοῖς ὕϛερον χρόνοις ἀμεληθεῖσα συνεχώσθη, καὶ διὰ τὸ πλῆθος τῦ χρόνυ κατεφθάρη. τὴν δὲ χώραν ἅπασαν ἀγαθὴν ὖσαν, ἀμπελόφυτον ἐποίησαν καὶ δένδρεσι παντοίοις πεπυκνωμένην, ὥϛε λαμβάνειν ἐξ αὐτῆς μεγάλας προσόδυς. Γέλων δὲ τὺς συμμάχυς ἀπολύσας, τὺς πολίτας ἀπήγαγεν ἐις τὰς Συρακύσας· διὰ τὸ μέγεθος τῆς ἐυημερίας ἀποδοχῆς ἐτύγχανεν, ὖ μόνον παρὰ τοῖς πολίταις, ἀλλὰ καὶ καθ' ὅλην τὴν Σικελίαν. ἐπήγετο γὰρ αἰχμαλώτων τοσῦτον πλῆθος, ὥϛε δοκεῖν ὑπὸ τῆς νήσυ γεγονέναι τὴν Λιβύην ὅλην αἰχμάλωτον.

Ceterum in ipsos hostes mitis & clemens,

κϛ'. Ἐυθὺς δὲ καὶ τῶν πρότερον ἐναντιυμένων πόλεών τε καὶ δυναϛῶν παρεγένοντο πρὸς αὐτὸν πρέσβεις, ἐπὶ μὲν τοῖς ἠγνοημένοις αἰτύμενοι συγγνώμην, ἐις δὲ τὸ λοιπὸν ἐπαγγελλόμενοι πᾶν ποιήσειν τὸ προσταττόμενον. ὁ δὲ πᾶσιν ἐπιεικῶς χρησάμενος, συμμαχίαν συνετίθετο, καὶ τὴν ἐυτυχίαν ἀνθρωπίνως ἔφερεν, ὐκ ἐπὶ τύτων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν πολεμιωτάτων Καρχηδονίων. παραγενομένων γὰρ πρὸς αὐτὸν ἐκ τῆς Καρχηδόνος τῶν ἀπεϛαλμένων πρέσβεων, καὶ μετὰ δακρύων δεομένων ἀνθρωπίνως αὐτοῖς χρήσασθαι, συνεχώρησε τὴν ἐιρήνην· ἐπράξατο δὲ παρ' αὐτῶν τὰς ἐις τὸν πόλεμον γεγενημένας δαπάνας ἀργυρίυ δισχίλια τάλαντα. καὶ δύο ναὺς προσέταξεν οἰκοδομῆσαι, καθ' ἃς ἔδει τὰς συνθήκας ἀνατεθῆναι. οἱ δὲ Καρχηδόνιοι τῆς σωτηρίας παραδόξως τετευχότες, ταῦτά τε δώσειν προσεδέξαντο, καὶ ϛέφανον χρυσῦν τῇ γυναικὶ τῦ Γέλωνος Δαμαρέτῃ προσωμολόγησαν. αὐτὴ γὰρ ὑπ' αὐτῶν ἀξιωθεῖσα συνήργησε πλεῖϛον ἐις τὴν σύνθεσιν τῆς ἐιρήνης. καὶ ϛεφανωθεῖσα ὑπ' αὐτῶν ἑκατὸν ταλάντοις χρυσίυ, νόμισμα ἐξέκοψε τὸ κληθὲν ἀπ' ἐκείνης Δαμαρέτιον. τῦτο δ' εἶχεν Ἀττικὰς δραχμὰς δέκα· ἐκλήθη δὲ παρὰ τοῖς Σικελιώταις ἀπὸ τῦ ϛαθμῦ Πεντηκοντάλιτρον. ὁ δὲ Γέλων ἐχρῆτο πᾶσιν ἐπιεικῶς, μάλιϛα μὲν διὰ τὸν ἴδιον τρόπον, ὐχ ἥκιϛα δὲ καὶ σπεύδων ἅπαντας ἔχειν ταῖς ἐυνοίαις ἰδίυς. παρεσκευάζετο γὰρ πολλῇ δυνάμει πλεῖν ἐπὶ τὴν Ἑλλάδα, καὶ συμμαχεῖν τοῖς Ἕλλησι κατὰ τῶν Περσῶν. ἤδη δὲ τύτυ μέλλοντος ποιεῖσθαι τὴν ἀναγωγὴν, κατέπλευσάν τινες

Carthaginiensibus aequas pacis conditiones concedit.

νες ἐκ Κορίνθε διασαφεντες νενικηκέναι τῇ ναυμαχίᾳ τὲς Ἕλληνας περὶ Σαλαμῖνα, καὶ τὸν Ξέρξην μετὰ μέρες τῆς δυνάμεως ἐκ τῆς Εὐρώπης ἀπηλλάχθαι. διὸ καὶ τῆς ὁρμῆς ἐπισχὼν, τὴν προθυμίαν τῶν στρατιωτῶν ἀποδεξάμενος, συνήγαγεν ἐκκλησίαν, προστάξας ἅπαντας ἀπαντᾷν μετὰ τῶν ὅπλων. αὐτὸς δὲ ὐ μόνον τῶν ὅπλων γυμνὸς εἰς τὴν ἐκκλησίαν ἦλθεν, ἀλλὰ καὶ ἀχίτων ἐν ἱματίῳ προσελθὼν, ἀπελογήσατο μὲν περὶ παντὸς τὲ βίε καὶ τῶν πεπραγμένων αὐτῷ πρὸς τὲς Συρακεσίες. ἐφ' ἑκάστῳ δὲ τῶν λεγομένων ἐπισημαινομένων τῶν ὄχλων, καὶ θαυμαζόντων, μάλιστα ὅτι γυμνὸν ἑαυτὸν παραδεδώκει τοῖς βελομένοις αὐτὸν ἀνελεῖν, τοσῦτον ἀπεῖχε τὲ μὴ τυχεῖν τιμωρίας ὡς τύραννος, ὥστε μιᾷ φωνῇ πάντας ἀποκαλεῖν εὐεργέτην, καὶ σωτῆρα, καὶ βασιλέα. ἀπὸ δὲ τέτων γενόμενος ὁ Γέλων, ἐκ μὲν τῶν λαφύρων κατεσκεύασε ναὲς ἀξιολόγες Δήμητρος καὶ Κόρης· χρυσῦν δὲ τρίποδα ποιήσας ἀπὸ ταλάντων ἑκκαίδεκα, ἐνέθηκεν εἰς τὸ τέμενος τὸ ἐν Δελφοῖς, Ἀπόλλωνι χαριστήριον. ἐπεβάλετο δὲ ὕστερον καὶ κατὰ τὴν Αἴτνην κατασκευάζειν νεὼν Δήμητρος. ἐννηὼς δὲ ὔσης, τῦτον μὲν ὐ συνετέλεσε, μεσολαβηθεὶς τὸν βίον ὑπὸ τῆς πεπρωμένης. τῶν δὲ μελοποιῶν Πίνδαρος ἦν ἀκμάζων κατὰ τέτες τὲς χρόνες. τὰ μὲν ὖν ἀξιολογώτατα τῶν πραχθέντων κατὰ τῦτον τὸν ἐνιαυτὸν, σχεδὸν ταῦτ' ἐστίν.

De præda templa vel exstruit vel exornat.

Obiter commemoratur Pindari ætas.

Olymp. LXXV, 2.

κζ. Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Ξανθίππε Ῥωμαῖοι μὲν κατέστησαν ὑπάτες Κόϊντον Φάβιον Σιλεανὸν καὶ Σερϛίον Κορνήλιον Τρίκοστον. ἐπὶ δὲ τέτων ὁ μὲν τῶν Περσῶν στόλος, πλὴν Φοινίκων, μετὰ τὴν ἐν Σαλαμῖνι γενομένην ναυμαχίαν ἡττημένος, διέτριβε περὶ τὴν Κύμην. ἐνταῦθα δὲ παραχειμάσας, ὡς τὸ θέρος ἐνίστατο, παρέπλευσεν εἰς Σάμον, παραφυλάξων τὴν Ἰωνίαν. ἦσαν δ' αἱ πᾶσαι νῆες ἐν Σάμῳ πλείες τῶν τετρακοσίων· αὗται μὲν ὖν ὡς ἀλλότρια φρονέντων τῶν Ἰώνων παρεφύλαττον τὰς πόλεις. κατὰ δὲ τὴν Ἑλλάδα μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, τῶν Ἀθηναίων δοκέντων αἰτίων γεγονέναι τῆς νίκης, καὶ διὰ τῦτο αὐτῶν φρονηματιζομένων, πᾶσιν ἐγένοντο καταφανεῖς, ὡς τοῖς Λακεδαιμονίοις ἀμφισβητήσοντες τῆς κατὰ θάλατταν ἡγεμονίας. διόπερ

Persarum classis circa Cumam, mox apud Samum subsistit.

Inter Athenienses & Lacedæmonios simultates acerrimæ.

διόπερ οἱ Λακεδαιμόνιοι προορώμενοι τὸ μέλλον, ἐφιλοτιμȣ̃ντο ταπεινȣ̃ν τὸ φρόνημα τῶν Ἀθηναίων. διὸ καὶ κρίσεως προτεθείσης περὶ τῶν ἀριςείων, χάριτι κατισχύσαντες ἐποίησαν κριθῆναι, πόλιν μὲν ἀριςεῦσαι τὴν Αἰγινητῶν, ἄνδρα δὲ Ἀμεινίαν Ἀθηναῖον, τὸν ἀδελφὸν Αἰσχύλȣ τȣ̃ ποιητȣ̃. ȣ̃τος γὰρ τριηραρχῶν, πρῶτος ἔμβολον ἔδωκε τῇ ναυαρχίδι τῶν Περσῶν, καὶ ταύτην κατέλυσε καὶ τὸν ναύαρχον διέφθειρε. τῶν δ' Ἀθηναίων βαρέως φερόντων τὴν ἄδικον ἧτταν, οἱ Λακεδαιμόνιοι φοβηθέντες μήποτε Θεμιςοκλῆς ἀγανακτήσας ἐπὶ τῷ συμβεβηκότι, κακὸν μέγα βȣλεύσηται κατ' αὐτῶν καὶ τῶν Ἑλλήνων, ἐτίμησαν αὐτὸν διπλασίοις δωρεαῖς τῶν τὰ ἀριςεῖα εἰληφότων. δεξαμένȣ δὲ τȣ̃ Θεμιςοκλέȣς τὰς δωρεὰς, ὁ δῆμος τῶν Ἀθηναίων ἀπέςησεν αὐτὸν ἀπὸ τῆς ςρατηγίας, καὶ παρέδωκε τὴν ἀρχὴν Ξανθίππῳ τῷ Ἀρίφρονος.

His in sua commoda uti conatur Mardonius;

κη'. Διαβοηθείσης δὲ τῆς τῶν Ἀθηναίων πρὸς τȣ̀ς Ἕλληνας ἀλλοτριότητος, ἧκον εἰς τὰς Ἀθήνας πρέσβεις παρὰ Περσῶν, καὶ παρὰ τῶν Ἑλλήνων. οἱ μὲν ȣ̃ν ὑπὸ τῶν Περσῶν ἀποςαλέντες ἔφασαν, τὸν ςρατηγὸν Μαρδόνιον ἐπαγγέλλεσθαι τοῖς Ἀθηναίοις, ἐὰν τὰ Περσῶν προέλωνται, δώσειν χώραν ἣν ἂν βȣ́λωνται τῆς Ἑλλάδος, καὶ τὰ τείχη καὶ τȣ̀ς ναȣ̃ς πάλιν ἀνοικοδομήσειν, καὶ τὴν πόλιν ἐάσειν αὐτόνομον. οἱ δὲ παρὰ τῶν Λακεδαιμονίων πεμφθέντες ἠξίȣν μὴ πεισθῆναι τοῖς βαρβάροις, ἀλλὰ τηρεῖν τὴν πρὸς τȣ̀ς Ἕλληνας καὶ συγγενεῖς καὶ ὁμοφώνȣς εὔνοιαν. οἱ δὲ Ἀθηναῖοι τοῖς βαρβάροις ἀπεκρίθησαν, ὡς ȣ̃τε χώρα τοῖς Πέρσαις ἐςὶ τοιαύτη, ȣ̃τε χρυσὸς τοσȣ̃τος, ὃν Ἀθηναῖοι δεξάμενοι, τȣ̀ς Ἕλληνας ἐγκαταλείψȣσι. τοῖς δὲ Λακεδαιμονίοις εἶπον, ὡς αὐτοὶ μὲν ἣν πρότερον ἐποιȣ̃ντο φροντίδα τῆς Ἑλλάδος, καὶ μετὰ ταῦτα πειράσονται τὴν αὐτὴν διαφυλάττειν· ἐκείνȣς δ' ἠξίȣν τὴν ταχίςην ἐλθεῖν εἰς τὴν Ἀττικὴν μετὰ πάντων τῶν συμμάχων. πρόδηλον γὰρ εἶναι διότι Μαρδόνιος, ἠναντιωμένων τῶν Ἀθηναίων αὐτῷ, μετὰ δυνάμεως ἥξει ἐπὶ τὰς Ἀθήνας. ὃ καὶ συνέβη γενέσθαι. ὁ γὰρ Μαρδόνιος ἐν τῇ Βοιωτίᾳ διατρίβων μετὰ τῶν δυνάμεων, τὸ μὲν πρῶτον τῶν ἐν Πελοποννήσῳ πόλεων

λεων ἐπειρᾶτό τινας ἀφιςάνειν, χρήματα διαπεμπόμενος τοῖς προεςηκόσι τῶν πόλεων· μετὰ δὲ ταῦτα πυνθανόμενος τὴν τῶν Ἀθηναίων ἀπόκρισιν, καὶ παροξυνθεὶς, ἅπασαν ἦγεν ἐπὶ τὴν Ἀττικὴν τὴν δύναμιν. χωρὶς γὰρ τῆς δεδομένης ὑπὸ Ξέρξου ςρατιᾶς πολλοὺς ἄλλους αὐτὸς Μαρδόνιος ἐκ τῆς Θρᾴκης καὶ Μακεδονίας καὶ τῶν ἄλλων τῶν συμμαχίδων πόλεων ἠθροίκει, πλείους τῶν εἴκοσι μυριάδων. τηλικαύτης δυνάμεως προαγούσης εἰς τὴν Ἀττικὴν, οἱ μὲν Ἀθηναῖοι βιβλιαφόρους ἀπέςειλαν πρὸς τοὺς Λακεδαιμονίους, δεόμενοι βοηθεῖν· βραδυνόντων δὲ αὐτῶν, καὶ τῶν βαρβάρων ἐμβαλλόντων εἰς τὴν Ἀττικὴν, κατεπλάγησαν, καὶ πάλιν ἀναλαβόντες τέκνα καὶ γυναῖκας, καὶ τῶν ἄλλων ὅσα δυνατὸν ἦν ταχέως ἀποκομίζειν, ἐξέλιπον τὴν πατρίδα, καὶ συνέφυγον πάλιν εἰς τὴν Σαλαμῖνα. ὁ δὲ Μαρδόνιος χαλεπῶς ἔχων πρὸς αὐτοὺς, τὴν χώραν ἅπασαν κατέφθειρε, καὶ τὴν πόλιν παντελῶς κατέσκαψε, καὶ τὰ ἱερὰ τὰ καταλελειμμένα παντελῶς ἐλυμήνατο.

sed spe vana deceptus incursionem facit in Atticam, & omnia cæde atque incendio implet.

κθ΄. Ἐπανελθόντος δὲ εἰς τὰς Ἀθήνας τοῦ Μαρδονίου μετὰ τῆς δυνάμεως, ἔδοξε τοῖς συνέδροις τῶν Ἑλλήνων παραλαβεῖν τοὺς Ἀθηναίους, καὶ πανδημεὶ προσελθόντας εἰς τὰς Πλαταιὰς διαγωνίσασθαι περὶ τῆς ἐλευθερίας· εὔξασθαι δὲ καὶ τοῖς θεοῖς, ἐὰν νικήσωσιν, ἄγειν κατὰ ταύτην τὴν ἡμέραν τοὺς Ἕλληνας ἐλευθερίαν κοινὴν, καὶ τὸν ἐλευθέριον ἀγῶνα συντελεῖν ἐν ταῖς Πλαταιαῖς. συναχθέντων δὲ τῶν Ἑλλήνων εἰς τὸν Ἰσθμὸν, ἐδόκει τοῖς πᾶσιν ὅρκον ὀμόσαι περὶ τοῦ πολέμου, τὸν ςέρξοντα μὲν τὴν ὁμόνοιαν αὐτῶν, ἀναγκάσοντα δὲ γενναίως τοὺς κινδύνους ὑπομένειν. ὁ δὲ ὅρκος ἦν τοιοῦτος. Οὐ ποιήσομαι περὶ πλείονος τὸ ζῆν τῆς ἐλευθερίας, οὐδὲ καταλείψω τοὺς ἡγεμόνας οὔτε ζῶντας οὔτε ἀποθανόντας· ἀλλὰ τοὺς ἐν τῇ μάχῃ τελευτήσαντας τῶν συμμάχων πάντας θάψω· καὶ κρατήσας τῷ πολέμῳ τῶν βαρβάρων, οὐδεμίαν τῶν ἀγωνισαμένων πόλεων ἀνάςατον ποιήσω· καὶ τῶν ἱερῶν τῶν ἐμπρησθέντων καὶ καταβληθέντων οὐδὲν οἰκοδομήσω, ἀλλ' ὑπόμνημα τοῖς ἐπιγινομένοις ἐάσω καὶ καταλείψω τῆς τῶν βαρβάρων ἀσεβείας. τὸν δὲ ὅρκον ὀμόσαντες, ἐπορεύθησαν ἐπὶ τὴν Βοιωτίαν διὰ τοῦ Κιθαιρῶνος,

Græcorum de republica tuenda communia consilia.

ρῶνος, καὶ πρὸς τὰς ὑπωρείας καταντήσαντες πλησίον τῶν Ἐρυθρῶν, αὐτȣ̃ κατεστρατοπέδευσαν. ἡγεῖτο δὲ τῶν μὲν Ἀθηναίων Ἀριστείδης, τῶν δὲ συμπάντων Παυσανίας, ἐπίτροπος ὢν τȣ̃ Λεωνίδȣ παιδός.

Aristides & Pausanias duces.

λ'. Μαρδόνιος δὲ πυθόμενος τῶν πολεμίων δύναμιν προάγειν ἐπὶ Βοιωτίαν, προῆλθεν ἐκ τῶν Θηβῶν· καὶ παραγενόμενος ἐπὶ τὸν Ἀσωπὸν ποταμὸν, ἔθετο παρεμβολὴν, ἣν ὠχύρωσε τάφρῳ βαθείᾳ, καὶ τείχει ξυλίνῳ περιέβαλεν. ἦν δὲ ὁ σύμπας ἀριθμὸς τῶν Ἑλλήνων εἰς δέκα μυριάδας, τῶν δὲ βαρβάρων εἰς πεντήκοντα. πρῶτοι δὲ κατήρξαντο μάχης οἱ βάρβαροι, νυκτὸς ἐκχυθέντες ἐπ' αὐτȣ̀ς, καὶ πᾶσι τοῖς ἱππεῦσι πρὸς τὴν στρατοπεδείαν ἐπελάσαντες. τῶν δὲ Ἀθηναίων προαισθομένων, καὶ συντεταγμένῃ τῇ στρατιᾷ τεθαῤῥηκότως ἀπαντώντων, συνέβη καρτερὰν γενέσθαι μάχην. τέλος δὲ τῶν Ἑλλήνων οἱ μὲν ἄλλοι πάντες τȣ̀ς καθ' αὑτȣ̀ς ταχθέντας τῶν βαρβάρων ἐτρέψαντο· μόνοι δὲ Μεγαρεῖς πρός τε τὸν ἱππάρχην καὶ τȣ̀ς ἀρίστȣς τῶν Περσῶν ἱππεῖς ἀνθεστῶτες, καὶ πιεζόμενοι τῇ μάχῃ, τὴν μὲν τάξιν ȣ̓ κατέλιπον, πρὸς δὲ τȣ̀ς Ἀθηναίȣς καὶ Λακεδαιμονίȣς πέμψαντες τινὰς ἐξ αὐτῶν, ᾔτȣν κατὰ τάχος βοηθήσειν. Ἀριστείδȣ δὲ τȣ̀ς περὶ αὐτὸν τῶν Ἀθηναίων ταχέως ἀποστείλαντος τȣ̀ς ἐπιλέκτȣς, συστραφέντες ȣ̓͂τοι καὶ προσπεσόντες τοῖς βαρβάροις, τȣ̀ς μὲν Μεγαρεῖς ἐξείλοντο τῶν κινδύνων τῶν ἐπικειμένων, τῶν δὲ Περσῶν αὐτόν τε τὸν ἱππάρχην καὶ πολλȣ̀ς ἄλλȣς ἀποκτείναντες, τȣ̀ς λοιπȣ̀ς ἐτρέψαντο. οἱ μὲν ȣ̓͂ν Ἕλληνες, ὥσπερ τινὶ προαγῶνι λαμπρῶς προτερήσαντες, εὐέλπιδες ἐγένοντο περὶ τῆς ὁλοσχερȣ̃ς νίκης. μετὰ δὲ ταῦτα ἐκ τῆς ὑπωρείας μετεστρατοπέδευσαν εἰς ἕτερον τόπον, εὐθετώτερον πρὸς τὴν ὁλοσχερῆ νίκην. ἦν γὰρ ἐκ μὲν τῶν δεξιῶν γεώλοφος ὑψηλὸς, ἐκ δὲ τῶν εὐωνύμων ὁ Ἀσωπὸς ποταμός. τὸν δ' ἀνὰ μέσον τόπον ἐπεῖχεν ἡ στρατοπεδεία, πεφραγμένη τῇ φύσει καὶ ταῖς τῶν τόπων ἀσφαλείαις. τοῖς μὲν ȣ̓͂ν Ἕλλησιν ἐμφρόνως βȣλευσαμένοις πολλὰ συνεβάλετο πρὸς τὴν νίκην ἡ τῶν τόπων στενοχωρία. ȣ̓ γὰρ ἦν ἐπὶ πολὺ μῆκος παρεκτείνειν τὴν φάλαγγα τῶν Περσῶν· ὥστε ἀχρήστȣς εἶναι συνέβαινε τὰς πολλὰς μυριάδας τῶν βαρβάρων.

Ad Platæas rem prœlio subjiciunt.

βάρων. διόπερ οἱ περὶ τὸν Παυσανίαν καὶ Ἀριςείδην θαῤῥήσαντες τοῖς τόποις, προῆγον τὴν δύναμιν εἰς τὴν μάχην, καὶ συντάξαντες ἑαυτὲς οἰκείως τῆς περιςάσεως, ἦγον ἐπὶ τὲς πολεμίες.

λά. Μαρδόνιος δὲ συναναγκαζόμενος βαθεῖαν ποιῆσαι τὴν φάλαγγα, διέταξε τὴν δύναμιν ὅπως ποτὲ ἔδοξεν αὐτῷ συμφέρειν, καὶ μετὰ βοῆς ἀπήντησε τοῖς Ἕλλησιν. ἔχων δὲ περὶ αὐτὸν τὲς ἀρίςες, πρῶτος ἐνέβαλεν εἰς τὲς ἀντιτεταγμένες Λακεδαιμονίες, καὶ γενναίως ἀγωνισάμενος, πολλὲς ἀνεῖλε τῶν Ἑλλήνων· ἀντιταχθέντων δὲ τῶν Λακεδαιμονίων εὐρώςως, καὶ πάντα κίνδυνον ὑπομενόντων προθύμως, πολὺς ἐγίνετο φόνος τῶν βαρβάρων. ἕως μὲν ἒν συνέβαινε τὸν Μαρδόνιον μετὰ τῶν ἐπιλέκτων προκινδυνεύειν, εὐψύχως ὑπέμενον τὸ δεινὸν οἱ βάρβαροι· ἐπεὶ δ' ὅ, τε Μαρδόνιος ἀγωνιζόμενος ἐκθύμως ἔπεσε, καὶ τῶν ἐπιλέκτων οἱ μὲν ἀπέθανον, οἱ δὲ κατετρώθησαν, ἀνατραπέντες ταῖς ψυχαῖς πρὸς φυγὴν ὥρμησαν· ἐπικειμένων δὲ τῶν Ἑλλήνων, οἱ μὲν πλείες τῶν βαρβάρων εἰς τὸ ξύλινον τεῖχος συνέφυγον, τῶν δ' ἄλλων οἱ μὲν μετὰ Μαρδονίε ταχθέντες Ἕλληνες εἰς τὰς Θήβας ἀνεχώρησαν. τὲς δὲ λοιπὲς ὄντας πλείες τῶν τετρακισμυρίων ἀναλαβὼν Ἀρτάβαζος, ἀνὴρ παρὰ Πέρσαις ἐπαινέμενος, εἰς θάτερον μέρος ἔφυγε· καὶ σύντομον τὴν ἀναχώρησιν ποιησάμενος, προῆγεν ἐπὶ τῆς Φωκίδος. Proelii descriptio.

λβ'. Τῦτον δὲ τὸν τρόπον ἐν τῇ φυγῇ τῶν βαρβάρων σχισθέντων, ὁμοίως καὶ τὸ τῶν Ἑλλήνων πλῆθος διεμερίσθη. Ἀθηναῖοι μὲν γὰρ καὶ Πλαταιεῖς, καὶ Θεσπιεῖς τὲς ἐπὶ Θηβῶν ὁρμήσαντας ἐδίωξαν· Κορίνθιοι δὲ καὶ Σικυώνιοι καὶ Φλιάσιοι καί τινες ἕτεροι τοῖς μετὰ Ἀρταβάζε φεύγεσιν ἐπηκολέθησαν. Λακεδαιμόνιοι δὲ μετὰ τῶν λοιπῶν τὲς εἰς τὸ ξύλινον τεῖχος καταφυγόντας διώξαντες, ἐπόρθησαν προθύμως. οἱ δὲ Θηβαῖοι δεξάμενοι τὲς φεύγοντας καὶ προσαναλαβόντες ἐπέθεντο τοῖς διώκεσιν Ἀθηναίοις. γενομένης δὲ πρὸ τῶν τειχῶν καρτερᾶς μάχης, καὶ τῶν Θηβαίων λαμπρῶς ἀγωνισαμένων, ἔπεσον μὲν ἐκ ὀλίγοι παρ' ἀμφοτέροις, τὸ δὲ τελευταῖον βιασθέντες ὑπὸ τῶν Ἀθηναίων, συνέφυγον πάλιν

λιν εἰς τὰς Θήβας. μετὰ δὲ ταῦτα οἱ μὲν Ἀθηναῖοι πρὸς τὲς Λακεδαιμονίες ἀποχωρήσαντες, μετὰ τέτων ἐτειχομάχεν πρὸς τὲς καταφυγόντας εἰς τὴν παρεμβολὴν τῶν Περσῶν· μεγάλε δὲ ἀγῶνος ἐξ ἀμφοτέρων γενομένε, καὶ τῶν μὲν βαρβάρων ἐκ τόπων ὠχυρωμένων καλῶς ἀγωνισαμένων, τῶν δ' Ἑλλήνων βίαν προσαγόντων τοῖς ξυλίνοις τείχεσι, πολλοὶ μὲν παραβόλως ἀγωνιζόμενοι κατετιτρώσκοντο, ἐκ ὀλίγοι δὲ καὶ τῷ πλήθει τῶν βελῶν διαφθειρόμενοι τὸν θάνατον εὐψύχως ὑπέμενον. ἐ μήν γε τὴν ὁρμὴν καὶ βίαν τῶν Ἑλλήνων ἔςεγεν ἔτε τὸ κατεσκευασμένον τεῖχος, ἔτε τὸ πλῆθος τῶν βαρβάρων, ἀλλὰ πᾶν τὸ ἀντιτεταγμένον ὑπείκειν ἠναγκάζετο. ἡμιλλῶντο γὰρ πρὸς ἀλλήλες οἱ τῆς Ἑλλάδος ἡγέμενοι, Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι, μεμετεωρισμένοι μὲν ταῖς προγεγενημέναις νίκαις, πεποιθότες δὲ ταῖς ἑαυτῶν ἀρεταῖς. τέλος δὲ κατὰ κράτος ἁλόντες οἱ βάρβαροι, δεόμενοι ζωγρεῖν, ἐδενὸς ἐτύγχανον ἐλέε. ὁ γὰρ ςρατηγὸς τῶν Ἑλλήνων Παυσανίας ὁρῶν τοῖς πλήθεσιν ὑπερέχοντας τὲς βαρβάρες, εὐλαβεῖτο μή τι παράλογον γένηται, πολλαπλασίων ὄντων τῶν βαρβάρων. διὸ καὶ παραγγείλαντος αὐτῦ μηδένα ζωγρεῖν, ταχὺ πλῆθος ἄπιςον νεκρῶν ἐγένετο. τέλος δὲ οἱ Ἕλληνες ὑπὲρ τὰς δέκα μυριάδας τῶν βαρβάρων κατακόψαντες, μόγις ἐπαύσαντο τῦ κτείνειν τὲς πολεμίες.

Spolia distributa, λγ΄. Τοιῦτον δὲ πέρας τῆς μάχης λαβέσης, οἱ μὲν Ἕλληνες τὲς πεσόντας ἔθαψαν, ὄντας πλείες τῶν μυρίων, διελόμενοι τὰ λάφυρα κατὰ τὸν τῶν ςρατιωτῶν ἀριθμόν. τὴν δὲ περὶ τῶν ἀριςείων κρίσιν ἐποιήσαντο, καὶ Χαρίτιδε κελεύσαντος, ἔκριναν ἀριςεῦσαι πόλιν μὲν Σπάρτην, ἄνδρα δὲ Παυσανίαν τὸν Λακεδαιμόνιον. Ἀρτάβαζος δ' ἔχων τὲς τῶν φευγόντων Περσῶν εἰς τετρακιςμυρίες, καὶ διὰ τῆς Φωκίδος εἰς Μακεδονίαν πορευθεὶς, ὀξυτάταις πορείαις ἐχρῆτο, καὶ ἐσώθη μετὰ τῶν **victoriæ monumenta posita.** ςρατιωτῶν εἰς τὴν Ἀσίαν. οἱ δ' Ἕλληνες ἐκ τῶν λαφύρων δεκάτην ἐξελόμενοι, κατεσκεύασαν χρυσῦν τρίποδα καὶ ἀνέθηκαν εἰς Δελφὲς, ἐπιγράψαντες ἐλεγεῖον τόδε·

Ἑλλά-

Ἑλλάδος εὐρυχόρου σωτῆρες τόνδ᾽ ἀνέθηκαν,
Δουλοσύνης στυγερᾶς ῥυσάμενοι πόλιας.

ἐπέγραψαν δὲ καὶ τοῖς ἐν Θερμοπύλαις ἀποθανοῦσι Λακεδαιμονίοις, κοινῇ μὲν ἅπασι τόδε·

Μυριάσιν ποτὲ τῇδε διακοσίαις ἐμάχοντο
Ἐκ Πελοποννήσου χιλιάδες τέτορες.

ἰδίᾳ δὲ αὐτοῖς τόδε·

Ὦ ξένε, ἄγγειλον Λακεδαιμονίοις, ὅτι τῇδε
Κείμεθα, τοῖς κείνων πειθόμενοι νομίμοις.

Ὁμοίως δὲ καὶ ὁ τῶν Ἀθηναίων δῆμος ἐκόσμησε τοὺς τάφους τῶν ἐν τῷ Περσικῷ πολέμῳ τελευτησάντων, καὶ τὸν ἀγῶνα τὸν ἐπιτάφιον τότε πρῶτον ἐποίησε· καὶ νόμον ἔθηκε, λέγειν ἐγκώμιον τοῖς δημοσίᾳ θαπτομένοις τοὺς προαιρεθέντας τῶν ῥητόρων. μετὰ δὲ ταῦτα Παυσανίας μὲν ὁ στρατηγὸς ἀναλαβὼν τὴν δύναμιν ἐστράτευσεν ἐπὶ τὰς Θήβας, καὶ τοὺς αἰτίους τῆς προτέρας συμμαχίας ἐξήτει πρὸς τὴν τιμωρίαν. τῶν δὲ Θηβαίων καταπεπληγμένων τό, τε πλῆθος τῶν πολεμίων καὶ τὰς ἀρετάς, οἱ μὲν αἰτιώτατοι τῆς ἀπὸ τῶν Ἑλλήνων ἀποστάσεως ἑκουσίως ὑπομείναντες τὴν παράδοσιν, ἐκολάσθησαν ὑπὸ τοῦ Παυσανίου, καὶ πάντες ἀνῃρέθησαν.

virtutis præmia,

defectionis supplicia.

λδ΄. Ἐγένετο δὲ καὶ κατὰ τὴν Ἰωνίαν Ἕλλησι μεγάλη μάχη πρὸς Πέρσας, κατὰ τὴν αὐτὴν ἡμέραν τῇ περὶ τὰς Πλαταιὰς συντελεσθείσῃ, περὶ ἧς μέλλοντες γράφειν, ἀναληψόμεθα τὴν ἀπ᾽ ἀρχῆς διήγησιν. Λεωτυχίδας γὰρ ὁ Λακεδαιμόνιος, καὶ Ξάνθιππος ὁ Ἀθηναῖος, ἡγούμενοι τῆς ναυτικῆς δυνάμεως, καὶ τὸν στόλον ἐκ τῆς περὶ Σαλαμῖνα ναυμαχίας ἀθροίσαντες εἰς Αἴγιναν, ἐν ταύτῃ διατρίψαντες ἡμέρας τινάς, ἔπλευσαν εἰς Δῆλον, ἔχοντες τριήρεις διακοσίας καὶ πεντήκοντα. ἐνταῦθα δ᾽ αὐτῶν ὁρμούντων ἧκον ἐκ Σάμου πρέσβεις, ἀξιοῦντες ἐλευθερῶσαι τοὺς κατὰ τὴν Ἀσίαν Ἕλληνας. οἱ δὲ περὶ τὸν Λεωτυχίδαν συνεδρεύσαντες μετὰ τῶν ἡγεμόνων, καὶ διακούσαντες τῶν Σαμίων, ἔκριναν ἐλευθεροῦν τὰς πόλεις, καὶ κατὰ τάχος ἐξέπλευσαν ἐκ Δήλου. οἱ δὲ τῶν Περσῶν ναύαρχοι διατρίβοντες ἐν τῇ Σάμῳ, πυθόμενοι τὸν τῶν Ἑλλήνων ἐπίπλουν, ἀνήχθησαν ἐκ τῆς Σάμου πάσαις ταῖς ναυσί, καὶ καταράντες εἰς Μυκάλην

Classi Græcorum præfecti, Leotychidas & Xanthippus,

ob Græcos, Asiam tenentes, in libertatem vindicandos pugnam navalem experiri constituunt.

τῆς

τῆς Ἰωνίας, τὰς μὲν ναῦς ἐνεώλκησαν (ὁρῶντες ἐκ ἀξιοχρέας ἔσας ναυμαχεῖν) καὶ ξυλίνῳ τείχει καὶ τάφρῳ βαθείᾳ περιέλαβον αὐτάς. ἐδὲν δὲ ἧττον καὶ δυνάμεις πεζικὰς μετεπέμποντο ἐκ τῶν Σάρδεων καὶ τῶν σύνεγγυς πόλεων, καὶ συνήγαγον τὰς ἅπαντας εἰς δέκα μυριάδας. ἐποιῦντο δὲ καὶ τῶν ἄλλων ἁπάντων τῶν εἰς πόλεμον χρησίμων παρασκευὰς, νομίζοντες καὶ τὰς Ἴωνας ἀποςήσαθαι πρὸς τὰς πολεμίας. οἱ δὲ περὶ τὸν Λεωτυχίδην παντὶ τῷ ςόλῳ κεκοσμημένοι, προσπλεύσαντες τοῖς ἐν τῇ Μυκάλῃ βαρβάροις, ναῦν προαπέςειλαν ἔχεσαν κήρυκα τὸν μεγαλοφωνότατον τῶν ἐν τῷ ςρατοπέδῳ. τῷ δὲ προσετέτακτο προσπλεῦσαι τοῖς πολεμίοις, καὶ μεγάλῃ τῇ φωνῇ κηρύξαι διότι οἱ Ἕλληνες, νενικηκότες ἐν Πλαταιαῖς τὰς Πέρσας, πάρεισι νῦν ἐλευθερώσοντες τὰς κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις. τῦτο δ᾽ ἐποίησαν οἱ περὶ τὸν Λεωτυχίδην, νομίζοντες τὰς συςρατεύοντας τοῖς βαρβάροις Ἕλληνας ἀποςήσειν Περσῶν, καὶ ταραχὴν ἔσεθαι πολλὴν ἐν τῇ τῶν βαρβάρων ςρατοπεδείᾳ. ὅπερ καὶ συνέβη γενέθαι. τῦ γὰρ κήρυκος προσπλεύσαντος ταῖς νενεωλκημέναις ναυσὶ, καὶ κηρύξαντος τὰ προστεταγμένα, συνέβη τὰς μὲν Πέρσας ἀπιςῆσαι τοῖς Ἕλλησι, τὰς δ᾽ Ἕλληνας ἀλλήλοις συντίθεθαι περὶ ςάσεως.

Quamvis ignari Græci rerum ad Platæas actarum, pronuntiari jubent, Persas esse victos.

λέ. Οἱ δ᾽ Ἕλληνες κατασκεψάμενοι τὰ καθ᾽ αὑτὰς, ἀπεβίβασαν τὴν δύναμιν. τῇ δ᾽ ὑςεραίᾳ παρασκευαζομένων αὐτῶν τὰ πρὸς τὴν παράταξιν, προσέπεσε φήμη, ὅτι νενικήκασιν οἱ Ἕλληνες τὰς Πέρσας κατὰ τὰς Πλαταιάς. διόπερ οἱ μὲν περὶ Λεωτυχίδην ἀθροίσαντες ἐκκλησίαν, τὰ πλήθη παρεκάλεσαν εἰς τὴν μάχην, τά τε ἄλλα προσφερόμενοι καὶ τὴν ἐν Πλαταιαῖς νίκην παρωδῦντες, δι᾽ ἣν ὑπελάμβανον θρασυτέρας ποιήσειν τὰς μέλλοντας ἀγωνίζεθαι. θαυμαςὸν δὲ ἐγένετο ἀποτέλεσμα· κατὰ γὰρ τὴν αὐτὴν ἡμέραν ἐφάνησαν αἱ παρατάξεις γεγενημέναι, ἥ τε πρὸς τῇ Μυκάλῃ συντελεσθεῖσα καὶ ἡ κατὰ τὰς Πλαταιὰς γενομένη. διόπερ ἔδοξαν οἱ περὶ τὸν Λεωτυχίδην ὄπω μὲν πεπυσμένοι περὶ τῆς νίκης, ἀφ᾽ ἑαυτῶν δὲ πλάττοντες τὴν εὐημερίαν, ἐφάνησαν ςρατηγήματος ἕνεκεν τῦτο πεποιηκέναι. τὸ γὰρ μέγεθος τῦ διαςήματος ἤλεγχεν ἀδυνατῦσαν τὴν προσαγγελίαν.

λίαν. οἱ δὲ τῶν Περσῶν ἡγεμόνες ἀπίςως ἔχοντες τοῖς Ἕλλησι, τούτους μὲν ἀφώπλισαν, τὰ δὲ ὅπλα τοῖς ἑαυτῶν φίλοις παρέδωκαν. παρακαλέσαντες δὲ τὰ πλήθη, καὶ τὸν Ξέρξην αὐτὸν μετὰ πολλῆς δυνάμεως εἰπόντες ἥξειν βοηθὸν, ἐποίησαν ἅπαντας εὐθαρσεῖς πρὸς τὸν κίνδυνον.

λς΄. Ἀμφοτέρων δὲ αὐτῶν ἐκταξάντων τὴν ςρατιὰν, καὶ προσαγόντων ἐπ᾽ ἀλλήλους, οἱ μὲν Πέρσαι τοὺς πολεμίους ὁρῶντες ὀλίγους ὄντας, κατεφρόνησαν αὐτῶν, καὶ μετὰ πολλῆς κραυγῆς ἐπεφέροντο. τῶν δὲ Σαμίων καὶ Μιλησίων πανδημεὶ προελομένων βοηθῆσαι τοῖς Ἕλλησι, καὶ μετ᾽ ἀλλήλων κοινῇ προσαγόντων κατὰ σπουδὴν, ὡς προϊόντες εἰς ὄψιν ἦλθον τοῖς Ἕλλησιν, οἱ μὲν Ἴωνες ἐνόμιζον εὐθαρσεςέρους ἔσεσθαι τοὺς Ἕλληνας, ἀπέβη δὲ τοὐναντίον. δόξαντες γὰρ οἱ περὶ τὸν Λεωτυχίδην τὸν Ξέρξην ἐκ τῶν Σάρδεων ἐπιέναι μετὰ τῆς δυνάμεως, ἐφοβήθησαν, καὶ ταραχῆς γενομένης ἐν τῷ ςρατοπέδῳ διεφέροντο πρὸς ἀλλήλους. οἱ μὲν γὰρ ἔφασαν τὴν ταχίςην δεῖν εἰς τὰς ναῦς ἀπιέναι, οἱ δὲ μένειν καὶ τεθαῤῥηκότως παρατάξασθαι. ἔτι δ᾽ αὐτοῖς τεθορυβημένοις ἐπεφάνησαν οἱ Πέρσαι διεσκευασμένοι καταπληκτικῶς, καὶ μετὰ βοῆς ἐπιφερόμενοι. οἱ δ᾽ Ἕλληνες οὐδεμίαν ἀνοχὴν ἔχοντες τοῦ βουλεύσασθαι, συνηναγκάσθησαν ὑπομεῖναι τὴν ἔφοδον τῶν βαρβάρων καὶ τὸ μὲν πρῶτον ἀμφοτέρων ἀγωνιζομένων εὐρώςως, ἰσόῤῥοπος ἦν ἡ μάχη, καὶ συχνοὶ παρ᾽ ἀμφοτέροις ἔπιπτον. τῶν δὲ Σαμίων καὶ τῶν Μιλησίων ἐπιφανέντων, οἱ μὲν Ἕλληνες ἐπεῤῥώσθησαν, οἱ βάρβαροι δὲ καταπλαγέντες, πρὸς τὴν φυγὴν ὥρμησαν. πολλοῦ δὲ γινομένου φόνου, οἱ μὲν περὶ τὸν Λεωτυχίδην καὶ Ξάνθιππον ἐπικείμενοι τοῖς ἡττημένοις, κατεδίωξαν τοὺς βαρβάρους μέχρι τῆς παρεμβολῆς· συνεπελάβοντο δὲ τῆς μάχης ἤδη κεκριμένης Αἰολεῖς, καὶ τῶν ἄλλων πολλοὶ τῶν κατὰ τὴν Ἀσίαν. δεινὴ γάρ τις ἐνέπεσεν ἐπιθυμία ταῖς κατὰ τὴν Ἀσίαν πόλεσι τῆς ἐλευθερίας. διόπερ σχεδὸν ἅπαντες οὔθ᾽ ὁμήρων οὔτε ὅρκων ἐποιήσαντο φροντίδα, ἀλλὰ μετὰ τῶν ἄλλων Ἑλλήνων ἀπέκτειναν ἐν τῇ φυγῇ τοὺς βαρβάρους. τοῦτον δὲ τὸν τρόπον ἡττηθέντων τῶν Περσῶν, ἀνῃρέθησαν αὐτῶν πλείους

Pugna navalis ad Mycalen commissa eodem die, quo apud Platæas pugnatum est, describitur.

Persæ in fugam acti.

πλείȣς τῶν τετρακισμυρίων· τῶν δὲ διασωθέντων οἱ μὲν εἰς τὴν ϛρατοπεδείαν διέφυγον, οἱ δὲ εἰς Σάρδεις ἀπεχώρησαν. Ξέρξης δὲ πυθόμενος τήν τε περὶ τὰς Πλαταιὰς ἧτταν καὶ τὴν ἐν τῇ Μυκάλῃ τροπὴν τῶν ἰδίων, μέρος μὲν τῆς δυνάμεως ἀπέλιπεν ἐν Σάρδεσιν, ὅπως διαπολεμῇ πρὸς τȣς Ἕλληνας· αὐτὸς δὲ τεθορυβημένος μετὰ τῆς λοιπῆς ϛρατιᾶς προῆγεν, ἐπ' Ἐκβατάνων ποιȣμενος τὴν πορείαν.

λζ'. Οἱ δὲ περὶ Λεωτυχίδην καὶ Ξάνθιππον, ἀποπλεύσαντες εἰς Σάμον τȣς μὲν Ἴωνας καὶ τȣς Αἰολεῖς συμμάχȣς ἐποιήσαντο· μετὰ δὲ ταῦτα ἔπειθον αὐτȣς, ἐκλιπόντας τὴν Ἀσίαν, εἰς τὴν Εὐρώπην μετοικισθῆναι. ἐπηγγέλλοντο δὲ τά τε μηδίσαντα τῶν ἐθνῶν ἀναϛήσαντες, δώσειν ἐκείνοις τὴν χώραν. καθόλȣ γὰρ μένοντας αὐτȣς ἐπὶ τῆς Ἀσίας, τȣς μὲν πολεμίȣς ὁμόρȣς ἕξειν, πολὺ ταῖς δυνάμεσιν ὑπερέχοντας· τȣς δὲ συμμάχȣς διαποντίȣς μὴ δύναϑαι τὰς βοηθείας εὐκαίρȣς αὐτοῖς ποιήσαϑαι. οἱ δὲ Αἰολεῖς καὶ οἱ Ἴωνες, ἀκȣσαντες τῶν ἐπαγγελιῶν, ἔγνωσαν πείθεϑαι τοῖς Ἕλλησι, καὶ παρεσκευάζοντο πλεῖν μετ' αὐτῶν εἰς τὴν Εὐρώπην. οἱ δ' Ἀθηναῖοι μετανοήσαντες εἰς τȣναντίον, πάλιν μένειν συνεβȣλευον, λέγοντες ὅτι κἂν μηδεὶς αὐτοῖς τῶν ἄλλων Ἑλλήνων βοηθοίη, μόνοι Ἀθηναῖοι συγγενεῖς ὄντες βοηθήσȣσιν. ὑπελάμβανον δὲ ὅτι κοινῇ κατοικισθέντες ὑπὸ τῶν Ἑλλήνων οἱ Ἴωνες, ȣκέτι μητρόπολιν ἡγήσονται τὰς Ἀθήνας· διόπερ συνέβη μετανοῆσαι τȣς Ἴωνας, καὶ κρῖναι μένειν ἐπὶ τῆς Ἀσίας. τȣτων δὲ πραχθέντων, συνέβη τὴν δύναμιν τῶν Ἑλλήνων σχισθῆναι, καὶ τȣς μὲν Λακεδαιμονίȣς εἰς τὴν Λακωνικὴν ἀποπλεῦσαι, τȣς δὲ Ἀθηναίȣς μετὰ τῶν Ἰώνων καὶ τῶν νησιωτῶν ἐπὶ Σηϛὸν ἆπαραι· Ξάνθιππος δὲ ὁ ϛρατηγὸς εὐθὺς ἐκ κατάπλȣ προσβολὰς τῇ πόλει ποιησάμενος, εἷλε Σηϛὸν, καὶ Φρȣρὰν ἐγκαταϛήσας, τȣς μὲν συμμάχȣς ἀπέλυσεν, αὐτὸς δὲ μετὰ τῶν πολιτῶν ἀνέκαμψεν εἰς τὰς Ἀθήνας. ὁ μὲν ȣ̓ν Μηδικὸς ὀνομαϑεὶς πόλεμος γενόμενος διετὴς τȣτο ἔσχε τὸ πέρας.

Hæc pugna bellum Medicum finiit, per duos annos gestum.

Ξέρξης δὲ περάσας εἰς τὴν Ἀσίαν, καὶ ἀπελαύνων εἰς Σάρδεις, ἔπεμπε Μεγάβυζον τὸ ἐν Δελφοῖς ἱερὸν συλη-

Ctesias cap. 27—57.

συλῆσαι. ἐπεὶ δὲ ἐκεῖνος παρῃτεῖτο, ἀποςέλλεται Ματακᾶς ὁ εὐνȣ̃χος, ὕβρεις τε Φέρων τῷ Ἀπόλλωνι, καὶ πάντα συλήσων. καὶ δὴ ȣ̃τως ποιήσας, πρὸς Ξέρξην ὑπέςρεΦε. Ξέρξης δὲ ἀπὸ Βαβυλῶνος εἰς Πέρσας παραγίνεται, καὶ Μεγάβυζος κατὰ τῆς γυναικὸς τῆς ἰδίας Ἀμύτιος, ἣ θυγάτηρ ὡς προείρηται Ξέρξȣ ἐτύγχανεν, ὡς μεμοιχευμένης λόγȣς ἐκίνει. καὶ ἐπιτιμᾶται Ἄμυτις λόγοις ὑπὸ τȣ̃ πατρὸς, καὶ ὑπισχνεῖται σωΦρονεῖν. Ἀρτάπανος δὲ, μέγα παρὰ Ξέρξῃ δυνάμενος, μετὰ Σπαμίτρȣ τȣ̃ ἡμιάῤῥενος, καὶ αὐτȣ̃ μέγα δυναμένȣ, βȣλεύονται ἀνελεῖν Ξέρξην· καὶ ἀναιρȣ̃σι. καὶ πείθȣσιν Ἀρτοξέρξην τὸν υἱὸν ὡς Δαρειαῖος αὐτὸν ὁ ἕτερος παῖς ἀνεῖλε. καὶ παραγίνεται Δαρειαῖος ἀγόμενος ὑπὸ Ἀρταπάνȣ εἰς τὴν οἰκίαν Ἀρτοξέρξȣ, πολλὰ βοῶν καὶ ἀπαρνȣ́μενος ὡς ȣ̓κ εἴη Φονεὺς τȣ̃ πατρὸς· καὶ ἀποθνήσκει.

Καὶ βασιλεύει Ἀρτοξέρξης, σπȣδῇ Ἀρταπάνȣ· καὶ ἐπιβȣλεύεται πάλιν ὑπ' αὐτȣ̃, καὶ λαμβάνει κοινωνὸν τῆς βȣλῆς Ἀρτάπανος Μεγάβυζον, ἤδη λελυπημένον ἐπὶ τῇ ἰδίᾳ γυναικὶ Ἄμυτι, διὰ τὴν τῆς μοιχείας ὑπόληψιν· καὶ ὅρκοις ἀλλήλȣς ἀσΦαλίζονται. ἀλλὰ μηνύει πάντα Μεγάβυζος, καὶ ἀναιρεῖται Ἀρτάπανος ᾧ τρόπῳ ἔμελλεν ἀναιρεῖν Ἀρτοξέρξην· καὶ γίνεται πάντα δῆλα τὰ εἰργασμένα ἐπὶ Ξέρξῃ καὶ Δαρειαίῳ. καὶ ἀπόλλυται πικρῷ καὶ κακίςῳ θανάτῳ Ἀσπαμίτρης, ὃς ἦν κοινωνὸς ἐπὶ τοῖς Φόνοις Ξέρξȣ καὶ Δαρειαίȣ· σκαΦεύεται γὰρ, καὶ ȣ̃τως ἀναιρεῖται. μάχη δὲ γίνεται μετὰ τὸν θάνατον Ἀρταπάνȣ, τῶν τε συνωμοτῶν αὐτȣ̃ καὶ τῶν ἄλλων Περσῶν. καὶ πίπτȣσιν ἐν τῇ μάχῃ οἱ τρεῖς τȣ̃ Ἀρταπάνȣ υἱοὶ, τραυματίζεται δὲ καὶ Μεγάβυζος ἰσχυρῶς· καὶ θρηνεῖ Ἀρτοξέρξης καὶ ἡ Ἄμυτις καὶ ἡ Ῥοδογȣ́νη καὶ ἡ μήτηρ αὐτῶν Ἄμιςρις. καὶ μόλις πολλῇ ἐπιμελείᾳ περισώζεται Ἀπολλωνίδȣ ἰατρȣ̃ τȣ̃ Κώȣ. ἈΦίςαται Ἀρτοξέρξȣ Βάκτρα, καὶ ὁ σατράπης ἄλλος Ἀρτάπανος· καὶ γίνεται μάχη ἰσοπαλής· καὶ γίνεται πάλιν ἐκ δευτέρȣ· καὶ ἀνέμȣ κατὰ πρόσωπον Βακτρίων πνεύσαντος, νικᾷ Ἀρτοξέρξης, καὶ προσχωρεῖ αὐτῷ πᾶσα Βακτρία. ἈΦίςαται Αἴγυπτος, Ἰνάρȣ Λυβίȣ ἀνδρὸς καὶ ἑτέρȣ Αἰγυπτίȣ τὴν ἀπόςασιν μελετήσαντος. καὶ εὐτρεπίζεται

πίζεται τὰ πρὸς πόλεμον. πέμπουσι καὶ Ἀθηναῖοι, αἰτησαμένου αὐτοῦ, τεσσαράκοντα νῆας. καὶ μελετᾷ αὐτὸς Ἀρτοξέρξης ἐκστρατεῦσαι. καὶ τῶν φίλων οὐ συμβουλευόντων, πέμπει Ἀχαιμενίδην τὸν ἀδελφὸν, τεσσαράκοντα μὲν μυριάδας ἐπαγόμενον στράτευμα πεζικὸν, νῆας δὲ π΄. συμβάλλει πόλεμον Ἴναρος πρὸς Ἀχαιμενίδην· καὶ νικῶσιν Αἰγύπτιοι, καὶ βάλλεται Ἀχαιμενίδης ὑπὸ Ἰνάρου, καὶ θνήσκει· καὶ ἀποπέμπεται ὁ νεκρὸς αὐτοῦ εἰς Ἀρτοξέρξην. ἐνίκησεν Ἴναρος καὶ κατὰ θάλασσαν, Χαριτιμίδου εὐδοκιμήσαντος, ὃς τῶν ἐξ Ἀθηνῶν τεσσαράκοντα νηῶν ἐχρημάτιζε ναύαρχος· καὶ ν΄ Περσῶν νῆες αἱ μὲν εἴκοσιν αὐτοῖς ἀνδράσιν ἐλήφθησαν, αἱ δὲ λ΄ διεφθάρησαν. Ἔιτα πέμπεται κατὰ Ἰνάρου Μεγάβυζος, ἐπαγόμενος ἄλλο στράτευμα πρὸς τῷ ὑπολειφθέντι, μυριάδας εἴκοσι, καὶ νῆας τ΄. καὶ ἐπιστάτην αὐτοῖς Ὀρίσκον. ὡς εἶναι χωρὶς τῶν νεῶν, τὸ ἄλλο πλῆθος, ν΄ μυριάδας. Ἀχαιμενίδης γὰρ ὅτε ἔπεσε, ί μυριάδες αὐτῷ, ἐξ ὧν ἦγε μ΄, συνδιεφθάρησαν. γίνεται οὖν μάχη κρατερὰ, καὶ πίπτουσιν ἀμφοτέρωθεν πολλοὶ, πλείους δὲ Αἰγύπτιοι. καὶ βάλλει Μεγάβυζος εἰς τὸν μηρὸν Ἴναρον, καὶ τρέπεται· καὶ νικῶσι Πέρσαι κατακράτος· φεύγει δὲ πρὸς τὴν Βύβλον Ἴναρος, πόλις ἰσχυρὰ ἐν Αἰγύπτῳ αὕτη, καὶ οἱ Ἕλληνες δὲ μετ' αὐτοῦ, ὅσοι μὴ ἐν τῇ μάχῃ καὶ μετὰ Χαριτιμίδου ἀπέθανον. προσχωρεῖ δὲ Αἴγυπτος πλὴν Βύβλου πρὸς Μεγάβυζον. ἐπεὶ δὲ ἐκείνη ἀνάλωτος ἐδόκει, σπένδεται πρὸς Ἴναρον καὶ τοὺς Ἕλληνας, ἑξακισχιλίους ὄντας καὶ ἔτι πρὸς, ὁ Μεγάβυζος, ἐφ' ᾧ μηδὲν κακὸν παρὰ βασιλέως λαβεῖν, καὶ τοὺς Ἕλληνας, ὅτε βούλοιντο, πρὸς τὰ οἰκεῖα ἐπανελθεῖν. καθίστησι δὲ τῆς Αἰγύπτου σατράπην Σαρσάμαν, καὶ λαβὼν Ἴναρον καὶ τοὺς Ἕλληνας παραγίνεται πρὸς Ξέρξην· καὶ εὑρίσκει λίαν κατὰ Ἰνάρου τεθυμωμένον, ὅτι τὸν ἀδελφὸν Ἀχαιμενίδην ἀπεκτωνὸς εἴη. διηγεῖται τὰ γεγονότα πάντα Μεγάβυζος, καὶ ὡς πίστεις δοὺς Ἰνάρῳ καὶ τοῖς Ἕλλησι Βύβλον εἴληφε. καὶ ἐξαιτεῖται λιπαρῶς βασιλέα περὶ τῆς αὐτῶν σωτηρίας· καὶ λαμβάνει. καὶ ἐξάγεται τέλος τῇ στρατιᾷ, ὡς Ἴναρος καὶ οἱ Ἕλληνες οὐδὲν κακὸν πείσονται. Ἄμυτις δὲ ὑπὲρ τοῦ παιδὸς Ἀχαιμενίδου δεινὰ ἐποιεῖτο,

εἰ

εἰ μὴ τιμωρήσαιτο Ἴναρον καὶ τὰς Ἕλληνας καὶ αἰτεῖται ταῦτα βασιλέα, ὁ δὲ ἐκ ἐνδίδωσιν· εἶτα Μεγάβυζον, ὁ δὲ ἀποπέμπεται. εἶτα, ἐπεὶ διώχλει τὸν υἱὸν, κατειργάσατο· καὶ πέντε παρελθόντων ἐτῶν, λαμβάνει τὸν Ἴναρον παρὰ βασιλέως καὶ τὰς Ἕλληνας. καὶ ἀνεσαύρωσε μὲν ἐπὶ τρισὶ σαυροῖς· πεντήκοντα δὲ Ἑλλήνων, ὅσας λαβεῖν ἴσχυσε, τέτων ἔτεμε τὰς κεφαλάς. Καὶ ἐλυπήθη λύπην σφοδρὰν Μεγάβυζος καὶ ἐπένθησε· καὶ ἠτήσατο ἐπὶ Συρίαν τὴν ἑαυτῦ χώραν ἀπιέναι. ἐνταῦθα λάθρα καὶ τὰς ἄλλας τῶν Ἑλλήνων προέπεμπε, καὶ ἀπήει· καὶ ἀπέςη βασιλέως. καὶ ἀθροίζει μεγάλην δύναμιν, ἄχρι πεντεκαίδεκα μυριάδων, χωρὶς τῶν ἱππέων καὶ τῶν πεζῶν. καὶ πέμπεται Ὄυσιρις κατ᾽ αὐτῦ σὺν εἴκοσι μυριάσι. καὶ συνάπτεται πόλεμος, καὶ βάλλεσιν ἀλλήλας Μεγάβυζος καὶ Ὄυσιρις· ὁ μὲν ἀκοντίῳ, καὶ τυγχάνει Μεγαβύζε εἰς τὸν μηρὸν, καὶ τιτρώσκει ἄχρι δακτύλων δύο· ὁ δὲ ὡσαύτως ἀκοντίῳ τὸν τῦ Ὀυσίριος μηρόν. εἶτα βάλλει εἰς τὸν ὦμον· κἀκεῖνος πίπτει ἐκ τῦ ἵππε. καὶ περισχὼν Μεγάβυζος προστάσσει ἀναλαβεῖν καὶ περισῶσαι. ἔπιπτον δὲ πολλοὶ τῶν Περσῶν· καὶ ἐμάχοντο ἀνδρείως ὅτε τῦ Μεγαβύζε παῖδες Ζώπυρος καὶ Ἀρτύφιος. καὶ νίκη γίνεται Μεγαβύζῳ κραταιά. περιποιεῖται Ὄυσιριν ἐπιμελῶς, καὶ ἀποπέμπει τῦτον αἰτησάμενον πρὸς Ἀρτοξέρξην. Πέμπεται δὲ κατ᾽ αὐτῦ ἑτέρα ςρατιὰ, καὶ Μενοςάνης ὁ τῦ Ἀρταρίε παῖς. ὁ δὲ Ἀρτάριος σατράπης μὲν ἦν Βαβυλῶνος, Ἀρτοξέρξε δὲ ἀδελφός. καὶ συμβάλλεσιν ἀλλήλοις, καὶ φεύγει ἡ Περσικὴ ςρατιά. καὶ Μενοςάνης βάλλεται εἰς τὸν ὦμον ὑπὸ Μεγαβύζε· εἶτα εἰς τὴν κεφαλὴν τοξεύεται ἐ καιρίαν. φεύγει δὲ ὅμως αὐτὸς καὶ οἱ μετ᾽ αὐτῦ, καὶ νίκη λαμπρὰ γίνεται Μεγαβύζῳ. Ἀρτάριος δὲ πέμπει πρὸς Μεγάβυζον, καὶ παραινεῖ σπείσασθαι βασιλεῖ. ὁ δὲ δηλοῖ σπείσασθαι μὲν βέλεσθαι καὶ αὐτὸν, ἐ μέντοι παραγινέσθαι πρὸς βασιλέα, ἀλλ᾽ ἐφ᾽ ᾧ μένειν ἐν τῇ ἑαυτῦ. ἀπαγγέλλεται ταῦτα βασιλεῖ. καὶ συμβελεύεσιν Ἀρτοξάρης τε ὁ Παφλαγὼν εὐνῦχος, ἀλλὰ καὶ ἡ Ἄμιςρις, σπεδῇ σπείσασθαι. πέμπεται ἐν Ἀρτάριός τε αὐτὸς καὶ Ἄμυτις ἡ γυνὴ, καὶ Ἀρτοξάρης, ἐτῶν ἤδη ὢν

K εἴκοσι,

εἴκοσι, καὶ Πετίσας ὁ Ουσίριος καὶ Σπιταμᾶ πατὴρ. πολλοῖς οὖν λόγοις καὶ ὅρκοις πληροφορήσαντες Μεγάβυζον, μόλις ὅμως πείθουσι πρὸς βασιλέα παραγινέσθαι. καὶ βασιλεὺς τέλος ἔπεμπε παραγινομένῳ συγγνώμην ἔχειν τῶν ἡμαρτημένων. Ἐξέρχεται βασιλεὺς ἐπὶ θήραν, καὶ λέων ἐπέρχεται αὐτῷ· μετεώρου δὲ Φερομένου τοῦ θηρίου, βάλλει ἀκοντίῳ Μεγάβυζος καὶ ἀναιρεῖ. καὶ ὀργίζεται Ἀρτοξέρξης, ὅτι πρὶν ἢ αὐτὸς τύχῃ, Μεγάβυζος ἔβαλε· καὶ προστάσσει τὴν κεφαλὴν τὸν Μεγάβυζον ἀποτμηθῆναι. Ἀμίστριος δὲ καὶ Ἀμύτιος καὶ τῶν ἄλλων τῇ παραιτήσει τοῦ μὲν θανάτου ῥύεται, ἀνάσπαστος δὲ γίνεται εἰς τὴν ἐρυθρὰν, ἔν τινι πόλει ὀνόματι Κύρται. ἐξορίζεται δὲ καὶ Ἀρτοξάρης ὁ εὐνοῦχος εἰς Ἀρμενίαν, ὅτι πολλάκις ὑπὲρ Μεγαβύζου βασιλεῖ ἐπαῤῥησιάσατο. Ὁ δὲ Μεγάβυζος πέντε διατρίψας ἐν τῇ ἐξορίᾳ ἔτη ἀποδιδράσκει, ὑποκριθεὶς τὸν πισάγαν. (πισάγας δὲ λέγεται παρὰ Πέρσαις ὁ λεπρὸς, καὶ ἔστι πᾶσιν ἀπρόσιτος.) ἀποδρὰς οὖν παραγίνεται πρὸς Ἄμυτιν καὶ τὸν οἶκον, καὶ μόλις ἐπιγινώσκεται· καὶ δι' Ἀμίστριος καὶ δι' Ἀμύτιος καταλλάσσεται ὁ βασιλεὺς, καὶ ποιεῖ αὐτὸν, ὡς τὸ πρόσθεν, ὁμοτράπεζον. ζήσας δὲ ἓξ καὶ ἑβδομήκοντα ἔτη ἀπέθανε, καὶ κάρτα ἠχθέσθη βασιλεύς. Τελευτήσαντος δὲ Μεγαβύζου, κάρτα ἦν Ἄμυτις ἀνδράσιν ὁμιλοῦσα· καὶ πρό γε ταύτης καὶ ἡ μήτηρ Ἄμιστρις ὁμοίως. ὁ δὲ Ἀπολλωνίδης ὁ ἰατρὸς ὁ Κῷος, ἐπεὶ ἀσθενῶς εἶχεν Ἄμυτις, εἰ καὶ βληχρῶς καὶ οὐκ ἰσχυρῶς, ἐκεῖνος δὲ ἠράσθη αὐτῆς, ἔφη εἰς τὴν ὑγείαν αὐτὴν ἐπανελθεῖν ἐὰν ἀνδράσιν ὁμιλήσῃ· τῆς γὰρ ὑστέρης εἶναι τὸ νόσημα. ἐπεὶ δὲ αὐτῷ ἐξεγένετο τὸ ἐπιτήδευμα, καὶ ὡμίλει αὐτῇ, ἡ δὲ ἄνθρωπος ἐμαραίνετο, ἀπέστη τῆς συνουσίας. τελευτῶσα δὴ οὖν ἐπήγγειλε τῇ μητρὶ, ἀμύνασθαι Ἀπολλωνίδην. ἡ δὲ ἀπήγγειλε πάντα Ἀρτοξέρξῃ τῷ βασιλεῖ, ὅπως τε ὡμίλει, καὶ ὅπως ἀπέστη ὑβρίσας· καὶ ὅπως ἡ θυγάτηρ ἐπήγγειλεν Ἀπολλωνίδην ἀμύνασθαι. ἐκεῖνος δὲ τῇ μητρὶ τὸ παριστάμενον αὐτῇ πράττειν ἐπιτρέπει. ἡ δὲ λαβοῦσα ἔδησε τὸν Ἀπολλωνίδην, δυσὶ μησὶ κολάζουσα. ἔπειτα ζῶντα κατώρυξεν, ὅτε καὶ Ἄμυτις ἀπέθανε. Ζώπυρος δὲ ὁ Μεγαβύζου καὶ Ἀμύτιος παῖς, ἐπεὶ αὐτῷ

αὐτῷ ὅ τε πατὴρ καὶ ἡ μήτηρ ἐτελεύτησεν, ἀπέστη βασιλέως, καὶ εἰς Ἀθήνας ἀφίκετο, κατὰ τὴν τῆς μητρὸς εἰς αὐτοὺς εὐεργεσίαν. εἰς Καῦνον δὲ ἅμα τοῖς ἑπομένοις εἰσέπλευσε, καὶ ἐκέλευσε παραδιδόναι τὴν πόλιν. Καύνιοι δὲ αὐτῷ μὲν παραδιδόναι τὴν πόλιν ἔφασκον, Ἀθηναίοις δὲ συνεπομένοις οὐκέτι. εἰσιόντι δὲ Ζωπύρῳ εἰς τὸ τεῖχος λίθον Ἀλκίδης Καύνιος ἐμβάλλει εἰς τὴν κεφαλήν· καὶ οὕτως Ζώπυρος ἀποθνήσκει. Ἄμιστρις δὲ ἡ μάμμη τὸν Καύνιον ἀνεσταύρωσεν. ἀποθνήσκει δὲ καὶ ἡ Ἄμιστρις, κάρτα γραῦς γενομένη. καὶ Ἀρτοξέρξης δὲ ἀποθνήσκει, μ' καὶ β' ἔτεα βασιλεύσας.

Ἀρτοξέρξου δὲ τελευτήσαντος, Ξέρξης ὁ υἱὸς βασιλεύει, ὃς μόνος ἦν γνήσιος ἐκ Δαμασπίας· ἣ ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἐν ᾗ καὶ Ξέρξης ἐτελεύτησεν, ἀπεβίω. Βαγόραζος δὲ τὸν νεκρὸν τοῦ πατρὸς καὶ τῆς μητρὸς ἀπήγαγεν εἰς Πέρσας. ἑπτακαίδεκα δὲ νόθους υἱοὺς ἔσχεν ὁ Ἀρτοξέρξης, ἐξ ὧν ἐστὶ καὶ Σεκυνδιανὸς, ὁ ἐξ Ἀλογένης τῆς Βαβυλωνίας, καὶ Ὦχος, καὶ Ἀρσίτης, ὁ ἐκ Κοσμαρτιδήνης, καὶ αὐτῆς Βαβυλωνίας. ὁ δὲ Ὦχος ὕστερον καὶ βασιλεύει· ἔτι δὲ παῖδες αὐτοῦ, πρὸς τοῖς εἰρημένοις, καὶ Βαγαπαῖος καὶ Παρύσατις, ἐξ Ἀνδίας, καὶ αὐτῆς Βαβυλωνίας. αὕτη ἡ Παρύσατις Ἀρτοξέρξου καὶ Κύρου μήτηρ ἐγένετο. τὸν δὲ Ὦχον ζῶν ὁ πατὴρ Ὑρκανίων σατράπην ἐποίησε, δοὺς αὐτῷ καὶ γυναῖκα Παρύσατιν ὄνομα. ἥτις ἦν Ξέρξου μὲν θυγάτηρ, ἀδελφὴ δὲ οἰκεία. Ὁ δὲ Σεκυνδιανὸς, προσποιησάμενος Φαρνακύαν τὸν εὐνοῦχον, ὃς ἦν μετὰ Βαγόραζον καὶ Μενοστάνη καὶ ἑτέρους τινὰς, μεθύοντος ἐν ἑορτῇ τινι τοῦ Ξέρξου καὶ καθεύδοντος ἐν τοῖς βασιλείοις, εἰσελθόντες ἀποκτείνουσιν αὐτὸν, τεσσαρακοστῆς καὶ πέμπτης ἡμέρας διαγενομένης ἀπὸ τῆς τοῦ πατρὸς τελευτῆς. συνέβη οὖν ἀμφοτέρους ἅμα εἰς Πέρσας ἀποκομισθῆναι. αἱ γὰρ ἄγουσαι τὴν ἁρμάμαξαν ἡμίονοι, ὥσπερ ἀναμένουσαι καὶ τὸν τοῦ παιδὸς νεκρὸν, οὐκ ἤθελον πορεύεσθαι. ὅτε δὲ κατέλαβε, σὺν προθυμίᾳ ἀπῄεσαν.

Xerxes II. 425 ante Chr.

Βασιλεύει δὲ Σεκυνδιανὸς, καὶ γίνεται Ἀζαβαρίτης αὐτῷ Μενοστάνης. ἀπιὼν δὲ Βαγόραζος, καὶ ὑποστρέψας πρὸς Σεκυνδιανὸν, ἐπεὶ παλαιὰ αὐτοῖς ἔχθρα ὑπετύφετο,

Sekyndianus.

το, ὡς δῆθεν ἄνευ τῆς ἑαυτȣ̃ γνώμης τȣ̃ πατρὸς λιπὼν τὸν νεκρὸν αὐτȣ̃, προστάξει βασιλέως λιθόλευςος ἐγεγίνει. ἐφ' ᾧ ἡ ςρατιὰ εἰς λύπην κατηνέχθη. ὁ δὲ δῶρα αὐτῇ ἐδίδȣ. οἱ δὲ ἐμίσȣν αὐτὸν, ὅτι τε τὸν ἀδελφὸν Ξέρξην ἀπεκτόνει καὶ ὅτι Βαγόραζον. Διαπέμπεται Σεκυνδιανὸς προσκαλȣ́μενος Ὦχον. ὁ δὲ ὑπισχνεῖται μὲν, ȣ̓ παραγίνεται δέ. καὶ γίνεται τȣ̃το πολλάκις. τέλος περιβάλλεται Ὦχος πολλὴν ςρατιὰν, καὶ ἐπίδοξος ἦν βασιλεύειν. ἀφίςαται Ἀρβάριος ὁ τῶν ἱππέων Σεκυνδιανȣ̃ ἄρχων πρὸς Ὦχον· εἶτα Ἀρξάνης ὁ Αἰγύπτȣ σατράπης· καὶ Ἀρτοξάρης δὲ ἐξ Ἀρμενίας ἧκε πρὸς Ὦχον. καὶ ἐπέθεντο αὐτῷ τὴν κίταριν, ȣ̓́τι ἑκόντι.

Ochus s. Darius Nothus. 423—405 ante Chr.

Βασιλεύει Ὦχος καὶ μετονομάζεται Δαρειαῖος. καὶ μετέρχεται ἀπάτῃ καὶ ὅρκοις, ὑποθήκῃ Παρυσάτιδος, τὸν Σεκυνδιανόν· πολλὰ Μενοςάνȣς παραινȣ̃ντος Σεκυνδιανὸν μὴ πιςεύειν τοῖς ὅρκοις, μηδὲ σπένδεσθαι τοῖς ἐξαπατῶσι. πείθεται δ' ȣ̓̃ν ὅμως καὶ ἁλίσκεται, καὶ εἰς τὴν σποδὸν ἐμβάλλεται καὶ ἀπόλλυται, βασιλεύσας μῆνας ἓξ, ἡμέρας πεντεκαίδεκα. Βασιλεύει ȣ̓̃ν μόνος Ὦχος, ὁ καὶ Δαρειαῖος· εὐνȣ̃χοι δὲ τρεῖς ἠδύναντο παρ' αὐτῷ, μέγιςον μὲν Ἀρτοξάρης, δεύτερος δὲ Ἀρτιβαρξάνης, καὶ τρίτος, Ἀθῶος. ἐχρῆτο δὲ μάλιςα τῇ γυναικὶ συμβȣ́λῳ. ἐξ ἧς πρὸ τῆς βασιλείας δύο ἔσχε τέκνα, Ἄμιςριν θυγατέρα καὶ Ἀρσάκαν υἱόν· ὃς ὕςερον μετωνομάσθη Ἀρτοξέρξης. τίκτει δὲ αὐτῷ ἕτερον υἱὸν βασιλεύȣσα, καὶ τίθεται τὸ ὄνομα αὐτȣ̃ ἀπὸ τȣ̃ ἡλίȣ Κῦρον. εἶτα τίκτει Ἀρτόςην, καὶ ἐφεξῆς μέχρι παίδων δεκατριῶν. καὶ φησιν ὁ συγγραφεὺς, αὐτὸς παρ' αὐτῆς ἐκείνης τῆς Παρυσάτιδος ταῦτα ἀκȣ̃σαι. ἀλλὰ τὰ μὲν ἄλλα τῶν τέκνων ταχὺ ἀπεβίω. οἱ δὲ περιγεγονότες, οἵ τε προῤῥηθέντες τυγχάνȣσι, καὶ ἔτι τέταρτος υἱὸς, Ὀξένδρας ὠνομασμένος. Ἀφίςανται βασιλέως Ἀρσίτης οἰκεῖος ἀδελφὸς ὁμοπάτριος καὶ ὁμομήτριος, καὶ Ἀρτύφιος ὁ Μεγαβύζȣ. πέμπεται Ἀρτασύρας κατ' αὐτῶν, καὶ πολεμεῖ Ἀρτύφιον. καὶ δυσὶ μάχαις Ἀρτασύρας ἡττᾶται, εἶτα πάλιν συμβαλὼν, νικᾷ Ἀρτύφιον· καὶ ὑπάγεται τȣ̀ς σὺν αὐτῷ Ἕλληνας δώροις, καὶ καταλιμπάνονται αὐτῷ Μιλήσιοι μόνοι τρεῖς. τέλος ὅρκȣς καὶ πίςεις λαβὼν παρὰ Ἀρτασύρα, ἐπεὶ ȣ̓ Ἀρσί-

Ἀρσίτης οὐκ ἐφαίνετο, προσεχώρησε βασιλεῖ. Παρύσατις δὲ βουλεύεται βασιλεῖ ὁρμῶντι πρὸς τὸν Ἀρτυφίου θάνατον, μὴ ἀνελεῖν τέως, (ἔσεσθαι γὰρ τοῦτο ἀπάτην, καὶ εἰς τὴν προσχώρησιν τοῦ Ἀρσίτου) ἐπειδὰν δὲ κἀκεῖνος ἀπατηθεὶς ἁλῷ, δεῖν τότε ἄμφω διαχρήσασθαι. καὶ γέγονεν οὕτως, εὐοδωθείσης τῆς συμβουλῆς. καὶ ἐμβάλλεται εἰς τὴν σποδὸν Ἀρτύφιος καὶ Ἀρσίτης. καί τοι Ἀρσίτην ὁ βασιλεὺς οὐκ ἐβούλετο ἀπολέσαι, ἀλλ' ἡ Παρύσατις, τὰ μὲν πείθουσα, τὰ δὲ βιαζομένη, ἀπώλεσε. κατελεύσθη δὲ καὶ Φαρνακύας, ὁ συνανελὼν Σεκυνδιανῷ Ξέρξην. ἀνῃρέθη δὲ καὶ Μενοστάνης ὑφ' ἑαυτοῦ, ἤδη πρὸς θάνατον συλλαμβανόμενος. Ἀφίσταται Πισούθνης· καὶ ἀποστέλλεται κατ' αὐτοῦ Τισσαφέρνης, καὶ Σπιθραδάτης, καὶ Παρμίσης. ἀντεπεξήει δὲ Πισούθνης, ἔχων καὶ Λύκωνα τὸν Ἀθηναῖον ἅμα Ἕλλησιν ὧν ἐκεῖνος ἦρχε. λαμβάνουσι δὲ οἱ τοῦ βασιλέως στρατηγοὶ χρήμασι Λύκωνα καὶ τοὺς Ἕλληνας, καὶ ἀφιστῶσι Πισούθνου. εἶτα δόντες αὐτῷ πίστεις καὶ λαβόντες, ἄγουσι παρὰ βασιλέα. ὁ δὲ εἰς τὴν σποδὸν ἐνέβαλεν, Τισσαφέρνῃ δοὺς τὴν Πισούθνου σατραπείαν. ἔλαβε δὲ Λύκων καὶ πόλεις καὶ χώρας ὑπὲρ τῆς προδοσίας. Ἀρτοξάρης δὲ, ὃς μέγα ἠδύνατο παρὰ βασιλεῖ, ἐπιβουλεύει βασιλέα, θέλων αὐτὸς βασιλεῦσαι, ἐκτομίας ὑπάρχων. πώγωνα γὰρ καὶ ὑπόρρινα προσέταξεν αὐτῷ γυναικὶ κατασκευάσαι, ἵνα ὡς ἀνὴρ φαίνοιτο. δι' ἧς καὶ καταμηνύεται, καὶ συλλαμβάνεται· καὶ παραδίδοται τῇ Παρυσάτιδι, καὶ ἀναιρεῖται. Ἀρσάκης δὲ, ὁ τοῦ βασιλέως παῖς, ὁ καὶ ὕστερον μετονομασθεὶς Ἀρτοξέρξης, γαμεῖ τὴν Ἰδέρνεω θυγατέρα Στάτειραν· τὴν δὲ τοῦ βασιλέως θυγατέρα ὁ τοῦ Ἰδέρνεω υἱός. Ἄμιστρις ἦν ἡ θυγάτηρ, τῷ δὲ ταύτης νυμφίῳ ὄνομα Τεριτούχμης· ὃς καὶ τοῦ πατρὸς τελευτήσαντος ἀντ' αὐτοῦ σατράπης κατέστη. ἦν δὲ ὁμοπατρία αὐτῷ ἀδελφὴ Ῥωξάνη, καλὴ τῷ εἴδει, καὶ τοξεύειν καὶ ἀκοντίζειν ἐμπειροτάτη. ἐρῶν δὲ ταύτης ὁ Τεριτούχμης καὶ συγγινόμενος, ἐμίσει Ἄμιστριν· καὶ τέλος ἐμβαλεῖν αὐτὴν εἰς σάκκον, καὶ κατακεντηθῆναι ὑπὸ τριακοσίων ἀνδρῶν, μεθ' ὧν καὶ τὴν ἀπόστασιν ἐμελέτησεν, ἐβουλεύσατο. ἀλλά τις Οὐδιάστης ὄνομα, ἰσχὺν ἔχων παρὰ Τεριτούχμῃ, καὶ γρά-

γράμματα παρὰ βασιλέως, πολλὰς ὑποσχέσεις ἔχοντα εἰ περισωθείη αὐτῷ ἡ θυγάτηρ, δεξάμενος, ἐπιτίθεται καὶ ἀναιρεῖ Τριτοῦχμην, γενναίως ἐν τῇ ἐπαναστάσει ἀνδρισάμενον, καὶ πολλοὺς ἀποκτείναντα. μέχρι γὰρ λ' καὶ ζ' φασὶν αὐτὸν ἀποκτεῖναι. Ὁ δὲ υἱὸς τοῦ Οὐδιάστου Μιτραδάτης, ὑπασπιστὴς ὢν Τεριτούχμου, καὶ μὴ παρὼν, ἐπεὶ ἔμαθε, πολλὰ τῷ πατρὶ κατηράσατο, καὶ πόλιν Ζάριν καταλαβὼν, ἐφύλασσε ταύτην τῷ παιδὶ τοῦ Τεριτούχμεω. ἡ δὲ Παρύσατις τήν τε μητέρα τοῦ Τεριτούχμεω, καὶ τοὺς ἀδελφοὺς, Μητρώστην καὶ Ἥλικον, καὶ τὰς ἀδελφὰς δύο οὔσας, χωρὶς τῆς Στατείρας, ζώσας ἐκέλευσε καταχῶσαι· τήν τε Ῥωξάνην ζῶσαν κατατεμεῖν. καὶ ἐγένετο. Ὁ δὲ βασιλεὺς εἶπε τῇ γυναικὶ Παρυσάτιδι, ποιῆσαι ὁμοίως καὶ Στάτειραν τὴν Ἀρσάκου γυναῖκα τοῦ παιδός· ἀλλ' ὅ γε Ἀρσάκης πολλὰ τὴν μητέρα καὶ τὸν πατέρα δάκρυσι καὶ κοπετοῖς ἐξιλεωσάμενος, ἐπεὶ ἡ Παρύσατις ἐπεκάμφθη, συνεχώρησε· καὶ Ὦχος ὁ Δαρειαῖος, εἰπὼν Παρυσάτιδι, πολλὰ μεταμελήσειν αὐτήν. — Ἐν τῇ ιθ' ἱστορίᾳ διαλαμβάνει ὡς Ὦχος ὁ Δαρειαῖος ἀπέθανεν, ἀσθενήσας ἐν Βαβυλῶνι, ἔτη βασιλεύσας λέ.

Artaxerxes II. 404—359. ante Chr. Βασιλεύει δὲ Ἀρσάκης, ὁ μετονομασθεὶς Ἀρτοξέρξης· καὶ ἐκτέμνεται ὁ Οὐδιάστης τὴν γλῶτταν, καὶ ἐξελκύεται ταύτην ἐξόπισθεν, καὶ θνήσκει. ὁ δὲ παῖς αὐτοῦ Μιτραδάτης ἀντὶ τοῦ πατρὸς καθίσταται σατράπης. ἐπράχθη δὲ ταῦτα σπουδῇ Στατείρας. καὶ ἠνιᾶτο Παρύσατις. διαβάλλεται Κῦρος ὑπὸ Τισσαφέρνους πρὸς Ἀρτοξέρξην τὸν ἀδελφὸν, καὶ καταφεύγει Παρυσάτιδι τῇ μητρὶ, καὶ ἀπολύεται τῆς διαβολῆς. ἀπελαύνει Κῦρος ἠτιμωμένος παρὰ τοῦ ἀδελφοῦ πρὸς τὴν οἰκείαν σατραπείαν, καὶ μελετᾷ ἐπανάστασιν.

Diodor. XIV. 19—31. Olymp. XCIV. 4. ante Chr. 401. Περὶ δὲ τῆς Κύρου ἐπ' Ἀρταξέρξην στρατείας οὕτως φησὶ Διοδώρος. Περὶ τούτους τοὺς χρόνους Κῦρος, ὁ τῶν ἐπὶ θαλάττης σατραπειῶν ἡγούμενος, διενοεῖτο μὲν πάλαι στρατεύειν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην· (ἦν γὰρ ὁ νεανίσκος φρονήματος πλήρης, καὶ προθυμίαν ἔχων οὐκ ἄπρακτον εἰς τοὺς κατὰ πόλεμον ἀγῶνας) ἐπεὶ δ' αὐτῷ μισθοφόρων πλῆθος ἱκανὸν συνῆκτο, καὶ τὰ πρὸς τὴν στρατείαν εὐτρέπιστο, τοῖς μὲν πλήθεσιν οὐκ ἐδήλου τἀληθὲς,

Cyrus, maritimarum regionum Satrapes, aliam expeditionem fi-

θὲς, ἔφασκε δ' εἰς Κιλικίαν ἄγειν τὴν δύναμιν, ἐπὶ τὲς ἀφεςηκότας τε̃ βασιλέως τυράννες. ἀπέςειλε δὲ καὶ πρὸς Λακεδαιμονίες πρεσβευτὰς, τὲς ἀνανεωσομένες τὰς κατὰ τὸν πρὸς 'Αθηναίες πόλεμον ἐυεργεσίας, καὶ παρακαλέσοντας ἑαυτῷ συμμαχεῖν. ὁι δὲ Λακεδαιμόνιοι, νομίσαντες ἀυτοῖς συνοίσειν τὸν πόλεμον, ἔγνωσαν τῷ Κύρῳ βοηθεῖν, καὶ παραχρῆμα ἐξέπεμψαν πρεσβευτὰς πρὸς τὸν ἑαυτῶν ναύαρχον Σάμον ὀνομαζόμενον, ὅπως, ὅ, τι ἂν κελεύοι ὁ Κῦρος, πράττῃ. ὁ δὲ Σάμος ἐιχε μὲν τριήρεις ἔικοσι καὶ πέντε, μεθ' ὧν πλεύσας ἐις Ἔφεσον πρὸς τὸν Κύρε ναύαρχον, ἕτοιμος ἦν ἀυτῷ πάντα συμπράττειν. ἐξέπεμψαν δὲ καὶ πεζὲς ςρατιώτας ὀκτακοσίες, ἡγεμόνα Χειρίσοφον καταςήσαντες. ἀφηγεῖτο δὲ τε̃ βαρβαρικε̃ ςόλε παντὸς Ταμὼς, ἔχων τριήρεις πεντήκοντα πολυτελῶς ἐξηρτισμένας· καὶ καταπλευσάντων τῶν Λακεδαιμονίων, ἀνήχθησαν ὁι ςόλοι τὸν πλε̃ν ὡς ἐπὶ Κιλικίας ποιέμενοι. Κῦρος δὲ τές τε ἀπὸ τῆς 'Ασίας ςρατολογηθέντας καὶ μισθοφόρες μυρίες τρισχιλίες ἀθροίσας εἰς Σάρδεις, Λυδίας μὲν καὶ Φρυγίας κατέςησεν ἐπιμελητὰς Πέρσας ἑαυτε̃ συγγενεῖς, Ἰωνίας δὲ καὶ τῆς 'Αιολίδος, ἔτι δὲ τῶν σύνεγγυς τόπων, Ταμὼ, φίλον μὲν ὄντα πιςὸν, τὸ δὲ γένος ὑπάρχοντα Μεμφίτην· ἀυτὸς δὲ μετὰ τῆς δυνάμεως προῆγεν ὡς ἐπὶ τῆς Κιλικίας καὶ Πισιδίας, διαδιδὲς λόγον ὅτι τινὲς τῶν ἐκεῖ κατοικέντων ἀφεςήκασιν. ἔιχε δὲ τὲς ἅπαντας, ἀπὸ μὲν τῆς 'Ασίας, ἑπτακισμυρίες, ὧν ἦσαν ἱππεῖς τρισχίλιοι· ἀπὸ δὲ Πελοποννήσε καὶ τῆς ἄλλης 'Ελλάδος, μισθοφόρες μυρίες τρισχιλίες. ἡγεῖτο δὲ τῶν μὲν ἀπὸ Πελοποννήσε, χωρὶς 'Αχαιῶν, Κλέαρχος ὁ Λακεδαιμόνιος· τῶν δ' ἀπὸ Βοιωτίας, Πρόξενος Θηβαῖος· τῶν δ' 'Αχαιῶν, Σωκράτης 'Αχαιός· τῶν δ' ἀπὸ Θεσσαλίας, Μένων ὁ Λαρισσαῖος. τῶν δὲ βαρβάρων τὰς μὲν κατὰ λεπτὸν ἡγεμονίας ἔιχον Πέρσαι, τῶν δὲ συμπάντων ἀυτὸς ἡγεῖτο Κῦρος, ὃς τοῖς μὲν ἡγεμόσιν ἐδεδηλώκει τὴν ἐπὶ τὸν ἀδελφὸν ἀνάβασιν, τὸ δὲ πλῆθος ἔκρυπτεν, ἐυλαβέμενος μή ποτε διὰ τὸ μέγεθος τῆς ςρατείας ἐγκαταλίπῃ τὴν ἑαυτε̃ προαίρεσιν. διὸ καὶ κατὰ τὴν ὁδοιπορίαν προορώμενος τὸ μέλλον, ἐξεθεράπευσε τὲς ςρατιώτας,

mulans, bellum in fratrem Artaxerxem instruit.

Lacedæmoniorum naves copiæque auxiliares adjunctæ.

Omnium copiarum numerus earumque duces.

τας, κοινὸν ἑαυτὸν παρεχόμενος, καὶ δαψιλεῖς ἀγορὰς ἑτοιμάζων.

Progressus usque ad Tarsum Ciliciæ Cyrus, Syennesin, Ciliciæ regulum, in partes suas trahit;

κ. Ἐπεὶ δὲ διῆλθε Λυδίαν καὶ Φρυγίαν, ἔτι δὲ καὶ τὰ τῆς Κιλικίας συνορίζοντα, παρεγενήθη πρὸς τοὺς ὅρους τῆς Κιλικίας, καὶ τὴν πρὸς ταῖς Κιλικίαις πύλαις εἰσβολήν. αὕτη δ' ἐστὶ στενὴ καὶ παράκρημνος, ἐπὶ σταδίους μὲν εἴκοσι παρατείνουσα. πλησίον δ' αὐτῆς ἐστιν ἐξ ἀμφοτέρων καθ' ὑπερβολὴν ὄρη μεγάλα καὶ δυσπρόσιτα· ἀπὸ δὲ τῶν ὀρῶν ἐξ ἑκατέρου μέρους τείχη κατατείνει μέχρι τῆς ὁδοῦ, καθ' ἣν ἐνῳκοδόμηνται πύλαι. διεξαγαγὼν δὲ διὰ τούτων τὴν δύναμιν, εἰσέβαλεν εἰς πεδίον τῶν κατὰ τὴν Ἀσίαν οὐδενὸς τῷ κάλλει λειπόμενον· δι' οὗ πορευθεὶς εἰς Ταρσὸν, μεγίστην τῶν ἐν Κιλικίᾳ πόλεων, ταχέως αὐτῆς ἐγκρατὴς ἐγένετο. Συέννεσις δὲ ὁ τῆς Κιλικίας δυναστεύων ὡς ἤκουσε τὸ μέγεθος τῆς τῶν πολεμίων δυνάμεως, εἰς ἀπορίαν πολλὴν ἐνέπιπτεν, οὐκ ὢν ἀξιόμαχος. μεταπεμπομένου δ' αὐτὸν Κύρου καὶ τὰ πιστὰ δόντος, ἐπορεύθη πρὸς αὐτὸν, καὶ τὴν ἀλήθειαν τοῦ πολέμου πυθόμενος, ὡμολόγησε συμμαχήσειν ἐπὶ τὸν Ἀρταξέρξην, καὶ τὸν ἕνα τῶν υἱῶν Κύρῳ συνεξαπέστειλε, δοὺς αὐτῷ τῶν Κιλίκων τοὺς ἱκανοὺς στρατευσομένους. πανοῦργος γὰρ ὢν τὴν φύσιν, καὶ πρὸς τὸ τῆς τύχης ἄδηλον ἀρτισάμενος, τὸν ἕτερον τῶν υἱῶν ἐξέπεμψε πρὸς τὸν βασιλέα λάθρα, δηλώσοντα καὶ τὰς δυνάμεις ἐπ' ἐκεῖνον ἠθροισμένας, καὶ διότι τῆς μὲν συμμαχίας δι' ἀνάγκην τῷ Κύρῳ μετέχει, τῇ δ' εὐνοίᾳ πρὸς ἐκεῖνον, ἂν καιρὸς γένηται, καταλιπὼν ἐκεῖνον, τῷ βασιλεῖ συστρατεύσεσθαι.

qui tamen per filium, clam missum, Artaxerxem R. de bello certiorem facit.

Divulgato per exercitum rumore de bello in regem facto, tumultus fit, ægre sedatus.

Κῦρος δ' εἴκοσι μὲν ἡμέρας ἐν Ταρσῷ τὴν δύναμιν ἀνέλαβε· μετὰ δὲ ταῦτα ἀναζευγνύντος αὐτοῦ, τὸ πλῆθος ὑπώπτευσε τὴν στρατείαν ἐπὶ τὸν Ἀρταξέρξην γίνεσθαι. ἀναλογιζόμενος δὲ ἕκαστος τὰ μήκη τῶν ὁδῶν, καὶ τὰ πλήθη τῶν πολεμίων ἐθνῶν, δι' ὧν ἀναγκαῖον ἦν τὴν πορείαν ποιεῖσθαι, τελέως ἠγωνία. διαβεβόητο γὰρ ἡ μὲν ἕως Βάκτρων ὁδὸς οὖσα στρατοπέδῳ τετραμήνου, δύναμις δ' ἠθροισμένη τῷ βασιλεῖ, πλείω τῶν τετταράκοντα μυριάδων· διὸ δὴ περιδεεῖς ὄντες ἐκεῖνοι ἠγανάκτουν, καὶ τοὺς ἡγεμόνας δι' ὀργῆς ἔχοντες, ἐνεχείρησαν ἀναιρεῖν, ὡς προδότας ἑαυτῶν ὄντας. τοῦ δὲ Κύρου δεομένου πάντων,

καὶ

καὶ διαβεβαιουμένου τὴν στρατείαν ἀναγαγεῖν οὐκ ἐπ' Ἀρταξέρξην, ἀλλ' ἐπί τινα σατράπην τῆς Συρίας, ἐπείσθησαν οἱ στρατιῶται, καὶ λαβόντες πλείω μισθὸν, ἀποκατέστησαν εἰς τὴν ἐξ ἀρχῆς εὔνοιαν.

Inde iter in Syriam continuatum.

κα΄. Ὁ δὲ Κῦρος, ἐπειδὴ διῆλθε τὴν Κιλικίαν, καὶ παρεγενήθη πρὸς πόλιν Ἰσσὸν, ἐπὶ θαλάττης μὲν κειμένην, ἐσχάτην δ' οὖσαν τῆς Κιλικίας, καταπλεύσας εἰς αὐτήν· περὶ τὸν αὐτὸν καιρὸν καὶ ὁ στόλος τῶν Λακεδαιμονίων ἐξέβησαν, καὶ συντυχόντες τῷ Κύρῳ, τὴν τῶν Σπαρτιατῶν εἰς αὐτὸν εὔνοιαν ἀπήγγειλαν, καὶ τοὺς μετὰ Χειρισόφου πεζοὺς ὀκτακοσίους ἐκβιβάσαντες παρέδωκαν. τούτους δὲ προσεποιοῦντο μὲν οἱ φίλοι τοῦ Κύρου πέμψαι μισθοφόρους, τῇ δ' ἀληθείᾳ μετὰ τῆς τῶν Ἐφόρων γνώμης ἅπαντ' ἐπράττετο· οἱ δὲ Λακεδαιμόνιοι φανερὸν οὔπω τὸν πόλεμον ἐπανῃροῦντο, κατέκρυπτον δὲ τὴν προαίρεσιν, ἀποτηροῦντες τὴν ῥοπὴν τοῦ πολέμου. ὁ δὲ Κῦρος μετὰ τῆς δυνάμεως ἀνέζευξεν, ἐπὶ Συρίας τὴν πορείαν ποιούμενος, καὶ τοὺς ναυάρχους ἐκέλευσε συμπαραπλεῖν ἁπάσαις ταῖς ναυσίν. ὡς δ' ἦλθεν ἐπὶ τὰς πύλας καλουμένας καὶ τὸν τόπον εὗρεν ἔρημον τῶν φυλαττόντων, περιχαρὴς ἦν· ἠγωνία γὰρ σφόδρα μή τινες αὐτὰς εἶεν προκατειλημμένοι. ἔστι δὲ ἡ φύσις τοῦ τόπου στενὴ καὶ παράκρημνος, ὥστε δι' ὀλίγων ῥᾳδίως παραφυλάττεσθαι. ὄρη γὰρ πλησίον ἀλλήλων κεῖται, τὸ μὲν τραχὺ καὶ κρημνοὺς ἔχον ἀξιολόγους, ἐπ' αὐτῆς δ' ἄρχεται τῆς ὁδοῦ ἕτερον μέρος. μία δ' ἐστὶ τῶν περὶ τοὺς τόπους ἐκείνους, καὶ καλεῖται μὲν Λίβανος, παρεκτείνει δὲ παρὰ τὴν Φοινίκην. ὁ δὲ ἀνὰ μέσον τόπος τῶν ὀρῶν, ὑπάρχων ὡς τριῶν σταδίων, παντελῶς τετειχισμένος, καὶ πύλας ἔχων εἰς στενὸν συγκλειομένας. διελθὼν οὖν ὁ Κῦρος ταύτας ἀκινδύνως, τὸν μὲν λοιπὸν στόλον ἀπέστειλεν ἀνακάμψαι εἰς Ἔφεσον. οὐκέτι γὰρ αὐτῷ χρήσιμος ἦν, μέλλοντι διὰ μεσογείου τὴν πορείαν ποιεῖσθαι. ὁδοιπορήσας δ' ἡμέρας εἴκοσι, παρεγενήθη πρὸς Θάψακον πόλιν, ἣ κεῖται παρὰ τὸν ποταμὸν Εὐφράτην. ἐνταῦθα δὲ πένθ' ἡμέρας διατρίψας, καὶ τὴν δύναμιν ἐξιδιοποιησάμενος ταῖς τε τῶν ἐπιτηδείων ἀφθονίαις καὶ ταῖς ἐκ τῶν προνομῶν ὠφελείαις, συνήγαγεν ἐκκλησίαν, καὶ τὴν ἀλήθειαν τῆς στρατείας ἐδήλωσε.

Superatis Pylis Syriæ classem Cyrus Ephesum remittit,

ipse cum pedestri exercitu ad Babyloniæ fines pervenit.

σε. προσάντως δὲ δεξαμένων τὸν λόγον τῶν στρατιωτῶν, ἐδεῖτο πάντων, μὴ καταλιπεῖν ἑαυτὸν, ἐπαγγελλόμενος ἄλλας τε μεγάλας δωρεὰς, καὶ ὅτι παραγενόμενος αὐτὸς εἰς Βαβυλῶνα, κατ' ἄνδρα ἕκαστον δώσει πέντε μνᾶς ἀργυρίου. οἱ μὲν οὖν στρατιῶται ταῖς ἐλπίσι μετεωρισθέντες ἐπείσθησαν ἀκολουθεῖν· ὁ δὲ Κῦρος, ὡς διέβη τῇ δυνάμει τὸν Εὐφράτην, ἠπείγετο κατὰ τὸ συνεχὲς ὁδοιπορῶν, καὶ παραγενηθεὶς ἐπὶ τοὺς ὅρους τῆς Βαβυλωνίας, ἀνελάμβανε τὴν δύναμιν.

In Babyloniæ campis rex, a Pharnabazo de Cyri cœptis præmonitus, obviam venit.

κβʹ. Ὁ δὲ βασιλεὺς Ἀρταξέρξης καὶ πάλαι μὲν ἦν παρὰ Φαρναβάζου πεπυσμένος, ὅτι στρατόπεδον ἐπ' αὐτὸν ἀθροίζει λάθρα Κῦρος, καὶ τότε δὲ πυθόμενος αὐτοῦ τὴν ἀνάβασιν, μετεπέμπετο τὰς πανταχόθεν δυνάμεις εἰς Ἐκβάτανα τῆς Μηδίας. ἐπεὶ δὲ ἔτι παρ' Ἰνδῶν καὶ τινων ἄλλων ἐθνῶν καθυστέρουν, διὰ τὸ μακρὰν ἀφεστάναι τοὺς τόπους, μετὰ τῆς συναχθείσης στρατιᾶς ὥρμησεν ἀπαντήσων τῷ Κύρῳ. εἶχε δὲ τοὺς ἅπαντας στρατιώτας σὺν ἱππεῦσιν οὐκ ἐλάττους τετταράκοντα μυριάδων, καθά φησιν Ἔφορος. ὡς δ' εἰς τὸ Βαβυλώνιον ἧκε πεδίον, παρὰ τὸν Εὐφράτην στρατοπεδείαν ἐβάλετο, διανοούμενος ἐν ταύτῃ καταλιπεῖν τὴν ἀποσκευήν. ἐπυνθάνετο γὰρ τοὺς πολεμίους οὐ μακρὰν ὄντας, καὶ τὸ παράβολον αὐτῶν τῆς τόλμης ὑπώπτευεν. ὀρύξας οὖν τάφρον τὸ μὲν πλάτος ποδῶν ἑξήκοντα, τὸ δὲ μῆκος ποδῶν δέκα, περιέθηκε κύκλῳ τὰς συνακολουθούσας ἁρμαμάξας, καθαπερεὶ τεῖχος. καταλιπὼν δ' ἐν τῇ παρεμβολῇ τὴν ἀποσκευὴν καὶ τὸν ἀχρεῖον ὄχλον, ἐπὶ μὲν ταύτης ἱκανὴν φυλακὴν παρέστησεν· αὐτὸς δὲ τὴν δύναμιν εὔζωνον προαγαγὼν, ἀπήντα τοῖς πολεμίοις ἐγγὺς ὑπάρχουσιν. ὁ δὲ Κῦρος ὡς εἶδε προϊοῦσαν τὴν τοῦ βασιλέως στρατιὰν, εὐθὺς εἰς τάξεις κατέστησε τὸ σφέτερον στρατόπεδον.

Acies ab utraque parte instructa describitur.

τὸ μὲν οὖν δεξιὸν κέρας παρὰ τὸν Εὐφράτην παρεκτεῖνον πεζοὶ μὲν ἐπεῖχον Λακεδαιμόνιοι, καί τινες τῶν μισθοφόρων, ὧν ἁπάντων Κλέαρχος ὁ Λακεδαιμόνιος ἀφηγεῖτο. συνηγωνίζοντο δ' αὐτῷ τῶν ἱππέων οἱ συναχθέντες ἀπὸ Παφλαγονίας, ὄντες ὑπὲρ τοὺς χιλίους. τὸ δὲ θάτερον μέρος ἐπεῖχον οἵ τ' ἀπὸ Φρυγίας καὶ Λυδίας, ἔτι δὲ τῶν ἱππέων περὶ χιλίους, ὧν εἶχε τὴν ἡγεμονίαν Ἀριδαῖος. αὐτὸς δὲ ὁ

Κῦρος

Κῦρος ἐτέτακτο κατὰ μέσην τὴν φάλαγγα, τὰς κρατίστας ἔχων Περσῶν τε καὶ τῶν ἄλλων Βαρβάρων, ὡς μυρίους. προηγοῦντο δ' αὐτῷ τῶν ἱππέων οἱ κάλλιστα διεσκευασμένοι χίλιοι, θώρακας ἔχοντες καὶ μαχαίρας Ἑλληνικάς. Ἀρταξέρξης δὲ πρὸ μὲν τῆς φάλαγγος πάσης ἔστησεν ἅρματα δρεπανηφόρα, τὸν ἀριθμὸν οὐκ ὀλίγα· καὶ τῶν μὲν κεράτων Πέρσας ἡγεμόνας κατέστησε, κατὰ δὲ τὸ μέσον αὐτὸς ἐτάχθη, τῶν ἐπιλέκτων ἔχων οὐκ ἐλάττους πεντακισμυρίων.

κγ΄. Ὡς δὲ τρεῖς σχεδὸν σταδίους ἀπεῖχον ἀλλήλων αἱ δυνάμεις, οἱ μὲν Ἕλληνες παιανίσαντες, τὸ μὲν πρῶτον ἡσυχῇ προῆγον· ὡς δ' ἐντὸς βέλους ἦσαν, ἔθεον κατὰ πολλὴν σπουδήν. παρηγγελκὼς δ' αὐτοῖς Κλέαρχος ὁ Λακεδαιμόνιος ἦν τοῦτο πράττειν. τὸ μὲν γὰρ ἐκ διαστήματος πολλοῦ μὴ τρέχειν, ἤμελλεν ἀκεραίους τοῖς σώμασι τοὺς ἀγωνιζομένους τηρήσειν εἰς τὴν μάχην· τὸ δ' ἐγγὺς ὄντας δρόμῳ προσιέναι, τὰς τῶν τόξων βολὰς καὶ τῶν ἄλλων βελῶν ὑπερπετεῖς ἐδόκει ποιήσειν. ἐπεὶ δ' ἤγγισαν οἱ μετὰ Κύρου τῷ τοῦ βασιλέως στρατοπέδῳ, τοσοῦτ' ἐπ' αὐτοὺς ἐῤῥίφη βελῶν πλῆθος, ὅσον εἰκὸς ἐστιν ἐκ δυνάμεως ἐνεχθῆναι συνεστώσης ἐκ μυριάδων τεσσαράκοντα. οὐ μὴν ἀλλὰ βραχὺν χρόνον παντελῶς τοῖς παλτοῖς διαγωνισάμενοι, τὸ λοιπὸν ἐκ χειρὸς ἤδη τὴν μάχην συνίσταντο. Λακεδαιμόνιοι δὲ μετὰ τῶν ἄλλων μισθοφόρων εὐθὺς ἐκ τῆς πρώτης συστάσεως ἐξέπληξαν τοὺς ἀντιτεταγμένους Βαρβάρους τῇ τε τῶν ὅπλων λαμπρότητι καὶ ταῖς εὐχερείαις. ἐκεῖνοι μὲν γὰρ ἦσαν ὅπλοις τε μικροῖς ἐσκεπασμένοι, καὶ τὰ πολλὰ τῶν ταγμάτων ἔχοντες ψιλικὰ, πρὸς δὲ τούτοις, ἄπειροι τῶν κατὰ πόλεμον κινδύνων· οἱ δ' Ἕλληνες, διὰ τὸ μῆκος τοῦ Πελοποννησιακοῦ πολέμου, κατὰ τὸ συνεχὲς ἐν μάχαις γεγενημένοι, πολὺ ταῖς ἐμπειρίαις διέφερον. διόπερ εὐθὺς τρεψάμενοι τοὺς καθ' αὐτοὺς ἐδίωκον, καὶ πολλοὺς τῶν Βαρβάρων ἀνῄρουν. κατὰ δὲ μέσην τὴν τάξιν ἔτυχε μὲν ἀμφοτέρους τοὺς ὑπὲρ τῆς βασιλείας ἀγωνιζομένους ταχθῆναι. διὸ καὶ κατανοήσαντες τὸ γεγενημένον, ὥρμησαν ἐπ' ἀλλήλους, φιλοτιμούμενοι δι' ἑαυτῶν κρῖναι τὴν μάχην. συνήγαγε γὰρ, ὡς ἔοικεν, ἡ τύχη τὴν ὑπὲρ τῆς ἡγεμονίας τοῖς

Proelium commissum.

τοῖς

τοῖς ἀδελφοῖς ἔριν εἰς μονομαχίαν, καθάπερ εἰς ἀπομ-
μημα τῆς παλαιᾶς ἐκείνης καὶ τραγῳδημένης τῆς πε-
τὸν Ἐτεοκλέα καὶ Πολυνείκην τόλμης. Κῦρος μὲν ἐ-
φθάσας ἐκ διαςήματος ἠκόντισε, καὶ τυχὼν τοῦ βασιλέω-
ἔσφηλεν αὐτὸν ἐπὶ τὴν γῆν· ὃν ταχέως οἱ περὶ αὐτὸ-
ἁρπάσαντες, ἀπήνεγκαν ἐκ τῆς μάχης· καὶ τὴν μὲν τ-
βασιλέως ἡγεμονίαν διαδεξάμενος Τισσαφέρνης, ἀνὴ-
Πέρσης, παρεκάλει τε τὰ πλήθη, καὶ αὐτὸς λαμπρῶ-
ἠγωνίζετο. ἀναμαχόμενος δὲ τὸ περὶ τὸν βασιλέα γεγο-
νὸς ἐλάττωμα, καὶ μετὰ ἐπιλέκτων ἐπὶ πάντα τόπον ἐπι-
φαινόμενος, πολλοὺς ἀνήρει τῶν ἀντιτεταγμένων· ὥςε τὴν
ἐπιφάνειαν αὐτοῦ πόρρωθεν ὑπάρχειν ἐπίσημον. ὁ δὲ Κῦ-
ρος ἐπαρθεὶς τῷ προτερήματι τῶν περὶ αὐτὸν, εἰς μέσους
ἐβιάσατο τοὺς πολεμίους, καὶ τὸ πρῶτον ἀφειδῶς τῇ τόλ-
μῃ χρώμενος, πολλοὺς ἀνήρει· μετὰ δὲ ταῦτα προχειρό-
τερον κινδυνεύων, ὑπό τινος τῶν τυχόντων Περσῶν πλη-
γεὶς ἐπικαίρως, ἔπεσε. τούτου δ' ἀναιρεθέντος, οἱ τοῦ βα-
σιλέως πρὸς τὴν μάχην ἐπεῤῥώσθησαν, καὶ τέλος τῷ τε
πλήθει καὶ τῇ τόλμῃ κατεπόνησαν τοὺς ἀνθεςηκότας.

Cyrus regem vulnerat, in cujus locum Tissaphernes succedit.

Cyrum Persa occidit.

κδ'. Ἐκ δὲ θατέρου μέρους Ἀριδαῖος ὁ Κύρου σατρά-
πης τεταγμένος ἐπὶ τῆς ἡγεμονίας, τὸ μὲν πρῶτον εὐ-
ρώςως ἐδέξατο τοὺς ἐπιόντας Βαρβάρους· μετὰ δὲ ταῦτ-
τῆς φάλαγγος ἐπὶ πολὺ παρεκτεινούσης κυκλούμενος, και
τὴν Κύρου τελευτὴν πυθόμενος, ἔφυγε μετὰ τῶν ἰδίων
ςρατιωτῶν πρός τινα τῶν ἰδίων ςαθμῶν, ἔχοντα κατα-
φυγὴν οὐκ ἀνεπιτήδειον. Κλέαρχος δὲ θεωρῶν τήν τε
μέσην τάξιν καὶ τἆλλα μέρη τῶν συμμάχων τετραμμένα,
τοῦ μὲν διώκειν ἀπέςη· τοὺς δὲ ςρατιώτας ἀνακαλούμενος
καθίςα· εὐλαβεῖτο γὰρ μή ποτε πάσης τῆς δυνάμεως ἐπὶ
τοὺς Ἕλληνας ἐλθούσης, κυκλωθῶσι, καὶ πάντες ἀπόλων-
ται. οἱ δὲ μετὰ τοῦ βασιλέως ταχθέντες, ἐπειδὴ τὰ
καθ' ἑαυτοὺς ἐτρέψαντο, πρῶτον μὲν τὴν ἀποσκευὴν τοῦ
Κύρου διήρπασαν· μετὰ δὲ ταῦτα ἤδη νυκτὸς ἐπελθούσης,
ἀθροισθέντες ἐπὶ τοὺς Ἕλληνας ὥρμησαν. ὧν δεξαμένων
τὴν ἔφοδον εὐγενῶς, ὀλίγον μὲν χρόνον ὑπέμενον οἱ
Βάρβαροι, μετ' ὀλίγον δὲ ταῖς τόλμαις καὶ ταῖς εὐχει-
ρίαις νικώμενοι πρὸς φυγὴν ὥρμησαν. οἱ δὲ περὶ τὸν
Κλέαρχον πολλοὺς τῶν Βαρβάρων ἀνελόντες, ὡς ἤδη νὺξ
ἦν,

In altera parte vincunt Græci;

sed nuntius de Cyri morte ingentem trepidationem Cyri copiis iniicit.

ῗν, ἀναχωρήσαντες τρόπαιον ἔστησαν, καὶ περὶ δευτέραν σχεδὸν φυλακὴν ἔφθασαν εἰς τὴν παρεμβολήν. τῆς δὲ μάχης τοιȣ̃τον τέλος λαβȣ́σης, ἀνῃρέθησαν τῶν τȣ̃ βασιλέως πλείȣς τῶν μυρίων πεντακισχιλίων· ὧν τȣ̀ς πλείστȣς ἀνεῖλον οἱ μετὰ Κλεάρχȣ ταχθέντες Λακεδαιμόνιοί τε καὶ μισθοφόροι· ἐκ δὲ θατέρȣ μέρȣς, τῶν Κύρȣ στρατιωτῶν ἔπεσον περὶ τρισχιλίȣς. τῶν δὲ Ἑλλήνων φασὶν ἀναιρεθῆναι μὲν ȣ̓δένα, τρωθῆναι δὲ ὀλίγȣς. τῆς δὲ νυκτὸς παρελθȣ́σης, Ἀριδαῖος ὁ πεφευγὼς εἰς τὸν σταθμὸν, ἀπέστειλέ τινας πρὸς τὸν Κλέαρχον, παρακαλῶν πρὸς ἑαυτὸν ἀπαγαγεῖν τȣ̀ς στρατιώτας, καὶ κοινῇ διασώζεσθαι πρὸς τȣ̀ς ἐπὶ θάλατταν τόπȣς· ἀνῃρημένȣ Κύρȣ καὶ τῶν τȣ̃ βασιλέως δυνάμεων ὑπερεχȣσῶν, ἀγωνία πολλὴ κατέσχε τȣ̀ς τετολμηκότας ἐπὶ τῇ καταλύσει τῆς Ἀρταξέρξȣ βασιλείας στρατεύεσθαι.

Rex, ob Cyri mortem, victoriam jactans, misso Phalino, arma tradi jubet.

κέ. Ὁ δὲ Κλέαρχος ἀνακαλεσάμενος τȣ̀ς τε στρατηγȣ̀ς καὶ τȣ̀ς ἐφ᾽ ἡγεμονίας τεταγμένȣς, ἐβȣλεύετο περὶ τῶν παρόντων· ὄντων δ᾽ αὐτῶν περὶ ταῦτα, παρεγενήθησαν παρὰ τȣ̃ βασιλέως πρέσβεις, ὧν ἦν ἀρχιπρεσβευτὴς ἀνὴρ Ἕλλην ὄνομα μὲν Φαλῖνος, γένος δὲ Ζακύνθιος. εἰσαχθέντες δ᾽ εἰς τὸ συνέδριον εἶπον, ὅτι "λέγει ὁ βασιλεὺς Ἀρταξέρξης, ἐπειδὴ νενίκηκα, Κῦρον "ἀποκτείνας, παράδοτε τὰ ὅπλα, καὶ πρὸς τὰς θύρας "αὐτȣ̃ βαδίσαντες, ζητεῖτε πῶς αὐτὸν ἐκθεραπεύσαντες, "ἀγαθȣ̃ τινος μεταλάβητε." ῥηθέντων δὲ τȣ́των, ἀπόκρισιν ἔδωκεν ἕκαστος τῶν στρατηγῶν τοιαύτην οἵαν Λεωνίδης, καθ᾽ ὃν καιρὸν περὶ Θερμοπύλας αὐτȣ̃ φυλάττοντος τὰς παρόδȣς, Ξέρξης ἀπέστειλεν ἀγγέλȣς, κελεύων τῶν ὅπλων παραχωρῆσαι. καὶ γὰρ τότε Λεωνίδης εἶπεν ἀπαγγεῖλαι τῷ βασιλεῖ, "Διότι νομίζομεν, κἂν φίλοι "γενώμεθα τῷ Ξέρξῃ, μετὰ τῶν ὅπλων ὄντες, ἀμείνȣς "ἔσεσθαι σύμμαχοι· κἂν πολεμεῖν πρὸς αὐτὸν ἀναγκασθῶμεν, βέλτιον μετὰ τȣ́των ἀγωνιεῖσθαι." παραπλησίως δὲ καὶ τȣ̃ Κλεάρχȣ περὶ τȣ́των ἀποκριναμένȣ, Πρόξενος ὁ Θηβαῖος εἶπεν, "ὅτι νῦν τὰ μὲν ἄλλα σχεδὸν ἀποβεβλήκαμεν, λέλειπται δ᾽ ἡμῖν ἥ τε ἀρετὴ καὶ τὰ "ὅπλα. νομίζομεν ȣ̓̃ν, ἂν μὲν ταῦτα φυλάττωμεν, χρησίμην ἡμῖν ἔσεσθαι καὶ ἀρετήν· ἂν δὲ παραδῶμεν, ȣ̓δὲ ταύ-

Sed Græci recusant,

"ταύτην ἡμῖν ἔσεσθαι βοηθόν." διόπερ ἐκέλευσε τῷ βασιλεῖ λέγειν, "ὡς ἂν περὶ ἡμῶν κακόν τι βȣλεύηται "διὰ τȣ́των πρὸς αὐτὸν διαγωνιȣ́μεθα περὶ τῶν ἀγαθῶν "τῶν κοινῶν." λέγεται δὲ καὶ Σώφιλον, τὸν ἐφ' ἡγεμονίας τεταγμένον, εἰπεῖν, "ὅτι θαυμάζει τȣ̀ς παρὰ τοῦ "βασιλέως λόγȣς. εἰ μὲν γὰρ αὐτὸν δοκεῖ κρείσσονα "τῶν Ἑλλήνων εἶναι, μετὰ τῆς δυνάμεως ἐλθὼν λαβέ"τω τὰ παρ' ἡμῖν ὅπλα· εἰ δὲ πείσας βȣ́λεται, λεγέτω "τίνα χάριν ἡμῖν ἀντὶ τȣ́των ἀξίαν δώσει." μετὰ δὲ τȣ́τȣς Σωκράτης Ἀχαιὸς εἶπεν, "ὅτι λίαν αὐτοῖς ἐκ"πληκτικῶς ὁ βασιλεὺς προσφέρεται. ἃ μὲν γὰρ παρ' "ἡμῶν βȣ́λεται λαβεῖν, παραχρῆμα ἀπαιτεῖ· τὰ δ' ἀντὶ "τȣ́των δοθησόμενα, μετὰ ταῦτ' ἀξιȣ̃ντας αἰτεῖν προσ"τάττει. καθόλȣ δ' εἰ μὲν ἀγνοῶν τȣ̀ς νενικηκότας ὡς "ἡττημένȣς κελεύει τὸ προσταττόμενον ποιεῖν, μαθέτω "ποτέρων ἐστὶν ἡ νίκη, παραγενηθεὶς μετὰ τῆς πολυα"ρίθμȣ δυνάμεως· εἰ δὲ σαφῶς εἰδὼς ἡμᾶς νενικηκότας, "ψεύδεται, πῶς αὐτῷ περὶ τῶν εἰς ὕστερον ἐπαγγελιῶν "πιστεύσομεν;" οἱ μὲν ἄγγελοι τοιαύτας ἀποκρίσεις λαβόντες ἐχωρίσθησαν· οἱ δὲ περὶ τὸν Κλέαρχον ἀνέζευξαν πρὸς τὸν σταθμὸν, ὅπȣ τὸ διασεσωσμένον στρατόπεδον ἦν ἀνακεχωρηκός. εἰς τȣ̃το δὲ πάσης τῆς δυνάμεως ἐλθȣ́σης, περὶ τῆς ἐπὶ θάλατταν καταβάσεως ἐβȣλεύοντο κοινῇ, καὶ περὶ τῆς πορείας. ἔδοξεν ȣ̃ν αὐτοῖς μὴ τὴν αὐτὴν ἀναχώρησιν, ἥνπερ ἦλθον, ποιεῖσθαι. πολὺ γὰρ αὐτῆς ἦν ἔρημον, ἐν ᾧ τροφὰς ȣ̓χ ὑπελάμβανον ἕξειν, δυνάμεως πολεμίας ἀκολȣθȣ́σης. γνόντες δ' ἐπὶ Παφλαγονίας ἀναζευγνύειν, ȣ̃τοι μὲν ὥρμησαν ἐπὶ Παφλαγονίαν μετὰ τῆς δυνάμεως, κατὰ σχολὴν ὁδοιπορȣ̃ντες, ὡς ἂν ἅμα τὰς τροφὰς ποριζόμενοι.

& duce Clearcho reditum parant.

κϛ'. Ὁ δὲ βασιλεὺς βέλτιον ἔχων ἀπὸ τȣ̃ τραύματος, ὡς ἐπύθετο τὴν τῶν ἐναντίων ἀποχώρησιν, νομίσας αὐτȣ̀ς φεύγειν, ὥρμησε μετὰ τῆς δυνάμεως κατὰ σπȣδήν. καταλαβὼν δ' αὐτȣ̀ς, διὰ τὸ βραδέως ὁδοιπορεῖν, τότε μὲν ἤδη νυκτὸς ȣ̓́σης, ἐγγὺς τὴν στρατοπεδείαν ἐποιήσατο. ἅμα δ' ἡμέρᾳ διατασσόντων τῶν Ἑλλήνων τὸ στρατόπεδον εἰς μάχην, πέμψας τȣ̀ς ἀγγέλȣς κατὰ μὲν τὸ παρὸν εἰς τρεῖς ἡμέρας ἀνοχὰς ἐποιήσατο· ἐν δὲ ταύταις συνεφώνησεν,

E vulnere validus & salvus rex tardius progredientes Græcos assequitur.

Initis induciis pacatum per terras regias transi-

νησεν, ὥςε αὐτὸν μὲν φιλίαν παρέχεσθαι τὴν χώραν, καὶ τὰς ἡγησομένους ἐπὶ θάλατταν δοῦναι, καὶ τοῖς διεξιοῦσιν ἀγορὰν παρέχειν· τοὺς δὲ μετὰ Κλεάρχου μισθοφόρους καὶ τοὺς μετ' Ἀριδαίου πάντας πορεύεσθαι διὰ τῆς χώρας, μηδὲν ἀδίκημα ποιοῦντας. μετὰ δὲ ταῦθ' οὗτοι μὲν ἐπὶ τὰς ὁδοιπορίας ἐγίνοντο· τὴν δὲ δύναμιν ὁ βασιλεὺς ἀπήγαγεν εἰς Βαβυλῶνα. ἐκεῖ δὲ τῶν κατὰ τὴν μάχην ἀνδραγαθησάντων κατ' ἀξίαν ἕκαςον τιμήσας, ἔκρινε πάντων ἄριςον γεγενῆσθαι Τισσαφέρνην. διὸ καὶ μεγάλαις αὐτὸν τιμήσας δωρεαῖς, ἔδωκε τὴν ἑαυτοῦ θυγατέρα πρὸς συμβίωσιν, καὶ τὸ λοιπὸν διετέλει πιςότατον ἔχων αὐτὸν φίλον. ἔδωκε δ' αὐτῷ καὶ τὴν ἡγεμονίαν, ὧν Κῦρος ἐπὶ θαλάττης ἦρχε σατραπειῶν. ὁ δὲ Τισσαφέρνης θεωρῶν τὸν βασιλέα δι' ὀργῆς ἔχοντα τοὺς Ἕλληνας, ἐπηγγείλατο αὐτῷ ἅπαντας ἀνελεῖν, ἐὰν αὐτῷ μὲν δυνάμεις δῷ, πρὸς δὲ Ἀριδαῖον διαλλαγῇ· προδοθήσεσθαι γὰρ ὑπὸ τούτου τοὺς Ἕλληνας κατὰ τὴ ὁδοιπορίαν. ὁ δὲ βασιλεὺς τοὺς λόγους ἀσμένως δεξάμενος, τούτῳ μὲν ἔδωκεν ἐξ ἁπάσης τῆς δυνάμεως ἐπιλέξας τοὺς κρατίςους ὅσους προαιροῖτο. * * * * * ἄλλοις γε ἡγεμόσιν ἐλθεῖν, καὶ κατὰ πρόσωπον ἀκοῦσαι τῶν λόγων. διόπερ οἵ τε ςρατηγοὶ σχεδὸν ἅπαντες μετὰ Κλεάρχου καὶ τῶν λοχαγῶν, ὡς εἰκὸς, πρὸς Τισσαφέρνην ἦλθον· καὶ ςρατιωτῶν δὲ πρὸς ἀγορὰν ἐλθεῖν βουλομένων ἠκολούθησαν ὡς διακόσιοι. Τισσαφέρνης δὲ τοὺς μὲν ςρατηγοὺς εἰς τὴν σκηνὴν ἐκάλεσεν, οἱ δὲ λοχαγοὶ πρὸς ταῖς θύραις διέτριβον. καὶ μετ' ὀλίγον ἐκ τῆς Τισσαφέρνους σκηνῆς ἀρθείσης φοινικίδος, ὁ μὲν τοὺς ςρατηγοὺς ἔνδον συνέλαβε, τοὺς δὲ λοχαγοὺς, οἷς ἦν συντεταγμένον, ἐπελθόντες ἀνεῖλον· ἄλλοι δὲ τοὺς ἐπὶ τὴν ἀγορὰν ἥκοντας τῶν ςρατιωτῶν ἀνῄρουν. ἐξ ὧν εἷς φυγὼν εἰς τὴν παρεμβολὴν ἐδήλωσε τὴν συμφοράν.

κζ'. Οἱ δὲ ςρατιῶται πυθόμενοι τὰ γεγενημένα, παρ' αὐτὸν μὲν τὸν καιρὸν ἐξεπλάγησαν, καὶ πάντες ἐχώρουν εἰς ὅπλα μετὰ πολλῆς ἀταξίας, ὡς ἀναρχίας οὔσης. μετὰ δὲ ταῦτα, οὐδενὸς αὐτοῖς παρενοχλοῦντος, εἵλοντο ςρατηγοὺς μὲν πλείους, ἑνὶ δὲ τῶν ὅλων τὴν ἡγεμονίαν ἀπέδωκαν, Χειρισόφῳ τῷ Λακεδαιμονίῳ. οὗτοι δὲ διατάξαντες τὸ ςρατόπεδον εἰς τὴν ὁδοιπορίαν, ὥς ποτ' αὐτοῖς

tum impetrant Græci,

& rex Babylonem regreditur.

Tissaphernes præmia alia & regis filiam conjugem reportat.

Hic novo agmine insequitur Græcos,

horumque duces pæne omnes cum Clearcho turpi fraude capit,

multosque milites obtruncat.

Accepto cladis nuntio Græci Chirisophum imperatorem creant, & hostium incursum ferocissime repellunt.

αὐτοῖς ἐδόκει κάλλιςα, προῆγον ἐπὶ Παφλαγονίαν· Τισσαφέρνης δὲ τὲς ςρατηγὲς δήσας ἀπέςειλε πρὸς Ἀρταξέρξην. ἐκεῖνος δὲ τὲς μὲν ἄλλες ἀνεῖλε, Μένωνα δὲ μόνον ἀφῆκεν· ἐδόκει γὰρ μόνος ἕτος ςασιάζων πρὸς τὲς συμμάχες προδώσειν τὲς Ἕλληνας. Τισσαφέρνης δὲ μετὰ τῆς δυνάμεως ἐπακολεθῶν τοῖς Ἕλλησιν ἐξήπτετο, καὶ κατὰ ςόμα μὲν ἐκ ἐτόλμα παρατάττεσθαι, φοβέμενος ἀπεγνωσμένων ἀνδρῶν θράσος καὶ ἀπόνοιαν· ἐν δὲ τοῖς εὐθέτοις τόποις παρενοχλῶν, μεγάλῳ μὲν ἐδενὶ κακῷ περιβάλλειν αὐτὲς ἠδύνατο, μικρὰ δὲ βλάπτων, μέχρι τε τῶν Καρδέχων καλεμένε ἔθνες ἐπηκολέθησε. καὶ Τισσαφέρνης μὲν ἐδὲν ἔτι δυνάμενος πρᾶξαι, μετὰ τῆς δυνάμεως ἐπ' Ἰωνίας ἀνέζευξεν· οἱ δὲ Ἕλληνες ἐφ' ἑπτὰ μὲν ἡμέρας διεπορεύοντο τὰ τῶν Καρδέχων ὄρη, πολλὰ κακὰ πάσχοντες ὑπὸ τῶν ἐγχωρίων, ἀλκίμων τε ὄντων καὶ τῆς χώρας ἐμπείρων. ἦσαν δὲ ἕτοι πολέμιοι μὲν τε βασιλέως, ἐλεύθεροι δὲ, καὶ τὰ κατὰ πόλεμον ἀσκῦντες, μάλιςα δ' ἐκπονῦντες σφενδόναις ὡς μεγίςες λίθες ἐμβάλλειν, καὶ τοξεύμασι ὑπερμεγέθεσι χρῆσθαι· δι' ὧν τὲς Ἕλληνας κατατιτρώσκοντες ἐξ ὑπερδεξίων τόπων, πολλὲς μὲν ἀνεῖλον, ἐκ ὀλίγες δὲ κακῶς διέθεσαν. τὰ γὰρ βέλη μείζω καθεςῶτα δυοῖν πηχῶν ἔδυνε διά τε τῶν ἀσπίδων καὶ θωράκων, ὥςε μηδὲν τῶν ὅπλων ἰσχύειν τὴν βίαν αὐτῶν ὑπομένειν. ἕτω γάρ φασι μεγάλοις κεχρῆσθαι ὀϊςοῖς, ὥςε τὲς Ἕλληνας ἐναγκυλῦντας τὰ ῥιπτόμενα βέλη, τέτοις σαυνίοις χρωμένες ἐξακοντίζειν. διελθόντες ἕν τὴν προειρημένην χώραν ἐπιπόνως, παρεγενήθησαν πρὸς τὸν Κεντρίτην ποταμόν. ὃν διαβάντες, εἰσέβαλον εἰς τὴν Ἀρμενίαν· ταύτης δ' ἦν σατράπης Τηρίβαζος. πρὸς ὃν σπεισάμενοι, διεπορεύοντο τὴν χώραν ὡς φίλοι.

Clearchus & duces capti ad regem missi trucidantur.

Græcorum iter continuatum per montes Carduchorum,

usque in Armeniam, quæ tutum transitum præbet.

κη'. Ὁδοιπορῦντες δὲ διὰ τῶν Ἀρμενίων ὀρῶν ἐλήφθησαν ὑπὸ χιόνος πολλῆς, καὶ παρεκινδύνευσαν ἀπολέσθαι πάντες. τε γὰρ ἀέρος τεταραγμένε, τὸ μὲν πρῶτον κατ' ὀλίγον ἤρξατο χιὼν πίπτειν ἐκ τε περιέχοντος, ὥςε τὲς ὁδοιπορῦντας μηδὲν ἐμποδίζεσθαι τῆς εἰς τέμπροσθεν πορείας· μετὰ δὲ ταῦτα πνεύματος ἐπιγενομένε, μᾶλλον ἀεὶ κατερρίπτετο, καὶ τὴν χώραν ἐπεκάλυπτεν·

In Armeniæ montibus abducti a via Græci, fame & frigore gravissime afflicti,

λυπτεν· ὥστε μηκέτι δύνασθαι μήτε τὰς ὁδοὺς μήτε ὁλοσχερῶς τὰς ἰδιότητας τῶν τόπων θεωρεῖσθαι. διόπερ ἀθυμία τὸ στρατόπεδον ὑπεδύετο καὶ δέος, ἀνακάμπτειν μὲν εἰς ἀπώλειαν οὐ βουλομένων, προάγειν δὲ διὰ τὸ πλῆθος τῶν χιόνων οὔτε δυναμένων. τοῦ δὲ χειμῶνος ἐπίτασιν λαμβάνοντος, ἐπεγενήθη πνευμάτων μέγεθος μετὰ πολλῆς χαλάζης· ὥστε, τοῦ συρμοῦ κατὰ πρόσωπον ὄντος, ἀναγκασθῆναι καθίσαι τὴν δύναμιν ἅπασαν. ἕκαστος γὰρ τὴν ἐκ τῆς ὁδοιπορίας κακοπάθειαν ὑπομένειν ἀδυνατῶν, ὅπου ποτὲ τύχοι, μένειν ἠναγκάζετο. ἀποροῦντες δὲ πάντες τῶν ἀναγκαίων, ἐκείνην μὲν τὴν ἡμέραν καὶ τὴν νύκτα διεκαρτέρουν ὑπαίθριοι, πολλοῖς συνεχόμενοι κακοῖς. διὰ γὰρ τὸ πλῆθος τῆς κατὰ τὸ συνεχὲς ἐκχεομένης χιόνος, τά τε ὅπλα πάντα συνεκαλύφθη, καὶ τὰ σώματα διὰ τὸν ἀπὸ τῆς αἰθρίας πάγον περιεψύχετο· διά τε τὴν ὑπερβολὴν τῶν κακῶν, ὅλην τὴν νύκτα διηγρύπνουν· καί τινες μὲν πῦρ ἐκκαύσαντες, τῆς ἀπὸ τούτου βοηθείας ἐτύγχανον· τινὲς δὲ περικαταληφθέντες ὑπὸ τοῦ πάγου τὰ σώματα, πᾶσαν ἀπεγίνωσκον ἐπικουρίαν, τῶν ἀκρωτηρίων αὐτοῖς σχεδὸν ἁπάντων ἀπονενεκρωμένων. διόπερ ὡς ἡ νὺξ διῆλθε, τῶν θ' ὑποζυγίων τὰ πλεῖστα εὑρέθη διεφθαρμένα, καὶ τῶν ἀνδρῶν πολλοὶ μὲν τετελευτηκότες, οὐκ ὀλίγοι δὲ τὴν μὲν ψυχὴν ἔχοντες ἔμφρονα, τὸ δὲ σῶμα διὰ τὸν πάγον ἀκίνητον. ἔνιοι δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐτυφλώθησαν, διά τε τὸ ψύχος καὶ τὴν ἀνταύγειαν τῆς χιόνος· καὶ τελείως ἂν ἅπαντες διεφθάρησαν, εἰ μὴ βραχὺ διελθόντες εὗρον κώμας γεμούσας τῶν ἐπιτηδείων· αὗται δὲ τὰς μὲν τοῖς ὑποζυγίοις καταβάσεις εἶχον ὀρυκτὰς, τάς τε τοῖς ἀνδράσι κατὰ κλιμάκων, ταῖς οἰκίαις ἐγκαταβαίνουσι τά τε βοσκήματα τρεφόμενα χόρτῳ, τοῖς δ' ἀνδράσι πολλὴν ἀφθονίαν πάντων τῶν πρὸς τὸ ζῆν ἀναγκαίων.

amissis multis suorum,

ægre tandem vicos assequuntur, qui omni victus genere eos recreant.

κθ'. Ἐμμείναντες δὲ ταῖς κώμαις ἡμέρας ὀκτὼ, παρεγενήθησαν εἰς τὸν Φᾶσιν ποταμόν. ἐκεῖ δὲ τέτταρας ἡμέρας διανύσαντες, διεπορεύοντο τὴν Χάων καὶ Φασιανῶν χώραν. ἐπιθεμένων δ' αὐτοῖς τῶν ἐγχωρίων, τούτους μὲν ἐν τῇ μάχῃ νικήσαντες, πολλοὺς ἀνεῖλον· αὐτοὶ δὲ καταλαμβάνοντες τὰς τῶν ἐγχωρίων κτήσεις γε-

Inde Phasin fluv. transgressi, per Chaorum, Phasianorum, Chalcidensium cet. regiones,

μέσας ἀγαθῶν, ἐνδιέτριψαν ἐν αὐταῖς ἡμέρας πεντεκαίδεκα. ἀναζεύξαντες δὲ ἐκεῖθεν, διῆλθον τὴν Χαλκιδέων καλεμένην χώραν ἐν ἡμέραις ἑπτὰ, καὶ παρεγενήθησαν πρὸς τὸν Ἅρπαγον ὀνομαζόμενον ποταμὸν, ὄντα τὸ πλάτος πλέθρων τεττάρων. ἐντεῦθεν δὲ διὰ τὰ Σκυτίνων πορευόμενοι, διῆλθον ὁδὸν πεδινήν· ἐν ᾗ τρεῖς ἡμέρας αὐτὰς ἀνέλαβον, εὐπορῦντες ἁπάντων τῶν ἀναγκαίων. μετὰ δὲ ταῦτα ἀναζεύξαντες, τεταρταῖοι παρεγενήθησαν πρὸς πόλιν μεγάλην Γυμνασίαν ὀνομαζομένην. ἐκ δὲ ταύτης ὁ τῶν τόπων τύτων ἀφηγύμενος ἐσπείσατο πρὸς αὐτὰς, καὶ τὰς ὁδηγήσοντας ἐπὶ θάλατταν συνέστησεν.

in Chenium montem evadunt, unde ingenti gaudio mare prospiciunt.

ἐν ἡμέραις δὲ πεντεκαίδεκα παραγενόμενοι ἐπὶ τὸ Χήνιον ὄρος, ὡς εἶδον πορευόμενοι οἱ πρῶτοι τὴν θάλατταν, περιχαρεῖς ἦσαν, καὶ τοιαύτην ἐποίεν κραυγὴν, ὥστε τὰς ἐπὶ τῆς ὐραγίας ὄντας, ὑπολαμβάνοντας πολεμίων ἔφοδον εἶναι, χωρεῖν εἰς ὅπλα. ὡς δ᾽ ἅπαντες ἀνέβησαν ἐπὶ τὸν τόπον, ἐξ ὗ τὴν θάλατταν ἦν ὁρᾶν, τοῖς θεοῖς ἀνατείναντες τὰς χεῖρας, ηὐχαρίστυν ὡς ἤδη διασεσωσμένοι.

Hic in expeditionis memoriam tropæa ponunt,

συνενέγκαντες δ᾽ εἰς ἕνα τόπον λίθυς παμπληθεῖς, καὶ ποιήσαντες ἐξ αὐτῶν ἀναστήματα μεγάλα, σκῦλα τῶν Βαρβάρων ἀνέθεσαν, βυλόμενοι τῆς στρατείας ἀθάνατον ὑπόμνημα καταλιπεῖν· καὶ τῷ μὲν ὁδηγήσαντι φιάλην ἀργυρᾶν καὶ στολὴν Περσικὴν ἐδωρήσαντο. ὃς δείξας αὐτοῖς τὴν ἐπὶ Μάκρωνας ὁδὸν, ἀπηλλάγη.

ac deinde Macronum regionem transeunt,

οἱ δ᾽ Ἕλληνες εἰσβαλόντες εἰς τὴν τῶν Μακρώνων χώραν, ἐσπείσαντο, καὶ πρὸς πίστιν παρὰ μὲν ἐκείνων λόγχην ἔλαβον Βαρβαρικὴν, αὐτοὶ δ᾽ Ἑλληνικὴν ἔδωκαν. ταῦτα γὰρ ἔφασαν αὐτοῖς οἱ Βάρβαροι διὰ προγόνων παραδεδόσθαι πρὸς πίστιν βεβαιότατα.

& ad Colchos perveniunt.

ὡς δὲ τὰς τύτων ὅρυς διῆλθον, παρεγενήθησαν εἰς τὴν τῶν Κόλχων χώραν. εἰς ἣν ἀθροισθέντων τῶν ἐγχωρίων ἐπ᾽ αὐτὰς, τύτυς μὲν κρατήσαντες μάχῃ, πολλὰς ἀνεῖλον· αὐτοὶ δὲ λόφον ὀχυρὸν καταλαβόμενοι, τὴν χώραν ἐπόρθυν, καὶ τὰς ὠφελείας εἰς τῦτον ἀθροίσαντες, ἀφθόνως ἑαυτὰς ἀνελάμβανον.

Gustato ejus regionis melle, multi Græcorum in insaniam inciderunt.

λ΄. Εὑρίσκετο δὲ καὶ σμήνη παμπληθῆ περὶ τὰς τόπυς, ἐξ ὧν πολυτελῆ προσεφέρετο κηρία· τύτων δ᾽ οἱ γευσάμενοι παραλόγῳ περιέπιπτον συμπτώματι. οἱ γὰρ μεταλαβόντες αὐτῶν, ἄφρονες ἐγίνοντο, καὶ πίπτοντες ἐπὶ

ἐπὶ τὴν γῆν, ὅμοιοι τοῖς τετελευτηκόσιν ὑπῆρχον. πολλῶν δὲ φαγόντων διὰ τὴν γλυκύτητα τῆς ἀπολαύσεως, ταχὺ τὸ πλῆθος ἐγεγόνει τῶν πεπτωκότων οἱονεὶ τροπῆς ἐν πολέμῳ γεγενημένης. ἐκείνην μὲν οὖν τὴν ἡμέραν ἠθύμησεν ἡ δύναμις, καταπεπληγμένη τό, τε παράδοξον καὶ τὸ πλῆθος τῶν ἠτυχηκότων· τῇ δ' ὑστεραίᾳ περὶ τὴν αὐτὴν ὥραν ἅπαντες ἑαυτοὺς ἀνελάμβανον, καὶ κατ' ὀλίγον ἀνακτώμενοι τὸ φρονεῖν, ἀνέστησαν, καὶ τὸ σῶμα διετέθησαν ὁμοίως τοῖς ἐκ φαρμακοποσίας διασωθεῖσιν. ὡς δ' ἀνέλαβον ἑαυτοὺς, ἐν τρισὶν ἡμέραις ἐπορεύθησαν εἰς Τραπεζοῦντα, πόλιν Ἑλληνίδα, Σινωπέων μὲν ἄποικον, κειμένην δὲ ἐν τῇ Κόλχων χώρᾳ. ἐνταῦθα δὲ διατρίψαντες ἡμέρας τριάκοντα, παρὰ μὲν τοῖς ἐγχωρίοις λαμπρῶς ἐξενίσθησαν, αὐτοί τε τῷ τε Ἡρακλεῖ καὶ Διῒ σωτηρίῳ θυσίαν ἐποίησαν καὶ γυμνικὸν ἀγῶνα, καθ' ὃν τόπον φασὶ προσπλεῦσαι τὴν Ἀργὼ καὶ τοὺς περὶ Ἰάσονα. ἐκεῖθεν δὲ Χειρίσοφον μὲν τὸν ἀφηγούμενον ἀπέστειλαν εἰς Βυζάντιον ἐπὶ πλοῖα καὶ τριήρεις, ἐλέγετο γὰρ εἶναι φίλος Ἀναξιβίῳ τῷ Βυζαντίων ναυάρχῳ. τοῦτον μὲν οὖν ἐπὶ κέλητος ἐξέπεμψαν· λαβόντες δὲ τῶν ἐπικώπων δύο πλοιάρια παρὰ τῶν Τραπεζουντίων, ἐλήστευον τοὺς περιοικοῦντας Βαρβάρους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. ἐφ' ἡμέρας μὲν οὖν τριάκοντα περιέμειναν τὸν Χειρίσοφον· ὡς δ' ἐκεῖνος ἐβράδυνεν, αἱ δὲ τροφαὶ τοῖς ἀνθρώποις ἐσπάνιζον, ἀνέζευξαν ἐκ Τραπεζοῦντος, καὶ τριταῖοι παρεγενήθησαν εἰς Κερασοῦντα, πόλιν Ἑλληνίδα, Σινωπέων ἄποικον· ἐν ταύτῃ δὲ ἡμέρας διατρίψαντές τινας, παρεγενήθησαν εἰς τὸ τῶν Μοσυνοίκων ἔθνος. τῶν δὲ Βαρβάρων συστραφέντων ἐπ' αὐτοὺς, ἐκράτησαν μάχῃ, καὶ πολλοὺς ἀνεῖλον. συμφυγόντων δὲ εἴς τι χωρίον ἐν ᾧ κατῴκουν ἑπτωρόφους ἔχοντες ξυλίνους πύργους, συνεχεῖς προσβολὰς ποιησάμενοι, κατὰ κράτος εἷλον. ἦν δὲ τὸ χωρίον τοῦτο μητρόπολις τῶν ἄλλων ἐρυμάτων, ἐν ᾧ καὶ ὁ βασιλεὺς αὐτῶν κατῴκει τὸν ὑψηλότατον τόπον ἔχων. ἔθος δ' ἔχει πάτριον μένειν ἐν αὐτῷ τὸν πάντα βίον, κἀκεῖθεν διαδοῦναι τοῖς ὄχλοις τὰ προστάγματα. βαρβαρώτατον δ' ἔφασαν οἱ στρατιῶται τοῦτο διεληλυθέναι τὸ ἔθνος, καὶ ταῖς μὲν γυναιξὶν αὐτοὺς πλη-

Recepta mentis sanitate,

Trapezuntem perveniunt, ubi benigno hospitio excepti, XXX dies subsistunt,

Chirisopho Byzantium misso ad comparandas naves.

Quo diutius remorante, Cerasuntem petunt.

Hinc profecti, gentem Mosynoecorum adeunt, barbaram & incultam, pugna atrocissima subigendam.

πλησιάζειν ἁπάντων ὁρώντων· τοὺς δὲ παῖδας τῶν πλουσιωτάτων τρέφεσθαι καρύοις ἑφθοῖς· ἅπαντας δ' ἐκ παιδὸς στίγμασι τόν τε νῶτον καὶ τὰ στήθη καταπεποικίλθαι. ταύτην μὲν οὖν τὴν χώραν ἐν ἡμέραις ὀκτὼ διεπορεύθησαν· τὴν δ' ἐχομένην ἐν τρισὶν, ἣν ἐκάλουν Τιβαρηνήν.

Inde Cotyora urbem assecuti,

λά. Κἀκεῖθεν εἰς Κοτύωρα πόλιν παρεγενήθησαν Ἑλληνίδα, Σινωπέων ἄποικον. ἐν ταύτῃ δὲ πεντήκονθ' ἡμέρας διέτριψαν, τοὺς περιοίκους τῆς Παφλαγονίας τε καὶ τοὺς ἄλλους Βαρβάρους λῃστεύοντες. Ἡρακλειῶται δὲ καὶ Σινωπεῖς ἀπέστειλαν αὐτοῖς πλοῖα, δι' ὧν αὐτοί τε καὶ τὰ σκευοφόρα διεκομίσθησαν. ἡ δὲ Σινώπη Μιλησίων μὲν ἦν ἄποικος, κειμένη δ' ἐν τῇ Παφλαγονίᾳ, μέγιστον εἶχεν ἀξίωμα τῶν περὶ τοὺς τόπους· ἐν ᾗ δὴ καθ' ἡμᾶς ἔσχε Μιθριδάτης, ὁ πρὸς Ῥωμαίους διαπολεμήσας, τὰ μέγιστα βασίλεια. παρεγενήθη δὲ καὶ ἐνταῦθα Χειρίσοφος, ὁ πρὸς τὰς τριήρεις ἀπεσταλμένος, ἄπρακτος. οἱ μὲν οὖν ἄλλοι Σινωπεῖς φιλοφρόνως αὐτοὺς ξενίσαντες, ἀπέπεμψαν αὐτοὺς κατὰ θάλατταν εἰς Ἡράκλειαν Μεγαρέων ἄποικον. καὶ καθωρμίσθη πᾶς ὁ στόλος πρὸς τὴν Ἀχερουσίαν χεῤῥόνησον, ὅπου φασὶν Ἡρακλέα τὸν ἐξ ᾅδου Κέρβερον ἀναγαγεῖν. ἐκεῖθεν δὲ πεζῇ διὰ Βιθυνίας πορευόμενοι, κινδύνοις περιέπιπτον, τῶν ἐγχωρίων ἐξαπτομένων κατὰ τὴν πορείαν. μόγις οὖν διεσώθησαν εἰς Χρυσόπολιν τῆς Χαλκηδονίας οἱ περιλειφθέντες ἀπὸ μυρίων τρισχίλιοι ὀκτακόσιοι. ἐκεῖθεν ῥᾳδίως ἤδη τὸ λοιπόν τινες μὲν διεσώθησαν εἰς τὰς πατρίδας, οἱ δὲ λοιποὶ περὶ τὴν Χεῤῥόνησον ἀθροισθέντες ἐπόρθουν τὴν παρακειμένην Θρᾳκῶν πόλιν. ἡ μὲν οὖν ἐπ' Ἀρταξέρξην Κύρου στρατεία τοιοῦτον ἔσχε τὸ τέλος.

ab Heracleensibus & Synopæis navigiis adjuvantur.

Interea rediit ad suos Chirisophus nullis impetratis navibus.

Tum itaque Heracleam, & inde porro in penins. Acherusiam vecti, tandem Chrysopolin pervenerunt.

Superstites Græci 3800 de 10000.

Diodor. XIV. cap. 35.

Artaxerxes perfunctus bello (Pharnabazum &) Tissaphernem in oram Asiæ mittit ad coërcendos rebelles.

Μετὰ ταῦτα Ἀρταξέρξης μὲν ὁ τῆς Ἀσίας βασιλεὺς καταπεπολεμηκὼς Κῦρον, ἀπεστάλκει Φαρνάβαζον παραληψόμενον πάσας τὰς ἐπὶ θαλάττῃ σατραπείας. διόπερ οἱ Κύρῳ συμμαχήσαντες σατράπαι καὶ πόλεις ἐν ἀγωνίᾳ πολλῇ καθειστήκεισαν μή ποτε δῶσι τιμωρίαν ὑπὲρ ὧν ἐξήμαρτον εἰς τὸν βασιλέα. οἱ μὲν οὖν ἄλλοι σατράπαι διαπρεσβευσάμενοι πρὸς Τισσαφέρνην, ἐξεθεράπευον, καὶ τὰ καθ' αὐτοὺς ἐτίθεντο πρὸς αὐτὸν, ὅπως ποτ' ἦσαν δυνατοί· Ταμὼς δὲ μέγιστος ὢν αὐτῶν, καὶ

τῆς

τῆς Ἰωνίας ἀφηγέμενος, εἰς τὰς τριήρεις ἐνέθετο τὰ χρήματα καὶ τοὺς υἱοὺς ἅπαντας, πλὴν ἑνὸς τοῦ καλουμένου μὲν Γάου, μετὰ δέ τινας χρόνους ἀφηγησαμένου τῶν βασιλικῶν δυνάμεων. εὐλαβηθεὶς οὖν ὁ Ταμὼς τὸν Τισσαφέρνην, ἀπῆρεν εἰς Αἴγυπτον μετὰ τοῦ στόλου, καὶ κατέφυγε πρὸς Ψαμμίτιχον τὸν βασιλέα τῶν Αἰγυπτίων, ἀπόγονον ὄντα τοῦ Ψαμμιτίχου. οὔσης δ' αὐτῷ προγεγενημένης εὐεργεσίας εἰς τὸν βασιλέα, διελάμβανε τοῦτον ἕξειν οἱονεί τινα λιμένα τῶν ἀπὸ τοῦ βασιλέως κινδύνων. ὁ δὲ Ψαμμίτιχος τήν τε εὐεργεσίαν καὶ τὸ πρὸς τοὺς ἱκέτας ὅσιον παρ' οὐδὲν ἡγησάμενος, ἀπέσφαξε τὸν ἱκέτην καὶ φίλον μετὰ τῶν τέκνων, ὅπως τῶν τε χρημάτων καὶ τοῦ στόλου γένηται κύριος. αἱ δὲ κατὰ τὴν Ἀσίαν πόλεις Ἑλληνίδες, πυνθανόμεναι τὴν Τισσαφέρνους κατάβασιν, περὶ σφῶν ἀγωνιῶσαι, πρὸς Λακεδαιμονίους ἔπεμψαν πρέσβεις, δεόμεναι μὴ περιϊδεῖν αὐτὰς ὑπὸ τῶν Βαρβάρων γινομένας ἀναστάτους. οἱ δὲ Λακεδαιμόνιοι βοηθήσειν ἐπαγγειλάμενοι, πρὸς Τισσαφέρνην ἔπεμψαν πρέσβεις, τοὺς ἐροῦντας μὴ ὅπλα πολέμια ἐπιφέρειν ταῖς Ἑλληνίσι πόλεσι. Τισσαφέρνης δὲ μετὰ δυνάμεως ἐπὶ πρώτην ἐλθὼν τὴν Κυμαίων πόλιν, τήν τε χώραν ἐπόρθησεν ἅπασαν, καὶ πολλῶν αἰχμαλώτων ἐγκρατὴς ἐγένετο. μετὰ δὲ ταῦτα συγκλείσας αὐτοὺς εἰς πολιορκίαν, ὡς ὁ μὲν χειμὼν συνήγγισε, τὴν δὲ πόλιν ἑλεῖν οὐκ ἠδύνατο, τοὺς αἰχμαλώτους πολλῶν χρημάτων ἀπελύτρωσε, καὶ τὴν πολιορκίαν ἔλυσε.

Tamos, Joniæ præfectus, metu perculsus, ad Psammitichum in Ægyptum aufugit, qui transfugam occidit, ejusque opibus potitur. Græcæ civitates, quamvis missa a Laced. legatione, vastantur.

Λακεδαιμόνιοι δὲ ἐπὶ τὸν πρὸς βασιλέα πόλεμον Θίμβρωνα κατασήσαντες ἡγεμόνα, χιλίους μὲν τῶν πολιτῶν ἔδωκαν, παρὰ δὲ τῶν συμμάχων ἐκέλευσαν στρατολογεῖν οὓς ἂν αὐτῷ φαίνηται συμφέρειν. ὁ δὲ Θίμβρων πορευθεὶς εἰς Κόρινθον, κἀκεῖ παρὰ τῶν συμμάχων μεταπεμψάμενος στρατιώτας, ἐξέπλευσεν εἰς Ἔφεσον, ἔχων οὐ πλείους πεντακισχιλίων. ἐκεῖ δὲ ἔκ τε τῶν ἰδίων πόλεων καὶ τῶν ἄλλων ὡς δισχιλίους καταγράψας ἀνέζευξε, τοὺς πάντας ἔχων πλείους ἑπτακισχιλίων. διελθὼν δ' ὡς ἑκατὸν εἴκοσι σταδίους πρὸς Μαγνησίαν, ἧς ἦρχε Τισσαφέρνης, ταύτην δ' ἐξ ἐφόδου παραλαβὼν, καὶ ταχέως ἐπὶ Τράλλεις τῆς Ἰωνίας πορευθεὶς, ἐπεχείρησε πολιορ-

cap. 36. Lacedæmonii pro Græcis in Asia bellum suscipiunt duce Thimbrone.

πολιορκεῖν τὴν πόλιν· ἐδὲν δὲ δυνάμενος πρᾶξαι δἰ ὀχυρότητα, πάλιν εἰς Μαγνησίαν ἀπεχώρησε. ταύτης δ᾽ ἔσης ἀτειχίςε, καὶ διὰ τῦτο φοβέμενος μή ποτε χωρισθέντος αὐτῦ κυριεύσῃ τῆς πόλεως ὁ Τισσαφέρνης, μετῴκισεν αὐτὴν πρὸς τὸ πλησίον ὄρος, ὃ καλῦσι Θώρακα· αὐτὸς δ᾽ ἐμβαλὼν εἰς τὴν τῶν πολεμίων χώραν, τὲς ςρατιώτας ἐνέπλησε παντοίας ὠφελείας. Τισσαφέρνες δὲ μετὰ πολλῆς ἵππε παραγενομένε, διευλαβηθεὶς ἀνέςρεψεν εἰς Ἔφεσον.

cap. 37. Thimbronis exercitui adjungunt se Græci ab expeditione Cyri reduces.

Περὶ δὲ τὸν αὐτὸν χρόνον, τῶν ἐςρατευμένων μετὰ Κύρε καὶ διασωθέντων εἰς τὴν Ἑλλάδα τινὲς μὲν εἰς τὰς ἰδίας πατρίδας ἀπηλλάγησαν, οἱ δὲ πλεῖςοι ςρατιωτικὸν εἰθισμένοι ζῆν βίον, καὶ σχεδὸν ὄντες πεντακισχίλιοι, ςρατηγὸν αὐτῶν εἵλοντο Ξενοφῶντα· ὃς ἀναλαβὼν τὴν δύναμιν, ὥρμησε πολεμήσων Θρᾷκας τὲς περὶ τὸν Σαλμυδησσὸν οἰκῦντας· ἔτος δ᾽ ἐςὶ μὲν ἐπ᾽ ἀριςερᾷ τῦ Πόντε, παρεκτείνων δ᾽ ἐπὶ πολὺ, πλεῖςα ποιεῖ ναυάγια. οἱ μὲν ὖν Θρᾷκες εἰώθεισαν, περὶ τέτες τὲς τόπες ἐφεδρεύοντες, τὲς ἐκπίπτοντας τῶν ἐμπόρων αἰχμαλωτίζειν. ὁ δὲ Ξενοφῶν μετὰ τῶν συνηθροισμένων ςρατιωτῶν ἐμβαλὼν αὐτῶν εἰς τὴν χώραν, μάχῃ τε ἐνίκησε, καὶ τὰς πλείςας τῶν κωμῶν ἐνέπρησε· μετὰ δὲ ταῦτα Θίμβρωνος αὐτὲς μεταπεμπομένε καὶ μισθὲς ἐπαγγελλομένε δώσειν, πρὸς ἐκεῖνον ἀπεχώρησαν, καὶ μετὰ Λακεδαιμονίων ἐπολέμεν τοῖς Πέρσαις.

cap. 38. Lacedæmonii in Thimbronis locum Dercyllidam substituunt. Hic multa loca in Troade occupat, factisque cum Pharnabazo VIII mens. induciis, Thraces in Bithynia infestat.

Λακεδαιμόνιοι δὲ πυθόμενοι τὸν Θίμβρωνα κακῶς διοικῦντα τὰ κατὰ τὸν πόλεμον, Δερκυλλίδαν ςρατηγὸν εἰς τὴν Ἀσίαν ἐξέπεμψαν. ὃς παραλαβὼν τὴν δύναμιν, ἐςράτευσεν ἐπὶ τὰς ἐν τῇ Τρωάδι πόλεις. Ἁμάξιτον μὲν ὖν καὶ Κολώνας καὶ Ἀρίσβαν εἷλεν ἐξ ἐφόδε· μετὰ δὲ ταῦτα Ἴλιον καὶ Κεβρηνίαν καὶ τὰς ἄλλας ἁπάσας τὰς κατὰ τὴν Τρωάδα, ἃς μὲν δόλῳ παρέλαβεν, ἃς δὲ ἐκ βίας ἐχειρώσατο. μετὰ δὲ ταῦτα πρὸς Φαρνάβαζον ὀκταμηνιαίες ἀνοχὰς ποιησάμενος, ἐςράτευσεν ἐπὶ Θρᾷκας τὲς περὶ Βιθυνίαν τότε κατοικῦντας.

cap. 39. Cononem Athen. auctore Pharnabazo,

Φαρνάβαζος δὲ, τῶν πρὸς Λακεδαιμονίες ἀνοχῶν γενομένων, ἀνέβη πρὸς τὸν βασιλέα, καὶ συνέπεισεν αὐτὸν ςόλον ἑτοιμάσαι, καὶ ναύαρχον καταςῆσαι Κόνωνα τὸν

τὸν Ἀθηναῖον. οὗτος γὰρ ἦν ἔμπειρος τῶν κατὰ πόλεμον ἀγώνων, καὶ μάλιστα τῶν πολεμίων· πολεμικώτατος δ' ὢν ἐν Κύπρῳ διέτριβε παρ' Εὐαγόρᾳ τῷ βασιλεῖ. πειθέντος δὲ τοῦ βασιλέως, Φαρνάβαζος λαβὼν ἀργυρίου τάλαντα πεντακόσια, παρεσκευάζετο κατασκευάζειν ναυτικόν. διαπλεύσας οὖν εἰς Κύπρον, τοῖς μὲν ἐκεῖ βασιλεῦσι παρήγγειλεν ἑκατὸν τριήρεις ἑτοιμάζειν· τῷ δὲ Κόνωνι περὶ τῆς ναυαρχίας διαλεχθεὶς, ἐπέστησεν αὐτὸν ἐπὶ τὴν θάλατταν ἡγεμόνα, μεγάλας ὑποφαίνων παρὰ τοῦ βασιλέως ἐλπίδας. ὁ δὲ Κόνων (ἅμα μὲν ἐλπίζων ἀνακτήσεσθαι τῇ πατρίδι τὴν ἡγεμονίαν, εἰ Λακεδαιμόνιοι καταπολεμηθεῖεν, ἅμα δ' αὐτὸς μεγάλης τεύξεσθαι δόξης) προσεδέξατο τὴν ναυαρχίαν. οὔπω δὲ τοῦ στόλου παντὸς παρεσκευασμένου, τὰς ἑτοίμους ναῦς τετταράκοντα λαβὼν διέπλευσεν εἰς Κιλικίαν, κἀκεῖ τὰ πρὸς τὸν πόλεμον ἡτοιμάζετο. Φαρνάβαζος δὲ καὶ Τισσαφέρνης ἐκ τῶν ἰδίων σατραπειῶν ἀθροίσαντες στρατιώτας, ἀνέζευξαν, ἐπὶ τῆς Ἐφέσου τὴν πορείαν ποιούμενοι, διὰ τὸ τοὺς πολεμίους ἔχειν ἐνταῦθα τὴν δύναμιν. καὶ συνηκολούθουν αὐτοῖς πεζοὶ μὲν δισμύριοι, ἱππεῖς δὲ μύριοι. ἀκούων δὲ τῶν Περσῶν τὴν ἔφοδον Δερκυλλίδας ὁ τῶν Λακεδαιμονίων ἀφηγούμενος, ἐξήγαγε τὴν δύναμιν, ἔχων τοὺς πάντας οὐ πλείους τῶν ἑπτακισχιλίων. ὡς δ' ἐγγὺς ἀλλήλων ἐγενήθη τὰ στρατόπεδα, σπονδὰς ἐποιήσαντο, καὶ χρόνον ὥρισαν, ἐν ᾧ Φαρνάβαζος μὲν πρὸς τὸν βασιλέα πέμψει περὶ συνθηκῶν, εἰ βούλοιτο καταλῦσαι τὸν πόλεμον, Δερκυλλίδας δὲ τοῖς Σπαρτιάταις δηλώσει περὶ τούτων. οὗτοι μὲν οὖν οὕτω διέλυσαν τὰ στρατόπεδα.

Κατὰ δὲ τὴν Ἑλλάδα, Λακεδαιμόνιοι προορώμενοι τὸ μέγεθος τοῦ πρὸς Πέρσας πολέμου, τὸν ἕτερον τῶν βασιλέων Ἀγησίλαον ἐπέστησαν τοῖς πράγμασιν· οὗτος δ' ἑξακισχιλίους στρατιώτας ἐπιλέξας, τριάκοντα δὲ τῶν πολιτῶν εἰς τὸ συνέδριον τοὺς ἀρίστους κατατάξας, διεβίβασε δύναμιν ἐκ τῆς Εὐρώπης εἰς Ἔφεσον. ἐκεῖ δὲ στρατολογήσας τετρακισχιλίους, προήγαγε τὴν δύναμιν εἰς ὕπαιθρον, οὔσαν πεζῶν μὲν μυρίων, ἱππέων δὲ τετρακοσίων. ἠκολούθει δ' αὐτοῖς ἀγοραῖος ὄχλος καὶ τῆς ἁρπαγῆς χάριν, οὐκ ἐλάττων τοῦ προειρημένου. διεξιὼν δὲ τὸ Καΰστριον

rex Persarum navarchum constituit.

Classis in Ciliciam, Pharnabazus & Tissaphernes Ephesum proficiscuntur,

ubi, ante ineundam pugnam, induciæ fiunt.

cap. 79. Agesilaus, rex Lacedæmon. trajectis Ephesum copiis, Persarum provincias populatur.

στριον πεδίον, διέφθειρε τὴν χώραν τὴν ὑπὸ τοὺς Πέρσας οὖσαν, μέχρις ὅτου κατήντησεν εἰς Κύμην. ἐκεῖθεν δ᾽ ὁρμηθεὶς, τὸ πλεῖστον τοῦ θέρους τήν τε Φρυγίαν καὶ τὰ συνεχῆ διετέλεσε πορθῶν, καὶ τὴν δύναμιν ἐμπλήσας ὠφελείας, ὑπὸ τὸ φθινόπωρον ἀνέκαμψεν εἰς Ἔφεσον.

Impetrat a rege Aegyptiorum navalis belli auxilia & frumentum.

τούτων δὲ πραττομένων, Λακεδαιμόνιοι μὲν πρέσβεις ἀπέστειλαν πρὸς Νεφερέα τὸν Αἰγύπτου βασιλέα περὶ συμμαχίας· ὃς ἀντὶ τῆς βοηθείας ἐδωρήσατο σκευὴν τοῖς Σπαρτιάταις ἑκατὸν τριήρεσι, σίτου δὲ μυριάδας πεντήκοντα.

Pharax classis Laced. Conon Persicæ classis præfecti.

Φάραξ δὲ ὁ τῶν Λακεδαιμονίων ναύαρχος, ἀναχθεὶς ἐκ Ῥόδου ναυσὶν ἑκατὸν εἴκοσι, κατέπλευσε τῆς Καρίας πρὸς Σάσανδα, φρούριον ἀπέχον τῆς Καύνου σταδίους ἑκατὸν πεντήκοντα. ἐκεῖθεν δὲ ὁρμώμενος ἐπολιόρκει τὴν Καῦνον, καὶ Κόνωνα μὲν τὸν τοῦ βασιλικοῦ στόλου τὴν ἡγεμονίαν ἔχοντα, διατρίβοντα δὲ ἐν Καύνῳ μετὰ νεῶν τεσσαράκοντα. Ἀρταφέρνου δὲ καὶ Φαρναβάζου μετὰ πολλῆς δυνάμεως παραβοηθήσαντος τοῖς Καυνίοις, ὁ Φάραξ ἔλυσε τὴν πολιορκίαν, καὶ μετὰ τοῦ στόλου παντὸς ἀπῆγεν εἰς Ῥόδον.

Rhódii, expulsis Græcis, recipiunt Persas, missumque ab Aegyptiis frumentum rapiunt.

μετὰ δὲ ταῦτα Κόνων μὲν ἀθροίσας ὀγδοήκοντα τριήρεις, ἔπλευσεν εἰς Χεῤῥόνησον, Ῥόδιοι δὲ ἐκβαλόντες τὸν τῶν Πελοποννησίων στόλον, ἀπέστησαν ἀπὸ Λακεδαιμονίων, καὶ τὸν Κόνωνα προσεδέξαντο μετὰ τοῦ στόλου παντὸς εἰς τὴν πόλιν. οἱ δ᾽ ἐκ τῆς Αἰγύπτου τὸν δωρηθέντα σῖτον κατακομίζοντες Λακεδαιμόνιοι, τὴν ἀπόστασιν τῶν Ῥοδίων ἀγνοοῦντες, τεθαῤῥηκότες προσέπλεον τῇ νήσῳ. Ῥόδιοι δὲ καὶ Κόνων ὁ τῶν Περσῶν ναύαρχος καταγαγόντες τὰς ναῦς εἰς τοὺς λιμένας, ἐπλήρωσαν σίτου τὴν πόλιν. παρεγενήθησαν δὲ τῷ Κόνωνι τριήρεις ἐννενήκοντα, δέκα μὲν ἀπὸ Κιλικίας, ὀγδοήκοντα δ᾽ ἀπὸ Φοινίκης, ὧν ὁ Σιδωνίων δυνάστης εἶχε τὴν ἡγεμονίαν.

cap. 80. Proelio in campis ad Caystrum commisso, Agesilaus Tissaphernem fundit.

Μετὰ δὲ ταῦτα Ἀγησίλαος μὲν ἐξαγαγὼν τὴν δύναμιν εἰς τὸ Καΰστρου πεδίον καὶ τὴν περὶ Σίπυλον χώραν, ἐδήωσε τὰς τῶν ἐγχωρίων κτήσεις. Τισσαφέρνης δὲ μυρίους μὲν ἱππεῖς, πεντακισμυρίους δὲ πεζοὺς ἀθροίσας, ἐπηκολούθει τοῖς Λακεδαιμονίοις, καὶ τοὺς ἀποσπωμένους τῆς τάξεως ἐν ταῖς προνομαῖς ἀνήρει. Ἀγησίλαος δὲ εἰς πλινθίον συντάξας τοὺς στρατιώτας, ἀντείχετο τῆς παρὰ τὸν Σίπυλον παρωρείας, ἐπιτηρῶν καιρὸν εὔθετον εἰς τὴν τῶν πολε-

πολεμίων ἐπίθεσιν. ἐπελθὼν δὲ τὴν χώραν μέχρι Σάρδεων, ἔφθειρε τούς τε κήπους, καὶ τὸν παράδεισον τὸν Τισσαφέρνους, φυτοῖς καὶ τοῖς ἄλλοις πολυτελῶς πεφιλοτεχνημένον εἰς τρυφὴν καὶ τὴν ἐν εἰρήνῃ τῶν ἀγαθῶν ἀπόλαυσιν· μετὰ δὲ ταῦτ' ἐπιστρέψας, ὡς ἀνὰ μέσον ἐγενήθη τῶν τε Σάρδεων καὶ Θυβαρνῶν, ἀπέστειλε Ξενοκλέα τὸν Σπαρτιάτην μετὰ χιλίων καὶ τετρακοσίων στρατιωτῶν νυκτὸς εἴς τινα δασὺν τόπον, ὅπως ἐνεδρεύσῃ τοῖς Βαρβάροις. αὐτὸς δ' ἅμ' ἡμέρᾳ πορευόμενος μετὰ τῆς δυνάμεως ἐπειδὴ τὴν μὲν ἐνέδραν παρήλλαξεν, οἱ δὲ Βάρβαροι προσπίπτοντες ἀτάκτως τοῖς ἐπὶ τῆς οὐραγίας ἐξήπτοντο παραδόξως, ἐξαίφνης δ' ἐπέστρεψεν ἐπὶ τοὺς Πέρσας. γενομένης δὲ καρτερᾶς μάχης, καὶ τοῦ συσσήμου τοῖς κατὰ τὴν ἐνέδραν οὖσιν ἀρθέντος, ἐκεῖνοι μὲν παιανίσαντες ἐπεφέροντο τοῖς πολεμίοις, οἱ δὲ Πέρσαι, θεωροῦντες αὐτοὺς ἀπολαμβανομένους εἰς μέσον, κατεπλάγησαν, καὶ παραχρῆμα ἔφευγον. οἱ δὲ περὶ τὸν Ἀγησίλαον μέχρι μέν τινος ἐπιδιώξαντες, ἀνεῖλον μὲν ὑπὲρ τοὺς ἑξακισχιλίους, αἰχμαλώτων δὲ πολὺ πλῆθος ἤθροισαν· τὴν δὲ παρεμβολὴν διήρπασαν, γέμουσαν πολλῶν ἀγαθῶν. ἀπὸ δὲ τῆς μάχης Τισσαφέρνης μὲν εἰς Σάρδεις ἀπεχώρησε, καταπεπληγμένος τὴν τόλμαν τῶν Λακεδαιμονίων· Ἀγησίλαος δ' ἐπεχείρησε μὲν εἰς τὰς ἄνω σατραπείας, ἐν δὲ τοῖς ἱεροῖς οὐ δυνάμενος καλλιερῆσαι, πάλιν ἀπήγαγε τὴν δύναμιν ἐπὶ θάλασσαν. Ἀρταξέρξης δὲ ὁ τῆς Ἀσίας βασιλεὺς τά τε ἐλαττώματα πυθόμενος, καὶ κατοῤῥωδῶν τὸν πρὸς τοὺς Ἕλληνας πόλεμον, δι' ὀργῆς εἶχε τὸν Τισσαφέρνην. τοῦτον γὰρ αἴτιον τοῦ πολέμου γεγονέναι ὑπὸ τῆς μητρὸς Παρυσάτιδος ἦν ἠξιωμένος τιμωρήσασθαι τὸν Τισσαφέρνην. εἶχε γὰρ αὕτη διαφόρως πρὸς αὐτὸν, ἐκ τοῦ διαβεβληκέναι τὸν υἱὸν αὐτῆς Κῦρον, ὅτε τὴν ἐπὶ τὸν ἀδελφὸν στρατείαν ἐποιεῖτο. καταστήσας οὖν Τιθραύστην ἡγεμόνα, τούτῳ μὲν παρήγγειλε συλλαμβάνειν Τισσαφέρνην, πρὸς δὲ τὰς πόλεις καὶ τοὺς σατράπας ἔπεμψεν ἐπιστολὰς, ὅπως ἂν πάντες ποιῶσι τούτῳ τὸ προσταττόμενον. ὁ δὲ Τιθραύστης παραγενόμενος εἰς Κολοσσὰς τῆς Φρυγίας, συνέλαβε Τισσαφέρνην διά τινος Λαρισσαίου σατράπου λουόμενον, καὶ τὴν κεφαλὴν ἀπο-

Rex Artaxerxes ira correptus Tissaphernem jugulare jubet,

&Tithrauften belli ducem constituit,

qui cum Agesilao semestres inducias facit.

ἀποκόψας, ἀπέστειλε πρὸς τὸν βασιλέα· αὐτὸς δὲ τὸν Ἀγησίλαον πείσας εἰς λόγους ἐλθεῖν, ἑξαμηνιαίους ἀνοχὰς ἐποιήσατο.

cap. 81. Persicum bellum mari gerendum & profligandum suscipit Conon.

Κόνων δὲ ὁ τῶν Περσῶν ναύαρχος ἐπὶ μὲν τοῦ στόλου κατέστησεν Ἱερώνυμον καὶ Νικόδημον Ἀθηναίους ὄντας, αὐτὸς δὲ σπεύδων ἐντυχεῖν τῷ βασιλεῖ, παρέπλευσεν εἰς Κιλικίαν, κἀκεῖθεν εἰς Θάψακον τῆς Συρίας πορευθείς, ἀνὰ τὸν Εὐφράτην ποταμὸν ἔπλευσεν εἰς Βαβυλῶνα. ἐκεῖ δ᾽ ἐντυχὼν τῷ βασιλεῖ, καταναυμαχήσειν ἐπηγγείλατο τοὺς Λακεδαιμονίους, ἂν αὐτῷ χρήματα καὶ τὴν ἄλλην παρασκευὴν ἑτοιμάσῃ κατὰ τὴν ἑαυτοῦ προαίρεσιν. ὁ δ᾽ Ἀρταξέρξης ἐπαινέσας αὐτόν, καὶ δωρεαῖς μεγάλαις τιμήσας, συνέστησε ταμίαν τὸν χορηγήσοντα χρημάτων πλῆθος, ὅσον ἂν προστάτῃ Κόνων, καὶ τὴν ἐξουσίαν ἔδωκεν αὐτῷ λαβεῖν εἰς τὸν πόλεμον συνηγησόμενον, ὃν ἂν προαιρῆται Περσῶν. Κόνων μὲν οὖν Φαρνάβαζον ἑλόμενος τὸν σατράπην, κατέβαινεν εἰς τὴν θάλατταν, ἅπαντα διῳκηκὼς κατὰ τὴν ἑαυτοῦ δύναμιν.

cap. 82. Boeoti, Athenienses, Corinthii, Argivi, fœdus in Lacedæmonios ineunt,

Κατὰ δὲ τούτους τοὺς χρόνους Βοιωτοὶ καὶ Ἀθηναῖοι, πρὸς δὲ τούτοις Κορίνθιοι καὶ Ἀργεῖοι συμμαχίαν πρὸς ἀλλήλους ἐποιήσαντο. μισουμένων γὰρ τῶν Λακεδαιμονίων ὑπὸ τῶν συμμάχων διὰ τὸ βάρος τῆς ἐπιστάσεως, ᾤοντο αὐτῶν ῥᾳδίως καταλύσειν τὴν ἡγεμονίαν, τὰς μεγίστας πόλεις συμφρονούσας ἔχοντες. καὶ πρῶτον μὲν συνέδριον κοινὸν ἐν τῇ Κορίνθῳ συστησάμενοι, τοὺς βουλομένους ἔπεμπον, καὶ κοινῶς διῴκουν τὰ κατὰ τὸν πόλεμον· μετὰ δὲ ταῦτα πρέσβεις εἰς τὰς πόλεις ἀποστέλλοντες, πολλοὺς συμμάχους ἀπὸ Λακεδαιμονίων ἀπέστησαν.

socios eorum in suas partes trahunt,

cap. 83. Agesilaus, ex Asia revocatus.

Λακεδαιμόνιοι δ᾽ ὁρῶντες τὰς μεγίστας τῶν κατὰ τὴν Ἑλλάδα πόλεων ἐφ᾽ ἑαυτοὺς συνισταμένας, ἐψηφίσαντο τόν τε Ἀγησίλαον ἐκ τῆς Ἀσίας μεταπέμψασθαι, καὶ τὴν μετ᾽ αὐτοῦ δύναμιν.

Conon & Pharnabazus, Persicæ classis prætores, incidunt in Periarchum (Pisandrum) Laced.

Κόνων δὲ ὁ Ἀθηναῖος καὶ Φαρνάβαζος ἀφηγοῦντο μὲν τοῦ βασιλικοῦ στόλου, διέτριβον δὲ περὶ Λώρυμα τῆς Χερρονήσου, τριήρεις ἔχοντες πλείους τῶν ἐννενήκοντα. πυθόμενοι δὲ ἐν Κνίδῳ τὸ ναυτικὸν τῶν πολεμίων εἶναι, τὰ πρὸς τὴν ναυμαχίαν παρεσκευάζοντο. Περίαρχος δ᾽ ὁ τῶν Λακεδαιμονίων ναύαρχος ἐξέπλευσεν ἐκ τῆς Κνίδου τριή-

τριήρεσιν ὀγδοήκοντα πέντε, καὶ κατηνέχθη πρὸς Φύσκον τῆς Χεῤῥονήσου. ἐκεῖθεν δ' ἐκπλεύσας περιέπεσε τῷ στόλῳ τοῦ βασιλέως, καὶ ταῖς μὲν προσπλευσάσαις ναυσὶ συμβαλὼν, ἐπροτέρει· τῶν δὲ Περσικῶν ἅμα ταῖς τριήρεσιν ἀθρόαις παραβοηθησάντων, ἐπειδὴ πάντες οἱ σύμμαχοι πρὸς τὴν γῆν ἔφυγον, τὴν ἰδίαν ναῦν ἐπέστρεψεν, αἰσχρὸν εἶναι νομίσας καὶ τῆς Σπάρτης ἀνάξιον τὸ φυγεῖν ἀγεννῶς. ἀγωνισάμενος δὲ λαμπρῶς, καὶ πολλοὺς τῶν πολεμίων ἀνελὼν, τὸ τελευταῖον ἀξίως τῆς πατρίδος ἀνῃρέθη μαχόμενος. οἱ δὲ περὶ τὸν Κόνωνα μέχρι τῆς γῆς καταδιώξαντες τοὺς Λακεδαιμονίους, πεντήκοντα μὲν τριήρων ἐκυρίευσαν· τῶν δ' ἀνδρῶν οἱ πλεῖστοι μὲν ἐκκολυμβήσαντες, κατὰ γῆν ἔφυγον, ἑάλωσαν δὲ περὶ πεντακοσίους· αἱ δὲ λοιπαὶ τριήρεις εἰς Κνίδον διεσώθησαν.

pugnaque navali ad Cnidum eum vincunt atque occidunt.

cap. 84.

Tum Pharnabazus & Conon, Lacedæmoniorum sociis ad defectionem compulsis, in Asiam redeunt.

Φαρνάβαζος δὲ καὶ Κόνων μετὰ τὴν ναυμαχίαν ἀνήχθησαν ἁπάσαις ταῖς ναυσὶν ἐπὶ τοὺς τῶν Λακεδαιμονίων συμμάχους· καὶ πρῶτον μὲν Κώους ἀπέστησαν, εἶτα Νισυραίους καὶ Τηΐους. μετὰ δὲ ταῦτα Χῖοι τὴν φρουρὰν ἐκβαλόντες, προσέθεντο τοῖς περὶ Κόνωνα. παραπλησίως δὲ μετέβαλον Μιτυληναῖοι καὶ Ἐφέσιοι καὶ Ἐρυθραῖοι. τοιαύτης δὲ τῆς καταστάσεως οὔσης, σπουδή τις εἰς τὰς πόλεις ἐνέπεσεν, ὧν αἱ μὲν ἐκβάλλουσαι τὰς φρουρὰς τῶν Λακεδαιμονίων, τὴν ἐλευθερίαν διεφύλαττον, αἱ δὲ τοῖς περὶ Κόνωνα προσετίθεντο. καὶ Λακεδαιμόνιοι μὲν ἀπὸ τούτου τοῦ χρόνου τὴν κατὰ θάλατταν ἀρχὴν ἀπέβαλον.

Inde maris imperium Lacedæmonii amiserunt.

cap. 110.

Lacedæmonii, bello attriti, misso Antalcida cum Persis pacem faciunt iniquissimis conditionibus,

Λακεδαιμόνιοι οὖν κακοπαθοῦντες τῷ πολέμῳ τῷ τε πρὸς τοὺς Ἕλληνας καὶ τῷ πρὸς τοὺς Πέρσας, Ἀνταλκίδαν τὸν ναύαρχον ἐξαπέστειλαν πρὸς Ἀρταξέρξην ὑπὲρ εἰρήνης. διαλεχθέντος δ' αὐτοῦ περὶ ὧν ἦν ἀπεσταλμένος ἐνδεχομένως, ὁ βασιλεὺς ἔφησεν ἐπὶ τοῖσδε ποιήσασθαι τὴν εἰρήνην, τὰς μὲν κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις ὑπὸ βασιλέα τετάχθαι, τοὺς δ' ἄλλους Ἕλληνας ἅπαντας αὐτονόμους εἶναι· τοῖς δὲ ἀπειθοῦσι καὶ μὴ προσδεχομένοις τὰς συνθήκας διὰ τῶν εὐδοκούντων πολεμήσειν. οἱ μὲν οὖν Λακεδαιμόνιοι τούτοις εὐδοκήσαντες, ἡσυχίαν ἦγον· Ἀθηναῖοι δὲ καὶ Θηβαῖοι, καί τινες ἕτεροι τῶν ἄλλων, βαρέως ἔφερον ἐπὶ τῷ τὰς κατὰ τὴν Ἀσίαν πόλεις ἐγκαταλελεῖφθαι· καθ' αὐτοὺς δὲ οὐκ ὄντες ἀξιόμαχοι κατ'

ἀνάγκην

tum vero Persarum rex omnia ad bellum Cypricum præparat.

ἀνάγκην συνεχώρησαν, καὶ προσεδέξαντο τὴν εἰρήνην· κ[αὶ] ὁ μὲν βασιλεὺς διαλυθεὶς τῆς πρὸς τοὺς Ἕλληνας διαφορᾶς, παρεσκευάζετο τὰς δυνάμεις εἰς τὸν Κυπριακὸ[ν] πόλεμον. ὁ γὰρ Εὐαγόρας σχεδὸν ὅλην τὴν Κύπρον ἦ[ν] ἐκκεκλημένος, καὶ δυνάμεις ἁδρὰς συνηθροίκει, διὰ τ[ὸ] τὸν Ἀρταξέρξην ἐν τῷ πρὸς τοὺς Ἕλληνας πολέμῳ διεσπάσθαι.

Diodor. Sic. XV. c. 9. Belli Cyprici finis.

Ὁ δὲ Κυπριακὸς πόλεμος, δεκαετὴς σχεδὸν γεγενημένος, καὶ τὸ πλέον τοῦ χρόνου περὶ παρασκευὰς ἀσχοληθεὶς, διετῆ χρόνον τὸν ἐπὶ πᾶσι συνεχῶς πολεμηθεὶς, τοῦτον τὸν τρόπον κατελύθη. Εὐαγόρας συνέθετο τὴν εἰρήνην, ὥστε βασιλεύειν τῆς Σαλαμῖνος, καὶ τὸν ὡρισμένον διδόναι φόρον κατ' ἐνιαυτὸν, καὶ ὑπακούειν ὡς βασιλεὺς βασιλεῖ προστάττοντι.

373 ante Chr. cap. 39. Artaxerxes pacem inter Græcos componere studet, ut belli Aegyptiis inferendi fiant socii.

Κατὰ δὲ τούτους τοὺς χρόνους ἀπέστησαν οἱ Αἰγύπτιοι ἀπὸ Περσῶν. Ἀρταξέρξης οὖν ὁ τῶν Περσῶν βασιλεὺς, μέλλων πολεμεῖν πρὸς Αἰγυπτίους, καὶ σπεύδων ξενικὴν δύναμιν ἀξιόλογον συστήσασθαι, διέγνω συλλύσασθαι τοὺς κατὰ τὴν Ἑλλάδα πολέμους. οὕτω γὰρ μάλιστ' ἤλπιζε τοὺς Ἕλληνας, ἀπολελυμένους τῶν οἰκείων πολέμων, ἑτοιμοτέρους ἔσεσθαι πρὸς τὰς ξενολογίας· διόπερ πρέσβεις ἐξέπεμψεν εἰς τὴν Ἑλλάδα, τοὺς παρακαλέσοντας τὰς πόλεις κοινὴν εἰρήνην συνθέσθαι. τῶν δὲ Ἑλλήνων ἀσμένως προσδεξαμένων τοὺς λόγους, διὰ τὸ κάμνειν τῇ συνεχείᾳ τῶν πολέμων, συνέθεντο πάντες τὴν εἰρήνην, ὥστε πάσας τὰς πόλεις αὐτονόμους καὶ ἀφρουρήτους εἶναι. καὶ κατέστησαν οἱ Ἕλληνες ἐξαγωγεῖς, οἳ κατὰ πόλιν ἑκάστην ἐπελθόντες ἐξήγαγον ἁπάσας τὰς φρουράς. μόνον δὲ Θηβαίων οὐ προσδεξαμένων κατὰ πόλιν γίνεσθαι τὰς σπονδὰς, ἀλλὰ τὴν Βοιωτίαν ἅπασαν ὑπὸ τὴν τῶν Θηβαίων συντέλειαν ταττόντων.

372 ante Chr. XV. c. 41. Persæ Aegyptum bello adoriuntur. cap. 44.

Μετὰ δὲ ταῦτα Ἀρταξέρξης ὁ βασιλεὺς ἐστράτευσεν ἐπ' Αἰγυπτίους. ἡγοῦντο δὲ τῶν δυνάμεων Φαρνάβαζος μὲν τῶν Βαρβαρικῶν, Ἰφικράτης δ' ὁ Ἀθηναῖος τῶν μισθοφόρων, ὄντων δισμυρίων. αὕτη δὲ ἐπ' Αἴγυπτον στρατεία τῶν Περσῶν, μεγάλης τυχοῦσα παρασκευῆς, παρ' ἐλπίδας ἄπρακτον ἔσχε τὸ τέλος.

Μετέ-

Μετέπειτα καὶ οἱ τὴν παράλιον οἰκῦντες τῆς Ἀσίας ἀπέστησαν ἀπὸ Περσῶν, καί τινες τῶν σατραπῶν καὶ στρατηγῶν ἐπαναστάντες, πόλεμον ἐξήνεγκαν πρὸς Ἀρταξέρξην. ὁμοίως δὲ τύτοις καὶ Ταχὼς ὁ βασιλεὺς τῶν Αἰγυπτίων, κρίνας πολεμεῖν τοῖς Πέρσαις, ναῦς τε κατεσκεύασε καὶ πεζικὰς δυνάμεις ἤθροισε. πολλὺς δὲ ξενολογήσας ἐκ τῶν Ἑλληνίδων πόλεων, ἔπεισε καὶ Λακεδαιμονίυς συμμαχεῖν. οἱ γὰρ Σπαρτιᾶται πρὸς Ἀρταξέρξην ἀλλοτρίως εἶχον, διὰ τὸ τὺς Μεσσηνίυς ὁμοίως τοῖς ἄλλοις Ἕλλησιν ὑπὸ τῦ βασιλέως εἰς τὴν κοινὴν εἰρήνην κατατετάχθαι. τηλικαύτης δὲ συνδρομῆς κατὰ τῶν Περσῶν γενομένης, καὶ ὁ βασιλεὺς παρεσκευάζετο τὰ πρὸς τὸν πόλεμον. ὑπὸ γὰρ τὸν αὐτὸν καιρὸν ἔδει πρός τε τὸν τῶν Αἰγυπτίων βασιλέα πολεμεῖν, καὶ πρὸς τὰς κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις, καὶ Λακεδαιμονίυς, καὶ τὺς τύτων συμμάχυς σατράπας καὶ στρατηγὺς, τὺς ἄρχοντας μὲν τῶν παραθαλαττίων τόπων, συντεθειμένυς δὲ κοινοπραγίαν. ὧν ἦσαν ἐπιφανέστατοι, Ἀριοβαρζάνης μὲν ὁ τῆς Φρυγίας σατράπης, ὃς καὶ Μιθριδάτυ τελευτήσαντος τῆς τύτυ βασιλείας κεκυριευκὼς ἦν, Μαυσωλὸς δὲ, Καρίας δυναστεύων, καὶ πολλῶν ἐρυμάτων καὶ πόλεων ἀξιολόγων κυριεύων, ὧν ἑστίαν καὶ μητρόπολιν συνέβαινεν εἶναι τὴν Ἁλικαρνασσὸν, ἔχυσαν ἀκρόπολιν ἀξιόλογον καὶ τὰ τῆς Καρίας βασίλεια· πρὸς δὲ τύτοις, Ὀρόντης μὲν τῶν τῆς Μυσίας σατράπης, Αὐτοφραδάτης δὲ Λυδίας. τῶν δ' Ἰώνων Λύκιοί τε καὶ Πισίδαι καὶ Παμφύλιοι καὶ Κίλικες, ἔτι δὲ καὶ Σύροι καὶ Φοίνικες, καὶ σχεδὸν πάντες οἱ παραθαλάσσιοι. τηλικαύτης δ' ὔσης ἀποστάσεως, τὸ μὲν ἥμισυ τῶν προσόδων τῷ βασιλεῖ κατελέλυτο, τὸ δὲ λοιπὸν ὐχ ἱκανὸν ἦν εἰς τὰς τῦ πολέμυ χρείας.

360 ante Chr. cap. 90. Bellum movent simul Graeci in Asia, Satrapae rebelles, Tachos Aegyptiorum rex, alii.

Οἱ δ' ἀφεστηκότες τῦ βασιλέως ἐπὶ τὴν τῶν ὅλων διοίκησιν εἵλοντο στρατηγὸν Ὀρόντην. ὗτος δὲ παραλαβὼν τὴν ἡγεμονίαν, καὶ χρήματα πρὸς ξενολογίαν, δισμυρίοις στρατιώταις ἐνιαύσιον μισθὸν, ἐγένετο προδότης τῶν πιστευσάντων. ὑπολαβὼν γὰρ παρὰ τῦ βασιλέως δωρεῶν τε μεγάλων τεύξεσθαι, καὶ τῆς παραθαλασσίυ πάσης παραλήψεσθαι τὴν σατραπείαν, ἐὰν ἐγχειρίσῃ τοῖς Πέρσαις τὺς ἀφε-

cap. 91. Qui a rege defecerant, belli summam Orontae committunt. Hic, acceptis pecuniis, eosdem regi prodit.

ἀφεστηκότας, πρῶτον μὲν τοὺς κομίσαντας τὰ χρήματα συνέλαβε, καὶ πρὸς τὸν Ἀρταξέρξην ἀπέστειλε· μετὰ δὲ ταῦτα πολλὰς τῶν πόλεων καὶ τοὺς ξενολογηθέντας στρατιώτας τοῖς ὑπὸ τοῦ βασιλέως πεμφθεῖσιν ἡγεμόσι παρέδωκεν.

cap. 92. Tachos, ad bellum contra Persas profectus,

κατὰ δὲ τὴν Αἴγυπτον Ταχὼς ὁ βασιλεὺς, κατασκευασάμενος τὰ πρὸς τὸν πόλεμον, διακοσίας μὲν τριήρεις εἶχε πολυτελῶς κεκοσμημένας, μισθοφόρους δ' ἐπιλέκτους ἐκ τῆς Ἑλλάδος μυρίους· χωρὶς δὲ τούτων πεζοὺς στρατιώτας Αἰγυπτίους ὀκτακισμυρίους. τῆς δὲ δυνάμεως προελθούσης πορρωτέρω, καὶ περὶ Φοινίκην καταστρατοπεδευούσης, ὁ καθεσταμένος ἐπὶ τῆς Αἰγύπτου στρατηγὸς ἀπέστη ἀπὸ τοῦ βασιλέως.

proditione regno exuitur,

τέλος δὲ καταλειφθείσης ὑπὸ τῶν ἀποστατῶν τῆς Αἰγύπτου, ὁ μὲν Ταχὼς καταπλαγεὶς ἐτόλμησε διὰ τῆς Ἀραβίας ἀναβῆναι πρὸς τὸν βασιλέα, καὶ συγγνώμην ἠξίου δοῦναι περὶ τῶν ἡμαρτημένων·

& ad Artaxerxem confugit.

ὁ δὲ Ἀρταξέρξης οὐ μόνον αὐτὸν ἀπέλυσε τῶν ἐγκλημάτων, ἀλλὰ καὶ στρατηγὸν ἀπέδειξε τοῦ πρὸς Αἰγυπτίους πολέμου.

Moritur Artaxerxes, succedit Ochus. 360 ante Chr.

Μετ' ὀλίγον δὲ ὁ μὲν βασιλεὺς τῶν Περσῶν ἐτελεύτησεν, ἄρξας ἔτη τρία πρὸς τοῖς τετταράκοντα· τὴν δὲ βασιλείαν διεδέξατο Ὦχος, ὁ μετονομασθεὶς Ἀρταξέρξης, καὶ ἐβασίλευσεν ἔτη τρία πρὸς τοῖς εἴκοσι. τοῦ γὰρ Ἀρταξέρξου καλῶς βεβασιλευκότος, καὶ γενομένου παντελῶς εἰρηνικοῦ καὶ ἐπιτυχοῦς, τοὺς μετὰ τοῦτον βασιλεύοντας μετωνόμαζον, καὶ τὴν τούτου προσηγορίαν ἔχειν προσέταττον.

349 ante Chr. *Diod. Sic.* XVI. cap. 40.

Αὐτὸς μὲν οὐκ ὢν φιλοπόλεμος, ἐφ' ἡσυχίας ἔμενεν· ἀποστέλλων δὲ δυνάμεις καὶ στρατηγοὺς, πολλάκις ἀπετύγχανε, διὰ τὴν κακίαν καὶ ἀπειρίαν τῶν ἡγεμόνων. διὸ καὶ καταφρονηθεὶς ὑπὸ τῶν Αἰγυπτίων, ἠναγκάζετο καρτερεῖν, διά τε τὴν ἀργίαν καὶ τὸ τῆς ψυχῆς εἰρηνικόν. κατὰ δὲ τοὺς ὑποκειμένους καιροὺς τῶν Φοινίκων καὶ τῶν ἐν Κύπρῳ βασιλέων μιμησαμένων τοὺς Αἰγυπτίους, καὶ διὰ τὴν καταφρόνησιν ἐπὶ τὴν ἀπόστασιν ὁρμησάντων, παροξυνθεὶς ἔκρινε πολεμεῖν τοὺς ἀφεστηκότας. τὸ μὲν οὖν στρατηγοὺς ἐκπέμπειν ἀπεδοκίμασε, δι' ἑαυτοῦ δὲ τοὺς ὑπὲρ τῆς βασιλείας ἀγῶνας ποιήσασθαι διέγνω.

Apparatus belli.

διόπερ ὅπλων καὶ βελῶν καὶ σίτου καὶ δυνάμεων μεγάλας παρασκευὰς ποιησάμενος, ἤθροισε πεζῶν μὲν τριάκοντα μυριάδας, ἱππέων

πέων δὲ τρεῖς, τριήρεις δὲ τριακοσίας, φορτηγοὺς δὲ καὶ τὰς ἄλλας τὰς τὴν ἀγορὰν κομιζούσας πεντακοσίας.

cap. 41. Defectionis Phoenicum causæ & prima initia.

Ἤρξατο δὲ πρὸς Φοίνικας πολεμεῖν, διὰ τοιαύτας τινὰς αἰτίας· κατὰ τὴν Φοινίκην ἐστὶ πόλις ἀξιόλογος ὄνομα Τρίπολις, οἰκείαν ἔχουσα τῇ φύσει τὴν προσηγορίαν. τρεῖς γάρ εἰσιν ἐν αὐτῇ πόλεις, σταδιαῖον ἀπ' ἀλλήλων ἔχουσαι διάστημα. ἐπικαλεῖται δὲ τούτων ἡ μὲν Ἀραδίων, ἡ δὲ Σιδωνίων, ἡ δὲ Τυρίων· ἀξίωμα δ' ἔχει μέγιστον αὕτη τῶν κατὰ τὴν Φοινίκην πόλεων, ἐν ᾗ συνέβαινε τοὺς Φοίνικας συνέδριον ἔχειν, καὶ βουλεύεσθαι περὶ τῶν μεγίστων. τῶν δὲ σατραπῶν καὶ στρατηγῶν ἐν τῇ Σιδωνίων διατριβόντων, καὶ κατὰ τὰς τῶν πραγμάτων ἐπιταγὰς ὑβριστικῶς καὶ ὑπερηφάνως προσφερομένων τοῖς Σιδωνίοις, οἱ κακούμενοι, τὴν ἐπήρειαν χαλεπῶς φέροντες, ἔγνωσαν ἀποστῆναι τῶν Περσῶν. πείσαντες δὲ καὶ τοὺς ἄλλους Φοίνικας τῆς αὐτονομίας ἀντέχεσθαι, διεπρεσβεύσαντο πρὸς τὸν Αἰγυπτίων βασιλέα Νεκτανεβῶ, πολέμιον ὄντα Περσῶν, καὶ πείσαντες παραλαβεῖν αὐτοὺς εἰς τὴν συμμαχίαν, παρεσκευάζοντο τὰ πρὸς τὸν πόλεμον. τῆς δὲ Σιδῶνος εὐδαιμονίᾳ διαφερούσης, καὶ τῶν ἰδιωτῶν διὰ τὰς ἐμπορίας μεγάλους περιπεποιημένων πλούτους, ταχὺ τριήρεις τε πολλαὶ κατεσκευάσθησαν, καὶ μισθοφόρων πλῆθος ἠθροίσθη· πρὸς δὲ τούτοις ὅπλα καὶ βέλη καὶ σῖτος, καὶ τἄλλα πάντα τὰ πρὸς πόλεμον χρήσιμα συντόμως κατεσκευάσθη. κατάρχοντες δὲ τῆς ἔχθρας, τὸν μὲν βασιλικὸν παράδεισον, ἐν ᾧ τὰς καταλύσεις οἱ τῶν Περσῶν βασιλεῖς εἰώθεισαν ποιεῖσθαι, δενδροτομήσαντες διέφθειραν. ἔπειτα τὸν ἠθροισμένον ὑπὸ τῶν σατραπῶν εἰς τὸν πόλεμον τοῖς ἵπποις χόρτον ἐνέπρησαν· τὸ δὲ τελευταῖον, τοὺς τὰς ὕβρεις ἐπιτελεσαμένους Πέρσας συλλαβόντες ἐτιμωρήσαντο. τοῦ δὲ πολέμου πρὸς τοὺς Φοίνικας ταύτην τὴν καταρχὴν λαβόντος, ὁ βασιλεὺς πυθόμενος τὰ τετολμημένα τοῖς ἀποστάταις, πᾶσι μὲν τοῖς Φοίνιξιν ἠπείλει, μάλιστα δὲ τοῖς Σιδωνίοις.

Multum vexati a Satrapis regiis, societatem ineunt cum rege Aegyptiorum, bellicos apparatus faciunt, Persas eorumque res infestant.

cap. 42. Belesis, Syriæ satrapa, & Mazæus, primi bellum in Phoenices movent.

Ἐν δὲ τῇ Βαβυλῶνι συνηθροικὼς τὰς πεζικὰς καὶ ἱππικὰς δυνάμεις, εὐθὺς ἀναλαβὼν προῆγεν ἐπὶ τοὺς Φοίνικας· ἐν ὅσῳ δ' οὗτος κατὰ τὴν ὁδοιπορίαν ἐβάδιζεν, Βέλεσυς ὁ τῆς Συρίας σατράπης, καὶ Μαζαῖος ὁ τῆς Κιλικίας

Hos Tennes Sidoniae rex vicit & terra expulit.

κίας ἀρχῶν συνελθόντες ἐπολέμουν τοὺς Φοίνικας. Τέννης δ' ὁ τῆς Σιδῶνος βασιλεὺς προσελάβετο παρ' Αἰγυπτίων στρατιώτας μισθοφόρους Ἕλληνας τετρακισχιλίους, ὧν ἦν στρατηγὸς Μέντωρ ὁ Ῥόδιος. μετὰ δὲ τούτων καὶ τῶν πολιτικῶν στρατιωτῶν τοῖς προειρημένοις σατράπαις συμβαλών, ἐνίκησε, καὶ τοὺς πολεμίους ἐξέβαλεν ἐκ τῆς Φοινίκης.

Interea Cypri reges, Persarum imperio subjecti, simul defecerant, & bellum paraverant.

ἅμα δὲ τούτοις πραττομένοις, καὶ κατὰ τὴν Κύπρον συνέστη πόλεμος, συμπεπλεγμένας ἔχων τὰς πράξεις τῷ ὑποκειμένῳ πολέμῳ. ἐν γὰρ τῇ νήσῳ ταύτῃ πόλεις ἦσαν ἀξιόλογοι μὲν ἐννέα, ὑπὸ δὲ ταύτας ὑπῆρχε τεταγμένα μικρὰ πολίσματα, τὰ προσκυροῦντα ταῖς ἐννέα πόλεσιν. ἑκάστη δὲ τούτων εἶχε βασιλέα, τῆς μὲν πόλεως ἄρχοντα, τῷ δὲ βασιλεῖ τῶν Περσῶν ὑποτεταγμένον. οὗτοι πάντες συμφρονήσαντες, καὶ μιμησάμενοι τοὺς Φοίνικας, ἀπέστησαν· καὶ παρασκευασάμενοι τὰ πρὸς τὸν πόλεμον, αὐτοκράτορας τὰς ἰδίας βασιλείας ἐποίησαν.

In hos Idrieus, Cariae dynasta, classem mittit, ducibus Phocione Atheniensi & Evagora.

ἐφ' οἷς παροξυνθεὶς ὁ Ἀρταξέρξης ἔγραψε πρὸς τὸν Ἰδριέα, τὸν τῆς Καρίας δυνάστην, (ἄρτι μὲν παρειληφότα τὴν ἀρχήν, φίλον δ' ὄντα καὶ σύμμαχον Περσῶν ἐκ προγόνων) ἀθροῖσαι δύναμιν πεζικήν τε καὶ ναυτικήν, τὴν διαπολεμήσουσαν τοῖς ἐν Κύπρῳ βασιλεῦσιν. ὁ δὲ ὀξέως παρασκευασάμενος τριήρεις μὲν τεσσαράκοντα, στρατιώτας δὲ μισθοφόρους ὀκτακισχιλίους, ἐξέπεμψεν εἰς τὴν Κύπρον, ἐπιστήσας στρατηγοὺς Φωκίωνα τὸν Ἀθηναῖον καὶ Εὐαγόραν τὸν ἐν τοῖς ἐπάνω χρόνοις βεβασιλευκότα κατὰ τὴν νῆσον. οὗτοι μὲν οὖν καταπλεύσαντες εἰς τὴν Κύπρον, εὐθὺς ἐπὶ τὴν μεγίστην τῶν πόλεων Σαλαμῖνα τὴν δύναμιν ἤγαγον. βαλόμενοι δὲ χάρακα, καὶ τὴν παρεμβολὴν ὀχυρώσαντες, ἐπολιόρκουν τοὺς Σαλαμινίους κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν. τῆς δὲ νήσου πάσης ἐν εἰρήνῃ πολὺν χρόνον γενομένης, καὶ τῆς χώρας εὐδαιμονούσης, οἱ στρατιῶται κρατοῦντες τῶν ὑπαίθρων πολλὰς ὠφελείας ἤθροισαν. τῆς δὲ τούτων εὐπορίας διαβοηθείσης, πολλοὶ τῶν ἐκ τῆς περαίας Συρίας τε καὶ Κιλικίας συνέρρεον ἐθελοντὶ στρατιῶται πρὸς τὴν ἐλπίδα τοῦ κέρδους. τέλος δὲ διπλασιασθείσης τῆς μετ' Εὐαγόρου καὶ Φωκίωνος δυνάμεως, οἱ βασιλεῖς οἱ κατὰ τὴν Κύπρον εἰς ἀγωνίαν καὶ μεγίστους φόβους ἐνέπιπτον. καὶ τὰ μὲν κατὰ τὴν Κύπρον ἐν τούτοις ἦν.

Μετὰ

cap. 43. Artaxerxes Babylone profectus in Phœnicen tendit.

Μετὰ δὲ ταῦτα ὁ μὲν τῶν Περσῶν βασιλεὺς ἐκ τῆς Βαβυλῶνος τὴν ἀνάζευξιν ποιησάμενος, μετὰ τῆς δυνάμεως προῆγεν ἐπὶ τὴν Φοινίκην· ὁ δὲ τῆς Σιδῶνος δυνάστης Τέννης, πυνθανόμενος τὸ μέγεθος τῆς τῶν Περσῶν δυνάμεως, καὶ νομίσας τοὺς ἀφεστηκότας οὐκ ἀξιομάχους εἶναι, τὴν σωτηρίαν ἰδίᾳ πορίζειν ἔκρινε. διόπερ τῶν ἑαυτοῦ θεραπόντων τὸν πιστότατον Θετταλίωνα λάθρᾳ τῶν Σιδωνίων ἐξέπεμψε πρὸς τὸν Ἀρταξέρξην, ἐπαγγελλόμενος αὐτῷ τὴν μὲν Σιδῶνα παραδώσειν, τὴν δ᾽ Αἴγυπτον συνεκπολεμήσειν, μεγάλα δ᾽ αὐτῷ συνεργήσειν, ἔμπειρον ὄντα τῶν κατὰ τὴν Αἴγυπτον τόπων, καὶ τὰς κατὰ τὸν Νεῖλον ἀποβάσεις ἀκριβῶς εἰδότα.

Quo perterritus Tennes, per Thessalionem prodendæ Sidonis & Aegypti consilia offert & approbat.

cap. 44. Græcorum civitates copiis Artaxerxem adjuvant, præsertim Thebani, Argivi, cet.

Ὁ δὲ βασιλεὺς, ἐν μεγάλῳ τιθέμενος τὸ κρατῆσαι τῆς Αἰγύπτου, διὰ τὸ πρότερον ἐλάττωμα, πρεσβευτὰς ἀπέστειλε πρὸς τὰς μεγίστας τῶν κατὰ τὴν Ἑλλάδα πόλεων, ἀξιῶν συστρατεῦσαι τοῖς Πέρσαις ἐπ᾽ Αἰγυπτίους. Ἀθηναῖοι μὲν οὖν καὶ Λακεδαιμόνιοι τὴν φιλίαν ἔφασαν τὴν πρὸς Πέρσας τηρεῖν, συμμαχίαν δὲ ἀποστέλλειν ἀντεῖπον. Θηβαῖοι δὲ στρατηγὸν ἑλόμενοι Λακράτην, ἐξαπέστειλαν μετὰ χιλίων ὁπλιτῶν· Ἀργεῖοι δὲ τρισχιλίους στρατιώτας ἐξέπεμψαν, στρατηγὸν δὲ αὐτοὶ μὲν οὐχ εἵλοντο, τοῦ δὲ βασιλέως κατ᾽ ὄνομα Νικόστρατον στρατηγὸν αἰτησαμένου, συνεχώρησαν. ἦν γὰρ ὁ ἀνὴρ οὗτος ἀγαθὸς καὶ πρᾶξαι καὶ βουλεύσασθαι, μεμιγμένην ἔχων τῇ φρονήσει μανίαν. τῇ γὰρ τοῦ σώματος ῥώμῃ διαφέρων ἐμιμεῖτο τὸν Ἡρακλέα κατὰ τὰς στρατείας, καὶ λεοντῆν ἐφόρει καὶ ῥόπαλον ἐν ταῖς μάχαις. ὁμοίως δὲ τούτοις οἱ τὴν παραθαλαττίαν τῆς Ἀσίας οἰκοῦντες Ἕλληνες ἀπέστειλαν στρατιώτας ἑξακισχιλίους· ὥστε τοὺς πάντας Ἕλληνας γενέσθαι συμμάχους μυρίους. πρὸ δὲ τῆς τούτων παρουσίας, ὁ μὲν βασιλεὺς διεληλυθὼς τὴν Συρίαν, καὶ παραγενόμενος εἰς τὴν Φοινίκην, ἐστρατοπέδευσεν οὐ μακρὰν τῆς Σιδῶνος. οἱ δὲ Σιδώνιοι, κεχρονικότος τοῦ βασιλέως περὶ τὰς παρασκευὰς, σίτου τε καὶ ὅπλων καὶ βελῶν πολλὴν ἐπιμέλειαν ἐποιήσαντο. ὁμοίως οὖν τὴν πόλιν τάφροις τριπλαῖς μεγάλαις καὶ τειχῶν ὑψηλῶν κατασκευαῖς περιειλήφεισαν. εἶχον δὲ καὶ στρατιωτῶν ἱκανὸν πλῆθος πολιτικῶν, ἐν γυμνασίοις καὶ πόνοις ἐνηθληκὸς, καὶ ταῖς

Interea rex Sidoni castra admovit.

Apparatus Sidoniorum ad defendendam urbem describitur.

τῶν σωμάτων εὐεξίαις καὶ ῥώμαις διαφέρον. πλούτῳ τε καὶ ταῖς ἄλλαις χορηγίαις ἡ πόλις πολὺ προεῖχε τῶν κατὰ τὴν Φοινίκην πόλεων. τὸ δὲ μέγιστον, τριήρεις καὶ πεντήρεις εἶχε πλείους τῶν ἑκατόν.

cap. 44.
Sidon, Tennae proditione, expugnata.

Ὁ δὲ Τέννης κοινωσάμενος τὴν προδοσίαν Μέντορι τῷ στρατηγῷ τῶν ἐξ Αἰγύπτου μισθοφόρων, τοῦτον μὲν ἀπέλιπε τηροῦντα μέρος τῆς πόλεως, καὶ συνεργοῦντα τοῖς περὶ τὴν προδοσίαν ἐγχειρουμένοις· αὐτὸς δὲ μετὰ στρατιωτῶν πεντακοσίων προῆγεν ἐκ τῆς πόλεως, προσποιούμενος ἐπὶ κοινὴν τῶν Φοινίκων σύνοδον ἀπαντᾶν. ἦγε δὲ μεθ᾽ ἑαυτοῦ τοὺς ἐπιφανεστάτους τῶν πολιτῶν ἑκατόν, ὡς συμβούλους. ἐπεὶ δὲ πλησίον ἦσαν τοῦ βασιλέως, συναρπάσας τοὺς ἑκατὸν παρέδωκε τῷ Ἀρταξέρξῃ. ὁ δὲ βασιλεὺς ἀποδεξάμενος αὐτὸν ὡς φίλον, τοὺς μὲν ἑκατόν, ὡς αἰτίους ὄντας τῆς ἀποστάσεως, κατηκόντισε.

In victos immanis regis crudelitas.

πεντακοσίων δὲ τῶν πρώτων Σιδωνίων μεθ᾽ ἱκετηριῶν ἀπαντησάντων, ἀνεκαλέσατο τὸν Τέννην, καὶ ἐπηρώτησεν εἰ δύναιτο τὴν πόλιν αὐτῷ παραδοῦναι. σφόδρα γὰρ ἔσπευδε μὴ δι᾽ ὁμολογίας τὴν Σιδῶνα παραλαβεῖν, ὅπως ἀπαραιτήτοις συμφοραῖς περιβαλὼν τοὺς Σιδωνίους, τῇ τούτων τιμωρίᾳ καταπλήξηται τὰς ἄλλας πόλεις. τοῦ δὲ Τέννου διαβεβαιωσαμένου παραδώσειν τὴν πόλιν, ὁ βασιλεὺς φυλάττων τὴν ὀργὴν ἀπαραίτητον, ἅπαντας τοὺς πεντακοσίους ἔχοντας τὰς ἱκετηρίας κατηκόντισεν. εἶθ᾽ ὁ μὲν Τέννης προσελθὼν τοῖς ἐξ Αἰγύπτου μισθοφόροις, ἔπεισεν αὐτοὺς ἐντὸς τῶν τειχῶν εἰσαγαγεῖν αὐτόν τε καὶ τὸν βασιλέα. ἡ μὲν οὖν Σιδὼν διὰ τοιαύτης προδοσίας ὑποχείριος ἐγένετο τοῖς Πέρσαις. ὁ δὲ βασιλεὺς ὑπολαβὼν τὸν Τέννη μηκέτι χρήσιμον ὑπάρχειν, ἀνεῖλεν. οἱ δὲ Σιδώνιοι πρὸ μὲν τῆς παρουσίας τοῦ βασιλέως ἐνέπρησαν ἁπάσας τὰς ναῦς, ὅπως μηδεὶς δύνηται τῶν κατὰ τὴν πόλιν ἐκπλεύσας ἰδίαν σωτηρίαν πορίζεσθαι.

Omnes una cum urbe incendio consumti.

ἐπειδὴ δὲ τὴν πόλιν ἑώρων καὶ τὰ τείχη κατειλημμένα, καὶ πολλαῖς μυριάσι στρατιωτῶν περιεχόμενα, συγκλείσαντες ἑαυτοὺς καὶ τὰ τέκνα καὶ γυναῖκας εἰς τὰς οἰκίας, ἐνέπρησαν. φασὶ δὲ τοὺς ὑπὸ τοῦ πυρὸς τότε διαφθαρέντας, σὺν τοῖς οἰκετικοῖς σώμασι, γεγονέναι πλείους τῶν τετρακισμυρίων. τούτου δὲ τοῦ πάθους περὶ τοὺς Σιδωνίους γενομένου, καὶ τῆς πόλεως ὅλης

μετὰ

μετὰ τῶν ἐνοικέντων ὑπὸ τȣ̃ πυρὸς ἀφανισθείσης, τὴν πυρκαϊὰν ὁ βασιλεὺς ἀπέδοτο πολλῶν ταλάντων. διὰ γὰρ τὴν ἐυδαιμονίαν τῶν ἐνῳκηκότων, ἐυρέθη πολὺς ἄργυρός τε καὶ χρυσὸς ὑπὸ τȣ̃ πυρὸς κεχωνευμένος. τὰ μὲν ȣ̃ν κατὰ Σιδῶνα συμβάντα δυςυχήματα τοιαύτην ἔσχε τὴν καταςροφήν. αἱ δ' ἄλλαι πόλεις καταπλαγεῖσαι προσεχώρησαν τοῖς Πέρσαις.

Ὁ δὲ τῶν Περσῶν βασιλεὺς, μετὰ τὴν ἅλωσιν τῆς Σιδῶνος παραγενομένων ἀυτῷ τῶν συμμάχων ἔκ τε Ἄργȣς καὶ Θηβῶν καὶ τῶν κατὰ τὴν Ἀσίαν Ἑλλενίδων πόλεων, ἀθρόισας πᾶσαν τὴν δύναμιν, προῆγεν ἐπὶ τὴν Ἄιγυπτον. Καὶ μετὰ τὴν τȣ̃ Πηλȣσίȣ καὶ τῆς Βȣβάςȣ παράδοσιν αἱ λοιπαὶ πόλεις καταπλαγῆσαι καθ' ὁμολογίαν παρεδόθησαν τοῖς Πέρσαις. ἐν δὲ τῇ Μέμφει διατρίβων ὁ βασιλεὺς Νεκτανεβὼς, καὶ θεωρῶν τὴν τῶν πολεμίων ὁρμὴν, ȣ̓κ ἐτόλμησεν ὑποςῆναι τȣ̀ς ὑπὲρ τῆς ἡγεμονίας κινδύνȣς. ἀπογνȣ̀ς ȣ̃ν τὴν βασιλείαν, καὶ τὰ πλεῖςα τῶν χρημάτων ἀναλαβὼν, ἔφυγεν ἐις τὴν Ἀιθιοπίαν. Ἀρταξέρξης δὲ παραλαβὼν πᾶσαν τὴν Ἄιγυπτον, καὶ τῶν ἀξιολογωτάτων πόλεων τὰ τείχη περιελὼν, τὰ μὲν ἱερὰ συλήσας, ἤθροισεν ἀργύρȣ τε καὶ χρυσȣ̃ πλῆθος.

348 ante Chr. *Diodor. Sic.* XVI. cap. 46. Artaxerxes pergit in Aegyptum. cap. 51. Nectanebus rex fugit in Aethiopiam. Artaxerxes tota Aegypto potitur.

Ἐν τȣ́τῳ τῷ πολέμῳ τὸ πλεῖςον ἐποίȣν Μέντωρ τε ὁ Ῥόδιος καὶ Βαγώας ὁ χιλίαρχος. ἐν ἀυτῷ δὲ Μέντωρ τῷ Βαγώᾳ τῆς σωτηρίας ἄιτιος γένομενος, συνέθετο πρὸς ἀυτὸν κοινοπραγίαν, καὶ δȣ̀ς ὅρκȣς καὶ λαβὼν περὶ τȣ́των, συνετέλεσε τὴν σύνθεσιν, φυλάττων μέχρι τῆς τȣ̃ βίȣ τελευτῆς. διὸ καὶ συνέβη τȣ́τȣς παρὰ βασιλεῖ συμφρονȣ̃ντας ὕςερον πλεῖςον ἰσχύσαι τῶν φίλων καὶ συγγενῶν τῶν παρ' Ἀρταξέρξῃ· ὁ μὲν γὰρ Μέντωρ ἐν τοῖς παραθαλαττίοις μέρεσι τῆς Ἀσίας ἡγεμὼν μέγιςος ἀποδειχθεὶς, τῷ βασιλεῖ μεγάλας παρείχετο χρείας, ἐκ μὲν τῆς Ἑλλάδος μισθοφόρȣς ἀθροίζων, καὶ πέμπων πρὸς Ἀρταξέρξην, κατὰ δὲ τὰς πράξεις ἀνδρείως καὶ πιςῶς ἅπαντα διοικῶν· ὁ δὲ Βαγώας, ἐν ταῖς ἄνω σατραπείαις ἅπαντα τῷ βασιλεῖ διῳκηκὼς, τοσȣ̃τον ἴσχυσε διὰ τὴν πρὸς τὸν Μέντορα κοινωνίαν τῶν πράξεων, ὥςε

cap. 50. Mentor & Bagoas.

τῆς βασιλείας κύριον εἶναι, καὶ μηδὲν πράττειν τὸν Ἀρταξέρξην ἄνευ τῆς ἐκείνου γνώμης.

Diodor. Sic. XVII. c. 5. Ochus veneno tollitur.

Ὦχος δὲ προσεφέρετο τοῖς ὑποτεταγμένοις ὠμῶς καὶ βιαίως. μισουμένου δ' αὐτοῦ διὰ τὴν χαλεπότητα τῶν τρόπων, Βαγώας ὁ χιλίαρχος, εὐνοῦχος μὲν ὢν τὴν ἕξιν, πονηρὸς δὲ καὶ πολεμικὸς τὴν φύσιν, ἀνεῖλε φαρμάκῳ τὸν Ὦχον διά τινος ἰατροῦ, τὸν δὲ νεώτατον τῶν υἱῶν τοῦ βασιλέως Ἀρσῆν εἰσήγαγεν εἰς τὴν βασιλείαν. ἀνεῖλε δὲ καὶ τοὺς ἀδελφοὺς τοῦ βασιλέως, ὄντας νέους παντελῶς, ὅπως μονωθεὶς ὁ νεανίσκος μᾶλλον ὑπήκοος αὐτῷ γένηται. τοῦ δὲ μειρακίου ταῖς γενομέναις παρανομίαις προσκόπτοντος, καὶ φανεροῦ καθεστῶτος ὅτι τιμωρήσεται τὸν αὐθέντην τῶν ἀνομημάτων, φθάσας αὐτοῦ τὰς ἐπιβουλὰς ὁ Βαγώας, ἀνεῖλε τὸν Ἀρσῆν μετὰ τῶν τέκνων, τρίτον ἔτος ἤδη βασιλεύοντα. ἐρήμου δ' ὄντος τοῦ βασιλέως οἴκου, καὶ μηδενὸς ὄντος τοῦ κατὰ γένος διαδεξομένου

Exstincta regia stirpe Darius (Codomanus) rex creatus.

τὴν ἀρχὴν, προχειρισάμενος ἕνα τῶν φίλων Δαρεῖον ὄνομα, τούτῳ συγκατεσκεύασε τὴν βασιλείαν. ἔτος δ' ἦν υἱὸς μὲν Ἀρσάνου τοῦ Ὀστάνου, ὃς ἦν ἀδελφὸς Ἀρταξέρξου τοῦ Περσῶν βασιλεύσαντος· ἴδιον δέ τι συνέβη περὶ τὸν Βαγώαν γενέσθαι, καὶ μνήμης ἄξιον. χρώμενος γὰρ τῇ συνήθει μιαιφονίᾳ, τὸν Δαρεῖον ἐπεβάλετο διὰ φαρμακείας ἀνελεῖν. μηνυθείσης δὲ τῆς ἐπιβουλῆς, ὁ βασιλεὺς ὡς ἐπί τινι φιλανθρωπίᾳ προσκαλεσάμενος τὸν Βαγώαν, καὶ δοὺς τὸ ποτήριον, ἠνάγκασε πιεῖν τὸ φάρμακον.

cap. 6. Clarus erat Darius virtutis specimine, in bello contra Cadusios edito.

Ἠξιώθη δὲ τῆς βασιλείας Δαρεῖος, δοκῶν πολὺ προέχειν ἀνδρείᾳ Περσῶν. Ἀρταξέρξου γάρ ποτε τοῦ βασιλέως πολεμοῦντος πρὸς Καδουσίους, καί τινος τῶν Καδουσίων ἐπ' ἀλκῇ καὶ ἀνδρείᾳ διαβεβοημένου, καὶ προκαλεσαμένου τὸν βουλόμενον Περσῶν μονομαχῆσαι, ἄλλος μὲν οὐδεὶς ἐτόλμησεν ὑπακοῦσαι, μόνος δὲ Δαρεῖος, ὑποστὰς τὸν κίνδυνον, τὸν προκαλεσάμενον ἀπέκτεινε· καὶ ὑπὸ μὲν τοῦ βασιλέως μεγάλαις ἐτιμήθη δωρεαῖς, παρὰ δὲ τοῖς Πέρσαις τὸ πρωτεῖον τῆς ἀνδρείας ἀπηνέγκατο. διὰ ταύτην δὴ τὴν ἀνδραγαθίαν ἄξιος τῆς βασιλείας νομισθεὶς, παρέλαβε τὴν ἀρχὴν, περὶ τούτους τοὺς χρόνους, ἐν οἷς, Φιλίππου τελευτήσαντος, διεδέξατο τὴν βασιλείαν Ἀλέξανδρος. τοιοῦτον δ' ἄνδρα τῆς τύχης παραδούσης ἀντίπαλον τῇ κατ' Ἀλέ-

Ἀλέξανδρον ἀρετῇ, συνέβη πολλὲς καὶ μεγάλες ἀγῶνας συςῆναι περὶ τε πρωτείε.

Ὀλυμπιὰς δ' ἤχθη πρώτη πρὸς ταῖς ἑκατὸν καὶ δέκα, ὅτε Φίλιππος ὁ βασιλεὺς, ἡγεμὼν ὑπὸ τῶν Ἑλλήνων καθεςαμένος, καὶ τὸν πρὸς Πέρσας πόλεμον ἐνςησάμενος, Ἄτταλον μὲν καὶ Παρμενίωνα προαπέςειλεν εἰς τὴν Ἀσίαν, μέρος τῆς δυνάμεως δὲς καὶ προστάξας ἐλευθερῶν τὰς Ἑλληνίδας πόλεις. 334 ante Chr. *Diodor. Sic.* XVI. cap. 91.

Δαρεῖος γὰρ παραλαβὼν τὴν βασιλείαν, πρὸ μὲν τῆς Φιλίππε τελευτῆς ἐφιλοτιμεῖτο τὸν μέλλοντα πόλεμον εἰς τὴν Μακεδονίαν ἀποςρέψαι· ἐκείνε δὲ τελευτήσαντος, ἀπελύθη τῆς ἀγωνίας, καταφρονήσας τῆς Ἀλεξάνδρε νεότητος. ἐπεὶ δ' ἡ τῶν πράξεων ἐνέργεια καὶ ὀξύτης ἐποίησε μὲν τὴν τῶν Ἑλλήνων ἡγεμονίαν πᾶσαν ἀναλαβεῖν, καὶ τὴν ἀρετὴν τε νεανίσκε γενέσθαι περιβόητον, τότε δὴ νεθετηθεὶς τοῖς ἔργοις ὁ Δαρεῖος ἐπιμέλειαν μεγάλην ἐποιεῖτο τῶν δυνάμεων, τριήρεις τε πολλὰς κατασκευαζόμενος, καὶ πολλὰς δυνάμεις ἀξιολόγες συνιςάμενος, ἡγεμόνας τε τὲς ἀρίςες προκρίνων, ἐν οἷς ὑπῆρχε καὶ Μέμνων ὁ Ῥόδιος, διαφέρων ἀνδρείᾳ καὶ συνέσει ςρατηγικῇ. τέτῳ δὲ δὲς ὁ βασιλεὺς μισθοφόρες πεντακισχιλίες, προσέταξε παρελθεῖν ἐπὶ πόλιν Κύζικον, καὶ πειρᾶσθαι ταύτην χειρώσασθαι. ὁ ἒν Μέμνων διελθὼν τὴν ὀρεινὴν τῆς Ἴδης ἄφνω τῇ πόλει τῶν Κυζικηνῶν προσέπεσε, καὶ παρ' ὀλίγον αὐτῆς ἐκυρίευσεν. ἀποπεσὼν δὲ τῆς ἐπιβολῆς, τὴν χώραν αὐτῶν ἐπόρθησε, καὶ πολλῶν λαφύρων ἐκυρίευσεν. XVII. c. 7. Darius expedit copias in Alexandrum, quem primo contemserat. Memnonem mittit ad occupandam Cyzicum. 333 ante Chr. Urbs servatur, sed vastatur ager.

Ἀλέξανδρος δὲ μετὰ τῆς δυνάμεως πορευθεὶς ἐπὶ τὸν Ἑλλήσποντον διεβίβασε τὴν δύναμιν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν. αὐτὸς δὲ μακραῖς ναυσὶν ἑξήκοντα καταπλεύσας πρὸς τὴν Τρωάδα χώραν, πρῶτος τῶν Μακεδόνων ἀπὸ τῆς νεὼς ἠκόντισε μὲν τὸ δόρυ, πήξας δ' εἰς τὴν γῆν, καὶ αὐτὸς ἀπὸ τῆς νεὼς ἀφαλλόμενος, παρὰ τῶν Θεῶν ἀπεφαίνετο τὴν Ἀσίαν δέχεσθαι δορύκτητον. οἱ δὲ τῶν Περσῶν σατράπαι καὶ ςρατηγοὶ τε μὲν κωλῦσαι τῶν Μακεδόνων τὴν διάβασιν ὑςέρησαν, ἀθροισθέντες δὲ ἐβελεύοντο πῶς χρὴ διαπολεμεῖν τοῖς περὶ Ἀλέξανδρον. Μέμνων μὲν ἒν ὁ Ῥόδιος, διαβεβοημένος ἐπὶ συνέσει 332 ante Chr. XVII. c. 17. Alexander trajicit in Asiam. cap. 18. Persæ non audito Memnone, qui bellum in Macedoniam transferendum suaserat,

νέσει ϛρατηγικῇ, συνεβȣ́λευσε κατὰ ϛόμα μὲν μὴ διακινδυνεύειν, τὴν δὲ χώραν φθείρειν, καὶ τῇ σπάνει τῶν ἀναγκαίων ἔιργειν τȣ̀ς Μακεδόνας τῆς ἐις τȣ̀μπροσθεν πορείας· διαβιβάζειν δὲ καὶ δυνάμεις ἐις τὴν Μακεδονίαν ναυτικάς τε καὶ πεζικὰς, καὶ τὸν ὅλον πόλεμον ἐις τὴν Ἐυρώπην μεταγαγεῖν. ὁ δ᾽ ἀνὴρ ȣ̃τος ἄριϛα μὲν συνεβȣ́λευεν, (ὡς ἐκ τῶν ἀποτελεσμάτων ἐγενήθη φανερὸν) ȣ̓ μὴν ἔπεισε τȣ̀ς ἄλλȣς ἡγεμόνας, ὡς ἀνάξια συμβȣλεύων τῆς Περσῶν μεγαλοφυχίας. διόπερ ἐπικρατέσης τῆς τȣ̃ διαγωνίζεσθαι γνώμης, ȣ̓̃τοι μὲν τὰς πανταχόθεν δυνάμεις μεταπεμψάμενοι, καὶ πολλαπλάσιοι γινόμενοι τῶν Μακεδόνων, προῆγον ἐπὶ Φρυγίας τῆς ἐφ᾽ Ἑλλήσποντον· κατεϛρατοπέδευσαν δὲ παρὰ τὸν Γρανικὸν ποταμὸν, προβαλλόμενοι τὸ ῥεῖθρον τȣ̃ προειρημένȣ ποταμȣ̃.

prælium inituri in Phrygiam movent ad Granicum fluvium.

cap. 19. Alexander ex adverso ponit castra.

Ὁ δὲ Ἀλέξανδρος, πυθόμενος τὴν συνδρομὴν τῶν βαρβαρικῶν δυνάμεων, προῆγε, καὶ σύντομον τὴν πορείαν ποιησάμενος, ἀντεϛρατοπέδευσε τοῖς πολεμίοις, ὥϛε ἀνὰ μέσον ῥεῖν τῶν παρεμβολῶν τὸν Γρανικόν. ὁι μὲν ȣ̓̃ν Βάρβαροι, τὴν ὑπώρειαν κατειλημμένοι, τὴν ἡσυχίαν ἦγον, κεκρικότες τοῖς πολεμίοις ἐπιθέσθαι κατὰ τὴν διάβασιν τȣ̃ ποταμȣ̃· καὶ διεσπαρμένης τῶν Μακεδόνων φάλαγγος, ῥᾳδίως προτερήσειν ὑπελάμβανον ἐν τῇ μάχῃ. ὁ δὲ Ἀλέξανδρος τεθαῤῥηκὼς, ἅμ᾽ ἡμέρᾳ περαιώσας τὴν δύναμιν ἡρμοσμένως πρὸς τὸν ἀγῶνα. ὁι δὲ Βάρβαροι πρὸς ὅλην τὴν τάξιν τῶν Μακεδόνων ἔϛησαν τὸ πλῆθος τῶν ἱππέων, καὶ διὰ τȣ́των προκινεῖν τὴν μάχην διεγνώκεισαν.

acies ab utraque parte instruitur.

cap. 20.

Τῶν δὲ Βαρβάρων ἐυρώϛως ἀγωνιζομένων, καὶ τȣ̀ς ἑαυτῶν θυμȣ̀ς ταῖς τῶν Μακεδόνων ἀρεταῖς ἀντιταττόντων, ἡ τύχη συνήγαγεν ἐις ἕνα τόπον τȣ̀ς ἀρίϛȣς ἐις τὴν ὑπὲρ τῆς νίκης κρίσιν. καὶ πολλῶν ἡγεμόνων ἀναιρεθέντων, καὶ τῶν Περσικῶν τάξεων ἁπασῶν ὑπὸ τῶν Μακεδόνων ἡττωμένων, πρῶτον μὲν ὁι κατὰ τὸν Ἀλέξανδρον τεταγμένοι φυγεῖν ἠναγκάσθησαν· μετὰ δὲ ταῦτα καὶ τῶν ἄλλων τραπέντων, ὁ μὲν βασιλεὺς ὁμολογȣ́μενον τῆς ἀνδραγαθίας τὸ πρωτεῖον ἀπηνέγκατο, καὶ τῆς ὅλης νίκης ἔδοξε μάλιϛα ἄιτιος γεγονέναι. μετὰ δὲ τȣ̃τον ὁι τῶν Θετταλῶν ἱππεῖς, ἄριϛα ταῖς ἴλαις χρώμενοι, καὶ διαφόρως ἀγωνισάμενοι, μεγάλην ἐπ᾽ ἀνδρείᾳ δόξαν ἔσχον.

cap. 21. Proelio victi Persæ fugiunt.

ἔσχον. μετὰ δὲ τὴν τῶν ἱππέων τροπὴν, οἱ πεζοὶ συμβαλόντες ἀλλήλοις, ὀλίγον χρόνον ἠγωνίσαντο. οἱ γὰρ Βάρβαροι διὰ τὴν τῶν ἱππέων τροπὴν καταπλαγέντες, καὶ ταῖς ψυχαῖς ἐνδόντες, πρὸς φυγὴν ὥρμησαν· ἀνῃρέθησαν δὲ τῶν Περσῶν οἱ πάντες πεζοὶ μὲν πλείους τῶν μυρίων, ἱππεῖς δ' οὐκ ἐλάττους δισχιλίων· ἐζωγρήθησαν δ' ὑπὲρ τοὺς δισμυρίους. μετὰ δὲ τὴν μάχην ὁ βασιλεὺς τοὺς τετελευτηκότας ἔθαψε μεγαλοπρεπῶς, σπεύδων διὰ ταύτης τῆς τιμῆς τοὺς στρατιώτας προθυμοτέρους κατασκευάσαι πρὸς τοὺς ἐν ταῖς μάχαις κινδύνους. αὐτὸς δὲ ἀναλαβὼν τὴν δύναμιν, προῆγε διὰ τῆς Λυδίας, καὶ τὴν μὲν τῶν Σαρδιανῶν πόλιν καὶ τὰς ἀκροπόλεις, ἔτι δὲ τοὺς ἐν αὐταῖς θησαυροὺς παρέλαβε, Μιθρίνου τοῦ σατράπου παραδόντος ἑκουσίως. Ultra movens Alexander in Lydiam Sardes capit.

cap. 22. Miletum oppugnatione ad deditionem cogit.

Εἰς δὲ τὴν Μίλητον συμπεφευγόντων τῶν διασωθέντων ἐκ τῆς μάχης Περσῶν μετὰ Μέμνονος τοῦ στρατηγοῦ, ὁ μὲν βασιλεὺς, πλησίον τῆς πόλεως στρατοπεδεύσας, καθ' ἡμέραν συνεχεῖς προσβολὰς τοῖς τείχεσιν ἐκ διαδοχῆς ἐποιεῖτο. οἱ δὲ πολιορκούμενοι τὸ μὲν πρῶτον ῥᾳδίως ἀπὸ τῶν τειχῶν ἠμύνοντο, πολλῶν μὲν στρατιωτῶν ἠθροισμένων εἰς τὴν πόλιν, βελῶν δὲ καὶ τῶν ἄλλων τῶν εἰς τὴν πολιορκίαν χρησίμων δαψιλῆ χορηγίαν ἔχοντες· ἐπεὶ δὲ ὁ βασιλεὺς φιλοτιμότερον ταῖς τε μηχαναῖς ἐσάλευε τὰ τείχη, καὶ τὴν πολιορκίαν ἐνεργεστάτην ἐποιεῖτο κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν, οἵ τε Μακεδόνες διὰ τῶν πιπτόντων τειχῶν εἰσεβιάζοντο, τηνικαῦτα κατισχυόμενοι πρὸς φυγὴν ἐτρέποντο. εὐθὺς δ' οἱ Μιλήσιοι μεθ' ἱκετηριῶν τῷ βασιλεῖ προσπίπτοντες, παρέδωκαν σφᾶς αὐτοὺς καὶ τὴν πόλιν· τῶν δὲ Βαρβάρων οἱ μὲν ὑπὸ τῶν Μακεδόνων ἀνῃρέθησαν, οἱ δὲ τῆς πόλεως ἐκπίπτοντες ἔφευγον, οἱ δ' ἄλλοι πάντες ἥλωσαν. ὁ δ' Ἀλέξανδρος τοῖς μὲν Μιλησίοις φιλανθρώπως προσηνέχθη, τοὺς δ' ἄλλους ἅπαντας ἐξηνδραποδίσατο. τῆς δὲ ναυτικῆς δυνάμεως οὔσης ἀχρήστου, καὶ δαπάνας μεγάλας ἐχούσης, κατέλυσε τὸ ναυτικὸν, πλὴν ὀλίγων νεῶν, αἷς ἐχρῆτο πρὸς τὴν παρακομιδὴν τῶν πολιορκητικῶν ὀργάνων, ἐν αἷς ἦσαν αἱ παρ' Ἀθηναίων νῆες συμμαχίδες εἴκοσιν. Ἔνιοι δὲ λέγουσι τὸν Ἀλέξανδρον στρατηγικῶς ἐπινοη- cap. 23. Classe deleta

suis omnem fugæ spem adimit Alexander.

ἐπιχειρῆσαι τὴν τȣ̃ στόλȣ κατάλυσιν. προσδοκίμȣ γὰρ ὄντος τȣ̃ Δαρείȣ, καὶ μελλούσης μεγάλης παρατάξεως συντελεῖσθαι, νομίσαι τȣ̀ς Μακεδόνας ἐκθυμότερον ἀγωνιεῖσθαι παραιρεθείσης τῆς κατὰ τὴν φυγὴν ἐλπίδος.

Persæ Halicarnassum se recipiunt.

μετὰ δὲ τὴν ἅλωσιν τῆς Μιλήτȣ, τὸ πλῆθος τῶν Περσῶν καὶ τῶν μισθοφόρων, ἔτι δ' οἱ πρακτικώτατοι τῶν ἡγεμόνων, συνέδραμον εἰς τὴν Ἁλικαρνασσόν. ὁ δὲ Μέμνων παραλαβὼν τὴν τῶν ὅλων ἡγεμονίαν, παρεσκευάζετο πάντα τὰ χρήσιμα πρὸς πολιορκίαν ἐν τῇ πόλει.

cap. 27. Alexander urbe omnique ad mare Asia potitur.

Μετὰ τὴν ἅλωσιν αὐτῆς Ἀλέξανδρος μέρος τῆς δυνάμεως μετὰ στρατηγῶν ἐξέπεμψεν εἰς τὸ μεσόγειον, προστάξας τὰ συνεχῆ τῶν ἐθνῶν χειρȣ̃σθαι. ȣ̃τοι μὲν ȣ̃ν ἐνεργῶς πολεμήσαντες, πᾶσαν τὴν χώραν μέχρι τῆς μεγάλης Φρυγίας καταστρεψάμενοι, διέθρεψαν τȣ̀ς στρατιώτας ἐκ τῆς πολεμίας. ὁ δ' Ἀλέξανδρος τὴν παραθαλαττίαν πᾶσαν μέχρι Κιλικίας χειρωσάμενος, πολλὰς πόλεις κατεκτήσατο, καὶ φρȣ́ρια καρτερὰ φιλοτιμότερον πολιορκήσας τῇ βίᾳ κατεπόνησεν.

331 ante Chr. cap. 29. Darius Memnoni summam belli committit.

Δαρεῖος δὲ χρημάτων πλῆθος ἐξέπεμψε τῷ Μέμνονι, καὶ τȣ̃ πολέμȣ παντὸς ἀπέδειξε στρατηγόν. ὁ δὲ μισθοφόρων πλῆθος ἀθροίσας, καὶ τριακοσίας ναῦς πληρώσας, ἐνεργῶς διῴκει τὰ κατὰ τὸν πόλεμον. Χίον μὲν ȣ̃ν προσηγάγετο· πλεύσας δ' ἐπὶ Λέσβον, Ἄντισσαν μὲν καὶ Μήθυμναν καὶ Πύῤῥαν καὶ Ἔρεσσον ῥᾳδίως ἐχειρώσατο· τὴν δὲ Μιτυλήνην καὶ Λέσβον, μεγάλην ȣ̃σαν, καὶ παρασκευαῖς μεγάλαις καὶ πλήθει τῶν ἀμυνομένων ἀνδρῶν κεχορηγημένην, πολλὰς ἡμέρας πολιορκήσας, καὶ πολλȣ̀ς τῶν στρατιωτῶν ἀποβαλὼν, μόλις εἷλε κατὰ κράτος. εὐθὺς δὲ τῆς περὶ τὸν στρατηγὸν ἐνεργείας διαβοηθείσης, αἱ πλείȣς τῶν Κυκλάδων νήσων διεπρεσβεύοντο. προσπεσȣ́σης δὲ φήμης εἰς τὴν Ἑλλάδα, διότι Μέμνων μετὰ τȣ̃ στόλȣ μέλλει πλεῖν ἐπ' Εὐβοίας, αἱ μὲν κατὰ τὴν νῆσον ταύτην πόλεις περίφοβοι καθειστήκεισαν· οἱ δὲ τὰ τῶν Περσῶν αἱρέμενοι τῶν Ἑλλήνων (ἐν οἷς ὑπῆρχον καὶ Σπαρτιᾶται) μετέωροι ταῖς ἐλπίσιν ἐγίγνοντο πρὸς καινοτομίαν. ὁ δὲ Μέμνων χρήμασι διαφθείρων πολλȣ̀ς τῶν Ἑλλήνων, ἔπεισε κοινωνεῖν τῶν Περσικῶν ἐλπίδων· ȣ̓ μὴν ἡ τύχη εἴασεν ἐπὶ πλεῖον προελθεῖν τὴν

τάν-

τἀνδρὸς ἀρετήν. ὁ γὰρ Μέμνων περιπεσὼν ἀῤῥωςίᾳ, καὶ πάθει παραβόλῳ συσχεθεὶς μετήλλαξε, καὶ τῇ τούτου τελευτῇ συνέτριψε καὶ τὰ τοῦ Δαρείου πράγματα. προσεδόκησε μὲν γὰρ ὁ βασιλεὺς μεταθήσεσθαι τὸν πάντα πόλεμον ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην.

At Memnon morbo correptus moritur.

Ὡς δ᾽ ἤκουσε τὴν Μέμνονος τελευτήν, συνήγαγε τῶν φίλων συνέδριον, καὶ προέθηκε βουλήν, πότερον δεῖ ςρατηγοὺς καὶ ςρατιὰν καταπέμπειν ἐπὶ θάλατταν, ἢ τὸν βασιλέα μετὰ πάσης δυνάμεως καταβάντα διαγωνίζεσθαι τοῖς Μακεδόσιν. ἔνιοι μὲν οὖν ἔφασαν δεῖν αὐτὸν τὸν βασιλέα παρατάττεσθαι, καὶ τὸ πλῆθος τῶν Περσῶν ἀπεφαίνοντο προθυμότερον ἀγωνιεῖσθαι. Χαρίδημος δ᾽ ὁ Ἀθηναῖος, ἀνὴρ θαυμαζόμενος ἐπ᾽ ἀνδρείᾳ καὶ δεινότητι ςρατηγικῇ (συνεςρατεύσατο μὲν Φιλίππῳ τῷ βασιλεῖ, καὶ πάντων τῶν ἐπιτηδευμάτων ἀρχηγὸς καὶ σύμβουλος γεγονὼς ἦν) συνεβούλευσέ τε τῷ Δαρείῳ μὴ προπετῶς ἀποκυβεῦσαι περὶ τῆς βασιλείας, ἀλλ᾽ αὐτὸν μὲν τὸ βάρος καὶ τὴν τῆς Ἀσίας ἀρχὴν συνέχειν, ἐπὶ δὲ τὸν πόλεμον ἀποςέλλειν ςρατηγὸν, πεῖραν δεδωκότα τῆς ἰδίας ἀρετῆς. δύναμιν δ᾽ ἱκανὴν εἶναι δέκα μυριάδων, ἧς τὸ τρίτον Ἕλληνας ποιῆσαι μισθοφόρους· καὶ δι᾽ ἐμφάσεως αὐτὸς ἀνεδέχετο κατορθώσειν τὴν ἐπιβολὴν ταύτην. τὸ μὲν οὖν πρῶτον ὁ βασιλεὺς συγκατετίθετο τοῖς λεγομένοις, μετὰ δὲ ταῦτα τῶν φίλων γενναιότερον ἀντειπόντων, καὶ τὸν Χαρίδημον εἰς ὑποψίαν ἀγόντων, ὅτι τῆς ςρατηγίας ὀρέγεται τυχεῖν, ὅπως τοῖς Μακεδόσι προδῷ τὴν Περσῶν ἡγεμονίαν, ὁ μὲν Χαρίδημος παροργισθεὶς, καὶ προχειρότερον ὀνειδίσας τὴν Περσῶν ἀνανδρίαν, ἐποίησεν ἐπὶ πλεῖον προσκόψαι τὸν βασιλέα τοῖς λόγοις. τοῦ δὲ θυμοῦ τὸ συμφέρον ἀφαιρουμένου, ὁ μὲν Δαρεῖος, ἐπιλαβόμενος τῆς τοῦ Χαριδήμου ζώνης, κατὰ τὸν τῶν Περσῶν νόμον, παρέδωκε τοῖς ὑπηρέταις, καὶ προσέταξεν ἀποκτεῖναι. ὁ δὲ Χαρίδημος ἀπαγόμενος ἐπὶ τὸν θάνατον, ἀνεβόησε μεταμελήσειν ταῦτα ταχὺ τῷ βασιλεῖ, καὶ τῆς ἀδίκου τιμωρίας αὐτοῦ σύντομον ἕξειν τὴν κόλασιν, ἐπιδόντα τὴν κατάλυσιν τῆς βασιλείας. Χαρίδημος μὲν οὖν μεγάλων ἐλπίδων ἐκπεσὼν, διὰ παῤῥησίαν ἄκαιρον τοιαύτην ἔσχε τὴν τοῦ βίου καταςροφήν· ὁ δὲ βασιλεὺς, ἀνέντος τοῦ θυμοῦ τὴν ψυχήν,

331 ante Chr. cap. 30. Occiso etiam Charidemo Atheniensi, principe viro, qui meliora, sed regi ingrata consuluerat.

ψυχὴν, εὐθὺς μετενόησε, καὶ κατεμέμψατο ἑαυτὸν ὡς τὰ μέγιστα ἡμαρτηκότα. ἀλλ' ου γὰρ ἦν δυνατὸν τὸ γεγονὸς διὰ τῆς βασιλικῆς ἐξουσίας ἀγένητον κατασκευάσαι. διόπερ ὀνειροπολούμενος ταῖς Μακεδόνων ἀρεταῖς, καὶ τὴν ἐνέργειαν τὴν Ἀλεξάνδρου πρὸ ὀφθαλμῶν λαμβάνων, ἐζήτει στρατηγὸν ἀξιόχρεων, τὸν διαδεξόμενον τὴν τοῦ Μέμνονος ἡγεμονίαν· οὐ δυνάμενος δ' εὑρεῖν, αὐτὸς ἠναγκάζετο καταβαίνειν εἰς τὸν ὑπὲρ τῆς βασιλείας κίνδυνον.

Darius ipse belli gerendi curam suscipit.

cap. 31. Novus exercitus Persarum Babylonem conveniре jubetur.

Ἐυθὺς οὖν μετεπέμπετο τὰς πανταχόθεν δυνάμεις, καὶ προσέταξεν ἀπαντᾶν εἰς Βαβυλῶνα· καὶ τῶν φίλων καὶ τῶν συγγενῶν ἐπελέγετο τοὺς εὐθέτους, ὧν τοῖς μὲν τὰς ἁρμοζούσας ἡγεμονίας κατεμέριζε, τοὺς δὲ μεθ' ἑαυτοῦ κινδυνεύειν προσέταττεν. ὡς δ' ὁ τῆς στρατείας ἀφωρισμένος χρόνος προσεγένετο, κατήντησαν ἅπαντες εἰς τὴν Βαβυλῶνα. ὁ δ' ἀριθμὸς ἦν τῶν στρατιωτῶν, πεζοὶ μὲν πλείους τῶν τετταράκοντα μυριάδων, ἱππεῖς δὲ οὐκ ἐλάττους τῶν δέκα μυριάδων. Δαρεῖος μὲν οὖν μετὰ τοσαύτης δυνάμεως ἀναζεύξας ἐκ Βαβυλῶνος, προῆγεν ἐπὶ Κιλικίας, ἔχων μεθ' ἑαυτοῦ τήν τε γυναῖκα καὶ τὰ τέκνα, υἱὸν καὶ δύο θυγατέρας, καὶ τὴν μητέρα. Ἀλέξανδρος δὲ πρὸ μὲν τῆς Μέμνονος τελευτῆς πυνθανόμενος Χίον καὶ τὰς ἐν Λέσβῳ πόλεις κεχειρῶσθαι, τὴν δὲ Μιτυλήνην κατὰ κράτος ἡλωκυῖαν, πρὸς δὲ τούτοις, τὸν Μέμνονα τριακοσίαις τριήρεσι καὶ πεζικῇ δυνάμει μέλλοντα στρατεύειν ἐπὶ Μακεδονίαν, τῶν δ' Ἑλλήνων τοὺς πλείους ἑτοίμους εἶναι πρὸς ἀπόστασιν, οὐ μετρίως ἠγωνία. ὡς δ' ἧκόν τινες ἀπαγγέλλοντες τὴν τοῦ Μέμνονος τελευτὴν, ἀπελύθη τῆς πολλῆς ἀγωνίας. μετ' ὀλίγον δὲ εἰς ἀρρωστίαν βαρυτέραν ἐμπεσὼν, καὶ χαλεπῷ πάθει συνεχόμενος, συνεκάλεσε τοὺς ἰατρούς. τῶν μὲν οὖν ἄλλων ἕκαστος δυσχερῶς εἶχε πρὸς τὴν θεραπείαν, Φίλιππος δ' Ἀκαρνὰν τὸ γένος παραβόλοις καὶ συντόμοις θεραπείαις χρώμενος, ἐπηγγείλατο διὰ φαρμακείας λύσειν τὴν νόσον. ἀσμένως δὲ τοῦ βασιλέως ὑπακούσαντος, διὰ τὸ λέγεσθαι Δαρεῖον μετὰ τῆς δυνάμεως ἐκ Βαβυλῶνος ὡρμηκέναι· ὁ μὲν ἰατρὸς δοὺς φάρμακον πιεῖν, καὶ συνεργὸν λαβὼν τὴν φύσιν τοῦ κάμνοντος, καὶ τὴν τέχνην, εὐθὺς ἀπήλλαξε τῆς νόσου τὸν Ἀλέξανδρον. οὗτος μὲν οὖν παραδόξως ἐκφυγὼ

Equitum peditumque numerus.

Darius, Babylone profectus, exercitum in Ciliciam ducit, uxore & liberis comitibus.

Interea Alexander morbo gravissimo laborabat, quo tandem Philippus Acarnan eum liberavit.

φυγὼν τὸν κίνδυνον, καὶ τὸν ἰατρὸν τιμήσας μεγαλοπρεπῶς, κατέταξεν αὐτὸν εἰς τοὺς εὐνουστάτους τῶν φίλων.

cap. 32. Alexander Parmenionem jubet regionis portas occupare.

Ὁ δὲ Ἀλέξανδρος, πυνθόμενος τὸν Δαρεῖον ὀλίγων ἡμερῶν ὁδὸν ἀπέχειν, Παρμενίωνα μὲν μετὰ τῆς δυνάμεως ἀπέστειλε προκαταληψόμενον τὰς παρόδους καὶ τὰς ὀνομαζομένας πύλας· οὗτος δ' ἐπιβαλὼν τοῖς τόποις, καὶ τοὺς προκατειληφότας τὰς δυσχωρίας Βαρβάρους βιασάμενος, κύριος ἐγένετο τῶν παρόδων. Δαρεῖος δὲ βουλόμενος εὔζωνον ποιῆσαι τὴν δύναμιν, τὰ μὲν σκευοφόρα καὶ τὸν περιττὸν ὄχλον εἰς Δαμασκὸν τῆς Συρίας ἀπέθετο· τὸν δ' Ἀλέξανδρον πυθόμενος τὰς δυσχωρίας προκατειληφέναι, καὶ νομίσας αὐτὸν μὴ τολμᾶν ἐν τῷ πεδίῳ διαγωνίζεσθαι, προῆγεν ἐπ' αὐτὸν, σύντομον τὴν ὁδοιπορίαν ποιούμενος.

Incolæ magis in Persas propensi; sed Isso, Ciliciæ urbe, Alexander erat potitus.

οἱ δ' ἐγχώριοι, τῆς μὲν τῶν Μακεδόνων ὀλιγότητος καταφρονήσαντες, τὸ δὲ πλῆθος τῆς τῶν Περσῶν στρατιᾶς καταπεπληγμένοι, καταλιπόντες τὸν Ἀλέξανδρον προσέθεντο τῷ Δαρείῳ, καὶ τάς τε τροφὰς καὶ τὴν ἄλλην παρασκευὴν μετὰ πολλῆς προθυμίας ἐχορήγουν τοῖς Πέρσαις, καὶ διὰ τῆς ἰδίας κρίσεως προεσήμαινον τοῖς Βαρβάροις τὴν νίκην. ὁ δ' Ἀλέξανδρος τὴν μὲν Ἰσσὸν πόλιν ἀξιόλογον καταπληξάμενος ἐχειρώσατο.

cap. 33. Cum Darium in propinquo esse accepisset Alexander, proelio decertare parat.

Τῶν δὲ κατασκόπων ἀπαγγειλάντων αὐτῷ τριάκοντα σταδίους ἀπέχειν τὸν Δαρεῖον, καὶ συντεταγμένῃ τῇ δυνάμει προσιέναι καταπληκτικῶς, ὑπολαβὼν παρὰ τῶν θεῶν αὐτῷ δεδόσθαι τὸν καιρὸν, ὥστε μιᾷ παρατάξει νικήσαντα καταλῦσαι τὴν Περσῶν ἡγεμονίαν, τοὺς μὲν στρατιώτας τοῖς οἰκείοις λόγοις παρεκάλεσεν ἐπὶ τὸν περὶ τῶν ὅλων ἀγῶνα·

Acies instructa & pugna inita describitur.

τὰ δὲ τάγματα τῶν στρατιωτῶν καὶ τὰς τῶν ἱππέων ἴλας οἰκείως τοῖς ὑποκειμένοις τόποις διατάξας, τοὺς μὲν ἱππεῖς ἐπέστησε πρὸ πάσης τῆς στρατιᾶς, τὴν δὲ τῶν πεζῶν φάλαγγα κατόπιν ἐφεδρεύειν προσέταξεν· αὐτὸς δὲ προηγούμενος τοῦ δεξιοῦ μέρους ἀπήντα τοῖς πολεμίοις, ἔχων μεθ' ἑαυτοῦ τοὺς κρατίστους τῶν ἱππέων· τὸ δ' εὐώνυμον μέρος ἐπεῖχον οἱ τῶν Θετταλῶν ἱππεῖς, πολὺ τῶν ἄλλων διαφέροντες ταῖς τε ἀνδραγαθίαις καὶ ταῖς ἐμπειρίαις. ὡς δ' αἱ δυνάμεις ἐντὸς βέλους ἐγένοντο, τοῖς μὲν περὶ τὸν Ἀλέξανδρον ἐπέρριψαν οἱ Βάρβαροι τοσοῦτον πλῆθος βελῶν, ὥστε διὰ τὴν πυκνότητα τῶν βαλλο-

μένων ἀλλήλοις συγκρουόντων, ἀσθενεστέρας γίνεσθαι τὰς πληγάς. τῶν δὲ σαλπιγκτῶν παρ' ἀμφοτέροις τὸ πολεμικὸν σημαινόντων, οἱ Μακεδόνες πρῶτοι συναλαλάξαντες βοὴν ἐξαίσιον ἐποίησαν· μετὰ δὲ ταῦτα τῶν Βαρβάρων ἀντιφθεγξαμένων, συνήχησε μὲν ἡ σύνεγγυς ὀρεινὴ πᾶσα, τὸ δὲ μέγεθος τῆς βοῆς ὑπερῆρε τὴν προγεγενημένην κραυγὴν, ὡς ἂν πεντήκοντα μυριάδων μιᾷ φωνῇ συνηχουσῶν. ὁ δ' Ἀλέξανδρος πάντη τὴν ὄψιν βάλλων, καὶ σπεύδων κατιδεῖν τὸν Δαρεῖον, ἅμα τῷ κατανοῆσαι, παραχρῆμα μετὰ τῶν περὶ αὐτὸν ἱππέων ἐπ' αὐτὸν ἐφέρετο τὸν βασιλέα, σπεύδων οὐχ οὕτω καταπροτερῆσαι τῶν Περσῶν, ὡς τὸ δι' αὑτοῦ περιποιήσασθαι τὴν νίκην. ἅμα δὲ τούτῳ καὶ τῶν ἄλλων ἁπάντων ἱππέων συμπεσόντων ἀλλήλοις, καὶ πολλοῦ φόνου γενομένου, ἡ μὲν μάχη, διὰ τὰς τῶν ἀγωνιζομένων ἀρετὰς, ἀμφίδοξον εἶχε τὴν τῶν ὅλων κρίσιν· ἐταλαντεύετο γὰρ δεῦρο κἀκεῖσε, τῆς τροπῆς ἐναλλὰξ γινομένης. οὔτε γὰρ ἀκοντίσας, οὔτε πατάξας οὐδεὶς ἄπρακτον ἔσχε τὴν πληγὴν, ὡς ἂν διὰ τὸ πλῆθος ἑτοίμου τοῦ σκοποῦ κειμένου. διὸ καὶ πολλοὶ τραύμασιν ἐναντίοις περιτυγχάνοντες ἔπιπτον· οἱ δὲ, καὶ μέχρι τῆς ἐσχάτης ἀναπνοῆς θυμομαχοῦντες, τὸ ζῆν πρότερον ἢ τὴν ἀρετὴν ἐξέλειπον.

cap. 34. Ducum singularis virtus.

Οἱ δὲ ἑκάστης τάξεως ἡγεμόνες, τῶν ὑποτεταγμένων προαγωνιζόμενοι, διὰ τῆς ἰδίας ἀρετῆς τοὺς πολλοὺς ἀνδραγαθεῖν προετρέποντο. διὸ καὶ παρῆν ὁρᾷν πολλὰς μὲν διαθέσεις τραυμάτων γινομένας, ποικίλους δὲ καὶ μεγάλους ἀγῶνας συνισταμένους ὑπὲρ τῆς νίκης. Ὀξάθρης δ' ὁ Πέρσης, ἀδελφὸς μὲν ὢν Δαρείου, κατὰ δὲ τὴν ἀνδρείαν ἐπαινούμενος, ὡς εἶδε τὸν Ἀλέξανδρον ἀκατασχέτως ἱέμενον ἐπὶ τὸν Δαρεῖον, ἐφιλοτιμήθη τῆς αὐτῆς τύχης κοινωνῆσαι τἀδελφῷ. ἀναλαβὼν οὖν τοὺς ἀρίστους τῶν ἱππέων τῶν μεθ' ἑαυτοῦ τεταγμένων, μετὰ τούτων ἐπέῤῥαξε τοῖς περὶ τὸν Ἀλέξανδρον· καὶ νομίσας τὸ φιλάδελφον τῆς ψυχῆς οἴσειν αὐτῷ περιβόητον παρὰ Πέρσαις δόξαν, προεμάχετο τοῦ Δαρείου τεθρίππου, καὶ μετ' ἐμπειρίας εὐτόλμως τοῖς πολεμίοις συμπλεκόμενος, πολλοὺς ἀπέκτεινε. τῶν δὲ περὶ τὸν Ἀλέξανδρον ὑπερβαλλομένων ταῖς ἀνδραγαθίαις, περὶ μὲν τὸ τοῦ Δαρείου τέθριπ-

Circa reges atrocissima pugna.

θριππον ταχὺ νεκρῶν ἐσωρεύθη πλῆθος. πάντες γὰρ ἐφιέμενοι τȣ̃ βασιλέως ψαῦσαι, πρὸς ἀλλήλȣς ἐκθυμότατα διηγωνίζοντο, καὶ τȣ̃ ζῆν ȣ̓δεμίαν ἐποιȣ̃ντο φειδώ. ἔπεσον δ' ἐν κινδύνῳ τȣ́τῳ πολλοὶ τῶν παρὰ Πέρσαις ἐπιφανῶν ἡγεμόνων, ἐν οἷς ὑπῆρχον Ἀτιζύης καὶ Ῥεομίθρης, καὶ ὁ τῆς Αἰγύπτȣ σατράπης Τασιάκης. ὁμοίως δὲ πολλῶν καὶ παρὰ τοῖς Μακεδόσι πεσόντων, συνέβη καὶ αὐτὸν τὸν Ἀλέξανδρον τρωθῆναι τὸν μηρὸν, περιχυθέντων αὐτῷ τῶν πολεμίων. οἱ δὲ τὸν τȣ̃ Δαρείȣ τεθρίππȣ ζυγὸν ἐπέχοντες ἵπποι, τραυματιζόμενοι πυκνῶς, καὶ διὰ τὸ πλῆθος τῶν περὶ αὐτȣ̀ς σωρευομένων νεκρῶν πτυρόμενοι, τὰ μὲν χαλινὰ διεσείοντο, παρ' ὀλίγον δὲ καὶ αὐτὸν τὸν Δαρεῖον εἰς τȣ̀ς πολεμίȣς ἐξήνεγκαν. διὸ καὶ κινδυνεύων ἐσχάτως ὁ βασιλεὺς αὐτὸς ἥρπασε τȣ̀ς ῥυτῆρας, συναναγκαζόμενος λῦσαι τὴν σεμνότητα τῆς προεδρίας, καὶ τὸν παρὰ Πέρσαις τοῖς βασιλεῦσι κείμενον νόμον ὑπερβῆναι. προσήχθη δὲ καὶ τέθριππον ἕτερον ὑπὸ τῶν ὑπηρετῶν τῷ Δαρείῳ, καὶ κατὰ τὴν εἰς τȣ̃το μετάβασιν ταραχῆς γενομένης, ὁ μὲν Δαρεῖος, ἐπικειμένων τῶν πολεμίων, εἰς ἔκπληξιν καὶ δέος ἐνέπιπτεν. οἱ δὲ Πέρσαι, τὸν βασιλέα κατανοήσαντες ταραττόμενον, εἰς φυγὴν ὥρμησαν. τὸ δ' αὐτὸ καὶ τῶν ἐχομένων ἱππέων ποιησάντων, ταχὺ πάντες ἐτράπησαν. τῆς δὲ φυγῆς ȣ̓́σης ἐν τόποις ςενοῖς καὶ τραχέσι, συμπίπτοντες ἀλλήλȣς συγκατεπάτȣν, καὶ πολλοὶ χωρὶς πολεμίας πληγῆς ἀπέθνησκον. ἔκειντο γὰρ ὁμȣ̃ σωρευθέντες, οἱ μὲν, ἄνευ τῶν ὅπλων, οἱ δὲ, τηρȣ̃ντες τὰς πανοπλίας· τινὲς δὲ γεγυμνωμένα τὰ ξίφη διαφυλάξαντες, τȣ̀ς περὶ ταῦτα ἀναπειρομένȣς ἀνῄρȣν. οἱ δὲ πλεῖςοι εἰς τὰ πεδία διεκπεσόντες, διὰ τȣ́των ἀπὸ κράτȣς ἐλαύνοντες τȣ̀ς ἵππȣς, εἰς τὰς συμμαχίδας πόλεις κατέφευγον. ἡ δὲ τῶν Μακεδόνων φάλαγξ, καὶ τὸ τῶν Περσῶν πεζὸν ςράτευμα, βραχὺν χρόνον ἐν τῇ μάχῃ διέμεινε. προηττημένων γὰρ τῶν ἱππέων, οἱονεί τις προαγὼν ἐγεγόνει τῆς ὅλης νίκης. πάντων δὲ τῶν Βαρβάρων ταχὺ τραπέντων, καὶ τοσȣ́των μυριάδων ἐν ςενοῖς τόποις τὴν φυγὴν ποιȣμένων, ταχὺ πᾶς ὁ συνεχὴς τόπος νεκρῶν ἐπληρώθη.

Consternatis Darii equis, Persarum acies turbatur,

& in fugam effunditur.

Νυκτὸς

cap. 35. Præda in castris relicta, præsertim gaza regia.

Νυκτὸς δ' ἐπιλαβούσης, οἱ μὲν Πέρσαι ῥᾳδίως διεσπάρησαν εἰς πολλοὺς τόπους· οἱ δὲ Μακεδόνες παυσάμενοι τοῦ διωγμοῦ, πρὸς ἁρπαγὴν ὥρμησαν, καὶ μάλιστα περὶ τὰς βασιλικὰς σκηνὰς, διὰ τὸ πλῆθος τῆς πολυτελείας, ἠσχολοῦντο. διόπερ πολὺς μὲν ἄργυρος, οὐκ ὀλίγος δὲ χρυσὸς, παμπληθεῖς δὲ καὶ πολυτελεῖς ἐσθῆτες ἐκ τῆς βασιλικῆς γάζης διεφοροῦντο. ὁμοίως δὲ καὶ τῶν τοῦ βασιλέως φίλων καὶ συγγενῶν καὶ τῶν ἄλλων ἡγεμόνων οὐκ ὀλίγος διηρπάγη πλοῦτος. οὐ μόνον γὰρ αἱ τῆς βασιλικῆς οἰκίας, ἀλλὰ καὶ αἱ τῶν συγγενῶν καὶ φίλων γυναῖκες, ἐφ' ἁρμάτων ὀχούμεναι καταχρύσων, συνηκολούθουν κατά τι πάτριον ἔθος τῶν Περσῶν. ἑκάστη δὲ τούτων, διὰ τὴν ὑπερβολὴν τοῦ πλούτου καὶ τῆς τρυφῆς, περιήγετο πλῆθος πολυδαπάνου κατασκευῆς καὶ γυναικείου κόσμου. πάθος δ' ἦν δεινότατον περὶ τὰς αἰχμαλωτιζομένας γυναῖκας.

cap. 36. Captivæ mulieres. Darii mater, uxor, liberi.

Μάλιστα δὲ τοὺς παρόντας εἰς δάκρυα καὶ συμπάθειαν ἤγαγεν ἡ Δαρείου μήτηρ, καὶ γυνὴ, καὶ δύο θυγατέρες ἐπίγαμοι, καὶ υἱὸς παῖς τὴν ἡλικίαν. ἐπὶ γὰρ τούτων ἡ μεταβολὴ τῆς τύχης καὶ τὸ μέγεθος τῶν ἀνελπίστων ἀκληρημάτων ἐν ὄψει κείμενον, εὐλόγως τοὺς ὁρῶντας ἐποίει συμπάσχειν τοῖς ἠτυχηκόσι. περὶ μὲν γὰρ Δαρείου, πότερον ζῇ καὶ περίεστιν, ἢ καὶ μετὰ τῆς τῶν ἄλλων φθορᾶς ἀπόλωλεν, οὐκ ἐγίνωσκον· ἑώρων δὲ τὴν σκηνὴν διαρπάζοντας ἐνόπλους πολεμίους ἄνδρας, ἀγνοοῦντας μὲν τὰς ἡλωκυίας, πολλὰ δὲ διὰ τὴν ἄγνοιαν ἀπρεπῆ πράττοντας, καὶ τὸ σύνολον ὅλην τὴν Ἀσίαν αἰχμάλωτον μεθ' ἑαυτῶν γεγενημένην.

cap. 37. Darius fuga in tutum pervenit.

Τῶν δὲ βασιλέων, Δαρεῖος μὲν κατὰ κράτος ἡττώμενος, εἰς φυγὴν ὥρμησε, καὶ μεταλαμβάνων ἄλλον ἐξ ἄλλου τῶν ἀρίστων ἵππων, ἀπὸ κράτους ἤλαυνε, διαφυγεῖν σπεύδων τὰς Ἀλεξάνδρου χεῖρας, καὶ τῶν ἄνω σατραπειῶν ἅψασθαι προαιρούμενος. Ἀλέξανδρος δὲ μετὰ τῆς ἑταιρικῆς ἵππου καὶ τῶν ἄλλων ἀρίστων ἱππέων ἐποιεῖτο τὸν διωγμὸν, σπεύδων ἐγκρατὴς γενέσθαι τοῦ Δαρείου. διανύσας δὲ σταδίους διακοσίους, ἀνέκαμψεν εἰς τὴν παρεμβολὴν περὶ μέσας νύκτας, τοῖς δὲ λουτροῖς θεραπεύσας τὸν ἐκ τῆς κακοπαθείας κόπον, ἐτρέπετο πρὸς ἄνεσιν καὶ δειπνοποιΐαν. πρὸς δὲ τὴν γυναῖκα καὶ τὴν μητέρα τοῦ

Δαρείου

Δαρείȣ προσελθών τις ἀπήγγειλεν, ὅτι πάρεσιν Ἀλέξανδρος ἀπὸ τȣ͂ διωγμȣ͂, τὸν Δαρεῖον ἐσκυλευκώς. ἔνθα δὴ κραυγῆς μεγάλης καὶ κλαυθμȣ͂ περὶ τὰς γυναῖκας γενομένȣ, καὶ τȣ͂ πλήθȣς τῶν αἰχμαλώτων διὰ τὴν ἀπαγγελίαν συμπενθȣ͂ντος καὶ πολὺν ὀδυρμὸν προιεμένȣ, πυθόμενος ὁ βασιλεὺς τὸ περὶ τὰς γυναῖκας πάθος, ἐξέπεμψεν ἕνα τῶν Φίλων Λεοννάτον, καταπαύσοντα τὴν ταραχὴν, καὶ παραμυθησόμενον τὰς περὶ τὴν Σισύγγραμβριν, καὶ δηλώσαντα διότι Δαρεῖος μὲν ζῇ, ὁ δ' Ἀλέξανδρος ἐπιμέλειαν αὐτῶν ποιήσεται τὴν προσήκȣσαν, καὶ διότι πρωῒ βȣ́λεται προσαγορεῦσαί τε αὐτὰς καὶ διὰ τῶν ἔργων ἀποδείξασθαι τὴν ἰδίαν Φιλανθρωπίαν. αἱ μὲν ȣ͂ν αἰχμαλώτιδες, προσπεσȣ́σης αὐταῖς παραδόξȣ καὶ παντελῶς ἀπηλπισμένης ἐυτυχίας, τόν τε Ἀλέξανδρον ὡς θεὸν προσεδέξαντο, καὶ τῶν ὀδυρμῶν ἀπηλλάγησαν. ὁ δὲ βασιλεὺς ἅμ' ἡμέρᾳ λαβὼν ἕνα τῶν Φίλων τὸν μάλιςα τιμώμενον Ἡφαιςίωνα, παρῆλθε πρὸς τὰς γυναῖκας. ἐχόντων δ' ἀμφοτέρων ἐσθῆτας μὲν ὁμοίας, τῷ μεγέθει δὲ καὶ κάλλει προέχοντος τȣ͂ Ἡφαιςίωνος, ἡ Σισύγγαμβρις τȣ͂τον ὑπολαβȣ͂σα ἐιναι τὸν βασιλέα, προσεκύνησε· διανευόντων δ' αὐτῇ τῶν παρεςώτων, καὶ τῇ χειρὶ δεικνυόντων τὸν Ἀλέξανδρον, ἡ μὲν Σισύγγαμβρις αἰδεσθεῖσα τὴν ἄγνοιαν, πάλιν ἐξαρχῆς προσεκύνει τὸν Ἀλέξανδρον. ὁ δὲ βασιλεὺς ὑπολαβὼν ἐιπε, Μηδὲν φροντίσῃς, ὦ μῆτερ· καὶ γὰρ καὶ ȣ͂τος Ἀλέξανδρός ἐςιν. ȣ̓ μὴν ἀλλὰ τὴν πρεσβῦτιν μητέρα προσαγορεύσας, διὰ τῆς φιλανθρωποτάτης προσηγορίας προεσήμαινε τοῖς προητυχηκόσι τὴν μέλλȣσαν ἔσεσθαι φιλανθρωπίαν. διαβεβαιωσάμενος δ' αὐτὴν ὑπάρξειν δευτέραν μητέρα, τοῖς ἔργοις ἐυθὺς ἐκύρωσε τὴν διὰ τῶν λόγων ἐπαγγελίαν.

Matrem Darii anxiam & trepidantem Alexander consolatur,

benignoque alloquio recreat.

Περιέθηκε γὰρ αὐτῇ κόσμον τε βασιλικὸν, καὶ τὸ προγεγονὸς ἀξίωμα ταῖς προσηκȣ́σαις τιμαῖς ἀποκατέςησε. τὴν μὲν γὰρ θεραπείαν αὐτῇ πᾶσαν τὴν δοθεῖσαν ὑπὸ Δαρείȣ παρέδωκεν, ἰδίαν δ' ἄλλην ȣ̓κ ἐλάττονα τῆς προϋπαρχȣ́σης προσεδωρήσατο, καὶ τῆς μὲν τῶν παρθένων ἐκδόσεως βέλτιον τῆς Δαρείȣ κρίσεως ἐπηγγείλατο προνοήσεσθαι, τὸν παῖδα δὲ θρέψειν ὡς υἱὸν ἴδιον, καὶ βασιλικῆς τιμῆς ἀξιώσειν. προσκαλεσάμενος δ' αὐτὸν καὶ φιλήσας,

cap. 38. Singularis Alexandri humanitas in Darii matrem, liberos, pluribus descripta & celebrata.

κήσας, ὡς εἶδεν ἀδεῶς βλέψαντα, καὶ μηδὲν ὅλως καταπλαγέντα, πρὸς τοὺς περὶ τὸν Ἡφαιστίωνα εἶπεν, ὅτι ὁ παῖς ὢν ἓξ ἐτῶν, καὶ τὴν ἀρετὴν ὑπὲρ τὴν ἡλικίαν προφαίνων, πολλῷ βελτίων ἐστὶ τοῦ πατρός. περὶ δὲ τῆς Δαρείου γυναικὸς καὶ τῆς περὶ αὐτὴν σεμνότητος πρόνοιαν ἕξειν ἔφησεν, ὅπως μηδὲν ἀνάξιον πάθῃ τῆς προγεγενημένης εὐδαιμονίας. πολλὰ δὲ καὶ ἄλλα πρὸς ἔλεον καὶ φιλανθρωπίαν διαλεχθεὶς, ἐποίησε τὰς γυναῖκας, διὰ τὸ μέγεθος τῆς ἀνελπίστου χαρᾶς, εἰς ἀκατάσχετα προσπεσεῖν δάκρυα.

cap. 39. Darius Babylonem se receperat, unde æquissimas pacis conditiones Alexandro obtulit.

Δαρεῖος δὲ διανύσας εἰς Βαβυλῶνα, καὶ τοὺς ἀπὸ τῆς ἐν Ἰσσῷ μάχης διασωζομένους ἀναλαβὼν, οὐκ ἔπεσε τῷ φρονήματι, καίπερ μεγάλῃ περιπεπτωκὼς συμφορᾷ. ἀλλὰ πρὸς τὸν Ἀλέξανδρον ἔγραψεν ἀνθρωπίνως φέρειν τὴν εὐτυχίαν, καὶ τοὺς αἰχμαλώτους ἀλλάξασθαι, χρημάτων πλῆθος λαβόντα· προσετίθει δὲ καὶ τῆς Ἀσίας τὴν ἐντὸς Ἅλυος χώραν, καὶ πόλεις συνεχώρησεν, ἐὰν βουληθῇ γενέσθαι φίλος. ὁ δ' Ἀλέξανδρος συναγαγὼν τοὺς φίλους, καὶ τὴν μὲν ἀληθινὴν ἐπιστολὴν ἀποκρυψάμενος, ἑτέραν δὲ γράψας, ῥέπουσαν πρὸς τὸ ἑαυτῷ συμφέρον, προσήνεγκε τοῖς συνέδροις, καὶ τοὺς πρέσβεις ἀπράκτους ἐξαπέστειλε.

His repudiatis, duplo majorem exercitum conscripsit.

διόπερ ὁ Δαρεῖος, ἀπογνοὺς τὴν διὰ τῶν ἐπιστολῶν σύνθεσιν, παρασκευὰς μεγάλας ἐποιεῖτο πρὸς τὸν πόλεμον, καὶ τοὺς μὲν κατὰ τὴν τροπὴν ἀποβεβληκότας τὰς πανοπλίας καθώπλιζεν, ἄλλους δ' ἐπιλεγόμενος, εἰς στρατιωτικὰς τάξεις κατέγραφε· τὰς δ' ἐκ τῶν ἄνω σατραπειῶν δυνάμεις, ἃς ἀπολελοιπὼς ἦν διὰ τὴν ὀξύτητα τῆς στρατείας, μετεπέμπετο. καὶ τέλος τοσαύτην εἰσηνέγκατο σπουδὴν εἰς τὴν κατασκευὴν τῆς δυνάμεως, ὥστε διπλασίαν γενέσθαι τῆς ἐν Ἰσσῷ παραταξαμένης. ὀγδοήκοντα μὲν γὰρ μυριάδες πεζῶν, εἴκοσι δ' ἱππέων ἠθροίσθησαν· καὶ χωρὶς ἁρμάτων δρεπανηφόρων πλῆθος.

330 ante Chr. cap. 40. Alexander bellum Aegyptiis inferre parat.

Ἀλέξανδρος δὲ μετὰ τὴν ἐν Ἰσσῷ νίκην, τοὺς μὲν τελευτήσαντας ἔθαψεν, ἐν οἷς καὶ τῶν πολεμίων τοὺς ἐν ταῖς ἀνδραγαθίαις θαυμασθέντας· μετὰ δὲ ταῦτα τοῖς θεοῖς μεγαλοπρεπῶς θυσίας συντελέσας, καὶ τοὺς ἐν τῇ μάχῃ κατ' ἀρετὴν διαφόρους γενομένους τιμήσας ταῖς ἀξίαις ἑκάστους δωρεαῖς, ἐφ' ἡμέρας τινὰς ἀνέλαβε τὴν δύναμιν.

ἔπειτα

ἔπειτα προάγων ἐπ' Αἰγύπτε, καὶ καταντήσας εἰς τὴν Φοινίκην, τὰς μὲν ἄλλας πόλεις παρέλαβεν, ἑτοίμως τῶν ἐγχωρίων προσδεξαμένων αὐτόν· οἱ δὲ Τύριοι, βελομένε τε βασιλέως τῷ Ἡρακλεῖ τῷ Τυρίῳ θύσαι, προπετέστερον διεκώλυσαν αὐτὸν τῆς εἰς τὴν πόλιν εἰσόδε. τε δ' Ἀλεξάνδρε χαλεπῶς ἐνέγκαντος καὶ διαπειλησαμένε πολεμήσειν τὴν πόλιν, οἱ Τύριοι τεθαῤῥηκότως ὑπέμενον τὴν πολιορκίαν, ἅμα μὲν Δαρείῳ χαριζόμενοι καὶ τὴν πρὸς αὐτὸν εὔνοιαν βεβαίαν τηρε͂ντες, καὶ νομίζοντες, μεγάλας δωρεὰς ἀντὶ ταύτης τῆς χάριτος ἀντιλήψεσθαι παρὰ τε͂ βασιλέως, ἐπισπώμενοι μὲν τὸν Ἀλέξανδρον εἰς πολυχρόνιον καὶ ἐπικίνδυνον πολιορκίαν, διδόντες δ' ἄνεσιν Δαρείῳ πρὸς τὰς παρασκευὰς, ἅμα δὲ καὶ πιςεύοντες τῇ τε ὀχυρότητι τῆς νήσε καὶ ταῖς ἐν αὐτῇ παρασκευαῖς, ἔτι δὲ τοῖς ἀπογόνοις αὐτῶν Καρχηδονίοις. Οἱ δὲ Τύριοι, γενναιότερον μᾶλλον ἢ φρονιμώτερον ὑποςάντες τὴν πολιορκίαν, τοσαύταις περιέπεσον συμφοραῖς πολιορκηθέντες, μῆνας ἑπτά. οἱ γὰρ πλεῖςοι μαχόμενοι κατεκόπησαν· τέκνα δὲ καὶ γυναῖκας ὁ Ἀλέξανδρος ἐξηνδραποδίσατο, τὲς νέες πάντας ἐκρέμασε.

dum per Phoeniciam iter facit, Tyrii obstant.

Urbs post VII menses capitur.

Μετὰ δὲ ταῦτα εἷλε κατὰ κράτος τὴν Γάζαν· καὶ τὰ περὶ αὐτὴν διοικήσας, Ἀμύνταν μετὰ δέκα νεῶν εἰς Μακεδονίαν ἐξέπεμψε, προστάξας τῶν νέων τὲς εὐθέτες ἐπιλέξαι πρὸς ςρατείαν· αὐτὸς δὲ μετὰ πάσης τῆς δυνάμεως παρῆλθεν εἰς Αἴγυπτον, καὶ παρέλαβε πάσας τὰς ἐν αὐτῇ πόλεις χωρὶς κινδύνων. οἱ γὰρ Αἰγύπτιοι, τῶν Περσῶν ἠσεβηκότων εἰς τὰ ἱερὰ καὶ βιαίως ἀρχόντων, ἄσμενοι προσεδέξαντο τὲς Μακεδόνας. καταςήσας δὲ κατὰ τὴν Αἴγυπτον, προῆλθεν εἰς Ἄμμωνας, βελόμενος χρήσασθαι τῷ θεῷ. καὶ τὸν θεὸν μεγαλοπρεπέσιν ἀναθήμασι τιμήσας, ἐπανεῖλθεν εἰς τὴν Αἴγυπτον.

cap. 49. Alexander potitur Aegypto.

Κρίνας δ' ἐν ταύτῃ πόλιν μεγάλην (Ἀλεξάνδρειαν) κτίσαι, προσέταξε τοῖς ἐπὶ τὴν ἐπιμέλειαν ταύτην καταλειπομένοις, ἀναμέσον τῆς τε λίμνης καὶ τῆς θαλάσσης οἰκίσαι τὴν πόλιν. καὶ διοικήσας ἅπαντα τὰ κατὰ τὴν Αἴγυπτον, ἐπανῆλθε μετὰ τῆς δυνάμεως εἰς τὴν Συρίαν.

cap. 52. Novam urbem, Alexandriam, condit.

Δαρεῖος δὲ πυθόμενος αὐτε͂ τὴν παρεσίαν, ἀνέζευξεν ἐκ τῆς Βαβυλῶνος, ἔχων πεζὲς μὲν περὶ ὀγδοήκον-

329 ante Chr. cap. 53. Darius Babylone versus

 τα

Ninum iter facit, & prope Arbela castra ponit.

τα μυριάδας, ἱππεῖς δ' ἐκ ἐλάττες τῶν ἔικοσι μυριάδων. κατὰ δὲ τὴν ὁδοιπορίαν δεξιὸν μὲν ἔχων τὸν Τίγριν, ἀριϛερὸν δὲ τὸν Ἐυφράτην προήει διὰ χώρας ἐυδαίμονος καὶ δυναμένης τοῖς κτήνεσι δαψιλῆ χορτάσματα παρασχέθαι, τῷ τε πλήθει τῶν ϛρατιωτῶν ἱκανὰς τροφὰς χορηγῆσαι. ἔσπευδε γὰρ περὶ τὴν Νίνον ποιήσαθαι τὴν παράταξιν, ἐυθετωτάτων ὄντων τῶν περὶ αὐτὴν πεδίων, καὶ πολλὴν ἐυρυχωρίαν παρεχομένων τῷ μεγέθει τῶν ἠθροισμένων ὑπ' αὐτῦ δυνάμεων. καταϛρατοπεδεύσας δὲ περὶ κώμην τὴν ὀνομαζομένην Ἄρβηλα, τὰς δυνάμεις ἐνταῦθα καθ' ἡμέραν ἐξέταττε, καὶ τῇ συνεχεῖ διατάξει καὶ μελέτῃ κατεσκεύασεν ἐυπειθεῖς. σφόδρα γὰρ ἠγωνία μήποτε πολλῶν καὶ ἀσυμφώνων ἐθνῶν ἠθροισμένων ταῖς διαλέκτοις, ταραχή τις γένηται κατὰ τὴν παράταξιν.

cap. 54. De novo oblatam pacem & promissas conditiones amplissimas ut Alexander accipiat, Parmenio suadet.

Περὶ δὲ διαλύσεως καὶ πρότερον μὲν ἐξέπεμψε πρεσβευτὰς πρὸς Ἀλέξανδρον, ἐκχωρῶν αὐτῷ τῆς ἐντὸς Ἅλυς ποταμῦ χώρας· καὶ προσεπηγγέλλετο δώσειν ἀργυρίυ τάλαντα δισχίλια. ὡς δ' ὐ προσεῖχεν αὐτῷ, πάλιν ἐξέπεμψεν ἄλλες πρέσβεις, ἐπαινῶν μὲν αὐτὸν ἐπὶ τῷ καλῶς κεχρῆθαι τῇ τε μητρὶ καὶ τοῖς ἄλλοις αἰχμαλώτοις, ἀξιῶν δὲ φίλον γενέθαι, καὶ λαβεῖν τὴν ἐντὸς Ἐυφράτυ χώραν, καὶ τάλαντα ἀργυρίυ τρισχίλια, καὶ τὴν ἑτέραν τῶν ἑαυτῦ θυγατέρων γυναῖκα· καθόλυ δὲ γενόμενον γαμβρὸν, καὶ τάξιν υἱῦ λαβόντα, καθάπερ κοινωνὸν γενέθαι τῆς ὅλης βασιλείας. ὁ δ' Ἀλέξανδρος, εἰς τὸ συνέδριον παραλαβὼν πάντας τὺς φίλυς, καὶ περὶ τῶν προτιθεμένων αἱρέσεων ἀνακοινωσάμενος, ἠξίυ τὴν ἰδίαν γνώμην ἕκαϛον μετὰ παῤῥησίας ἀποφήναθαι. τῶν μὲν ὖν ἄλλων ὐδεὶς ἐτόλμα συμβυλεῦσαι, διὰ τὸ μέγεθος τῆς ὑποκειμένης ζητήσεως· Παρμενίων δὲ πρῶτος εἶπεν, Ἐγὼ μὲν, ὤν Ἀλέξανδρος, ἔλαβον ἂν τὰ διδόμενα, καὶ τὴν σύνθεσιν ἐποιησάμην· ὁ δ' Ἀλέξανδρος ὑπολαβὼν εἶπε, Κἀγὼ, εἰ Παρμενίων ἦν, ἔλαβον ἄν.

Sed iis omnibus repudiatis, rex infesto exercitu Dario obviam venit.

καθόλυ δὲ καὶ ἄλλοις μεγαλοψύχοις λόγοις χρησάμενος, καὶ τὺς μὲν λόγυς τῶν Περσῶν ἀποδοκιμάσας, προτιμήσας δὲ τὴν ἐυδοξίαν τῶν προτεινομένων δωρεῶν, τοῖς μὲν πρέσβεσιν ἀπόκρισιν ἔδωκεν ὡς ὔθ' ὁ κόσμος, δυοῖν ἡλίων ὄντων, τηρῆσαι δύναται τὴν ἰδίαν διακόσμησίν τε καὶ τάξιν,

ξιν, ἕϑ᾽ ἡ οἰκεμένη, δύο βασιλέων ἐχόντων τὴν ἡγεμονίαν, ἀταράχως καὶ ἀςασιάςως διαμένειν ἂν δύναιτο. διόπερ ἀπαγγέλλειν ἀυτὲς ἐκέλευσε τῷ Δαρείῳ, ἐι μὲν τῶν πρωτείων ὀρέγεται, διαμάχεσθαι πρὸς ἀυτὸν περὶ τῆς τῶν ὅλων μοναρχίας· ἐι δὲ δόξης καταφρονῶν προκρίνει τὴν λυσιτέλειαν καὶ τὴν ἐκ τῆς ῥαςώνης τρυφὴν, αὐτὸς μὲν Ἀλεξάνδρῳ ποιείτω τὸ προσταττόμενον, ἄλλων δὲ ἄρχων βασιλευέτω, συγχωρεμένης ἀυτῷ τῆς ἐξεσίας ὑπὸ τῆς Ἀλεξάνδρε χρηςότητος. τὸ δὲ συνέδριον διαλύσας, καὶ τὴν δύναμιν ἀναλαβὼν, προῆγεν ἐπὶ τὴν τῶν πολεμίων ςρατοπεδείαν. ἅμα δὲ τέτοις πραττομένοις, τῆς τε Δαρείε γυναικὸς ἀποθανέσης, ὁ Ἀλέξανδρος ἔθαψεν ἀυτὴν μεγαλοπρεπῶς. Conjux Darii moritur.

cap. 55. Darius instruit aciem, & Mazæum ad custodiam fluminis ablegat.

Δαρεῖος δὲ τῶν ἀποκρίσεων ἀκέσας, καὶ τὴν διὰ τῶν λόγων σύνθεσιν ἀπογνὲς, τὴν μὲν δύναμιν καθ᾽ ἡμέραν συνέταττε, καὶ πρὸς τὴν ἐν τοῖς κινδύνοις ἐυχρηςίαν ἑτοίμην κατεσκεύαζε· τῶν δὲ φίλων Μαζαῖον μὲν μετὰ ςρατιωτῶν ἐπιλέκτων ἐξαπέςειλε παραφυλάξοντα τὴν διάβασιν τε ποταμε, καὶ τὸν πόρον προκαταληψόμενον. ἑτέρες δ᾽ ἐξέπεμψε τὴν χώραν πυρπολήσοντας, δι᾽ ἧς ἀναγκαῖον ἦν διελθεῖν τὲς πολεμίες. ἐνόμιζε γὰρ τῷ μὲν ῥεύματι τε ποταμε προβλήματι χρῆσθαι πρὸς τὴν ἔφοδον των Μακεδόνων. τέτων δ᾽ ὁ μὲν Μαζαῖος ὁρῶν ἀδιάβατον ὄντα τὸν ποταμὸν, διά τε τὸ βάθος καὶ τὴν σφοδρότητα τε ῥεύματος, τῆς μὲν τέτε φυλακῆς ἠμέλησε, τοῖς δὲ τὴν χώραν πυρπολεσι συνεργήσας, καὶ πολλὴν χώραν διαφθείρας, ὑπέλαβεν ἄβατον ἔσεσθαι τοῖς πολεμίοις, διὰ τὴν σπάνιν τῆς τροφῆς. ὁ δ᾽ Ἀλέξανδρος, παραγενόμενος πρὸς τὴν διάβασιν τε Τίγρεως ποταμε, καὶ τὸν πόρον ὑπό τινων ἐγχωρίων μαθὼν, διεβίβασε τὴν δύναμιν ε μόνον ἐπιπόνως, ἀλλὰ καὶ παντελῶς ἐπικινδύνως. τε γὰρ πόρε τὸ μὲν βάθος ἦν ὑπὲρ τῶν μαςῶν, τε δὲ ῥεύματος ἡ ὀξύτης πολλὲς τῶν διαβαινόντων παρέσυρε καὶ τὴν βάσιν τῶν σκελῶν παρῃρεῖτο· τό, τε ῥεῦμα τοῖς ὅπλοις ἐμπίπτον πολλές τε παρέφερε καὶ τοῖς ἐσχάτοις κινδύνοις περιέβαλλεν. ὁ δ᾽ Ἀλέξανδρος, πρὸς τὴν σφοδρότητα τε ῥεύματος ἀντιμαχόμενος, παρήγγειλε πᾶσι τὰς χεῖρας ἀλλήλοις συμπλέκειν, καὶ τὴν ὅλην τῶν σωμά- Alexandri ejusque exercitus per Tigrim transitus perdifficilis.

σωμάτων πυκνότητα ποιεῖν ζεύγματι παραπλησίαν. παραβόλȣ δὲ γενομένης τῆς διαβάσεως, καὶ τῶν Μακεδόνων μόλις διασωθέντων, τὴν μὲν ἡμέραν ταύτην προσανέλαβε τὴν δύναμιν· τῇ δ᾽ ὑςεραίᾳ συντεταγμένην ἔχων τὴν ςρατιὰν, προῆγεν ἐπὶ τȣ̀ς πολεμίȣς, καὶ σύνεγγυς γενόμενος τῶν Περσῶν, κατεςρατοπέδευσεν.

cap. 58. Prœlium committitur.

Ὁ δὲ Δαρεῖος, κατὰ τὰς τῶν ἐθνῶν περιοχὰς τὴν ἔνταξιν πεποιημένος, κατά τε τὸν Ἀλέξανδρον τεταγμένος, προῆγεν ἐπὶ τȣ̀ς πολεμίȣς. ὡς δ᾽ ἐπλησίαζον ἀλλήλαις αἱ δυνάμεις, οἱ μὲν σαλπιγκταὶ παρ᾽ ἀμφοτέροις ἐσήμαινον τὸ πολεμικὸν, οἱ δ᾽ ἄνδρες μετὰ πολλῆς βοῆς ἀλλήλοις ἐπεφέροντο. καὶ πρῶτον τὰ δρεπανηφόρα τῶν ἁρμάτων ἀπὸ κράτȣς ἐλαυνόμενα, πολλὴν ἔκπληξιν καὶ φόβον τοῖς Μακεδόσιν ἐπέςησεν. ὁμοίως δὲ καὶ τῶν περὶ Δαρεῖον τεταγμένων ἱππέων τινὲς καταπονήσαντες τῷ πλήθει τȣ̀ς ἀνθεςῶτας Μακεδόνας φεύγειν ἠνάγκασαν.

cap. 60. Alexander in Darium ipsum invectus, aurigam profligat,

Δευτέρȣ δὲ προτερήματος τοῖς Πέρσαις γενομένȣ, ὁ μὲν Ἀλέξανδρος σπεύδων δι᾽ ἑαυτȣ̃ τὴν ἧτταν διορθώσασθαι τῶν ἰδίων, μετὰ τῆς βασιλικῆς ἴλης, καὶ τῶν ἄλλων τῶν ἐπιφανεςάτων ἱππέων, ἐπ᾽ αὐτὸν ἤλαυνε τὸν Δαρεῖον. ὁ δὲ τῶν Περσῶν βασιλεὺς, δεξάμενος τὴν ἐπιφορὰν τῶν πολεμίων, αὐτὸς μὲν ἐφ᾽ ἅρματος ἀγωνιζόμενος, ἠκόντισεν εἰς τȣ̀ς ἐπιφερομένȣς· πολλῶν δ᾽ αὐτῷ συναγωνιζομένων, καὶ τῶν βασιλέων ἐπ᾽ ἀλλήλȣς ἱεμένων, ὁ μὲν Ἀλέξανδρος ἀκοντίσας ἐπὶ τὸν Δαρεῖον, τȣ́τȣ μὲν ἥμαρτε, τȣ̃ δὲ παρεςῶτος ἡνιόχȣ τȣ̃ βασιλέως κατατυχὼν, κατέβαλε.

inde orto rumore, Darium cecidisse, Persæ in fugam se vertunt.

τῶν δὲ περὶ τὸν Δαρεῖον ἀναβοησάντων, οἱ πορρώτερον ἀφεςηκότες ὑπέλαβον αὐτὸν τὸν βασιλέα πεπτωκέναι· καὶ τȣ́των τῆς φυγῆς ἀρξαμένων, οἱ συνεχεῖς συνείποντο, καὶ τὸ συνεχὲς τῷ Δαρείῳ σύνταγμα κατ᾽ ὀλίγον ἀεὶ παρεῤῥήγνυτο. διὸ καὶ τῆς ἑτέρας πλευρᾶς παραγυμνωθείσης τῶν συναγωνιζομένων, καὶ αὐτὸς καταπλαγεὶς πρὸς φυγὴν ὥρμησε. τȣ́των δὲ ȣ̔́τως φευγόντων, καὶ τȣ̃ κονιορτȣ̃ τῶν ἱππέων πρὸς ὕψος αἰρομένȣ, καὶ τῶν περὶ τὸν Ἀλέξανδρον ἐκ ποδὸς ἑπομένων, διὰ τὸ πλῆθος καὶ τὴν πυκνότητα τȣ̃ κονιορτȣ̃ συνιδεῖν μὲν ȣ̓κ ἦν τὸν Δαρεῖον, ὅποι ποιεῖται τὴν φυγήν· ςεναγμὸ;

μὸς δὲ τῶν πιπτόντων ἀνδρῶν καὶ κτύπος τῶν ἱππέων, ἔτι δὲ τῶν μαςίγων συνεχὴς ψόφος ἐγίνετο.

cap. 61. Darius, nube pulveris tectus, evasit.

Ὁ δὲ Δαρεῖος τῇ ςρατηγίᾳ διαφέρων, καὶ συνεργὸν ἔχων τὸ πλῆθος τοῦ κονιορτοῦ, τὴν ἀποχώρησιν οὐχ ὁμοίαν τοῖς ἄλλοις Βαρβάροις ἐποιεῖτο· εἰς τοὐναντίον δὲ μέρος ὁρμήσας, καὶ κρυπτομένην ἔχων, διὰ τὸν ἐξαιρόμενον κονιορτὸν, τὴν ἰδίαν ἀποχώρησιν, ἀκινδύνως αὐτός τε διέφυγε, τοὺς τε μεθ' ἑαυτοῦ πάντας εἰς τὰς κατόπιν κειμένας τῶν Μακεδόνων κώμας διέσωσε. τέλος δὲ, πάντων τῶν Βαρβάρων πρὸς φυγὴν ὁρμησάντων, καὶ τῶν Μακεδόνων τοὺς ἐσχάτους ἀεὶ κτεινόντων, ταχὺ πᾶς ὁ πλησίον τοῦ πεδίου τόπος νεκρῶν ἐπληρώθη. διὸ καὶ τῶν Βαρβάρων ἐν ταύτῃ τῇ μάχῃ κατεκόπησαν οἱ πάντες ἱππεῖς τε καὶ πεζοὶ πλείους τῶν ἐννέα μυριάδων· τῶν δὲ Μακεδόνων ἀνῃρέθησαν μὲν εἰς πεντακοσίους, τραυματίαι δ' ἐγένοντο παμπληθεῖς, ἐν οἷς καὶ τῶν ἐπιφανεςάτων ἡγεμόνων Ἡφαιςίων μὲν εἰς τὸν βραχίονα ξυςῷ βληθεὶς ἐτρώθη, τῶν σωματοφυλάκων ἡγούμενος· τῶν δὲ ςρατηγῶν Περδίκκας καὶ Κοῖνος, ἔτι δὲ Μενίδας, καί τινες ἕτεροι τῶν ἐπιφανῶν ἡγεμόνων. ἡ μὲν οὖν περὶ Ἄρβηλα γενομένη παράταξις τοιοῦτον ἔσχε τὸ πέρας.

Persarum fugientium ingens clades secuta.

Cæsorum numerus.

328 ante Chr. cap. 62. Græcæ civitates crescentem victoris Alexandri potentiam suspectam habent.

Εἰς δὲ τὴν Ἑλλάδα τῆς περὶ Ἄρβηλα μάχης διαδοθείσης, πολλαὶ τῶν πόλεων, ὑφορώμεναι τὴν αὔξησιν τῶν Μακεδόνων, ἔγνωσαν, ἕως ἔτι τὰ Περσῶν πράγματα διαμένῃ, τῆς ἐλευθερίας ἀντέχεσθαι. βοηθήσειν γὰρ αὐτοῖς Δαρεῖον, καὶ χρημάτων τε πλῆθος χορηγήσειν πρὸς τὸ δύνασθαι ξενικὰς μεγάλας δυνάμεις συνίςασθαι· καὶ τὸν Ἀλέξανδρον μὴ δυνήσεσθαι διαιρεῖν τὰς δυνάμεις. εἰ δὲ περιόψονται τοὺς Πέρσας καταπολεμηθέντας, μονωθήσεσθαι τοὺς Ἕλληνας, καὶ μηκέτι δυνήσεσθαι φροντίσαι τῆς ἑαυτῶν ἐλευθερίας. προεκαλέσατο δὲ πρὸς τὴν ἀπόςασιν τοὺς Ἕλληνας καὶ ὁ περὶ τὴν Θρᾴκην νεωτερισμὸς κατὰ τοὺς ὑποκειμένους καιροὺς γενόμενος. Μέμνων γὰρ ὁ καθεςάμενος ςρατηγὸς τῆς Θρᾴκης, ἔχων δύναμιν, καὶ φρονήματος ὢν πλήρης, ἀνέσεισε μὲν τοὺς Βαρβάρους· ἀποςάτης δὲ γενόμενος τοῦ Ἀλεξάνδρου, καὶ ταχὺ μεγάλης δυνάμεως κυριεύσας, φανερῶς ἀπεκαλύψατο πρὸς τὸν πόλεμον. διόπερ Ἀντίπατρος πᾶσαν ἀναλαβὼν τὴν δύναμιν

Itaque, Antipatro in Thracia bello contra Memnonem occupato,

Lacedæmonii, opportunitate usi, pro libertate bellum movent.

μιν, προῆλθε διὰ Μακεδονίας εἰς Θρᾴκην, καὶ διεπολέμει πρὸς τὸν Μέμνονα. τούτου δὲ περὶ ταῦτ' ὄντος, οἱ Λακεδαιμόνιοι καιρὸν ἔχειν ὑπολαβόντες τοῦ παρασκευάσασθαι τὰ πρὸς τὸν πόλεμον, παρεκάλουν τοὺς Ἕλληνας συμφρονῆσαι περὶ τῆς ἐλευθερίας. Ἀθηναῖοι μὲν οὖν, παρὰ πάντας τοὺς ἄλλους Ἕλληνας ὑπ' Ἀλεξάνδρου προτιμώμενοι, τὴν ἡσυχίαν ἦγον· Πελοποννησίων δ' οἱ πλείους, καὶ τῶν ἄλλων τινὲς συμφρονήσαντες, ἀπεγράψαντο πρὸς τὸν πόλεμον, καὶ κατὰ δύναμιν τῶν πόλεων καταγράφοντες τῶν νέων τοὺς ἀρίστους, κατέλεξαν στρατιώτας πεζοὺς μὲν οὐκ ἐλάττους τῶν δισμυρίων, ἱππεῖς δὲ περὶ δισχιλίους.

Regem Agidem imperatorem creant.

τὴν δ' ἡγεμονίαν ἔχοντες Λακεδαιμόνιοι, πανδημεὶ πρὸς τὸν ὑπὲρ τῶν ὅλων κίνδυνον ὥρμησαν, Ἄγιδος τοῦ βασιλέως τὴν πάντων ἔχοντος ἡγεμονίαν.

cap. 63. Re audita, Antipater, composito in Thracia bello, advolat, prœlioque hostes fundit.

Ἀντίπατρος δὲ πυθόμενος τὴν τῶν Ἑλλήνων συνδρομὴν, τὸν μὲν ἐν τῇ Θρᾴκῃ πόλεμον, ὥς ποτ' ἦν δυνατὸν, διέλυσεν, εἰς δὲ τὴν Πελοπόννησον ἧκε μετὰ πάσης τῆς δυνάμεως. προσλαβόμενος δὲ καὶ παρὰ τῶν συμμαχούντων Ἑλλήνων στρατιώτας, ἤθροισε τοὺς ἅπαντας οὐκ ἐλάττους τῶν τετρακισμυρίων. γενομένης δὲ παρατάξεως μεγάλης, ὁ μὲν Ἄγις μαχόμενος ἔπεσεν· οἱ δὲ Λακεδαιμόνιοι πολὺν μὲν ἐκθύμως χρόνον ἀγωνιζόμενοι διεκαρτέρουν· τῶν δὲ συμμάχων βιασθέντων, καὶ αὐτοὶ τὴν ἀναχώρησιν εἰς τὴν Σπάρτην ἐποιήσαντο. ἀνῃρέθησαν δ' ἐν τῇ μάχῃ τῶν μὲν Λακεδαιμονίων καὶ τῶν συμμάχων πλείους τῶν πεντακισχιλίων καὶ τριακοσίων, τῶν δὲ μετ' Ἀντιπάτρου τρισχίλιοι καὶ πεντακόσιοι.

cap. 64. Darius Ecbatana se recepit, ut novas copias colligeret.

Δαρεῖος μὲν γὰρ ἡττηθεὶς ἐν τῇ περὶ Ἄρβηλα παρατάξει, τὴν φυγὴν ἐπὶ τὰς ἄνω σατραπείας ἐποιήσατο, σπεύδων τῷ διαστήματι τῶν τόπων λαβεῖν ἀναστροφὴν, καὶ χρόνον ἱκανὸν εἰς παρασκευὴν δυνάμεως. τὸ μὲν οὖν πρῶτον εἰς Ἐκβάτανα τῆς Μηδίας διανύσας, ἐνταῦθα διέτριβε· καὶ τοὺς μὲν ἐκ τῆς φυγῆς ἀνασωζομένους ἀνεδέχετο, τοὺς δὲ ἀνόπλους καθώπλιζε. μετεπέμπετο δὲ καὶ στρατιώτας ἐκ τῶν πλησιοχώρων ἐθνῶν, καὶ πρὸς τοὺς ἐν Βακτροῖς καὶ ταῖς ἄνω σατραπείαις σατράπας καὶ στρατηγοὺς διεπέμπετο, παρακαλῶν διαφυλάττειν τὴν πρὸς αὐτὸν εὔνοιαν. Ἀλέξανδρος δὲ, μετὰ τὴν νίκην θάψας

τοὺς

τὰς τετελευτηκότας, ἐπέβαλε τοῖς Ἀρβήλοις, καὶ πολλὴν μὲν εὗρεν ἀφθονίαν τῆς τροφῆς, ἐκ ὀλίγον δὲ κόσμον καὶ γάζαν βαρβαρικὴν, ἀργυρίε δὲ τάλαντα τρισχίλια. συλλογισάμενος δὲ τὴν μέλλεσαν ἔσεθαι φθορὰν τε περιέχοντος ἀέρος, διὰ τὸ πλῆθος τῶν νεκρῶν, εὐθὺς ἀνέζευξε, καὶ κατήντησε μετὰ πάσης τῆς δυνάμεως εἰς Βαβυλῶνα. τῶν δ' ἐγχωρίων προθύμως ὑποδεξαμένων αὐτὸν, καὶ κατὰ τὰς ἐπιςαθμίας λαμπρῶς ἑςιώντων τὲς Μακεδόνας, ἀνέλαβε τὴν δύναμιν ἐκ τῆς προγεγενημένης ταλαιπωρίας· πλείες δὲ τῶν τριάκοντα ἡμερῶν ἐνδιέτριψε τῇ πόλει, διά τε τὴν δαψίλειαν τῶν ἐπιτηδείων, καὶ τὴν φιλοξενίαν τῶν ἐγχωρίων· μετὰ δὲ ταῦτα τὴν μὲν ἄκραν παρέδωκε τηρεῖν Ἀγάθωνι τῷ Πυδναίῳ, συςήσας αὐτῷ Μακεδόνας ςρατιώτας ἑπτακοσίες· Ἀπολλόδωρον δὲ τὸν Ἀμφιπολίτην, καὶ Μένητα τὸν Πελλαῖον ἀπέδειξε ςρατηγὲς τῆς τε Βαβυλῶνος καὶ τῶν σατραπειῶν μέχρι Κιλικίας. δὲς δὲ αὐτοῖς ἀργυρίε τάλαντα χίλια, προσέταξε ξενολογεῖν ςρατιώτας ὡς πλείςες. Μιθρίνῃ δὲ τῷ παραδόντι τὴν ἐν Σάρδεσιν ἄκραν, Ἀρμενίαν ἔδωκεν. ἐκ δὲ τῶν ληφθέντων χρημάτων τῶν μὲν ἱππέων ἑκάςῳ ἓξ μνᾶς ἐδωρήσατο, τῶν δὲ συμμάχων, πέντε· τῶν δ' ἐκ τῆς φάλαγγος Μακεδόνων, δύο. τὲς δὲ ξένες διμήνοις μισθοφοραῖς ἐτίμησε πάντας.

Alexander, Arbelis præda capta ingenti, Babylonem ducit,

ubi provincias recens occupatas ordinat.

Τε δὲ βασιλέως ἀναζεύξαντος ἐκ τῆς Βαβυλῶνος, καὶ κατὰ τὴν πορείαν ὄντος, ἧκον πρὸς αὐτὸν παρὰ μὲν Ἀντιπάτρε πεμφθέντες ἱππεῖς μὲν Μακεδόνες πεντακόσιοι, πεζοὶ δὲ ἑξακισχίλιοι· ἐκ δὲ Θρᾴκης ἱππεῖς μὲν ἑξακόσιοι, Τραλλεεῖς δὲ τρισχίλιοι καὶ πεντακόσιοι· ἐκ δὲ Πελοποννήσε πεζοὶ μὲν τετρακισχίλιοι, ἱππεῖς δὲ βραχὺ λείποντες τῶν χιλίων· ἐκ δὲ τῆς Μακεδονίας, τῶν φίλων τε βασιλέως υἱοὶ πεντήκοντα, πρὸς τὴν σωματοφυλακίαν ὑπὸ τῶν πατέρων ἀπεςαλμένοι. ὁ δὲ βασιλεὺς τέτες παραλαβὼν, προῆγε, καὶ κατήντησεν ἑκταῖος εἰς τὴν Σιττακηνὴν ἐπαρχίαν· τῆς δὲ χώρας ταύτης πολλὴν ἀφθονίαν ἐχέσης τῶν ἐπιτηδείων πάντων, ἐν ταύτῃ πλείες ἡμέρας ἔμεινεν, ἅμα μὲν σπεύδων ἐκ τῆς κατὰ τὴν ὁδοιπορίαν ταλαιπωρίας ἀναλαβεῖν τὴν δύναμιν, ἅμα δὲ τῆς ςρατιωτικῆς τάξεως διανοέμενος ἐπιμεληθῆναι, καὶ τὰς ἡγε-

cap. 65. Tum profectus, in ipso itinere novas ex Europa copias recipit.

Inde in Sittacenam regionem progressus,

in re militari nonnulla melius instituit:

ἡγεμονίας ἀναβιβάσαι, καὶ τὴν δύναμιν ἰσχυροποιῆσαι τῷ τε πλήθει καὶ ταῖς ἀρεταῖς τῶν ἡγεμόνων. συντελέσας δὲ τὰ δεδογμένα, καὶ μετὰ πολλῆς ἐπιμελείας περὶ τῶν ἀρίστων κρίσιν ποιησάμενος, καὶ πολλοὺς ἀπὸ τῆς μεγάλης ἡγεμονίας ἐπὶ μεγάλας ἐξουσίας ἀναβιβάσας, πάντας τοὺς ἡγεμόνας εἰς ἀξίωμα μεῖζον καὶ στοργὴν ἰσχυρὰν πρὸς ἑαυτὸν προήγαγεν. ἐπεμελήθη δὲ καὶ τῆς ἰδιωτικῆς τῶν στρατιωτῶν διατάξεως, καὶ πολλὰ πρὸς τὴν εὐχρηστίαν ἐπινοησάμενος, ἐπὶ τὸ κρεῖττον διωρθώσατο. κατασκευάσας δὲ πᾶσαν τὴν στρατιὰν εὐνοίᾳ τε πρὸς τὸν ἡγούμενον διαφέρουσαν, καὶ πρὸς τὰ παραγγελλόμενα πειθαρχοῦσαν, ἔτι δὲ ταῖς ἀνδραγαθίαις ὑπερβάλλουσαν, ἐπὶ τοὺς ὑπολειπομένους ἀγῶνας ὥρμησεν.

deinde in Susianam movet, Susasque ultro in deditionem accipit.

εἰς δὲ τὴν Σουσιανὴν καταντήσας, ἀκινδύνως παρέλαβε τὰ περιβόητα ἐν Σούσοις βασίλεια, ἑκουσίως Ἀβουλήτου τοῦ σατράπου παραδόντος αὐτῷ τὴν πόλιν, ὡς μὲν ἔνιοι γεγράφασι, προστάξαντος Δαρείου τοῖς πεπιστευμένοις ὑπ' αὐτοῦ. τοῦτο δὲ πρᾶξαι τὸν βασιλέα τῶν Περσῶν, ὅπως ὁ μὲν Ἀλέξανδρος εἰς περισπασμοὺς ἀξιολόγους καὶ παραλήψεις ἐπιφανεστάτας τῶν πόλεων καὶ θησαυρῶν μεγάλων ἐμπεσὼν, ἐν ἀσχολίαις ὑπάρχῃ· ὁ δὲ Δαρεῖος τῇ φυγῇ λαμβάνῃ χρόνον εἰς τὴν τοῦ πολέμου παρασκευήν.

cap. 66. Gaza regia Susis inventa describitur.

Ὁ δ' Ἀλέξανδρος, παραλαβὼν τὴν πόλιν καὶ τοὺς ἐν τοῖς βασιλείοις θησαυροὺς, εὗρεν ἀσήμου χρυσοῦ καὶ ἀργύρου πλείω τῶν τετρακισμυρίων ταλάντων. ταῦτα δὲ ἐκ πολλῶν χρόνων οἱ βασιλεῖς ἄθικτα διετήρησαν, πρὸς τὰ παράλογα τῆς τύχης ἀπολιπόντες αὑτοῖς καταφυγάς. χωρὶς δὲ τούτων ὑπῆρχεν ἐννακισχίλια τάλαντα χρυσοῦ, χαρακτῆρα Δαρεικὸν ἔχοντα.

cap. 67. Susis relicta Darii matre cum liberis Alexander Pasitigrin transit.

Μετὰ δὲ ταῦτα τὴν μὲν Δαρείου μητέρα καὶ τὰς θυγατέρας καὶ τὸν υἱὸν ἀνέλιπεν ἐν Σούσοις, καὶ παρακατέστησε τοὺς διδάξοντας τὴν Ἑλληνικὴν διάλεκτον· αὐτὸς δὲ μετὰ τῆς δυνάμεως ἀναζεύξας, τεταρταῖος ἐπὶ τὸν Τίγριν ποταμὸν ἀφίκετο. ὃς ῥέων ἀπὸ τῆς Οὐξίων ὀρεινῆς, τὸ μὲν πρῶτον φέρεται διὰ χώρας τραχείας καὶ χαράδραις μεγάλαις διειλημμένης, ἐπὶ σταδίους χιλίους. ἔπειτα διαῤῥεῖ χώραν πεδιάδα, πραϋνόμενος ἀεὶ μᾶλλον· καὶ διελθὼν σταδίους ἑξακοσίους, ἐξίησιν εἰς τὴν κατὰ Πέρσας

σας θάλασσαν. διαβὰς δὲ τὸν Τίγριν, προῆγεν ἐπὶ τὴν τῶν Ὀυξίων χώραν, ἦσαν πάμφορον καὶ δαψιλέσιν ὕδασι διαῤῥεομένην, καὶ πολλὰς καὶ παντοδαπὰς ἐκφέρουσαν καρπὰς. διὸ καὶ τῆς ὡρίμε ξηραινομένης ὀπώρας παντοδαπὰ πλάσματα χρήσιμα πρὸς ἀπόλαυσιν ὁι τὸν Τίγριν πλέοντες ἔμποροι κατάγουσιν ἐις τὴν Βαβυλωνίαν. Ἐντεῦθεν δ' ἀναζεύξας προῆγεν ἐπὶ τὴν Περσίδα, καὶ πεμπταῖος ἧκεν ἐπὶ τὰς Σουσιάδας καλουμένας πέτρας. ταύτας δὲ προκατειληφὼς ἦν ὁ Ἀριοβαρζάνης, μετὰ στρατιωτῶν πεζῶν μὲν δισμυρίων καὶ πεντακισχιλίων, ἱππέων δὲ τριακοσίων. ὁ δὲ βασιλεὺς, δόξας τῇ βίᾳ κρατήσειν τῆς πύλης, προῆγε διὰ τόπων στενῶν καὶ τραχέων, οὐδενὸς παρενοχλοῦντος. ὁι δὲ Βάρβαροι μέχρι μέν τινος ἔιων αὐτὸν διαπορέυεσθαι τὰς παρόδους, ἐπεὶ δὲ ἐις μέσας τὰς δυσχωρίας ἧκον, ἄφνω τὴν ἐπίθεσιν ἐποιοῦντο, καὶ πολλοὺς μὲν ἁμαξιαίους λίθους ἐπεκύλιον, ὁι προσπίπτοντες ἄφνω τοῖς Μακεδόσι, πολλοὺς διέφθειρον· οὐκ ὀλίγοι δ' ἀπὸ τῶν κρημνῶν ἀκοντίζοντες ἐις πεπυκνωμένους, οὐκ ἀπετύγχανον τῶν σκοπῶν· ἄλλοι δ' ἐκ χειρὸς τοῖς λίθοις βάλλοντες τοὺς βιαζομένους τῶν Μακεδόνων ἀνέστελλον. πολλὰ δ' αὐτοῖς τῆς δυσχωρίας συνεργούσης, ἐπλεονέκτουν, καὶ συχνοὺς μὲν ἀπέκτεινον, οὐκ ὀλίγους δὲ κατετίτρωσκον. ὁ δὲ Ἀλέξανδρος τῇ δεινότητι τοῦ πάθους ἀδυνατῶν βοηθεῖν, καὶ θεωρῶν μηδένα τῶν πολεμίων μήτε τεθνηκότα μήτε ὅλως τετρωμένον, τῶν δὲ ἰδίων ἀπολωλότας μὲν πολλοὺς, κατατετρωμένους δὲ σχεδὸν ἅπαντας τοὺς προσβαλόντας, ἀνεκαλέσατο τῇ σάλπιγγι τοὺς στρατιώτας ἀπὸ τῆς μάχης. ἀναχωρήσας δὲ ἀπὸ τῶν παρόδων σταδίους τριακοσίους, κατεστρατοπέδευσε, καὶ παρὰ τῶν ἐγχωρίων ἐπυνθάνετο μή τις ἑτέρα ἐστὶ διεκβολή. πάντων δ' ἀποφαινομένων δίοδον μὲν μηδεμίαν ἄλλην ὑπάρχειν, περίοδον δὲ ἔιναι πολλῶν ἡμερῶν· αἰσχρὸν ἔιναι νομίσας ἀτάφους ἀπολιπεῖν τοὺς τετελευτηκότας, καὶ τὴν ἄιτησιν τῶν νεκρῶν οὖσαν ὁρῶν ἀσχήμονα καὶ περιέχουσαν ἥττης ὁμολόγησιν, προσέταξεν ἀπαγαγεῖν ἅπαντας τοὺς αἰχμαλώτους. ἐν δὲ τούτοις ἧκεν ἀπαγόμενος ἀνὴρ δίγλωττος, ἐιδὼς τὴν Περσικὴν διάλεκτον· οὗτος δὲ ἑαυτὸν ἀπεφαίνετο Λύκιον μὲν ἔιναι τὸ γένος, αἰχμάλωτον δὲ γενόμενον ποιμαίνειν κατὰ

cap. 68. Progressus versus Persiam usque ad Susiades petras, dum angustias, ab Ariobarzane obsessas, perrumpere conatur, cum ingenti clade repellitur.

E captivis unum alia via secutus, angustias superat, & Ariobarzanem opprimit.

κατὰ τὴν ὑποκειμένην ὀρεινὴν ἔτη πλείω· δι' ἣν αἰτίαν ἔμπειρον γενέσθαι τῆς χώρας, καὶ δύνασθαι τὴν δύναμιν ἀγαγεῖν διὰ τῆς καταδένδρου, καὶ κατόπιν ποιῆσαι τῶν τηρούντων τὰς παρόδους. ὁ δὲ βασιλεὺς, μεγάλαις δωρεαῖς τιμήσειν ἐπαγγειλάμενος τὸν ἄνδρα, τούτου καθηγουμένου διῆλθεν ἐπιπόνως τὴν ὀρεινὴν νυκτὸς, πολλὴν μὲν πατήσας χιόνα, πᾶσαν δὲ κρημνώδη χώραν περάσας, χαράδραις βαθείαις καὶ πολλαῖς φάραγξι διειλημμένην. ἐπιφανεὶς δὲ ταῖς προφυλακαῖς τῶν πολεμίων, τοὺς μὲν πρώτους κατέκοψε, τοὺς δ' ἐπὶ τῆς δευτέρας φυλακῆς τεταγμένους ἐζώγρησε· τοὺς δὲ τρίτους τρεψάμενος, ἐκράτησε τῶν παρόδων, καὶ τοὺς πλείστους τῶν περὶ τὸν Ἀριοβαρζάνην ἀπέκτεινε.

cap. 69. Hinc Persepolin contendens literas a Teridate accipit, qui urbem tradere pollicetur.

Μετὰ δὲ ταῦτα ἐπὶ τὴν Περσέπολιν προάγων, κατὰ τὴν ὁδὸν ἐπιστολὴν ἐκομίσατο παρὰ τοῦ κυριεύοντος τῆς πόλεως Τηριδάτου. ἐν ταύτῃ δ' ἦν γεγραμμένον, ἐὰν παραγενόμενος φθάσῃ τοὺς ἐπιβαλλομένους διατηρῆσαι Δαρείῳ τὴν Περσέπολιν, κύριος ἔσται ταύτης ὑπ' αὐτοῦ παραδοθείσης. διόπερ ὁ Ἀλέξανδρος κατὰ σπουδὴν ἦγε τὴν δύναμιν, καὶ τὸν Ἀράξην ποταμὸν ζεύξας, διεβίβασε τοὺς στρατιώτας.

cap. 70. Persepolis vi capta & vastata,

Τὴν δὲ Περσέπολιν, μητρόπολιν οὖσαν τῆς Περσῶν βασιλείας, ἀπέδειξε τοῖς Μακεδόσι πολεμίαν τῶν κατὰ τὴν Ἀσίαν πόλεων, καὶ τοῖς στρατιώταις ἔδωκεν εἰς διαρπαγὴν, χωρὶς τῶν βασιλείων. πλουσιωτάτης δ' οὔσης τῶν ὑπὸ τὸν ἥλιον, καὶ τῶν ἰδιωτικῶν οἴκων πεπληρωμένων ἐκ πολλῶν χρόνων παντοίας εὐδαιμονίας, οἱ Μακεδόνες ἐπῄεσαν, τοὺς μὲν ἄνδρας πάντας φονεύοντες, τὰς δὲ κτήσεις διαρπάζοντες, πολλὰς μὲν τοῖς πλήθεσιν ὑπαρχούσας, κατασκευῆς δὲ καὶ κόσμου παντοίου γεμούσας. ἡ μὲν οὖν Περσέπολις, ὅσῳ τῶν ἄλλων πόλεων ὑπερεῖχεν εὐδαιμονίᾳ, τοσοῦτον ὑπερεβάλετο τὰς ἄλλας τοῖς ἀτυχήμασιν.

cap. 71. Arx regia exempta a præda.

Ὁ δὲ Ἀλέξανδρος παρελθὼν εἰς τὴν ἄκραν, παρέλαβε τοὺς ἐν αὐτῇ θησαυρούς. οὗτοι δὲ ἀπὸ Κύρου τοῦ πρώτου Περσῶν βαλιλεύσαντος, μέχρι τῶν ὑποκειμένων καιρῶν, ἠθροισμένων τῶν προσόδων, ἔγεμον ἀργύρου τε καὶ χρυσίου. εὑρέθησαν γὰρ ἐν αὐτοῖς δώδεκα μυριάδες ταλάντων, εἰς ἀργυρίου λόγον ἀγομένου τοῦ χρυσίου. βουλόμενος

δὲ

δὲ τῶν χρημάτων ἃ μὲν μεθ' ἑαυτῦ κομίζειν πρὸς τὰς εἰς τὸν πόλεμον χρείας, ἃ δ' εἰς Σῦσα καταθέσθαι, καὶ φυλάττειν ἐν αὐτῇ τῇ πόλει, μετεπέμψατο ἐκ Βαβυλῶνος καὶ Μεσοποταμίας, ἔτι δὲ ἐκ Σύσων ἡμιόνων πλῆθος, τῶν μὲν ἀχθοφόρων, τῶν δὲ ζευγιτῶν, πρὸς δὲ τύτοις καμήλυς ἀχθοφόρυς τρισχιλίας· καὶ διὰ τύτων πάντα ἀπεκόμισεν εἰς τὺς προκριθέντας τόπυς. σφόδρα γὰρ ἀλλοτρίως ἔχων πρὸς τὺς ἐγχωρίυς, ἠπίςει δὲ αὐτοῖς, καὶ τὴν Περσέπολιν εἰς τέλος ἔσπευδε καταφθεῖραι.

Ὁ δὲ Ἀλέξανδρος, ἐπινίκια τῶν κατορθωμάτων ἐπιτελῶν, θυσίας τε μεγαλοπρεπεῖς τοῖς θεοῖς συνετέλεσε, καὶ τῶν φίλων λαμπρὰς ἑςιάσεις ἐποιήσατο. καὶ δή ποτε τῶν ἑταίρων εὐωχυμένων, καὶ τῦ μὲν πότυ προβαίνοντος, τῆς δὲ μέθης προϊύσης, κατέσχε λύσσα ἐπὶ πολὺ τὰς ψυχὰς τῶν οἰνωμένων. ὅτε δὴ καὶ μία τῶν παρυσῶν γυναικῶν, ὄνομα μὲν Θαΐς, Ἀττικὴ δὲ τὸ γένος, εἶπε κάλλιςον Ἀλεξάνδρῳ τῶν κατὰ τὴν Ἀσίαν πεπραγμένων ἔσεσθαι, ἐὰν κωμάσας μετ' αὐτῶν ἐμπρήσῃ τὰ βασίλεια, καὶ τὰ Περσῶν περιβόητα γυναικῶν χεῖρες ἐν βραχεῖ καιρῷ ποιήσωσιν ἄφαντα. τύτων δὲ ῥηθέντων εἰς ἄνδρας νέυς, καὶ διὰ τὴν μέθην ἀλόγως μετεωριζομένυς, ὡς εἰκὸς, ἄγειν τις ἀνεβόησε, καὶ δᾳδας ἅπτειν, καὶ τὴν εἰς τὰ τῶν Ἑλλήνων ἱερὰ παρανομίαν ἀμύνασθαι παρεκελεύετο. συνεπευφημέντων δὲ καὶ ἄλλων, καὶ λεγόντων μόνῳ τὴν πρᾶξιν ταύτην προσήκειν Ἀλεξάνδρῳ, καὶ τῦ βασιλέως συνεξαρθέντος τοῖς λόγοις, πάντες ἀνεπήδησαν ἐκ τῦ πότυ, καὶ τὸν ἐπινίκιον κῶμον ἄγειν Διονύσῳ παρήγγειλαν. ταχὺ δὲ πλήθυς λαμπάδων ἀθροισθέντος, καὶ γυναικῶν μυσυργῶν εἰς τὸν πότον παρειλημμένων, μετ' ᾠδῆς καὶ αὐλῶν καὶ συρίγγων προῆγεν ὁ βασιλεὺς ἐπὶ τὸν κῶμον, καθηγυμένης τῆς πράξεως Θαΐδος τῆς ἑταίρας. αὕτη δὲ μετὰ τὸν βασιλέα πρώτη τὴν δᾳδα καιομένην ἠκόντισεν εἰς τὰ βασίλεια· καὶ τῶν ἄλλων τ' αὐτὰ πραξάντων, ταχὺ πᾶς ὁ περὶ τὰ βασίλεια τόπος κατεφλέχθη, διὰ τὸ μέγεθος τῆς φλογός· καὶ τὸ πάντων παραδοξότατον, τὸ Ξέρξυ τῦ Περσῶν βασιλέως γενόμενον ἀσέβημα περὶ τὴν ἀκρόπολιν τῶν Ἀθηναίων, μία

cap. 72. Victoriam Alexander festis & comessationibus celebrat, inter quas vino inebriatus & Thaidis exhortatione impulsus arcem regiam incendio delet.

μία γυνὴ πολίτης τῶν ἀδικηθέντων, ἐν παιδιᾷ πολλοῖς ὕστερον ἔτεσι μετῆλθε τοῖς αὐτοῖς πάθεσιν.

cap. 73. Tum urbes Persiæ subigit, & castra in Darium movet, qui Bactra confugerat.

Ἀλέξανδρος δὲ ἀπὸ τούτων γενόμενος, τὰς κατὰ τὴν Περσίδα πόλεις ἐπῆλθε, καὶ τὰς μὲν βίᾳ χειρωσάμενος, τὰς δὲ διὰ τὴν ἰδίαν ἐπιείκειαν προσαγόμενος, ἀνεζεύξεν ἐπὶ τὸν Δαρεῖον. οὗτος δ' ἐπεβάλετο μὲν ἀθροίζειν τὰς ἐκ τῆς Βακτριανῆς καὶ τῶν ἄλλων σατραπειῶν δυνάμεις· καταταχούμενος δὲ, καὶ μετὰ τρισμυρίων Περσῶν τε καὶ μισθοφόρων Ἑλλήνων τὴν φυγὴν εἰς τὰ Βάκτρα ποιούμενος, ὑπὸ Βήσσου τοῦ Βάκτρων σατράπου κατὰ τὴν ἀναχώρησιν συλληφθεὶς ἐδολοφονήθη.

Sed Bessus, regionis satrapa, Darium, ante Alexandri adventum, dolo captum obtruncat.

ἄρτι δ' αὐτοῦ τετελευτηκότος, Ἀλέξανδρος μετὰ τῶν ἱππέων ἐπιδιώκων, καὶ τὸν Δαρεῖον τετελευτηκότα καταλαβὼν, τῆς βασιλικῆς ταφῆς ἠξίωσεν. ὡς δ' ἔνιοι γεγράφασιν, ἔμπνουν ἔτι καταλαβὼν, τοῖς μὲν ἀτυχήμασιν αὐτοῦ συνήλγησε, παρακληθεὶς δὲ ὑπὸ τοῦ Δαρείου μετελθεῖν τὸν φόνον, καὶ καθομολογήσας, ἐδίωξε τὸν Βῆσσον. ἐκείνου δὲ πολὺ προειληφότος, καὶ συμφυγόντος εἰς τὴν Βακτριανὴν, ἀπογνοὺς τὸν τῶν πολεμίων διωγμόν.

327 ante Chr. cap. 74. Bessus, in Bactrianam elapsus populo libertatis vindicandæ auctor est, & rex creatur.

Βῆσσος μὲν μετὰ τὴν Δαρείου τελευτὴν μετὰ Ναβαρζάνου καὶ Βαρξάεντος καὶ πολλῶν ἄλλων διαφυγὼν τὰς Ἀλεξάνδρου χεῖρας, διήνυσε μὲν εἰς τὴν Βακτριανὴν, ἀποδεδειγμένος δὲ ταύτης Σατράπης ὑπὸ Δαρείου, καὶ τοῖς πλήθεσι γεγονὼς γνώριμος διὰ τὴν ἀρχὴν, παρεκάλει τὰ πλήθη τῆς ἐλευθερίας ἀντέχεσθαι· ἀπεδείκνυε δὲ τήν τε χώραν αὐτοῖς πολλὰ συνεργήσειν, οὖσαν δυσείσβολον, καὶ πλῆθος ἱκανὸν ἔχουσαν ἀνδρῶν εἰς κατάκτησιν τῆς αὐτονομίας· ἐπαγγελλόμενος δὲ καθηγήσεσθαι τοῦ πολέμου, καὶ τὸ πλῆθος ἱκανῶς πείσας, ἀνέδειξεν ἑαυτὸν βασιλέα. οὗτος μὲν οὖν στρατιώτας τε κατέγραψε, καὶ πλῆθος ὅπλων κατεσκεύαζε, καὶ τὰ ἄλλα φιλοτίμως πρὸς τὴν κατεπείγουσαν χρείαν παρεσκευάζετο.

Alexander suos, qui, Dario occiso, reditum in patriam parabant, oratione donisque ad novam expeditionem concitat.

Ἀλέξανδρος δ' ὁρῶν τοὺς Μακεδόνας τέλος τῆς στρατείας τὴν Δαρείου τελευτὴν τάττοντας, καὶ μετεώρους ὄντας πρὸς τὴν εἰς τὴν πατρίδα ἐπάνοδον, τούτους μὲν ἀθροίσας εἰς ἐκκλησίαν, καὶ λόγοις οἰκείοις παρορμήσας, εὐπειθεῖς πρὸς τὴν ὑπολειπομένην στρατείαν παρεσκεύασε· τοὺς δ' ἀπὸ τῶν Ἑλληνίδων πόλεων συμμαχήσαντας συναγαγὼν, καὶ περὶ τῶν πεπραγμένων

ιένων ἐπαινέσας, ἀπέλυσε μὲν τῆς ςρατείας, ἐδωρήσατο ὲ τῶν μὲν ἱππέων ἑκάςῳ τάλαντον, τῶν δὲ πεζῶν ινᾶς δέκα· χωρὶς δὲ τέτων, τὰς τε ὀφειλομένας μισθὰς ἀπέλυσε, καὶ τὰς κατὰ τὴν ἀνακομιδὴν μέχρι τῆς εἰς τὰς πατρίδας καθόδα προσέθηκε. τῶν δ' ἑλομένων ἐν τῇ ςρατιᾷ τῇ μετὰ τὰ βασιλέως μένειν ἔδωκεν ἑκάςῳ τρία τάλαντα. μεγάλαις δὲ δωρεαῖς ἐτίμησε τὰς ςρατιώτας, ἅμα μὲν φύσει μεγαλόψυχος ὤν, ἅμα δὲ τῇ διώξει τὰ Δαρεία πολλῶν χρημάτων κεκυριευκώς. παρὰ μὲν γὰρ τῶν γαζοφυλακέντων παρέλαβεν ὀκτακισχιλίων ταλάντων ἀριθμόν· χωρὶς δὲ τέτων, τὰ νεμηθέντα τοῖς ςρατιώταις σὺν τῷ κόσμῳ καὶ τοῖς ἐκπώμασιν ὑπῆρχε μύρια καὶ τρισχίλια τάλαντα· τὰ δὲ διακλαπέντα καὶ ἁρπαχθέντα, πλείω τῶν εἰρημένων ὑπενοεῖτο.

Ἀλέξανδρος δὲ τὴν Ὑρκανίαν καὶ τὰ συνορίζοντα τῶν ἐθνῶν ταύτῃ τῇ χώρᾳ Ἀριμασπὰς τὰς ὀνομαζομένας Παροπαμισάδας προσηγάγετο. Ἐντεῦθεν ἀναλαβὼν τὴν δύναμιν, προῆγεν εἰς τὴν Βακτριανὴν, ἀκέων τὸν Βῆσσον διάδημά τε ἀνειληφέναι, καὶ δυνάμεις ἀθροίζειν. καὶ τὰ μὲν περὶ Ἀλέξανδρον ἐν τέτοις ἦν. οἱ δ' εἰς τὴν Ἀρείαν ἀπεςαλμένοι ςρατηγοὶ, καταλαβόντες τὰς ἀφεςηκότας δυνάμεις ἀξιολόγας ἠθροικότας, καὶ ςρατηγὸν ἔχοντας Σατιβαρζάνην, ἄνδρα ςρατηγικὸν, καὶ ἀνδρείᾳ διαφέροντα, κατεςρατοπέδευσαν πλησίον τῶν πολεμίων. γινομένων δὲ πολλάκις ἀκροβολισμῶν, μέχρι μέν τινος μάχαι κατ' ὀλίγας ἐγίνοντο, μετὰ δὲ ταῦτα παρατάξεως γενομένης, καὶ τῶν Βαρβάρων ἰσόμαχον ποιέντων τὸν κίνδυνον, ὁ τῶν ἀποςατῶν ςρατηγὸς Σατιβαρζάνης, ἀφελὼν ταῖς χερσὶ τὸ περὶ τὴν κεφαλὴν κράνος, καὶ δείξας αὐτὸν ὃς ἦν, προεκαλέσατο τὸν βελόμενον τῶν ςρατηγῶν μονομαχῆσαι. ὑπακέσαντος δὲ τὰ Ἐριγυΐα, καὶ γενομένης μάχης ἡρωϊκῆς, συνέβη νικῆσαι τὸν Ἐριγύιον. οἱ δὲ Βάρβαροι, διὰ τὸν τὰ ςρατηγὰ θάνατον καταπλαγέντες, καὶ λαβόντες τὴν ἀσφάλειαν, παρέδωκαν ἑαυτὰς τῷ βασιλεῖ. Βῆσσος δὲ ἑαυτὸν ἀναδεδειχὼς βασιλέα τοῖς θεοῖς ἔθυσε, καὶ τὰς φίλας παραλαβὼν εἰς τὴν εὐωχίαν, κατὰ τὸν πότον διηνέχθη πρός τινα τῶν ἑταίρων, ὄνομα Βαγωδάραν. τῆς δὲ φιλοτιμίας ἐπὶ πλέον προελ-

326 ante Chr. Alexander in Bactrianam digreditur ad opprimendum Bessum.

Satibarzanem Erigyius, certamine singulari victum, occidit.

Bessum captum Alexander Darii fratri supplicio afficiendum tradidit.

μία γυνὴ πολίτης τῶν ἀδικηθέντων, ἐν παιδιξ̃ πολλοῖς ὕστερον ἔτεσι μετῆλθε τοῖς αὐτοῖς πάθεσιν.

cap. 73. Tum urbes Persiæ subigit, & castra in Darium movet, qui Bactra confugerat.

Ἀλέξανδρος δὲ ἀπὸ τούτων γενόμενος, τὰς κατὰ τὴν Περσίδα πόλεις ἐπῆλθε, καὶ τὰς μὲν βίᾳ χειρασάμενος, τὰς δὲ διὰ τὴν ἰδίαν ἐπιείκειαν προσαγόμενος, ἀνεζεύξεν ἐπὶ τὸν Δαρεῖον. οὗτος δ᾽ ἐπεβάλετο μὲν ἀθροίζειν τὰς ἐκ τῆς Βακτριανῆς καὶ τῶν ἄλλων σατραπειῶν δυνάμεις· καταταχούμενος δὲ, καὶ μετὰ τρισμυρίων Περσῶν τε καὶ μισθοφόρων Ἑλλήνων τὴν φυγὴν εἰς τὰ Βάκτρα ποιούμενος, ὑπὸ Βήσσου τοῦ Βάκτρων σατράπου κατὰ τὴν ἀναχώρησιν συλληφθεὶς ἐδολοφονήθη.

Sed Bessus, regionis satrapa, Darium, ante Alexandri adventum, dolo captum obtruncat.

ἄρτι δ᾽ αὐτοῦ τετελευτηκότος, Ἀλέξανδρος μετὰ τῶν ἱππέων ἐπιδιώκων, καὶ τὸν Δαρεῖον τετελευτηκότα καταλαβὼν, τῆς βασιλικῆς ταφῆς ἠξίωσεν. ὡς δ᾽ ἔνιοι γεγράφασιν, ἔμπνουν ἔτι καταλαβὼν, τοῖς μὲν ἀτυχήμασιν αὐτοῦ συνήλγησε, παρακληθεὶς δὲ ὑπὸ τοῦ Δαρείου μετελθεῖν τὸν φόνον, καὶ καθομολογήσας, ἐδίωξε τὸν Βῆσσον. ἐκείνου δὲ πολὺ προειληφότος, καὶ συμφυγόντος εἰς τὴν Βακτριανὴν, ἀπογνοὺς τὸν τῶν πολεμίων διωγμόν.

327 ante Chr. cap. 74. Bessus, in Bactrianam elapsus populo libertatis vindicandæ auctor est, & rex creatur.

Βῆσσος μὲν μετὰ τὴν Δαρείου τελευτὴν μετὰ Ναβαρζάνου καὶ Βαρξάεντος καὶ πολλῶν ἄλλων διαφυγὼν τὰς Ἀλεξάνδρου χεῖρας, διήνυσε μὲν εἰς τὴν Βακτριανὴν, ἀποδεδειγμένος δὲ ταύτης Σατράπης ὑπὸ Δαρείου, καὶ τοῖς πλήθεσι γεγονὼς γνώριμος διὰ τὴν ἀρχὴν, παρεκάλει τὰ πλήθη τῆς ἐλευθερίας ἀντέχεσθαι· ἀπεδείκνυε δὲ τήν τε χώραν αὐτοῖς πολλὰ συνεργήσειν, οὖσαν δυσείσβολον, καὶ πλῆθος ἱκανὸν ἔχουσαν ἀνδρῶν εἰς κατάκτησιν τῆς αὐτονομίας· ἐπαγγελλόμενος δὲ καθηγήσεσθαι τοῦ πολέμου, καὶ τὸ πλῆθος ἱκανῶς πείσας, ἀνέδειξεν ἑαυτὸν βασιλέα. οὗτος μὲν οὖν στρατιώτας τε κατέγραψε, καὶ πλῆθος ὅπλων κατεσκεύαζε, καὶ τὰ ἄλλα φιλοτίμως πρὸς τὴν κατεπείγουσαν χρείαν παρεσκευάζετο.

Alexander suos, qui, Dario occiso, reditum in patriam parabant, oratione donisque ad novam expeditionem concitat.

Ἀλέξανδρος δ᾽ ὁρῶν τοὺς Μακεδόνας τέλος τῆς στρατείας τὴν Δαρείου τελευτὴν τάττοντας, καὶ μετεώρους ὄντας πρὸς τὴν εἰς τὴν πατρίδα ἐπάνοδον, τούτους μὲν ἀθροίσας εἰς ἐκκλησίαν, καὶ λόγοις οἰκείοις παρορμήσας, εὐπειθεῖς πρὸς τὴν ὑπολειπομένην στρατείαν παρεσκεύασε· τοὺς δ᾽ ἀπὸ τῶν Ἑλληνίδων πόλεων συμμαχήσαντας συναγαγὼν, καὶ περὶ τῶν πεπραγμένων

μένων ἐπαινέσας, ἀπέλυσε μὲν τῆς ϛρατείας, ἐδωρήσατο δὲ τῶν μὲν ἱππέων ἑκάϛῳ τάλαντον, τῶν δὲ πεζῶν μνᾶς δέκα· χωρὶς δὲ τȣ́των, τȣ̀ς τε ὀφειλομένȣς μισθȣ̀ς ἀπέλυσε, καὶ τȣ̀ς κατὰ τὴν ἀνακομιδὴν μέχρι τῆς εἰς τὰς πατρίδας καθόδȣ προσέθηκε. τῶν δ' ἑλομένων ἐν τῇ ϛρατιᾷ τῇ μετὰ τȣ̃ βασιλέως μένειν ἔδωκεν ἑκάϛῳ τρία τάλαντα. μεγάλαις δὲ δωρεαῖς ἐτίμησε τȣ̀ς ϛρατιώτας, ἅμα μὲν φύσει μεγαλόψυχος ὤν, ἅμα δὲ τῇ διώξει τȣ̃ Δαρείȣ πολλῶν χρημάτων κεκυριευκώς. παρὰ μὲν γὰρ τῶν γαζοφυλακȣ́ντων παρέλαβεν ὀκτακισχιλίων ταλάντων ἀριθμόν· χωρὶς δὲ τȣ́των, τὰ νεμηθέντα τοῖς ϛρατιώταις σὺν τῷ κόσμῳ καὶ τοῖς ἐκπώμασιν ὑπῆρχε μύρια καὶ τρισχίλια τάλαντα· τὰ δὲ διακλαπέντα καὶ ἁρπαχθέντα, πλείω τῶν εἰρημένων ὑπενοεῖτο.

Ἀλέξανδρος δὲ τὴν Ὑρκανίαν καὶ τὰ συνορίζοντα τῶν ἐθνῶν ταύτῃ τῇ χώρᾳ Ἀριμασπȣ̀ς τȣ̀ς ὀνομαζομένȣς Παροπαμισάδας προσηγάγετο. Ἐντεῦθεν ἀναλαβὼν τὴν δύναμιν, προῆγεν εἰς τὴν Βακτριανὴν, ἀκȣ́ων τὸν Βῆσσον διάδημά τε ἀνειληφέναι, καὶ δυνάμεις ἀθροίζειν. καὶ τὰ μὲν περὶ Ἀλέξανδρον ἐν τȣ́τοις ἦν. οἱ δ' εἰς τὴν Ἀρείαν ἀπεϛαλμένοι ϛρατηγοὶ, καταλαβόντες τȣ̀ς ἀφεϛηκότας δυνάμεις ἀξιολόγȣς ἠθροικότας, καὶ ϛρατηγὸν ἔχοντας Σατιβαρζάνην, ἄνδρα ϛρατηγικὸν, καὶ ἀνδρείᾳ διαφέροντα, κατεϛρατοπέδευσαν πλησίον τῶν πολεμίων. γινομένων δὲ πολλάκις ἀκροβολισμῶν, μέχρι μέν τινος μάχαι κατ' ὀλίγȣς ἐγίνοντο, μετὰ δὲ ταῦτα παρατάξεως γενομένης, καὶ τῶν Βαρβάρων ἰσόμαχον ποιȣ́ντων τὸν κίνδυνον, ὁ τῶν ἀποϛατῶν ϛρατηγὸς Σατιβαρζάνης, ἀφελὼν ταῖς χερσὶ τὸ περὶ τὴν κεφαλὴν κράνος, καὶ δείξας αὐτὸν ὃς ἦν, προεκαλέσατο τὸν βȣλόμενον τῶν ϛρατηγῶν μονομαχῆσαι. ὑπακȣ́σαντος δὲ τȣ̃ Ἐριγυίȣ, καὶ γενομένης μάχης ἡρωϊκῆς, συνέβη νικῆσαι τὸν Ἐριγύιον. οἱ δὲ Βάρβαροι, διὰ τὸν τȣ̃ ϛρατηγȣ̃ θάνατον καταπλαγέντες, καὶ λαβόντες τὴν ἀσφάλειαν, παρέδωκαν ἑαυτȣ̀ς τῷ βασιλεῖ. Βῆσσος δὲ ἑαυτὸν ἀναδεδειχὼς βασιλέα τοῖς θεοῖς ἔθυσε, καὶ τȣ̀ς φίλȣς παραλαβὼν εἰς τὴν εὐωχίαν, κατὰ τὸν πότον διηνέχθη πρός τινα τῶν ἑταίρων, ὄνομα Βαγωδάραν. τῆς δὲ φιλοτιμίας ἐπὶ πλέον προελ-

326 ante Chr. Alexander in Bactrianam digreditur ad opprimendum Bessum.

Satibarzanem Erigyius, certamine singulari victum, occidit.

Bessum captum Alexander Darii fratri supplicio afficiendum tradidit.

προελθέσης, ὁ μὲν Βῆσσος παροξυνθεὶς ἐπεβάλετο τὸν Βαγωδάραν ἀνελεῖν, καὶ ὑπὸ τῶν φίλων πεισθεὶς μετενόησεν. ὁ δὲ τὸν κίνδυνον ἐκφυγὼν, νυκτὸς ἔφυγε πρὸς τὸν Ἀλέξανδρον, τῇ δὲ τέτε σωτηρίᾳ καὶ ταῖς δοθησομέναις ὑπ' Ἀλεξάνδρε δωρεαῖς προκληθέντες οἱ μέγιστοι τῶν ἡγεμόνων, συνεφρόνησαν, καὶ συλλαβόντες τὸν Βῆσσον, ἀπήγαγον πρὸς τὸν Ἀλέξανδρον. ὁ δὲ βασιλεὺς τέτες μὲν ἐτίμησεν ἀξιολόγοις δωρεαῖς, τὸν δὲ Βῆσσον παρέδωκε τῷ ἀδελφῷ τε Δαρείε καὶ τοῖς ἄλλοις συγγενέσιν εἰς τιμωρίαν. οἱ δὲ πᾶσαν ὕβριν καὶ αἰκίαν προσενηνεγκάμενοι, καὶ τὸ σῶμα κατὰ λεπτὸν συγκόψαντες, τὰ μέλη διεσφενδόνησαν.

cap. 77. Alexander luxuria & voluptate diffluere coepit.

Μετὰ δὲ ταῦτα Ἀλέξανδρος δόξας ἤδη κεκρατηκέναι τῆς ἐπιβολῆς, καὶ τὴν βασιλείαν ἀδήριτον ἔχειν, ἤρξατο ζηλεν τὴν Περσικὴν τρυφὴν, καὶ τὴν πολυτέλειαν τῶν Ἀσιανῶν βασιλέων. καὶ πρῶτον μὲν περὶ τὴν αὐλὴν εἶχε ῥαβδέχες Ἀσιαγενεῖς, ἔπειτα τὲς ἐπιφανεστάτες τῶν ἀνδρῶν δορυφορεῖν ἔταξεν, ἐν οἷς ἦν καὶ ὁ Δαρείε ἀδελφὸς Ὀξάθρης. εἶτα τό, τε Περσικὸν διάδημα περιέθετο, καὶ τὸν διάλευκον ἐνεδύσατο χιτῶνα, καὶ τὴν Περσικὴν ζώνην, καὶ τἄλλα, πλὴν τῶν ἀναξυρίδων καὶ τε κάνδυος. διέδωκε δὲ καὶ τοῖς ἑταίροις περιπορφύρες στολὰς, καὶ τοῖς ἵπποις Περσικὰς σκευὰς περιέθηκε. πρὸς δὲ τέτοις τὰς παλλακίδας ὁμοίως τῷ Δαρείῳ περιῆγε, τὸν μὲν ἀριθμὸν ἔσας ἐκ ἐλάττες πλήθει τῶν κατὰ τὸν ἐνιαυτὸν ἡμερῶν, κάλλει δὲ διαπρεπεῖς, ὡς ἂν ἐξ ἁπασῶν τῶν κατὰ τὴν Ἀσίαν γυναικῶν ἐπιλελεγμένας. αὗται δὲ ἑκάστης νυκτὸς περιῄεσαν τὴν κλίνην τε βασιλέως, ἵνα τὴν ἐκλογὴν αὐτὸς ποιήσηται τῆς μελλέσης αὐτῷ συνεῖναι. τέτοις μὲν ἐν τοῖς ἐθισμοῖς Ἀλέξανδρος σπανίως ἐχρῆτο, τοῖς δὲ προϋπάρχεσι κατὰ τὸ πλεῖστον ἐνδιέτριβε, φοβέμενος τὸ προσκόπτειν τοῖς Μακεδόσιν. ὅμως δὲ πολλῶν αὐτῷ μεμψιμοιρέντων, τέτες μὲν ταῖς δωρεαῖς ἐθεράπευεν.

325. 324. ante Christ.

Μετὰ δὲ ταῦτα ὁ Ἀλέξανδρος Βακτριανὲς ἐχειρώσατο καὶ Σογδιανὲς, καὶ ἐμβολὴν εἰς τὴν Ἰνδικὴν ἐποίησε. Ἐντεῦθεν ὑποστρέψας συνῆψε τοῖς Σεσιανοῖς ὅροις. Παρελθὼν δὲ εἰς Σεσα τὴν μὲν πρεσβυτέραν τῶν Δαρείε θυγ-

θυγατέρων Στάτειραν ἔγημε, τὴν δὲ νεωτέραν Ἡφαιςίωνι συνῴκισε Δρυπῆτιν· ἔπεισε δὲ καὶ τὰς ἐπιφανεςάτας τῶν φίλων γῆμαι, καὶ συνῴκισεν αὐτοῖς τὰς εὐγενεςάτας παρθένας Περσίδας. Alexandri nuptiæ cum Statira.

Κατὰ τοῦτον τὸν καιρὸν ἧκον εἰς τὰ Σοῦσα τρισμύριοι τῶν Περσῶν, νέοι μὲν παντελῶς ταῖς ἡλικίαις, ἐπιλελεγμένοι δὲ ταῖς τῶν σωμάτων εὐπρεπείαις τε καὶ ῥώμαις. κατὰ δέ τινας ἐντολὰς τοῦ βασιλέως ἠθροισμένοι, χρόνον ἱκανὸν ἐπιςάτας καὶ διδασκάλους ἐσχηκότες τῶν πολεμικῶν ἔργων· πάντες δὲ Μακεδονικαῖς πανοπλίαις πολυτελῶς κεκοσμημένοι, παρεμβολὴν μὲν ἐποιήσαντο πρὸ τῆς πόλεως· ἐπιδειξάμενοι δὲ τῷ βασιλεῖ τὴν ἐν τοῖς ὅπλοις ἄσκησιν καὶ μελέτην, ἐτιμήθησαν διαφερόντως. τῶν γὰρ Μακεδόνων πρὸς τὴν τοῦ Γάγγου ποταμοῦ διάβασιν ἀντειπόντων, καὶ πολλάκις ἐν ταῖς ἐκκλησίαις καταβοώντων, καὶ τὴν ἐξ Ἄμμωνος γένεσιν διασυρόντων, τοῦτο τὸ σύςημα κατεσκεύασεν ἐκ μιᾶς μὲν ἡλικίας τῶν Περσῶν καὶ ὁμοίας συνεςηκὸς, δυνάμενον δὲ ἀντίταγμα γενέσθαι τῇ Μακεδονικῇ φάλαγγι. cap. 108. xxx m. juvenum Persarum, ad artem bellicam exercitatorum. Πολλοὺς δὲ τῶν σατραπῶν κατηγορηθέντας ἀνεῖλε· ἔπειτα ἐπιλέξας τοὺς πρεσβυτάτους τῶν πολιτῶν, ἀπέλυσε τῆς ςρατείας, ὄντας ὡς μυρίους. πυνθανόμενος δὲ πολλοὺς αὐτῶν εἶναι καταδανείους, ἐν ἡμέρᾳ μιᾷ τὰ δάνεια βραχὺ λείποντα τῶν μυρίων ταλάντων διέλυσε. cap. 109. Militiæ vacatio ætate provectioribus data. τῶν δὲ ἀπολειπομένων Μακεδόνων ἀπειθούντων, καὶ κατὰ τὴν ἐκκλησίαν καταβοώντων, παροξυνθεὶς κατηγόρησεν αὐτῶν τεθαῤῥηκότως. καταπληξάμενος δὲ τὸ πλῆθος, ἐτόλμησεν αὐτὸς καταβὰς ἀπὸ τοῦ βήματος, τοὺς αἰτίους τῆς ταραχῆς ταῖς ἰδίαις χερσὶ παραδοῦναι τοῖς ὑπηρέταις πρὸς τὴν τιμωρίαν. In seditiosos severissime animadversum. ἐπὶ πολὺ δὲ τῆς διαφορᾶς αὐξανομένης, ὁ μὲν βασιλεὺς ἐκ τῶν ἐκλελεγμένων Περσῶν ἡγεμόνας κατέςησε, καὶ τούτους προῆγεν ἐπὶ τὸ πρωτεῖον· οἱ δὲ Μακεδόνες μετανοήσαντες, καὶ πολλὰ μετὰ δακρύων δεηθέντες, μόγις ἔπεισαν τὸν Ἀλέξανδρον αὐτοῖς διαλλαγῆναι.

Αὐτὸς δὲ εἰς τὸν τῶν ἀπολελυμένων ἀριθμὸν ἀνεπλήρωσεν ἐκ τῶν Περσῶν, καὶ χιλίους αὐτῶν εἰς τοὺς περὶ τὴν αὐλὴν ἔταξεν ὑπασπιςάς· καὶ τὸ σύνολον οὐχ ἧττους εἰς πίςιν τῶν Μακεδόνων ὑπέλαβεν. ἧκε δὲ κατὰ τοῦτον τὸν cap. 110. Imminutæ copiæ multis augmentis explentur.

τὸν καιρὸν καὶ Πευκέστης, ἄγων Πέρσας τοξότας καὶ σφενδονήτας δισμυρίους· καταμίξας δὲ τούτους τοῖς προϋπάρχουσι στρατιώταις, τῇ καινότητι τῆς καινοτομίας κατεσκεύασε τὴν ὅλην δύναμιν κεκραμένην καὶ ἁρμόζουσαν τῇ ἰδίᾳ προαιρέσει. τῶν δὲ Μακεδόνων ἐκ τῶν αἰχμαλωτίδων γεγεννηκότων υἱοὺς, τὸν ἀριθμὸν τῶν παίδων ἀκριβῶς ἐσκέψατο. ὄντων δ' αὐτῶν σχεδὸν μυρίων, ἅπασι τὰς ἁρμοζούσας πρὸς τροφὴν ἐλευθέριον συντάξεις ἀπομερίσας, τούτοις μὲν παιδευτὰς ἐπέστησε τοὺς διδάξοντας τὴν ἁρμόζουσαν παιδείαν·

Susis profectus rex, iter persequitur per Caras,

αὐτὸς δὲ ἀναλαβὼν τὴν δύναμιν, προῆγεν ἐκ τῶν Σούσων· καὶ διαβὰς τὸν Τίγριν, ἐν ταῖς Κάραις καλουμέναις κώμαις κατεστρατοπέδευσεν.

Sittam, Sambana,

ἑξῆς δ' ἐν ἡμέραις τέτταρσι τὴν Σίταν διανύσας, ἧκεν εἰς τὰ καλούμενα Σάμβανα. ἐνταῦθα δὲ μείνας ἡμέρας ἑπτὰ, καὶ προσαναλαβὼν τὴν

Celonas,

δύναμιν, τριταῖος εἰς τοὺς Κέλωνας προσαγορευομένους ἧκεν, ἐν ᾧ μέχρι νῦν διαμένει γένος Βοιώτιον, κατὰ μὲν τὴν Ξέρξου στρατείαν ἀνάστατον γεγονὸς, μεμνημένον δ' ἔτι τῶν πατρίων νόμων. ὄντες γὰρ οὗτοι δίφωνοι, τῇ μὲν ἑτέρᾳ διαλέκτῳ ἐξωμοιώθησαν τοῖς ἐγχωρίοις, τῇ δ' ἑτέρᾳ πλείστας τῶν Ἑλληνικῶν λέξεων διετήρουν, καὶ τῶν ἐπιτηδευμάτων ἔνια διεφύλαττον.

Bagistamen, & vicinam regionem:

τέλος δὲ προσμείνας ἡμέρας ἀνέζευξε, καὶ παρεγκλίνας τὴν ὑποκειμένην ὁδὸν, θέας ἕνεκεν ἦλθεν εἰς τὴν ὀνομαζομένην Βαγιστάμην, θεοπρεπεστάτην τε χώραν οὖσαν, καὶ πλήρη καρπίμων δένδρων, καὶ τῶν ἄλλων ἁπάντων τῶν πρὸς ἀπόλαυσιν ἀνηκόντων. μετὰ δὲ ταῦτα, παρελθὼν εἴς τινα χώραν δυναμένην ἐκτρέφειν ἀγέλας παμπληθεῖς ἵππων, (ἐν ᾗ τὸ παλαιὸν ἔφασαν ἑκκαίδεκα μυριάδας ἵππων γεγονέναι φορβάδων, κατὰ δὲ τὴν Ἀλεξάνδρου παρουσίαν ἓξ μόναι μυριάδες ἠριθ-

denique Ecbatana Mediæ attingit, ubi diutius subsistit.

μήθησαν) ἐνταῦθα διαμείνας ἡμέρας τριάκοντα, ἑβδομαῖος διήνυσεν εἰς Ἐκβάτανα τῆς Μηδίας. ταύτης δέ φασι διακοσίων μὲν καὶ πεντήκοντα σταδίων τὴν περίμετρον ὑπάρχειν, βασίλεια δ' ἔχειν τῆς ὅλης Μηδίας, καὶ θησαυροὺς πολλῶν χρημάτων. ἔνθα δὴ χρόνον τινὰ τὴν δύναμιν ἀναλαβὼν, ἀγῶνάς τε θυμελικοὺς ἐποίει καὶ πότους

Hic Hephæstio moritur, cujus corpus Babylonem defertur.

συνεχεῖς τῶν φίλων, ἐν οἷς Ἡφαιστίων ἀκαίροις μέθαις χρησάμενος, καὶ περιπεσὼν ἀῤῥωστίᾳ, τὸν βίον ἐξέλιπεν. ὁ δὲ βασιλεὺς χαλεπῶς ἐνέγκας τὸ συμβὰν, τὸ σῶμα τοῦ

τετε-

τετελευτηκότος Περδίκκα παρέδωκεν εἰς Βαβυλῶνα κομίσαι, βȣλόμενος ἐπιφανεςάτην αὐτȣ̃ ποιήσασθαι τὴν ταφήν. ὁ δ' Ἀλέξανδρος, τῶν Κοσσαίων ἀπειθέντων, ἐςράτευσεν ἐπ' αὐτȣ̀ς εὐζώνῳ τῇ δυνάμει. καὶ καταπεπολεμηκὼς αὐτȣ̀ς, ἀνέζευξε μετὰ τῆς δυνάμεως καὶ προῆγεν ἐπὶ τῆς Βαβυλῶνος. τῶν δὲ ἐγχωρίων, καθάπερ καὶ πρότερον, φιλανθρώπως ὑποδεχομένων τȣ̀ς ςρατιώτας, ἅπαντες ὥρμησαν πρὸς ἄνεσιν καὶ τρυφὴν, πολλῆς τῶν ἐπιτηδείων παρεσκευασμένης δαψιλείας.

Cossæis subactis Babylonem se recipit.

Κατὰ δὲ τȣ̃τον τὸν χρόνον ἐξ ἁπάσης σχεδὸν τῆς οἰκȣμένης ἧκον πρέσβεις, οἱ μὲν συγχαίροντες ἐπὶ τοῖς κατορθώμασιν, οἱ δὲ ςεφανȣ̃ντες, ἄλλοι δὲ φιλίας καὶ συμμαχίας τιθέμενοι, πολλοὶ δὲ δωρεὰς μεγαλοπρεπεῖς κομίζοντες· τινὲς δὲ ὑπὲρ τῶν ἐγκαλȣμένων ἀπολογȣ́μενοι· χωρὶς γὰρ τῶν ἀπὸ τῆς Ἀσίας ἐθνῶν καὶ πόλεων, ἔτι δὲ δυναςῶν, πολλοὶ καὶ τῶν ἐκ τῆς Εὐρώπης καὶ Λιβύης κατήντησαν· ἐκ μὲν Λιβύης Καρχηδόνιοι καὶ Λιβυφοίνικες, καὶ πάντες οἱ τὴν παράλιον οἰκȣ̃ντες μέχρι τῶν Ἡρακλείων· ἐκ δὲ τῆς Εὐρώπης αἵ τε τῶν Ἑλλήνων πόλεις ἐξέπεμψαν, καὶ Μακεδόνες· ἔτι δὲ Ἰλλυριοὶ, καὶ τῶν περὶ τὸν Ἀδρίαν οἰκȣ́ντων οἱ πλεῖȣς, τά τε Θρᾴκια γένη, καὶ τῶν πλησιοχώρων Γαλατῶν, ὧν τότε πρῶτον τὸ γένος ἐγνώσθη παρὰ τοῖς Ἕλλησιν. ὁ δὲ Ἀλέξανδρος ἀπογραφὴν λαβὼν τῶν πρέσβεων, διέταξε τοῖς μὲν πρώτοις διδόναι τὰς ἀποκρίσεις, καὶ τοῖς ἑξῆς ἅπασι. καὶ πρώτοις μὲν ἐχρημάτισε τοῖς ὑπὲρ τῶν ἱερῶν παραγεγενημένοις, δευτέροις δὲ τοῖς περὶ τῶν δωρεῶν ἥκȣσιν, ἑξῆς δὲ τοῖς ἀμφισβητήσεις ἔχȣσι πρὸς τȣ̀ς ὁμόρȣς, τετάρτοις δὲ τοῖς περὶ τῶν ἰδιωτικῶν ἥκȣσι, πέμπτοις δὲ τοῖς ἀντιλέγȣσι περὶ τῆς καθόδȣ τῶν φυγάδων. τοῖς μὲν ȣ̃ν Ἠλείοις πρώτοις ἐχρημάτισεν, εἶτ' Ἀμμωνιεῦσι καὶ Δελφοῖς καὶ Κορινθίοις, ἔτι δὲ Ἐπιδαυρίοις, καὶ τοῖς ἄλλοις, κατὰ τὴν δόξαν τῶν ἱερῶν προκρίνων τὰς ἐντεύξεις. πάσαις δὲ ταῖς πρεσβείαις φιλοτιμηθεὶς κεχαρισμένας δȣ̃ναι τὰς ἀποκρίσεις, εὐαρεςȣμένας ἀπέλυσε κατὰ τὸ δυνατόν.

322 ante Chr.
cap. 113.
Babylone convenerunt undique legati,

quos Alexander, in classes divisos, ordine in colloquium admittit.

κατὰ τὴν ὑποκειμένην ὀρεινὴν ἔτη πλείω· δι᾽ ἣν αἰτίαν ἔμπειρον γενέσθαι τῆς χώρας, καὶ δύνασθαι τὴν δύναμιν ἀγαγεῖν διὰ τῆς καταδένδρε, καὶ κατόπιν ποιῆσαι τῶν τηρέντων τὰς παρόδες. ὁ δὲ βασιλεὺς, μεγάλαις δωρεαῖς τιμήσειν ἐπαγγειλάμενος τὸν ἄνδρα, τέτε καθηγεμένε διῆλθεν ἐπιπόνως τὴν ὀρεινὴν νυκτὸς, πολλὴν μὲν πατήσας χιόνα, πᾶσαν δὲ κρημνώδη χώραν περάσας, χαράδραις βαθείαις καὶ πολλαῖς φάραγξι διειλημμένην. ἐπιφανεὶς δὲ ταῖς προφυλακαῖς τῶν πολεμίων, τὲς μὲν πρώτες κατέκοψε, τὲς δ᾽ ἐπὶ τῆς δευτέρας φυλακῆς τεταγμένες ἐζώγρησε· τὲς δὲ τρίτες τρεψάμενος, ἐκράτησε τῶν παρόδων, καὶ τὲς πλείςες τῶν περὶ τὸν Ἀριοβαρζάνην ἀπέκτεινε.

cap. 69. Hinc Persepolin contendens literas a Teridate accipit, qui urbem tradere pollicetur.

Μετὰ δὲ ταῦτα ἐπὶ τὴν Περσέπολιν προάγων, κατὰ τὴν ὁδὸν ἐπιςολὴν ἐκομίσατο παρὰ τε κυριεύοντος τῆς πόλεως Τηριδάτε. ἐν ταύτῃ δ᾽ ἦν γεγραμμένον, ἐὰν παραγενόμενος φθάσῃ τὲς ἐπιβαλλομένες διατηρῆσαι Δαρείῳ τὴν Περσέπολιν, κύριος ἔςαι ταύτης ὑπ᾽ αὐτε παραδοθείσης. διόπερ ὁ Ἀλέξανδρος κατὰ σπεδὴν ἦγε τὴν δύναμιν, καὶ τὸν Ἀράξην ποταμὸν ζεύξας, διεβίβασε τὲς ςρατιώτας.

cap. 70. Persepolis vi capta & vastata,

Τὴν δὲ Περσέπολιν, μητρόπολιν ἔσαν τῆς Περσῶν βασιλείας, ἀπέδειξε τοῖς Μακεδόσι πολεμίαν τῶν κατὰ τὴν Ἀσίαν πόλεων, καὶ τοῖς ςρατιώταις ἔδωκεν εἰς διαρπαγὴν, χωρὶς τῶν βασιλείων. πλεσιωτάτης δ᾽ ἔσης τῶν ὑπὸ τὸν ἥλιον, καὶ τῶν ἰδιωτικῶν οἴκων πεπληρωμένων ἐκ πολλῶν χρόνων παντοίας εὐδαιμονίας, οἱ Μακεδόνες ἐπήεσαν, τὲς μὲν ἄνδρας πάντας φονεύοντες, τὰς δὲ κτήσεις διαρπάζοντες, πολλὰς μὲν τοῖς πλήθεσιν ὑπαρχέσας, κατασκευῆς δὲ καὶ κόσμε παντοίε γεμέσας. ἡ μὲν ἔν Περσέπολις, ὅσῳ τῶν ἄλλων πόλεων ὑπερεῖχεν εὐδαιμονίᾳ, τοσἔτον ὑπερεβάλετο τὰς ἄλλας τοῖς ἀτυχήμασιν.

cap. 71. Arx regia exempta a præda.

Ὁ δὲ Ἀλέξανδρος παρελθὼν εἰς τὴν ἄκραν, παρέλαβε τὲς ἐν αὐτῇ θησαυρές. ἔτοι δὲ ἀπὸ Κύρε τε πρώτε Περσῶν βαλιλεύσαντος, μέχρι τῶν ὑποκειμένων καιρῶν, ἠθροισμένων τῶν προσόδων, ἔγεμον ἀργύρε τε καὶ χρυσίε. εὑρέθησαν γὰρ ἐν αὐτοῖς δώδεκα μυριάδες ταλάντων, εἰς ἀργυρίε λόγον ἀγομένε τε χρυσίε. βελόμενος δὲ

δὲ τῶν χρημάτων ἃ μὲν μεθ' ἑαυτοῦ κομίζειν πρὸς τὰς εἰς τὸν πόλεμον χρείας, ἃ δ' εἰς Σοῦσα καταθέσθαι, καὶ φυλάττειν ἐν αὐτῇ τῇ πόλει, μετεπέμψατο ἐκ Βαβυλῶνος καὶ Μεσοποταμίας, ἔτι δὲ ἐκ Σούσων ἡμιόνων πλῆθος, τῶν μὲν ἀχθοφόρων, τῶν δὲ ζευγιτῶν, πρὸς δὲ τούτοις καμήλους ἀχθοφόρους τρισχιλίας· καὶ διὰ τούτων πάντα ἀπεκόμισεν εἰς τοὺς προκριθέντας τόπους. σφόδρα γὰρ ἀλλοτρίως ἔχων πρὸς τοὺς ἐγχωρίους, ἠπίστει δὲ αὐτοῖς, καὶ τὴν Περσέπολιν εἰς τέλος ἔσπευδε καταφθεῖραι.

cap. 72. Victoriam Alexander festis & comessationibus celebrat, inter quas vino inebriatus & Thaidis exhortatione impulsus arcem regiam incendio delet.

Ὁ δὲ Ἀλέξανδρος, ἐπινίκια τῶν κατορθωμάτων ἐπιτελῶν, θυσίας τε μεγαλοπρεπεῖς τοῖς θεοῖς συνετέλεσε, καὶ τῶν φίλων λαμπρὰς ἑστιάσεις ἐποιήσατο. καὶ δή ποτε τῶν ἑταίρων εὐωχουμένων, καὶ τοῦ μὲν πότου προβαίνοντος, τῆς δὲ μέθης προϊούσης, κατέσχε λύσσα ἐπὶ πολὺ τὰς ψυχὰς τῶν οἰνωμένων. ὅτε δὴ καὶ μία τῶν παρουσῶν γυναικῶν, ὄνομα μὲν Θαῒς, Ἀττικὴ δὲ τὸ γένος, εἶπε κάλλιστον Ἀλεξάνδρῳ τῶν κατὰ τὴν Ἀσίαν πεπραγμένων ἔσεσθαι, ἐὰν κωμάσας μετ' αὐτῶν ἐμπρήσῃ τὰ βασίλεια, καὶ τὰ Περσῶν περιβόητα γυναικῶν χεῖρες ἐν βραχεῖ καιρῷ ποιήσωσιν ἄφαντα. τούτων δὲ ῥηθέντων εἰς ἄνδρας νέους, καὶ διὰ τὴν μέθην ἀλόγως μετεωριζομένους, ὡς εἰκὸς, ἄγειν τις ἀνεβόησε, καὶ δᾷδας ἅπτειν, καὶ τὴν εἰς τὰ τῶν Ἑλλήνων ἱερὰ παρανομίαν ἀμύνασθαι παρεκελεύετο. συνεπευφημούντων δὲ καὶ ἄλλων, καὶ λεγόντων μόνῳ τὴν πρᾶξιν ταύτην προσήκειν Ἀλεξάνδρῳ, καὶ τοῦ βασιλέως συνεξαρθέντος τοῖς λόγοις, πάντες ἀνεπήδησαν ἐκ τοῦ πότου, καὶ τὸν ἐπινίκιον κῶμον ἄγειν Διονύσῳ παρήγγειλαν. ταχὺ δὲ πλήθους λαμπάδων ἀθροισθέντος, καὶ γυναικῶν μουσουργῶν εἰς τὸν πότον παρειλημμένων, μετ' ᾠδῆς καὶ αὐλῶν καὶ συρίγγων προῆγεν ὁ βασιλεὺς ἐπὶ τὸν κῶμον, καθηγουμένης τῆς πράξεως Θαΐδος τῆς ἑταίρας. αὕτη δὲ μετὰ τὸν βασιλέα πρώτη τὴν δᾷδα καιομένην ἠκόντισεν εἰς τὰ βασίλεια· καὶ τῶν ἄλλων τ' αὐτὰ πραξάντων, ταχὺ πᾶς ὁ περὶ τὰ βασίλεια τόπος κατεφλέχθη, διὰ τὸ μέγεθος τῆς φλογός· καὶ τὸ πάντων παραδοξότατον, τὸ Ξέρξου τοῦ Περσῶν βασιλέως γενόμενον ἀσέβημα περὶ τὴν ἀκρόπολιν τῶν Ἀθηναίων,

μία

μία γυνὴ πολίτης τῶν ἀδικηθέντων, ἐν παιδὶ ἐ πολλοῖς ὕςερον ἔτεσι μετῆλθε τοῖς αὐτοῖς πάθεσιν.

cap. 73. Tum urbes Persiæ subigit, & castra in Darium movet, qui Bactra confugerat.

Ἀλέξανδρος δὲ ἀπὸ τέτων γενόμενος, τὰς κατὰ τὴν Περσίδα πόλεις ἐπῆλθε, καὶ τὰς μὲν βίᾳ χειρασάμενος, τὰς δὲ διὰ τὴν ἰδίαν ἐπιείκειαν προσαγόμενος, ἀνεζεύξεν ἐπὶ τὸν Δαρεῖον. ὗτος δ' ἐπεβάλετο μὲν ἀθροίζειν τὰς ἐκ τῆς Βακτριανῆς καὶ τῶν ἄλλων σατραπειῶν δυνάμεις· καταταχέμενος δὲ, καὶ μετὰ τρισμυρίων Περσῶν τε καὶ μισθοφόρων Ἑλλήνων τὴν φυγὴν εἰς τὰ Βάκτρα ποιέμενος, ὑπὸ Βήσσε τε Βάκτρων σατράπε κατὰ τὴν ἀναχώρησιν συλληφθεὶς ἐδολοφονήθη.

Sed Bessus, regionis satrapa, Darium, ante Alexandri adventum, dolo captum obtruncat.

ἄρτι δ' αὐτε τετελευτηκότος, Ἀλέξανδρος μετὰ τῶν ἱππέων ἐπιδιώκων, καὶ τὸν Δαρεῖον τετελευτηκότα καταλαβὼν, τῆς βασιλικῆς ταφῆς ἠξίωσεν. ὡς δ' ἔνιοι γεγράφασιν, ἔμπνεν ἔτι καταλαβὼν, τοῖς μὲν ἀτυχήμασιν αὐτε συνήλγησε, παρακληθεὶς δὲ ὑπὸ τε Δαρείε μετελθεῖν τὸν φόνον, καὶ καθομολογήσας, ἐδίωξε τὸν Βῆσσον. ἐκείνε δὲ πολὺ προειληφότος, καὶ συμφυγόντος εἰς τὴν Βακτριανὴν, ἀπογνὲς τὸν τῶν πολεμίων διωγμόν.

327 ante Chr. cap. 74. Bessus, in Bactrianam elapsus populo libertatis vindicandæ auctor est, & rex creatur.

Βῆσσος μὲν μετὰ τὴν Δαρείε τελευτὴν μετὰ Ναβαρζάνε καὶ Βαρξάεντος καὶ πολλῶν ἄλλων διαφυγὼν τὰς Ἀλεξάνδρε χεῖρας, διήνυσε μὲν εἰς τὴν Βακτριανὴν, ἀποδεδειγμένος δὲ ταύτης Σατράπης ὑπὸ Δαρείε, καὶ τοῖς πλήθεσι γεγονὼς γνώριμος διὰ τὴν ἀρχὴν, παρεκάλει τὰ πλήθη τῆς ἐλευθερίας ἀντέχεσθαι· ἀπεδείκνυε δὲ τήν τε χώραν αὐτοῖς πολλὰ συνεργήσειν, ὖσαν δυσείσβολον, καὶ πλῆθος ἱκανὸν ἔχεσαν ἀνδρῶν εἰς κατάκτησιν τῆς αὐτονομίας· ἐπαγγελλόμενος δὲ καθηγήσεσθαι τε πολέμε, καὶ τὸ πλῆθος ἱκανῶς πείσας, ἀνέδειξεν ἑαυτὸν βασιλέα. ὗτος μὲν ὖν ςρατιώτας τε κατέγραψε, καὶ πλῆθος ὅπλων κατεσκεύαζε, καὶ τὰ ἄλλα φιλοτίμως πρὸς τὴν κατεπείγεσαν χρείαν παρεσκευάζετο.

Alexander suos, qui, Dario occiso, reditum in patriam parabant, oratione donisque ad novam expeditionem concitat.

Ἀλέξανδρος δ' ὁρῶν τὲς Μακεδόνας τέλος τῆς ςρατείας τὴν Δαρείε τελευτὴν τάττοντας, καὶ μετεώρες ὄντας πρὸς τὴν εἰς τὴν πατρίδα ἐπάνοδον, τέτες μὲν ἀθροίσας εἰς ἐκκλησίαν, καὶ λόγοις οἰκείοις παρορμήσας, εὐπειθεῖς πρὸς τὴν ὑπολειπομένην ςρατείαν παρεσκεύασε· τὲς δ' ἀπὸ τῶν Ἑλληνίδων πόλεων συμμαχήσαντας συναγαγὼν, καὶ περὶ τῶν πεπραγμένων

μένων ἐπαινέσας, ἀπέλυσε μὲν τῆς στρατείας, ἐδωρήσατο δὲ τῶν μὲν ἱππέων ἑκάστῳ τάλαντον, τῶν δὲ πεζῶν μνᾶς δέκα· χωρὶς δὲ τούτων, τοὺς τε ὀφειλομένους μισθοὺς ἀπέλυσε, καὶ τοὺς κατὰ τὴν ἀνακομιδὴν μέχρι τῆς εἰς τὰς πατρίδας καθόδου προσέθηκε. τῶν δ᾽ ἑλομένων ἐν τῇ στρατιᾷ τῇ μετὰ τοῦ βασιλέως μένειν ἔδωκεν ἑκάστῳ τρία τάλαντα. μεγάλαις δὲ δωρεαῖς ἐτίμησε τοὺς στρατιώτας, ἅμα μὲν φύσει μεγαλόψυχος ὤν, ἅμα δὲ τῇ διώξει τοῦ Δαρείου πολλῶν χρημάτων κεκυριευκώς. παρὰ μὲν γὰρ τῶν γαζοφυλακούντων παρέλαβεν ὀκτακισχιλίων ταλάντων ἀριθμόν· χωρὶς δὲ τούτων, τὰ νεμηθέντα τοῖς στρατιώταις σὺν τῷ κόσμῳ καὶ τοῖς ἐκπώμασιν ὑπῆρχε μύρια καὶ τρισχίλια τάλαντα· τὰ δὲ διακλαπέντα καὶ ἁρπαχθέντα, πλείω τῶν εἰρημένων ὑπενοεῖτο.

Ἀλέξανδρος δὲ τὴν Ὑρκανίαν καὶ τὰ συνορίζοντα τῶν ἐθνῶν ταύτῃ τῇ χώρᾳ Ἀριμασποὺς τοὺς ὀνομαζομένους Παροπαμισάδας προσηγάγετο. Ἐντεῦθεν ἀναλαβὼν τὴν δύναμιν, προῆγεν εἰς τὴν Βακτριανήν, ἀκούων τὸν Βῆσσον διάδημά τε ἀνειληφέναι, καὶ δυνάμεις ἀθροίζειν. καὶ τὰ μὲν περὶ Ἀλέξανδρον ἐν τούτοις ἦν. οἱ δ᾽ εἰς τὴν Ἀρείαν ἀπεσταλμένοι στρατηγοί, καταλαβόντες τοὺς ἀφεστηκότας δυνάμεις ἀξιολόγους ἠθροικότας, καὶ στρατηγὸν ἔχοντας Σατιβαρζάνην, ἄνδρα στρατηγικόν, καὶ ἀνδρείᾳ διαφέροντα, κατεστρατοπέδευσαν πλησίον τῶν πολεμίων. γινομένων δὲ πολλάκις ἀκροβολισμῶν, μέχρι μέν τινος μάχαι κατ᾽ ὀλίγους ἐγίνοντο, μετὰ δὲ ταῦτα παρατάξεως γενομένης, καὶ τῶν Βαρβάρων ἰσόμαχον ποιούντων τὸν κίνδυνον, ὁ τῶν ἀποστατῶν στρατηγὸς Σατιβαρζάνης, ἀφελὼν ταῖς χερσὶ τὸ περὶ τὴν κεφαλὴν κράνος, καὶ δείξας αὐτὸν ὃς ἦν, προεκαλέσατο τὸν βουλόμενον τῶν στρατηγῶν μονομαχῆσαι. ὑπακούσαντος δὲ τοῦ Ἐριγυίου, καὶ γενομένης μάχης ἡρωϊκῆς, συνέβη νικῆσαι τὸν Ἐριγύιον. οἱ δὲ Βάρβαροι, διὰ τὸν τοῦ στρατηγοῦ θάνατον καταπλαγέντες, καὶ λαβόντες τὴν ἀσφάλειαν, παρέδωκαν ἑαυτοὺς τῷ βασιλεῖ. Βῆσσος δὲ ἑαυτὸν ἀναδεδειχὼς βασιλέα τοῖς θεοῖς ἔθυσε, καὶ τοὺς φίλους παραλαβὼν εἰς τὴν εὐωχίαν, κατὰ τὸν πότον διηνέχθη πρός τινα τῶν ἑταίρων, ὄνομα Βαγωδάραν. τῆς δὲ φιλοτιμίας ἐπὶ πλέον προελ-

326 ante Chr. Alexander in Bactrianam digreditur ad opprimendum Bessum.

Satibarzanem Erigyius, certamine singulari victum, occidit.

Bessum captum Alexander Darii fratri supplicio afficiendum tradidit.

προελθέσης, ὁ μὲν Βῆσσος παροξυνθεὶς ἐπεβάλετο τὸν Βαγαδάραν ἀνελεῖν, καὶ ὑπὸ τῶν φίλων πεισθεὶς μετενόησεν. ὁ δὲ τὸν κίνδυνον ἐκφυγὼν, νυκτὸς ἔφυγε πρὸς τὸν Ἀλέξανδρον, τῇ δὲ τέτε σωτηρίᾳ καὶ ταῖς δοθησομέναις ὑπ' Ἀλεξάνδρε δωρεαῖς προκληθέντες οἱ μέγιστοι τῶν ἡγεμόνων, συνεφρόνησαν, καὶ συλλαβόντες τὸν Βῆσσον, ἀπήγαγον πρὸς τὸν Ἀλέξανδρον. ὁ δὲ βασιλεὺς τέτες μὲν ἐτίμησεν ἀξιολόγοις δωρεαῖς, τὸν δὲ Βῆσσον παρέδωκε τῷ ἀδελφῷ τε Δαρείε καὶ τοῖς ἄλλοις συγγενέσιν εἰς τιμωρίαν. οἱ δὲ πᾶσαν ὕβριν καὶ αἰκίαν προσενεγκάμενοι, καὶ τὸ σῶμα κατὰ λεπτὸν συγκόψαντες, τὰ μέλη διεσφενδόνησαν.

cap. 77. Alexander luxuria & voluptate diffluere coepit.

Μετὰ δὲ ταῦτα Ἀλέξανδρος δόξας ἤδη κεκρατηκέναι τῆς ἐπιβολῆς, καὶ τὴν βασιλείαν ἀδήριτον ἔχειν, ἤρξατο ζηλεν τὴν Περσικὴν τρυφὴν, καὶ τὴν πολυτέλειαν τῶν Ἀσιανῶν βασιλέων. καὶ πρῶτον μὲν περὶ τὴν αὐλὴν εἶχε ῥαβδέχες Ἀσιαγενεῖς, ἔπειτα τὲς ἐπιφανεστάτες τῶν ἀνδρῶν δορυφορεῖν ἔταξεν, ἐν οἷς ἦν καὶ ὁ Δαρείε ἀδελφὸς Ὀξάθρης. εἶτα τό, τε Περσικὸν διάδημα περιέθετο, καὶ τὸν διάλευκον ἐνεδύσατο χιτῶνα, καὶ τὴν Περσικὴν ζώνην, καὶ τἄλλα, πλὴν τῶν ἀναξυρίδων καὶ τε κάνδυος. διέδωκε δὲ καὶ τοῖς ἑταίροις περιπορφύρες στολὰς, καὶ τοῖς ἵπποις Περσικὰς σκευὰς περιέθηκε. πρὸς δὲ τέτοις τὰς παλλακίδας ὁμοίως τῷ Δαρείῳ περιῆγε, τὸν μὲν ἀριθμὸν ἔσας ἐκ ἐλάττες πλήθει τῶν κατὰ τὸν ἐνιαυτὸν ἡμερῶν, κάλλει δὲ διαπρεπεῖς, ὡς ἂν ἐξ ἁπασῶν τῶν κατὰ τὴν Ἀσίαν γυναικῶν ἐπιλελεγμένας. αὗται δὲ ἑκάστης νυκτὸς περιῄεσαν τὴν κλίνην τε βασιλέως, ἵνα τὴν ἐκλογὴν αὐτὸς ποιήσηται τῆς μελλέσης αὐτῷ συνεῖναι. τέτοις μὲν ἐν τοῖς ἐθισμοῖς Ἀλέξανδρος σπανίως ἐχρῆτο, τοῖς δὲ προϋπάρχεσι κατὰ τὸ πλεῖστον ἐνδιέτριβε, φοβέμενος τὸ προσκόπτειν τοῖς Μακεδόσιν. ὅμως δὲ πολλῶν αὐτῷ μεμψιμοιρέντων, τέτες μὲν ταῖς δωρεαῖς ἐθεράπευεν.

325. 324. ante Christ.

Μετὰ δὲ ταῦτα ὁ Ἀλέξανδρος Βακτριανὲς ἐχειρώσατο καὶ Σογδιανὰς, καὶ ἐμβολὴν εἰς τὴν Ἰνδικὴν ἐποίησε. Ἐντεῦθεν ὑποστρέψας συνῆψε τοῖς Σεσιανοῖς ὅροις. Παρελθὼν δὲ εἰς Σεσα τὴν μὲν πρεσβυτέραν τῶν Δαρείε θυγα-

θυγατέρων Στάτειραν ἔγημε, τὴν δὲ νεωτέραν Ἡφαιςίωνι συνῴκισε Δρυπῆτιν· ἔπεισε δὲ καὶ τὰς ἐπιφανεςάτας τῶν φίλων γῆμαι, καὶ συνῴκισεν αὐτοῖς τὰς εὐγενεςάτας παρθένας Περσίδας. Alexandri nuptiæ cum Statira.

Κατὰ τοῦτον τὸν καιρὸν ἧκον εἰς τὰ Σοῦσα τρισμύριοι τῶν Περσῶν, νέοι μὲν παντελῶς ταῖς ἡλικίαις, ἐπιλελεγμένοι δὲ ταῖς τῶν σωμάτων εὐπρεπείαις τε καὶ ῥώμαις. κατὰ δέ τινας ἐντολὰς τοῦ βασιλέως ἠθροισμένοι, χρόνον ἱκανὸν ἐπιςάτας καὶ διδασκάλους ἐσχηκότες τῶν πολεμικῶν ἔργων· πάντες δὲ Μακεδονικαῖς πανοπλίαις πολυτελῶς κεκοσμημένοι, παρεμβολὴν μὲν ἐποιήσαντο πρὸ τῆς πόλεως· ἐπιδειξάμενοι δὲ τῷ βασιλεῖ τὴν ἐν τοῖς ὅπλοις ἄσκησιν καὶ μελέτην, ἐτιμήθησαν διαφερόντως. τῶν γὰρ Μακεδόνων πρὸς τὴν τοῦ Γάγγου ποταμοῦ διάβασιν ἀντειπόντων, καὶ πολλάκις ἐν ταῖς ἐκκλησίαις καταβοώντων, καὶ τὴν ἐξ Ἄμμωνος γένεσιν διασυρόντων, τοῦτο τὸ σύςημα κατεσκεύασεν ἐκ μιᾶς μὲν ἡλικίας τῶν Περσῶν καὶ ὁμοίας συνεςηκὸς, δυνάμενον δὲ ἀντίταγμα γενέσθαι τῇ Μακεδονικῇ φάλαγγι. Πολλοὺς δὲ τῶν σατραπῶν κατηγορηθέντας ἀνεῖλε· ἔπειτα ἐπιλέξας τοὺς πρεσβυτάτους τῶν πολιτῶν, ἀπέλυσε τῆς ςρατείας, ὄντας ὡς μυρίους. πυνθανόμενος δὲ πολλοὺς αὐτῶν εἶναι καταδανείους, ἐν ἡμέρᾳ μιᾷ τὰ δάνεια βραχὺ λείποντα τῶν μυρίων ταλάντων διέλυσε. τῶν δὲ ἀπολειπομένων Μακεδόνων ἀπειθούντων, καὶ κατὰ τὴν ἐκκλησίαν καταβοώντων, παροξυνθεὶς κατηγόρησεν αὐτῶν τεθαῤῥηκότως. καταπληξάμενος δὲ τὸ πλῆθος, ἐτόλμησεν αὐτὸς καταβὰς ἀπὸ τοῦ βήματος, τοὺς αἰτίους τῆς ταραχῆς ταῖς ἰδίαις χερσὶ παραδοῦναι τοῖς ὑπηρέταις πρὸς τὴν τιμωρίαν. ἐπὶ πολὺ δὲ τῆς διαφορᾶς αὐξανομένης, ὁ μὲν βασιλεὺς ἐκ τῶν ἐκλελεγμένων Περσῶν ἡγεμόνας κατέςησε, καὶ τούτους προῆγεν ἐπὶ τὸ πρωτεῖον· οἱ δὲ Μακεδόνες μετανοήσαντες, καὶ πολλὰ μετὰ δακρύων δεηθέντες, μόγις ἔπεισαν τὸν Ἀλέξανδρον αὐτοῖς διαλλαγῆναι.

cap. 108. xxx m. juvenum Persarum, ad artem bellicam exercitatorum.

cap. 109. Militiæ vacatio ætate provectioribus data,

in seditiosos severissime animadversum.

Αὐτὸς δὲ εἰς τὸν τῶν ἀπολελυμένων ἀριθμὸν ἀνεπλήρωσεν ἐκ τῶν Περσῶν, καὶ χιλίους αὐτῶν εἰς τοὺς περὶ τὴν αὐλὴν ἔταξεν ὑπασπιςάς· καὶ τὸ σύνολον οὐχ ἧττους εἰς πίςιν τῶν Μακεδόνων ὑπέλαβεν. ἧκε δὲ κατὰ τοῦτον τὸν

cap. 110. Imminutæ copiæ multis augmentis explentur.

τὸν καιρὸν καὶ Πευκέστης, ἄγων Πέρσας τοξότας καὶ σφενδονήτας δισμυρίους· καταμίξας δὲ τούτους τοῖς προϋπάρχουσι στρατιώταις, τῇ καινότητι τῆς καινοτομίας κατεσκεύασε τὴν ὅλην δύναμιν κεκραμένην καὶ ἁρμόζουσαν τῇ ἰδίᾳ προαιρέσει. τῶν δὲ Μακεδόνων ἐκ τῶν αἰχμαλωτίδων γεγεννηκότων υἱοὺς, τὸν ἀριθμὸν τῶν παίδων ἀκριβῶς ἐσκέψατο. ὄντων δ' αὐτῶν σχεδὸν μυρίων, ἅπασι τὰς ἁρμοζούσας πρὸς τροφὴν ἐλευθέριον συντάξεις ἀπομερίσας, τούτοις μὲν παιδευτὰς ἐπέστησε τοὺς διδάξοντας τὴν ἁρμόζουσαν παιδείαν·

Susis profectus rex, iter persequitur per Caras, Sittam, Sambana, Celonas,

αὐτὸς δὲ ἀναλαβὼν τὴν δύναμιν, προῆγεν ἐκ τῶν Σούσων· καὶ διαβὰς τὸν Τίγριν, ἐν ταῖς Κάραις καλουμέναις κώμαις κατεστρατοπέδευσεν. ἑξῆς δ' ἐν ἡμέραις τέτταρσι τὴν Σῖταν διανύσας, ἧκεν εἰς τὰ καλούμενα Σάμβανα. ἐνταῦθα δὲ μείνας ἡμέρας ἑπτὰ, καὶ προσαναλαβὼν τὴν δύναμιν, τριταῖος εἰς τοὺς Κέλωνας προσαγορευομένους ἧκεν, ἐν ᾧ μέχρι νῦν διαμένει γένος Βοιώτιον, κατὰ μὲν τὴν Ξέρξου στρατείαν ἀνάστατον γεγονὸς, μεμνημένον δ' ἔτι τῶν πατρίων νόμων. ὄντες γὰρ οὗτοι δίφωνοι, τῇ μὲν ἑτέρᾳ διαλέκτῳ ἐξωμοιώθησαν τοῖς ἐγχωρίοις, τῇ δ' ἑτέρᾳ πλείστας τῶν Ἑλληνικῶν λέξεων διετήρουν, καὶ τῶν ἐπιτηδευμάτων ἔνια διεφύλαττον.

Bagistamen, & vicinam regionem:

τέλος δὲ προσμείνας ἡμέρας ἀνέζευξε, καὶ παρεγκλίνας τὴν ὑποκειμένην ὁδὸν, θέας ἕνεκεν ἦλθεν εἰς τὴν ὀνομαζομένην Βαγιστάμην, θεοπρεπεστάτην τε χώραν οὖσαν, καὶ πλήρη καρπίμων δένδρων, καὶ τῶν ἄλλων ἁπάντων τῶν πρὸς ἀπόλαυσιν ἀνηκόντων. μετὰ δὲ ταῦτα, παρελθὼν εἰς τινα χώραν δυναμένην ἐκτρέφειν ἀγέλας παμπληθεῖς ἵππων, (ἐν ᾗ τὸ παλαιὸν ἔφασαν ἑκκαίδεκα μυριάδας ἵππων γεγονέναι φορβάδων, κατὰ δὲ τὴν Ἀλεξάνδρου παρουσίαν ἓξ μόναι μυριάδες ἠριθμήθησαν)

denique Ecbatana Mediæ attingit, ubi diutius subsistit.

ἐνταῦθα διαμείνας ἡμέρας τριάκοντα, ἑβδομαῖος διήνυσεν εἰς Ἐκβάτανα τῆς Μηδίας. ταύτης δέ φασι διακοσίων μὲν καὶ πεντήκοντα σταδίων τὴν περίμετρον ὑπάρχειν, βασίλεια δ' ἔχειν τῆς ὅλης Μηδίας, καὶ θησαυροὺς πολλῶν χρημάτων. ἔνθα δὴ χρόνον τινὰ τὴν δύναμιν ἀναλαβὼν, ἀγῶνάς τε θυμελικοὺς ἐποίει καὶ πότους

Hic Hephæstio moritur, cujus corpus Babylonem defertur.

συνεχεῖς τῶν φίλων, ἐν οἷς Ἡφαιστίων ἀκαίροις μέθαις χρησάμενος, καὶ περιπεσὼν ἀρρωστίᾳ, τὸν βίον ἐξέλιπεν. ὁ δὲ βασιλεὺς χαλεπῶς ἐνέγκας τὸ συμβὰν, τὸ σῶμα τοῦ τετε-

τετελευτηκότος Περδίκκας παρέδωκεν εἰς Βαβυλῶνα κομίσαι, βϐλόμενος ἐπιφανεςάτην αὐτῦ ποιήσασθαι τὴν ταφήν. ὁ δ' Ἀλέξανδρος, τῶν Κοσσαίων ἀπειθϐντων, ἐςράτευσεν ἐπ' αὐτὺς εὐζώνῳ τῇ δυνάμει. καὶ καταπεπολεμηκὼς αὐτὺς, ἀνέζευξε μετὰ τῆς δυνάμεως καὶ προῆγεν ἐπὶ τῆς Βαβυλῶνος. τῶν δὲ ἐγχωρίων, καθάπερ καὶ πρότερον, φιλανθρώπως ὑποδεχομένων τὺς ςρατιώτας, ἅπαντες ὥρμησαν πρὸς ἄνεσιν καὶ τρυφὴν, πολλῆς τῶν ἐπιτηδείων παρεσκευασμένης δαψιλείας.

Cossæis subactis Babylonem se recipit.

Κατὰ δὲ τῦτον τὸν χρόνον ἐξ ἁπάσης σχεδὸν τῆς οἰκϐμένης ἧκον πρέσβεις, οἱ μὲν συγχαίροντες ἐπὶ τοῖς κατορθώμασιν, οἱ δὲ ςεφανῦντες, ἄλλοι δὲ φιλίας καὶ συμμαχίας τιθέμενοι, πολλοὶ δὲ δωρεὰς μεγαλοπρεπεῖς κομίζοντες· τινὲς δὲ ὑπὲρ τῶν ἐγκαλϐμένων ἀπολογϐμενοι· χωρὶς γὰρ τῶν ἀπὸ τῆς Ἀσίας ἐθνῶν καὶ πόλεων, ἔτι δὲ δυναςῶν, πολλοὶ καὶ τῶν ἐκ τῆς Ἐυρώπης καὶ Λιβύης κατήντησαν· ἐκ μὲν Λιβύης Καρχηδόνιοι καὶ Λιβυφοίνικες, καὶ πάντες οἱ τὴν παράλιον οἰκϐντες μέχρι τῶν Ἡρακλείων· ἐκ δὲ τῆς Ἐυρώπης αἵ τε τῶν Ἑλλήνων πόλεις ἐξέπεμψαν, καὶ Μακεδόνες· ἔτι δὲ Ἰλλυριοὶ, καὶ τῶν περὶ τὸν Ἀδρίαν οἰκϐντων οἱ πλεῖςοι, τά τε Θρᾴκια γένη, καὶ τῶν πλησιοχώρων Γαλατῶν, ὧν τότε πρῶτον τὸ γένος ἐγνώσθη παρὰ τοῖς Ἕλλησιν. ὁ δὲ Ἀλέξανδρος ἀπογραφὴν λαβὼν τῶν πρέσβεων, διέταξε τοῖς μὲν πρώτοις διδόναι τὰς ἀποκρίσεις, καὶ τοῖς ἑξῆς ἅπασι. καὶ πρώτοις μὲν ἐχρημάτισε τοῖς ὑπὲρ τῶν ἱερῶν παραγεγενημένοις, δευτέροις δὲ τοῖς περὶ τῶν δωρεῶν ἥκϐσιν, ἑξῆς δὲ τοῖς ἀμφισβητήσεις ἔχϐσι πρὸς τὺς ὁμόρϐς, τετάρτοις δὲ τοῖς περὶ τῶν ἰδιωτικῶν ἥκϐσι, πέμπτοις δὲ τοῖς ἀντιλέγϐσι περὶ τῆς καθόδϐ τῶν φυγάδων. τοῖς μὲν ὖν Ἠλείοις πρώτοις ἐχρημάτισεν, εἶτ' Ἀμμωνιεῦσι καὶ Δελφοῖς καὶ Κορινθίοις, ἔτι δὲ Ἐπιδαυρίοις, καὶ τοῖς ἄλλοις, κατὰ τὴν δόξαν τῶν ἱερῶν προκρίνων τὰς ἐντεύξεις. πάσαις δὲ ταῖς πρεσβείαις φιλοτιμηθεὶς κεχαρισμένας δῦναι τὰς ἀποκρίσεις, εὐαρεςϐμένας ἀπέλυσε κατὰ τὸ δυνατόν.

322 ante Chr. cap. 113. Babylone convenerunt undique legati,

quos Alexander, in classes divisos, ordine in colloquium admittit.

cap. 114. Auditis legatis, Hephæstionis funus, quanto apparatu poterat, celebrare instituit.

Ἀπολύσας δὲ τὰς πρεσβείας, περὶ τὴν ταφὴν ἐγίνετο τοῦ Ἡφαιστίωνος. τοσαύτην δὲ σπουδὴν ἐποιήσατο πρὸς τὴν τῆς ἐκφορᾶς ἐπιμέλειαν, ὥστε μὴ μόνον τὰς προγεγενημένας παρ' ἀνθρώποις ταφὰς ὑπερβαλέσθαι, ἀλλὰ καὶ τοῖς ἐσομένοις μηδεμίαν ὑπέρθεσιν καταλιπεῖν. καὶ γὰρ ἠγάπησεν αὐτὸν τῶν ἐν στοργῇ φίλων δοξαζομένων, καὶ μετὰ τὴν τελευτὴν ἐτίμησεν αὐτὸν ἀνυπερβλήτως.

cap. 116. Rex otioso & magnifico vitæ generi vacat.

Μετὰ δὲ τὴν ἐκφορὰν εἰς ἀνέσεις καὶ πανηγυρικὸν βίον ἐκτραπέντος τοῦ βασιλέως, δοκοῦντος ἰσχύειν τότε πλεῖστον, καὶ μάλιστα εὐδαιμονεῖν, ἡ πεπρωμένη συνῄρει τὸν ὑπὸ τῆς φύσεως αὐτῷ συγκεχωρημένον τοῦ ζῆν χρόνον. παρακαλεῖται πρός τινα τῶν φίλων Μήδιον τὸν Θετταλὸν ἐπὶ κῶμον ἐλθεῖν· κἀκεῖ πολὺν ἄκρατον ἐμφορηθεὶς, ἐπὶ τελευτῆς Ἡρακλέους μέγα ποτήριον πληρώσας ἐξέπιεν. ἄφνω δὲ, ὥσπερ ὑπό τινος πληγῆς ἰσχυρᾶς πεπληγμένος ἀνεστέναξε μέγα βοήσας, καὶ ὑπὸ τῶν φίλων ἀπηλλάττετο χειραγωγούμενος. εὐθὺς δὲ οἱ μὲν περὶ τὴν θεραπείαν ἐκδεξάμενοι κατέκλιναν αὐτὸν, καὶ προσήδρευον ἐπιμελῶς. τοῦ δὲ πάθους ἐπιτείνοντος, καὶ τῶν ἰατρῶν συγκληθέντων, βοηθῆσαι μὲν οὐδεὶς ἐδυνήθη· πολλοῖς δὲ πόνοις καὶ δειναῖς ἀλγηδόσι συσχεθεὶς, ἐπειδὰν τὸ ζῆν ἀπέγνω, περιελόμενος τὸν δακτύλιον ἔδωκε Περδίκκᾳ. τῶν δὲ φίλων ἐπερωτώντων, τίνι τὴν βασιλείαν ἀπολείπεις; εἶπε, τῷ κρατίστῳ. καὶ προσεφθέγξατο, ταύτην τελευταίαν φωνὴν προέμενος, ὅτι μέγαν ἀγῶνα αὐτῷ ἐπιτάφιον συστήσονται πάντες οἱ πρωτεύοντες τῶν φίλων. οὗτος μὲν οὖν τὸν προειρημένον τρόπον ἐτελεύτησε, βασιλεύσας ἔτη δώδεκα καὶ μῆνας ἑπτὰ, πράξεις δὲ μεγίστας κατεργασάμενος οὐ μόνον τῶν πρὸ αὐτοῦ βασιλευσάντων, ἀλλὰ καὶ τῶν ὕστερον ἐσομένων μέχρι τοῦ καθ' ἡμᾶς βίου.

Alexander moritur.

321 ante Chr. *Diodor. Sic.* XVIII. c. 2. Prima de imperio administrando dissidia.

Ἀλεξάνδρου τοῦ βασιλέως τετελευτηκότος ἄπαιδος, ἀναρχία καὶ πολλὴ στάσις ἐγένετο περὶ τῆς ἡγεμονίας. ἡ μὲν γὰρ τῶν πεζῶν φάλαγξ Ἀρριδαῖον τὸν Φιλίππου μὲν υἱὸν, ψυχικοῖς δὲ πάθεσι συνεχόμενον ἀνιάτοις, προῆγεν ἐπὶ τὴν βασιλείαν· οἱ δὲ μέγιστον ἔχοντες ἀξίωμα τῶν φίλων καὶ σωματοφυλάκων συνεδρεύσαντες, καὶ προσλαβόμενοι τὸ τῶν ἱππέων τῶν ἑταίρων ὀνομαζομένων σύστημα,

ϛημα, τὸ μὲν πρῶτον διαγωνίζεϑαι τοῖς ὅπλοις πρὸς τὴν φάλαγγα διέγνωσαν, καὶ πρέσβεις ἀπέϛειλαν πρὸς τὲς πεζὲς ἐκ τῶν ἀξίωμα ἐχόντων ἀνδρῶν, ὧν ἦν ἐπιφανέϛατος Μελέαγρος, ἀξιῦντες πειθαρχεῖν αὐτοῖς. ὁ δὲ Μελέαγρος ὡς ἧκε πρὸς τὲς πεζὲς [ἐκ τῶν ἀξίωμα ἐχόντων ἀνδρῶν, ὧν ἦν ἐπιφανέϛατος] φαλαγγίτας, τῆς μὲν πρεσβείας ὐδεμίαν ἐποιήσατο μνείαν, τὐναντίον δ' ἐπαινέσας αὐτὲς ἐπὶ τοῖς δεδογμένοις, παρώξυνε κατὰ τῶν ἐναντιυμένων. διόπερ οἱ Μακεδόνες ἡγεμόνα καταϛήσαντες ἑαυτῶν τὸν Μελέαγρον, προῆγον πρὸς τὲς ἀντιλέγοντας μετὰ τῶν ὅπλων. τῶν δὲ σωματοφυλάκων ἀποχωρησάντων ἐκ τῆς Βαβυλῶνος, καὶ παρασκευαζομένων εἰς πόλεμον, οἱ χαριέϛατοι τῶν ἀνδρῶν ἔπεισαν αὐτὲς ὁμονοῆσαι. εὐθὺς δὲ βασιλέα κατέϛησαν τὸν Φιλίππε υἱὸν Ἀρριδαῖον, καὶ μετωνόμασαν Φίλιππον, ἐπιμελητὴν δὲ τῆς βασιλείας Περδίκκαν, ᾧ καὶ ὁ βασιλεὺς τὸν δακτύλιον τελευτῶν ἐδεδώκει· τὲς δὲ ἀξιολογωτάτες τῶν φίλων καὶ σωματοφυλάκων παραλαβεῖν τὰς σατραπείας, καὶ ὑπακύειν τῷ τε βασιλεῖ καὶ τῷ Περδίκκᾳ. Perdicca autem regni procuratore constituto.

Οὗτος δὲ παραλαβὼν τὴν τῶν ὅλων ἡγεμονίαν, καὶ συνεδρεύσας μετὰ τῶν ἡγεμόνων, Πτολεμαίῳ μὲν τῷ Λάγε τὴν Αἴγυπτον ἔδωκε, Λαομέδοντι δὲ τῷ Μιτυληναίῳ Συρίαν, Φιλώτᾳ δὲ Κιλικίαν, καὶ Πύθωνι μὲν Μηδίαν, Εὐμένει δὲ Παφλαγονίαν καὶ Καππαδοκίαν, καὶ πάσας τὰς συνοριζέσας ταύταις χώρας, ἃς Ἀλέξανδρος ὐκ ἐπῆλθεν, ἐκκλεισθεὶς ὑπὸ τῶν καιρῶν, ὅτε διεπολέμει πρὸς Δαρεῖον· Ἀντιγόνῳ δὲ Παμφυλίαν καὶ Λυκίαν καὶ τὴν μεγάλην καλυμένην Φρυγίαν. μετὰ δὲ ταῦτα Κασσάνδρῳ μὲν Καρίαν, Μελεάγρῳ δὲ Λυδίαν, Λεοννάτῳ δὲ τὴν ἐφ' Ἑλλησπόντῳ Φρυγίαν. αὗται μὲν ὖν αἱ σατραπεῖαι τῦτον τὸν τρόπον ἐμερίσθησαν. κατὰ δὲ τὴν Εὐρώπην Λυσιμάχῳ μὲν ἐδόθη Θρᾴκη καὶ τὰ συνορίζοντα τῶν ἐθνῶν παρὰ τὴν Ποντικὴν θάλασσαν· ἡ δὲ Μακεδονία καὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν Ἀντιπάτρῳ προσωρίσθη· τὰς δὲ κατὰ τὴν Ἀσίαν παραλελειμμένας σατραπείας ἔδοξε μὴ κινεῖν, ἀλλ' ἐᾶν ὑπὸ τὲς αὐτὲς ἡγεμόνας τεταγμένας. τέτων δὲ τὴν συνορίζυσαν σατραπείαν τοῖς περὶ Ταξίλην βασιλεῦσι συνεχώρησε· τὴν δὲ παρὰ τὸν Καύκασον κειμένην, cap. 3. Provinciæ singulis ducibus assignatæ recensentur.

νην, ὀνομαζομένην δὲ Παροπαμισαδῶν, προσώρισεν Ὀξυάρτῃ τῷ Βακτριανῷ βασιλεῖ, ἐ τὴν θυγατέρα Ῥωξάνην γεγαμηκὼς ἦν Ἀλέξανδρος. καὶ Σιβυρτίῳ μὲν ἔδωκεν Ἀραχωσίαν καὶ Κεδρωσίαν, Στασάνορι δὲ τῷ Σολίῳ τὴν Ἀρείαν καὶ Δραγγινὴν, Φιλίππῳ δὲ προσώρισε Βακτριανὴν καὶ Σογδιανὴν, Φραταφέρνῃ δὲ Παρθυαίαν καὶ Ὑρκανίαν· καὶ Πευκέςῃ μὲν Περσίδα, Τληπολέμῳ δὲ Καρμανίαν, Ἀτράπῃ δὲ Μηδίαν, Ἄρχωνι δὲ τὴν Βαβυλωνίαν, Ἀρκεσιλάῳ δὲ Μεσοποταμίαν. Σέλευκον δ' ἔταξεν ἐπὶ τὴν ἱππαρχίαν τῶν ἑταίρων, ἔσαν ἐπιφανεςάτην. ταύτης γὰρ Ἡφαιςίων πρῶτος μὲν ἡγήσατο, μετὰ δὲ τἕτον Περδίκκας, τρίτος δ' ὁ προειρημένος Σέλευκος. ὁμοίως δὲ καὶ Ταξίλην καὶ Πῶρον κυρίες εἶναι τῶν ἰδίων βασιλειῶν, καθάπερ αὐτὸς Ἀλέξανδρος ἦν τεταχώς. ἐπὶ δὲ τὴν κατακομιδὴν τἕ σώματος καὶ τὴν κατασκευὴν τῆς ἁρμαμάξης τῆς μελλέσης κομίζειν τὸ σῶμα τἕ μετελευτηκότος βασιλέως εἰς Ἄμμωνα, ἔταξαν Ἀῤῥιδαῖον.

cap. 4. Cratero mandata, regisque defuncti decreta alia, in commentariis perscripta, in deliberationem veniunt.

Κρατερὸς δὲ τῶν ἐπιφανεςάτων ὑπάρχων ἔτυχε προαπεςαλμένος εἰς Κιλικίαν ὑπὸ Ἀλεξάνδρε, μετὰ τῶν ἀπολυθέντων τῆς ςρατείας, ὄντων μυρίων. ἅμα δ' εἰληφὼς ἦν ἐντολὰς ἐγγράπτες, ἃς ἔδωκε μὲν ὁ βασιλεὺς αὐτῷ συντελέσαι, μεταλλάξαντος δὲ Ἀλεξάνδρε, τοῖς διαδόχοις ἔδοξε μὴ συντελεῖν τὰ βεβελευμένα. ὁ γὰρ Περδίκκας παραλαβὼν ἐν τοῖς ὑπομνήμασι τἕ βασιλέως τήν τε συντέλειαν τῆς Ἡφαιςίωνος πυρᾶς, πολλῶν δεομένην χρημάτων, τάς τε λοιπὰς αὐτἕ ἐπιβολὰς πολλὰς καὶ μεγάλας ἕσας, καὶ δαπάνας ἀνυπερβλήτες ἐχέσας, ἔκρινε συμφέρειν ἀκύρες ποιῆσαι. ἵνα δὲ μὴ δόξῃ πάνυ διὰ τῆς ἰδίας γνώμης καθαιρεῖν τι τῆς Ἀλεξάνδρε δόξης, διὰ τἕτο ἐπὶ τὸ κοινὸν τῶν Μακεδόνων πλῆθος ἀνήνεγκε τὴν περὶ τέτων βελήν.

Proposita regis e commentariis singulatim referuntur.

ἦν δὲ τῶν ὑπομνημάτων τὰ μέγιςα καὶ μνήμης ἄξια τάδε· χιλίας μὲν ναῦς μακρὰς μείζες τριήρων ναυπηγήσαθαι κατὰ τὴν Φοινίκην καὶ Συρίαν καὶ Κιλικίαν καὶ Κύπρον, πρὸς τὴν ςρατείαν τὴν ἐπὶ Καρχηδονίες καὶ τὲς ἄλλες τὲς παρὰ θάλατταν κατοικἕντας τῆς τε Λιβύης καὶ Ἰβηρίας, καὶ τῆς ὁμόρε χώρας παραθαλαττίε μέχρι Σικελίας· ὁδοποιῆσαι δὲ τὴν παραθαλάττιον τῆς Λιβύης, μέχρι ςηλῶν Ἡρακλείων

ναὺς

ναὺς τε κατασκευάσαι πολυτελεῖς ἓξ, ἀπὸ ταλάντων χιλίων καὶ πεντακοσίων ἕκαστον· ἀκολούθως δὲ τῷ τηλικούτῳ στόλῳ λιμένας καὶ νεώρια κατασκευάσαι κατὰ τοὺς ἐπικαίρους τῶν τόπων· πρὸς δὲ τούτοις πόλεων συνοικισμοὺς, καὶ σωμάτων μεταγωγὰς ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην, καὶ κατὰ τοὐναντίον ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν, ὅπως τὰς μεγίστας ἠπείρους ταῖς ἐπιγαμίαις καὶ ταῖς οἰκειώσεσιν εἰς κοινὴν ὁμόνοιαν καὶ συγγενικὴν φιλίαν καταστήσῃ. τοὺς δὲ προειρημένους ναοὺς ἔδει κατασκευασθῆναι ἐν Δήλῳ καὶ Δελφοῖς καὶ Δωδώνῃ. κατὰ δὲ τὴν Μακεδονίαν, ἐν Δίῳ μὲν τοῦ Διὸς, ἐν Ἀμφιπόλει δὲ τῆς Ταυροπόλου, ἐν Κύῤῥῳ δὲ τῆς Ἀθηνᾶς· ὁμοίως δὲ καὶ ἐν Ἰλίῳ ταύτης τῆς θεᾶς κατασκευασθῆναι ναὸν, ὑπερβολὴν ἑτέρῳ μὴ καταλείποντα. τοῦ δὲ πατρὸς Φιλίππου τάφον πυραμίδι παραπλήσιον μιᾷ τῇ μεγίστῃ κατὰ τὴν Αἴγυπτον, ἃς ἐν τοῖς ἑπτὰ τινὲς μεγίστοις ἔργοις καταριθμοῦσιν. ἀναγνωσθέντων δὲ τῶν ὑπομνημάτων, οἱ Μακεδόνες, καίπερ ἀποδεδεγμένοι καλῶς τὸν Ἀλέξανδρον, ὅμως ὑπερόγκους καὶ δυσεφίκτους τὰς ἐπιβολὰς ὁρῶντες, ἔκριναν μηδὲν τῶν εἰρημένων συντελεῖν. Placuit omnia antiquari.

cap. 16. Perdiccas bello subigit Ariarathen.

Μετὰ ταῦτα Περδίκκας, ἔχων μεθ' ἑαυτοῦ τόν τε βασιλέα Φίλιππον καὶ τὴν βασιλικὴν δύναμιν, ἐστράτευσεν ἐπὶ Ἀριαράθην τὸν Καππαδοκίας δυνάστην. οὗτος γὰρ οὐ προσέχων τοῖς Μακεδόσιν, ὑπὸ μὲν Ἀλεξάνδρου παρεωράθη, διὰ τοὺς περὶ Δαρεῖον ἀγῶνας καὶ περισπασμοὺς, ἀναστροφὴν δὲ πολυχρόνιον ἔσχε, κυριεύων τῆς Καππαδοκίας. διὸ καὶ πολλὰ μὲν ἐκ τῶν προσόδων χρήματα ἤθροισε, δυνάμεις δ' ἐγχωρίους καὶ ξενικὰς μεγάλας συνεστήσατο. διὸ καὶ βασιλείας ἀντιποιούμενος, ἕτοιμος ἦν πρὸς τὸν Περδίκκαν διαγωνίζεσθαι, πεζοὺς μὲν ἔχων τρισμυρίους, ἱππεῖς δὲ μυρίους πεντακισχιλίους. ὁ δὲ Περδίκκας, συνάψας αὐτῷ μάχην, καὶ τῇ παρατάξει νικήσας, ἀνεῖλε μὲν εἰς τετρακισχιλίους, ἐζώγρησε δὲ ὑπὲρ τοὺς πεντακισχιλίους, ἐν οἷς ἦν καὶ αὐτὸς ὁ Ἀριαράθης. τοῦτον μὲν οὖν καὶ τοὺς συγγενεῖς αὐτοῦ πάντας αἰκισάμενος ἀνεσταύρωσε· τοῖς δ' ἡττηθεῖσι συγχωρήσας τὴν ἀσφάλειαν, καὶ καταστήσας τὰ κατὰ τὴν Καππαδοκίαν, παρέδωκε τὴν σατραπείαν Εὐμένει τῷ Καρδιανῷ, καθάπερ ἐξ ἀρχῆς ἦν μεμε-

Cappadociæ satrapia Eumeni Cardiano tradita.

cap. 22.

μεμερισμένος. Ἔπειτα καταντήσας εἰς τὴν Πισιδικὴν, ἔκρινεν ἀναστάτους ποιῆσαι δύο πόλεις, τήν τε τῶν Λαρανδέων καὶ τὴν τῶν Ἰσαυρέων. αὗται γὰρ ἔτι ζῶντος Ἀλεξάνδρου Βάλακρον τὸν Νικάνορος ἀπέκτειναν, ἀποδεδειγμένον στρατηγὸν ἅμα καὶ σατράπην.

cap. 23. Perdiccas duplici matrimonio simul Antipatri amicitiam,

Μετὰ δὲ τὴν ἀπώλειαν τῶν πολεμίων, ἧκον δύο γυναῖκες εἰς συνοικισμὸν τῷ Περδίκκᾳ, Νίκαιά τε ἡ Ἀντιπάτρου θυγάτηρ, ἣν αὐτὸς ὁ Περδίκκας ἦν μεμνηστευκὼς, καὶ Κλεοπάτρα ἡ Ἀλεξάνδρου μὲν ἀδελφὴ γνησία, θυγάτηρ δὲ Φιλίππου τοῦ Ἀμύντου. ὁ δὲ Περδίκκας πρότερον μὲν ἦν κεκρικὼς κοινοπραγίαν Ἀντιπάτρῳ, καὶ διὰ τοῦτο τὴν μνηστείαν ἐπεποίητο, μήπω τῶν κατ' αὐτὸν πραγμάτων βεβαίως ἐστερεωμένων· ὡς δὲ παρέλαβε τάς τε βασιλικὰς δυνάμεις καὶ τὴν τῶν βασιλέων προστασίαν, μετέπεσε τοῖς λογισμοῖς·

simul regni adipiscendi spem confirmare studet.

ὀρεγόμενος γὰρ βασιλείας, ἔσπευδε τὴν Κλεοπάτραν γῆμαι, νομίζων διὰ ταύτης προτρέψεσθαι τοὺς Μακεδόνας συγκατασκευάζειν αὐτῷ τὴν τῶν ὅλων ἐξουσίαν. οὔπω δὲ βουλόμενος ἀποκαλύψασθαι πρὸς τὴν ἐπιβολὴν, κατὰ μὲν τὸ παρὸν ἦγε τὴν Νίκαιαν, ὅπως μὴ τὸν Ἀντίπατρον

Antigonus, insidiarum gnarus, ne a Perdicca opprimeretur, in Europam aufugit,

ἔχῃ ταῖς ἰδίαις ἐπιβολαῖς ἀλλότριον· μετὰ δὲ ταῦτα, Ἀντιγόνου τὴν προαίρεσιν αὐτοῦ κατανοήσαντος, καὶ φιλίαν ἔχοντος πρὸς Ἀντίπατρον, ἔτι δὲ ὄντος τοῦ ἀνδρὸς τούτου πρακτικωτάτου τῶν ἡγεμόνων, ἔκρινεν αὐτὸν ἐκ ποδῶν ποιήσασθαι. ἐπιβαλὼν οὖν αὐτῷ διαβολὰς ψευδεῖς, καὶ κατηγορίας ἀδίκους, φανερὸς ἦν ἀναιρήσων αὐτόν. ὁ δ' Ἀντίγονος συνέσει καὶ τόλμῃ διαφέρων, φανερῶς μὲν ἀπεφαίνετο βούλεσθαι περὶ τῶν ἐγκαλουμένων ἀπολογήσασθαι·

& cum Antipatro se conjungit.

λάθρα δὲ παρασκευασάμενος τὰ πρὸς τὸν δρασμὸν, ἔλαθε μετὰ τῶν ἰδίων φίλων καὶ τοῦ υἱοῦ Δημητρίου νυκτὸς εἰσβὰς εἰς τὰς Ἀττικὰς ναῦς. ἐν δὲ ταύταις κομισθεὶς εἰς τὴν Εὐρώπην, προῆγε συμμίξων Ἀντιπάτρῳ.

cap. 25. Antipater & Craterus tum maxime in Aetolos moverant, e bello Lamiaco residuos, vi subigendos.

Κατὰ δὲ τούτους τοὺς καιροὺς Ἀντίπατρος καὶ Κρατερὸς ἐπὶ τοὺς Αἰτωλοὺς ἐστράτευσαν, ἔχοντες πεζοὺς μὲν τρισμυρίους, ἱππεῖς δὲ δισχιλίους καὶ πεντακοσίους. οὗτοι γὰρ τῶν ἐν τῷ Λαμιακῷ πολέμῳ διαπολεμησάντων ὑπόλειποι διέμενον ἀχείρωτοι· ἤδη δ' αὐτῶν ἀπογινωσκόντων τὴν σωτηρίαν, αὐτόματός τις λύσις τῶν κακῶν ἐφάνη, καθάπερ θεῶν τινος ἐλεοῦντος αὐτῶν τὴν εὐψυχίαν. Ἀν-

τίγονος

τίγονος γὰρ ὁ πεφευγὼς ἐκ τῆς Ἀσίας, συμμίξας τοῖς περὶ τὸν Ἀντίπατρον, ἐδίδαξεν αὐτοὺς περὶ τῆς ὅλης ἐπιβουλῆς τοῦ Περδίκκου, καὶ διότι τὴν Κλεοπάτραν γαμήσας εὐθὺς ἥξει μετὰ τῆς δυνάμεως εἰς Μακεδονίαν ὡς βασιλεὺς, καὶ τὴν ἡγεμονίαν αὐτῶν παραιρήσεται. οἱ δὲ περὶ τὸν Κρατερὸν καὶ Ἀντίπατρον, διὰ τὸ παράδοξον τῆς προσαγγελίας καταπλαγέντες, συνήδρευσαν μετὰ τῶν ἡγεμόνων· προτεθείσης οὖν βουλῆς περὶ τούτων, ἔδοξεν ὁμογνωμόνως πρὸς μὲν Αἰτωλοὺς, ἐφ' οἷς ἦν δυνατὸν, διαλυθῆναι, τὰς δὲ δυνάμεις κατὰ τάχος περαιοῦν εἰς τὴν Ἀσίαν, καὶ τῷ μὲν Κρατερῷ τὴν τῆς Ἀσίας ἡγεμονίαν περιτιθέναι, τῷ δ' Ἀντιπάτρῳ τὴν τῆς Εὐρώπης· πρεσβεύειν δὲ καὶ πρὸς Πτολεμαῖον περὶ κοινοπραγίας, ὄντα τοῦ μὲν Περδίκκου παντελῶς ἀλλότριον, ἑαυτοῖς δὲ φίλον, κοινῇ δὲ ἐπιβουλευόμενον. εὐθὺς οὖν πρὸς μὲν Αἰτωλοὺς διάλυσιν ἐποιήσαντο, διεγνωκότες ὕστερον αὐτοὺς καταπολεμῆσαι, καὶ μεταστῆσαι πανοικίους ἅπαντας εἰς τὴν ἐρημίαν καὶ ποῤῥωτάτω τῆς Ἀσίας κειμένην χώραν. αὐτοὶ δὲ δόγμα γράψαντες ἀκόλουθον τοῖς προειρημένοις, παρεσκευάζοντο τὰ πρὸς τὴν στρατείαν. Περδίκκας δὲ, τούς τε φίλους καὶ τοὺς ἡγεμόνας ἀθροίσας, προέθηκε βουλὴν πότερον ἐπὶ τὴν Μακεδονίαν χρὴ στρατεύειν, ἢ πρότερον ἐπὶ τὸν Πτολεμαῖον ὁρμῆσαι. πάντων δ' ἐπενεχθέντων ἐπὶ τὸ πρότερον καταπολεμῆσαι τὸν Πτολεμαῖον, ὅπως μηδὲν ἐμπόδιον ἔχωσι τῆς κατὰ τὴν Μακεδονίαν ὁρμῆς, Εὐμένη μὲν ἐξέπεμψε μετὰ δυνάμεως ἀξιολόγου, προστάξας ἐφεδρεύειν τοῖς περὶ τὸν Ἑλλήσποντον τόποις, καὶ τὴν διάβασιν κωλύειν· αὐτὸς δὲ ἀναλαβὼν ἐκ τῆς Πισιδικῆς, τὴν πορείαν ἐπὶ τὴν Αἴγυπτον ἐποιεῖτο.

Edocti de Perdiccæ dolis, cum Aetolis pacem componunt,

& de societate cum Ptolemæo contra Perdiccam jungenda consilia ineunt.

Perdiccas ipse constituerat Ptolemæo bellum inferre.

Ὡς δὲ διεβίβασε τὴν δύναμιν εἰς τὴν νῆσον τοῦ Νείλου ἀπέναντι τῆς Μέμφεως, ἀλλοτρίως τὸ πλῆθος ἔσχε πρὸς τὸν Περδίκκαν, ἀπολομένων πλειόνων ἢ δισχιλίων ἐν ὕδατι ἄνευ πολεμίας πληγῆς, ἐν οἷς καὶ τῶν ἐπιφανῶν τινες ἡγεμόνων ὑπῆρχον. πολλοὶ μὲν τῶν ἡγεμόνων συνίσταντο, καὶ κατηγόρουν τοῦ Περδίκκου, πᾶσα δ' ἡ φάλαγξ τῶν πεζῶν ἀπαλλοτριωθεῖσα φανερὰν διὰ τῆς ἀπειλούσης φωνῆς τὴν ἰδίαν κατεσκεύασεν ἀλλοτριότητα. διόπερ πρῶτοι τῶν ἡγεμόνων ἀπέστησαν ὡς ἑκατὸν,

320 ante Chr. cap. 36. Milites abalienati Perdiccam occidunt.

τὸν, ὧν ἦν ἐπιφανέστατος Πύθων, ὁ τοὺς ἀναστάντας Ἕλληνας καταπολεμήσας, οὐδενὸς δὲ τοῦ Ἀλεξάνδρου λειπόμενος φίλων ἀρετῇ τε καὶ δόξῃ. μετὰ δὲ ταῦτα καὶ τῶν ἱππέων τινὲς συμφρονήσαντες ἐπὶ τὴν σκηνὴν τοῦ Περδίκκου κατήντησαν, καὶ προσπεσόντες ἀθρόοι κατέσφαξαν τὸν Περδίκκαν, ἄρξαντα ἔτη τρία.

cap. 39. Antipater facta provinciarum divisione,

Μετὰ δὲ ταῦτα Ἀντίπατρος τὰς σατραπείας ἐξ ἀρχῆς ἐμερίσατο, καὶ Πτολεμαίῳ μὲν τὴν προϋπάρχουσαν προσώρισεν. ἀδύνατον γὰρ ἦν τοῦτον μεταθεῖναι, διὰ τὸ δοκεῖν τὴν Αἴγυπτον διὰ τῆς ἰδίας ἀνδρείας ἔχειν οἱονεὶ δορίκτητον. καὶ Λαομέδοντι μὲν τῷ Μιτυληναίῳ Συρίαν ἔδωκε, Φιλοξένῳ δὲ τὴν Κιλικίαν, τῶν δ' ἄνω σατραπειῶν Μεσοποταμίαν μὲν καὶ τὴν Ἀρβηλῖτιν Ἀμφιμάχῳ, τὴν δὲ Βαβυλωνίαν Σελεύκῳ, Ἀντιγόνῳ δὲ τὴν Σουσιανὴν, διὰ τὸ τοῦτον πρῶτον πεποιῆσθαι τὴν ἐπὶ τὸν Περδίκκαν ἐπίθεσιν, Πευκέστῃ δὲ τὴν Περσίδα, Τληπολέμῳ δὲ τὴν Καρμανίαν, Πύθωνι δὲ Μηδίαν, Φιλίππῳ δὲ τὴν Παρθυαίαν, Ἀρίαν δὲ καὶ Δραγγίνην Στασάνδρῳ τῷ Κυπρίῳ· τὴν δὲ Βακτριανὴν καὶ Σογδιανὴν Στασάνορι τῷ Σολίῳ, ἀπὸ τῆς αὐτῆς ὄντι νήσου. Παροπαμισάδας δὲ Ὀξυάρτῃ προσώρισε, τῷ Ῥωξάνης πατρὶ τῆς Ἀλεξάνδρου γυναικὸς, τῆς δὲ Ἰνδικῆς τὰ μὲν συνορίζοντα Παροπαμισάδαις, Πύθωνι τῷ Ἀγήνορος· τὰς δ' ἐχομένας βασιλείας, τὴν μὲν παρὰ τὸν Ἰνδὸν ποταμὸν, Πώρῳ, τὴν δὲ παρὰ τὸν Ὑδάσπην, Ταξίλῃ. οὐ γὰρ ἦν τούτους τοὺς βασιλεῖς μετακινῆσαι χωρὶς βασιλικῆς δυνάμεως, καὶ ἡγεμονίας ἐπιφανοῦς. τῶν δὲ πρὸς τὴν ἄρκτον κεκλιμένων, Καππαδοκίαν μὲν Νικάνορι, Φρυγίαν δὲ τὴν μεγάλην καὶ Λυκίαν Ἀντιγόνῳ, καθάπερ πρότερον ἔσχε, Καρίαν δὲ Κασσάνδρῳ, Λυδίαν δὲ Κλείτῳ, Φρυγίαν δὲ τὴν ἐφ' Ἑλλησπόντῳ Ἀρριδαίῳ.

Antigono autem exercitus regii imperatore creato, cum regibus in Macedoniam rediit.

στρατηγὸν δὲ τῆς βασιλικῆς δυνάμεως ἀπέδειξεν Ἀντίγονον, ᾧ προστεταγμένον ἦν καταπολεμῆσαι Εὐμένη τε καὶ Ἀλκέταν· παρέζευξε δὲ τῷ Ἀντιγόνῳ χιλίαρχον τὸν υἱὸν Κάσσανδρον, ὅπως μὴ δύνηται διαλαθεῖν ἰδιοπραγῶν. αὐτὸς δὲ τοὺς βασιλεῖς ἀναλαβὼν καὶ τὴν ἰδίαν δύναμιν, προῆγεν ἐπὶ τὴν Μακεδονίαν, κατάξων τοὺς βασιλεῖς ἐπὶ τὴν πατρίδα.

Ἀντί-

Ἀντίγονος δ' ἐπὶ τῆς Ἀσίας ἀποδεδειγμένος στρατηγὸς διαπολεμῆσαι πρὸς Εὐμένη, ἤθροισεν ἐκ τῆς χειμασίας τὰς δυνάμεις. παρασκευασάμενος δὲ τὰ πρὸς τὴν μάχην, προῆγεν ἐπὶ τὸν Εὐμένη, διατρίβοντα περὶ Καππαδοκίαν. γενομένης δὲ μάχης ἰσχυρᾶς, καὶ τοῦ Ἀπολλωνίδου μετὰ τῶν περὶ αὐτὸν ἱππέων ποιήσαντος ἀλόγως ἀπὸ τῶν ἰδίων διάστασιν, ἐνίκησεν ὁ Ἀντίγονος, καὶ ἀνεῖλε τῶν ἐναντίων εἰς ὀκτακισχιλίους. ἐκυρίευσε δὲ καὶ τῆς ἀποσκευῆς ἁπάσης, ὥστε τοὺς περὶ τὸν Εὐμένη στρατιώτας διὰ μὲν τὴν ἧτταν καταπλαγῆναι, διὰ δὲ τὴν ἀπώλειαν τῆς ἀποσκευῆς ἀθυμῆσαι. Μετὰ δὲ ταῦθ' ὁ μὲν Εὐμένης ἐπεβάλετο φεύγειν εἰς τὴν Ἀρμενίαν, καὶ τῶν ἐν ταύτῃ κατοικούντων τινὰς πρὸς τὴν συμμαχίαν συλλαβέσθαι· καταταχούμενος δὲ, καὶ τοὺς στρατιώτας ὁρῶν ἀποχωροῦντας πρὸς τὸν Ἀντίγονον, κατελάβετο χωρίον ὀχυρὸν, ὃ προσηγορεύετο Νῶρα. συνέφυγον δὲ μετ' αὐτοῦ τῶν φίλων οἱ ταῖς εὐνοίαις διαφέροντες, καὶ κεκρικότες συναποθνήσκειν αὐτῷ κατὰ τοὺς ἐσχάτους κινδύνους· οἱ δὲ πάντες ὑπῆρχον ἱππεῖς τε καὶ πεζοὶ περὶ ἑξακοσίους. Ἀντίγονος δὲ παραλαβὼν τὴν μετ' Εὐμένους δύναμιν, καὶ τῶν σατραπειῶν καὶ τῶν ἐν ταύταις προσόδων κύριος γενόμενος, ἔτι δὲ παραλαβὼν πλῆθος χρημάτων, μειζόνων πραγμάτων ὠρέγετο. οὐκέτι γὰρ οὐδεὶς τῶν κατὰ τὴν Ἀσίαν ἡγεμόνων ἀξιόμαχον εἶχε δύναμιν διαγωνίσασθαι πρὸς αὐτὸν περὶ τῶν πρωτείων. διὸ καὶ πρὸς Ἀντίπατρον κατὰ μὲν τὸ παρὸν προσεποιεῖτο φιλικῶς διακεῖσθαι, διεγνώκει δὲ, τὸ καθ' αὐτὸν ἀσφαλισάμενος, μηκέτι προσέχειν μήτε τοῖς βασιλεῦσι, μήτε Ἀντιπάτρῳ.

cap. 40. Eumenes cladem accipit.

cap. 41. Antigonus Eumenem Noræ clausum tenet.

Nova in Antipatrum consilia capit.

Πρὸ δὲ πάντων ἔκρινε στρατεύειν ἐπὶ τὸν Ἀλκέταν καὶ Ἄτταλον περὶ τὴν Πισιδικὴν, οὗτοι γὰρ ὑπελείποντο τῶν Περδίκκου φίλων καὶ οἰκείων ἡγεμόνες μὲν ἀξιόλογοι, στρατιώτας δ' ἔχοντες ἱκανοὺς ἀμφισβητῆσαι πραγμάτων. ὁ δὲ Ἀντίγονος κατεπολέμησεν αὐτοὺς καὶ ἀναζεύξας ἐκ τῆς Πισιδικῆς, προῆγεν ἐπὶ Φρυγίας μετὰ πάσης τῆς δυνάμεως. ὡς δὲ κατήντησεν εἰς Κρητῶν πόλιν, ἧκε πρὸς αὐτὸν Ἀριστόδημος ὁ Μιλήσιος, ἀπαγγέλλων ὅτι Ἀντίπατρος μὲν τετελεύτηκεν, ἡ δὲ τῶν ὅλων ἡγεμονία καὶ τῶν βασιλέων ἡ ἐπιμέλεια μεταπέπτωκεν εἰς Πολυ-

cap. 44. Alcetam & Attalum aggredi constituit.

cap. 47. Nuntium de Antipatro vita functo accipit.

Πολυσπέρχοντα τὸν Μακεδόνα. ἐπαρθεὶς δ᾽ ἐπὶ τοῖς γεγονόσι, μετέωρος ἦν ταῖς ἐλπίσι, καὶ διενοεῖτο τῶν κατὰ τὴν Ἀσίαν ἔχεσθαι πραγμάτων, καὶ τῆς κατ᾽ αὐτὴν ἡγε-

317 ante Chr. cap. 50. μονίας μηδενὶ παραχωρεῖν. ὑπελάμβανε γὰρ αὐτὸν κρεῖττω δύναμιν ἔχοντα, τῶν κατὰ τὴν Ἀσίαν θησαυρῶν κύριον ἔσεσθαι, μηδενὸς ὄντος τοῦ δυναμένου πρὸς αὐτὸν ἀντιτάξασθαι. εἶχε γὰρ κατ᾽ ἐκεῖνον τὸν χρόνον στρατιώτας πεζοὺς μὲν ἑξακισμυρίους, ἱππεῖς δὲ μυρίους, ἐλέφαντας δὲ τριάκοντα. χωρὶς δὲ τούτων, ἑτοίμας ποιήσασθαι καὶ ἄλλας δυνάμεις ἤλπιζεν, ἂν ᾖ χρεία, δυναμένης τῆς Ἀσίας χορηγεῖν ἀνεκλείπτως τοῖς στρατολογουμένοις ξένοις τὰς μισθοφορίας. εὐθὺς δὲ καὶ τῶν φίλων συναγαγὼν συνέδριον, καὶ περὶ τῆς τῶν ὅλων ἐπιβολῆς κοινωσάμενος, διέγραψε τῶν ἀξιολόγων φίλων οἷς μὲν σατραπείας, οἷς δὲ στρατηγίας. πᾶσι δὲ μεγάλας ἐλπίδας ὑποθείς, προθύμους κατεσκεύασε πρὸς τὰς ἰδίας ἐπιβολάς. διενοεῖτο γὰρ ἐπελθεῖν τὴν Ἀσίαν, καὶ τοὺς μὲν προϋπάρχοντας σατράπας ἐκβαλεῖν, πρὸς δὲ τῶν ἑαυτοῦ φίλων καταστῆσαι τὰς ἡγεμονίας.

cap. 53. Eumenes liberatur. τὸν δὲ Εὐμένη, εἰς χωρίον ἐγκλεισθέντα παρεκάλεσε πρὸς κοινοπραγίαν· καὶ λαβὼν διὰ τῶν ὅρκων τὰς πίστεις, τῆς πολιορκίας ἀπελύθη. μετὰ δέ τινα χρόνον ἀνελπίστως διασωθείς, τότε μὲν περὶ τὴν Καππαδοκίαν διέτριβεν, ἀναλαμβάνων τοὺς προγεγονότας φίλους, καὶ τοὺς κατὰ τὴν χώραν πλανωμένους τῶν συνεστρατευκότων πρότερον. γενόμενος δὲ διαφερόντως σπουδαῖος, ταχὺ πολλοὺς ἔσχε κοινωνοὺς τῶν αὐτῶν ἐλπίδων, καὶ πρὸς τὴν μετ᾽ αὐτοῦ στρατείαν ὑπακούοντας. τέλος δὲ ἐν ὀλίγαις ἡμέραις, χωρὶς τῶν ἐν φρουρίῳ συμπεπολιορκημένων φίλων πεντακοσίων, ἔσχε στρατιώτας ἐθελοντὶ ὑπακούοντας πλείους τῶν δισχιλίων. τῆς τύχης δ᾽ αὐτῷ συνεργούσης, τηλικαύτην ἔλαβεν αὔξησιν, ὥστε παραλαβεῖν τὰς βασιλικὰς δυνάμεις, καὶ προστῆναι τῶν βασιλέων πρὸς τοὺς καταλύειν αὐτῶν τὴν ἀρχὴν τετολμηκότας.

316 ante Chr. cap. 62. Ptolemæi & Antigoni invidia in Eumenem. Παραδόξου δὲ καὶ ταχείας τῆς περὶ τὸν Εὐμένη γενομένης αὐξήσεως, Πτολεμαῖος μὲν μετὰ στόλου πλεύσας εἰς Ζεφύριον τῆς Κιλικίας, διεπέμπετο πρὸς τοὺς τῶν Ἀργυρασπίδων ἡγεμόνας, παρακαλῶν μὴ προσέχειν τῷ Εὐμέ-

Ἐυμένει, καθ' ȣ̓ πάντες Μακεδόνες θάνατον κατέγνωσαν. ὁμοίως δὲ πρὸς τȣ̀ς ἐπὶ τῶν ἐν Κυΐνδοις Φρȣρίων τεταγμένȣς ἐξέπεμψε, διαμαρτυρόμενος μὴ διδόναι μηδὲν τῶν χρημάτων Ἐυμένει, καὶ τὴν ἀσφάλειαν ἀυτοῖς ἐπηγγείλατο παρέξεσθαι. ἀλλὰ τȣ́τῳ μὲν ȣ̓δεὶς προσεῖχε, διὰ τὸ τȣ̀ς βασιλεῖς καὶ τὸν ἐπιμελητὴν ἀυτῶν Πολυσπέρχοντα, ἔτι δὲ Ὀλυμπιάδα τὴν Ἀλεξάνδρȣ μητέρα γεγραφέναι, πάντα ὑπηρετεῖν Ἐυμένει, ὡς ὄντι τῆς βασιλείας ἀυτοκράτορι ϛρατηγῷ. μάλιϛα δ' Ἀντιγόνῳ δυσηρέσει τότε τὰ περὶ τὴν Ἐυμένȣς προαγωγὴν, καὶ τὸ μέγεθος τῆς περὶ ἀυτὸν συνιϛαμένης ἐξȣσίας. ὑπελάμβανε γὰρ ὑπὸ τȣ̃ Πολυσπέρχοντος τȣ̃τον ἑαυτῷ κατασκευάσασθαι μέγιϛον ἀντίπαλον, ἀποϛάτῃ γεγονότι τῆς βασιλείας. Ὁ δὲ Πολυσπέρχων Κλεῖτον τὸν νάυαρχον μετὰ τȣ̃ ϛόλȣ παντὸς ἐξέπεμψε, προστάξας ἐφεδρεύειν τοῖς περὶ τὸν Ἑλλήσποντον τόποις, καὶ κωλύειν τὰς ἐκ τῆς Ἀσίας διαβιβαζομένας δυνάμεις ἐις τὴν Ἐυρώπην. γενομένης δὲ ναυμαχίας ȣ̓ μακρὰν τῆς τῶν Βυζαντίων πόλεως, ἐνίκα ὁ Κλεῖτος. ὁ δ' Ἀντίγονος, πυθόμενος τὰ περὶ τὸν ϛόλον ἐλαττώματα, παραδόξως διὰ τῆς ἰδίας ἀγχινοίας καὶ ϛρατηγίας ἀνεμαχέσατο τὸ γεγονὸς ἐλάττωμα· καὶ πλὴν μιᾶς τῆς ναυαρχίδος, τῶν λοιπῶν πασῶν ἀυτάνδρων ἐκυρίευσε.

cap. 72. Polysperchon Clitum cum classe in Hellespontum mittit, proelio Clitus vincit, sed succurrit Antigonus.

Ἀντίγονος μὲν ȣ̃ν, τηλικαύτῃ συμφορᾷ περιβαλὼν τȣ̀ς πολεμίȣς, μεγάλην ἐπὶ ϛρατηγίᾳ καὶ συνέσει δόξαν ἀπηνέγκατο. θαλαττοκρατῆσαι δὲ ἔσπευδε, καὶ τὴν τῆς Ἀσίας ἡγεμονίαν ἀδήριτον περιποιήσασθαι. διόπερ ἐξ ἁπάσης τῆς δυνάμεως ἐπιλέξας ἐυζώνȣς πεζȣ̀ς μὲν δισμυρίȣς, ἱππεῖς δὲ τετρακισχιλίȣς, προῆγεν ἐπὶ Κιλικίας, σπεύδων τȣ̀ς περὶ τὸν Ἐυμένη καταλῆψαι, πρὸ τȣ̃ δύναμιν ἁδροτέραν ἀθροίζειν. Ἐυμένης δὲ, πυθόμενος τὴν ὁρμὴν τῶν περὶ τὸν Ἀντίγονον, ἀνέζευξεν ἐκ τῆς Φοινίκης, καὶ διὰ τῆς κοίλης Συρίας προῆγε μετὰ τῆς δυνάμεως, σπεύδων τῶν ἄνω λεγομένων σατραπειῶν ἅψασθαι. Ἐυμένης μὲν ἔχων τȣ̀ς Ἀργυράσπιδας Μακεδόνας, καὶ τὸν ἀφηγέμενον ἀυτῶν Ἀντιγένην, παρεχείμασε μὲν τῆς Βαβυλωνίας ἐν ταῖς ὀνομαζομέναις Καρῶν κώμαις· πρὸς δὲ Σέλευκον καὶ Πύθωνα πρέσβεις ἀπέϛειλεν, ἀξιῶν βοη-

cap. 73. Antigonus imperium maris & Asiae affectat, ideo Eumenem urget.

315 ante Chr. *Diodor. Sic.* XIX. 12. Eumenes hiberna apud Caras Babyloniae habuit.

βοηθεῖν τοῖς βασιλεῦσι, καὶ μετ' αὐτȣ̃ συναγωνίσασθαι πρὸς Ἀντίγονον. τȣ́των δ' ὁ μὲν Πύθων τῆς Μηδίας, ὁ δ' ἕτερος τῆς Βαβυλωνίας σατράπης ἀπεδέδεικτο, καθ' ὃν καιρὸν ἡ δευτέρα διαίρεσις ἐγενήθη τῶν σατραπειῶν ἐν Τριπαραδείσῳ. οἱ δὲ περὶ Σέλευκον τοῖς μὲν βασιλεῦσιν ἔφασαν βȣ́λεσθαι παρέχεσθαι χρείας, Εὐμένει μέντοιγε μηδὲ ποθ' ὑπομένειν ποιȣ̃ντας τὸ προσταττόμενον, ὃ Μακέδονες συνελθόντες κατέγνωσαν θάνατον· πολλὰ δὲ πρὸς ταύτην τὴν προαίρεσιν διαλεχθέντες, συνεξέπεμψαν παρ' αὐτῶν πρεσβευτὴν πρὸς Ἀντιγένην καὶ τȣ̀ς Ἀργυράσπιδας, ἀξιȣ̃ντες ἀφιςάναι τῆς ἡγεμονίας Εὐμένη. τῶν δὲ Μακεδόνων ȣ̓ προσεχόντων τοῖς λόγοις, Εὐμένης, ἐπαινέσας αὐτῶν τὴν προθυμίαν, ἀνέζευξε μετὰ τῆς δυνάμεως, καὶ παραγενηθεὶς ἐπὶ τὸν Τίγριν ποταμὸν, κατεςρατοπέδευσε, τῆς Βαβυλῶνος ἀπέχων ςαδίȣς τριακοσίȣς· καὶ πρόθεσιν μὲν εἶχεν εἰς Σȣ̃σα ποιεῖσθαι τὴν πορείαν, διανοȣ́μενος τὰς ἐκ τῶν ἄνω σατραπειῶν δυνάμεις μεταπέμπεσθαι, καὶ τοῖς βασιλικοῖς θησαυροῖς χρήσασθαι πρὸς τὰς κατεπειγȣ́σας χρείας.

ubi Python & Seleucus ei maxime adversabantur.

314 ante Chr. cap. 17. Antigonus movet in Eumenem,

Ἀντίγονος δὲ ἐκ τῆς Μεσοποταμίας ἀναζεύξας, ἧκεν εἰς τὴν Βαβυλωνίαν, κἀκεῖ συνέθετο κοινοπραγίαν Σελεύκῳ καὶ Πύθωνι. προσλαβόμενος δὲ καὶ παρὰ τȣ́των ςρατιώτας, ἔζευξε πλοίοις τὸν Τίγριν ποταμὸν, καὶ περαιώσας τȣ̀ς δυνάμεις, ὥρμησεν ἐπὶ τȣ̀ς πολεμίȣς, καὶ αὐτȣ̀ς ἐνίκα. οἱ δὲ Μακεδόνες περὶ λύχνων ἀφὰς, συνελθόντες ἐβȣλεύοντο τί χρὴ πράττειν. οἱ μὲν ȣ̃ν σατράπαι τὴν ταχίςην ἔφησαν δεῖν ἀποχωρεῖν εἰς τὰς ἄνω σατραπείας· ὁ δὲ Εὐμένης ἀπεφαίνετο μένειν καὶ διαγωνίζεσθαι, τῆς μὲν τῶν ἐναντίων φάλαγγος συντετριμμένης, τῆς δὲ τῶν ἱππέων δυνάμεως ἐφαμίλλȣ παρ' ἀμφοτέροις ȣ̓́σης. οἱ δὲ Μακεδόνες ȣ̓δετέροις ἔφασαν ὑπακȣ́σεσθαι, τῆς ἀποσκευῆς αὐτῶν ἡλωκυίας, καὶ παρὰ τοῖς πολεμίοις ὄντων τέκνων καὶ γυναικῶν, καὶ πολλῶν ἀναγκαίων σωμάτων. τότε μὲν ȣ̃ν διελύθησαν, ȣ̓δεμίαν συμπεφωνημένην γνώμην βεβαιώσαντες· μετὰ δὲ ταῦθ' οἱ Μακεδόνες λάθρα διαπρεσβευσάμενοι πρὸς Ἀντίγονον, τὸν μὲν Εὐμένη συναρπάσαντες παρέδωκαν· τὰς δ' ἀποσκευὰς κομισάμενοι, καὶ πίςεις λαβόντες, κατετάχθησαν εἰς τὸ ςρατόπε-

eumque vincit.

cap. 43. Macedones ad Antigonum deficiunt,

ipsumque Eumenem hosti tradunt.

τόπεδον. τὸ παραπλήσιον δ' οἵ τε σατράπαι καὶ τῶν ἄλλων ἡγεμόνων τε καὶ στρατιωτῶν οἱ πλεῖστοι τὸν στρατηγὸν ἐγκαταλιπόντες, τῆς ἰδίας μόνον ἀσφαλείας ἐφρόντισαν. Ἀντίγονος δὲ παραδόξως κυριεύσας τοῦ τ' Εὐμένους καὶ πάσης τῆς ἀντιτεταγμένης δυνάμεως, Ἀντιγένην μὲν τὸν τῶν Ἀργυρασπίδων ἡγέμενον συλλαβὼν, καὶ καταθέμενος εἰς σειρὸν, ζῶντα κατέκαυσεν· Εὔδημον δὲ τὸν ἐξ Ἰνδῶν καταγαγόντα τοὺς ἐλέφαντας, καὶ Κελβανὸν, καί τινας ἄλλους τῶν ἀλλοτρίως ἀεὶ πρὸς αὐτὸν ἐχόντων ἀνεῖλεν. Εὐμένην δὲ παραδοὺς εἰς φυλακὴν, ἐβουλεύετο πῶς αὐτῷ χρηστέον εἴη. ὁρῶν δὲ καὶ τὴν τῶν Μακεδόνων ὁρμὴν ἀπαραίτητον οὖσαν πρὸς τὴν κατ' Εὐμένους τιμωρίαν, ἀνεῖλε τὸν ἄνδρα· διὰ δὲ τὴν προγεγενημένην φιλίαν καύσας τὸ σῶμα, καὶ καταθέμενος εἰς ἀγγεῖον τὰ ὀστᾶ, πρὸς τοὺς οἰκείους ἀπέστειλεν. cap. 44. Eumenem Antigonus supplicio affecit.

Ἀντίγονος δὲ χειμάζων ἐν τῇ Μηδίᾳ, καὶ πυθόμενος Πύθωνα πολλοὺς τῶν ἐν τῇ χειμασίᾳ στρατιωτῶν ἐπαγγελίαις καὶ δωρεαῖς ἰδίοις κατασκευάζειν, καὶ διανοεῖσθαι νεωτερίζειν, τὴν μὲν ἰδίαν προαίρεσιν ἐπεκρύψατο, καὶ ἔγραψε πρὸς αὐτὸν ἐπιστολὴν, ἀξιῶν ἥκειν τὴν ταχίστην, ὅπως κατὰ πρόσωπον περὶ τῶν ἀναγκαίων κοινολογησάμενος, ταχέως τὴν ἐπὶ θάλασσαν κατάβασιν ποιήσηται. ὁ οὖν Πύθων, ἐξαπατηθεὶς κεναῖς προσδοκίαις, ἧκε πρὸς Ἀντίγονον. ὁ δὲ κυριεύσας τοῦ σώματος, καὶ κατηγορίαν ποιησάμενος ἐν τοῖς μετέχουσι τοῦ συνεδρίου, ῥαδίως κατεδίκασε, καὶ παραχρῆμα ἀπέκτεινε. cap. 46. Pythonem, res novas molientem, ad se vocatum trucidat Antigonus.

Ὁ δ' Ἀντίγονος ἐπειδὴ τάχιστ' ἦλθεν εἰς τὴν Περσίδα, τιμῆς μὲν ὑπὸ τῶν ἐγχωρίων ἠξιώθη βασιλικῆς, ὡς ἂν κύριος ὢν ὁμολογουμένως τῆς Ἀσίας· αὐτὸς δὲ μετὰ τῶν φίλων συνεδρεύσας, ἐβουλεύετο περὶ τῶν σατραπειῶν. τὴν μὲν οὖν Καρμανίαν εἴασεν ἔχειν Τληπόλεμον, καὶ τὴν Βακτριανὴν ὁμοίως Στασάνορα· οὐ γὰρ ῥᾴδιον ἦν τούτους διὶ ἐπιστολῆς ἐκβαλεῖν, εὖ τὰ πρὸς τοὺς ἐγχωρίους πεπολιτευμένους, καὶ πολλοὺς ἔχοντας συναγωνιστάς. εἰς δὲ τὴν Ἀρίαν ἀπέστειλεν Εὔιτον. τελευτήσαντος δὲ μετ' ὀλίγον χρόνον, ἀντικατέστησεν Εὐαγόραν, ἄνδρα καὶ κατ' ἀνδρείαν καὶ σύνεσιν θαυμαζόμενον. Ὀξυάρτην δὲ τὸν Ῥωξάνης πατέρα τὴν ἐν Παροπαμισάδαις σατραπείαν εἴασεν cap. 48. In Persia Antigonus, regio honore cultus, satrapias inter amicos distribuit.

σεν ἔχειν, καθὰ καὶ πρότερον εἶχεν. οὔτε γὰρ τοῦτον ἦν ἐκβαλεῖν δυνατὸν ἄνευ χρόνου πολλοῦ καὶ δυνάμεως ἁδρᾶς. μετεπέμψατο δὲ καὶ Σιβύρτιον ἐξ Ἀραχωτῶν, οὗ διακείμενον τὰ πρὸς αὐτὸν, καὶ τήν τε σατραπείαν ἔχειν συνεχώρησε, καὶ τῶν Ἀργυρασπίδων συνέστησε τοὺς ταραχωδεστάτους, τῷ μὲν λόγῳ, πρὸς τὰς ἐν τῷ πολέμῳ χρείας, τῷ δ' ἔργῳ, πρὸς ἀπώλειαν. κατ' ἰδίαν γὰρ ἐνετείλατο κατ' ὀλίγους αὐτῶν εἰς τοιαύτας χρείας ἀποστέλλειν, ἐν αἷς ἔμελλον ἀπολεῖσθαι. ἐν δὲ τούτοις εἶναι συνέβαινε καὶ τοὺς Εὐμένη παραδόντας, ὥστε τῶν εἰς τὸν στρατηγὸν παρανομημάτων συντόμως αὐτοῖς ἐπιστῆναι τιμωρίαν. αἱ γὰρ ἀσεβεῖς χρεῖαι τοῖς μὲν δυνάσταις διὰ τὴν ἐξουσίαν γίνονται λυσιτελεῖς, τοῖς δ' ὑπακούσασιν ἰδιώταις μεγάλων κακῶν ὡς ἐπίπαν αἴτιαι καθίστανται. ὁ δ' οὖν Ἀντίγονος, ὁρῶν τὸν Πευκέστην παρὰ τοῖς Πέρσαις μεγάλης ἀποδοχῆς τυγχάνοντα, τὸ μὲν πρῶτον παρείλετο τὴν σατραπείαν αὐτοῦ. τῶν δὲ ἐγχωρίων ἀγανακτούντων, ἑνὸς δὲ τῶν ἐπιφανεστάτων Θεσπίου καὶ παῤῥησίαν ἀγαγόντος, ὡς οὐχ ὑπακουσομένων Περσῶν ἑτέρῳ, τοῦτον μὲν ἀπέκτεινεν, Ἀσκληπιόδωρον δὲ κατέστησε τῆς Περσίδος ὕπαρχον, καὶ τοὺς ἱκανοὺς στρατιώτας παρέδωκε. Πευκέστην δ' εἰς ἄλλας ἐλπίδας ἀγαγὼν, καὶ κενῶς μετεωρίσας, ἐξήγαγεν ἐκ τῆς χώρας. ποιουμένου δ' αὐτοῦ τὴν πορείαν ἐπὶ Σούσων, ἀπήντησεν αὐτῷ ἐπὶ τῷ Πασιτίγρει ποταμῷ Ξενόφιλος ὁ κυριεύων τῶν ἐν Σούσοις χρημάτων, ἀπεσταλμένος ὑπὸ Σελεύκου πᾶν ποιῆσαι τὸ προστασσόμενον. τοῦτον μὲν οὖν προσδεξάμενος, προσεποιεῖτο τιμᾶν ἐν τοῖς μεγίστοις τῶν φίλων, εὐλαβούμενος μὴ μετανοήσας πάλιν αὐτὸν ἀποκλείσῃ. αὐτὸς δὲ παραλαβὼν τὴν ἐν Σούσοις ἄκραν, κατέλαβεν ἐν αὐτῇ τήν τε χρυσῆν ἀναδενδράδα, καὶ πλῆθος ἄλλων κατασκευασμάτων, πάντων συναγομένων εἰς μύρια καὶ πεντακισχίλια τάλαντα. ἠθροίσθη δ' αὐτῷ καὶ ἄλλο πλῆθος χρημάτων ἔκ τε τῶν στεφάνων καὶ τῶν ἄλλων δωρεῶν, ἔτι δὲ ἐκ τῶν λαφύρων. ταῦτα γὰρ ἦσαν πεντακισχίλια τάλαντα, καὶ κατὰ τὴν Μηδίαν ἄλλα τοσαῦτα, χωρὶς τῶν ἐν Σούσοις θησαυρῶν· ὥστε τὰ πάντα συναχθῆναι τάλαντα δισμύρια πεντακισχίλια. Ἔπειτα Ἀντίγονος, τῆς μὲν Σουσιανῆς ἀπέλιπε σατρά-

Præter opes Susianas ingentem pecuniarum vim recipit.

312 ante Chr.

σατράπην Ἀσπίσαν, ἕνα τῶν ἐγχωρίων· αὐτὸς δὲ τὰ χρήματα πάντα διαγνοὺς κατακομίζειν ἐπὶ θάλασσαν, ἁμάξας καὶ καμήλους παρεσκευάσατο, καὶ μετὰ τῆς δυνάμεως ἔχων ταῦτα προῆγεν ἐπὶ τῆς Βαβυλωνίας. ἐν ἡμέραις δ' εἴκοσι καὶ δυσὶν αὐτοῦ καταντήσαντος εἰς Βαβυλῶνα, Σέλευκος ὁ τῆς χώρας σατράπης δωρεαῖς τε βασιλικαῖς ἐτίμησε τὸν Ἀντίγονον, καὶ τὴν δύναμιν ἅπασαν εἱστίασε. τοῦ δ' Ἀντιγόνου λόγους ἀπαιτοῦντος τῶν προσόδων, οὐκ ἔφησεν ὀφείλειν ὑπὲρ ταύτης τῆς χώρας ὑπέχειν εὐθύνας, ἣν Μακεδόνες αὐτῷ δεδώκασι διὰ τὰς γεγενημένας ἐξ αὐτοῦ χρείας Ἀλεξάνδρου ζῶντος. τῆς δὲ διαφορᾶς καθ' ἡμέραν αὐξομένης, ὁ Σέλευκος ἀναλογιζόμενος τὰ Πύθωνι συμβάντα, περιδεὴς ἦν, μήποτε προφάσεως λαβόμενος ὁ Ἀντίγονος ἀνελεῖν αὐτὸν ἐπιχειρήσῃ. ἐῴκει γὰρ τοὺς ἐν ἀξιώμασι τῶν ἀνδρῶν ὄντας, καὶ δυναμένους πραγμάτων ἀντιλαμβάνεσθαι, πάντας σπεύδειν ἐκ ποδῶν ἀπαλλάσσειν. ταῦτ' οὖν εὐλαβηθεὶς, ἐξεπήδησε μετὰ πεντήκονθ' ἱππέων, διανοούμενος εἰς Αἴγυπτον ἀποχωρεῖν πρὸς Πτολεμαῖον. διεβεβόητο γὰρ ἡ τούτου χρηστότης καὶ τὸ πρὸς τοὺς καταφεύγοντας ἐπ' αὐτὸν εὐμενὲς καὶ φιλάνθρωπον. ὁ δ' Ἀντίγονος ἀκούσας ἀνεσκίρτησε, καὶ περιχαρὴς ἦν ἐπὶ τῷ δοκεῖν αὐτὸς μὲν μὴ συνηναγκάσθαι προσενεγκεῖν τὰς χεῖρας ἀνδρὶ φίλῳ καὶ συνηγωνισμένῳ προθύμως· τὸν Σέλευκον δ' αὐτὸν αὑτοῦ καταγνόντα φυγὴν, παραδεδωκέναι τὴν σατραπείαν χωρὶς ἀγώνων καὶ κινδύνων.

cap. 55. In Asia Antigonus Babylonem contendit.

Ibi dissidio inter ipsum & Seleucum orto,

Seleucus in Aegyptum ad Ptolemæum aufugit.

Ὁ δ' οὖν Σέλευκος διασωθεὶς εἰς τὴν Αἴγυπτον, φιλανθρωπίας τε πάσης ἐτύγχανε παρὰ Πτολεμαίῳ, καὶ κατηγορίαν ἐποιεῖτο πικρὰν Ἀντιγόνου, λέγων ὅτι διεγνώκει πάντας τοὺς ἐν ἀξιώμασιν ὄντας, καὶ μάλιστα τοὺς Ἀλεξάνδρῳ συνεστρατευκότας ἐκβαλεῖν ἐκ τῶν σατραπειῶν, καὶ τούτων ἀποδείξεις ἔφερε τήν τε Πύθωνος ἀναίρεσιν, καὶ τὴν Πευκέστου τῆς Περσίδος ἀφαίρεσιν, καὶ τὰ περὶ αὐτὸν συμβάντα. πάντας γὰρ οὐδὲν ἠδικηκότας, ἀλλὰ καὶ χρείας πολλὰς καὶ μεγάλας ἐν τῇ φιλίᾳ παρεσχημένους, ἀρετῆς ὑπομεμενηκέναι πρόστιμον. διεξῄει δὲ καὶ τὰ μεγέθη τῶν περὶ αὐτὸν δυνάμεων, καὶ τὸ πλῆθος τῶν χρημάτων, ἔτι δὲ τὰς προσφάτους εὐτυχίας, ἐξ ὧν ὑπεδείκνυεν ὑπερήφανον γεγενημένον, καὶ ταῖς ἐλπίσι περιειληφό-

cap. 56. Benigne acceptus in Aegypto Seleucus, Ptolemæum ad bellum contra Antigonum impellit.

ληφότα πᾶσαν τὴν Μακεδόνων βασιλείαν. διὰ δὲ τοιέτων λόγων προτρεψάμενος τὸν Πτολεμαῖον ἑτοιμάζεθαι τὰ πρὸς τὸν πόλεμον, ἐξέπεμψέ τινας τῶν φίλων εἰς τὴν Ἐυρώπην, προστάξας πειρᾶθαι τοῖς ὁμοίοις λόγοις ἐχθρὲς Ἀντιγόνε καταςῆσαι Κάσσανδρόν τε καὶ Λυσίμαχον. ὧν ταχὺ τὸ κελευθὲν συντελεσάντων, ἀρχὴ διαφορᾶς ἐφύετο, καὶ μεγάλων πολέμων. ὁ δ' Ἀντίγονος, ἐκ τῶν εἰκότων συλλογισάμενος τὴν Σελεύκε προαίρεσιν, ἐξέπεμψε πρεσβευτὰς πρός τε Πτολεμαῖον καὶ Λυσίμαχον καὶ Κάσσανδρον, ἀξιῶν διαφυλάσσειν τὴν προϋπάρχεσαν φιλίαν· τῆς δὲ Βαβυλωνίας καταςήσας σατράπην Πίθωνα τὸν ἐκ τῆς Ἰνδικῆς καταβεβηκότα, μετὰ τῆς δυνάμεως ἀνέζευξεν, ἐπὶ τῆς Κιλικίας τὴν πορείαν ποιέμενος. ὡς δ' εἰς Μάλλον παρεγένετο, διεμέρισε τὴν δύναμιν εἰς παραχειμασίαν, μετὰ δύσιν Ὠρίωνος. παρέλαβε δὲ καὶ τὰ ἐν Κυΐνδοις χρήματα, τάλαντα μύρια. χωρὶς δὲ τέτων συνάγεθαι ἐκ τῶν προσόδων αὐτῷ τῶν κατ' ἐνιαυτὸν τάλαντα μύρια καὶ χίλια, διόπερ συνέβαινεν αὐτὸν φοβερὸν ἔιναι καὶ διὰ τὸ μέγεθος τῆς δυνάμεως, καὶ διὰ τὸ πλῆθος τῶν χρημάτων.

Interea Antigonus, missa legatione Ptolemæum, Cassandrum, Lysimachum placare conatur; simul ultra in Ciliciam movet, copiis & pecunia terribilis.

cap. 57.

Recusata provinciarum & pecuniarum æqua divisione,

Προάγοντος δ' εἰς τὴν ἄνω Συρίαν Ἀντιγόνε, παρεγένοντο πρέσβεις παρά τε Πτολεμαίε καὶ Λυσιμάχε καὶ Κασσάνδρε. ὅτοι δ' εἰσαχθέντες εἰς τὸ συνέδριον, ἠξίεν Καππαδοκίαν μὲν καὶ Λυκίαν Κασσάνδρῳ δοθῆναι, Φρυγίαν δὲ τὴν ἐφ' Ἑλλησπόντῳ Λυσιμάχῳ, Συρίαν δὲ πᾶσαν Πτολεμαίῳ, Βαβυλωνίαν δὲ Σελεύκῳ· τῶν δὲ θησαυρῶν, ὃς παρέλαβε μετὰ τὴν πρὸς Ἐυμένη μάχην, ποιήσαθαι μερισμόν· καὶ γὰρ αὐτὲς κεκοινωνηκέναι τὲ πολέμε· εἰ δὲ μηδὲν τέτων ποιήσῃ, συςάντες ἅπαντες ἔφασαν πολεμήσειν αὐτῷ. τὲ δ' Ἀντιγόνε τραχύτερον ἀποκριναμένε, καὶ τὰ πρὸς Πτολεμαῖον εἰπόντος παρασκευάζεθαι, συνέβη τὲς πρέσβεις ἀπράκτες ἐπανελθεῖν. μετὰ δὲ ταῦθ' οἱ μὲν περὶ Πτολεμαῖον καὶ Λυσίμαχον, ἔτι δὲ καὶ Κάσσανδρον, συμμαχίαν πρὸς ἀλλήλες ποιησάμενοι, δυνάμεις τε συνῆγον, καὶ παρασκευὰς ὅπλων τε καὶ βελῶν καὶ τῶν ἄλλων τῶν χρησίμων ἐποίεν. Ἀντίγονος δ' ὁρῶν ἐφ' ἑαυτὸν συνεςηκότας πολλὲς καὶ μεγάλες τοῖς ἀξιώμασιν ἄνδρας, καὶ συλ-

Ptolemæus, Lysimachus & Cassander arma in Antigonum consociant.

συλλογιζόμενος τὸ μέγεθος τȣ̃ Φυομένȣ πολέμȣ, τά τ᾽ ἔθνη καὶ πόλεις καὶ δυνάςας προσεκαλεῖτο ἐις συμμαχίαν. Ἀγησίλαον μὲν ȣ̂ν πρὸς τȣ̀ς ἐν Κύπρῳ βασιλεῖς, ἐις δὲ Ῥόδον Ἰδομενέα καὶ Μοσχίωνα, Πτολεμαῖον δὲ τὸν ἀδελφιδȣ̃ν μετὰ δυνάμεως ἐις Καππαδοκίαν ἀπέςειλεν, ἵνα λύσῃ μὲν Ἀμισȣ̃ τὴν πολιορκίαν, καὶ τȣ̀ς ὑπὸ Κασσάνδρȣ πεμφθέντας ἐις Καππαδοκίαν ἐκβάλῃ πάντας· πρὸς δὲ τȣ́τοις, ὅπως παραγενόμενος ἐις Ἑλλήσποντον, ἐφεδρεύῃ τοῖς περὶ Κάσσανδρον, ἂν ἐπιχειρῇ διαβαίνειν ἐκ τῆς Εὐρώπης. Ἀριςόδημον δὲ τὸν Μιλήσιον ἐις Πελοπόννησον ἐξέπεμψεν, ἔχοντα χίλια τάλαντα. τȣ́τῳ δὲ συνετέτακτο συνθέθαι φιλίαν πρὸς Ἀλέξανδρον καὶ Πολυσπέρχοντα, καὶ ξενολογήσαντα τȣ̀ς ἱκανȣ̀ς, διαπολεμεῖν Κασσάνδρῳ. ἀυτὸς δὲ πᾶσαν τὴν Ἀσίαν, ἧς ἦν κύριος, διέλαβε πυρσαῖς καὶ βιβλιαφόροις, δἰ ὧν ὀξέως ἤμελλεν ὑπηρετεῖθαι πάντα.

Antigoni contra hostes apparatus.

Ἀπὸ δὲ τȣ́των γενόμενος, ἀνέζευξεν ἐπὶ Φοινίκην, σπεύδων ναυτικὴν δύναμιν συςήσαθαι· συνέβαινε γὰρ τȣ̀ς μὲν πολεμίȣς τότε θαλασσοκρατεῖν, ναῦς πολλὰς ἔχοντας, ἀυτῷ δὲ τὸ παράπαν ȣ̓δ᾽ ὀλίγας ἐ̃ιναι. ςρατοπεδεύσας δὲ ἐν Τύρῳ τῆς Φοινίκης, καὶ πολιορκῆσαι διανοȣ́μενος τὴν Τύρον, μετεπέμπετο τȣ̀ς βασιλεῖς τῶν Φοινίκων, καὶ τȣ̀ς ὑπάρχȣς τῆς Συρίας· καὶ τȣ̀ς μὲν βασιλεῖς προετρέψατο συνεπιλαβέθαι ναυπηγίας, ἐπειδὴ τὰς ναῦς τὰς ἐκ Φοινίκης ἁπάσας μετὰ τῶν πληρωμάτων Πτολεμαῖος ἐ̃ιχεν ἐν Ἀιγύπτῳ· τοῖς δ᾽ ὑπάρχοις ἐκέλευσεν ἑτοιμάσαι κατὰ τάχος πυρῶν μὲν μεδίμνων μυριάδας τετρακοσίας πεντήκοντα· (τοσȣ̃το γὰρ ἐις τὸν ἐνιαυτὸν ἐγίνετο δαπάνημα·) ἀυτὸς δὲ πανταχόθεν ἀθροίσας ὑλοτόμȣς καὶ πρίστας, ἔτι δὲ ναυπηγȣ̀ς, κατεκόμιζε τὴν ὕλην ἐπὶ θάλασσαν ἐκ τȣ̃ Λιβάνȣ, τεμνόντων μὲν ἀυτὴν καὶ πριζόντων ἀνδρῶν ὀκτακισχιλίων, κατακομιζόντων δὲ ζευγῶν χιλίων. τὸ δ᾽ ὄρος τȣ̃το παρήκει μὲν παρά τε τὴν Τρίπολιν καὶ Βυβλίαν, ἔτι δὲ Σιδωνίαν, πλῆρες δ᾽ ἐςὶ ξύλων κεδρίνων καὶ πευκῶν καὶ κυπαρισσίνων, θαυμαςῶν τό τε κάλλος καὶ μέγεθος. ναυπηγεῖα δ᾽ ἀπέδειξε τρία μὲν κατὰ τὴν Φοινίκην, ἔν τε Τριπόλει καὶ Βύβλῳ καὶ Σιδῶνι· τέταρτον δὲ περὶ Κιλικίαν, κομιζομένης τῆς ὕλης

cap. 58. Antigonus, in Phoeniciam progressus, Tyrum obsidet,

simul in Phoenicia & Rhodo naves exstrui jubet.

ὕλης ἐκ τῦ Ταύρυ. ἦν δὲ καὶ περὶ Ῥόδον ἄλλο, συγχωρήσαντος τῦ δήμυ κατασκευάζειν ναῦς ἀπὸ τῆς ὕλης τῆς εἰσκομιζομένης. τῦ δ' Ἀντιγόνυ περὶ ταῦτα ὄντος, καὶ πλησίον τῆς θαλάσσης κατεστρατοπεδευκότος, ἧκεν ἐξ Αἰγύπτυ Σέλευκος μετὰ νεῶν ἑκατὸν, κεκοσμημένων βασιλικῶς καὶ πλευσῶν ἱκανῶς. ποιυμένυ δ' αὐτῦ τὸν παράπλυν παρ' αὐτὴν τὴν στρατοπεδείαν καταπεφρονηκότως, οἵ τε ἐκ τῶν συμμαχίδων πόλεων, καὶ πάντες οἱ κοινοπραγῦντες τοῖς περὶ Ἀντίγονον, ἄθυμοι καθειστήκεισαν. πρόδηλον γὰρ ἦν ὅτι θαλασσοκρατῦντες οἱ πολέμιοι πορθήσυσι τὺς τοῖς ἐναντίοις κοινοπραγῦντας ἀπὸ τῆς πρὸς Ἀντίγονον φιλίας. ὁ δ' Ἀντίγονος τύτυς μὲν παρεκάλει θαῤῥεῖν, διαβεβαιύμενος ἐν ταύτῃ τῇ θερείᾳ ἀποπλευσεῖσθαι ναυσὶ πεντακοσίαις.

Apparet interea Seleucus cum classe.

Ὄντος δ' αὐτῦ περὶ ταῦτα, παρῆν Ἀγησίλαος ὁ πεμφθεὶς εἰς Κύπρον πρεσβευτὴς, ἀπαγγέλλων, ὅτι Νικοκρέων μὲν καὶ τῶν ἄλλων οἱ κράτιστοι βασιλεῖς πρὸς Πτολεμαῖον πεποίηνται συμμαχίαν· ὁ δὲ Κιττιεὺς καὶ Λαπίθιος, ἔτι δὲ Μάριος καὶ Κερυνίτης τὴν πρὸς αὐτὸν φιλίαν συντέθεινται. ἀκύσας δὲ ταῦτα, τρισχιλίυς μὲν στρατιώτας καὶ στρατηγὸν Ἀνδρόνικον κατέλιπεν ἐπὶ τῆς πολιορκίας· αὐτὸς δὲ μετὰ τῆς δυνάμεως ἀναζεύξας εἰς τήν τ' Ἰόππην καὶ Γάζαν, ἀπειθύσας κατὰ κράτος εἷλε, καὶ τὺς μὲν καταληφθέντας Πτολεμαίυ στρατιώτας ἐπιδιεῖλεν εἰς τὰς ἰδίας τάξεις, εἰς δὲ τὰς πόλεις παρεισήγαγε φρυρὰν τὴν ἀναγκάσυσαν πειθαρχεῖν τὺς ἐνοικῦντας. αὐτὸς δ' ἐπανελθὼν εἰς τὴν πρὸς Παλαιτύρῳ στρατοπεδείαν, παρεσκευάζετο τὰ πρὸς τὴν πολιορκίαν.

cap. 59. In Phœnicia ulteriores Antigoni molitiones.

Ὁ δὲ Κάσσανδρος ἐξέπεμψε δύναμιν εἰς τὴν Καρίαν, σπεύδων εἰς περισπασμὺς ἐμβαλεῖν Ἀντίγονον, ἵνα μὴ σχολὴν ἔχῃ διαβαίνειν εἰς τὴν Εὐρώπην. Ἀντίγονος δὲ ὁρῶν τὸν Κάσσανδρον ἀντεχόμενον τῆς Ἀσίας, Δημήτριον μὲν τὸν υἱὸν ἀπέλιπεν ἐν τῇ Συρίᾳ, προστάξας ἐνεδρεύειν τὺς περὶ Πτολεμαῖον, ὓς ὑπώπτευεν ἐκ τῆς Αἰγύπτυ προάξειν μετὰ δυνάμεως ἐπὶ Συρίας· συναπέλιπε δ' αὐτῷ πεζὺς μὲν ξένυς μυρίυς, Μακεδόνας δὲ δισχιλίυς, Λυκίυς δὲ καὶ Παμφυλίυς πεντακοσίυς, Πέρσας δὲ τοξότας καὶ σφενδονήτας τετρακοσίυς, ἱππεῖς δὲ πεντακι-

cap. 60. Antigonus relinquit in Syria filium cum exercitu

τακισχιλίους, ἐλέφαντας δὲ πλείους τῶν τεσσαράκοντα. παρακατέστησε δ' αὐτῷ καὶ συμβούλους τέσσαρας, Νέαρχόν τε τὸν Κρῆτα, καὶ Πύθωνα τὸν Ἀγήνορος, ὃς κατεβεβήκει πρότερον ὀλίγαις ἡμέραις ἐκ Βαβυλῶνος· πρὸς δὲ τούτοις, Ἀνδρόνικόν τε τὸν Ὀλύνθιον, καὶ Φίλιππον, ἄνδρας πρεσβυτέρους καὶ συνεστρατευκότας τῷ Ἀλεξάνδρῳ πᾶσαν τὴν στρατείαν. ἦν γὰρ Δημήτριος ἔτι νέος τὴν ἡλικίαν ὡς ἂν γεγονὼς ἔτη δύο πρὸς τοῖς εἴκοσιν. αὐτὸς δὲ τὴν ἄλλην δύναμιν ἔλαβε, καὶ ὑπερβάλλων τὸν Ταῦρον ἐξεπολιόρκησε τὰς τῆς Καρίας πόλεις, ὅσαι συνεμάχουν τοῖς περὶ Πτολεμαῖον καὶ Σέλευκον. Ὁ δὲ Πτολεμαῖος, παροξυνόμενος ὑπὸ Σελεύκου, διὰ τὴν πρὸς τὸν Ἀντίγονον ἀλλοτριότητα, διέγνω στρατεύειν ἐπὶ κοίλην Συρίαν, καὶ παρατάττεσθαι τοῖς περὶ τὸν Δημήτριον. συναγαγὼν οὖν πανταχόθεν τὰς δυνάμεις, ἀνέζευξεν ἀπὸ Ἀλεξανδρείας εἰς Πηλούσιον, ἔχων πεζοὺς μὲν μυρίους ὀκτακισχιλίους, ἱππεῖς δὲ τετρακισχιλίους· ὧν ἦσαν οἱ μὲν, Μακεδόνες, οἱ δὲ, μισθοφόροι· Αἰγυπτίων δὲ πλῆθος, τὸ μὲν κομίζον βέλη καὶ τὴν ἄλλην παρασκευὴν, τὸ δὲ καθωπλισμένον καὶ πρὸς μάχην χρήσιμον. ἀπὸ δὲ Πηλουσίου διὰ τῆς ἐρήμου διελθὼν, κατεστρατοπέδευσε πλησίον τῶν πολεμίων, περὶ τὴν παλαιὰν Γάζαν τῆς Συρίας. ὁμοίως δὲ καὶ Δημήτριος, μεταπεμψάμενος πανταχόθεν τοὺς ἐκ τῆς χειμασίας στρατιώτας εἰς τὴν παλαιὰν Γάζαν, ὑπέμενε τὴν τῶν ἐναντίων ἔφοδον.

& quatuor amicis, qui consilio eum adjuvarent.

311 ante Chr. cap. 80. In Demetrium. Ptolemæus copias convertit.

Τῶν δὲ φίλων αὐτῷ συμβουλευόντων μὴ παρατάττεσθαι πρὸς ἡγεμόνα τηλικοῦτον καὶ δύναμιν μείζω, τούτοις μὲν οὐ προσεῖχεν, εἰς δὲ τὸν κίνδυνον παρεσκευάζετο τεθαῤῥηκὼς, καίπερ νέος ὢν παντελῶς, καὶ τηλικαύτην μάχην μέλλων ἀγωνίζεσθαι χωρὶς τοῦ πατρός. συναγαγόντος δ' ἐν τοῖς ὅπλοις ἐκκλησίαν αὐτοῦ, καὶ στάντος ἐπί τινος ἀναστήματος μετ' ἀγωνίας καὶ διατροπῆς, ὁ μὲν ὄχλος ἀνεβόησε μιᾷ φωνῇ θαῤῥεῖν, καὶ πρὸ τοῦ τὸν κήρυκα καταπαῦσαι τοὺς θορυβοῦντας, ἅπαντες σιωπὴν παρείχοντο. οὔτε γὰρ στρατιωτικὸν ἔγκλημα ὑπῆρχε περὶ αὐτὸν, οὔτε πολιτικὸν, ἅτε προσφάτως ἐφ' ἡγεμονίας τεταγμένον· (ὅπερ εἴωθε γίγνεσθαι τοῖς παλαιοῖς στρατηγοῖς, ὅταν ἐκ πολλῶν προφάσεων ἓν ἔγκλημα πρὸς ἕνα καιρὸν ἀθροί-

cap. 81. Demetrio adjuncti amici pugna abstinere suadent.

Sed animum addunt milites,

ἀθροίζηται. τὸ γὰρ πλῆθος ἀεὶ δυσάρεσον ἐπὶ τῶν αὐτῶν μένον, καὶ πᾶν τὸ μὴ πλεονάζον, κεχαρισμένην ἔχει τὴν μεταβολὴν) τȣ͂ τε πατρὸς ἤδη γεγηρακότος, αἱ τῆς βασιλείας ἐλπίδες εἰς τὴν τότε διαδοχὴν ἦγον ἅμα τὴν ἀρχὴν καὶ τὴν τῶν ὄχλων εὔνοιαν. ἦν δὲ καὶ τῷ κάλλει καὶ τῷ μεγέθει διάφορος, ἔτι δὲ κεκοσμημένος ὅπλοις βασιλικοῖς, εἶχε πολλὴν ὑπεροχὴν καὶ κατάπληξιν, δι' ἧς εἰς ἐλπίδας ἀδρὰς ἦγε τȣ̀ς πολλȣ́ς. πρὸς δὲ τȣ́τοις, πραότης τις ἦν περὶ αὐτὸν, ἁρμόζȣσα νέῳ βασιλεῖ, δι' ἧς εἰς προθυμίαν ἐξεκαλεῖτο πάντας, ὥστε καὶ τȣ̀ς ἐκτὸς τάξεως συνδραμεῖν ἐπὶ τὴν ἀκρόασιν, συναγωνιῶντας τῇ νεότητι, καὶ τῇ μελλȣ́σῃ γίγνεσθαι κρίσει διὰ τῆς παρατάξεως. ȣ̓ μόνον γὰρ πρὸς πλείονας ἤμελλε διακινδυνεύειν, ἀλλὰ καὶ πρὸς ἡγεμόνας σχεδὸν μεγίστȣς Πτολεμαῖον καὶ Σέλευκον. ȣ̔͂τοι γὰρ πάντας τȣ̀ς πολέμȣς Ἀλεξάνδρῳ συστρατευσάμενοι, καὶ πολλάκις καθ' αὑτȣ̀ς δυνάμεων ἡγησάμενοι, μέχρι τῶν καιρῶν τȣ́των ὑπῆρχον ἀνίκητοι. ὁ δ' ȣ̓͂ν Δημήτριος παρακαλέσας τὰ πλήθη τοῖς οἰκείοις λόγοις, καὶ δωρεάς τε δώσειν κατὰ τὴν ἀξίαν καὶ τὰ λάφυρα συγχωρήσειν ἐπαγγειλάμενος, ἐξέταξε τὴν δύναμιν εἰς τὴν μάχην. Ἐνίκησε δ' αὐτὸν Πτολεμαῖος, καὶ ἐτύγχανον οἱ πλεῖστοι τῶν τȣ͂ Ἀντιγόνȣ φίλων πεπτωκότες, ὧν ἦσαν ἐπιφανέστατοι Πύθων τε ὁ μετέχων τῆς στρατηγίας ἐπίσης αὐτῷ, καὶ Βοιωτὸς πολὺν χρόνον συνεζηκὼς Ἀντιγόνῳ τῷ πατρὶ, καὶ μετεσχηκὼς παντὸς ἀποῤῥήτȣ. κατὰ δὲ τὴν παράταξιν ἔπεσον μὲν πλείȣς τῶν πεντακοσίων, ὧν ἦσαν οἱ πλείȣς ἱππεῖς τῶν ἐπιφανῶν ἀνδρῶν· ἑάλωσαν δ' ὑπὲρ τȣ̀ς ὀκτακισχιλίȣς. ὁ δὲ Πτολεμαῖος τȣ̀ς μὲν ἁλόντας στρατιώτας ἀποστείλας εἰς Αἴγυπτον προσέταξεν ἐπὶ τὰς ναυαρχίας διελεῖν· αὐτὸς δὲ θάψας τῶν ἰδίων τȣ̀ς ἐν τῇ μάχῃ τελευτήσαντας ἅπαντας μεγαλοπρεπῶς, μετὰ τῆς δυνάμεως ἐπῄει τῶν κατὰ Φοινίκην πόλεων τὰς μὲν πολιορκῶν, τὰς δὲ πειθοῖ προσαγόμενος. Δημήτριος δὲ δύναμιν ȣ̓κ ἔχων ἀξιόχρεων, πρὸς μὲν τὸν πατέρα βιβλιαφόρον ἀπέστειλεν, ἀξιῶν βοηθεῖν τὴν ταχίστην· αὐτὸς δὲ παρελθὼν εἰς Τρίπολιν τῆς Φοινίκης, μετεπέμπετο δὲ τȣ̀ς ἐν Κιλικίᾳ στρατιώτας, καὶ τῶν ἄλλων ὅσοι παρεφύλαττον ἢ πόλεις ἢ φρȣ́ρια μακρὰν ἀφεστῶτα τῶν πολεμίων. Σέ-

quos animi mansuetudo & corporis decor ceperat.

sed proelio vincitur.

Σέλευκος δὲ μετὰ τὴν γενομένην ἧτταν Δημητρίῳ περὶ Γάζαν τῆς Συρίας, ἀναλαβὼν παρὰ Πτολεμαίȣ πεζȣ̀ς μὲν ȣ̓ πλείȣς τῶν ὀκτακοσίων, ἱππεῖς δὲ περὶ διακοσίȣς, ἀνέζευξεν ἐπὶ Βαβυλῶνος, ἐπὶ τοσȣ̃τον μεμετεωρισμένος ταῖς ἐλπίσιν, ὥς᾽ ἐι καὶ μηδεμίαν ἐῖχε δύναμιν τὸ παράπαν, μετὰ τῶν φίλων καὶ τῶν ἰδίων παίδων τὴν ἐις τȣ̀ς ἄνω τόπȣς ἀνάβασιν ποιεῖσθαι. ὑπελάμβανε γὰρ τȣ̀ς μὲν Βαβυλωνίȣς, διὰ τὴν προϋπάρχȣσαν ἔυνοιαν, ἑτοίμως αὐτῷ προσθήσεσθαι, τȣ̀ς δὲ περὶ Ἀντίγονον μετὰ δυνάμεως μακρὰν ἀπεσπασμένȣς, παραδεδωκέναι καιρὸν ὀικεῖον ταῖς ἰδίαις ἐπιβολαῖς. τοιαύτης δ᾽ ȣ̓́σης τῆς περὶ ἀυτὸν ὁρμῆς, ὁι συνόντες φίλοι, θεωρȣ̃ντες ὅτι μετ᾽ ἀυτῶν ἐισι παντελῶς ὀλίγοι συςρατεύοντες, τοῖς δὲ πολεμίοις, ἐφ᾽ ȣ̔̃ς προάγȣσι, καὶ δυνάμεις ὑπάρχȣσιν ἕτοιμαι μεγάλαι, καὶ χορηγίαι λαμπραὶ, καὶ συμμάχων πλῆθος, ȣ̓ μετρίως ἠθύμȣν. Ἐπεὶ δὲ προάγων κατήντησεν ἐις Μεσοποταμίαν, τῶν ἐν Κάραις κατῳκισμένων Μακεδόνων ȣ̔̃ς μὲν ἔπεισεν, ȣ̔̃ς δὲ ἐβιάσατο συςρατεύειν αὐτῷ· ὡς δ᾽ ἐις τὴν Βαβυλωνίαν ἐνέβαλεν, ὁι πλείȣς τῶν ἐγχωρίων ἀπήντων, καὶ προστιθέμενοι, πᾶν ἔφασαν τὸ δοκȣ̃ν αὐτῷ συμπράξειν. τετραετῆ γὰρ χρόνον γεγονὼς σατράπης τῆς χώρας ταύτης, πᾶσι προσενήνεκτο καλῶς, ἐκκαλȣ́μενος τὴν ἔυνοιαν τȣ̃ πλήθȣς, καὶ πόῤῥωθεν προπαρασκευαζόμενος τȣ̀ς συμπράξοντας, ἐὰν ἀυτῷ δοθῇ καιρὸς ἀμφισβητεῖν ἡγεμονίας. προσεχώρησε δ᾽ αὐτῷ καὶ Πολύαρχος, τεταγμένος ἐπί τινος διοικήσεως, μετὰ ςρατιωτῶν πλειόνων ἢ χιλίων. ὁι δὲ διαφυλάττοντες τὴν πρὸς Ἀντίγονον φιλίαν, ὁρῶντες ἀκατάσχετον ȣ̓̃σαν τὴν τȣ̃ πλήθȣς ὁρμὴν, συνέφευγον ἐις τὴν ἄκραν, ἧς φύλαξ ἀπεδέδεικτο Δίφιλος. ὁ δὲ Σέλευκος συςησάμενος πολιορκίαν, καὶ κατὰ κράτος ἑλὼν τὴν ἄκραν, ἐκομίσατο τὰ φυλαττόμενα σώματα τῶν παίδων καὶ τῶν φίλων, ὅσοι παρεδόθησαν ἐις φυλακὴν παρ᾽ Ἀντιγόνȣ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐις Ἄιγυπτον ἀποχώρησιν. ἀπὸ δὲ τȣ́των γενόμενος, ςρατιώτας συνήγαγε, καὶ συναγοράσας ἵππȣς, ἀνεδίδȣ τοῖς δυναμένοις χρῆσθαι. πᾶσι δὲ φιλανθρώπως ὁμιλῶν, καὶ καθιςὰς ἐις ἀγαθὰς ἐλπίδας, ἑτοίμȣς ἐῖχε καὶ προθύμȣς ἐν πάσῃ περιςάσει τȣ̀ς συγκινδυνέυοντας. Σέ-

cap. 90. Seleucus, post victum Demetrium, Babyloniam repetere parat.

cap. 91. Eam recuperat.

Σέλευκος μὲν ἒν τῦτον τὸν τρόπον ἀνεκτήσατο τὴν Βαβυλωνίαν.

cap. 92. Nicanor, Mediæ dux, in Seleucum bellum movens, funditur.

Νικάνορος δὲ τῦ περὶ Μηδίαν ϛρατηγῦ συναγαγόντος ἐπ' αὐτὸν ἔκ τε Μηδίας καὶ Περσίδος καὶ τῶν σύνεγγυς τόπων ϛρατιώτας πεζὲς μὲν πλείες τῶν μυρίων, ἱππεῖς δὲ περὶ ἑπτακισχιλίες, ὥρμησε κατὰ σπεδὴν ἀπαντήσων τοῖς πολεμίοις. εἶχε δὲ τὲς σύμπαντας πεζὲς μὲν πλείες τῶν τρισχιλίων, ἱππεῖς δὲ τετρακοσίες. διαβὰς δὲ τὸν Τίγριν ποταμὸν, καὶ πυνθανόμενος ὀλίγων ἡμερῶν ὁδὸν ἀπέχειν τὲς πολεμίες, ἔκρυψε τὲς ϛρατιώτας ἐν τοῖς πλησίον ἕλεσι, διανοέμενος ἀπροσδόκητον ποιήσαθαι τὴν ἐπίθεσιν. ὁ δὲ Νικάνωρ, ἐπειδὴ παραγενηθεὶς ἐπὶ τὸν Τίγριν ποταμὸν ἐχ ἥυρισκε τὲς πολεμίες, κατεϛρατοπέδευσε πρός τινι βασιλικῷ ϛαθμῷ, νομίζων αὐτὲς πεφευγέναι μακρότερον. ἐπιγενομένης δὲ νυκτὸς, καὶ τῶν περὶ Νικάνορα καταπεφρονηκότων, καὶ ῥαθύμως ἐχόντων τὰ περὶ τὰς φυλακὰς, ἐπιπεσὼν ὁ Σέλευκος ἄφνω, πολλὴν ταραχὴν καὶ κατάπληξιν κατεσκεύασε. συναψάντων γὰρ μάχην τῶν Περσῶν, συνέβη τόν τε σατράπην αὐτῶν

[Tum milites Antigoni magno numero ad Seleucum transierunt.

Εὔαγρον πεσεῖν καί τινας τῶν ἄλλων ἡγεμόνων. ὃ συμβάντας, οἱ πλείες τῶν ϛρατιωτῶν τὰ μὲν τὸν κίνδυνον καταπεπληγμένοι, τὰ δὲ προσκόπτοντες τοῖς ὑπ' Ἀντιγόνε πραττομένοις, μετεβάλοντο πρὸς Σέλευκον. ὁ δὲ Νικάνωρ μετ' ὀλίγων ἀπολειφθεὶς, καὶ δεδιὼς μὴ παραδοθῇ τοῖς πολεμίοις, ἔφυγε μετὰ τῶν φίλων διὰ τῆς ἐρήμε. Σέλευκος δὲ δυνάμεως ἁδρᾶς κυριεύσας, καὶ φιλανθρώπως πᾶσι προσφερόμενος, ῥᾳδίως προσήγαγετο τήν τε Σεσιανὴν καὶ Μηδίαν, καί τινας τῶν σύνεγγυς τόπων· περί τε τῶν διωκημένων ἔγραψε πρὸς Πτολεμαῖον καὶ τὲς ἄλλες φίλες, ἔχων ἤδη βασιλικὸν ἀνάϛημα, καὶ δόξαν ἀξίαν ἡγεμονίας.

cap. 93. In Demetrium interea in superiore Syria subsidentem Ptolemæus Cillen cum exercitu misit.

Ἅμα δὲ τέτοις πραττομένοις, Πτολεμαῖος μὲν διέτριβε περὶ τὴν κοίλην Συρίαν, νενικηκὼς Δημήτριον τὸν Ἀντιγόνε παρατάξει μεγάλῃ. ὃν πυνθανόμενος ἐκ Κιλικίας ἀνεϛραφέναι, καὶ ϛρατοπεδεύειν περὶ τὴν ἄνω Συρίαν, προεχειρίσατο τῶν περὶ αὐτὸν φίλων Κίλλην τὸν Μακεδόνα. τέτῳ δὲ δὲς δύναμιν ἱκανὴν, προσέταξεν ἐκδιῶξαι τὸν Δημήτριον τὸ παράπαν ἐκ τῆς Συρίας, ἢ περικα-

ριὰκαταλαβόντα συντρίψαι. τούτου δ' ὄντος κατὰ πορείαν, Δημήτριος διὰ τῶν σκοπῶν ἀκούσας τὸν Κίλλην στρατοπεδεύειν καταπεφρονηκότως περὶ Μυοῦντα, τὴν μὲν ἀποσκευὴν ἀπέλιπε, τοὺς δὲ στρατιώτας εὐζώνους παραλαβὼν, νυκτὸς πορείαν σύντομον ἐποιήσατο. προσπεσὼν δὲ τοῖς πολεμίοις ἑωθινῆς φυλακῆς ἄφνω, τῆς τε δυνάμεως ἄνευ μάχης ἐκυρίευσε, καὶ αὐτὸν τὸν Κίλλην τὸν στρατηγὸν ἐζώγρησε. τηλικούτου δ' εὐτυχήματος γεγενημένου, τὴν ἧτταν ἀναμαχήσασθαι διελήφθη. οὐ μὴν ἀλλὰ τὸν Πτολεμαῖον ὑπολαμβάνων ἥξειν ἐπ' αὐτὸν μετὰ πάσης τῆς δυνάμεως, ἐστρατοπέδευσε, προβλήματα τῆς παρεμβολῆς ποιησάμενος ἕλη καὶ λίμνας. ἔγραψε δὲ καὶ πρὸς τὸν πατέρα περὶ τοῦ γενομένου κατορθώματος, καὶ παρακαλῶν αὐτὸν ἢ δύναμιν ἀποστεῖλαι τὴν ταχίστην, ἢ καὶ αὐτὸν παραβαλεῖν εἰς Συρίαν. ὁ δ' Ἀντίγονος ἐτύγχανε μὲν ὢν ἐν Κελαιναῖς τῆς Φρυγίας· κομισάμενος δὲ τὴν ἐπιστολὴν, ἐχάρη διαφερόντως ἐπὶ τῷ δοκεῖν τὸν υἱὸν νέον ὄντα καὶ κατωρθωκέναι δι' ἑαυτοῦ, καὶ φαίνεσθαι βασιλείας ἄξιον. αὐτὸς δὲ τὴν δύναμιν ἀναλαβὼν, ἀνέζευξεν ἐκ τῆς Φρυγίας, καὶ τὸν Ταῦρον ὑπερβαλὼν ὀλίγαις ἡμέραις, συνέμιξε τοῖς περὶ τὸν Δημήτριον. Πτολεμαῖος δὲ πυθόμενος τὴν Ἀντιγόνου παρουσίαν, καὶ συναγαγὼν τοὺς ἡγεμόνας καὶ φίλους, ἐβουλεύετο πότερον συμφέρει μένειν καὶ ἀγωνίζεσθαι περὶ τῶν ὅλων κατὰ Συρίαν, ἢ προάγειν εἰς Αἴγυπτον, καὶ πολεμεῖν ἐκεῖθεν, καθάπερ καὶ πρότερον Περδίκκᾳ. πάντες οὖν συνεβούλευον μὴ διακινδυνεύειν πρὸς δύναμιν πολλαπλασίονα καὶ θηρίων πλῆθος, ἔτι δὲ στρατηγὸν ἀήττητον. εὐχερέστερον γὰρ πολλῷ διαγωνιεῖσθαι κατὰ τὴν Αἴγυπτον, ταῖς τε χορηγίαις ὑπερέχοντα, καὶ τόπων ὀχυρότητι πιστεύοντα. διὸ καὶ κρίνας ἐκλιπεῖν τὴν Συρίαν, κατέσκαψε τὰς ἀξιολογωτάτας τῶν κεκρατημένων πόλεων, Ἄκην μὲν τῆς Φοινίκης Συρίας, Ἰόππην δὲ καὶ Σαμάρειαν καὶ Γάζαν τῆς Συρίας. αὐτὸς δὲ τὴν δύναμιν ἀναλαβὼν, καὶ τῶν χρημάτων ὅσα δυνατὸν ἦν ἄγειν καὶ φέρειν, ἐπανῆλθεν εἰς Αἴγυπτον.

Sed hunc Demetrius in ipso itinere oppressum vicit, & captivum duxit.

Simul Antigonus, ejus pater, auxilio venit.

Itaque Ptolemæus satius putavit, in Aegyptum se recipere.

Ἀντίγονος δ' ἀκινδύνως ἀνακτησάμενος τήν τε Συρίαν πᾶσαν καὶ Φοινίκην, ἐπεβάλετο στρατεύειν ἐπὶ τὴν χώραν τῶν Ἀράβων τῶν καλουμένων Ναβαταίων. κρίνας γὰρ

cap. 94. Recuperata Syria, Antigonus in Arabiam suscipit expeditio-

nem, misso Athenæo cum exercitu.

γὰρ τὸ ἔθνος τοῦτο τῶν ἑαυτοῦ πραγμάτων ἀλλότριον εἶναι, προεχειρίσατο τῶν ἑαυτοῦ φίλων Ἀθήναιον, δοὺς αὐτῷ πεζοὺς μὲν εὐζώνους τετρακισχιλίους, ἱππεῖς δὲ τοὺς ἐπιτηδείους εἰς δρόμον ἑξακοσίους, συνέταξεν ἐπιθέσθαι τοῖς βαρβάροις ἄφνω, καὶ τὴν λείαν πᾶσαν ἀποτεμέσθαι.

309 ante Chr. cap. 105. Cassander, Ptolemæus, Lysimachus, & Antigonus communi fœdere controversias de provinciis dirimunt.

Ἐπ' ἄρχοντος δ' Ἀθήνησι Σιμωνίδου, Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Μάρκον Οὐαλέριον καὶ Πόπλιον Δέκιον· ἐπὶ δὲ τούτων οἱ περὶ Κάσσανδρον καὶ Πτολεμαῖον καὶ Λυσίμαχον διαλύσεις ἐποιήσαντο πρὸς Ἀντίγονον, καὶ συνθήκας ἔγραψαν. ἐν δὲ ταύταις ἦν, Κάσσανδρον μὲν εἶναι στρατηγὸν τῆς Εὐρώπης, μέχρις ἂν Ἀλέξανδρος ὁ ἐκ Ῥωξάνης εἰς ἡλικίαν ἔλθῃ· καὶ Λυσίμαχον μὲν τῆς Θρᾴκης κυριεύειν, Πτολεμαῖον δὲ τῆς Αἰγύπτου καὶ τῶν συνοριζουσῶν ταύτῃ πόλεων κατά τε τὴν Λιβύην καὶ τὴν Ἀραβίαν, Ἀντίγονον δὲ ἀφηγεῖσθαι τῆς Ἀσίας πάσης· τοὺς δ' Ἕλληνας αὐτονόμους εἶναι.

Mox prout singulis commodum erat, id singuli rumpunt.

οὐ μὴν ἐνέμειναν γε ταῖς ὁμολογίαις ταύταις, ἀλλ' ἕκαστος αὐτῶν προφάσεις εὐλόγους ποριζόμενος, πλεονεκτεῖν ἐπειρᾶτο.

Tandem Cassander Rhoxanen una cum rege clam occidere jubet;

Κάσσανδρος δὲ ὁρῶν Ἀλέξανδρον τὸν ἐκ Ῥωξάνης αὐξανόμενον, καὶ κατὰ τὴν Μακεδονίαν λόγους ὑπό τινων διαδιδομένους, ὅτι καθήκει προάγειν ἐκ τῆς φυλακῆς τὸν παῖδα, καὶ τὴν πατρῴαν βασιλείαν παραδιδόναι, φοβηθεὶς ὑπὲρ ἑαυτοῦ, προσέταξε Γλαυκίᾳ τῷ προεστηκότι τῆς τοῦ παιδὸς φυλακῆς τὴν μὲν Ῥωξάνην καὶ τὸν βασιλέα κατασφάξαι, καὶ κρύψαι τὰ σώματα, τὸ δὲ γεγονὸς μηδενὶ τῶν ἄλλων ἀπαγγεῖλαι. ποιήσαντος δ' αὐτοῦ τὸ προσταχθέν, οἱ περὶ Κάσσανδρον καὶ Λυσίμαχον καὶ Πτολεμαῖον, ἔτι δ' Ἀντίγονον, ἀπηλλάγησαν τῶν ὑπὸ τοῦ βασιλέως προσδοκωμένων φόβων.

quo facto provinciarum præfecti, reges evadunt.

οὐκέτι γὰρ ὄντος οὐδενὸς τοῦ διαδεξομένου τὴν ἀρχήν, τὸ λοιπὸν ἕκαστος τῶν κρατούντων ἐθνῶν ἢ πόλεων βασιλικὰς εἶχεν ἐλπίδας, καὶ τὴν ὑφ' ἑαυτὸν τεταγμένην χώραν εἶχεν ὡσανεί τινα βασιλείαν δορίκτητον.

308 ante Chr. XX. c. 19. Antigonum bello petit Ptolemæus,

Τῶν δὲ κοινῶν συνθηκῶν τοῖς ἡγεμόσι περιεχουσῶν ἐλευθέρας ἀφεῖσθαι τὰς Ἑλληνίδας πόλεις, οἱ περὶ Πτολεμαῖον τὸν Αἰγύπτου δυνάστην ἐγκαλέσαντες Ἀντιγόνῳ, διότι φρουραῖς τινας διείληφε τῶν πόλεων, πολεμεῖν παρεσκευάζοντο. καὶ τὴν μὲν δύναμιν ἐξαποστείλας Πτολε-

μαῖος

μαῖος καὶ στρατηγὸν Λεωνίδην, τὰς ἐν τῇ τραχείᾳ Κιλικίᾳ πόλεις ὅσας ὑπ' Ἀντίγονον ἐχειρώσατο. διεπέμπετο δὲ καὶ τὰς ὑπὸ Κάσσανδρον καὶ Λυσίμαχον πόλεις, ἀξιῶν συμφρονεῖν ἑαυτῷ, καὶ κωλύειν Ἀντίγονον ἰσχυρὸν γίνεσθαι. ὁ δ' Ἀντίγονος τῶν υἱῶν Φίλιππον μὲν τὸν νεώτερον ἐξέπεμψεν ἐφ' Ἑλλήσποντον, διαπολεμήσοντα Φοίνικι καὶ τοῖς ἀφεστηκόσι, Δημήτριον δ' ἐπὶ Κιλικίαν. ὃς ἐνεργὸν ποιησάμενος τὴν στρατείαν, ἐνίκησε τοὺς τοῦ Πτολεμαίου στρατηγοὺς, καὶ τὰς πόλεις ἀνεκτήσατο. Πτολεμαῖος οὖν ὁ τῆς Αἰγύπτου δυναστεύων, πυθόμενος τοὺς ἰδίους στρατηγοὺς ἀποβεβληκέναι τὰς ἐν Κιλικίᾳ πόλεις, πλεύσας μετὰ δυνάμεως ἐπὶ Φασηλίδα, ταύτην μὲν ἐξεπολιόρκησεν, εἰς δὲ τὴν Λυκίαν παρακομισθεὶς, Ξάνθον φρουρουμένην ὑπ' Ἀντιγόνου, κατὰ κράτος εἷλεν. εἶτα τῇ Καύνῳ προσπλεύσας, τὴν μὲν πόλιν παρέλαβε, τὰς δὲ ἀκροπόλεις φρουρουμένας τῇ βίᾳ κατισχύσας, τὸ μὲν Ἡράκλειον ἐξεῖλε, τὸ δὲ Περσικὸν παραδόντων τῶν στρατιωτῶν ὑποχείριον ἐποιήσατο. Τοῦ δ' ἐνιαυσίου χρόνου διεληλυθότος, Δημήτριος μὲν ὁ Ἀντιγόνου, παραλαβὼν παρὰ τοῦ πατρὸς δύναμιν ἁδρὰν πεζικήν τε καὶ ναυτικὴν, ἔτι δὲ βελῶν καὶ τῶν ἄλλων τῶν εἰς πολιορκίαν χρησίμων τὴν ἁρμόζουσαν παρασκευὴν, ἐξέπλευσεν ἐκ τῆς Ἐφέσου. παράγγελμα δ' εἶχεν ἐλευθεροῦν πάσας μὲν τὰς κατὰ τὴν Ἑλλάδα πόλεις, πρώτην δὲ τὴν Ἀθηναίων, φρουρουμένην ὑπὸ Κασσάνδρου. Τούτων δ' ἐν ὀλίγαις ἡμέραις κατευτυχηθέντων, ὁ μὲν Δημήτριος κατασκάψας τὴν Μουνυχίαν, ὁλόκληρον τῷ δήμῳ τὴν ἐλευθερίαν ἀποκατέστησε, καὶ φιλίαν καὶ συμμαχίαν πρὸς αὐτοὺς συνέθετο. Φρουρουμένης δὲ τῆς Μεγαρέων πόλεως, ἐκπολιορκήσας αὐτὴν ἀπέδωκε τὴν αὐτονομίαν τῷ δήμῳ, καὶ τιμῶν ἀξιολόγων ἔτυχε ὑπὸ τῶν εὖ παθόντων. Ἔπειτα Ἀντίγονος πρὸς τὸν υἱὸν Δημήτριον ἔγραψε, κελεύων τῶν μὲν συμμαχίδων πόλεων συνέδρους συστήσασθαι, τοὺς βουλευσομένους κοινῇ περὶ τῶν τῇ Ἑλλάδι συμφερόντων· αὐτὸν δὲ μετὰ τῆς δυνάμεως εἰς Κύπρον πλεῦσαι, καὶ διαπολεμῆσαι τὴν ταχίστην πρὸς τοὺς Πτολεμαίου στρατηγούς. οὗτος μὲν οὖν συντόμως πάντα πράξας κατὰ τὰς ἐντολὰς τοῦ πατρὸς, καὶ κομισθεὶς ἐπὶ Καρίας, παρεκάλει τοὺς Ῥοδίους πρὸς τὸν κατὰ

sed ubique victor Antigonus.

307 ante Chr. cap. 27. Ptolemæus in Asia urbes & castella plura subigit.

305 ante Chr. cap. 45. Demetrius, Antigoni F. Epheso solvit, ad Græciam in libertatem vindicandam.

cap. 46. Athenarum urbs in libertatem vindicata, etiam Megara.

Senatus e civitatibus sociis constitutus.

τὰ Πτολεμαίϐ πόλεμον. ϐ προσεχόντων δ' αὐτῶν, ἀλλὰ κοινὴν εἰρήνην αἱρϐμένων ἄγειν πρὸς ἅπαντας, ταύτην ἀρχὴν συνέβη γενέϑαι τῷ δήμῳ τῆς πρὸς Ἀντίγονον ἀλλοτριότητος.

cap. 47. Demetrius vero ultra tendens in Cyprum trajecit, ut in Ptolemæi duces bellum gereret.

Ὁ δὲ Δημήτριος παραπλεύσας εἰς Κιλικίαν, κἀκεῖθεν ναῦς καὶ στρατιώτας προσλαβόμενος, διέπλευσεν εἰς τὴν Κύπρον, ἔχων πεζϐς μὲν μυρίϐς πεντακισχιλίϐς, ἱππεῖς δὲ τετρακοσίϐς, ναῦς δὲ ταχυναυτϐσας μὲν τριήρεις πλείϐς τῶν ἑκατὸν δέκα, τῶν δὲ βαρυτέρων στρατιωτίδων πεντήκοντα καὶ τρεῖς· καὶ πορεῖα τῶν παντοδαπῶν ἱκανὰ τῷ πλήϑει τῶν ἱππέων τε καὶ πεζῶν. καὶ τὸ μὲν πρῶτον κατεστρατοπέδευσεν ἐν τῇ παραλίᾳ τῆς Καρπασίας, καὶ νεωλκήσας τὰ σκάφη, χάρακι καὶ τάφρῳ βαϑείᾳ τὴν παρεμβολὴν ὠχύρωσεν. ἔπειτα τοῖς πλησιοχώροις προσβολὰς ποιησάμενος, εἷλε κατὰ κράτος Οὐρανίαν καὶ Καρπασίαν· τῶν δὲ νεῶν τὴν ἱκανὴν φυλακὴν ἀπολιπὼν, ἀνέζευξε μετὰ τῆς δυνάμεως ἐπὶ τὴν Σαλαμῖνα. ὁ δὲ τεταγμένος ὑπὸ Πτολεμαίϐ τῆς νήσϐ στρατηγὸς Μενέλαος συναγαγὼν τϐς στρατιώτας ἐκ τῶν φρϐρίων, διέτριβεν ἐν Σαλαμῖνι. ἀπεχόντων δὲ τεσσαράκοντα σταδίϐς τῶν πολεμίων, ἐξῆλϑεν ἔχων πεζϐς μὲν μυρίϐς καὶ δισχιλίϐς, ἱππεῖς δὲ περὶ ὀκτακοσίϐς. γενομένης δὲ μάχης ἐπ' ὀλίγον χρόνον, οἱ μὲν περὶ τὸν Μενέλαον ἐκβιασϑέντες ἐτράπησαν· ὁ δὲ Δημήτριος συνδιώξας τϐς πολεμίϐς εἰς τὴν πόλιν, αἰχμαλώτϐς μὲν ἔλαβεν ϐ πολὺ ἐλάττϐς τρισχιλίων, ἀνεῖλε δὲ περὶ χιλίϐς. τϐς δ' ἁλόντας τὸ μὲν πρῶτον ἀπολύσας τῶν ἐγκλημάτων, καταδιεῖλεν εἰς τὰς τῶν ἰδίων στρατιωτῶν τάξεις· ἀποδιδρασκόντων δ' αὐτῶν πρὸς τϐς περὶ τὸν Μενέλαον, διὰ τὸ τὰς ἀποσκευὰς ἐν Αἰγύπτῳ καταλελοιπέναι παρὰ Πτολεμαίῳ, γνϐς ἀμεταϑέτϐς ὄντας, ἐνεβίβασεν εἰς τὰς ναῦς, καὶ πρὸς Ἀντίγονον εἰς Συρίαν ἀνέστειλεν. ὃτος δὲ τϐτον τὸν χρόνον διέτριβε περὶ τὴν ἄνω Συρίαν, πόλιν κτίζων περὶ τὸν Ὀρόντην ποταμὸν, ἣν ὠνόμασεν Ἀντιγονίαν ἀφ' ἑαυτϐ· κατεσκεύαζε δὲ πολυτελῶς, τὴν περίμετρον ὑποστησάμενος σταδίων ἑβδομήκοντα. εὐφυὴς γὰρ ἦν ὁ τόπος ἐφεδρεῦσαι τῇ τε Βαβυλωνίᾳ καὶ ταῖς ἄνω σατραπείαις, καὶ πάλιν τῇ κάτω σατραπείᾳ, καὶ ταῖς ἀπ' Αἰγύπτϐ σατρα-

Apud Salaminem obviam factus Menelao, Ptolemæi legato, prœlium commisit, & Menelaum fudit.

Captivi ad Antigonum missi, qui tum in Syria Antigoniam, novam urbem, condebat.

τρα-

τραπείαις. ἐ μὴν πολύν γε χρόνον συνέβη μεῖναι τὴν πόλιν, Σελεύκε καθελόντος αὐτὴν, καὶ μεταγαγόντος ἐπὶ τὴν κτιθεῖσαν μὲν ὑπ' αὐτε, ἀπ' ἐκείνε δὲ κληθεῖσαν Σελεύκειαν. ἀλλὰ περὶ μὲν τέτων ἀκριβῶς ἕκαςα δηλώσομεν, ἐπὶ τὲς οἰκείες χρόνες παραγενηθέντες. τῶν δὲ κατὰ τὴν Κύπρον οἱ περὶ τὸν Μενέλαον ἡττημένοι τῇ μάχῃ, τὰ μὲν βέλη καὶ τὰς μηχανὰς παρεκόμισαν ἐπὶ τὰ τείχη· καὶ τοῖς ςρατιώταις διαλαβόντες τὰς ἐπάλξεις, παρεσκευάζοντο πρὸς τὸν κίνδυνον, ὁρῶντες καὶ τὸν Δημήτριον πρὸς πολιορκίαν ἑτοιμαζόμενον. πρὸς δὲ Πτολεμαῖον ἀπέςειλαν εἰς Αἴγυπτον τὲς δηλώσοντας περὶ τῶν ἐλαττωμάτων, καὶ ἀξιώσοντας βοηθεῖν, ὡς κινδυνευόντων αὐτῷ τῶν ἐν τῇ νήσῳ πραγμάτων.

Menelaus, in urbem Salaminem pulsus, a Ptolemæo auxilia requirit.

Δημήτριος δὲ, τήν τε τῶν Σαλαμινίων ὁρῶν πόλιν ἐκ εὐκαταφρόνητον ἔσαν, καὶ ςρατιωτῶν πλῆθος ὑπάρχον ἐν αὐτῇ τῶν ἀμυνομένων, ἔκρινε μηχανάς τε τοῖς μεγέθεσιν ὑπεραιρέσας κατασκευάζειν, καὶ καταπέλτας ὀξυβελεῖς, καὶ λιθοβόλες παντοίες, καὶ τὴν ἄλλην κατασκευὴν καταπληκτικήν. μετεπέμψατο δὲ καὶ τεχνίτας ἐκ τῆς Ἀσίας, καὶ σίδηρον, ἔτι δ' ὕλης πλῆθος, καὶ τῆς ἄλλης χορηγίας τὴν ἐπιτήδειον κατασκευήν. ταχὺ δὲ πάντων εὐτρεπῶν αὐτῷ γενομένων, συνέπηξε μηχανὴν τὴν ὀνομαζομένην Ἑλέπολιν, τὸ πλάτος ἔχεσαν ἑκάςην πλευρὰν τεσσαράκοντα καὶ πέντε πήχεις, τὸ δ' ὕψος πηχῶν ἐννενήκοντα, διειλημμένην ςέγαις ἐννέα· ὑπότροχον δέ πᾶσαν τροχοῖς ςερεοῖς τέτταρσιν, ὀκταπήχεσι τὸ ὕψος. κατεσκεύασε δὲ καὶ κριὲς ὑπερμεγέθεις, καὶ χελώνας δύο κριοφόρες. τῆς δ' Ἑλεπόλεως εἰς μὲν τὰς κάτω ςέγας εἰσήνεγκε πετροβόλες παντοίες, ὧν ἦσαν οἱ μέγιςοι τριτάλαντοι· εἰς δὲ τὰς μέσας, καταπέλτας ὀξυβελεῖς μεγίςες· εἰς δὲ τὰς ἀνωτάτας, ὀξυβελεῖς τε τὲς ἐλαχίςες, καὶ πετροβόλων πλῆθος, ἄνδρας τε τὲς χρησομένες τέτοις κατὰ τρόπον πλείες τῶν διακοσίων. προσαγαγὼν δὲ τὰς μηχανὰς τῇ πόλει, καὶ πυκνοῖς χρώμενος τοῖς βέλεσι, τῇ μὲν τὰς ἐπάλξεις ἀπέσυρε τοῖς πετροβόλοις, τῇ δὲ τὰ τείχη διέσειε τοῖς κριοῖς. ἀμυνομένων δὲ καὶ τῶν ἔνδον εὐρώςως, καὶ τοῖς μηχανήμασιν ἑτέρας μηχανὰς ἀντιταττόντων, ἐφ' ἡμέρας μέν τινας ἀμφίδοξος ἦν ὁ κίνδυ-

cap. 48. Oppugnatio urbis Salaminis a Demetrio interea suscepta.

Novæ machinæ Helepolis descriptio.

κίνδυνος, ἀμφοτέρων κακοπαθέντων καὶ κατατραυματιζομένων· τὸ δὲ τελευταῖον τοῦ τείχους πίπτοντος, καὶ τῆς πόλεως κινδυνευούσης ἁλῶναι κατὰ κράτος, νυκτὸς ἐπιγινομένης ἔληξε τὰ τῆς τειχομαχίας.

Oppugnantium machinas incendio vastat Menelaus.

οἱ δὲ περὶ τὸν Μενέλαον, ἀκριβῶς εἰδότες ἁλωσομένην τὴν πόλιν εἰ μή τι καινοτομεῖν ἐπιχειρήσειαν, ἤθροισαν ὕλης ξηρᾶς πλῆθος. ταύτην δὲ περὶ τὸ μεσονύκτιον ἐμβαλόντες ταῖς τῶν πολεμίων μηχαναῖς, καὶ ἅμα πάντας τοὺς πυρσοφόρους ἀπὸ τῶν τειχῶν ἀφέντες, ἀνῆψαν τὰ μέγιστα τῶν ἔργων. ἄφνω δὲ τῆς φλογὸς εἰς ὕψος ἀρθείσης, οἱ περὶ τὸν Δημήτριον ἐπεχείρησαν μὲν βοηθεῖν, τοῦ δὲ πυρὸς κατασχήσαντος, συνέβη τὰς μηχανὰς κατακαυθῆναι, καὶ πολλοὺς τῶν ἐν αὐταῖς ὄντων διαφθαρῆναι. ὁ δὲ Δημήτριος, ἀποσφαλεὶς τῆς ἐλπίδος, οὐδ' ὣς ἔληγεν, ἀλλὰ προσεκαρτέρει τῇ πολιορκίᾳ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, νομίζων τῷ χρόνῳ καταπολεμήσειν τοὺς πολεμίους.

cap. 49.
His intervenit Ptolemæus cum classe instructissima.

Πτολεμαῖος δὲ πυθόμενος τὴν τῶν ἰδίων ἧτταν, ἐξέπλευσεν ἐκ τῆς Αἰγύπτου, δύναμιν ἔχων ἀξιόλογον πεζικήν τε καὶ ναυτικήν. κατενεχθεὶς δὲ τῆς Κύπρου πρὸς τὴν Πάφον, ἔκ τε τῶν πόλεων παρεδέξατο τὰ σκάφη, καὶ κατέπλευσεν εἰς Κίτιον, τῆς Σαλαμῖνος ἀπέχον σταδίους διακοσίους.

Copiarum advectarum naviumque numerus.

εἶχε δὲ τὰς πάσας ναῦς μακρὰς ἑκατὸν καὶ τεσσαράκοντα· τούτων δ' ἦν ἡ μεγίστη, πεντήρης, ἡ δ' ἐλαχίστη, τετρήρης· στρατιωτικὰ δὲ πορεῖα ταύταις ἐπηκολούθει πλείω τῶν διακοσίων, ἄγοντα πεζοὺς οὐκ ἐλάττους τῶν μυρίων. οὗτος μὲν οὖν πρὸς τὸν Μενέλαον κατὰ γῆν ἔπεμψέ τινας, διακελευόμενος τὰς ναῦς, ἂν ᾖ δυνατὸν, κατὰ τάχος ἐκ τῆς Σαλαμῖνος πρὸς αὐτὸν ἀποστεῖλαι, οὔσας ἑξήκοντα. ἤλπιζε γὰρ, εἰ προσλάβοι ταύτας, ῥαδίως κρατήσειν τῇ ναυμαχίᾳ, διακοσίοις σκάφεσιν ἀγωνιζόμενος.

Demetrius classem opponit, & ab urbe classeque oppidana hostem arcet.

ὁ δὲ Δημήτριος, νοήσας αὐτοῦ τὴν ἐπιβολὴν, ἐπὶ μὲν τῆς πολιορκίας ἀπέλιπε μέρος τῆς δυνάμεως· τὰς δὲ ναῦς ἁπάσας πληρώσας, καὶ τῶν στρατιωτῶν τοὺς κρατίστους ἐμβιβάσας, βέλη καὶ πετροβόλους ἐνέθετο, καὶ τῶν τρισπιθάμων ὀξυβελῶν τοὺς ἱκανοὺς ταῖς πρῴραις ἐπέστησε. κοσμήσας δὲ πολυτελῶς πρὸς ναυμαχίαν τὸν στόλον, περιέπλευσε τὴν πόλιν, καὶ κατὰ τὸ στόμα τοῦ λιμένος μικρὸν ἔξω βέλους ἀφεὶς τὰς ἀγκύρας, διενυκτέ-

ρευσεν,

ρευσεν, ἅμα μὲν τὰς ἐκ τῆς πόλεως ναῦς κωλύσων συμμίξαι ταῖς ἄλλαις, ἅμα δὲ καραδοκῶν τὸν ἐπίπλȣν τῶν πολεμίων, καὶ πρὸς ναυμαχίαν ὢν ἕτοιμος. τȣ̃ δὲ Πτολεμαίȣ πλέοντος ἐπὶ τὴν Σαλαμῖνα, καὶ τῶν ὑπηρετικῶν πλοίων συνεπομένων, πόῤῥωθεν καταπληκτικὸν ὁρᾶσθαι συνέβαινε τὸν ςόλον διὰ τὸ πλῆθος.

Ὁ δὲ Δημήτριος, κατανοήσας τὸν ἐπίπλȣν, Ἀντισθένην μὲν τὸν ναύαρχον, ἔχοντα ναῦς δέκα τῶν πεντηρικῶν, ἀπέλιπε κωλύσοντα τὰς ἐκ τῆς πόλεως ναῦς ἐπεξιέναι πρὸς τὴν ναυμαχίαν, ἔχοντος τȣ̃ λιμένος ςενὸν τὸν ἔκπλȣν. τοῖς δ' ἱππεῦσι προσέταξε παράγειν παρὰ τὸν αἰγιαλὸν, ἵν', ἐάν τι γένηται πταῖσμα, διασώσαιεν τȣ̀ς πρὸς τὴν γῆν διανηξομένȣς. αὐτὸς δ' ἐκτάξας τὰς ναῦς, ἀπήντα τοῖς πολεμίοις, ἔχων τὰς ἁπάσας ὀκτὼ πλείȣς τῶν ἑκατὸν, σὺν ταῖς πληρωθείσαις ἐκ τῶν χωρίων τῶν ληφθέντων. τȣτων δ' ἦσαν αἱ μέγιςαι μὲν ἑπτήρεις, αἱ πλεῖςαι δὲ πεντήρεις· καὶ τὸ μὲν εὐώνυμον κέρας ἐπεῖχον ἑπτήρεις ἑπτὰ Φοινίκων, τετρήρεις δὲ τριάκοντα τῶν Ἀθηναίων, Μηδίȣ τȣ̃ ναυάρχȣ τὴν ἡγεμονίαν ἔχοντος· ἐπὶ δὲ τȣ́τοις ἔταξεν ἑξήρεις δέκα, καὶ πεντήρεις ἄλλας τοσαύτας, διεγνωκὼς ἴσως ἰσχυρὸν κατασκευάσαι τȣ̃το τὸ κέρας, ἐφ' ȣ̃ καὶ αὐτὸς ἤμελλε διαγωνίζεσθαι. κατὰ μέσην δὲ τὴν τάξιν τὰ ἐλάχιςα τῶν σκαφῶν ἔςησεν, ὧν ἡγȣ̃ντο Θεμίσων τε ὁ Σάμιος καὶ Μαρσύας ὁ τὰς Μακεδονικὰς πράξεις συνταξάμενος. τὸ δὲ δεξιὸν εἶχε κέρας Ἡγήσιππός τε ὁ Ἁλικαρνασσεὺς, καὶ Πλειςίας ὁ Κῷος ἀρχικυβερνήτης ὢν τȣ̃ σύμπαντος ςόλȣ. Πτολεμαῖος δὲ τὸ μὲν πρῶτον ἔτι νυκτὸς ἐπέπλει κατὰ σπȣδὴν ἐπὶ τὴν Σαλαμῖνα, νομίζων φθάσαι τȣ̀ς πολεμίȣς τὸν εἴσπλȣν ποιησάμενος· ὡς δ' ἡμέρας ἐπιγενομένης ȣ̓ μακρὰν ὁ τῶν ἐναντίων ςόλος ἐκτεταγμένος ἑωρᾶτο, καὶ αὐτὸς τὰ πρὸς τὴν ναυμαχίαν παρεσκευάζετο. τὰ μὲν ȣ̃ν πορεῖα πόῤῥωθεν ἐπακολȣθεῖν παρήγγειλε· τῶν δὲ ἄλλων νεῶν τὴν ἁρμόζȣσαν τάξιν ποιησάμενος τὸ λαιὸν κέρας διακατεῖχε, συναγωνιζομένων αὐτῷ τῶν μεγίςων σκαφῶν. τοιαύτης δὲ τῆς διατάξεως γενομένης, εὐχὰς ἑκάτεροι τοῖς θεοῖς ἐποιȣ̃ντο, καθάπερ ἦν ἔθος, διὰ τῶν κελευςῶν, συνεπιλαβομένȣ καὶ τȣ̃ πλήθȣς τῇ φωνῇ.

cap. 50. Hinc ab utraque parte aciem ad conserendam pugnam instruunt.

Οἱ

cap. 51. Pugnæ navalis descriptio.

Ὁι δὲ δυνάςαι, ὡς ἂν περὶ τȣ̃ βίȣ καὶ τῶν ὅλων μέλλοντες διακινδυνεύειν, ἐν ἀγωνίᾳ πολλῇ καθειςήκεισαν. Δημήτριος μὲν ȣ̃ν τῶν ἐναντίων ἀποσχὼν ὡς ἂν τρεῖς ςαδίȣς, ἦρε τὸ συγκείμενον πρὸς μάχην σύσσημον, ἀσπίδα κεχρυσωμένην, Φανερὰν πᾶσιν ἐκ διαδοχῆς. τὸ παραπλήσιον δὲ καὶ τῶν περὶ Πτολεμαῖον ποιησάντων, ταχὺ τὸ διεῖργον διάςημα συνηρέθη. ὡς δ᾽ ἅι τε σάλπιγγες τὸ πολεμικὸν ἐσήμαινον, καὶ συνηλάλαξαν ἁι δυνάμεις ἀμΦότεραι, Φερομένων ἁπασῶν τῶν νεῶν ἐις ἐμβολὴν καταπληκτικῶς, τὸ μὲν πρῶτον τοῖς τόξοις καὶ τοῖς πετροβόλοις, ἔτι δὲ τοῖς ἀκοντίσμασι πυκνοῖς χρώμενοι κατετραυμάτιζον τȣ̀ς ὑποπίπτοντας. ἔιτα συνεγγισάντων τῶν σκαΦῶν, καὶ μελλȣ́σης γίνεσθαι τῆς ἐμβολῆς βιαίȣ, ὁι μὲν ἐπὶ τῶν καταςρωμάτων συγκαθῆκαν, ὁι δ᾽ ἐρέται παρακληθέντες ὑπὸ τῶν κελευςῶν, ἐκθυμότερον ἐνέκειντο. ἀπὸ κράτȣς δὲ καὶ βίας ἐλαθεισῶν τῶν νεῶν, ἁι μὲν παρέσυρον ἀλλήλων τȣ̀ς ταρσȣ̀ς, ὥςε πρὸς Φυγὴν καὶ διωγμὸν ἀχρήςȣς γίνεσθαι, καὶ τȣ̀ς ἐπιβεβηκότας ἄνδρας, ὡρμηκότας πρὸς ἀλκὴν, κωλύεσθαι τῆς πρὸς τὸν κίνδυνον ὁρμῆς· ἁι δὲ κατὰ πρῷραν τοῖς ἐμβόλοις συναράττȣσαι, πρύμναν ἀνεκρȣ́οντο πρὸς ἄλλην ἐμβολὴν, καὶ κατετραυμάτιζον ἀλλήλȣς ὁι ταύταις ἐΦεςῶτες, ἅτε τȣ̃ σκοπȣ̃ σύνεγγυς ἑκάςοις κειμένȣ. τινὲς δὲ τῶν τριηράρχων ἐκ πλαγίας ἔτυπτον· καὶ τῶν ἐμβόλων δυσαποσπάςȣς ἐχόντων, ἐπεπήδων ἐπὶ τὰς τῶν πολεμίων ναῦς, πολλὰ καὶ πάσχοντες δεινὰ καὶ διατιθέντες. ὁι μὲν γὰρ, τῶν ἐγγιζόντων τοίχων ἐΦαψάμενοι καὶ σΦαλέντες τῆς βάσεως, περιέπιπτον ἐις θάλατταν, καὶ παραχρῆμα τοῖς δόρασιν ὑπὸ τῶν ἐΦεςώτων ἐΦονεύοντο· ὁι δὲ, κρατήσαντες τῆς ἐπιβολῆς, τȣ̀ς μὲν ἀνῄρȣν, τȣ̀ς δὲ κατὰ τὴν ςενοχωρίαν ἐκβιαζόμενοι περιέτρεπον ἐις τὸ πέλαγος. ὅμως δὲ ποικίλαι καὶ παράλογοι συνίςαντο μάχαι, πολλάκις τῶν μὲν ἡττόνων ἐπικρατȣ́ντων διὰ τὴν τῶν σκαΦῶν ὑπεροχὴν, τῶν δὲ κρειττόνων θλιβομένων, διὰ τ[ὸ] περὶ τὴν ςάσιν ἐλάττωμα, καὶ τὴν ἀνωμαλίαν τῶν συμβαινόντων ἐν τοῖς τοιȣ́τοις κινδύνοις. ἐπὶ μὲν γὰρ τῶ[ν] ἐπὶ τῆς γῆς ἀγώνων διάδηλος ἡ ἀρετὴ γίνεται, δυναμέ[νη] τυγχάνειν τῶν πρωτείων, μηδενὸς ἔξωθεν ἀυτομάτȣ πα[ρεμ]-

ρεμποδ

ρενοχλοῦντος· κατὰ δὲ τὰς ναυμαχίας, πολλὰς καὶ ποικίλας αἰτίας συμβαίνει παραλόγως ἐλαττοῦν τοὺς δι' ἀνδρείαν δικαίως ἂν τυχόντας τῆς νίκης.

Λαμπρότατα δὲ πάντων Δημήτριος ἠγωνίσατο, τῆς ἑπτήρους ἐπιβεβηκὼς ἐπὶ τῇ πρύμνῃ. ἀθρόων γὰρ αὐτῷ περιχυθέντων, οὓς μὲν ταῖς λόγχαις ἀκοντίζων, οὓς δ' ἐκ χειρὸς τῷ δόρατι τύπτων ἀνῄρει· πολλῶν δὲ καὶ παντοίων βελῶν ἐπ' αὐτὸν φερομένων, ἃ μὲν προορώμενος ἐξέκλινεν, ἃ δὲ τοῖς σκεπαστηρίοις ὅπλοις ἐδέχετο. τριῶν δ' ὑπερασπιζόντων αὐτὸν, εἷς μὲν λόγχῃ πληγεὶς ἔπεσεν, οἱ δὲ δύο κατετραυματίσθησαν. τέλος δὲ τοὺς ἀντιστάντας ὁ Δημήτριος ἐκβιασάμενος, καὶ τροπὴν τοῦ δεξιοῦ κέρατος ποιήσας, εὐθὺς καὶ τὰς συνεχεῖς φυγεῖν ἠνάγκασε. Πτολεμαῖος δὲ καὶ τὰ μέγιστα τῶν σκαφῶν καὶ τοὺς κρατίστους ἄνδρας ἔχων μεθ' ἑαυτοῦ, ῥᾳδίως ἐτρέψατο τοὺς καθ' αὐτὸν τεταγμένους, καὶ τῶν νεῶν ἃς μὲν κατέδυσεν, ἃς δὲ αὐτάνδρους εἷλεν. ὑποστρέφων δ' ἀπὸ τοῦ νικήματος, ἤλπιζε καὶ τὰς ἄλλας ῥᾳδίως χειρώσασθαι. θεωρήσας δὲ τό, τε εὐώνυμον κέρας τῶν ἰδίων συντετριμμένον, καὶ τὰς συνεχεῖς ἁπάσας πρὸς φυγὴν ὡρμημένας, ἔτι δὲ τοὺς περὶ τὸν Δημήτριον μετὰ βάρους ἐπιφερομένους, ἀπέπλευσεν εἰς Κίτιον. Δημήτριος δὲ νικήσας τῇ ναυμαχίᾳ, τῷ μὲν Νέωνι καὶ Βουρίχῳ παρέδωκε τὰ στρατιωτικὰ τῶν πλοίων, προστάξας διώκειν, καὶ τοὺς ἐν τῇ θαλάττῃ διανηχομένους ἀναλαμβάνειν· αὐτὸς δὲ τὰς ἰδίας ναῦς κοσμήσας τοῖς ἀκροστολίοις, καὶ τὰς ἁλούσας ἐφελκόμενος, τὸν πλοῦν ἐποιεῖτο πρὸς τὸ στρατόπεδον καὶ τὸν οἰκεῖον λιμένα. κατὰ δὲ τὸν τῆς ναυμαχίας καιρὸν Μενέλαος, ὁ ἐν τῇ Σαλαμῖνι στρατηγὸς, πληρώσας τὰς ἑξήκοντα ναῦς, ἐξαπέστειλε πρὸς βοήθειαν τῷ Πτολεμαίῳ ναύαρχον ἐπιστήσας Μενοίτιον. γενομένου δ' ἀγῶνος περὶ τὸ στόμα τοῦ λιμένος πρὸς τὰς ἐφορμούσας ναῦς, καὶ τῶν ἐκ τῆς πόλεως βιασαμένων, αἱ μὲν τοῦ Δημητρίου δέκα νῆες ἔφυγον πρὸς τὸ πεζὸν στρατόπεδον. οἱ δὲ περὶ τὸν Μενοίτιον ἀναπλεύσαντες, καὶ τῶν καιρῶν μικρὸν ὑστερήσαντες, ἀνέστρεψαν πάλιν εἰς τὴν Σαλαμῖνα. τῆς δὲ ναυμαχίας τοιοῦτο τέλος λαβούσης, τῶν μὲν πορείων ἥλω πλείω τῶν ἑκατὸν, ἐν οἷς ἦσαν σχεδὸν στρατιῶται ὀκτακισχίλιοι· τῶν δὲ μακρῶν

cap. 52. Demetrius victor.

κρῶν ἄυτανδροι μὲν ἐλήφθησαν τεσσαράκοντα, διεφθάρησαν δὲ περὶ ὀγδοήκοντα, ἃς πλήρεις οὔσας θαλάττης κατήγαγον οἱ κρατήσαντες εἰς τὴν πρὸς τῇ πόλει στρατοπεδείαν. διεφθάρη δὲ καὶ τῶν Δημητρίου σκαφῶν εἴκοσι. πάντα δὲ τῆς προσηκούσης ἐπιμελείας τυχόντα, παρείχετο τὰς ἁρμοζούσας χρείας.

cap. 53.
Accepta hac clade Ptolemæus, omissa Cypro, in Aegyptum rediit.

Μετὰ δὲ ταῦτα Πτολεμαῖος ἀπογνοὺς τὰ κατὰ τὴν Κύπρον, ἀπῆρεν εἰς Ἄιγυπτον. Δημήτριος δὲ πάσας τὰς ἐν τῇ νήσῳ πόλεις παραλαβὼν, καὶ τοὺς φρουροῦντας στρατιώτας, τούτους μὲν εἰς τάξεις κατεχώρισεν, ὄντας πεζοὺς μὲν μυρίους ἑξακισχιλίους συντεταγμένους, ἱππεῖς δὲ περὶ ἑξακοσίους· πρὸς δὲ τὸν πατέρα ταχέως ἐμβιβάσας εἰς τὴν μεγίστην ναῦν τοὺς δηλώσοντας περὶ τῶν κατορθωθέντων ἐξαπέστειλεν.

Antigonus victor regis nomen & dignitatem sibi filioque Demetrio imposuit.
Horum exempla ceteri etiam duces secuti, reges se proclamari jusserunt.

ὁ δ' Ἀντίγονος, πυθόμενος τὴν γεγενημένην νίκην, καὶ μετεωρισθεὶς ἐπὶ τῷ μεγέθει τοῦ προτερήματος, διάδημα περιέθετο, καὶ τὸ λοιπὸν ἐχρημάτιζε βασιλεὺς, συγχωρήσας καὶ τῷ Δημητρίῳ τῆς αὐτῆς τυγχάνειν προσηγορίας καὶ τιμῆς. ὁ δὲ Πτολεμαῖος οὐδὲν τῇ ψυχῇ ταπεινωθεὶς διὰ τὴν ἧτταν, καὶ αὐτὸς ὁμοίως ἀνέλαβε τὸ διάδημα, καὶ πρὸς ἅπαντας ἀνέγραφεν ἑαυτὸν βασιλέα. παραπλησίως δὲ τούτοις καὶ οἱ λοιποὶ δυνάσται ζηλοτυπήσαντες ἀνηγόρευον ἑαυτοὺς βασιλεῖς, Σέλευκος μὲν προσφάτως τὰς ἄνω σατραπείας προσκεκτημένος, Λυσίμαχος δὲ καὶ Κάσσανδρος τὰς ἐξ ἀρχῆς δοθείσας μερίδας διατηροῦντες.

304 ante Chr.
cap. 73.
Antigonus bellum in Aegyptum movet.

Μετὰ ταῦτα Ἀντίγονος ὁ βασιλεὺς τὸν Δημήτριον ἐκ τῆς Κύπρου μεταπεμψάμενος, ἤθροιζε τὰς δυνάμεις εἰς τὴν Ἀντιγονίαν. ἔκρινε δὲ στρατεύειν ἐπὶ τὴν Ἄιγυπτον. αὐτὸς μὲν οὖν τοῦ πεζοῦ στρατεύματος ἀφηγούμενος προῆγε διὰ τῆς κοίλης Συρίας, ἔχων πεζοὺς μὲν πλείους τῶν ὀκτακισμυρίων, ἱππεῖς δὲ περὶ ὀκτακισχιλίους, ἐλέφαντας δὲ τρισὶ πλείους τῶν ὀγδοήκοντα. τῷ δὲ Δημητρίῳ παραδοὺς τὸν στόλον συνέταξε συμπαραπλεῖν ἅμα πορευομένῃ τῇ δυνάμει, παρεσκευασμένων τῶν ἁπασῶν νεῶν μακρῶν μὲν ἑκατὸν πεντήκοντα, πορείων δὲ στρατιωτικῶν ἑκατὸν, ἐν

cap. 76.

οἷς ἐκομίζετο βελῶν πλῆθος. τῶν δὲ περὶ τὸν Πτολεμαῖον διειληφότων πᾶσαν τὴν περὶ τὸν ποταμὸν (Νεῖλον) ἔκβασιν φυλακαῖς ἰσχυραῖς, καὶ πολλῶν μὲν σκαφῶν πο-

ταμίων

ταμίων αὐτῷ παρεσκευασμένων, πάντων δὲ τούτων ἐχόντων βέλη παντοῖα, καὶ τοὺς χρησομένους αὐτοῖς ἄνδρας, οἱ περὶ τὸν Ἀντίγονον οὐ μετρίως ἠπόρουντο. ἥ γὰρ ναυτικὴ δύναμις ἄχρηστος ἦν αὐτοῖς, προκατειλημμένου Πηλουσιακοῦ στόματος ὑπὸ τῶν πολεμίων· τό, τε πεζὸν στράτευμα τὴν ὁρμὴν ἄπρακτον εἶχε, τῷ μεγέθει τοῦ ποταμοῦ διειργόμενον· τὸ δὲ μέγιστον, ἡμερῶν ἤδη συχνῶν διεληλυθυιῶν, ὑπολιπεῖν ἤδη συνέβαινε τόν τε σῖτον, καὶ τὰ χορτάσματα τοῖς κτήνεσι. διὰ δὴ ταῦτα τῆς δυνάμεως ἀθυμούσης, παραλαβὼν τὸ στρατόπεδον καὶ τοὺς ἡγεμόνας Ἀντίγονος, προέθηκε βουλήν, πότερον συμφέρει μένειν καὶ διαπολεμεῖν, ἢ νῦν μὲν ἐπανελθεῖν εἰς Συρίαν, ὕστερον δὲ κάλλιον παρασκευασμένους στρατεῦσαι, καθ' ὃν ἂν χρόνον ἐλάχιστος ὁ Νεῖλος εἶναι δόξῃ; πάντων δὲ κατενεχθέντων ἐπὶ τὸ τὴν ταχίστην ἀπιέναι, παρήγγειλε τοῖς στρατιώταις ἀναζευγνύειν, καὶ ταχὺ πάλιν ἐπανῆλθεν εἰς τὴν Συρίαν, συμπαραπλέοντος αὐτῷ καὶ τοῦ στόλου παντός. Πτολεμαῖος δὲ μετὰ τὴν ἀπαλλαγὴν τῶν πολεμίων περιχαρὴς γενόμενος, καὶ θύσας τοῖς θεοῖς χαριστήρια, τοὺς φίλους εἱστία λαμπρῶς· καὶ πρὸς μὲν τοὺς περὶ Σέλευκον καὶ Λυσίμαχον, καὶ Κάσσανδρον ἔγραψε περὶ τῶν εὐτυχημάτων, καὶ περὶ τοῦ πλήθους τῶν πρὸς αὐτὸν αὐτομολησάντων.

Antigonus infecta re in Syriam redit.

Τοῦ δ' ἐνιαυσίου χρόνου διεληλυθότος, Ῥοδίοις ἐνέστη πόλεμος πρὸς τὸν Ἀντίγονον, διὰ τοιαύτας τινὰς αἰτίας· ἡ πόλις ἡ τῶν Ῥοδίων, ἰσχύουσα ναυτικαῖς δυνάμεσι, καὶ πολιτευομένη κάλλιστα τῶν Ἑλλήνων, περιμάχητος τοῖς δυνάσταις καὶ βασιλεῦσιν ἦν, ἑκάστου σπεύδοντος εἰς τὴν αὐτοῦ φιλίαν προσλαμβάνεσθαι· προορωμένη δὲ πόῤῥωθεν τὸ συμφέρον, καὶ πρὸς ἅπαντας κατ' ἰδίαν συντιθεμένη τὴν φιλίαν, τῶν πρὸς ἀλλήλους τοῖς δυνάσταις πολέμων οὐ μετεῖχε. διόπερ συνέβαινεν αὐτὴν τιμᾶσθαι μὲν ὑφ' ἑκάστου βασιλικαῖς δωρεαῖς· ἄγουσαν δὲ πολὺν χρόνον εἰρήνην, μεγάλην ἐπίδοσιν λαβεῖν πρὸς αὔξησιν. ἐπὶ τοσοῦτον γὰρ προεληλύθει δυνάμεως, ὥσθ' ὑπὲρ μὲν τῶν Ἑλλήνων ἰδίᾳ τὸν πρὸς τοὺς πειρατὰς πόλεμον ἐπαναιρεῖσθαι, καὶ καθαρὰν παρέχεσθαι τῶν κακούργων τὴν θάλατταν· τὸν δὲ πλεῖστον ἰσχύσαντα τῶν μνημονευομένων Ἀλέξανδρον,

303 ante Chr. cap. 81. Antigonus sollicitus de Rhodiorum civitate, quae Ptolemaeo favebat.

δρον, προτιμήσαντ' αὐτὴν μάλιστα τῶν πόλεων καὶ τὴν ὑπὲρ ὅλης τῆς βασιλείας διαθήκην ἐκεῖ θέσθαι, καὶ τἄλλα θαυμάζειν καὶ προάγειν εἰς ὑπεροχήν. οἱ δ' οὖν Ῥόδιοι, πρὸς πάντας τοὺς δυνάστας συντεθειμένοι τὴν φιλίαν, διετήρουν μὲν ἑαυτοὺς ἐκτὸς ἐγκλήματος δικαίου, ταῖς δ' εὐνοίαις ἔρρεπον μάλιστα πρὸς Πτολεμαῖον. συνέβαινε γὰρ αὐτοῖς τῶν τε προσόδων τὰς πλείστας εἶναι διὰ τοὺς εἰς Αἴγυπτον πλέοντας ἐμπόρους, καὶ τὸ σύνολον τρέφεσθαι τὴν πόλιν ἀπὸ ταύτης τῆς βασιλείας.

cap. 82. Rhodiis naves & auxilia imperat, hisque recusatis, bellum infert.

Ὁ δὴ συνορῶν ὁ Ἀντίγονος, καὶ σπεύδων αὐτοὺς ἀποσπάσαι τῆς πρὸς ἐκεῖνον ἐπιπλοκῆς, τὸ μὲν πρῶτον πρεσβευτὰς ἀπέστειλε, καθ' ὃν καιρὸν ὑπὲρ τῆς Κύπρου διεπολέμει πρὸς Πτολεμαῖον, ἀξιῶν αὐτῷ συμμαχεῖν, καὶ ναῦς συναποστεῖλαι τῷ Δημητρίῳ. οὐ προσεχόντων δ' αὐτῶν, ἀπέστειλέ τινα τῶν στρατηγῶν μετὰ νεῶν, συντάξας τοὺς πλέοντας εἰς Αἴγυπτον ἐκ τῆς Ῥόδου κατάγειν, καὶ περιαιρεῖσθαι τὰ φορτία. τούτου δ' ἐκβληθέντος ὑπὸ τῶν Ῥοδίων, φήσας αὐτοὺς ἀδίκου κατῆρχθαι πολέμου, διηπειλήσατο πολιορκήσειν δυνάμεσιν ἁδραῖς τὴν πόλιν. οἱ δὲ Ῥόδιοι τὸ μὲν πρῶτον ἐψηφίσαντο μεγάλας αὐτῷ τιμάς, καὶ πέμψαντες πρέσβεις, ἠξίουν μὴ βιάσασθαι τὴν πόλιν προσπεσεῖν παρὰ τὰς συνθήκας εἰς τὸν πόλεμον πρὸς Πτολεμαῖον. τραχύτερον δὲ τοῦ βασιλέως ἀπαντῶντος, καὶ τὸν υἱὸν Δημήτριον ἐκπέμψαντος μετὰ δυνάμεως καὶ πολιορκητικῶν ὀργάνων, φοβηθέντες τὴν ὑπεροχὴν τοῦ βασιλέως, τὸ μὲν πρῶτον ἀπέστειλαν πρὸς τὸν Δημήτριον, φήσαντες συμπολεμήσειν Ἀντιγόνῳ πρὸς Πτολεμαῖον. ὡς δ' ἐκεῖνος ὁμήρους ἑκατὸν ᾔτει τοὺς ἐπιφανεστάτους, καὶ τοῖς λιμέσι δέχεσθαι τὸν στόλον προσέταττεν, ὑπολαβόντες ἐπιβουλεύειν αὐτὸν τῇ πόλει, τὰ πρὸς πόλεμον παρεσκευάζοντο.

cap. 83. Demetrius ad insulam appellit, & piratas expedit ad prædandum & populandum.

Ὁ μὲν Δημήτριος κατέπλευσεν εἰς τὴν νῆσον· ἀποβιβάσας δὲ τὴν δύναμιν, κατεστρατοπέδευσε πλησίον τῆς πόλεως, ἐκτὸς βέλους ποιησάμενος τὴν παρεμβολήν. εὐθὺς δὲ τῶν τε πειρατῶν καὶ τῶν ἄλλων τοὺς εὐθέτους ἐξέπεμψε πορθήσοντας τὴν νῆσον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. ἐδενδροτόμησε δὲ καὶ τὴν πλησίον χώραν, καὶ καθεῖλε τὰς ἐπαύλεις, ἐξ ὧν ὠχύρωσε τὴν στρατοπεδείαν περιλαβὼν τριπλῷ χάρακι καὶ σταυρώμασι

πυκνοῖς

πυκνοῖς καὶ μεγάλοις, ὥςε τὴν τῶν πολεμίων βλάβην γίνεσθαι τῶν ἰδίων ἀσφάλειαν. μετὰ δὲ ταῦτα πάσῃ τῇ δυνάμει καὶ τοῖς πληρώμασιν ἔχωσεν ἐν ὀλίγαις ἡμέραις τὸ μεταξὺ τῆς πόλεως διαλεῖπον πρὸς τὴν ἔκβασιν, καὶ κατεσκεύασε λιμένα ταῖς ναυσὶν ἀρκοῦντα.

Οἱ δὲ Ῥόδιοι μέχρι μέν τινος πρέσβεις ἐκπέμποντες ἠξίουν μηδὲν πρᾶξαι κατὰ τῆς πόλεως ἀνήκεστον· ὡς δ' οὐδεὶς αὐτοῖς προσεῖχεν, ἀπογνόντες τὰς διαλύσεις, ἐξέπεμψαν πρεσβευτὰς πρὸς Πτολεμαῖον καὶ Λυσίμαχον καὶ Κάσσανδρον, ἀξιοῦντες βοηθεῖν, ὡς τῆς πόλεως προσπολεμούσης ὑπὲρ αὐτῶν. τῶν δ' ἐν τῇ πόλει κατοικούντων παροίκων καὶ ξένων δόντες ἐξουσίαν τοῖς βουλομένοις συναγωνίζεσθαι, τοὺς λοιποὺς ἀχρήςους ἐκ τῆς πόλεως ἐξέπεμψαν, ἅμα μὲν τῆς τῶν ἀναγκαίων ἐνδείας προνοηθέντες, ἅμα δὲ καὶ τοῦ μηδένα τῇ καταςάσει δυσχεραίνοντα γίνεσθαι τῆς πόλεως προδότην. ἀριθμὸν δὲ ποιησάμενοι τῶν δυναμένων ἀγωνίζεσθαι, πολιτῶν μὲν εὗρον περὶ ἑξακισχιλίους, τῶν δὲ παροίκων καὶ ξένων εἰς χιλίους. ἐψηφίσαντο δὲ καὶ τῶν δούλων τοὺς ἄνδρας ἀγαθοὺς γενομένους ἐν τοῖς κινδύνοις, ἀγοράσαντας παρὰ τῶν δεσποτῶν, ἐλευθεροῦν, καὶ πολίτας εἶναι· ἔγραψαν δὲ καὶ τῶν τελευτησάντων ἐν τῷ πολέμῳ τὰ μὲν σώματα δημοσίᾳ θάπτεσθαι, τοὺς δὲ γονεῖς καὶ παῖδας τρέφεσθαι, λαμβάνοντας τὴν χορηγίαν ἀπὸ τοῦ κοινοῦ ταμιείου· καὶ τὰς μὲν παρθένους δημοσίᾳ προικίζεσθαι, τοὺς δ' υἱοὺς ἐν ἡλικίᾳ γενομένους ἐν τῷ θεάτρῳ ςεφανῶσαι τοῖς Διονυσίοις πανοπλίᾳ. διὰ δὲ τούτων ἐκκαλεσάμενοι τὰς ἁπάντων προθυμίας εἰς τὸ τοὺς κινδύνους ὑπομένειν εὐψύχως, ἐποιήσαντο καὶ τῶν ἄλλων τὴν ἐνδεχομένην παρασκευήν. ὁμονοοῦντος γὰρ τοῦ πλήθους, οἱ μὲν εὔποροι χρήματ' εἰσέφερον, οἱ δὲ τεχνῖται τὰς αὐτῶν ἐπιςήμας παρείχοντο πρὸς τὴν τῶν ὅπλων κατασκευήν· ἅπας δ' ἦν ἐνεργὸς, τῇ φιλοτιμίᾳ τοὺς ἄλλους ὑπερθέσθαι σπεύδων. διόπερ οἱ μὲν ἐγίνοντο περὶ τοὺς ὀξυβελεῖς καὶ πετροβόλους, οἱ δὲ περὶ τὴν τῶν ἄλλων παρασκευήν· τινὲς δὲ τὰ πεπονηκότα τῶν τειχῶν ἐπεσκεύαζον· πλεῖςοι δὲ λίθους πρὸς τὰ τείχη φέροντες ἐσώρευον.

cap. 84. Rhodii, missis ad Ptolemæum, Lysimachum & Cassandrum, legatis, eorum auxilia requirunt;

apparant etiam, quæ ad propugnandam urbem conducere videbantur.

cap. 85. Oppugnationis descriptio accurata.

Πρὸς τὰς θέσεις τῶν ὀργάνων δὲ ὁ Δημήτριος ἄφθονον ἔχων ἁπάντων χορηγίαν, ἤρξατο κατασκευάζειν δύο χελώνας, τὴν μὲν πρὸς τὰς πετροβόλους, τὴν δὲ πρὸς τὰς ὀξυβελεῖς· ἀμφοτέρας δὲ ταύτας ἐπὶ δύο πλοίων φορτηγῶν διαβεβηκότων καὶ κατεζευγμένων. δύο δὲ πύργους τετραστέγους, ὑπερέχοντας τοῖς ὕψεσι τῶν ἐπὶ τοῦ λιμένος πύργων· ἑκάτερον δὲ τούτων ἐπὶ δύο πλοίων ἴσων βεβηκότων καὶ κατειλημμένων, ὅπως ἐν τῷ προσάγειν ἡ στάσις ἑκατέρα τῶν πλευρῶν ἰσόῤῥοπον ἔχῃ τὸ βάρος. κατεσκεύασε δὲ καὶ χάρακα πλωτὸν ἐπὶ τετραπόδων ξύλων καθηλωμένων, ὅπως προσπλέων οὗτος κωλύῃ τοὺς πολεμίους ἐπιπλέοντας ἐμβολὰς διδόναι τοῖς φέρουσι τὰς μηχανὰς πλοίοις. ἐν ὅσῳ δὲ ταῦτα τὴν συντέλειαν ἐλάμβανεν, ἀθροίσας τοὺς ἁδροτάτους τῶν λέμβων, καὶ τούτους καταφράξας σανίσι, καὶ θυρίδας κλεισὰς κατασκευάσας, ἐνέθετο μὲν τῶν τρισπιθάμων ὀξυβελῶν τοὺς πόῤῥωτάτω βάλλοντας, καὶ τοὺς τούτοις κατὰ τρόπον χρησομένους, ἔτι δὲ τοξότας Κρῆτας· τὰς δὲ ναῦς προσαγαγὼν ἐντὸς βέλους, κατετίτρωσκε τοὺς κατὰ τὴν πόλιν, ὑψηλότερα τὰ παρὰ τὸν λιμένα τείχη κατασκευάζοντας. οἱ δὲ Ῥόδιοι, θεωροῦντες τοῦ Δημητρίου τὴν πᾶσαν ἐπιβολὴν οὖσαν ἐπὶ τὸν λιμένα, καὶ αὐτοὶ τὰ πρὸς τὴν ἀσφάλειαν τούτου παρεσκευάζοντο. δύο μὲν οὖν ἔστησαν μηχανὰς ἐπὶ τοῦ χώματος, τρεῖς δ' ἐπὶ φορτηγῶν πλοίων, πλησίον τῶν κλείθρων τοῦ μικροῦ λιμένος. ἐν δὲ ταύταις ἔθηκαν πλῆθος ὀξυβελῶν καὶ πετροβόλων παντοίων τοῖς μεγέθεσιν, ὅπως, ἐάν τε ἀποβιβάζωσιν οἱ πολέμιοι πρὸς τὸ χῶμα στρατιώτας, ἐάν τε τὰς μηχανὰς προσάγωσι, διὰ τούτων αὐτοὺς εἴργεσθαι τῆς ἐπιβολῆς. ἐπέστησαν δὲ καὶ τοῖς ὁρμῶσι τῶν φορτηγῶν πλοίων ἐν τῷ λιμένι βελοστάσεις οἰκείας τοῖς ἐπιτίθεσθαι μέλλουσι καταπέλτας.

cap. 86.

Ἀμφοτέρων δὲ τοῦτον τὸν τρόπον παρεσκευασμένων, ὁ Δημήτριος μὲν προσήγαγε τὰς μηχανὰς τοῖς λιμέσιν·

cap. 91. Demetrius urbem a terra adoriri instituit. Machinarum apparatus.

ἐπὶ δὲ ταῖς κατὰ θάλατταν προσβολαῖς ἀποτυγχάνων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, ἐν τῷ ὑστεραίῳ ἀπὸ τῆς γῆς διέγνω τὰς ἐπιθέσεις ποιεῖσθαι. παρασκευασάμενος οὖν ὕλης παντοίας πλῆθος, κατεσκεύασε μηχανὴν τὴν καλουμένην Ἑλέπολιν, ὑπεραίρουσαν πολὺ τῷ μεγέθει τῶν πρὸ αὐτῆς γενομέ-

νομένων. ἐσχαρίȣ γὰρ ὄντος τετραγώνȣ, τὴν μὲν πλευρὰν ἑκάϛην ὑπεϛήσατο πηχῶν σχεδὸν πεντήκοντα, συμπεπηγυῖαν ἐκ τετραγώνων ξύλων σιδήρῳ δεδεμένων· τὴν δὲ ἀνὰ μέσον χώραν διέλαβε δοκοῖς ἀλλήλων ἀπεχȣ́σαις ὡσανεὶ πῆχυν, ὅπως παράϛασις ᾖ τοῖς παραθεῖν τὴν μηχανὴν μέλλȣσι. τὸ δὲ πᾶν βάρος ἦν ὑπότροχον, ϛεϱεοῖς καὶ μεγάλοις ὀκτὼ τροχοῖς ὑπειλημμένον. τὰ γὰρ πάχη τῶν ἀψίδων ὑπῆρχε πηχῶν δυοῖν, σεσιδηρωμένα λεπίσιν ἰσχυραῖς. πρὸς δὲ ταῖς ἐκ πλαγίας μεταθέσεσιν ἦσαν ἀντίϛρεπτα πεπραγματευμένα, δι᾽ ὧν ἡ πᾶσα μηχανὴ ῥᾳδίως παντοίαν ὑπελάμβανε κίνησιν. ἐκ δὲ τῶν γωνιῶν ὑπῆρχον ἴσοι τῷ μήκει βραχὺ λείποντες τῶν ἑκατὸν πηχῶν, ȣ̓́τως συννενευκότες εἰς ἀλλήλȣς, ὥϛε τȣ̃ παντὸς κατασκευάσματος ὄντος ἐννεαϛέγȣ, τὴν μὲν πρώτην ϛέγην ὑπάρχειν κλινῶν τεσσαράκοντα τριῶν, τὴν δ᾽ ἀνωτάτω ἐννέα. τὰς δὲ τρεῖς πλευρὰς τῆς μηχανῆς ἔξωθεν συνεκάλυψε λεπίσι σιδηραῖς καθηλωμέναις, ἵνα μηδὲν ὑπὸ τῶν πυρφόρων βλάπτηται. θυρίδας δ᾽ εἶχον αἱ ϛέγαι κατὰ πρόσωπον, τοῖς μεγέθεσι καὶ τοῖς σχήμασι πρὸς τὰς ἰδιότητας τῶν μελλόντων ἀφίεσθαι βελῶν ἁρμοζȣ́σας. αὗται δὲ εἶχον καλύμματα διὰ μηχανῆς ἀνασπώμενα, δι᾽ ὧν ἀσφάλειαν ἐλάμβανον οἱ κατὰ τὰς ϛέγας περὶ τὴν ἄφεσιν τῶν βελῶν ἀναϛρεφόμενοι. ἦσαν μὲν γὰρ ἐκ βυρσῶν περιεῤῥαμμένα, πλήρη δὲ ἐρίων, εἰς τὸ τὴν πληγὴν ἐνδιδόναι τῶν λιθοβόλων. ἑκάϛη δὲ τῶν ϛεγῶν εἶχε δύο κλίμακας πλατείας, ὧν τῇ μὲν πρὸς τὴν ἀνοκομιδὴν τῶν χρησίμων, τῇ δὲ πρὸς τὴν κατάβασιν ἐχρῶντο, πρὸς τὸ χωρὶς θορύβȣ πᾶν ὑπηρετεῖσθαι. οἱ δὲ μέλλοντες κινήσειν τὴν μηχανὴν ἐξελέχθησαν ἐξ ἁπάσης τῆς δυνάμεως οἱ ταῖς ῥώμαις διαφέροντες ἄνδρες τρισχίλιοι καὶ τετρακόσιοι. τȣ́των δ᾽ οἱ μὲν ἐντὸς ἀποληφθέντες, οἱ δ᾽ ἐκ τῶν ὄπισθεν μερῶν παριϛάμενοι προσώθȣν, πολλὰ τῆς τέχνης συνεργȣ́σης εἰς τὴν κίνησιν. κατεσκεύασε δὲ καὶ χελώνας τὰς μὲν χωϛρίδας, τὰς δὲ κριοφόρȣς, καὶ ϛοὰς δι᾽ ὧν ἔμελλον οἱ τοῖς ἔργοις προσιόντες ἐλεύσεσθαι καὶ πάλιν ἐπιϛρέψειν ἀσφαλῶς. τοῖς δ᾽ ἐκ τῶν νεῶν πληρώμασιν ἀνεκάθηρε τὸν τόπον ἐπὶ ϛαδίȣς τέτταρας, δι᾽ ὧν ἔμελλε προσάξειν τὰς κατασκευα-

θείσας μηχανάς· ὥστε γίνεσθαι τὸ ἔργον ἐπὶ μῆκος μεσοπυργίων ἕξ, καὶ πύργων ἑπτά. τὸ δ' ἠθροισμένον πλῆθος τῶν τεχνιτῶν καὶ τῶν τοῖς ἔργοις προσιόντων οὐ πολὺ ἐλείπετο τῶν τρισμυρίων.

cap. 92. Demetrii singularis in oppugnandis urbibus sollertia, unde Poliorcetae nomen inditum. Forma & dignitas corporis, ingenii praestantia, mores.

Διόπερ τῇ πολυχειρίᾳ τάχιον τῆς προσδοκίας ἁπάντων ἐπιτελουμένων, φοβερὸς ἦν ὁ Δημήτριος τοῖς Ῥοδίοις. οὐ μόνον γὰρ τὰ μεγέθη τῶν μηχανῶν καὶ τὸ πλῆθος τῆς ἠθροισμένης δυνάμεως ἐξέπληττεν αὐτούς, ἀλλὰ καὶ τὸ τοῦ βασιλέως βίαιον καὶ φιλότεχνον ἐν ταῖς πολιορκίαις. εὐμήχανος γὰρ ὢν καθ' ὑπερβολὴν ἐν ταῖς ἐπινοίαις, καὶ πολλὰ παρὰ τὴν τῶν ἀρχιτεκτόνων τέχνην παρευρίσκων, ὠνομάσθη μὲν Πολιορκητής, τὴν δ' ἐν ταῖς προσβολαῖς ὑπεροχὴν καὶ βίαν τοιαύτην εἶχεν, ὥστε δόξαι μηδὲν οὕτως ὀχυρὸν εἶναι τεῖχος, ὃ δύναιτ' ἂν τὴν ἀπ' ἐκείνου τοῖς πολιορκουμένοις ἀσφάλειαν παρέχεσθαι. ἦν δὲ καὶ κατὰ τὸ μέγεθος τοῦ σώματος καὶ κατὰ τὸ κάλλος ἡρωϊκὸν ἀποφαίνων ἀξίωμα, ὥστε καὶ τοὺς ἀφανουμένους τῶν ξένων, θεωροῦντας εὐπρέπειαν κεκοσμημένην ὑπεροχῇ βασιλικῇ, θαυμάζειν καὶ παρακολουθεῖν ἐν ταῖς ἐξόδοις ἕνεκεν τῆς θέας. ἐπὶ δὲ τούτοις ὑπῆρχε καὶ τῇ ψυχῇ μετέωρος καὶ μεγαλοπρεπής, καὶ καταφρονῶν οὐ τῶν πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἐν ταῖς δυναστείαις ὄντων· καί, τὸ πάντων ἰδιαίτατον, κατὰ μὲν τὴν εἰρήνην ἐν μέθαις διέτριβε καὶ συμποσίοις ἔχουσιν ὀρχήσεις καὶ κώμους· καὶ τὸ σύνολον, ἐζήλου τὴν μυθολογουμένην ποτὲ γενέσθαι κατ' ἀνθρώπους τοῦ Διονύσου διάθεσιν· κατὰ δὲ τοὺς πολέμους ἐνεργὸς ἦν καὶ νήφων, ὥστε παρὰ πάντας τοὺς ἐργατευομένους ἐναγώνιον παρέχεσθαι τὸ σῶμα καὶ τὴν ψυχήν· ἐπὶ γὰρ τούτου βέλη τὰ μέγιστα συνετελέσθη, καὶ μηχαναὶ παντοῖαι, πολὺ τὰς παρὰ τοῖς ἄλλοις γενομένας ὑπεραίρουσαι· καὶ σκάφη δὲ μέγιστα καθείλκυσεν οὗτος μετὰ τὴν πολιορκίαν ταύτην, καὶ τὴν τοῦ πατρὸς τελευτήν.

cap. 93. Rhodiorum opera, hostium conatibus opposita.

Οἱ δὲ Ῥόδιοι, θεωροῦντες τὴν προκοπὴν τῶν παρὰ τοῖς πολεμίοις ἔργων, κατεσκεύασαν ἐντὸς ἕτερον τεῖχος παράλληλον τῷ μέλλοντι πονεῖν κατὰ τὰς προσβολάς. ἐχρῶντο δὲ λίθοις, καθαιροῦντες τοῦ θεάτρου τὸν περίβολον καὶ τὰς πλησίον οἰκίας· ἔτι δὲ τῶν ἱερῶν ἔνια, τοῖς

θεοῖς

θεοῖς εὐξάμενοι καλλίονα κατασκευάσειν, σωθείσης τῆς πόλεως. ἐξέπεμψαν δὲ καὶ τῶν νεῶν ἐννέα, διακελευσάμενοι τοῖς ἀφηγουμένοις πανταχῆ πλεῖν, καὶ παραδόξως ἐπιφαινομένους, ἃ μὲν βυθίζειν τῶν ἁλισκομένων πλοίων, ἃ δὲ κατάγειν εἰς τὴν πόλιν.

Δημητρίου δὲ διὰ τῶν μεταλλέων ὑπορύξαντος τὸ cap. 94.
τεῖχος, τῶν αὐτομόλων τις ἐμήνυσε τοῖς πολιορκουμένοις, ὡς οἱ ταῖς ὑπομοναῖς χρώμενοι σχεδὸν ἐντός εἰσι τοῦ τείχους. διόπερ οἱ Ῥόδιοι τάφρον ὀρύξαντες βαθεῖαν παράλληλον τῷ δοκοῦντι πεσεῖσθαι τείχει, ταχὺ καὶ αὐτοὶ ταῖς μεταλλείαις χρώμενοι, συνῆψαν ὑπὸ γῆν τοῖς ἐναντίοις, καὶ διεκώλυσαν τῆς εἰς τοὔμπροσθεν πορείας.

Δημήτριος δὲ, τῶν τε μηχανῶν αὐτοῦ τέλος ἐχουσῶν, cap. 95. Novi Demetrii apparatus.
καὶ τοῦ πρὸς τὸ τεῖχος τόπου παντὸς ἀνακαθαρθέντος, τὴν μὲν ἑλέπολιν μέσην ἔστησε, τὰς δὲ χωστρίδας χελώνας ἐπιδιεῖλεν, οὔσας εἰς ὀκτώ. κατέστησε δ' εἰς ἑκάτερον μέρος τῆς μηχανῆς τέτταρας, καὶ τούτων ἑκάστῃ συνῆψε στοὰν μίαν, εἰς τὸ δύνασθαι μετ' ἀσφαλείας ἐπιτελεῖν τὸ προσταττόμενον τοὺς εἰσιόντας τε καὶ πάλιν ἐξιόντας. κριοφόρους δὲ δύο πολλαπλασίας τοῖς μεγέθεσιν. εἶχε γὰρ ἑκατέραν πηχῶν ἑκατὸν εἴκοσι σεσιδηρωμένην, καὶ τὴν ἐμβολὴν ἔχουσαν παραπλησίαν νεὼς ἐμβόλῳ, καὶ προωθουμένην μὲν εὐκινήτως, ὑπόροχον δὲ καὶ τὴν ἐναγώνιον ἐνέργειαν λαμβάνουσαν δι' ἀνδρῶν οὐκ ἐλαττόνων ἢ χιλίων. μέλλων δὲ προσάγειν τὰς μηχανὰς τοῖς τείχεσι, τοὺς μὲν πετροβόλους καὶ τοὺς ὀξυβελεῖς παρήνεγκε τῆς ἑλεπόλεως εἰς ἑκάστην στέγην τοὺς ἁρμόζοντας. ἐπὶ δὲ τὸν λιμένα καὶ τοὺς πλησίον τόπους ἀπέστειλε τὴν ναυτικὴν δύναμιν, πρὸς δὲ τὸ λοιπὸν τεῖχος τὸ δυνάμενον προσβολὰς δέξασθαι, τὸ πεζὸν στρατόπεδον ἐπιδιεῖλεν. ἔπειτα δὲ πρὸς ἓν παρακέλευσμα καὶ σημεῖον πάντων συναλαλαξάντων, πανταχόθεν τῇ πόλει προσβολὰς ἐποιεῖτο. διασείοντος δ' αὐτοῦ τοῖς κριοῖς καὶ τοῖς πετροβόλοις τὰ τείχη, παρεγενήθησαν Κνιδίων πρέσβεις, ἀξιοῦντες ἐπισχεῖν, καὶ πείσειν ἐπαγγελλόμενοι τοὺς Ῥοδίους δέχεσθαι τὰ δυνατώτατα τῶν προσταγμάτων. ἀνέντος δὲ τοῦ βασιλέως, καὶ τῶν πρέσβεων δεῦρο κἀκεῖσε πολλὰ διαλεχθέντων, πέρας οὐ δυναμένων συμφωνῆσαι, πάλιν ἐνηργεῖτο τὰ τῆς πολιορκίας·

καὶ

καὶ Δημήτριος μὲν κατέβαλε τὸν στερεώτατον τῶν πύργων, ᾠκοδομημένον ἐκ λίθων τετραπέδων, καὶ μεσοπύργιον ὅλον διέσεισεν, ὥστε μὴ δύνασθαι τοὺς ἐν τῇ πόλει πάροδον ἔχειν ἐπὶ τὰς ἐπάλξεις κατὰ τοῦτον τὸν τόπον.

cap. 96. Commeatu a Ptolemæo, Cassandro & Lysimacho adjuvantur Rhodii.

Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις Πτολεμαῖος ὁ βασιλεὺς ἀπέστειλε τοῖς Ῥοδίοις πλοίων πλῆθος τῶν τὴν ἀγορὰν κομιζόντων, ἐν οἷς ἦσαν σίτου τριάκοντα μυριάδες ἀρταβῶν σὺν τοῖς ὀσπρίοις· προσφερομένων δ' αὐτῶν πρὸς τὴν πόλιν, ἐπεχείρησε Δημήτριος ἀποστέλλειν σκάφη τὰ κατάξοντα πρὸς τὴν αὑτοῦ στρατοπεδείαν. φορᾶς δὲ πνεύματος αὐτοῖς ἐπιγενομένου, ταῦτα μὲν πλήρεσι τοῖς ἱστίοις φερόμενα, κατηνέχθη πρὸς τοὺς οἰκείους λιμένας· οἱ δὲ ὑπὸ Δημητρίου πεμφθέντες ἐπανῆλθον ἄπρακτοι. ἔπεμψε δὲ τοῖς Ῥοδίοις καὶ Κάσσανδρος κριθῶν μεδίμνους μυρίους, καὶ Λυσίμαχος πυρῶν μεδίμνους τετρακισμυρίους, καὶ κριθῶν τοὺς ἴσους. τηλικαύτης οὖν χορηγίας τοῖς κατὰ τὴν πόλιν γενομένης, ἤδη κάμνοντες ταῖς ψυχαῖς οἱ πολιορκούμενοι πάλιν ἀνεθάῤῥησαν· καὶ κρίναντες συμφέρειν ἐπιθέσθαι ταῖς μηχαναῖς τῶν πολεμίων, πυρφόρων τε πλῆθος παρεσκευάσαντο, καὶ τοὺς πετροβόλους καὶ τοὺς ὀξυβελεῖς ἔστησαν ἅπαντας ἐπὶ τοῦ τείχους. νυκτὸς δ' ἐπιγενομένης περὶ δευτέραν φυλακὴν, ἄφνω τοῖς μὲν πετροβόλοις συνεχῶς τὴν φυλακὴν ἔβαλλον· τοῖς δ' ἄλλοις βέλεσι πυρφόροις παντοίοις χρώμενοι, τοὺς ἐκεῖ συντρέχοντας κατετίτρωσκον. οἱ δὲ περὶ τὸν Δημήτριον, ἀνελπίστου τῆς ἐπιθέσεως γενομένης, ἀγωνιάσαντες περὶ τῶν κατασκευασθέντων ἔργων, συνέτρεχον ἐπὶ τὴν βοήθειαν. ἀσελήνου δὲ τῆς νυκτὸς οὔσης, οἱ μὲν πυρφόροι διέλαμπον φερόμενοι βιαίως· οἱ δὲ ὀξυβελεῖς καὶ πετροβόλοι τὴν φορὰν ἀπροόρατον ἔχοντες, πολλοὺς διέφθειρον τῶν μὴ δυναμένων συνιδεῖν τὴν ἐπιφερομένην πληγήν. ἔτυχον δὲ καὶ τῶν ἀπὸ τῆς μηχανῆς λεπίδων τινὲς ἀποπεσοῦσαι· καταψιλωθέντος δὲ τοῦ τόπου προσέπιπτον οἱ πυρφόροι τῷ ξυλοφανεῖ τοῦ κατασκευάσματος. διόπερ ἀγωνιάσας ὁ Δημήτριος, μή ποτε τοῦ πυρὸς ἐπινεμηθέντος, ἅπασαν συμβῇ τὴν μηχανὴν λυμανθῆναι, κατὰ τάχος ἐβοήθει, καὶ τῷ παρασκευασθέντι ὕδατι ἐν ταῖς στέγαις ἐπειρᾶτο σβεννύναι τὴν ἐπιφερομένην φλόγα. τὸ δὲ τελευταῖον ἀθροί-

Eo recreati, nova vehementia in hostes impetum faciunt.

σαι

σας τῇ σάλπιγγι τὲς τεταγμένες ἐπὶ τῆς κινήσεως τῶν ἔργων, διὰ τέτων ἀπήγαγε τὰς μηχανὰς ἐκτὸς βέλες.

Ἔπειτα γενομένης ἡμέρας προσέταξε τοῖς ὑπηρέταις ἀθροῖσαι τὰ βέλη τὰ πεσόντα παρὰ τῶν Ῥοδίων, ἐκ τέτων βελόμενος συλλογίσαθαι τὼν ἐν τῇ πόλει τὴν παρασκευήν. ὧν ταχὺ τὸ προσταχθὲν ποιησάντων, ἠριθμήθησαν πυρφόροι μὲν τοῖς μεγέθεσι παντοῖοι πλείες τῶν ὀκτακοσίων, ὀξυβελεῖς δ' ἐκ ἐλάττες τῶν χιλίων πεντακοσίων. τοσέτων δὲ βελῶν ἐνεχθέντων ἐν βραχεῖ χρόνῳ νυκτὸς, ἐθαύμαζε τὴν χορηγίαν τῆς πόλεως καὶ τὴν ἐν τέτοις δαψίλειαν. τότε μὲν ἐν ὁ Δημήτριος κατεσκέυασε τὰ πεπονηκότα τῶν ἔργων, καὶ περί τε τὴν ταφὴν τῶν τελευτησάντων καὶ τὴν θεραπείαν τῶν τραυματιῶν ἐγίνετο. καθ' ὃν δὴ χρόνον οἱ κατὰ τὴν πόλιν ἄνεσιν λαβόντες τῆς ἀπὸ τῶν μηχανῶν βίας, ᾠκοδόμησαν τρίτον τεῖχος μηνοειδὲς, περιλαμβάνοντες τῇ μὲν περιφερείᾳ πάντα τὸν κινδυνεύοντα τόπον τε τείχες. ἐδὲν δ' ἧττον καὶ τάφρῳ βαθείᾳ περιέλαβον τὸ πεπτωκὸς τε τείχες, ὅπως μὴ δύνηται ῥαδίως ὁ βασιλεὺς ἐξ ἐφόδε μετὰ βάρες εἰσπεσεῖν εἰς τὴν πόλιν. ἐξέπεμψαν δὲ καὶ ναῦς τῶν ἀρίςα πλεεσῶν, Ἀμύνταν ἐπιςήσαντες ἡγεμόνα. ὃς ἐκπλεύσας πρὸς τὴν περαίαν τῆς Ἀσίας, ἐπεφάνη παραδόξως πειραταῖς τισιν ἀπεςαλμένοις ὑπὸ Δημητρίε. ἕτοι δ' εἶχον ἄφρακτα τρία, κράτιςοι δοκεντες ἔιναι τῶν τῷ βασιλεῖ συςρατευόντων. γενομένης δ' ἐπ' ὀλίγον χρόνον ναυμαχίας, οἱ Ῥόδιοι βιασάμενοι τῶν νεῶν αὐτάνδρων ἐκυρίευσαν, ἐν δις ἦν καὶ Τιμοκλῆς ὁ ἀρχιπειρατής. ἐπέπλευσαν δὲ καὶ τῶν ἐμπόρων τισὶ, καὶ παρελόμενοι κέλητας ἐκ ὀλίγες γέμοντας σίτε, τέτες τε καὶ τὰ τῶν πειρατῶν ἄφρακτα κατήγαγον εἰς τὴν Ῥόδον νυκτὸς, λαθόντες τὲς πολεμίες. ὁ δὲ Δημήτριος, ἐπισκευάσας τὰ πεπονηκότα τῶν ἔργων, προσέβαλε τῷ τείχει τὰς μηχανάς· καὶ πᾶσι τοῖς βέλεσιν ἀφειδῶς χρώμενος, τὲς μὲν ἐπὶ ταῖς ἐπάλξεσιν ἐφεςῶτας ἀνεῖρξε· τοῖς δὲ κριοῖς τύπτων τὸ συνεχὲς τε τόπε, δύο μὲν μεσοπύργια κατέβαλε, περὶ δὲ τὸν πύργον τὸν ἀνὰ μέσον τέτων φιλοτιμεμένοις τοῖς ἐκ τῆς πόλεως ἰσχυροὶ καὶ συνεχεῖς ἐκ διαδοχῆς ἀγῶνες ἐγίνοντο· ὥςε καὶ τὸν ςρατηγὸν αὐτῶν

cap. 97.

Ἀμει-

Ἀμεινίαν ἐκθύμως ἀγωνισάμενον ἀναιρεθῆναι, καὶ συχνοὺς τῶν ἄλλων στρατιωτῶν ἀποθανεῖν.

cap. 98. Instantibus Græcarum civitatum legatis, pacis conditiones proponuntur, de quibus tamen non convenit. Renovant ab utraque parte bellum.

Ἅμα δὲ τούτοις πραττομένοις, Πτολεμαῖος μὲν ὁ βασιλεὺς ἀπέστειλε τοῖς Ῥοδίοις σῖτον καὶ τὴν ἄλλην ἀγορὰν οὐκ ἐλάττονα τῆς πρότερον ἐκπεμφθείσης, καὶ στρατιώτας χιλίους πεντακοσίους, ὧν ἦν ἡγεμὼν Ἀντίγονος ὁ Μακεδών. καθ' ὃν δὴ χρόνον ἧκον πρὸς τὸν Δημήτριον πρέσβεις παρά τε Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλληνίδων πόλεων, τὸν ἀριθμὸν μὲν ὄντες ὑπὲρ τοὺς πεντήκοντα, πάντες δὲ ἀξιοῦντες διαλύσασθαι τὸν βασιλέα πρὸς τοὺς Ῥοδίους. γενομένων οὖν ἀνοχῶν, καὶ πολλῶν καὶ παντοδαπῶν λόγων πρός τε τὸν δῆμον καὶ πρὸς τοὺς περὶ τὸν Δημήτριον ῥηθέντων, οὐδαμῶς ἐδυνήθησαν συμφωνῆσαι. διόπερ οἱ πρέσβεις ἀπῆλθον ἄπρακτοι. Δημήτριος δὲ διανοηθεὶς νυκτὸς ἐπιθέσθαι τῇ πόλει κατὰ τὸ πεπτωκὸς τοῦ τείχους, ἐπέλεξε τῶν τε μαχίμων τοὺς κρατίστους, καὶ τῶν ἄλλων τοὺς εὐθέτους εἰς χιλίους καὶ πεντακοσίους. τούτους μὲν οὖν προσέταξεν ἡσυχῇ προσελθεῖν τῷ τείχει περὶ δευτέραν φυλακήν· αὐτὸς δὲ διασκευάσας, παρήγγειλε τοῖς ἐφ' ἑκάστῳ μέρει τεταγμένοις, ὅταν σημήνῃ συναλαλάξαι, καὶ προσβολὰς ποιεῖσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. πάντων δὲ τὸ παραγγελθὲν ποιούντων, οἱ μὲν ἐπὶ τὰ πεπτωκότα τῶν τειχῶν ὁρμήσαντες, τοὺς προφυλάττοντας ἐπὶ τῆς τάφρου κατασφάξαντες παρεισέπεσον εἰς τὴν πόλιν, καὶ τοὺς περὶ τὸ θέατρον τόπους προκατελάβοντο. οἱ δὲ τῶν Ῥοδίων πυθόμενοι τὸ συμβεβηκὸς, καὶ τὴν πόλιν ὁρῶντες ἅπασαν τεθορυβημένην, τοῖς μὲν ἐπὶ τοῦ λιμένος καὶ τῶν τειχῶν παρήγγειλαν μένειν ἐπὶ τῆς ἰδίας τάξεως, καὶ τοὺς ἔξωθεν, ἂν προσβάλωσιν, ἀμύνασθαι· αὐτοὶ δ' ἔχοντες τὸ τῶν ἐπιλέκτων σύστημα, καὶ τοὺς ἀπὸ τῆς Ἀλεξανδρείας προσφάτως καταπεπλευκότας, ὥρμησαν ἐπὶ ἐντὸς τοῦ τείχους παρεισπεπτωκότας. περικαταλαβούσης δ' ἡμέρας, καὶ τοῦ Δημητρίου τὸ σύσσημον ἄραντος, οἱ μὲν τῷ λιμένι προσβαλόντες, καὶ τὸ τεῖχος πάντοθεν περιεστρατοπεδευκότες, συνηλάλαξαν, εὐθαρσεῖς ποιοῦντες τοὺς κατειληφότας μέρος τοῦ περὶ τὸ θέατρον τόπου. ὁ δὲ κατὰ τὴν πόλιν ὄχλος παίδων καὶ γυναικῶν ἐν φόβοις ἦν καὶ δάκρυσιν, ὡς τῆς πατρίδος κατὰ κράτος ἁλισκομένης.

οὐ

οὐ μὴν ἀλλὰ τοῖς παρεισπεσοῦσι ἐντὸς τοῦ τείχους γενομένης μάχης πρὸς τοὺς Ῥοδίους, καὶ πολλῶν παρ᾽ ἀμφοτέροις πεσόντων, τὸ μὲν πρῶτον οὐδέτεροι τῆς ἰδίας τάξεως ἐξεχώρουν. μετὰ δὲ ταῦτα τῶν μὲν Ῥοδίων ἀεὶ πλειόνων γινομένων, καὶ τὸν κίνδυνον ἑτοίμως ὑπομενόντων, ὡς ἂν ὑπὲρ πατρίδος καὶ τῶν μεγίστων ἀγωνιζομένων, τῶν δὲ τοῦ βασιλέως θλιβομένων, Ἄλκιμος μὲν καὶ Μαντίας οἱ τὴν ἡγεμονίαν ἔχοντες πολλοῖς περιπεσόντες τραύμασιν ἐτελεύτησαν· τῶν δ᾽ ἄλλων οἱ πλεῖστοι οἱ μὲν ἐν χειρῶν νόμῳ διεφθάρησαν, οἱ δ᾽ ἥλωσαν· ὀλίγοι δὲ πρὸς τὸν βασιλέα φυγόντες διεσώθησαν· πολλοὶ δὲ καὶ τῶν Ῥοδίων ἀνῃρέθησαν, ἐν οἷς ἦν καὶ ὁ πρύτανις Δαμοτέλης ἐπ᾽ ἀρετῇ γενόμενος περίβλεπτος.

cap. 99. Tandem adhortante & Antigono & Ptolemæo pax initur.

Δημήτριος δὲ τὴν τῆς πόλεως ἅλωσιν ὑπολαβὼν ἐκ τῶν χειρῶν αὐτοῦ τὴν τύχην ἀφῃρῆσθαι, πάλιν παρεσκευάζετο πρὸς τὴν πολιορκίαν. εἶτα τοῦ πατρὸς αὐτῷ γράψαντος διαλύσασθαι πρὸς Ῥοδίους ὡς ἄν ποτε δύνηται, τὸν κάλλιστον ἐπετήρει καιρὸν, δώσοντα προφάσεις εὐλόγους τῆς συνθέσεως. Πτολεμαίου δὲ γράψαντος τοῖς Ῥοδίοις τὸ μὲν πρῶτον, ὅτι πέμψει σίτου πλῆθος αὐτοῖς καὶ στρατιώτας τρισχιλίους, μετὰ δὲ ταῦτα συμβουλεύοντος, ἐὰν ᾖ δυνατὸν, μετρίως διαλύσασθαι πρὸς Ἀντίγονον, ἅπαντες ἔρρεπον πρὸς τὴν εἰρήνην. καθ᾽ ὃν δὴ χρόνον τοῦ κοινοῦ τῶν Αἰτωλῶν ἀποστείλαντος πρεσβευτὰς περὶ διαλύσεων, οἱ Ῥόδιοι συνέθεντο πρὸς Δημήτριον ἐπὶ τοῖσδε· αὐτόνομον καὶ ἀφρούρητον εἶναι τὴν πόλιν, καὶ ἔχειν τὰς ἰδίας προσόδους· συμμαχεῖν δὲ Ῥοδίους Ἀντιγόνῳ, πλὴν ἐὰν ἐπὶ Πτολεμαῖον στρατεύηται· καὶ δοῦναι τῶν πολιτῶν ὁμήρους ἑκατὸν, οὓς ἂν ἀπογράψηται Δημήτριος, πλὴν τῶν ἀρχὰς ἐχόντων.

Pacis conditiones.

312 ante Chr. cap. 102. Demetrii bellum pro liberanda Græcia continuatum.

Ἔπειτα Δημήτριος εἶχε πρόθεσιν πρὸς μὲν τοὺς περὶ Κάσσανδρον διαπολεμεῖν, τοὺς δὲ Ἕλληνας ἐλευθεροῦν, καὶ πρῶτον τὰ κατὰ τὴν Ἑλλάδα διοικεῖν· ἅμα μὲν νομίζων δόξαν οἴσειν αὐτῷ μεγάλην τὴν τῶν Ἑλλήνων αὐτονομίαν, ἅμα δὲ καὶ τοὺς περὶ Πρεπέλαον καὶ ἡγεμόνας τοῦ Κασσάνδρου πρότερον συντρίψαι, καὶ τότε προσάγειν ἐπ᾽ αὐτὴν τὴν ἡγεμονίαν, ἢ ἐπ᾽ αὐτὸν πορεύοιτο τὸν Κάσσανδρον. τῆς δὲ τῶν Σικυωνίων πόλεως φρουρουμένης ὑπὸ

τῶν Πτολεμαίȣ τȣ̃ βασιλέως ϛρατιωτῶν (ὧν ἦν ἐπιφανέϛατος ϛρατηγὸς Φίλιππος) νυκτὸς ἐπιθέμενος ἀπροσδοκήτως, παρεισέπεσεν ἐντὸς τȣ̃ τείχȣς. Ὁ δὲ Δημήτριος διοικήσας τὰ περὶ τȣ̀ς Σικυωνίȣς, ἀνέζευξε μετὰ πάσης τῆς δυνάμεως ἐπὶ τὴν Κόρινθον, ἣν ἐφρȣ́ρει Πρεπέλαος Κασσάνδρȣ ϛρατηγός. τὸ μὲν ȣ̃ν πρῶτον νυκτὸς ὑπό τινων πολιτῶν εἰσαχθεὶς διά τινος πυλίδος, ἐκράτησε τῆς πόλεως καὶ τῶν λιμένων. καὶ Πρεπέλαος μὲν αἰσχρῶς ἐκπεσὼν ἐκ τῆς πόλεως, πρὸς Κάσσανδρον ἀνεχώρησε· Δημήτριος δὲ παρελθὼν εἰς τὴν Ἀχαΐαν, Βȣ̃ραν μὲν κατὰ κράτος εἷλε, καὶ τοῖς πολίταις ἀνέδωκε τὴν αὐτονομίαν· Σκύρον δ' ἐν ὀλίγαις ἡμέραις παραλαβὼν, ἐξέβαλε τὴν φρȣράν. μετὰ δὲ ταῦτ' ἐπερχόμενος τῆς Ἀχαΐας ἠλευθέρȣ τὰς πόλεις· ϛρατεύσας δὲ ἐπὶ τὸ Αἴγιον περιεχαράκωσε τὸ τεῖχος, καὶ λόγȣς ἐποίησε πρὸς τὸν ἀφηγȣ́μενον τῆς φρȣρᾶς Στρόμβιχον, παραδȣ̃ναι τὴν πόλιν ἀξιῶν. μετὰ δὲ τὴν ἅλωσιν ταύτης τῆς πόλεως, οἱ σύνεγγυς τὰ φρȣ́ρια κατέχοντες, ὑπολαμβάνοντες ἀδύνατον ὑπάρχειν τὸ διαφυγεῖν τὴν βίαν τȣ̃ βασιλέως, παρέδωκαν αὐτῷ τὰ χωρία· ὁμοίως δὲ τȣ́τοις καὶ οἱ τὰς πόλεις φρȣρȣ̃ντες τῶν μὲν περὶ Κάσσανδρον καὶ Πρεπέλαον καὶ Πολυσπέρχοντα μὴ βοηθȣ́ντων, τȣ̃ δὲ Δημητρίȣ μετὰ μεγάλης δυνάμεως καὶ μηχανῶν ὑπεραγȣσῶν προσιόντος, ἑκȣσίως ἐξεχώρȣν.

cap. 103. Corinthus per fraudem capta.

Achajæ urbes liberatæ.

Κάσσανδρος ὁ Μακεδόνων βασιλεὺς, ὁρῶν τὴν δύναμιν τῶν Ἑλλήνων αὐξομένην, καὶ πάντα τὸν πόλεμον ἐπὶ τὴν Μακεδονίαν συνιςάμενον, περίφοβος ἦν ὑπὲρ τȣ̃ μέλλοντος· διόπερ ἐξέπεμψε πρέσβυτας πρὸς Ἀντίγονον εἰς τὴν Ἀσίαν, ἀξιῶν διαλύσασθαι πρὸς αὐτόν. ἀποκριναμένȣ δ' ἐκείνȣ, διότι μίαν γινώσκει διάλυσιν, ἐὰν ὁ Κάσσανδρος ἐπιτρέπῃ τὰ καθ' αὐτὸν, καταπλαγεὶς Λυσίμαχον ἐκ τῆς Θρᾴκης μετεπέμψατο πρὸς τὴν τῶν ὅλων κοινοπραγίαν. ἀεὶ γὰρ εἰώθει τȣ̃τον κατὰ τȣ̀ς μεγίςȣς φόβȣς εἰς τὴν βοήθειαν προσλαμβάνεσθαι, διά τε τὴν τἀνδρὸς ἀρετὴν, καὶ διὰ τὸ τὴν βασιλείαν αὐτȣ̃ ὅμορον εἶναι τῇ Μακεδονίᾳ. συνεδρεύσαντες ȣ̃ν οἱ βασιλεῖς ἐπὶ περὶ τȣ̃ κοινȣ̃ συμφέροντος, ἐξέπεμψαν πρεσβευτὰς πρός τε Πτολεμαῖον τὸν Αἰγύπτȣ βασιλέα καὶ πρὸς Σέλευ-

330 ante Chr. cap. 106. Cassander pacem ab Antigono impetrare studet.

Lysimachum, Ptolemæum, Seleucum ad bellum contra Antigonum excitat.

κ-

χον τὸν τῶν ἄνω σατραπειῶν κυριεύοντα, περί τε τῆς ὑπερηφανίας τῆς ἐν ταῖς ἀποκρίσεσιν ἐμφανίζοντες, καὶ τὸν ἐκ τοῦ πολέμου κίνδυνον κοινὸν εἶναι πάντων διδάσκοντες. τῆς γὰρ Μακεδονίας κρατήσαντα τὸν Ἀντίγονον εὐθὺς ἀφελεῖσθαι καὶ τῶν ἄλλων τὰς βασιλείας. δεδωκέναι γὰρ αὐτὸν πεῖραν πλεονάκις, καὶ ὅτι πλεονέκτης ἐςὶ, καὶ πᾶσαν ἀρχὴν ἀκοινώνητον ποιεῖ. συμφέρειν οὖν ἅπαντας συμφρονῆσαι, καὶ κοινῇ πρὸς Ἀντίγονον ἐπανελέσθαι πόλεμον. οἱ μὲν οὖν περὶ Πτολεμαῖον καὶ Σέλευκον, δόξαντες ἀληθῆ λέγειν πρὸς ἀλλήλους, προθύμως ὑπήκουσαν, καὶ συνετάξαντο βοηθεῖν ἁδραῖς δυνάμεσι.

Ὁ δὲ Ἀντίγονος, τέσσαρσι βασιλεῦσιν ὁμονοήσασι πολεμήσας, Πτολεμαίῳ τῷ Λάγου, Αἰγυπτίων ὄντι βασιλεῖ, Σελεύκῳ Βαβυλωνίων, Λυσιμάχῳ Θρᾳκῶν, Κασσάνδρῳ τῷ Ἀντιπάτρου Μακεδονίας, καὶ μάχην συνάψας, πολλοῖς βέλεσι τρωθεὶς ἀνῃρέθη, καὶ θάπτεται βασιλικῇ τιμῇ· ὁ δὲ υἱὸς αὐτοῦ Δημήτριος, σὺν τῇ μητρὶ αὐτοῦ Στρατονίκῃ, διατριβούσῃ περὶ Κιλικίαν, σὺν τοῖς χρήμασι πᾶσιν ἔπλευσεν εἰς Σαλαμῖνα τῆς Κύπρου, διὰ τὸ κατέχεσθαι ὑπὸ Δημητρίου. Eclogæ ex lib. XXI. Antigonus proelio vincitur & perit.

Οὕτω δὲ κριθείσης τῆς μάχης, οἱ μὲν νενικηκότες βασιλεῖς τὴν ὑπ' Ἀντιγόνῳ καὶ Δημητρίῳ πᾶσαν ἀρχὴν, ὥσπερ μέγα σῶμα, κατακόπτοντες, ἐλάμβανον μερίδας, καὶ προσδιενείμαντο τὰς ἐκείνων ἐπαρχίας, ἃς εἶχον αὐτοὶ πρότερον. Δημήτριος δὲ τὸν πλοῦν ἐπὶ τῆς Ἑλλάδος ἐποιεῖτο, τῶν λοιπῶν ἐλπίδων ἐν Ἀθηναίοις ἔχων τὰς μεγίςας· καὶ γὰρ καὶ ναῦς ἐκεῖ καὶ χρήματα καὶ γυναῖκα Δηϊδάμειαν ἐτύγχανε καταλελοιπώς· καὶ βεβαιοτέραν οὐκ ἐνόμιζε καταφυγὴν εἶναι τοῖς πράγμασι τῆς Ἀθηναίων εὐνοίας. ὅθεν ἐπεὶ ἐπειγομένῳ περὶ τὰς Κυκλάδας αὐτῷ πρέσβεις Ἀθηναίων ἀπήντησαν, ἀπέχεσθαι τῆς πόλεως παρακαλοῦντες, ὡς ἐψηφισμένου τοῦ δήμου μηδένα δέχεσθαι τῇ πόλει τῶν βασιλέων, τὴν δὲ Δηϊδάμειαν εἰς Μέγαρα ἐξέπεμψαν μετὰ τιμῆς καὶ πομπῆς πρεπούσης, τοῦ καθεςηκότος ἐξέςη δι' ὀργὴν αὐτοῦ, καίπερ εὐηνοχὼς ῥᾷςα τὴν ἄλλην ἀτυχίαν, καὶ γεγονὼς ἐν τοιαύτῃ μεταβολῇ πραγμάτων οὐ ταπεινὸς, οὐδ' ἀγεννής. ἀλλὰ τὸ παρ' ἐλπίδα διεψεῦσθαι τῶν Ἀθηναίων, καὶ τὴν δοκοῦσαν εὔνοιαν ἐξεληλέγ- Plutarch. in Demetrio. cap. 30.

λιλέχθαι τοῖς πράγμασι κενὴν καὶ πεπλασμένην ὖσαν,
cap. 31. ὀδυνηρὸν ἦν αὐτῷ. Ὁ γῦν Δημήτριος τότε δεινὰ μὲν ἡγόμενος πάσχειν, ἀδύνατος δ' ὢν ἀμύνασθαι, προσέπεμψε τοῖς Ἀθηναίοις ἐγκαλῶν μετρίως, ἀξιῶν δὲ τὰς ναῦς ἀπολαβεῖν, ἐν ἆις ἦν καὶ ἡ τρισκαιδεκήρης. κομισάμενος δὲ παρέπλευσεν εἰς Ἰσθμὸν, καὶ τῶν πραγμάτων αὐτῷ κακῶς ἐχόντων, (ἐξέπιπτον γὰρ ἑκασαχόθεν αἱ Φρυραὶ, καὶ πάντα μεθίςατο πρὸς τὺς πολεμίυς) ἀπολιπὼν ἐπὶ τῆς Ἑλλάδος Πύῤῥον, αὐτὸς ἄρας ἐπὶ τὴν Χεῤῥόνησον ἔπλευσε· καὶ κακῶς ἅμα ποιῶν Λυσίμαχον, ὠφέλει καὶ συνεῖχε τὴν περὶ αὐτὸν δύναμιν, ἀρχομένην ἀναλαμβάνειν, καὶ γίνεσθαι πάλιν ὐκ εὐκαταφρόνητον. ὁ δὲ Λυσίμαχος ὑπὸ τῶν ἄλλων βασιλέων ἠμελεῖτο, μηδὲν ἐπιεικέςερος ἐκείνυ δοκῶν ἔιναι, τῷ δὲ μᾶλλον ἰσχύειν καὶ φοβερώτερος. ὐ πολλῷ δ' ὕςερον Σέλευκος ἐμνᾶτο πέμπων τὴν Δημητρίυ καὶ Φίλας θυγατέρα Στρατονίκην, ἔχων μὲν ἐξ Ἀπάμας τῆς Περσίδος ὑιὸν Ἀντίοχον· ὀιόμενος δὲ, τὰ πράγματα καὶ διαδόχοις ἀρκεῖν πλείοσι, καὶ δεῖσθαι τῆς πρὸς ἐκεῖνον ὀικειότητος· ἐπεὶ καὶ Λυσίμαχον ἑώρα τῶν Πτολεμαίυ θυγατέρων τὴν μὲν ἑαυτῷ, τὴν δ' Ἀγαθοκλεῖ τῷ ὑιῷ λαμβάνοντα. Δημητρίῳ δ' ἦν ἀνέλπιςος εὐτυχία, κηδεῦσαι Σελεύκῳ. καὶ τὴν κόρην ἀναλαβὼν ἔπλει ταῖς ναυσὶ πάσαις ἐις Συρίαν, τῇ τ' ἄλλῃ γῇ προσέχων ἀναγκαίως, καὶ τῆς Κιλικίας ἁπτόμενος, ἣν Πλείςαρχος ἔιχε μετὰ τὴν πρὸς Ἀντίγονον μάχην, ἐξαίρετον αὐτῷ δοθεῖσαν ὑπὸ τῶν βασιλέων. ἦν δὲ Κασάνδρυ Πλείςαρχος ἀδελφός. ἀδικεῖσθαι δὲ τὴν χώραν αὐτῦ νομίζων ὑπὸ Δημητρίυ κατὰ τὰς ἀποβάσεις, καὶ μέμψασθαι βυλόμενος τὸν Σέλευκον, ὅτι τῷ κοινῷ διαλλάττεται πολεμίῳ δίχα τῶν ἄλλων βασιλέων, ἀνέβη πρὸς
cap. 32. αὐτόν. Αἰσθόμενος δὲ τῦτο Δημήτριος, ὥρμησεν ἀπὸ θαλάσσης ἐπὶ Κυΐνδων, καὶ τῶν χρημάτων εὑρὼν ἔτι λοιπὰ χίλια διακόσια τάλαντα, ταῦτα συσκευασάμενος, καὶ φθάσας ἐμβαλέσθαι, διὰ ταχέων ἀνήχθη. καὶ παρύσης ἤδη Φίλας τῆς γυναικὸς αὐτῷ, περὶ Ὀροσσὸν ἀπήντησε Σέλευκος· καὶ τὴν ἔντευξιν εὐθὺς ἄδολον καὶ ἀνύποπτον καὶ βασιλικὴν ἐποιῦντο, πρότερον μὲν Σέλευκος ἑςιάσας ἐπὶ σκηνῆς ἐν τῷ ςρατοπέδῳ Δημήτριον, αὖθις δὲ Δημήτριος

τριος ἐκεῖνον ἐν τῇ τρισκαιδεκήρη δεξάμενος. ἦσαν δὲ καὶ σχολαὶ καὶ κοινολογίαι καὶ συνδιημερεύσεις ἀφρέρων καὶ ἀνόπλων. ἄχρις ὃ Σέλευκος τὴν Στρατονίκην ἀναλαβὼν λαμπρῶς εἰς Ἀντιόχειαν ἀνέβη. Δημήτριος δὲ Κιλικίαν κατέσχε, καὶ Φίλαν τὴν γυναῖκα πρὸς Κάσανδρον ἔπεμψε, τὸν ἀδελφὸν, ἀπολυσομένην τὰς Πλεισάρχου κατηγορίας. ἐν δὲ τούτῳ Δηϊδάμεια πλεύσασα πρὸς αὐτὸν ἀπὸ τῆς Ἑλλάδος, καὶ συγγενομένη χρόνον οὐ πολὺν ἐξ ἀῤῥωστίας τινὸς ἐτελεύτησε. γενομένης δὲ φιλίας πρὸς Πτολεμαῖον αὐτῷ διὰ Σελεύκου ὡμολογήθη Πτολεμαΐδα, τὴν Πτολεμαίου θυγατέρα, λαβεῖν αὐτὴν γυναῖκα. καὶ ταῦτα μὲν ἀστεῖα τοῦ Σελεύκου. Κιλικίαν δ' ἀξιῶν χρήματα λαβόντα παραδοῦναι Δημήτριον, ὡς οὐκ ἔπειθε, Σιδῶνα καὶ Τύρον ἀπαιτῶν πρὸς ὀργὴν, ἐδόκει βίαιος εἶναι καὶ δεινὰ ποιεῖν, εἰ τὴν ἀπ' Ἰνδῶν ἄχρι τῆς κατὰ Συρίαν θαλάσσης ἅπασαν ὑφ' αὐτῷ πεποιημένος, οὕτως ἐνδεὴς ἐστιν χρημάτων καὶ πτωχὸς, ὥσθ' ὑπὲρ δυοῖν πόλεων ἄνδρα κηδεστὴν καὶ μεταβολῇ τύχης κεχρημένον ἐλαύνειν. Οὐ μὴν ὑπέπτηξε Δημήτριος, ἀλλὰ φήσας, οὐδ', ἂν μυριάκις ἡττηθῇ μάχας ἄλλας, ἐνθήσω γαμβρὸν ἀγαπήσειν ἐπὶ μισθῷ Σέλευκον, τὰς μὲν πόλεις ἐκρατύνατο φρουραῖς· αὐτὸς δὲ πυθόμενος, Λαχάρη στασιάζουσι Ἀθηναίοις ἐπιθέμενον τυραννεῖν, ἤλπισε ῥᾳδίως ἐπιφανεὶς λήψεσθαι τὴν πόλιν. καὶ τὸ μὲν πέλαγος ἀσφαλῶς διεπεραιώθη μεγάλῳ στόλῳ. Ἐχομένων δὲ τῶν Ἀθηνῶν, εὐθὺς ἐπεβούλευε τῇ Λακεδαίμονι· καὶ περὶ Μαντίνειαν Ἀρχιδάμου τοῦ βασιλέως ἀπαντήσαντος αὐτῷ, νικήσας μάχῃ καὶ τρεψάμενος, εἰς τὴν Λακωνικὴν ἐνέβαλε. καὶ πρὸς αὐτῇ τῇ Σπάρτῃ πάλιν ἐκ παρατάξεως ἑλὼν πεντακοσίους, καὶ διαφθείρας διακοσίους, ὅσον οὔπω τὴν πόλιν ἔχειν ἐδόκει μέχρι τῶν χρόνων ἐκείνων ἀνάλωτον οὖσαν. τότε δὲ τῶν πραγμάτων οὕτως εὐπόρως αὐτῷ πρὸς ἀρχὴν καὶ δύναμιν ἐπιδιδόντων, ἀγγέλλεται Λυσίμαχος μὲν πρῶτος ἀφῃρημένος αὐτοῦ τὰς ἐν Ἀσίᾳ πόλεις, Κύπρον δὲ Πτολεμαῖος ᾑρηκὼς, ἄνευ μιᾶς πόλεως Σαλαμῖνος, ἐν δὲ Σαλαμῖνι πολιορκῶν τοὺς παῖδας αὐτοῦ καὶ τὴν μητέρα κατειλημμένους. οὐ μὴν ἀλλὰ καὶ ἡ τύχη δεινοῖς αὐτὸν οὕτω καὶ φοβεροῖς ἀγγέλμασιν ἀποστήσασα τῆς

cap. 33.

cap. 35.

τῆς Λακεδαίμονος, εὐθὺς ἑτέρας πραγμάτων καινῶν καὶ
cap. 36. μεγάλων ἐπήνεγκεν ἐλπίδας, ἐκ τοιαύτης αἰτίας. Ἐπεὶ, Κασάνδρȣ τελευτήσαντος, ὁ πρεσβύτατος αὐτȣ̃ τῶν παίδων Φίλιππος, ȣ̓ πολὺν χρόνον βασιλεύσας Μακεδόνων, ἀπέθανεν, οἱ λοιποὶ δύο πρὸς ἀλλήλȣς ἐστασίαζον. θατέρȣ δ' αὐτῶν, Ἀντιπάτρȣ, τὴν μητέρα Θεσσαλονίκην φονεύσαντος, ἅτερος ἐκάλει βοηθȣ̀ς, ἐκ μὲν Ἠπείρȣ Πύῤῥον, ἐκ δὲ Πελοποννήσȣ Δημήτριον. ἔφθασε δὲ Πύῤῥος ἐλθὼν, καὶ πολὺ μέρος Μακεδονίας ἀποτεμόμενος, τῆς βοηθείας μισθὸν, φοβερὸς μὲν ἦν ἤδη παροικῶν Ἀλεξάνδρῳ· Δημητρίȣ δ' ὡς ἐδέξατο τὰ γράμματα, μετὰ τῆς δυνάμεως προσιόντος, ἔτι μᾶλλον ὁ νεανίας τȣ̃τον φοβηθεὶς διὰ τὸ ἀξίωμα καὶ τὴν δόξαν, ἀπήντησεν αὐτῷ περὶ Δήϊον, ἀσπαζόμενος μὲν καὶ φιλοφρονȣ́μενος, ȣ̓δὲν δὲ φάσκων ἔτι τῆς ἐκείνȣ δεῖσθαι τὰ πράγματα παρȣσίας. ἦσαν ȣ̓̃ν ἐκ τȣ́των ὑποψίαι πρὸς ἀλλήλȣς αὐτοῖς, καὶ κατεκόπη
cap. 37. Ἀλέξανδρος ὑπὸ τῶν τȣ̃ Δημητρίȣ δορυφόρων. Ταρασσομένοις τοῖς Μακεδόσι καὶ φοβȣμένοις τὴν τȣ̃ Δημητρίȣ δύναμιν, ὡς ἐπῄει μὲν ȣ̓δεὶς φοβερὸς, ὁ δὲ Δημήτριος ἔπεμπε βȣλόμενος ἐντυχεῖν, καὶ περὶ τῶν πεπραγμένων ἀπολογήσασθαι, θαῤῥεῖν παρέστη, καὶ δέχεσθαι φιλανθρώπως αὐτόν. ὡς δ' ἦλθεν, ȣ̓ μακρῶν ἐδέησεν αὐτῷ λόγων, ἀλλὰ τῷ μισεῖν μὲν Ἀντίπατρον, φονέα τῆς μητρὸς ὄντα, βελτίονος δ' ἀπορεῖν, ἐκεῖνον ἀνηγόρευσαν βασιλέα Μακεδόνων, καὶ παραλαβόντες αὐτὸν κατῆγον εἰς Μακε-
cap. 39. δονίαν. Μετὰ ταῦτα καὶ Θετταλίαν Δημήτριος ἦν παρειληφώς. ἔχων δὲ καὶ τῆς Πελοποννήσȣ τὰ πλεῖστα, καὶ τῶν ἐντὸς Ἰσθμȣ̃, Μέγαρα καὶ Ἀθήνας, ἐπὶ Βοιωτȣ̀ς
cap. 43. ἐστράτευσεν. Ἐπισφαλέστατα δὲ νοσήσας ἐν Πέλλῃ, μικρȣ̃ τότε Μακεδονίαν ἀπέβαλε, καταδραμόντος ὀξέως Πύῤῥȣ καὶ μέχρις Ἐδέσσης προελθόντος. ἅμα δὲ τῷ κȣφότερος γενέσθαι, πάνυ ῥᾳδίως ἐξελάσας αὐτὸν, ἐποιήσατο τινὰς ὁμολογίας· ȣ̓ βȣλόμενος ἐμποδὼν ὄντι συνεχῶς προσπταίων καὶ τοπομαχῶν, ἧττων εἶναι πρὸς οἷς διενοεῖτο. διενοεῖτο δ' ȣ̓θὲν ὀλίγον, ἀλλὰ πᾶσαν ἀναλαμβάνειν τὴν ὑπὸ τῷ πατρὶ γενομένην ἀρχήν. καὶ τῆς ἐλπίδος ταύτης καὶ τῆς ἐπιβολῆς ȣ̓κ ἀπελείπετο τὰ τῆς παρασκευῆς, ἀλλὰ στρατιᾶς μὲν ἤδη συνετέτακτο πεζῆς μυριάδα δέκα
δισχ

δισχιλίων ἀνδρῶν ἀποδείξας, καὶ χωρὶς, ἱππέας ὀλίγῳ δισχιλίων καὶ μυρίων ἐλάττες. στόλον δὲ νεῶν ἅμα πεντακοσίων καταβαλλόμενος, τὰς μὲν ἐν Πειραιεῖ τρόπεις ἔθετο, τὰς δ' ἐν Κορίνθῳ, τὰς δ' ἐν Χαλκίδι, τὰς δὲ περὶ Πέλλαν. αὐτὸς ἐπιὼν ἑκασταχόσε, καὶ διδάσκων, ἃ χρὴ, καὶ συντεχνώμενος· ἐκπληττομένων ἁπάντων ἐ τὰ πλήθη μόνον, ἀλλὰ καὶ τὰ μεγέθη τῶν ἔργων. ἐδεὶς γὰρ ὄιδεν ἀνθρώπων ἔτε πεντεκαιδεκήρη ναῦν πρότερον ἔτε ἑκκαιδεκήρη· ἀλλ' ὕστερον τεσσαρακοντήρη Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐναυπηγήσατο, μῆκος διακοσίων ὀγδοήκοντα πηχῶν, ὕψος δὲ ἕως ἀκροστολίε πεντήκοντα δυοῖν δεόντων· ναύταις δὲ, χωρὶς ἐρετῶν, ἐξηρτυμένην τετρακοσίοις, ἐρέταις δὲ τετρακισχιλίοις· χωρὶς δὲ τέτων ὁπλίτας δεχομένην ἐπί τε τῶν παρόδων καὶ τε καταστρώματος, ὀλίγῳ τρισχιλίων ἀποδέοντας. ἀλλὰ θέαν μόνην ἐκείνη παρέσχε· καὶ μικρὸν ὅσον διαφέρεσα τῶν μονίμων οἰκοδημάτων, φανῆναι πρὸς ἐπίδειξιν, ἐ χρείαν, ἐπισφαλῶς καὶ δυσέργως ἐκινήθη. τῶν δὲ Δημητρίε νεῶν ἐκ ἦν τὸ καλὸν ἀναγώνιστον, ἐδὲ τῷ περιττῷ τῆς κατασκευῆς ἀπεστερεῦντο τὴν χρείαν, ἀλλὰ τὸ τάχος καὶ τὸ ἔργον ἀξιοθεατότερον τε μεγέθες παρεῖχον. Ἀιρομένης ἐν τοσαύτης δυνάμεως ἐπὶ τὴν Ἀσίαν, ὅσην μετ' Ἀλέξανδρον ἐδεὶς ἔσχε πρότερον, ὁι τρεῖς συνέστησαν ἐπὶ Δημήτριον, Σέλευκος, Πτολεμαῖος, Λυσίμαχος· ἔπειτα κοινῇ πρὸς Πύῤῥον ἀποστείλαντες, ἐκέλευον ἐξάπτεσθαι Μακεδονίας, καὶ μὴ νομίζειν σπονδὰς, ἃις Δημήτριος ἐκ ἐκείνῳ τὸ μὴ πολεμεῖσθαι δέδωκεν, ἀλλ' ἔιληφεν ἑαυτῷ τὸ πολεμεῖν ὄις βέλεται πρότερον. δεξαμένε δὲ Πύῤῥε, πολὺς περιέστη πόλεμος ἔτι μέλλοντα Δημήτριον. ἅμα γὰρ τὴν μὲν Ἑλλάδα πλεύσας στόλῳ μεγάλῳ Πτολεμαῖος ἀφίστη, Μακεδονίαν δὲ Λυσίμαχος ἐκ Θρᾴκης, ἐκ δὲ τῆς ὁμόρε Πύῤῥος, ἐμβαλόντες ἐλεηλάτεν. ὁ δὲ τὸν μὲν ὑιὸν ἐπὶ τῆς Ἑλλάδος κατέλιπεν, αὐτὸς δὲ βοηθῶν Μακεδονίᾳ, πρῶτον ὥρμησεν ἐπὶ Λυσίμαχον· ἀγγέλλεται δ' αὐτῷ Πύῤῥος ᾑρηκὼς πόλιν Βέῤῥοιαν. καὶ τε λόγε ταχέως εἰς τὲς Μακεδόνας ἐκπεσόντος, ἐδὲν ἔτι τῷ Δημητρίῳ κατὰ κόσμον ἔιχεν, ἀλλὰ καὶ ὀδυρμῶν καὶ δακρύων καὶ πρὸς ἐκεῖνον ὀργῆς καὶ βλασφημιῶν μεστὸν ἦν τὸ στράτευμα. καὶ συμ- cap. 44.

μένειν

μένειν ἐκ ἤθελον, ἀλλ' ἀπιέναι, τῷ μὲν λόγῳ πρὸς τὰ οἴκοι, τῇ δ' ἀληθείᾳ πρὸς τὸν Λυσίμαχον. ἔδοξεν ἐν τῷ Δημητρίῳ, Λυσιμάχῳ μὲν ἀποςῆναι πορρωτάτω, πρὸς δὲ Πύῤῥον τραπέσθαι. τὸν μὲν γὰρ ὁμόφυλον εἶναι, καὶ πολλοῖς συνήθη δι' Ἀλέξανδρον. ἔπηλυν δὲ καὶ ξένον ἄνδρα τὸν Πύῤῥον, ἐκ ἂν αὐτῷ προτιμῆσαι Μακεδόνας. τέτων μέντοι πολὺ διεψεύσθη τῶν λογισμῶν. ὡς γὰρ ἐγγὺς ἐλθὼν τῷ Πύῤῥῳ παρεςρατοπέδευσεν, ἀεὶ μὲν αὐτῷ τὴν ἐν τοῖς ὅπλοις λαμπρότητα θαυμάζοντες, ἔκ τε τῷ παλαιοτάτῳ βασιλικώτατον εἰθισμένοι νομίζειν τὸν ἐν τοῖς ὅπλοις κράτισον, τότε δὲ καὶ πρᾴως κεχρῆσθαι τοῖς ἁλισκομένοις πυνθανόμενοι, πάντες δὲ καὶ πρὸς ἕτερον καὶ πρὸς τῦτον ἀπαλλαγῆναι τῷ Δημητρίῳ ζητῦντες, ἀπεχώρῳν λάθρα, καὶ κατ' ὀλίγως τό γε πρῶτον, εἶτα φανερῶς ἅπαν εἶχε κίνησιν καὶ ταραχὴν τὸ ςρατόπεδον. τέλος δὲ τῷ Δημητρίῳ τολμήσαντες τινὲς προσελθεῖν, ἐκέλευον ἀπιέναι καὶ σώζειν αὑτόν· ἀπειρηκέναι γὰρ ἤδη Μακεδόνας ὑπὲρ τῆς ἐκείνῳ τρυφῆς πολεμῦντας. ἔτοι μετριώτατοι τῶν λόγων ἐφαίνοντο τῷ Δημητρίῳ πρὸς τὴν τῶν ἄλλων τραχύτητα· καὶ παρελθὼν ἐπὶ σκηνὴν, ὥσπερ ἐ βασιλεὺς ἀλλ' ὑποκριτὴς, μεταμφιέννυται χλαμύδα φαιὰν ἀντὶ τῆς τραγικῆς ἐκείνης, καὶ διαλαθὼν ὑπεχώρησεν. ὁρμησάντων δὲ τῶν πλείςων εὐθὺς ἐφ' ἁρπαγὴν, καὶ πρὸς ἀλλήλως διαμαχομένων, καὶ τὴν σκηνὴν διασπώντων, ἐπιφανεὶς ὁ Πύῤῥος ἐκράτησεν αὐτοβοεὶ καὶ κατέσχε τὸ ςρατόπεδον. καὶ γίνεται πρὸς Λυσίμαχον αὐτῷ συμπάσης Μακεδονίας νέμησις, ἑπταετίαν ὑπὸ Δημητρίῳ βεβαίως

cap. 45. ἀρχθείσης. Οὕτω δὲ τῷ Δημητρίῳ τῶν πραγμάτων ἐκπεσόντος καὶ καταφυγέντος εἰς Κασάνδρειαν, ἡ γυνὴ Φίλα περιπαθὴς γενομένη, προσιδεῖν μὲν ἐχ ὑπέμεινεν αὖθις ἰδιώτην καὶ φυγάδα, τὸν τλημονέςατον βασιλέων Δημήτριον, ἀπειπαμένη δὲ πᾶσαν ἐλπίδα, καὶ μισήσασα τὴν τύχην αὐτῷ, βεβαιοτέραν ἐν τοῖς κακοῖς ἐσαν, ἢ τοῖς ἀγαθοῖς, πιῦσα φάρμακον ἀπέθανε. Δημήτριος δ' ἔτι τῶν λοιπῶν ναυαγίων ἔχεσθαι διανοηθεὶς, ἀπῆρεν εἰς τὴν Ἑλλάδα, καὶ τὰς ἐκεῖ ςρατηγὰς καὶ φίλας συνῆγεν. καὶ τότε πρῶτον ἰδιώτης καὶ τῶν βασιλικῶν κοσμίων ἔρημος

cap. 46. ἐπεφοίτα ταῖς πόλεσιν. Ἐπεὶ δ' ἅπαξ ὥσπερ εἰς ὁδὸ

βασι

βασιλικὴν τὴν ἐλπίδα κατέστη, καὶ συνίστατο πάλιν σῶμα καὶ σχῆμα περὶ αὐτὸν ἀρχῆς, Θηβαίοις μὲν ἀπέδωκε τὴν πολιτείαν, Ἀθηναῖοι δ' ἀπέστησαν αὐτοῦ. καὶ τόν τε Δίφιλον, ὃς ἦν ἱερεὺς τῶν Σωτήρων ἀναγεγραμμένος, ἐκ τῶν ἐπωνύμων ἀνεῖλον, ἄρχοντας αἱρεῖσθαι πάλιν, ὥσπερ ἦν πάτριον, ψηφισάμενοι, τόν τε Πύῤῥον ἐκ Μακεδονίας μετεπέμποντο, μᾶλλον ἢ προσεδόκησαν ἰσχύοντα τὸν Δημήτριον ὁρῶντες. ὁ δ' ὀργῇ μὲν ἐπῆλθεν αὐτοῖς, καὶ πολιορκίαν περὶ τὸ ἄστυ συνεστήσατο καρτεράν. Κράτητος δὲ τοῦ φιλοσόφου πεμφθέντος ὑπὸ τοῦ δήμου πρὸς αὐτὸν, ἀνδρὸς ἐνδόξου καὶ δυνατοῦ, τὰ μὲν, οἷς ὑπὲρ τῶν Ἀθηναίων ἐδεῖτο, πεισθεὶς, τὰ δ', ἐξ ὧν ἐδίδασκε περὶ τῶν ἐκείνῳ συμφερόντων, νοήσας, ἔλυσε τὴν πολιορκίαν, καὶ συναγαγὼν, ὅσαι νῆες ἦσαν αὐτῷ, καὶ στρατιώτας μυρίους καὶ χιλίους σὺν ἱππεῦσιν ἐμβιβάσας, ἐπὶ τὴν Ἀσίαν ἔπλει, Λυσιμάχου Καρίαν καὶ Λυδίαν ἀποστήσων. δέχεται δ' αὐτὸν Εὐρυδίκη περὶ Μίλητον, ἀδελφὴ Φίλας, ἄγουσα τῶν αὐτῆς καὶ Πτολεμαίου θυγατέρων Πτολεμαΐδα, καθωμολογημένην ἐκείνῳ πρότερον διὰ Σελεύκου. ταύτην γαμεῖ Δημήτριος, Εὐρυδίκης ἐκδιδούσης. καὶ μετὰ τὸν γάμον εὐθὺς ἐπὶ τὰς πόλεις τρέπεται, πολλῶν μὲν ἑκουσίως προστιθεμένων, πολλὰς δὲ καὶ βιαζόμενος. ἔλαβε δὲ καὶ Σάρδεις· καί τινες τῶν Λυσιμάχου στρατιωτῶν ἀπεχώρησαν πρὸς αὐτὸν, χρήματα καὶ στρατιὰν κομίζοντες. ἐπερχομένου δ' Ἀγαθοκλέους, τοῦ Λυσιμάχου, μετὰ δυνάμεως, ἀνέβαινεν εἰς Φρυγίαν, ἐγνωκὼς, ἄνπερ Ἀρμενίας ἐπιλάβηται, Μήδειαν κινεῖν, καὶ τῶν ἄνω πραγμάτων ἔχεσθαι, πολλὰς ἐξωθουμένῳ περιφυγὰς καὶ ἀναχωρήσεις ἐχόντων. ἑπομένου δ' Ἀγαθοκλέους, ἐν ταῖς συμπλοκαῖς περιῆν· ἐπισιτισμοῦ δὲ καὶ προνομῶν εἰργόμενος, ἠπορεῖτο, καὶ τοῖς στρατιώταις δι' ὑποψίας ἦν ὡς ἐπ' Ἀρμενίαν καὶ Μήδειαν ἐκτοπίζων. ἅμα δὲ μᾶλλον ὁ λιμὸς ἐπέτεινε, καὶ διαμαρτία τις γενομένη περὶ τὴν Λύκου διάβασιν πλῆθος ἀνθρώπων ἁρπασθὲν ὑπὸ τοῦ ῥεύματος ἀπώλεσεν. ὅμως δὲ τοῦ σκώπτειν οὐκ ἀπείχοντο. προγράφει δέ τις αὐτοῦ πρὸ τῆς σκηνῆς τὴν τοῦ Οἰδίποδος ἀρχὴν, μικρὸν παραλλάξας·

Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνου, τίνας
Χώρους ἀφίγμεθα;

cap. 47. Τέλος δὲ καὶ νόσου τῷ λιμῷ συνεπιτιθεμένης, ὥσπερ εἴωθεν, ἐπὶ βρώσεις ἀναγκαίας τρεπομένων, τοὺς πάντας οὐκ ἐλάσσονας ὀκτακισχιλίων ἀποβαλών, ἀπῆγεν ὀπίσω τοὺς λοιπούς· καὶ καταβὰς εἰς Ταρσὸν, ἐβούλετο μὲν ἀπέχεσθαι τῆς χώρας, οὔσης ὑπὸ Σελεύκῳ τότε, καὶ πρόφασιν ἐκείνῳ μηδεμίαν παρασχεῖν. ὡς δ' ἦν ἀμήχανον, ἐν ταῖς ἐσχάταις ὄντων ἀπορίαις τῶν στρατιωτῶν, καὶ τοῦ Ταύρου τὰς ὑπερβολὰς Ἀγαθοκλῆς ἀπετείχισε, γράφει πρὸς Σέλευκον ἐπιστολὴν, μακρόν τινα τῆς αὑτοῦ τύχης ὀδυρμὸν, εἶτα πολλὴν ἱκεσίαν καὶ δέησιν ἔχουσαν, ἀνδρὸς οἰκείου λαβεῖν οἶκτον, ἄξια καὶ πολεμίοις συναλγῆσαι πεπονθότος. ἐπικλασθέντος δέ πως Σελεύκου, καὶ γράψαντος τοῖς ἐκεῖ στρατηγοῖς, ὅπως αὐτῷ τε τῷ Δημητρίῳ χορηγίαν βασιλικὴν καὶ τῇ δυνάμει τροφὴν ἄφθονον παρέχωσιν, ἐπελθὼν Πατροκλῆς, ἀνὴρ συνετὸς εἶναι δοκῶν καὶ Σελεύκῳ φίλος πιστὸς, οὐ τὸ τῆς δαπάνης ἔφη πλεῖστον εἶναι τῶν Δημητρίου στρατιωτῶν τρεφομένων, ἀλλ' ἐνδιατρίβοντα τῇ χώρᾳ Δημήτριον οὐ καλῶς περιορᾷν αὐτὸν, ὃς ἀεὶ βιαιότατος ὢν καὶ μεγαλοπραγμονέστατος βασιλέων, νῦν ἐν τύχαις γέγονεν, αἳ καὶ τοὺς φύσει μετρίους ἐξάγουσι τολμᾷν καὶ ἀδικεῖν. ἐκ τούτου παροξυνθεὶς ὁ Σέλευκος ἐξώρμησεν εἰς Κιλικίαν μετὰ πολλῆς δυνάμεως. ὁ δὲ Δημήτριος, ἐκπλαγεὶς τῇ δι' ὀλίγου μεταβολῇ τοῦ Σελεύκου, καὶ φοβηθεὶς, ὑπέστειλε τοῖς ὀχυροτάτοις τοῦ Ταύρου, καὶ διαπεμπόμενος, ἠξίου μάλιστα μὲν αὐτὸν περιϊδεῖν τῶν αὐτονόμων τινὰ βαρβάρων κτησάμενον ἀρχὴν, ἐν ᾗ καταβιώσεται πλάνης καὶ φυγῆς παυσάμενος· εἰ δὲ μὴ, τὸν χειμῶνα διαθρέψαι τὴν δύναμιν αὐτόθι, καὶ μὴ πάντων ἐνδεᾶ καὶ γυμνὸν ἐξελαύνειν, καὶ προβάλλειν τοῖς πολεμίοις.

cap. 48. Ἐπεὶ δὲ Σέλευκος, ταῦτα πάντα ὑποπτεύων, ἐκέλευσεν αὐτὸν, εἰ βούλεται, δύο μῆνας ἐν τῇ Καταονίᾳ χειμάσαι, δόντα τοὺς πρώτους τῶν φίλων ὁμήρους, ἅμα δὲ τὰς εἰς Συρίαν ἀπετείχιζεν ἐμβολάς· ἐγκλειόμενος ὥσπερ θηρίον ὁ Δημήτριος κύκλῳ καὶ περιβαλλόμενος, ὑπ' ἀνάγκης τρέπεται πρὸς ἀλκὴν, καὶ τήν τε χώραν κατέτρεχε, καὶ τῷ Σελεύκῳ προσβάλλοντι συμπλεκόμενος, ἀεὶ πλέον εἶχε. καί ποτε τῶν δρεπανηφόρων εἰς αὐτὸν ἀφεθέν-

των,

των, ὑπερβὰς τροπὴν ἐποιήσατο, καὶ τῶν εἰς Συρίαν ὑπερβολῶν τȣ̀ς ἀποτειχίζοντας ἐξελάσας ἐκράτησε. καὶ ὅλως ἐπῆρτο τῇ γνώμῃ, καὶ τȣ̀ς ϛρατιώτας ἀνατεθαῤῥηκότας ὁρῶν, παρεσκευάζετο διαγωνίσασθαι πρὸς τὸν Σέλευκον ἐπὶ τοῖς μεγίϛοις ἄθλοις, ἠπορημένον ἤδη καὶ αὐτόν. ἀπέϛρεψε μὲν γὰρ τὴν παρὰ Λυσιμάχȣ βοήθειαν, ἀπιϛῶν καὶ φοβȣ́μενος· αὐτὸς δὲ καθ᾽ ἑαυτὸν ὤκνει τῷ Δημητρίῳ συνάψαι, δεδιὼς τὴν ἀπόνοιαν αὐτȣ̃, καὶ τὴν ἀεὶ μεταβολὴν, ἐκ τῶν ἐσχάτων ἀποριῶν τὰς μεγίϛας εὐτυχίας ἐπιφέρȣσαν. νόσος μέντοι βαρεῖα τὸν Δημήτριον ἐν τȣ́τῳ καταλαβȣ̃σα, τό τε σῶμα δεινῶς ἐκάκωσε, καὶ τὰ πράγματα παντάπασι διέφθειρεν. οἱ μὲν γὰρ ἀπεχώρησαν πρὸς τȣ̀ς πολεμίȣς, οἱ δὲ διεῤῥύησαν αὐτȣ̃ τῶν ϛρατιωτῶν. μόλις δ᾽ ἐν ἡμέραις τεσσαράκοντα ῥαΐσας, καὶ τȣ̀ς ὑπολείπȣς ἀναλαβὼν, καὶ ὁρμήσας, ὅσον ἰδεῖν καὶ δοξάσαι τȣ̀ς πολεμίȣς, ἐπὶ Κιλικίας, εἶτα νυκτὸς ἄνευ σάλπιγγος ἄρας ἐπὶ θάτερα, καὶ τὸν Ἀμανὸν ὑπερβαλὼν, ἐπόρθει τὴν κάτω χώραν ἄχρι τῆς Κυῤῥηϛικῆς.

Ἐπιφανέντος δὲ τȣ̃ Σελεύκȣ, καὶ ποιȣμένȣ τὰς καταλύσεις ἐγγὺς, ἀναϛήσας ὁ Δημήτριος τὸ ϛράτευμα, νυκτὸς ἐβάδιζεν ἐπ᾽ αὐτὸν, ἀγνοȣ̃ντα μέχρι πολλȣ̃ καὶ κοιμώμενον. cap. 49. αὐτομόλων δέ τινων παραγενομένων καὶ φρασάντων τὸν κίνδυνον, ἐκπλαγεὶς καὶ ἀναπηδήσας, ἐκέλευσε σημαίνειν, ἅμα τὰς κρηπῖδας ὑποδȣ́μενος, καὶ βοῶν πρὸς τȣ̀ς ἑταίρȣς, ὡς θηρίῳ δεινῷ συμπλέκεται. Δημήτριος δὲ, τῷ θορύβῳ τῶν πολεμίων αἰσθόμενος, ὅτι μεμήνυται, κατὰ τάχος ἀπῆγεν. ἅμα δ᾽ ἡμέρᾳ προσκειμένȣ τȣ̃ Σελεύκȣ, πέμψας τινὰ τῶν περὶ αὐτὸν ἐπὶ θάτερον κέρας, ἐποίησε τινὰ τροπὴν τῶν ἐναντίων. εἶτα μέντοι Σέλευκος αὐτὸς, ἀφεὶς τὸν ἵππον, καὶ τὸ κράνος ἀποθέμενος, καὶ λαβὼν πέλτην, ἀπήντα τοῖς μισθοφόροις ἐπιδεικνύμενος αὐτὸν, καὶ μεταβάλλεσθαι παρακαλῶν, ἤδη ποτὲ συμφρονήσαντας, ὅτι φειδόμενος ἐκείνων, ȣ̓ Δημητρίȣ, χρόνον πολὺν διατετέλεκεν. ἐκ τȣ́τȣ πάντες ἀσπαζόμενοι, καὶ βασιλέα προσαγορεύοντες μεθίϛαντο. Δημήτριος δὲ, πολλῶν μεταβολῶν αἰσθόμενος, ἐσχάτην ἐκείνην ἥκȣσαν ἐπ᾽ αὐτὸν ἐκκλίνας, ἐπὶ τὰς Ἀμανίδας ἔφευγε πύλας, καὶ καταλαβὼν ὕλην τινὰ συνηρεφῆ, μετὰ

τὰ φίλων τινῶν καὶ ἀκολούθων ὀλίγων παντάπασιν ὄντων προσέμεινε τὴν νύκτα, βουλόμενος, εἰ δύναιτο, τῆς ἐπὶ Καῦνον ὁδοῦ λαβέσθαι, καὶ διεκπεσεῖν ἐπὶ τὴν ἐκεῖ θάλασσαν, οὗ τὸν ναύσταθμον εὑρήσειν ἤλπιζεν. ὡς δ' ἔγνω μηδ' ἐκείνης τῆς ἡμέρας ἐφόδιον ἔχοντας αὐτοὺς, ἐπ' ἄλλων ἐγίνετο λογισμῶν. εἶτα μέντοι Σωσιγένης ἐπῆλθεν, ἑταῖρος αὐτοῦ, χρυσοῦς τετρακοσίους ὑπεζωσμένος, καὶ ἀπὸ τούτων ἐλπίζοντες ἄχρι θαλάσσης διαγενήσεσθαι, πρὸς τὰς ὑπερβολὰς ἐχώρουν σκοταῖοι. πυρῶν δὲ καιομένων πρὸς αὐταῖς πολεμίων, ἀπογνόντες ἐκείνην τὴν ὁδὸν, αὖθις ἀνεχώρησαν εἰς τὸν αὐτὸν τόπον, οὔτε πάντες (ἔνιοι γὰρ ἀπέδρασαν) οὔτε ὁμοίως οἱ παραμένοντες πρόθυμοι. τολμήσαντος δέ τινος εἰπεῖν τι, ὡς Σελεύκῳ χρὴ τὸ σῶμα παραδοῦναι, Δημήτριος ὥρμησε μὲν τὸ ξίφος σπασάμενος ἀνελεῖν ἑαυτόν· οἱ δὲ φίλοι περιστάντες καὶ παραμυθούμενοι, συνέπεισαν οὕτω ποιῆσαι· καὶ πέμπει πρὸς Σέλευκον, ἐπιτρέπων ἐκείνῳ τὰ καθ' ἑαυτόν.

cap. 50. Ἀκούσας δὲ Σέλευκος, οὐκ ἔφη τῇ Δημητρίου τύχῃ σώζεσθαι Δημήτριον, ἀλλὰ τῇ αὐτοῦ, μετὰ τῶν ἄλλων καλῶν αὐτῷ φιλανθρωπίας καὶ χρηστότητος ἐπίδειξιν διδούσῃ. καλέσας δὲ τοὺς ἐπιμελητὰς, σκηνήν τε πηγνύναι βασιλικὴν ἐκέλευσε, καὶ πάντα τἆλλα ποιεῖν καὶ παρασκευάζειν εἰς ὑποδοχὴν καὶ θεραπείαν μεγαλοπρεπῶς. ἦν δέ τις Ἀπολλωνίδης παρὰ τῷ Σελεύκῳ, τοῦ Δημητρίου γεγονὼς συνήθης· τοῦτον εὐθὺς ἐξέπεμψε πρὸς αὐτὸν, ὅπως ἡδίων γένηται, καὶ θαῤῥῶν ὡς πρὸς οἰκεῖον ἄνδρα καὶ κηδεστὴν ἀπαντᾷ. φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενομένης, ὀλίγοι τὸ πρῶτον, εἶτα οἱ πλεῖστοι τῶν φίλων ἐξεπήδων παρὰ τὸν Δημήτριον, ἁμιλλώμενοι καὶ φθάνοντες ἀλλήλους· ἠλπίζετο γὰρ εὐθὺς παρὰ τῷ Σελεύκῳ μέγιστος ἔσεσθαι. τοῦτο δ' ἐκείνῳ μὲν εἰς φθόνον μετέβαλλε τὸν ἔλεον, τοῖς δὲ κακοήθεσι καὶ βασκάνοις παρέσχεν ἀποτρέψαι καὶ διαφθεῖραι τὴν φιλανθρωπίαν τοῦ βασιλέως, ἐκφοβήσασιν αὐτὸν, ὡς οὐκ εἰς ἀναβολὰς, ἀλλ' ἅμα τῷ πρῶτον ὀφθῆναι τὸν ἄνδρα, μεγάλων ἐσομένων ἐν τῷ στρατοπέδῳ νεωτερισμῶν. ἄρτι δὴ τοῦ Ἀπολλωνίδου πρὸς τὸν Δημήτριον ἀφιγμένου περιχαροῦς, καὶ τῶν ἄλλων ἐπερχομένων, καὶ λόγους θαυμαστοὺς ἀπαγγελλόντων παρὰ τοῦ Σελεύκου, καὶ τοῦ Δημη-

Δημητρίȣ μετὰ τηλικαύτην δυστυχίαν καὶ κακοπραγίαν, ει καὶ πρότερον ἐδόκει τὴν παράδοσιν τȣ̃ σώματος αἰσχρὰν πεποιῆσθαι, τότε μετεγνωκότος διὰ τὸ θαῤῥεῖν καὶ πιστεύειν ταῖς ἐλπίσιν, ἦλθε Πανσανίας ἔχων στρατιώτας ὁμȣ̃ πεζȣ̀ς καὶ ἱππεῖς περὶ χιλίȣς. καὶ τȣ́τοις περισχὼν τὸν Δημήτριον ἄφνω, τȣ̀ς δ' ἄλλȣς ἀποστήσας, Σελεύκῳ μὲν αὐτὸν εἰς ὄψιν ȣ̓ κατέστησεν, εἰς δὲ Χεῤῥόνησον τὴν Συριακὴν ἀπήγαγεν. ὅπȣ τὸ λοιπὸν ἰσχυρᾶς φυλακῆς ἐπισταθείσης, θεραπεία μὲν ἧκεν ἱκανὴ παρὰ Σελεύκȣ, καὶ χρήματα καὶ δίαιτα παρεσκευάζετο καθ' ἡμέραν ȣ̓ μεμπτὴ, δρόμοι δὲ καὶ περίπατοι βασιλικοὶ, καὶ παράδεισοι θήρας ἔχοντες ἀπεδείχθησαν· ἦν δὲ καὶ τῶν φίλων τῶν συμφυγόντων τῷ βȣλομένῳ συνεῖναι· καὶ παρ' αὐτὸν τινὲς ὅμως ἐπιφοιτῶντες ἀπὸ τȣ̃ Σελεύκȣ ἧκον, κομίζοντες ἐπιεικεῖς λόγȣς, καὶ θαῤῥεῖν παρακαλȣ̃ντες, ὡς, ὅταν πρῶτον Ἀντίοχος ἀφίκηται σὺν Στρατονίκῃ, διαφεθησόμενον.

Ὁ δὲ Δημήτριος ἐν τοιαύτῃ τύχῃ γεγονὼς ἐπέστειλε πρὸς τὸν υἱὸν καὶ τȣ̀ς περὶ Ἀθήνας καὶ Κόρινθον ἡγεμόνας καὶ φίλȣς, μήτε γράμμασιν αὐτȣ̃, μήτε σφραγῖδι, πιστεύειν, ἀλλ' ὥσπερ τεθνηκότος, Ἀντιγόνῳ τὰς πόλεις καὶ τὰ λοιπὰ πράγματα διαφυλάττειν. Ἀντίγονος δὲ τὴν τȣ̃ πατρὸς σύλληψιν πυθόμενος, καὶ βαρέως ἐνεγκὼν, καὶ πενθίμην ἀναλαβὼν ἐσθῆτα, πρός τε τȣ̀ς ἄλλȣς βασιλεῖς ἔγραψε, καὶ πρὸς αὐτὸν Σέλευκον, δεόμενος καὶ πᾶν, ὅ τι λοιπὸν ἦν αὐτοῖς, παραδιδȣ̀ς, καὶ πρὸ παντὸς ὁμηρεύειν ἕτοιμος ὢν αὐτὸς ὑπὲρ τȣ̃ πατρός. καὶ συνεδέοντο ταῦτα πόλεις τε πολλαὶ καὶ δυνάσται, πλὴν Λυσιμάχȣ. Λυσίμαχος δὲ καὶ χρήματα πολλὰ πέμπων ὑπισχνεῖτο Σελεύκῳ κτείναντι Δημήτριον. ὁ δ' ἐκεῖνον μὲν καὶ ἄλλως προβαλλόμενος, ἔτι μᾶλλον ἐπὶ τȣ́τῳ μιαρὸν ἡγεῖτο καὶ βάρβαρον. Ἀντιόχῳ δὲ τῷ παιδὶ καὶ Στρατονίκῃ παραφυλάττων Δημήτριον, ὡς ἐκείνων ἡ χάρις γένοιτο, παρήγαγε τὸν χρόνον. cap. 51.

Ὁ δὲ Δημήτριος, ὡς ἐν ἀρχῇ τὴν τύχην προσπεσȣ̃σαν ὑπέμεινε, καὶ ῥᾷον ἤδη φέρειν εἰθίζετο τὰ παρόντα, πρῶτον μὲν ἀμωσγέπως ἐκίνει τὸ σῶμα, θήρας, ἐφ' ὅσον ἦν, καὶ δρόμων ἁπτόμενος, ἔπειτα κατὰ μικρὸν ὄκνȣ πρὸς αὐτὰ cap. 52.

αὐτὰ καὶ νυκτὸς ἐπίμπλατο, καὶ Φέρων ἑαυτὸν εἰς πότες καὶ κύβες κατέβαλλε, καὶ τῷ χρόνῳ τὸ πλεῖστον ἐν τούτοις διῆγεν· εἴτε τοὺς ἐν τῷ νήφειν ἀναλογισμοὺς τῶν παρόντων ἀποδιδράσκων, καὶ παρακαλυπτόμενος τῇ μέθῃ τὴν διάνοιαν· εἴτε συγγνοὺς ἑαυτῷ, τοῦτον εἶναι τὸν βίον, ὃν ἔκπαλαι ποθῶν καὶ διώκων, ἄλλως ὑπ' ἀνοίας καὶ κενῆς δόξης ἐπλάζετο, καὶ πολλὰ μὲν ἑαυτῷ, πολλὰ δ' ἑτέροις πράγματα παρεῖχεν, ἐν ὅπλοις καὶ στόλοις καὶ στρατοπέδοις τὸ ἀγαθὸν ζητῶν, ὃ νῦν ἐν ἀπραγμοσύνῃ καὶ σχολῇ καὶ ἀναπαύσει μὴ προσδοκήσας ἀνεύρηκε. τί γὰρ ἄλλο τῶν πολέμων καὶ τῶν κινδύνων πέρας ἐστὶ τοῖς φαύλοις βασιλεῦσι, κακῶς καὶ ἀνοήτως διακειμένοις, οὐχ ὅτι μόνον τρυφὴν καὶ ἡδονὴν ἀντὶ τῆς ἀρετῆς καὶ τοῦ καλοῦ διώκουσιν, ἀλλ' ὅτι μηδὲ ἥδεσθαι, μήτε τρυφᾶν, ὡς ἀληθῶς ἴσασιν; ὁ δ' οὖν Δημήτριος ἔτος τρίτον ἐν τῇ Χεῤῥονήσῳ καθειργμένος, ὑπ' ἀργίας καὶ πλησμονῆς καὶ οἴνου νοσήσας ἀπέθανεν, ἔτη τέσσαρα καὶ πεντήκοντα βεβιωκώς. καὶ Σέλευκος ἤκουσέ τε κακῶς, καὶ μετενόησεν οὐ μετρίως, ἐν ὑποψίᾳ τὸν Δημήτριον θέμενος τότε· καὶ μηδὲ Δρομιχαίτην, ἄνδρα βάρβαρον Θρᾷκα, μιμησάμενος, οὕτω φιλανθρώπως καὶ βασιλικῶς ἁλόντι Λυσιμάχῳ χρησάμενον.

III. DE REBUS PARTHORUM.

Appian. in Syriacis. cap. 55.

Σέλευκος οὖν μετὰ τὴν περὶ Ἶψον τῆς Φρυγίας μάχην τῆς μετ' Εὐφράτην Συρίας ἐπὶ θαλάσσῃ, καὶ Φρυγίας τῆς ἀνὰ τὸ μεσόγαιον, ἄρχειν διέλαχεν. ἐφεδρεύων δὲ ἀεὶ τοῖς ἐγγὺς ἔθνεσι, καὶ δυνατὸς ὢν βιάσασθαι, καὶ πιθανὸς προσαγαγέσθαι, ἦρξε Μεσοποταμίας, καὶ Ἀρμενίας, καὶ Καππαδοκίας τῆς Σελευκίδος λεγομένης, καὶ Περσῶν, καὶ Παρθυαίων, καὶ Βακτρίων, καὶ Ἀραβίων, καὶ Ταπύρων, καὶ τῆς Σογδιανῆς, καὶ Ἀραχωσίας καὶ Ὑρκανίας, καὶ ὅσα ἄλλα ὅμορα ἔθνη μέχρι Ἰνδοῦ ποταμοῦ Ἀλεξάνδρῳ γεγένητο δορίληπτα· ὡς ὁρίσθαι τῷδε μάλιστα μετ' Ἀλέξανδρον τῆς Ἀσίας τὸ πλέον. ἀπὸ γὰρ Φρυγίας ἐπὶ ποταμὸν Ἰνδὸν ἄνω, πάντα Σελεύκῳ κατήκους,

κεε. καὶ τὸν Ἰνδὸν περάσας, ἐπολέμησεν Ἀνδροκόττῳ, βασιλεῖ τῶν περὶ αὐτὸν Ἰνδῶν· μέχρι φιλίαν αὐτῷ καὶ κῆδος συνέθετο.

Νεωτερισθέντων δὲ τῶν ἔξω τῦ Ταύρυ διὰ τὸ πρὸς ἀλλήλυς εἶναι τὺς τῆς Συρίας καὶ τῆς Μηδίας βασιλέας τὺς ἔχοντας καὶ ταῦτα, πρῶτον μὲν τὴν Βακτριανὴν ἀπέστησαν οἱ πεπιςευμένοι, καὶ τὴν ἐγγὺς αὐτῆς πᾶσαν οἱ περὶ Εὐθύδημον. Ἔπειτ' Ἀρσάκης ἀνὴρ Σκύθης τῶν Δάων τινας ἔχων τὺς Πάρνυς καλυμένυς νομάδας, παροικῦντας τὸν Ὦχον, ἐπῆλθεν ἐπὶ τὴν Παρθυαίαν, καὶ ἐκράτησεν αὐτήν. Καταρχὰς μὲν ὖν ἀσθενὴς ἦν διαπολεμῶν πρὸς τὺς ἀφαιρεθέντας τὴν χώραν, καὶ αὐτὸς, καὶ οἱ διαδεξάμενοι ἐκεῖνον· ἔπειθ' ὕτως ἴσχυσαν ἀφαιρύμενοι τὴν πλησίον ἀεὶ διὰ τὰς ἐν τοῖς πολέμοις κατορθώσεις, ὥςε τελευτῶντες ἁπάσης τῆς ἐντὸς Εὐφράτυ κύριοι κατέςησαν. Ἀφείλοντο δὲ καὶ τῆς Βακτριανῆς μέρος βιασάμενοι τὺς Σκύθας· καὶ ἔτι πρότερον τὺς περὶ Εὐκρατίδαν· καὶ νῦν ἐπάρχυσι τοσαύτης γῆς, καὶ τοσύτων ἐθνῶν, ὥςε ἀντίπαλοι τῶν Ῥωμαίων τρόπον τινὰ γεγόνασι, κατὰ μέγεθος τῆς ἀρχῆς. Ἄιτιος δ' ὁ βίος αὐτῶν καὶ τὰ ἔθη, τὰ ἔχοντα πολὺ μὲν τὸ βάρβαρον, καὶ τὸ Σκυθικὸν· πλέον μέν τοι τὸ χρήσιμον πρὸς τὴν ἡγεμονίαν, καὶ τὴν ἐν τοῖς πολέμοις κατόρθωσιν. Φασὶ δὲ τὺς Πάρνυς Δάας μετανάςας εἶναι ἐκ τῶν ὑπὲρ τῆς Μαιώτιδος Δάων, ὓς Ξανθίυς ἢ Παρίυς καλῦσιν· ὐ πάνυ δ' ὡμολόγηται Δάας εἶναί τινας τῶν ὑπὲρ τῆς Μαιώτιδος Σκυθῶν· ἀπὸ τύτων δ' ὖν ἕλκειν φασὶ τὸ γένος τὸν Ἀρσάκην· οἱ δὲ Βακτριανὸν λέγυσιν αὐτὸν· φεύγοντα δὲ τὴν αὔξησιν τῶν περὶ Διόδοτον, ἀποςῆσαι τὴν Παρθυαίαν. *Strabo* libr. XI.

Ἐς ὖν τὸ μέσον τότε πρῶτον οἱ Πάρθοι ὑπ' Ἀρσάκυ τινὸς ἀφίκοντο· (ὅθενπερ καὶ οἱ ἔπειτα βασιλεύσαντες αὐτῶν, Ἀρσακίδαι ἐπωνομάσθησαν,) καὶ εὐτυχήσαντες, τήν τε πλησιόχωρον ἐκτήσαντο πᾶσαν, καὶ τὴν Μεσοποταμίαν σατραπείαν κατέσχον. τελευτῶντες δὲ, ἐπὶ τοσῦτο καὶ τῆς δόξης καὶ τῆς δυνάμεως ἐχώρησαν, ὥςε καὶ τοῖς Ῥωμαίοις τότε ἀντιπολεμῆσαι, καὶ δεῦρο ἀεὶ ἀντίπαλοι νομίζεσθαι. εἰσὶ μὲν γαρ καὶ ἄλλως ἰσχυροὶ τὰ πολέμια, μεῖζον δ' ὅμως ὄνομα (καίτοι μήτε τῶν Ῥωμαίων *Dio Cassius.* XL. 14. Arsacidæ.

μαίων τι παρῃρημένοι, καὶ προσέτι καὶ τῆς ἑαυτῶν ἔςιν ἃ προέμενοι) ἔχουσιν, ὅτι μηδέπω δεδούλωνται, ἀλλὰ καὶ νῦν ἐπὶ τοὺς πολέμους τοὺς πρὸς ἡμᾶς, ὁσάκις ἂν συνενεχθῶσι, διαφέρουσι. Περὶ μὲν οὖν τοῦ τε γένους καὶ τῆς χώρας, τῆς τε ἰδιότητος τῶν ἐπιτηδευμάτων αὐτῶν, πολλοῖς τε εἴρηται, καὶ ἐγὼ οὐκ ἐν γνώμῃ ποιοῦμαι συγγράψαι. τῇ δὲ τῇ ὁπλίσει, καὶ τῇ τῶν πολέμων διαχειρίσει (τούτων γὰρ ὁ ἐξετασμὸς τῷδε τῷ λόγῳ, ὅτι καὶ ἐς χρείαν αὐτῶν ἀφικνεῖται, προσήκει) τοιοῖσδε χρῶνται. ἀσπίσι μὲν οὐδὲν νομίζουσιν· ἱπποτοξόται δὲ καὶ κοντοφόροι, τὰ πολλὰ κατάφρακτοι, ςρατεύονται· πεζοί τε ὀλίγοι μὲν, καὶ οἱ ἀσθενέςεροι, τοξόται δ' οὖν καὶ ἐκεῖνοι πάντες εἰσίν. ἐκ τε γὰρ παίδων ἀσκοῦνται, καὶ ὁ οὐρανὸς ἥ τε χώρα αὐτοῖς συναίρεται πρὸς ἀμφότερα. αὕτη τε γὰρ πεδιὰς ὡς πλήθει οὖσα, ῥάςη τε ἵππους τρέφειν ἐςί, καὶ ἐπιτηδειοτάτη καθιππεύεσθαι. ἀγέλας γοῦν ὅλας καὶ ἐν τοῖς πολέμοις, ὥς' ἄλλοτε ἄλλοις ἵπποις χρῆσθαι, καὶ πόῤῥωθέν τε ἐξαπιναίως ἐπελαύνειν, καὶ μακράν ποι ἐξ αἰφνιδίου ἀποχωρεῖν, ἐπάγονται. καὶ ὁ οὐρανὸς ὁ ὑπὲρ αὐτῶν ξηρότατός τε ὢν, καὶ ἰκμάδα οὐδὲ ἐλαχίςην ἔχων, ἐντονωτάτας σφίσι τὰς τοξείας, πλὴν τοῦ πάνυ χειμῶνος, παρέχεται· καὶ διὰ τοῦτο τὴν ὥραν ἐκείνην οὐδαμῇ ςρατεύονται· τῷ δὲ δὴ λοιπῷ ἔτει δυσμαχώτατοι ἔν τε τῇ σφετέρᾳ καὶ ἐν τῇ ὁμοιοτρόπῳ εἰσί. τόν τε γὰρ ἥλιον φλογωδέςατον ὄντα ἀνέχονται τῇ συνηθείᾳ, καὶ τῆς ὀλιγότητος τῆς τε δυσχερείας ποτοῦ πολλὰ ἀλεξιφάρμακα ἀνευρήκασιν· ὥςε καὶ ἐκ τούτου μὴ χαλεπῶς τοὺς ἐς τὴν χώραν αὐτῶν ἐσβάλλοντας ἀμύνεσθαι. ἔξω γὰρ ἐκείνης ὑπὲρ τὸν Εὐφράτην, μάχαις μέν τισι καὶ καταδρομαῖς αἰφνιδίοις ἤδη ποτὲ ἴσχυσάν τι· πολεμῆσαι δέ τισιν ἀπαυτίκα διαρκῶς οὐ δύνανται, καὶ ἐς ἀλλοτριωτάτην σφίσι καὶ τῆς γῆς καὶ τοῦ οὐρανοῦ κατάςασιν ἀπαρτῶνται, καὶ μήτε σίτου μήτε μισθοφόρου σκεύη ποιούμενοι.

Diodor. Fragment. libri XXXIII. p. 91. Vol. X.

Ὅτι ὁ Ἀρσάκης ὁ βασιλεὺς ἐπιείκειαν καὶ φιλανθρωπίαν ζηλώσας, αὐτομάτην ἔσχε τὴν ἐπίῤῥοιαν τῶν ἀγαθῶν, καὶ τὴν βασιλείαν ἐπὶ πλεῖον ηὔξησε. μέχρι γὰρ τῆς Ἰνδικῆς διατείνας, τῆς ὑπὸ τὸν Πῶρον γενομένης χώρας ἐκυρίευσεν ἀκινδύνως. εἰς τηλικοῦτο δὲ μέγεθος προαχθεὶς

αχθεὶς βασιλείας, ἐκ ἐζήλωσε τρυφὴν ἐδὲ ὑπερηφανίαν, ἅπερ ταῖς πλείςαις δυναςείαις ἀκολεθεῖν ἔιωθεν· ἀλλ' ἐπιείκειαν μὲν πρὸς τὲς ὑποτεταγμένες, ἀνδρείαν τε πρὸς τὲς ἀντιταττομένες· καθόλε δὲ πολλῶν ἐθνῶν ἐγκρατὴς γενόμενος, τὰ παρ' ἑκάςοις ἄριςα τῶν νομίμων κατέδειξε τοῖς Πάρθοις.

Σέλευκος μὲν, Καλλίνικος ἐπικληθεὶς, πρῶτος εἰσέβαλε εἰς Παρθυηνὴν καὶ ἕτερα ἔθνη, ἀφιςάμενα ἔτι πρὸ αὐτε, ἀλλ' ἄνευ τύχης. ἔπειτα ὁ μὲν Μέγας Ἀντίοχος τυχηρῶς ἐμάχετο μετὰ Ἀρσάκης τε τρίτε, ἀλλ' ἐκ ἐτόλμησε ἀφαιρεῖσθαι αὐτῷ τὴν ἀρχὴν, μόνον δὲ αὐτὸν ὑπήκοον ἐποιήσατο τῆς ἑαυτε ἀρχῆς. Ἀντίοχος δὲ, Ἐπιφανὴς ἐπικληθεὶς, ἐπὶ Παρθυαίες ςρατεύσας, θάνατον ἕυρεν. Ὅυτως ἐυτυχήσαντες ἐπὶ τοσετο καὶ τῆς δόξης καὶ τῆς δυνάμεως ἐχώρησαν, ὥςε καὶ τοῖς Ῥωμαίοις ἀντιπολεμῆσαι καὶ ἀντίπαλοι νομίζεσθαι.

Πρώτην μὲν συνθήκην ἐποίεν μετὰ τε Σύλλα. Λευκίε δὲ Λεκέλλε Τιγράνην καθελόντος καὶ Μιθριδάτην, περιποιήσαντος δὲ πρώτε τῇ Ῥωμαίων ἀρχῇ τὰ μέχρις Ἀρμενίας τῆς ἐνδοτάτω, καὶ Νίσιβιν ἐπὶ τέτοις, καὶ τὰ πρόσοικα φρέρια ταύτῃ, Πομπήϊος Μάγνος τοῖς τότε κατορθώμασι τέλος ἐπιτιθεὶς διὰ τῆς ὑπ' αὐτε γινομένης ἐιρήνης τὴν τέτων Ῥωμαίοις ἐβεβαίωσε κτῆσιν. ὡς γὰρ Φραάτης τὸν Πομπήϊον μεθ' ὁρμῆς ἐν Ἀσίᾳ φερόμενον ἑώρα, καὶ τῆς Ἀρμενίας τε τε Πόντε ταύτῃ οἱ ὑποςράτηγοι αὐτε τὰ λοιπὰ προσκατεςρέφοντο, ὅ τε Γαβίνιος καὶ ὑπὲρ τὸν Ἐυφράτην μέχρι τε Τίγριδος προεχώρησεν, ἐφοβήθη τε αὐτὲς, καὶ τὴν σύμβασιν βεβαιώσασθαι ἐπεθύμησεν· ἐ μέντοι καὶ διεπράξατό τι. ὁ γὰρ Πομπήϊος πρός τε τὰ παρόντα, καὶ πρὸς τὰς ἐξ αὐτῶν ἐλπίδας κατεφρόνησεν αὐτε· καὶ τά τε ἄλλα ὑπερφρόνως τοῖς πρέσβυσιν ἐλάλησε, καὶ τὴν χώραν τὴν Κορδεηνὴν, ὑπὲρ ἧς πρὸς τὸν Τιγράνην διεφέρετο, ἀπήτησεν. ἐπειδὴ δὲ ἐκεῖνοι μηδὲν, ἅ τε μηδὲ ἐπεςαλμένοι τι περὶ αὐτῆς, ἀπεκρίναντο, ἔγραψε μέν τινα τῷ Φραάτῃ, ἐκ ἀνέμεινε δὲ ἀντιπεμφθῆναί τι· ἀλλ' ἐς τὴν χώραν τὸν Ἀφράνιον παραχρῆμα ἔςειλε, καὶ κατασχὼν αὐτὴν ἀμαχεὶ, τῷ Τιγράνει ἔδωκε. καὶ ὁ μὲν Ἀφράνιος διὰ τῆς Μεσο-

Zosimus. III. cap. 32.

Dio Cassius. XXXVII. c. 5.

Μεσοποταμίας ἐς τὴν Συρίαν παρὰ τὰ συγκείμενα πρὸς τὸν Πάρθον κομιζόμενος ἐπλανήθη, καὶ πολλὰ ὑπό τε τοῦ χειμῶνος καὶ ὑπὸ τῆς σπάνεως τῶν τροφῶν ἐκακώθη, κἂν ἀπώλοντο, εἰ μὴ Καρραῖοι, Μακεδόνων τε ἄποικοι ὄντες, καὶ ἐνταῦθά που οἰκοῦντες, ὑπέλαβόν τε αὐτὸν καὶ

cap. 6. παρέπεμψαν. Ταῦτα τε πρὸς τὸν Φραάτην ἀπὸ τῆς παρούσης οἱ δυνάμεως ἔπραξε, σαφέστατα τοῖς πλεονεκτεῖν βουλομένοις ἐπιδείξας, ὅτι πάντα ἐκ τῶν ὅπλων ἤρτηται, καὶ ὁ ἐν αὐτοῖς κρατῶν, νομοθέτης ὢν βούλεται ἀναγκαῖος γίνεται· καὶ προσέτι καὶ πρὸς τὴν ἐπίκλησιν αὐτοῦ ὕβρισεν, ᾗπερ πρός τε τοὺς ἄλλους πάντας ἠγάλλετο, καὶ πρὸς αὐτοὺς τοὺς Ῥωμαίους· οὗτοί τε αὖ πρὸς ἐκεῖνον ἀεί ποτε ἐκέχρηντο. βασιλέως γὰρ αὐτοῦ βασιλέων καλουμένου, τό τε τῶν βασιλέων ὄνομα περιέκοψε, καὶ βασιλεῖ αὐτῷ μόνον ἐπιστέλλων ἔγραψε· καίτοι τῷ Τιγράνῃ τῷ αἰχμαλώτῳ καὶ τοῦτο παρὰ τὸ νομιζόμενον αὐτοῖς δούς, ὅτε τὰ ἐπινίκια αὐτοῦ ἐν τῇ Ῥώμῃ ἔπεμψεν. ὁ οὖν Φραάτης, καίπερ δεδιώς τε αὐτὸν καὶ θεραπεύων, ἠγανάκτησεν ἐπὶ τούτῳ, ὡς καὶ τῆς βασιλείας ἐστερημένος· καὶ πέμψας πρέσβεις, πάντα τε ὅσα ἠδίκετο ἐπεκάλει οἱ, καὶ τὸν Εὐφράτην ἀπηγόρευε μὴ διαβαίνειν. ἐπειδή τε οὐδὲν μέτριον ἀπεκρίνατο, εὐθὺς ἐπὶ τὸν Τιγράνην μετὰ τοῦ υἱέος αὐτοῦ, ᾧ τὴν θυγατέρα ἐδεδώκει, ἐστράτευσεν, ἐν τῷ ἦρι, ἐν ᾧ Λούκιος τε Καῖσαρ καὶ Γάϊος Φίγουλος ὑπάτευον· καὶ νικηθεὶς μάχῃ, ἔπειθ᾽ ὕστερον ἀντεπεκράτησε. τοῦ τε Τιγράνου τὸν Πομπήϊον ἐν Συρίᾳ ὄντα ἐπικαλεσαμένου, πρέσβεις τε αὖθις πρὸς αὐτὸν ἀπέστειλε, καὶ πολλὰ μὲν ἐκείνου κατηγόρησε, πολλὰ δὲ καὶ ἐς τοὺς Ῥωμαίους ὑπεσήμηνεν· ὥστε

cap. 7. τὸν Πομπήϊον καὶ αἰσχυνθῆναι καὶ καταπλαγῆναι. Ὅθεν οὔτε τῷ Τιγράνῃ ἐπεκούρισεν, οὔτε πρὸς τὸν Φραάτην πολέμιόν τι ἔτ᾽ ἔπραξε, πρόφασιν ποιησάμενος, τὸ μήτε ἐκείνην οἱ στρατείαν προστετάχθαι, καὶ τὸν Μιθριδάτην ἐν ὅπλοις ἔτ᾽ εἶναι. ἀρκεῖσθαι τε τοῖς κατειργασμένοις ἔφασκε, καὶ οὐκ ἐβούλετο μὴ πλειόνων ὀρεγόμενος, καὶ περὶ ἐκείνοις, ὥσπερ που καὶ ὁ Λούκουλλος, πταῖσαι. τοιαῦτα γὰρ ἐφιλοσόφει· καὶ τό τε πλεονεκτεῖν δεινόν, καὶ τὸ τῶν ἀλλοτρίων ἐφίεσθαι ἄδικον εἶναι τότε ἔλεγεν, ὅτε οὐκέτ᾽ αὐτοῖς χρῆσθαι ἐδύνατο· τάς τε γὰρ τοῦ Πάρθου δυνάμει

νάμεις δείσας, καὶ τὸ ἀστάθμητον τῶν πραγμάτων φοβηθεὶς, οὔτε τὸν πόλεμον, καίτοι πολλῶν ἐναγόντων, ἀνείλετο, καὶ τὰ ἐγκλήματα τοῦ βαρβάρου ἐφαύλισεν· ἀντειπὼν μὲν οὐδὲν, φήσας δὲ ὑπὲρ ὁρίων τινῶν τὴν διαφορὰν αὐτῷ πρὸς τὸν Τιγράνην εἶναι· περὶ ὧν δικάσειν σφίσιν ἄνδρας τρεῖς. οὓς καὶ ἔπεμψε· καὶ αὐτοὺς ὡς ἀληθῶς ἐκεῖνοι διαιτητὰς ἐπιγραψάμενοι, πάντα τὰ πρὸς ἀλλήλους ἐγκλήματα διελύσαντο· ὀργιζόμενος μὲν ὁ Τιγράνης, ὅτι τῆς ἐπικουρίας οὐκ ἔτυχε, βουλόμενος δὲ ὁ Φραάτης περιεῖναι τὸν Ἀρμένιον, ὅπως καὶ συμμάχῳ ποτὲ αὐτῷ, εἰ δεηθέη, κατὰ τῶν Ῥωμαίων χρήσαιτο. καὶ γὰρ εὖ ἠπίσταντο ἀμφότεροι, ὅτι ὁπότερος ἂν αὐτῶν τοῦ ἑτέρου κρατήσειε, τῶν τε πραγμάτων, τοῖς Ῥωμαίοις προσκόψει, καὶ αὐτὸς εὐχειρωτότερος σφίσι γενήσεται. ἐκεῖνοι μὲν δὴ διὰ ταῦτα κατηλλάγησαν.

Μετὰ δὲ τοὺς ἐκ Πομπηΐου Συρίας ἄρχειν ἠρημένους, Γαβίνιος Ῥωμαίων στρατηγὸς ἐπέμφθη Συρίας ἄρχειν. ὃν ἐπὶ τοὺς Ἄραβας ὁρμῶντα Μιθριδάτης μὲν ὁ Παρθυαίων βασιλεὺς, ἐξελαυνόμενος τῆς ἀρχῆς ὑπὸ Ὀράδου τοῦ ἀδελφοῦ, μετῆγεν ἐξ Ἀράβων ἐπὶ Παρθυαίους. Πτολεμαῖος δ' αὐτὸν ὁ ἑνδέκατος, Αἰγύπτου βασιλεὺς, ἐκπεσὼν καὶ ὅδε τῆς ἀρχῆς, μετέπεισε χρήμασιν ἀντὶ Παρθυαίων ἐπὶ τοὺς Ἀλεξανδρέας ὁρμῆσαι. καὶ κατήγαγε τὸν Πτολεμαῖον ἐπὶ τὴν ἀρχὴν Γαβίνιος, Ἀλεξανδρεῦσι πολεμήσας· ὑπὸ δὲ τῆς Ῥωμαίων βουλῆς ἔφυγεν, ἄνευ ψηφίσματος ἐμβαλὼν εἰς Αἴγυπτον ἐπὶ πολέμῳ Ῥωμαίοις ἀπαισίῳ νομιζομένῳ. ἦν γάρ τι Σιβύλλειον αὐτοῖς ἀπαγορεῦον. Ἐπὶ δὲ Γαβινίῳ μοι δοκεῖ Κράσσος ἄρξαι Σύρων, ὅτῳ πολεμοῦντι Παρθυαίοις ἡ μεγάλη συμφορὰ γίνεται. Καὶ ἐπὶ Λευκίῳ Βύβλῳ, μετὰ Κράσσον στρατηγοῦντι Συρίας, ἐς τὴν Συρίαν ἐσέβαλον οἱ Παρθυαῖοι. Σάξα δὲ μετὰ Βύβλον ἡγουμένου, καὶ τὰ μέχρις Ἰωνίας ἐπέδραμον, ἀσχολουμένων ἔτι Ῥωμαίων ἐς τὰ ἐπ' ἀλλήλους ἐμφύλια. Καὶ ἔπραξαν μὲν οὐδὲν μέγα, ὅ τι καὶ ἄξιον λόγου, λῃστεύουσι μᾶλλον ἢ πολεμοῦσιν ἐοικότες. Ἀλλὰ τάδε μὲν ὕστερον γενόμενα τῇ Κράσσου κακοπραγίᾳ τε καὶ συμφορᾷ, προαγαγούσῃ αὐτοὺς ἐς θράσος ἀμήχανον, ὑπὸ Ἀν-

65 ante Chr. *Appianus.* In Parthicis, c. 1. (coll. in Syriacis c. 51.)

'Αντωνίῳ συνεςάλη. Ὅπως δὲ Κράσσος ἔσχεν ὁρμῆς ἐ- αὐτὰς, ἄνωθεν εἰπεῖν ἄξιον.

54 ante Chr. *Dio Cassius.* XL. c. 12. Ὁ ἂν Κράσσος, ἐπιθυμήσας τι καὶ αὐτὸς δόξης τε ἅμα καὶ κέρδους ἐχόμενον πρᾶξαι, ἐπειτ' ἐπειδὴ μηδὲν ἐν τῇ Συρίᾳ τοιοῦτόν τι εἶδεν ὂν (αὐτοί τε γὰρ ἡσύχαζον, καὶ οἱ πρόθεν προσπολεμήσαντες σφίσιν, ὐδὲν ὑπὸ δυναςείας παρεκίνυν·) ἐπὶ τὰς Πάρθους ἐςτράτευσε, μήτε ἔγκλημά τι αὐτοῖς ἐπιφέρων, μήτε τὰ πολέμου οἱ ἐψηφισμένου. αὐτὰς τε γὰρ παμπλουσίους ἤκουεν ὄντας, καὶ τὸν Ὀρώδην εὐάλωτον, ἅτε καὶ νεοκατάστατον, εἶναι προσεδόκησε. τόν τε ἂν Εὐφράθην ἐπεραιώθη, καὶ προῆλθεν ἐπὶ πολὺ τῆς Μεσοποταμίας, φέρων τε αὐτὴν καὶ πορθῶν. τῆς γὰρ διαβάσεως αὐτοῦ ἀδοκήτου τοῖς βαρβάροις γενομένης, ὐδεμία ἀκριβὴς φυλακὴ αὐτῆς καθειστήκει. ὥςε Ταλύμενος Ἐιλακῆς, ὁ τότε τῆς χώρας ἐκείνης σατραπεύων, ἡττήθη τε περὶ Ἰχνίας, τεῖχός τι ὕτω καλούμενον, ἱππεῦσιν ὀλίγοις μαχεσάμενος, καὶ τρωθεὶς, ἀπεχώρησεν, αὐτάγγελος τῷ βασιλεῖ τῆς ἐπιςρατείας αὐτοῦ γενησόμενος.

cap. 13. Ταχὺ δὲ καὶ ὁ Κράσσος τά τε φρύρια καὶ τὰς πόλεις τὰς Ἑλληνίδας μάλιςα, τάς τε ἄλλας καὶ τὸ Νικηφόριον ὠνομασμένον, προσεποιήσατο. τῶν γὰρ Μακεδόνων καὶ τῶν ἄλλων τῶν συςρατευσάντων σφίσιν Ἑλλήνων ἄποικοι πολλοὶ, βίᾳ ἀχθόμενοι, καὶ ἐς τὰς Ῥωμαίας, ὡς καὶ φιλέλληνας, πολλὰ ἐλπίζοντες, ὐκ ἀκουσίως μεθίςαντο. πλήν τε οἱ τε Ζηνοδοτίου οἰκήτορες μετέπεμψάν τινας αὐτῶν, ὡς καὶ μεταςησόμενοι· ἐπειδὴ δὲ ἔνδον ἐγένοντο, ἀπέλαβόν τε αὐτὰς καὶ διέφθειραν· καὶ διὰ τοῦτο καὶ ἀνέςησαν. ὐδὲν ἄλλο δεινὸν ὔτε ἔπραξε τότε Κράσσος ὔτε ἔπαθε. πάντως δὲ καὶ τὰ λοιπὰ χωρία τὰ ἐντὸς τοῦ Τίγριδος ὄντα ἐκεχείρωτο, εἰ τῇ τε αὐτοῦ ὁρμῇ καὶ τῇ τῶν βαρβάρων ἐκπλήξει πρὸς πάντα ὁμοίως ἐκέχρητο, καὶ προσέτι καὶ κατὰ χώραν χειμάσας, ἐν φρουρᾷ αὐτὰ ἀκριβεῖ ἐπεποίητο· νῦν δὲ, ἑλὼν ὅσα ἐξ ἐπιδρομῆς ἠδυνήθη λαβεῖν, ὔτε τι τῶν λοιπῶν ὔτ' αὐτῶν ἐκείνων ἐφρόντισεν, ἀλλὰ τῇ τε ἐν τῇ Μεσοποταμίᾳ διατριβῇ ἀχθεσθεὶς, καὶ τῆς ἐν τῇ Συρίᾳ ῥᾳςώνης ἐπιθυμήσας, παρέσχε τε τοῖς Πάρθοις καιρὸν παρασκευάσασθαι, καὶ τὰς ἐγκαταλειφθέντας ἐν τῇ χώρᾳ ςρα-

τιώτας κακῶσαι. αὕτη μὲν ἡ ἀρχὴ τοῖς Ῥωμαίοις τοῦ πρὸς αὐτοὺς πολέμου ἐγένετο.

Ἐσβαλόντος δὲ ἐς τὴν Μεσοποταμίαν τοῦ Κράσσου, ὁ Ὀρώδης ἔπεμψε μὲν καὶ πρὸς ἐκεῖνον ἐς τὴν Συρίαν πρέσβεις, τῆς τε ἐσβολῆς αἰτιώμενος, καὶ τὰς αἰτίας τοῦ πολέμου πυνθανόμενος· ἔπεμψε πρός τε ἑαλωκότα, τά τε μεθεστηκότα, Σουρήναν σὺν στρατῷ. αὐτὸς γὰρ τῇ Ἀρμενίᾳ τῇ τοῦ Τιγράνου ποτὲ γενομένῃ, διενοεῖτο ἐπιστρατεῦσαι, ὅπως ὁ Ἀρταβάζης ὁ τοῦ Τιγράνου παῖς, ὁ τότε αὐτῆς βασιλεύων, μηδεμίαν τοῖς Ῥωμαίοις, ἅτε καὶ περὶ τῇ οἰκείᾳ δεδιὼς, βοήθειαν πέμψῃ. ὁ οὖν Κράσσος ἐκείνῳ τε ἐν Σελευκίᾳ (ἔστι δὲ πόλις ἐν τῇ Μεσοποταμίᾳ, πλεῖστον τὸ Ἑλληνικὸν καὶ νῦν ἔχουσα) τὰς αἰτίας τοῦ πολέμου ἐρεῖν ἔφη. καὶ αὐτῷ τῶν Πάρθων τις ἐς τὴν χεῖρα τὴν ἀριστερὰν τοῖς τῆς ἑτέρας δακτύλοις κρούσας, εἶπεν, ὅτι θᾶσσον ἐντεῦθεν τρίχες ἀναφύσουσιν, ἢ σὺ ἐν Σελευκίᾳ γενήσῃ. cap. 16.

Μέγιστον δὲ ὅμως αὐτοὺς ὁ Αὔγαρος ὁ Ὀσροηνὸς ἐλυμήνατο. ἔσπονδος γὰρ τοῖς Ῥωμαίοις ἐπὶ τοῦ Πομπηΐου γενόμενος, ἀνθείλετο τὰ τοῦ βαρβάρου. καὶ τοῦτο μὲν καὶ ὁ Ἀλχαυδόνιος ὁ Ἀράβιος ἐποίησε· πρὸς γὰρ τὸ ἰσχυρὸν ἀεὶ μεθίστατο. ἀλλ' ἐκεῖνος μὲν ἐκ τοῦ προφανοῦς ἀπέστη, καὶ κατὰ τοῦτο οὐ δυσφύλακτος ἦν· ὁ δ' Αὔγαρος ἐφρόνει μετὰ τοῦ Πάρθου, ἐπλάττετο δὲ τῷ Κράσσῳ φιλικῶς ἔχειν· καὶ χρήματά τε ἀφειδῶς αὐτῷ ἀνήλισκε, καὶ τά τε βουλεύματα αὐτοῦ πάντα καὶ ἐμάνθανε καὶ ἐκείνῳ διήγγελλε· καὶ προσέτι εἰ μέν τι χρηστὸν σφῶν ἦν, ἀπέτρεπεν αὐτὸν, εἰ δ' ἀσύμφορον, ἐπέσπερχε. καὶ δὴ καὶ τοιόνδε τι τελευτῶν ἔπραξε. τοῦ γὰρ Κράσσου πρὸς Σελευκίαν ὁρμῆσαι διανοουμένου, ὥστε ἐκεῖσέ τε ἀσφαλῶς παρά τε τὸν Εὐφράτην καὶ δι' αὐτοῦ τῷ τε στρατῷ καὶ τοῖς ἐπιτηδείοις κομισθῆναι, καὶ μετ' αὐτὴν (προσποιήσεσθαι γὰρ σφᾶς, ἅτε καὶ Ἕλληνας, ῥᾳδίως ἤλπιζεν) ἐπὶ Κτησιφῶντα μὴ χαλεπῶς περαιωθῆναι· τούτου μὲν, ὡς καὶ χρονίου ἐσομένου, ἀμελῆσαι αὐτὸν ἐποίησε, τῷ δὲ δὴ Σουρήνᾳ, ὡς καὶ ἐγγὺς καὶ μετ' ὀλίγων ὄντι, συμμῖξαι ἔπεισε. Καὶ μετὰ τοῦτο παρασκευάσας τὸν μὲν, ὅπως ἀπόληται, τὸν δ', ὅπως κρατήσῃ, (συνεχῶς γὰρ προφάσει κατασκο-

53 ante Chr. cap. 20.

cap. 21.

πῆς

πῆς τοῦ Σουρήνα συνεγίγνετο) ἐξήγαγε τοὺς Ῥωμαίους ἀφροντιστοῦντας ὡς ἐπὶ νίκην ἑτοίμους, καὶ αὐτοῖς ἐν αὐτῷ τῷ ἔργῳ συνεπέθετο. ἐπράχθη δὲ ὧδε· οἱ Πάρθοι τὸ πλεῖον τοῦ στρατοῦ σφῶν ἀποκρύψαντες, (ἥ τε χώρα ἀνώμαλός τέ πη ἦν καὶ δένδρα εἶχεν) ἀπήντησαν τοῖς Ῥωμαίοις. ἰδὼν οὖν αὐτοὺς ὁ Κράσσος, οὐκ ἐκεῖνος, ἀλλ' ὁ νεώτερος (πρὸς γὰρ τὸν πατέρα ἐκ Γαλατίας παρῆν) καὶ καταφρονήσας σφῶν ὡς καὶ μόνων, ἀντεξήγαγε τῷ ἱππικῷ, καὶ τραπομένους ἐξεπίτηδες αὐτοὺς ἐπιδιώκων, ὡς καὶ κρατῶν, ὑπήχθη πολὺ ὑπὸ τῆς φάλαγγος· κἀνταῦθα περιστοιχισθεὶς

cap. 22. κατεκόπη. Γενομένου δὲ τούτου, οἱ πεζοὶ τῶν Ῥωμαίων οὐκ ἀπετράποντο μὲν, ἀλλὰ καὶ προθύμως τοῖς Πάρθοις, ὡς καὶ τιμωρήσοντες αὐτῷ, συνέμιξαν· οὐ μέντοι καὶ ἄξιον σφῶν οὐδὲν, ἔκ τε τοῦ πλήθους καὶ ἐκ τοῦ τρόπου τῆς μάχης αὐτῶν, ἄλλως τε καὶ ὑπὸ τοῦ Αὐγάρου ἐπιβουλευθέντες, ἐποίησαν. εἴτε γὰρ συνασπίσαι ἔγνωσαν, ὡς καὶ τῇ πυκνότητι τῆς τάξεως σφῶν τὰ τοξεύματα αὐτῶν ἐκφευξόμενοι, προσπίπτοντες σφίσιν οἱ κοντοφόροι ῥύμῃ τοὺς μὲν κατέβαλλον, τοὺς δὲ πάντως γοῦν ἐσκεδάννυσαν· εἴτε καὶ διασταῖεν, ὅπως τοῦτόγε ἐκκλίνοιεν, ἐτοξεύοντο. κἀν τούτῳ πολλοὶ μὲν καὶ ἐξ αὐτῆς τῆς προσελάσεως τῶν κοντοφόρων ἐκπληττόμενοι ἔθνησκον, πολλοὶ δὲ καὶ ὑπὸ τῶν ἱππέων ἐγκαταλαμβανόμενοι ἐφθείροντο· ἄλλοι τοῖς κοντοῖς ἀνετρέποντο, ἢ καὶ ἀναπειρόμενοι ἐφέροντο. τά τε βέλη καὶ πυκνὰ, καὶ πανταχόθεν ἅμα αὐτοῖς ἐμπίπτοντα, συχνοὺς μὲν καιρίᾳ πληγῇ κατέβαλλε, συχνοὺς δὲ ἀπομάχους εἰργάζετο· πᾶσι δ' ἀσχολίαν ἐνεποίει, ἔς τε τοὺς ὀφθαλμοὺς σφῶν ἐσπετόμενα, καὶ πρὸς τὰς χεῖρας, τό τε ἄλλο σῶμα πᾶν, καὶ διὰ τῶν ὅπλων χωροῦντα· τήν τε προφυλακὴν αὐτῶν ἀφῃρεῖτο, καὶ γυμνούς τε σφᾶς πρὸς τὸ ἀεὶ τιτρωσκόμενον ἠνάγκαζεν. ὥστε ἐν ᾧ τις τόξευμα ἐφυλάττετο, ἢ καὶ ἐμπαγὲν ᾑρεῖτο, πλείω τραύματα ἄλλα ἐν πολλοῖς ἐλάμβανε. κἀκ τούτου ἄπορον μὲν σφίσι κινηθῆναι, ἄπορον δὲ καὶ ἀτρεμίζειν ἦν. οὔτε γὰρ ἀσφάλειαν οὐδ' ἕτερον αὐτοῖς εἶχε, καὶ τὸν ὄλεθρον ἀμφότερα ἐπέφερε· τὸ μὲν, ὅτι οὐκ ἠδύναντο,

cap. 23. τὸ δὲ, ὅτι ῥᾷον ἐπιτρώσκοντο. Καὶ ταῦτα μὲν, ὡς ἐπὶ πρὸς μόνους τοὺς ἐμφανεῖς πολεμίους ἐμάχοντο, ἔπασχον·

ὁ γὰρ Αὔγαρος οὐκ εὐθὺς αὐτοῖς ἐπεχείρησεν. ἐπεὶ δὲ
καὶ ἐκεῖνος ἐπέθετο, ἐνταῦθα οἱ Ὀσροηνοὶ, αὐτοί τε ὄπι-
σθεν ἐς τὰ γυμνὰ ἐπεστραμμένους σφᾶς ἔπαιον, καὶ τοῖς
ἄλλοις ῥᾷον φονεύειν παρεῖχον. τὴν γὰρ τάξιν, ὅπως
ἀντιπρόσωποι αὐτοῖς γένωνται, ἐξελίξαντες, ὄπισθεν σφῶν
τοὺς Πάρθους ἐποιήσαντο. αὖθίς τε οὖν πρὸς αὐτοὺς με-
τεστράφησαν, καὶ πάλιν αὖθις πρὸς ἐκείνους, εἶτα πρὸς
τούτους. κἀκ τοῦ τοιούτου μᾶλλον ἐπιταραχθέντες, ἅτε καὶ
συνεχῶς δεῦρο κἀκεῖσε μεθιστάμενοι, καὶ πρὸς τὸ ἀεὶ τι-
τρῶσκον ἀποβλέπειν ἀναγκαζόμενοι, τοῖς τε ξίφεσι τοῖς
σφετέροις περιέπιπτον, καὶ πολλοὶ καὶ ὑπ' ἀλλήλων ἀπώ-
λοντο. τέλος δὲ ἐς στενὸν οὕτω κατεκλείσθησαν, ἀναγκα-
ζόμενοι, τῶν πολεμίων ἀεὶ σφίσι πανταχόθεν ἅμα προσ-
πιπτόντων, ταῖς τῶν παραστατῶν ἀσπίσι τὰς γυμνώσεις
σφῶν προστέλλειν, ὥστε μηδὲ κινηθῆναι ἔτι δυνηθῆναι.
οὐ μὴν οὐδὲ τὴν στάσιν βεβαίαν ὑπὸ τοῦ πλήθους τῶν νε-
κρῶν εἶχον, ἀλλὰ καὶ περὶ ἐκείνοις ἀνετρέποντο. τό τε
καῦμα καὶ τὸ δίψος, (μεσοῦντός τε γὰρ τοῦ θέρους καὶ ἐν
μεσημβρίᾳ ταῦτ' ἐγίγνετο) καὶ ὁ κονιορτὸς (ὅπως γὰρ
ὅτι πλεῖστος αἴροιτο, πάντα σφᾶς οἱ βάρβαροι περιΐππευ-
ον) δεινῶς τοὺς λοιποὺς συνήρει, καὶ συχνοὶ καὶ ὑπὸ τού-
των ἄτρωτοι ἔπεσον. Κἂν πασσυδὶ ἀπώλοντο, εἰ μὴ cap. 24.
οἵ τε κοντοὶ τῶν βαρβάρων, οἱ μὲν ἀπεστράφησαν, οἱ δὲ
ἐκλάσθησαν, καὶ αἱ νευραὶ τῇ συνεχείᾳ τῆς βολῆς ἐῤῥά-
γησαν· τά τε βέλη ἐξετοξεύθη, καὶ τὰ ξίφη πάντα ἀ-
πημβλύνθη· τό τε μέγιστον, οἱ ἄνδρες αὐτοὶ φονεύοντες
ἐξέκαμον. οὕτω γὰρ δὴ καὶ νὺξ ἐγίγνετο, καὶ πόῤῥω που
ἀφιππεῦσαι αὐτοὺς ἐχρῆν, ἀπεχώρησαν. οὐδέποτε γὰρ πλη-
σίοι οὐδὲ τοῖς ἀσθενεστάτοις στρατοπεδεύονται, διὰ τὸ μηδε-
μιᾷ ταφρείᾳ χρῆσθαι· καὶ διὰ τὸ, ἄν τις ἐπέλθῃ σφίσιν
ἐν τῷ σκότῳ, ἀδύνατοι μὲν τῇ ἵππῳ, ἀδύνατοι δὲ καὶ
τῇ τοξείᾳ ἰσχυρίσασθαι εἶναι. οὐ μέντοι καὶ ζῶντά τινα
τῶν Ῥωμαίων τότ' εἷλον· ἑστῶτάς τε γὰρ αὐτοὺς ἐν τοῖς
ὅπλοις ὁρῶντες, καὶ μήτε τινὰ ἐκεῖνα ἀποῤῥιπτοῦντα, μήτ'
αὖ τὸν φεύγοντα αἰσθανόμενοι, ἰσχύειν τε ἔτι σφᾶς ἐνό-
μισαν, καὶ ἐφοβήθησαν αὐτῶν ἐπιλαβέσθαι. Οὕτως ὅ, cap. 25.
τε Κράσσος, καὶ ἄλλοι ὅσοιγε ἠδυνήθησαν, ἐς τὰς Κάῤῥας
ὥρμησαν, βεβαίους σφίσιν ὑπὸ τῶν καταμεινάντων ἔνδον

Ῥωμαίων τηρηθείσας. πολλοὶ γὰρ δὴ τῶν τετρωμένων, μηδὲ βαδίσαι οἷοί τε ὄντες, μήτ' ὀχημάτων εὐποροῦντες, ἢ καὶ ποδηγέτας ἔχοντες (ἀγαπητῶς γὰρ οἱ λοιποὶ ἑαυτοὺς ἀνέφερον) κατὰ χώραν ἔμειναν. καὶ ἐκείνων τε οἱ μὲν ἀπέθανον ἐκ τῶν τραυμάτων, ἢ καὶ ἑαυτοὺς καταχρησάμενοι· οἱ δὲ ἑάλων τῇ ἑτέρᾳ. καὶ τῶν ἑαλωκότων συχνοὶ μὲν ἐν τῇ ὁδῷ, προέλιπον σφᾶς τῶν σωμάτων, συχνοὶ δὲ καὶ μετὰ τοῦτ' ἐφθάρησαν, θεραπείας παραχρῆμα ἀκριβοῦς μὴ δυνηθέντες τυχεῖν. ὁ γὰρ Κράσσος ἀθυμήσας, οὐδὲ ἐν τῇ πόλει ἀσφαλῶς ἔθ' ὑπομεῖναι δυνήσεσθαι ἐνόμισεν, ἀλλὰ δρασμὸν εὐθὺς ἐβουλεύσατο. καὶ ἐπειδὴ οὐχ οἷόν τε ἦν αὐτῷ, μεθ' ἡμέραν ἐξιόντι, μὴ οὐ καταφώρῳ γενέσθαι, ἐπεχείρισε μὲν νυκτὸς ἀποδρᾶναι, προδοθεὶς δὲ ὑπὸ τῆς σελήνης πανσελήνου οὔσης, οὐκ ἔλαθε. προσέμεινάν τε οὖν μέχρι τῶν ἀσελήνων νυκτῶν, καὶ οὕτως ἄραντες δὲ, οἷα ἐν σκότῳ, καὶ ἐν ἀλλοτρίᾳ καὶ προσέτι καὶ πολεμίᾳ γῇ, φόβῳ τε ἰσχυρῷ, ἐσκεδάσθησαν. καὶ αὐτῶν οἱ μὲν ἁλόντες, ἡμέρας γενομένης ἀπώλοντο· οἱ δὲ ἐς τὴν Συρίαν μετὰ Κασσίου Λογγίνου τοῦ ταμίου διεσώθησαν. ἄλλοι τῶν ὀρῶν μετ' αὐτοῦ τοῦ Κράσσου λαβόμενοι, παρεσκευάζοντο ὡς καὶ δι' ἐκείνων ἐς τὴν
cap. 26. Ἀρμενίαν φευξούμενοι. Γνοὺς δὲ τοῦτο ὁ Σουρήνας, καὶ φοβηθεὶς μὴ μεταστάντες ποι αὖθις σφίσι προσπολεμῶσι, προσβαλεῖν μὲν πρὸς τὰ μετέωρα ἄφιππα ὄντα οὐκ ἠθέλησεν· (ὁπλῖταί τε γὰρ ὄντες, καὶ ἐξ ὑπερδεξίων μαχόμενοι, καί τι καὶ δι' ἀπονοίας ὑπ' ἀπογνώσεως ἔχοντες, οὐ ῥᾴδιοι προσμίξαι οἱ ἐγένοντο·) πέμπει δὲ πρὸς αὐτοὺς, ἐς σπονδὰς δῆθεν σφᾶς προκαλούμενος, ἐφ' ᾧ τὴν ἐντὸς τοῦ Εὐφράτου πᾶσαν ἐκλείπωσι. καὶ αὐτῷ ὁ Κράσσος, οὐδὲν ἐνδοιάσας, ἐπίστευσεν. ἔν τε γὰρ ἀκμῇ τοῦ δέους ὤν, καὶ ὑπ' ἐκπλήξεως τῆς τε ἰδίας ἅμα καὶ τῆς δημοσίας συμφορᾶς τεθολωμένος, καὶ προσέτι καὶ τοὺς στρατιώτας τήν τε ὁδὸν, ὡς πολλὴν καὶ τραχεῖαν, ὀκνοῦντας, καὶ τὸν Ὀρώδην φοβουμένους ὁρῶν, οὐδὲν τῶν δεόντων προϊδέσθαι ἠδυνήθη. ἑτοίμου οὖν αὐτοῦ πρὸς τὰς σπονδὰς γενομένου, ὁ Σουρήνας οὐκ ἠθέλησε δι' ἑτέρων σπείσασθαι, ἀλλ' ὅπως αὐτὸν μετ' ὀλίγων ἀπολαβὼν συλλάβῃ, αὐτῷ ἐκείνῳ ἔφη βούλεσθαι ἐς λόγους ἐλθεῖν. κἀκ τούτου δόξαν σφίσιν

σιν, ἐν τῷ μεταιχμίῳ μετ' ἴσων ἀνδρῶν ἑκατέρωθεν, συμβαλεῖν ἀλλήλοις, ὅ, τε Κράσσος ἐς τὸ ὁμαλὸν ὑποκατέβη, καὶ ὁ Σερήνας ἵππον αὐτῷ δῶρον, ἵνα δὴ θᾶσσον πρὸς αὐτὸν ἀφίκηται, ἔπεμψε. Καὶ ὅυτω διαμέλλοντα τὸν Κράσσον, καὶ βουλευόμενον ὅ, τι ποιήσῃ, συναρπάσαντες οἱ βάρβαροι βίᾳ ἐπὶ τὸν ἵππον ἀνέβαλον. κἀν τούτῳ ἀντιλαβομένων αὐτοῦ τῶν Ῥωμαίων, ἐς τὰς χεῖρας σφίσιν ἦλθον· καὶ τέως μὲν ἰσοπαλεῖς ἐγίγνοντο, ἔπειτα δὲ προσβοηθησάντων τινῶν αὐτοῖς, ἐπεκράτησαν. οἱ γὰρ βάρβαροι ἔν τε τῷ πεδίῳ ὄντες καὶ προπαρεσκευασμένοι, ἔφθησαν τοὺς ἄνω Ῥωμαίους ἀμύναντες σφίσι· καὶ ὅι τε ἄλλοι ἔπεσον, καὶ ὁ Κράσσος· εἴτ' οὖν ὑπὸ τῶν σφετέρων τινὸς, ὅπως μὴ ζωγρηθῇ, εἴτε καὶ ὑπὸ τῶν πολεμίων, ἐπειδὴ κακῶς ἐτέτρωτο, ἐσφάγη. καὶ ἐκείνῳ μὲν τοῦτο τὸ τέλος ἐγένετο· καὶ αὐτοῦ χρυσὸν ἐς τὸ στόμα οἱ Πάρθοι (ὥς γέ τινες λέγουσιν) ἐνέτηξαν, ἐπισκώπτοντες. ὅυτω γὰρ δὴ περὶ τὰ χρήματα, καί τοι πολυχρήματος ὢν, ἐσπουδάκει, ὡς καὶ, ὡς πένητας, οἰκτείρειν τοὺς μὴ δυναμένους στρατόπεδον ἐκ καταλόγου ὄικοθεν θρέψειν. τῶν δὲ δὴ στρατιωτῶν τὸ μὲν πλεῖον διὰ τῶν ὀρῶν ἐς τὴν Φιλίαν ἀπέφυγε, τὸ δέ τι καὶ ἐς τοὺς πολεμίους ἑάλω. Ὁι δὲ δὴ Πάρθοι τότε μὲν ὀυ περαιτέρῳ τοῦ Εὐφράτου προεχώρησαν, ἀλλὰ τὴν ἐντὸς αὐτοῦ πᾶσαν ἀνεκτήσαντο· μετὰ δὲ τοῦτο καὶ ἐς τὴν Συρίαν, ὀυ μέντοι καὶ ἐν πλήθει τινὶ, ὡς μήτε στρατηγὸν μήτε στρατιώτας ἔχουσαν, ἐνέβαλον· ἀφ' ὅυπερ Κάσσιος ῥαδίως αὐτοὺς, ἅτε μὴ πολλοὺς ὄντας, ἀπεώσατο. ὅυτος γὰρ, ἐν μὲν ταῖς Κάῤῥαις, τῶν τε στρατιωτῶν τὴν αὐτοκράτορα αὐτῶν ἡγεμονίαν, μίσει τοῦ Κράσσου, διδόντων, καὶ προσέτι καὶ παρ' αὐτοῦ ἐκείνου ἐθελοντὶ, διὰ τὸ τῆς συμφορᾶς μέγεθος, ἐπιτρέποντος, ὀυκ ἐδέξατο· τότε δὲ καὶ ἀνάγκῃ τῆς Συρίας ἔν τε τῷ παρόντι καὶ μετὰ ταῦτα προέστη. οἱ γὰρ βάρβαροι ὀυκ ἀπέσχοντο αὐτῆς, ἀλλὰ χειρὶ αὖθις μείζονι, Πακόρου μὲν ὀνόματι, τοῦ ὑέος τοῦ Ὀρώδου, ἔργῳ δὲ (παῖς γὰρ ἔτι ἐκεῖνος ἦν) Ὠσάκου ἡγουμένου σφίσιν, ἐστράτευσαν· καὶ μέχρι τῆς Ἀντιοχείας ἦλθον, πᾶσαν τὴν ἐν ποσὶ χειρούμενοι. καὶ ἐλπίδα εἶχον καὶ τὰ λοιπὰ καταστρέψασθαι, μήτε τῶν Ῥωμαίων ἀξιομάχῳ τινὶ δυνάμει παρόν-

cap. 27.

cap. 28.

παρόντων, καὶ τῶν δήμων τῇ τ' ἐκείνων δεσποτείᾳ ἀχθομένων, καὶ πρὸς αὐτοὺς, ἅτε καὶ γείτονας καὶ συνή-
cap. 29. θεις σφίσιν ὄντας, ἀποκλινόντων. Ἁμαρτόντες δὲ τῆς Ἀντιοχείας (ὅ, τε γὰρ Κάσσιος ἰσχυρῶς αὐτοὺς ἀπεκρούσατο, καὶ ἐκεῖνοι ἀδύνατοι πολιορκῆσαί τι ἦσαν) ἐπ' Ἀντιγονίαν ἐτράποντο. καὶ ἐπειδὴ τὸ, τε προάστειον αὐτῆς σύμφυτον ἦν, καὶ οὐκ ἐθάρσησαν, ἀλλ' οὐκ ἐδυνήθησαν, ἐς αὐτὸ ἐσελάσαι, ἐνενόησαν μὲν τά τε δένδρα κόψαι, καὶ τὸ χωρίον πᾶν ψιλῶσαι, ὅπως καὶ θαρσοῦντως καὶ ἀσφαλῶς τῇ πόλει προσμίξωσι· μὴ δυνηθέντες δὲ (ὅ, τε γὰρ πόνος πολὺς ἐγίγνετο, καὶ ὁ χρόνος ἄλλως ἀνηλοῦτο, ὅ, τε Κάσσιος τοὺς ἀποσκεδαννυμένους σφῶν ἐλύπει) ἀπανέστησαν, ὡς καὶ ἐπ' ἄλλο τι ἐπιστρατεύσοντες. κἂν τούτῳ ὁ Κάσσιος ἔς τε τὴν ὁδὸν, δι' ἧς ἀποπορεύεσθαι ἔμελλον, ἐλόχισε· κἀνταῦθα ἐπιφανεὶς σφίσι μετ' ὀλίγων, ἔς τε δίωξιν αὐτοὺς ὑπηγάγετο, καὶ περιστοιχισάμενος, ἄλλους τε καὶ τὸν Ὠσάκην ἀπέκτεινε. τελευτήσαντος δ' ἐκείνου, πᾶσαν τὴν Συρίαν ὁ Πάκορος ἐξέλιπε, καὶ οὐδ' αὖθις ποτε
cap. 30. ἐς αὐτὴν ἐσέβαλεν. Ἅμα δὲ οὗτος ἀνακεχωρήκει, καὶ ὁ Βίβουλος ἄρξων τῆς Συρίας ἀφίκετο· καίπερ ἐψηφισμένου, μηδένα μήτε στρατηγὸν, μήθ' ὕπατον, μήτε εὐθὺς, μήτε πρὸ πέμπτου ἔτους, ἐς τὰς ἔξω ἡγεμονίας ἐξιέναι· ἵνα μὴ διὰ τοῦτο σπουδαρχοῦντες στασιάζωσι. καὶ αὐτὸς μὲν ἐν ἡσυχίᾳ τὸ ὑπήκοον διήγαγε, τοὺς δὲ δὴ Πάρθους ἐπ' ἀλλήλους ἔτρεψεν. Ὀρνοδαπάντη γάρ τινα σατράπην, ἀχθόμενον τῷ Ὀρώδῃ, προσποιησάμενος, ἀνέπεισε διαγγέλλων τόν τε Πάκορον βασιλέα στήσασθαι, καὶ ἐπ' ἐκεῖνον μετ' αὐτοῦ στρατεῦσαι. ὁ μὲν οὖν πόλεμος οὗτος, ὅ, τε Ῥωμαίων καὶ ὁ τῶν Πάρθων, τῷ τετάρτῳ ἔτει ἀφ' οὗ ἤρξαντο, ἐπί τε Μάρκου Μαρκέλλου καὶ ἐπὶ Σουλπικίου Ῥούφου ὑπάτων, ἐπαύσατο.

40 ante Chr. *Dio Cassius.* XLVIII. c. 24.

Μετὰ δὲ τὴν μάχην τὴν πρὸς Φιλίπποις συμβᾶσαν, ὁ Ἀντώνιος ὁ Μάρκος ἔς τε τὴν Ἀσίαν τὴν ἤπειρον ἦλθε, κἀνταῦθα τὰ μὲν αὐτὸς περιϊὼν, ἐς δὲ τὰ ἄλλους πέμπων, τάς τε πόλεις ἠργυρολόγει, καὶ τὰς δυναστείας ἐπίπρασκε. κἂν τούτῳ τῆς Κλεοπάτρας ἐν Κιλικίᾳ ὀφθείσης οἱ ἐρασθεὶς, οὐκέτ' οὐδεμίαν τοῦ καλοῦ φροντίδ' ἐποιήσατο, ἀλλὰ τῇ τε Αἰγυπτίᾳ ἐδούλευε, καὶ τῷ ἐκείνης ἔρωτι

ἐσχο-

ἐσχόλαζε· καὶ ἄλλα τε διὰ τῦτο πολλὰ καὶ ἄτοπα ἔπραξε, καὶ τὰς ἀδελφὰς αὐτῆς ἀπὸ τῦ ἐν Ἐφέσῳ Ἀρτεμισίε ἀποσπάσας ἀπέκτεινε. καὶ τέλος, Πλάγκον μὲν ἐν τῇ Ἀσίᾳ τῷ ἔθνει, Σάξαν δὲ ἐν τῇ Συρίᾳ καταλιπὼν, ἐς τὴν Αἴγυπτον ἀπῆρεν. ὅθεν περ καὶ ταμάλιςα ἄλλα τε ταραχώδη πολλὰ ἐπεγένετο, ὥςε καὶ τὰς Ἀραδίες τὰς νησιώτας μήθ' ὑπακῦσαί τι τοῖς ὑπ' αὐτῦ πρὸς σφᾶς ἐπὶ χρήματα πεμφθεῖσι, καὶ προσέτι καὶ φθεῖραί τινας αὐτῶν· καὶ οἱ Πάρθοι, καὶ πρὶν κινύμενοι, τότε δὴ καὶ μᾶλλον τοῖς Ῥωμαίοις ἐπέθεντο. ἦγον δὲ αὐτὰς Λαβιῆνος καὶ Πάκορος. ὗτος μὲν Ὀρώδε τῦ βασιλέως, ἐκεῖνος δὲ τῦ Λαβιήνε τῦ Τίτε παῖς ὤν· ἦλθε δὲ ὧδε ἐς τὰς Πάρθες, καὶ τάδε σὺν τῷ Πακόρῳ ἔπραξεν. ἐτύγχανε μὲν τῷ τε Κασσίῳ καὶ τῷ Βρύτῳ συμμαχῶν, πεμφθεὶς δὲ πρὸς τὸν Ὀρώδην πρὸ τῆς μάχης, ὅπως τινα βοήθειαν λάβῃ, συχνὸν ὑπ' αὐτῦ χρόνον διετρίβη περιορώμενος, κατοκνῦντος μὲν συνθέσθαι οἱ, δεδιότος δὲ ἀπαρνήσασθαι. καὶ μετὰ τῦτο ὡς ἥ τε ἀγγελία τῆς ἥττης ἀφίκετο, καὶ οἱ κρατήσαντες ἐδόκεν μηδενὸς τῶν ἀντιπολεμησάντων σφίσι φείσεσθαι, κατέμεινε παρὰ τοῖς βαρβάροις, τὸν μετ' αὐτῶν βίον πρὸ τῦ οἴκοι ὀλέθρε προτιμήσας. ὗτος μὲν ὖν ὁ Λαβιῆνος ἐπειδὴ τάχιςα τήν τε ἔκλυσιν τῦ Ἀντωνίε, καὶ τὸν ἔρωτα, τήν τε ἐς τὴν Αἴγυπτον ὁδὸν ᾔσθετο, ἔπεισε τὸν Πάρθον τοῖς Ῥωμαίοις ἐπιχειρῆσαι. τά τε γὰρ ςρατεύματα αὐτῶν, τὰ μὲν παντελῶς ἐφθάρθαι, τὰ δὲ κεκακῶσθαι, καὶ τὰς λοιπὰς ἐν ςάσει τε εἶναι, καὶ πολεμήσειν αὖθις ἔφη. κἀκ τύτε παρῄνεσεν αὐτῷ τήν τε Συρίαν καὶ τὰ ὅμορα αὐτῇ καταςρέψασθαι, ἐν ᾧ Καῖσαρ μὲν ἔν τε τῇ Ἰταλίᾳ καὶ τῇ περὶ τὸν Σέξςον ἀσχολίᾳ διῆγεν, Ἀντώνιος δὲ ἐν τῇ Αἰγύπτῳ ἤρα. ἡγεμὼν θ' ὑπέσχετο τῦ πολέμε γενήσεσθαι, καὶ πολλὰ καὶ κατὰ τῦτο τῶν ἐθνῶν, ἅτε καὶ ἀλλοτρίως τοῖς Ῥωμαίοις διὰ τὴν συνεχῆ κάκωσιν ἔχοντα, μεταςήσειν ἐπηγγείλατο. Τοιαῦτ' ὖν εἰπὼν, καὶ πείσας αὐτὸν πολεμῆσαι, καὶ δύναμιν πολλὴν, καὶ τὸν υἱὸν αὐτῦ τὸν Πάκορον ἐπετράπη· καὶ μετ' αὐτῶν ἔς τε τὴν Φοινίκην ἐνέβαλε. καὶ πρὸς τὴν Ἀπάμειαν προσελάσας, τῦ μὲν τείχες ἀπεκρέσθη, τὰς δὲ ἐν τῇ χώρᾳ φρερὰς ἐθελοντὰς cap. 25.

λοντας προσέθετο. ἐκ γὰρ τῶν τῷ τε Κασσίῳ καὶ τῷ Βρέτῳ συνεςρατευμένων ἦσαν. ἔς τε γὰρ τὰ ἑαυτȣ̃ ςρατόπεδα Ἀντώνιος αὐτȣ̀ς κατέταξε, καὶ τότε τὴν Συρίαν, ὡς καὶ ἐμπείρως αὐτῆς ἔχοντας, φρȣρεῖν ἐκέλευσε. τȣ́τȣς τε ȣ̃ν ὁ Λαβιῆνος ῥᾳδίως, ὡς καὶ συνήθεις οἱ ὄντας, πλὴν τȣ̃ Σάξȣ τȣ̃ τότε αὐτῶν ἡγȣμένȣ, ἐσφετερίσατο· (ἐκεῖνος γὰρ καὶ ἀδελφὸς τȣ̃ ςρατιάρχȣ ὢν καὶ ταμιέυων, μόνος αὐτῷ ȣ̓ προσεχώρησε) καὶ τὸν Σάξαν τὸν ἄρχοντα μάχῃ τε ἐκ παρατάξεως, καὶ τῷ πλήθει καὶ τῇ ἀρετῇ τῶν ἱππέων ἐνίκησε· καὶ μετὰ τȣ̃το ἐκδράντα νυκτὸς ἐκ τῆς ταφρείας ἐπεδίωξεν. ὁ γὰρ Σάξας, φοβηθεὶς μὴ καὶ οἱ συνόντες οἱ τὰ τȣ̃ Λαβιήνȣ, ὑπαγȣμένȣ σφᾶς διὰ βιβλίων τινῶν, ἃ ἐς τὸ ςρατόπεδον ἐσετόξευε, φρονήσωσιν, ἔφυγε. καταλαβὼν ȣ̃ν αὐτȣ̀ς ὁ Λαβιῆνος, τȣ̀ς μὲν πλείȣς ἔφθειρε, τȣ̃ δὲ δὴ Σάξȣ ἐς Ἀντιόχειαν διαφυγόντος, τήν τε Ἀπάμειαν, ȣ̓δὲν ἔτι, ὡς καὶ τεθνεῶτος αὐτȣ̃, ἀντάρασαν ἔλαβε· καὶ μετὰ τȣ̃το καὶ τὴν Ἀντιόχειαν, ἐκλειφθεῖσαν ὑπ' αὐτȣ̃, παρεςήσατο· καὶ τέλος καὶ αὐτὸν ἐκεῖνον εἰς Κιλικίαν φυγόντα ἐπιδιώξας καὶ συλλαβὼν ἀπέκτεινε. Τελευτήσαντος δὲ αὐτȣ̃, ὁ μὲν Πάκορος τὴν Συρίαν ἐχειρȣ̃το, καὶ πᾶσάν γε αὐτὴν, πλὴν

cap. 26. Τύρȣ, κατεςρέψατο. ταύτην γὰρ οἵ τε Ῥωμαῖοι οἱ περιλιπεῖς, καὶ οἱ ἐπιχώριοι οἱ ὁμοφρονȣ̃ντες σφίσι προκατέλαβον, καὶ ȣ̓́τ' ἀναπεισθῆναι, ȣ̓́τε βιασθῆναι (ναυτικὸν γὰρ ȣ̓δὲν εἶχον) ἠδυνήθησαν. ȣ̃τοι μὲν ȣ̃ν ἀνάλωτοι ἔμειναν· τὰ δ' ἄλλα ὁ Πάκορος λαβὼν, ἐς Παλαιςίνην ἐσέβαλε, καὶ τόν τε Ὑρκανὸν, ὃς τότε τὰ πράγματα αὐτῶν παρὰ τῶν Ῥωμαίων ἐπιτραπεὶς εἶχεν, ἔπαυσε· καὶ τὸν Ἀριςόβȣλον, τὸν ἀδελφὸν αὐτȣ̃, ἄρχοντα κατὰ τὸ ἐκείνων ἔθος ἀντικατέςησεν. ὁ δὲ δὴ Λαβιῆνος ἐν τȣ́τῳ τήν τε Κιλικίαν κατέσχε, καὶ τῆς Ἀσίας τὰς ἠπειρώτιδας πόλεις (ὁ γὰρ Πλάγκος φοβηθεὶς αὐτὸν, ἐς τὰς νήσȣς ἐπεραιώθη) παρεςήσατο, πλὴν Στρατονικείας· τὰ μὲν πλεῖςα ἄνευ πολέμȣ, Μύλασσα δὲ καὶ Ἀλάβανδα διὰ κινδύνων ἑλών. ȣ̃τοι γὰρ ἐδέξαντο μὲν παρ' αὐτȣ̃ φρȣρȣ̀ς, φονεύσαντες δὲ αὐτȣ̀ς ἐν ἑορτῇ τινι, ἀπέςησαν· καὶ διὰ τȣ̃το τȣ̀ς μὲν Ἀλαβανδέας αὐτὸς λαβὼν ἐκόλασε, τὰ δὲ δὴ Μύλασσα ἐκλειφθέντα κατέσκαψε. τῇ Στρατονικείᾳ

κεία δὲ πολὺν μὲν προσήδρευσε χρόνον, ἐδένα δὲ αὐτὴν τρόπον ἑλεῖν ἠδυνήθη. καὶ ὁ μὲν χρήματά τε ἐπὶ τέτοις ἐπράσσετο, καὶ τὰ ἱερὰ ἐσύλα· αὐτοκράτορά τε αὐτὸν, καὶ Παρθικόν γε, ἐκ τῦ ἐναντιωτάτε τοῖς Ῥωμαίοις ἔθες ὠνόμαζεν. ὓς γὰρ κατ' αὐτῶν ἐπῆγεν, ἀπὸ τέτων ἑαυτὸν, ὡς καὶ ἐκείνες, ἀλλ' ἐ τὲς πολίτας νικῶν, ἐπεκάλει.

Τὰ δὲ δὴ τῦ Λαβιήνε τῶν τε Πάρθων ὧδε διεπολεμήθη. ὁ Ἀντώνιος, αὐτὸς μὲν ἐς τὴν Ἑλλάδα ἀπὸ τῆς Ἰταλίας ἐπανελθὼν, ἐνταῦθα ἐπὶ πλεῖςον ἐνεχρόνισε, τάς τε ἐπιθυμίας ἅμα ἀποπιμπλὰς, καὶ τὰς πόλεις κακῶν, ἵνα ὅτι ἀθενέςαται τῷ Σέξςῳ παραδοδῶσι· καὶ ἄλλα τε ἐν τέτῳ πολλὰ ἔξω τῶν πατρίων ἐξεδιῃτήθη, καὶ Διόνυσον ἑαυτὸν νέον αὐτός τε ἐκάλει, καὶ ὑπὸ τῶν ἄλλων ὀνομάζεθαι ἠξίε· ἐπειδή τε οἱ Ἀθηναῖοι πρός τε τῦτο καὶ πρὸς τὰ ἄλλα τὴν Ἀθηνᾶν αὐτῷ κατηγγύησαν, δέχεθαί τε τὸν γάμον ἔφη, καὶ προῖκα μυρίαδας ἑκατὸν παρ' αὐτῶν ἐξέπραξεν. αὐτὸς μὲν ἒν περὶ ταῦτα εἶχε, τὸν δὲ δὴ Ὀυεντίδιον τὸν Πέπλιον ἐς τὴν Ἀσίαν προὔπεμψε. καὶ ὃς ἦλθέ τε ἐπὶ τὸν Λαβιῆνον, πρὶν ἔκπυςος γενέθαι, καὶ καταπλήξας αὐτὸν τῷ τε αἰφνιδίῳ τῆς ἐφόδε, καὶ τοῖς ςρατεύμασιν, (ἄνευ γὰρ τῶν Πάρθων, μετὰ τῶν αὐτόθεν ςρατιωτῶν μόνων ἦν) ἐκεῖθέν τε μηδὲ ἐς χεῖράς οἱ ὑπομείναντα εὐθὺς ἐξέωσε, καὶ φεύγοντα ἐς τὴν Συρίαν ἐπεδίωξε, τὸ κεφότατον τῦ ςρατῦ λαβὼν, καὶ αὐτὸν πρὸς τῷ Ταύρῳ καταλαβὼν, ἐκέτι περαιτέρω προχωρῆσαι εἴασεν, ἀλλ' ἐνταῦθα ἐπὶ πλείες ἡμέρας καταςρατοπεδευσάμενοι ἡσύχαζον. Λαβιῆνος μὲν γὰρ τὲς Πάρθες, Ὀυεντίδιος δὲ τὲς ὁπλίτας ἀνέμεινεν. Ὡς δ' ἒν καὶ ἗τοι ἐν ταῖς αὐταῖς ἅμα ἀμφότεροι ἡμέραις ἦλθον, Ὀυεντίδιος μὲν δέει τῆς ἵππε τῶν βαρβάρων ἐν τῷ μετεώρῳ, ὅπερ ηὐλίζετο, κατέμεινεν· οἱ δὲ δὴ Πάρθοι ἔκ τε τῦ πλήθες σφῶν καὶ ἐκ τῦ προνενικηκέναι ποτὲ καταφρονήσαντες, πρός τε τὸν γήλοφον ἅμα τῇ ἕῳ, πρὶν καὶ τῷ Λαβιήνῳ συμμίξαι, προσήλασαν, καὶ ὡς ἐδεὶς σφίσιν ἀντεπεξῄει, καὶ πρὸς τὰ ὄρθιον αὐτὸ προσέβαλον· καὶ αὐτὲς ἐνταῦθα ἤδη ὄντας οἱ Ῥωμαῖοι ἐπιδραμόντες, ῥᾳδίως πρὸς τὸ κάταντες ἐτρέψαντο. καὶ σφῶν

39 ante Chr.
XLVIII. c. 39.
cap. 40.

σφῶν πολλοὶ μὲν ἐν χερσὶν ἀπέθανον, τὸ δὲ δὴ πλεῖον ἐν τῇ ἀναστροφῇ περὶ ἀλλήλοις, οἱ μὲν, ἤδη τετραμμένοι, οἱ δὲ, ἔτι προσιόντες, ἐσφάλησαν. οἵ τε περιλειφθέντες, οὐ πρὸς τὸν Λαβιῆνον, ἀλλ' ἐς Κιλικίαν ἔφυγον. ὁ οὖν Οὐεντίδιος ἐπεδίωξε μὲν αὐτοὺς μέχρι τοῦ στρατοπέδου, ἰδὼν δὲ ἐνταῦθα τὸν Λαβιῆνον, ἐπέσχε. καὶ ὃς παρετάξατο μὲν ὡς καὶ ἐς χεῖρας αὐτῷ ἥξων, αἰσθόμενος δὲ τοὺς στρατιώτας ἀθύμως, διὰ τὴν τῶν βαρβάρων φυγὴν, ἔχοντας, οὔτε τότε ἐθάρσησεν οἱ ἀνταραι, καὶ τῆς νυκτὸς ἀποδράναι ποι ἐπεχείρησε. προγνοὺς οὖν τοῦτο ἐξ αὐτομόλων ὁ Οὐεντίδιος, πολλοὺς μὲν ἐν τῇ ἀποχωρήσει ἐνεδρεύσας ἔκτεινε, πάντας δὲ τοὺς λοιποὺς ἐγκαταλειφθέντας ὑπὸ τοῦ Λαβιήνου παρεστήσατο. καὶ ἐκεῖνος δὲ τότε μὲν τὴν ἐσθῆτα μετενδὺς διέφυγε, καὶ χρόνον τινὰ ἐν τῇ Κιλικίᾳ διέλαθεν· ὕστερον δὲ ὑπὸ Δημητρίου ἑάλω. οὗτος γὰρ καὶ ἐξελεύθερός τε ὢν τοῦ Καίσαρος τοῦ προτέρου, καὶ τότε τῇ Κύπρῳ πρὸς τοῦ Ἀντωνίου προστεταγμένος, ἀνεζήτησέ τε αὐτὸν, μαθὼν ὅτι

cap. 41. κρύπτοιτο, καὶ συνέλαβε. Μετὰ δὲ δὴ τοῦτο ὁ Οὐεντίδιος τήν τε Κιλικίαν ἐκομίσατο, καὶ αὐτὸς μὲν ταύτην καθίστατο, Πουπήδιον δὲ Σίλωνα μεθ' ἱππέων πρὸς τὸν Ἀμανὸν προύπεμψε. τοῦτο δὲ τὸ ὄρος ἔν τε τῇ μεθορίᾳ τῆς τε Κιλικίας καὶ τῆς Συρίας ἐστι, καὶ στενοπορίαν δή τινα τοσαύτην ἔχει, ὥστε καὶ πύλας ποτὲ ἐν αὐτῇ μετὰ τείχους ἐνοικοδομηθῆναι, καὶ τὸ χωρίον ἀπ' αὐτῶν ἐπονομασθῆναι. οὐ μέντοι καὶ κατασχεῖν αὐτὸ ὁ Σίλων ἠδυνήθη, ἀλλὰ καὶ ἐκινδύνευσεν ὑπὸ Φαρναπάτου, ὑπάρχου τε τοῦ Πακόρου ὄντος καὶ τὴν δίοδον φυλάττοντος, ἀπολέσθαι. κἂν ἔπαθε τοῦτο, εἰ μὴ ὁ Οὐεντίδιος μαχομένῳ αὐτῷ κατὰ τύχην ἐπιστὰς ἐπήμυνεν. ἀνελπίστοις τε γὰρ ἅμα καὶ ἐλάττοσι τοῖς βαρβάροις σφῶν οὖσι προσπεσὼν, τόν τε Φαρναπάτην καὶ ἄλλους πολλοὺς ἐφόνευσε· καὶ οὕτω τήν τε Συρίαν ἐκλειφθεῖσαν ὑπὸ τῶν Πάρθων, ἀμαχεὶ, πλὴν τῶν Ἀραδίων, παρέλαβε, καὶ μετὰ τοῦτο τὴν Παλαιστίνην, Ἀντίγονον τὸν βασιλεύοντα αὐτῆς ἐκφοβήσας, κατέσχεν ἀπόνως. καὶ ὁ μὲν ταῦτά τε διῆγε, καὶ χρήματα πολλὰ μὲν παρὰ τῶν ἄλλων ὡς ἑκάστων, πολλὰ δὲ καὶ παρὰ τοῦ Ἀντιγόνου, τοῦ τε Ἀν-

τιόχου,

τιόχȣ, καὶ Μάλχȣ τȣ̃ Ναβαταίȣ, ὅτι τῷ Πακόρῳ συνήραντο, εἰσέπραξε. καὶ αὐτὸς μὲν ȣ̓δὲν ἐπ' αὐτοῖς παρὰ τῆς βȣλῆς, ἅτε ȣ̓κ αὐτοκράτωρ ὤν, ἀλλ' ἑτέρῳ ὑποςρατηγῶν, ἕυρετο· ὁ δὲ Ἀντώνιος ἐπαίνȣς τε καὶ ἱερομηνίας ἔλαβεν. ὅι γε μὴν Ἀράδιοι, δείσαντες, μὴ καὶ δίκην ὦν ἐς τὸν Ἀντώνιον ἐτετολμήκεσαν ὑπόσχωσιν, ἐκείνῳ μὲν, καίτοι χρόνον ὑπ' αὐτȣ̃ πολιορκηθέντες, ȣ̓ προσεχώρησαν, ὕςερον δὲ ὑπ' ἄλλων μόλις ποτὲ ἑάλωσαν.

Τῷ δὲ ἐπιγιγνομένῳ ἔτει, οἱ μὲν Ῥωμαῖοι ȣ̓δὲν ἐν τῇ Συρίᾳ λόγȣ ἄξιον ἔπραξαν. Ἀντώνιος μὲν γὰρ ἔς τε τὴν Ἰταλίαν ἀφικνȣ́μενος, καὶ ἐκεῖσε αὖθις ἐπανιὼν, πάντα τὸν ἐνιαυτὸν κατέτριψε· Σόσσιος δὲ, ἅτε τὰ ἐκείνȣ, ἀλλ' ȣ̓ τὰ ἑαυτȣ̃ ἐπαύξων, καὶ διὰ τȣ̃το καὶ τὸν φθόνον τήν τε ὀργὴν αὐτȣ̃ φοβȣ́μενος, διετέλεσε διασκοπῶν ȣ̓χ ὅπως προσκατορθώσας τι, ἀπεχθήσοιτό οἱ, ἀλλ' ὅπως ἡσυχίαν ἄγων χαρίσαιτο. τὰ δὲ δὴ τῶν Πάρθων ἰσχυρῶς αὐτὰ καθ' ἑαυτὰ ἐκ τοιȣ̃δέ τινος ἐνεωτερίσθη· ὁ Ὀρώδης, ὁ βασιλεὺς αὐτῶν, ἐπειδὴ τῇ τε ἡλικίᾳ καὶ τῷ πένθει τῷ τȣ̃ Πακόρȣ ἔκαμνε, Φραάτῃ, τῷ πρεσβυτάτῳ τῶν λοιπῶν παίδων, τὴν ἀρχὴν ζῶν ἔτι ἐνεχείρισε· καὶ ὃς, παραλαβὼν αὐτὴν, ἀνοσιώτατος ἀνθρώπων ἐγένετο. τȣ́ς τε γὰρ ἀδελφȣ̀ς τȣ̀ς ἐκ τῆς τȣ̃ Ἀντιόχȣ θυγατρὸς γεγεννημένȣς ἐδολοφόνησεν, ὅτι καὶ τὴν ἀρετὴν καὶ τὸ γένος τὸ μητρόθεν ἀμείνȣς αὐτȣ̃ ἦσαν· καὶ αὐτὸν ἐκεῖνον δυσανασχετȣ̃ντα ἐπὶ τȣ́τῳ ἐπαπέκτεινε, καὶ μετὰ ταῦτα καὶ τῶν ἄλλων τȣ̀ς γενναιοτάτȣς ἔφθειρε· καὶ πολλὰ ἕτερα καὶ δεινὰ ἐποίει, ὥςε συχνȣ̀ς τῶν πρώτων ἐγκαταλιπόντας αὐτὸν, τȣ̀ς μὲν ἄλλοσε, τȣ̀ς δὲ καὶ πρὸς τὸν Ἀντώνιον ἀποχωρῆσαι, ἐν ὅις καὶ ὁ Μοναίσης ἦν. τȣ̃το μὲν ἐπὶ τȣ̃ Ἀγρίππȣ καὶ ἐπὶ τȣ̃ Γάλλȣ ὑπατευόντων ἐγένετο. Ἐν δὲ δὴ τῷ λοιπῷ χειμῶνι, τȣ̃ τε Γελλίȣ καὶ τȣ̃ Νερόυα ἀρχόντων, Πȣ́πλιος Κανίδιος Κράσσος ἐπὶ Ἴβηρας τȣ̀ς ταύτῃ ςρατέυσας, μάχῃ τε τὸν βασιλέα αὐτῶν Φαρνάβαζον ἐνίκησε, καὶ ἐς συμμαχίαν προσηγάγετο· καὶ μετ' αὐτȣ̃ ἐς τὴν Ἀλβανίδα τὴν ὅμορον ἐμβαλὼν, καὶ ἐκείνȣς τόν τε βασιλέα αὐτῶν Ζόβηρα κρατήσας, ὁμοίως αὐτȣ̀ς ᾠκειώσατο. τȣ́τοις τε ȣ̓̃ν ἐπαρθεὶς ὁ Ἀντώνιος, καὶ προσέτι καὶ ἐπὶ τῷ Μοναίσῃ πολλὰ ἐλπίσας,

38 ante Chr. XLIX. c. 23.

cap. 24.

πίστας, (καὶ γὰρ ὑπέσχητο αὐτῷ τῆς τε στρατιᾶς ἡγήσεσθαι, καὶ τὰ πλείω τῆς Παρθίας ἀκονιτὶ προσποιήσειν) τόν γε πόλεμον τὸν πρὸς αὐτοὺς ἐς χεῖρας ἦγετο τῷ Μοναίσῃ, ἄλλα τε καὶ τρεῖς τῶν Ῥωμαίων πόλεις, μέχρι ἂν διαπολεμήσῃ, νέμεσθαι ἔδωκε, καὶ προσέτι καὶ τὴν τῶν Πάρθων βασιλείαν ὑπέσχετο. πραττόντων δὲ αὐτῶν ταῦτα, δείσας ὁ Φραάτης, ἄλλως τε καὶ τῶν Πάρθων χαλεπῶς ἐπὶ τῇ τοῦ Μοναίσου φυγῇ φερόντων, ἐπεκηρυκεύσατό γε αὐτῷ, οὐδὲν ὅ, τι οὐκ ἐπαγγελλόμενος, καὶ ἔπεισεν αὐτὸν ἐπαναχωρῆσαι. γνοὺς οὖν τοῦτο ὁ Ἀντώνιος, ὀργὴν μὲν, ὥσπερ εἰκὸς, ἐποιεῖτο, οὐ μέντοι ἀπέκτεινε τὸν Μοναίσην, καίπερ ἐν τῇ αὐτοῦ ἐπικρατείᾳ ἔτ' ὄντα. οὔτε γὰρ ἄλλον τινὰ τῶν βαρβάρων, ἄν γε τι τοιοῦτον ποιήσῃ, σφετερίσασθαι προσεδόκησε· καί τινα ἀπάτην ἐπ' αὐτοὺς παρεσκευάζετο. ἐκεῖνόν τε οὖν ἀφῆκεν, ὡς καὶ τὰ τῶν Πάρθων οἱ προσποιήσοντα, καὶ πρέσβεις μετ' αὐτοῦ πρὸς τὸν Φραάτην ἔπεμψε. καὶ λόγῳ μὲν τὴν εἰρήνην ἔπραττεν, ἐπὶ τῷ τά τε σημεῖα καὶ τοὺς αἰχμαλώτους τοὺς ἐν τῇ τοῦ Κράσσου συμφορᾷ ἁλόντας κομίσασθαι, ἵνα ἀπαράσκευον τὸν βασιλέα διὰ τὴν τῆς συμβάσεως ἐλπίδα λάβῃ· ἔργῳ δὲ τὰ τοῦ πολέμου πάντα ἡτοιμάζετο. Καὶ ἦλθε μέχρι τοῦ Εὐφράτου, νομίζων ἔρημον αὐτὸν φρουρᾶς εἶναι· ἐπεὶ μέντοι πάντα τὰ ταύτῃ διὰ φυλακῆς ἀκριβοῦς ὄντα εὗρεν, ἐκεῖθεν μὲν ἀνετράπετο, ἐπὶ δὲ τὸν τῶν Μήδων βασιλέα Ἀρταουάσδην τῷ τῆς Ἀρμενίας τῆς μείζονος βασιλεῖ, ὁμωνύμῳ τέ οἱ καὶ ἐχθρῷ ὄντι, πεισθεὶς στρατεῦσαι, πρὸς τὴν Ἀρμενίαν εὐθὺς ὥσπερ εἶχεν ἐχώρησε· καὶ μαθὼν ἐνταῦθα τὸν Μῆδον πολὺ ἀπὸ τῆς οἰκείας ἐπὶ τῇ τοῦ Πάρθου συμμαχίᾳ ἀπηρκότα, τὰ μὲν σκευοφόρα καὶ τοῦ στρατοῦ μέρος μετ' Ὀππίου Στατιανοῦ ὑπελείπετο, ἐπακολουθεῖν σφᾶς κελεύσας· αὐτὸς δὲ τούς τε ἱππέας καὶ τοῦ πεζοῦ τὸ κράτιστον λαβὼν, ἠπείχθη ὡς καὶ αὐτοβοεὶ πάντα τῶν ἐναντίων αἱρήσων. καὶ τοῖς Πραάσποις τῷ βασιλείῳ αὐτῶν προσπεσὼν, χώματά τε ἔχου καὶ προσβολὰς ἐποιεῖτο. πυθόμενοι δὲ ταῦτα ὅ, τε Πάρθος καὶ ὁ Μῆδος, ἐκεῖνον μὲν μάτην εἴων πονεῖσθαι (τά τε γὰρ τείχη ἰσχυρὰ ἦν, καὶ συχνοὶ ἀπ' αὐτῶν ἠμύνοντο·) τῷ δὲ δὴ Στατιανῷ ἀπροσδοκήτῳ γε ἐν τῇ πορείᾳ

cap. 25. (margin note beside "λάβῃ· ἔργῳ δὲ … Καὶ ἦλθε")

καὶ

καὶ κεκμηκότι προσπεσόντες, πάντας, πλὴν τȣ̃ Πολέμωνος, τȣ̃ ἐν τῷ Πόντῳ βασιλεύοντος καὶ τότε συςρατεύοντος αὐτῷ, ἐφόνευσαν. τȣ̃τον γὰρ δὴ μόνον καὶ ἐζώγρησαν καὶ ἀπέλυσαν, χρήματα λαβόντες. ἠδυνήθησαν δὲ ταῦτα πρᾶξαι, ὅτι ὁ μὲν Ἀρμένιος ȣ̓ παρεγένετο τῇ μάχῃ, ἀλλὰ καὶ δυνηθεὶς ἂν, ὥς φασί τινες, ἐπικȣρῆσαι τοῖς Ῥωμαίοις, ȣ̓́τε τȣ̃το ἐποίησεν, ȣ̓́τε πρὸς τὸν Ἀντώνιον ἀφίκετο, ἀλλ' ἐς τὴν οἰκείαν ἀνεχώρησεν. Ὁ δ' Ἀντώνιος ἠπείχθη μὲν πρὸς τὴν πρώτην προσελθȣ̃σάν οἱ ὑπὸ τȣ̃ Στατιανȣ̃ ἀγγελίαν, ὡς καὶ βοηθήσων αὐτῷ, ὑςέρισε δέ· ἔξω γὰρ τῶν νεκρῶν ȣ̓δένα ȣ̃̔ρε. καὶ κατὰ μὲν τȣ̃τ' ἐφοβήθη, ὅτι δὲ ȣ̓δενὶ τῶν βαρβάρων ἐνέτυχεν, ὑπετόπησέ τε ἀπεληλυθέναι ποι αὐτȣ̀ς ὑπὸ δέȣς, καὶ ἀνεθάρσησε. κἀκ τȣ́τȣ συμβαλὼν σφίσιν ȣ̓ πολλῷ ὕςερον, τροπὴν μὲν αὐτῶν ἐποιήσατο. οἱ γὰρ σφενδονῆται, πολλοί τε ὄντες, καὶ μακροτέρω τῶν τόξων ἱέντες, πάντα καὶ τὸν κατάφρακτον ἰσχυρῶς ἐλυμαίνοντο, ȣ̓ μέντοι καὶ ἀξιόλογόν τι πλῆθος ἔφθειρον· οἱ γὰρ βάρβαροι διαταχέων ἵππευον. τοῖς τε ȣ̓̃ν Πραάσποις αὖθις προσέμιξε, καὶ ἐκεῖνα ἐπολιόρκει, τȣ̀ς μὲν πολεμίȣς μηδὲν μέγα λυπῶν, (οἵ τε γὰρ ἔνδον ὄντες, ἰσχυρῶς αὐτὸν ἀπεκρȣ́οντο, καὶ οἱ ἔξωθεν ȣ̓ ῥαδίως αὐτῷ συνέμισγον) τῶν δὲ δὴ σφετέρων πολλȣ̀ς μὲν ἐπὶ τῇ τῶν ἐπιτηδείων καὶ ζητήσει καὶ ἐπαγωγῇ ἀποβάλλων, συχνȣ̀ς δὲ καὶ αὐτὸς κολάζων. τὸ μὲν γὰρ πρῶτον, ἕως ἔτι αὐτόθεν ποθὲν τὴν τροφὴν ἐλάμβανον, ἐξήρκȣν ἐς ἀμφότερα, ὥςε καὶ τὴν προσεδρείαν καὶ τὴν λῆψιν αὐτῆς ἀσφαλῆ ποιεῖσθαι· ἐπεὶ δὲ τά τε ἐγγὺς πάντα κατανάλωτο, καὶ πόῤῥω ποι οἱ ςρατιῶται προχωρεῖν ἠναγκάζοντο, συνέβαινεν αὐτοῖς, εἰ μὲν ὀλίγοι ποι πεμφθεῖεν, μὴ μόνον μηδὲν φέρειν, ἀλλὰ καὶ προσαπόλλυσθαι· εἰ δὲ δὴ πλείȣς, ἔρημον τὸ τεῖχος τῶν πολιορκȣ́ντων καταλείπειν, καὶ πολλȣ̀ς μὲν ἄνδρας ἐν τȣ́τῳ, πολλὰς δὲ καὶ μηχανὰς, ἐπεξιόντων σφίσι τῶν βαρβάρων, ἀποβάλλειν. Καὶ διὰ ταῦτα ὁ Ἀντώνιος καὶ κριθὴν πᾶσιν αὐτοῖς ἀντὶ τȣ̃ σίτȣ ἔδωκε, καὶ ἐδεκάτευσε τινάς· τό, τε σύμπαν, πολιορκεῖν δοκῶν, τὰ τῶν πολιορκȣμένων ἔπασχεν. οἵ τε γὰρ ἐν τῷ τείχει τȣ̀ς καιρȣ̀ς τῶν ἐπεκδρομῶν ἀκριβῶς ἐτήρȣν, καὶ οἱ ἔξω τοῖς τε κατὰ

cap. 26.

cap. 27.

τὰ χώραν μένουσιν αὐτῶν, ὁπότε δίχα γένοιντο, δεινῶς,
καὶ προσελαύνοντες ἐξαπίνης, καὶ ὑποστρέφοντες δι' ὀλίγου,
ἐνέκειντο· καὶ τοῖς σιταγωγοῦσιν, ἐπὶ μὲν τὰς κώμας ἀπιοῦ-
σιν, οὐκ ἠνώχλουν, σκεδαννυμένοις δὲ δὴ καὶ ἀνακομιζομέ-
νοις προσέπιπτον ἀνέλπιστοι. προσκαθημένου δ' οὖν καὶ ὣς
αὐτοῦ τῇ πόλει, δείσας ὁ Φραάτης, μὴ καὶ κακόν τι αὐ-
τὴν ἐν τῷ χρόνῳ, ἢ καὶ καθ' ἑαυτὸν τρόπον τινὰ, ἢ
καὶ συμμαχίαν ποθὲν προσλαβὼν, ἐργάσηται, ἔπεισεν αὐ-
τὸν, ὑποπέμψας τινὰς, ἐπικηρυκεύσασθαί οἱ, ὡς καὶ ῥᾷστα
τῶν σπονδῶν τευξόμενον. κἀκ τούτου τοῖς τε πεμφθεῖσιν
ὑπ' αὐτοῦ ἐχρημάτισεν, ἐπί τε χρυσοῦ δίφρου καθήμενος,
καὶ τὴν νευρὰν τοῦ τόξου ψάλλων, καὶ καταδραμὼν αὐτοὺς
πολλὰ, τέλος τὴν εἰρήνην, ἄν γε παραχρῆμα ἀποστρατοπε-
δεύσωνται, δώσειν ὑπέσχετο. ἀκούσας οὖν τοῦτο ὁ Ἀντώ-
νιος, καὶ φοβηθείς τε ἅμα τὴν μεγαλαυχίαν αὐτοῦ, καὶ
πιστεύσας, ὅτι, ἂν που μεταστῇ, σπείσεται, ἀπανέστη, μη-
δὲν τῶν ἐς τὴν πολιορκίαν παρεσκευασμένων, ὡς καὶ ἐν
cap. 28. φιλίᾳ, φθείρας. Ποιήσαντος δὲ αὐτοῦ τοῦτο, καὶ τὰς
σπονδὰς προσδεχομένου, οἵ τε Μῆδοι καὶ τὰ μηχανήματα
κατέκαυσαν, καὶ τὰ χώματα διεσκέδασαν· καὶ οἱ Πάρθαι
λόγον μὲν οὐδένα ὑπὲρ τῆς εἰρήνης αὐτῷ ἔπεμψαν, προσ-
πεσόντες δὲ αἰφνίδιοι, πολλὰ καὶ δεινὰ εἰργάσαντο. ὡς
οὖν ἔμαθεν ὅτι ἠπάτηται, πρεσβεύσασθαι μὲν οὐκέτ' ἐτόλ-
μησεν, (οὔτε γὰρ ἐπὶ μετρίοις τισὶ καταλύσεσθαι προσεδό-
κησε, καὶ τοὺς στρατιώτας ἐς ἀθυμίαν ἐκ τῆς τῶν σπονδῶν
διαμαρτίας ἐμβαλεῖν οὐκ ἠθέλησεν) ἐπειχθῆναι δὲ, ἐπει-
δήπερ ἅπαξ ἐξανειστήκει, ἐς τὴν Ἀρμενίαν ἔγνω, καὶ ἑτέ-
ραν τινὰ ὁδὸν, (ἣν γὰρ ἦλθον, ἀποκεκλεῖσθαι σφίσι παν-
τελῶς νομίζοντες) διερχόμενοι, πολλὰ καὶ ἄτοπα ἔπαθον.
ἔς τε γὰρ χωρία ἄγνωστα ἐσπίπτοντες ἐσφάλλοντο, καὶ
προσέτι καὶ οἱ βάρβαροι τὰ στενόπορα αὐτῶν προκαταλαμ-
βάνοντες, τὰ μὲν ἀπέσκαπτον, τὰ δὲ ἀπεσταύρουν· τήν τε
ὑδρείαν πανταχοῦ ἐδυσχέραινον, καὶ τὰς νομὰς ἐξέτριβον·
καὶ εἴγε που κατὰ τύχην δι' ἐπιτηδειοτέρων τινῶν τόπων
χωρήσειν ἔμελλον, ἐκείνων μὲν σφᾶς, ὡς καὶ προκατει-
λημμένων, ψευδαγγελίαις ἀπέτρεπον, ἑτέρας δ' ὁδοὺς προ-
λελοχισμένας ἰέναι ἐποίουν. ὥστε πολλοὶ μὲν ἐν τῷ τοιού-
cap. 29. τῳ, πολλοὶ δὲ καὶ ὑπὸ λιμοῦ ἐφθείροντο. Καὶ ἐκ τούτου
καὶ

καὶ αὐτομολία τις ἐγένετο, κἂν πάντες μετέστησαν, εἰ μήπερ οἱ βάρβαροι τοὺς τολμήσαντας αὐτὸ ποιῆσαι, ἐν τοῖς τῶν ἄλλων ὀφθαλμοῖς κατετόξευσαν. τούτου τε οὖν ἐπέσχον, καί τι καὶ τοιόνδε παρὰ τῇ τύχῃ εὗροντο· ἐσπεσόντες ποτὲ ἐς ἐνέδραν, καὶ πυκνοῖς τοξεύμασι βαλλόμενοι, τήν τε χελώνην ἐξαπιναίως συνασπίσαντες ἐποίησαν, καὶ τὰ γόνατα σφῶν τὰ ἀριστερὰ πρὸς τὴν γῆν ἤρεισαν. νομίσαντες οὖν αὐτοὺς οἱ βάρβαροι (οὐ γάρ πω τοιοῦτόν τι ἑωράκεσαν) καταπεπτωκέναι τε ὑπὸ τῶν τραυμάτων, καὶ μιᾶς ἐπικοπῆς εἶναι, τὰ μὲν τόξα ἀπέῤῥιψαν, καὶ ἀπὸ τῶν ἵππων ἀπεπήδησαν, τοὺς δ' ἀκινάκας σπασάμενοι, ἐγγὺς σφίσιν ὡς καὶ ἐπισφάξοντες αὐτοὺς προσῆλθον. κἀν τούτῳ ἐξαναστάντες οἱ Ῥωμαῖοι, πᾶσάν τε ἀπὸ παραγγέλσεως τὴν φάλαγγα ἅμα ἀνέπτυξαν, καὶ τοῖς πλησίοις ἀντιπρόσωποι ὡς ἕκαστοι προσπεσόντες, παμπληθεῖς, ἅτε γυμνοὺς ὡπλισμένοι, ἀπροσδοκήτους παρεσκευασμένοι, τοξότας ὁπλῖται, βαρβάρους Ῥωμαῖοι κατέκοψαν· ὥστε τοὺς λοιποὺς πάντας παραχρῆμα ἀποχωρῆσαι, καὶ μηκέτι μηδὲν αὐτοῖς ἐπαπολεθῆσαι. Ἀντώνιος δὲ ὑπὸ μὲν τῶν πολεμίων οὐκέτ' οὐδὲν δεινὸν ἔπαθεν, ὑπὸ δὲ δὴ τοῦ ψύχους δεινῶς ἐταλαιπώρησε. cap. 31. χειμών τε γὰρ ἤδη ἦν, καὶ ἡ Ἀρμενία ἡ ἐν τοῖς ὄρεσι, δι' ὧνπερ καὶ μόνων ἀγαπητῶς ἐπορεύθη, κρυσταλλώδης ἀεὶ ποτέ ἐστι. τά τε τραύματα, ἃ πολλὰ εἶχον, ἐνταῦθα δὴ καὶ μάλιστα αὐτοῖς συνεπέθετο. ὅθενπερ συχνῶν μὲν ἀπολλυμένων, συχνῶν δὲ καὶ ἀπομάχων γινομένων, οὐκ ἤνεγκε τὴν καθ' ἕκαστον αὐτῶν πύστιν, ἀλλ' ἀπηγόρευσε μηδὲν τοιοῦτον μηδένα οἱ ἀγγέλλειν. καὶ τόν τε Ἀρμένιον, καίτοι ἐν ὀργῇ τε ὅτι ἐγκατέλιπε σφᾶς ἔχων, καὶ τιμωρήσασθαι ἐπιθυμῶν, καὶ ὑπῆλθε καὶ ἐθεράπευσεν, ἵνα τά τε ἐπιτήδεια καὶ χρήματα παρ' αὐτοῦ λάβῃ. καὶ τέλος, ὡς οὔτ' ἀρκέσαι πρὸς πλείω πορείαν οἱ στρατιῶται, καὶ ταῦτ' ἐν χειμῶνι, ἐδύναντο, καὶ ἅμα καὶ μάτην ταλαιπωρήσειν ἔμελλον, (ὑποστρέψαι γὰρ ἐς τὴν Ἀρμενίαν οὐκ ἐς μακρὰν ἐνενόει) πολλὰ μὲν ἐξεθώπευσεν αὐτὸν, πολλὰ δὲ καὶ καθυπέσχετο αὐτῷ, ὅπως σφίσι χειμάσαι κατὰ χώραν ἐπιτρέψῃ λέγων, ὅτι τῷ ἦρι ἐπὶ τοὺς Πάρθους αὖθις ἐπιστρατεύσει. καὶ οἱ καὶ παρὰ τῆς Κλεοπάτρας χρήματα ἦλθεν, ὥστε τοῖς τε ὁπλίταις καθ'

καθ' ἕκαϛον δραχμὰς πέντε καὶ τριάκοντα, καὶ τοῖς ἄλλοις τὸ ἱκόμενον δοθῆναι. ἐπειδή τε ἐκ ἐξήρκεσε σφίσι τὰ πεμφθέντα, προσεπέδωκε τοῖς λοιποῖς ὄικοθεν τὸ μὲν ἀνάλωμα ἑαυτῦ, τὴν δὲ δὴ τῆς χάριτος δόξαν τῆς Κλεοπάτρας ποιέμενος. πολλὰ μὲν γὰρ καὶ τὲς φίλες ἠράνισε, πολλὰ δὲ καὶ παρὰ τῶν συμμάχων ἠργυρολόγησε. καὶ ὁ μὲν ταῦτα πράξας ἐς τὴν Ἄιγυπτον ἀπῆρεν.

38 ante Christ. LI. 18. Μετὰ δὲ Ἀντωνίε τελευτὴν ὁ Καῖσαρ ἐς τὴν Ἀσίαν τὸ ἔθνος διὰ τῆς Συρίας ἐπορέυετο, τά τε τῶν ὑπηκόων ὡς ἕκαϛα καὶ τὰ τῶν Πάρθων ἅμα καθιϛάμενος. ϛασιασάντων γὰρ ἀυτῶν, καί τινος Τιριδάτε τῦ Φραάτῃ ἐπαναϛάντος, πρότερον μὲν, καὶ ἕως ἔτι τὰ τῦ Ἀντωνίε καὶ μετὰ τὴν ναυμαχίαν ἀνθειςήκει, ἐχ ὅσον ἐ προσέθετό τῃ ἀυτῶν συμμαχίαν ἀιτησάντων, ἀλλ' ἐδὲ ἀπεκρίνατο ἄλλο ἐδὲν, ἢ ὅτι βελέυσεται· πρόφασιν μὲν, ὡς καὶ περὶ τὴν Ἄιγυπτον ἀσχολίαν ἔχων, ἔργῳ δὲ, ἵν' ἐκτρυχωθεῖεν ἐν τέτῳ μαχόμενοι πρὸς ἀλλήλες. τότε δὲ ἐπειδὴ ὁ Ἀντώνιος ἐτελέυτησε, καὶ ἐκείνων ὁ μὲν Τηριδάτης, ἡττηθεὶς, ἐς τὴν Συρίαν κατέφυγεν, ὁ δὲ Φραάτης κρατήσας πρέσβεις ἔπεμψε, τέτοις δὲ φιλικῶς ἐχρημάτισε, καὶ τῷ Τηριδάτῃ βοηθήσειν μὲν ἐχ ὑπέσχετο, διαιτᾶσθαι δὲ ἐν τῇ Συρίᾳ ἐπέτρεψεν· ὑιόν τέ τινα τῦ Φραάτε ἐν ἐυεργεσίας μέρει παρ' ἀυτῦ λαβὼν, ἔς τε τὴν Ῥώμην ἀνήγαγε, καὶ ἐν ὁμηρείᾳ ἐποιήσατο.

Libr. LIII cap. 33. Ἐπὶ τῦ Ἀυγέϛε ὁ μὲν Τηριδάτης ἀυτὸς, παρὰ δὲ δὴ Φραάτε πρέσβεις, ἐφ' ὄις ἀντενεκάλεν ἀλλήλοις, ἀφίκοντο· ὁ μὲν Ἄυγεϛος εἰς τὴν βελὴν ἀυτὲς ἐισήγαγε, καὶ μετὰ τῦτο ἐπιτραπεὶς παρ' ἀυτῆς τὴν διάγνωσιν, τὸν μὲν Τηριδάτην τῷ Φραάτῃ ἐκ ἐξέδωκε, τὸν δὲ ὑιὸν ἀυτῦ, ὃν πρότερον παρ' ἐκείνε λαβὼν ἔιχεν, ἀπέπεμψεν· ἐπὶ τῷ τές τε ἀιχμαλώτες καὶ τὰ σημεῖα τὰ ϛρατιωτικὰ τὰ ἔν τε τῇ τῦ Κράσσε καὶ ἐν τῇ τῦ Ἀντωνίε συμφορᾷ ἁλόντα κομίσασθαι. Ὁ δὲ Φραάτης ἀυτὰ ἐκ ἀπέπεμψεν.

21 ante Christ. LIV. 8. Ὡς ἐν Ἄυγεϛος ἐς τὴν Ἀσίαν ἐπορέυετο, ὁ Φραάτης, φοβηθεὶς μὴ καὶ ἐπιϛρατέυσῃ ὄι, ὅτι μηδέπω τῶν συγκειμένων ἐπεποιήκει τι, τά τε σημεῖα ἀυτῷ καὶ τὲς ἀιχμαλώτες, πλὴν ὀλίγων, ὄι ὑπ' ἀισχύνης σφᾶς ἔφθειραν, ἢ καὶ κατὰ χώραν λαθόντες ἔμειναν, ἀπέπεμψε. καὶ

ἀυτὲ-

αὐτὸς ἐκεῖνος, ὡς καὶ πολέμῳ τινὶ τὸν Πάρθον νενικηκὼς ἔλαβε. καὶ γὰρ ἐφρόνει μέγα, λέγων, ὅτι τὰ πρότερόν ποτε ἐν ταῖς μάχαις ἀπολόμενα, ἀκονιτὶ ἐκεκόμισο. ἀμέλει καὶ θυσίας ἐπ' αὐτοῖς, καὶ νεὼν Ἄρεος Τιμωρȣ̃ ἐν τῷ Καπιτολίῳ, κατὰ τὸ τȣ̃ Διὸς τȣ̃ Φερετρίȣ ζήλωμα, πρὸς τὴν τῶν σημείων ἀνάθεσιν, καὶ ψηφισθῆναι ἐκέλευσε, καὶ ἐποίησε. καὶ προσέτι καὶ ἐπὶ κέλητος ἐς τὴν πόλιν ἐσήλασε, καὶ ἀψῖδι τροπαιοφόρῳ ἐτιμήθη. ταῦτα μὲν ἐπ' ἐκείνοις ὕστερον ἐπράχθη. ὁ Σέβαστος ἔστησεν ὅρια τῇ Ῥωμαίων ἀρχῇ Τίγριν τε καὶ Εὐφράτην.

Μετὰ ταῦτα Φραάτης ἐτελεύτησεν ἐπιβȣλῆς αὐτῷ γινομένης ὑπὸ Φραατάκȣ τȣ̃ υἱέως, κατὰ τοιαύτην αἰτίαν. Φραάτης, παίδων αὐτῷ γνησίων γενομένων, Ἰταλικῇ παιδίσκῃ, ὄνομα αὐτῇ Θερμȣ̃σα, ταύτῃ ὑπὸ Ἰȣλίȣ Καίσαρος μετ' ἄλλων δωρεῶν ἀπεσταλμένῃ, τὸ μὲν πρῶτον παλλακίδι ἐχρῆτο· καταπλαγεὶς δὲ τῷ πολλῷ τῆς εὐμορφίας, προϊόντος χρόνȣ καὶ παιδὸς αὐτῇ τȣ̃ Φραατάκȣ γενομένȣ, γαμετήν τε τὴν ἄνθρωπον ἀποφαίνεται καὶ τιμίαν. ἥ γε ἐπὶ πᾶσιν δὶς εἴποι πιθανὴ τῷ βασιλεῖ γεγονυῖα, καὶ σπεύδȣσα τῷ αὐτῆς παιδὶ γενέσθαι τῶν Πάρθων ἡγεμονίαν, ἑώρα ἄλλως γενησομένην μὴ ἀποσκευῆς αὐτῇ μηχανηθείσης τῶν γνησίων τȣ̃ Φραάτȣ παίδων. πείθει ȣ̓̃ν αὐτὸν ἐκπέμπειν εἰς Ῥώμην ἐφ' ὁμηρείαν τȣ̀ς γνησίȣς παῖδας. καὶ ȣ̓̃τοι μὲν, ȣ̓ γὰρ ἀντειπεῖν εὔπορον Φραάτην τοῖς Θερμȣ́σης ἐπιτάγμασιν, ἐπὶ τῆς Ῥώμης ἐξεπέμποντο. Φραατάκης δὲ μόνος ἐπὶ τοῖς πράγμασι τρεφόμενος, δεινὸν ἡγεῖτο καὶ ἅμα χρόνιον τȣ̃ πατρὸς διδόντος τὴν ἀρχὴν λαμβάνειν. ὥστε ἐπεβȣ́λευσε τῷ πατρὶ συμπράξει τῆς μητρὸς, ᾗ δὴ καὶ συνιέναι λόγος. καὶ δι' ἀμφότερα μισηθεὶς, ȣ̓δὲν ἧσσον τῆς πατροκτονίας τὸ μύσος τῆς μητρὸς ἔρωτος τιθεμένων τῶν ὑπηκόων, στάσει περιελασθεὶς πρότερον ἢ φῆναι μέγας, ἐξέπιπτε τῶν πραγμάτων, καὶ ȣ̃τω θνήσκει· συμφρονήσαντες δὲ οἱ γενναιότατοι Πάρθων, ὡς ἀβασιλεύτοις μὲν ἀμήχανον πολιτεύεσθαι, οἱ δὲ βασιλεύοντες ἐκ τȣ̃ γένȣς τῶν Ἀρσακιδῶν, ȣ̓ γὰρ ἑτέροις ἄρχειν νόμιμον, ἀπέχρη δὲ πολλάκις καὶ μέχρι νῦν περιϋβρίσθαι τὴν βασιλείαν ἔκ τε γάμων τῆς Ἰταλικῆς παλλακίδος καὶ γενέσεων, Ὀρώδην ἐκάλȣν πρεσβεύσαντες, τὸν δ' ἂν ἄλλως

Josephus. Antiq. XVIII. c. 2. §. 4.

λως μὲν ἐπίφθονον παρὰ τῷ πλήθει, καὶ ὑπαίτιον καθ' ὑπερβολὰς ὠμότητος, πάνυ γὰρ ἦν σκαιὸς καὶ συνδιάθετος εἰς ὀργὴν, ἕνα δὲ τῶν ἐκ τοῦ γένους Ἀρσακιδῶν. τοῦτον μὲν δὴ συστάντες ἀποκτείνουσιν, ὡς μὲν ἔνιοι φασὶν, ἐν σπονδαῖς καὶ τραπέζαις, μαχαιροφορεῖν γὰρ ἔθος ἅπασιν, ὡς δὲ ὁ πλείων κατέχει λόγος, εἰς θήραν προσάγοντες. πρεσβεύσαντες δὲ εἰς Ῥώμην, ᾐτοῦντο βασιλέα τῶν ὁμηρευόντων· καὶ πέμπεται Βονώνης προκριθεὶς τῶν ἀδελφῶν. ἐδόκει γὰρ χωρεῖν τὴν τύχην, ἣν αὐτῷ δύο μέγισται τῶν ὑπὸ τὸν ἥλιον ἡγεμονίαι προσέφερον, ἰδία καὶ ἀλλοτρία. ταχεία δὲ ἀνατροπὴ τοὺς βαρβάρους ὑπεισιν, ἅτε καὶ σφαλεροὺς φύσει ὄντας, πρός τε τὴν ἀναξιοπάθειαν. ἀνδραπόδων γὰρ ἀλλοτρίων ποιῆσαι τὸ προστασσόμενον οὐκ ἠξίουν, τὴν ὁμηρείαν ἀντὶ δουλείας ὀνομάζοντες, καὶ τῆς ἐπικλήσεως τὴν ἀδοξίαν. οὐ γὰρ ἂν πολέμου δικαίῳ δεδόσθαι τὸν βασιλεύσοντα Πάρθοις, ἀλλὰ, ὃ τῷ παντὶ χεῖρον, εἰρήνης ὕβρει. παραχρῆμα δὲ ἐκάλουν Ἀρτάβανον Μηδείας βασιλεύοντα, γένος Ἀρσακιδῶν. πείθεται δὲ Ἀρτάβανος καὶ μετὰ στρατιᾶς ἔπεισιν. ὑπαντιάζει δὲ αὐτὸν Βονώνης. καὶ τὸ μὲν πρῶτον συμφρονήσαντος αὐτῷ τοῦ πλήθους τῶν Πάρθων, παραταξάμενος, ἡττηθεὶς φεύγει πρὸς τοὺς ὄρους τῆς Μηδείας. Ἀρτάβανος καὶ μετ' οὐ πολὺ συναγαγὼν πολλὴν στρατιὰν, συμβάλλει γε Βονώνῃ, καὶ νικᾷ, καὶ Βονώνης εἰς Σελεύκειαν ἀφιππάζεται σὺν ὀλίγοις τοῖς περὶ αὐτόν. Ἀρτάβανος δὲ πολὺν τῇ τροπῇ φόνον ἐργασάμενος, ὑπὲρ ἐκπλήξεως τῶν Βαρβάρων, πρὸς Κτησιφῶντα μετὰ τοῦ πλήθους ἀναχωρεῖ. κἀκεῖνος μὲν ἐβασίλευεν ἤδη Πάρθοις. Βονώνης δὲ εἰς Ἀρμενίαν διαπίπτει. καὶ καταρχὰς μὲν ἐφίετο τῆς χώρας, καὶ πρὸς Ῥωμαίους ἐπρέσβευεν. ὡς δὲ αὐτῷ Τιβέριος μὲν ἀπεῖπε πρός γε τὴν ἀνανδρίαν καὶ τοῦ Πάρθου τὰς ἀπειλάς· ἀναπρεσβεύει γὰρ δὴ πόλεμον ἀνατεινόμενος, μηχανὴ δὲ ἦν ἑτέρα βασιλείας οὐδεμία, καὶ γὰρ οἱ περὶ Νιφάτην δυνατοὶ τῶν Ἀρμενίων Ἀρταβάνῳ προστίθενται· παραδίδωσιν αὐτὸν Σιλανῷ τῷ τῆς Συρίας στρατηγῷ· κἀκεῖνος μὲν κατὰ αἰδῶ τῆς ἐν Ῥώμῃ κομιδῆς ἐν Συρίᾳ παρεφυλάττετο· τὴν δὲ Ἀρμενίαν Ὀρώδῃ δίδωσιν Ἀρτάβανος, ἑνὶ τῶν ἑαυτοῦ παίδων.

'Ο

Ὁ δὲ Ἀρτάβανος, αἰσθόμενος τὰς σατράπας ἐπιβουλὴν εἰς αὐτὸν συντεθεικότας, μένειν παρ' αὐτοῖς ἀσφαλὲς οὐχ ὁρῶν, ἔγνω πρὸς Ἰζάτην ἀπαίρειν, Ἀδιαβηνῶν βασιλέα, πόρον παρ' αὐτȣ̃ βȣλόμενος σωτηρίας εὑρέσθαι, καὶ κάθοδον εἰς τὴν ἀρχὴν εἰ δυνηθείη. γράφει τε πρὸς τȣ̀ς Πάρθȣς, πείθων αὐτȣ̀ς τὸν Ἀρτάβανον ὑποδέξασθαι, πίστιν προτείνων τῆς τῶν πεπραγμένων ἀμνηστίας δεξιὰν καὶ ὅρκȣς, καὶ μεσιτείαν τὴν αὐτȣ̃. τῶν δὲ Πάρθων δέξασθαι μὲν αὐτὸν θέλειν ȣ̓κ ἀρνȣμένων, μὴ δύνασθαι δὲ λεγόντων διὰ τὸ τὴν ἀρχὴν ἑτέρῳ πεπιστευκέναι· Κίνναμος δὲ ἦν ὄνομα τῷ παρειληφότι· καὶ δεδοικέναι μὴ στάσις αὐτȣ̀ς ἐκ τȣ́τȣ καταλάβῃ, μαθὼν τὴν προαίρεσιν αὐτῶν ὁ Κίνναμος ταύτην, αὐτὸς γράφει τῷ Ἀρταβάνῳ· τέθραπτο γὰρ ὑπ' αὐτȣ̃, καὶ φύσει δὲ ἦν καλὸς καὶ ἀγαθός· παρακαλῶν αὐτὸν πιστεύσαντα παραγενέσθαι τὴν ἀρχὴν ἀποληψόμενον τὴν αὐτȣ̃. καὶ ὁ Ἀρτάβανος πιστεύσας παρῆν. ὑπήντα δὲ αὐτῷ ὁ Κίνναμος, καὶ προσκυνήσας, βασιλέα τε προσαγορεύσας, περιτίθησιν αὐτȣ̃ τῇ κεφαλῇ τὸ διάδημα ἀφελὼν τῆς ἑαυτȣ̃. Καὶ Ἀρτάβανος ȣ̔́τω δι' Ἰζάτȣ πάλιν εἰς τὴν ἀρχὴν καθίσταται, πρότερον αὐτῆς ἐκπεσὼν διὰ τȣ̀ς μεγιστᾶνας. ȣ̓κ ἐγένετο μὴν ἀμνήμων τῶν εἰς αὐτὸν εὐεργεσιῶν, ἀλλὰ δωρεῖται τὸν Ἰζάτην ταῖς μεγίσταις τιμαῖς παρ' αὐτοῖς. τήν τε γὰρ τιάραν ὀρθὴν ἐπέτρεψεν αὐτῷ φορεῖν, καὶ ἐπὶ χρυσῆς κλίνης καθεύδειν, ἅπερ μόνων ἐστὶ γέρας καὶ σημεῖον τῶν Πάρθων βασιλέων. ἔδωκε δὲ καὶ χώραν πολλὴν αὐτῷ κἀγαθὴν, τȣ̃ τῶν Ἀρμενίων βασιλέως ἀποτεμόμενος. Νίσιβις δέ ἐστιν ὄνομα τῇ γῇ· καὶ ἐν αὐτῇ πρότερον Μακεδόνες ἐκτίσαντο πόλιν Ἀντιόχειαν, ἣν Μυγδονίαν προσηγόρευσαν. ταύταις μὲν δὴ ταῖς τιμαῖς ὁ Ἰζάτης ὑπὸ τȣ̃ τῶν Πάρθων βασιλέως ἐτιμήθη. Μετ' ȣ̓ πολὺν δὲ χρόνον Ἀρτάβανος τελευτᾷ, τὴν βασιλείαν τῷ παιδὶ Οὐαρδάνῃ καταλιπών. ȣ̔̃τος δὴ πρὸς Ἰζάτην ἀφικόμενος, ἔπειθεν αὐτὸν, μέλλων πρὸς Ῥωμαίȣς πόλεμον ἐκφέρειν, συστρατεύεσθαι καὶ συμμαχίαν ἑτοιμάζειν. ȣ̓ μὴν ἔπειθεν. ὁ γὰρ Ἰζάτης, τὴν Ῥωμαίων δύναμιν καὶ τύχην ἐπιστάμενος, ἀδυνάτοις αὐτὸν ἐνόμιζεν ἐπιχειρεῖν. ἔτι δὲ πεπομφὼς πέντε μὲν τὸν ἀριθμὸν υἱȣ̀ς, τὴν δὲ ἡλικίαν νέȣς, γλῶτταν τὴν παρ' ἡμῖν

Aschganii.
Josephus.
Antiq. XX. 3.

ἡμῖν πάτριον καὶ παιδείαν ἀκριβῶς μαθησομένους, τήν τε
μητέρα προσκυνοῦσαν τὸ ἱερὸν, ὀκνηρότερος ἦν, καὶ τὸν
Οὐαρδάνην ἐκώλυε, συνεχῶς διηγούμενος τὰς Ῥωμαίων
δυνάμεις τε καὶ πράξεις, διὰ τούτων οἰόμενος αὐτὸν φο-
βήσειν, καὶ παύσειν ἐπιθυμοῦντα τῆς ἐπ᾽ αὐτοὺς στρατείας.
παροξυνθεὶς δὲ ἐπὶ τούτοις ὁ Πάρθος, πόλεμον εὐθὺς πρὸς
Ἰζάτην κατήγγειλεν. οὐ μὴν ἔλαβεν οὐδὲ τῆς ἐπὶ τούτῳ
στρατείας ὄνησιν, τοῦ Θεοῦ τὰς ἐλπίδας αὐτοῦ πάσας ὑποτε-
μόντος. μαθόντες γὰρ οἱ Πάρθοι τὴν διάνοιαν Οὐαρ-
δάνου, καὶ ὡς ἐπὶ Ῥωμαίους στρατεύειν ἔκρινεν, αὐτὸν μὲν
ἀναιροῦσι, τὴν ἀρχὴν δὲ τῷ ἀδελφῷ Γοτάρζῃ παρέδωσαν.
καὶ τοῦτον δὲ, μετ᾽ οὐ πολὺν χρόνον ἐξ ἐπιβουλῆς τελευτή-
σαντα, διαδέχεται Οὐολογάσης ὁ ἀδελφός· ὃς δὴ καὶ τοῖς
ὁμοπατρίοις δυσὶν ἀδελφοῖς δυναστείας ἐπίστευσε, Πακόρῳ
μὲν τῷ πρεσβυτέρῳ τὴν Μήδων, Τιριδάτῃ δὲ τῷ νεωτέ-
ρῳ τὴν Ἀρμενίαν. Ὁ οὖν Νέρων τὰ πραχθέντα πυθόμε-
νος, ἐπηγγείλατο, τὴν Ἀρμενίαν δώσειν τῷ Τιριδάτῃ, ἂν
66 post Christ. ἐς τὴν Ῥώμην ἀνέλθῃ· ὃ καὶ ἐποίησεν. ὁ δὲ Νέρων κα-
θιζηθέντι αὐτῷ ὑπὸ τὸν πόδα αὐτοῦ τὸ διάδημα ἐπέθηκε.

114 post Christ. Τραϊανὸς οὖν στρατεύειν βουλόμενος ἐπ᾽ Ἀρμενίους καὶ
Dio Cassius. Πάρθους, πρόφασιν μὲν ὅτι μὴ τὸ διάδημα ὑπ᾽ αὐτοῦ εἰλή-
LXVIII. c. 17. φει, ἀλλὰ παρὰ τοῦ Πάρθου βασιλέως ὁ τῶν Ἀρμενίων
cap. 18. βασιλεύς· τῇ δ᾽ ἀληθείᾳ δόξης ἐπιθυμίᾳ. Ἐπεὶ δὲ ἐνέ-
βαλεν εἰς τὴν πολεμίαν, ἀπήντων αὐτῷ οἱ τῇδε σατράπαι
καὶ βασιλεῖς μετὰ δώρων· ἐν οἷς καὶ ἵππος ἦν δεδιδαγμέ-
νος προσκυνεῖν. τοῖς τε γὰρ ποσὶ τοῖς προσθίοις ὤκλαζε,
καὶ τὴν κεφαλὴν ὑπὸ τοὺς τοῦ πέλας πόδας ὑπετίθει.
Τραϊανὸς δὲ, ἀμαχεὶ πάντα χειρούμενος, ἐς Σάταλα ἦλθε
καὶ ἐς Ἐλέγειαν, τῆς Ἀρμενίας χωρία· καὶ τῶν Ἡνιό-
χων βασιλέα ἐτίμησε, Παρθαμάσιριν δὲ τὸν Ἀρμενίων
ἐτιμωρήσατο. ἐπεὶ δὲ πᾶσαν τὴν Ἀρμενίων χώραν εἷλε,
καὶ πολλοὺς τῶν βασιλέων, τοὺς μὲν ὑποπεσόντας ἐν τοῖς
φίλοις ἦγε, τοὺς δέ τινας καὶ ἀπειθοῦντας ἀμαχεὶ ἐχει-
cap. 26. ροῦτο. Ἐπειδὴ τὴν Νίσιβιν εἷλε καὶ τὰς Βάτνας, Παρ-
θικὸς ὠνομάσθη. Ἐς δὲ τὴν τῶν πολεμίων ὑπὸ τὸ ἔαρ
ὑπήχθη. ἐπειδὴ δὲ ἡ χώρα ἡ πρὸς τῷ Τίγριδι ἄφορος
ναυπηγησίμων ξύλων ἐστὶ, τὰ πλοῖα, ἃ ἐν ταῖς ὕλαις
ταῖς περὶ τὴν Νίσιβιν ἐπεποίηντο, ἐπὶ τὸν ποταμὸν ἤγα-
γε

γεν ἐφ' ἁμάξαις. ὅτω γάρ πως κατεσκεύαςο ὥςε διαλύεσθαι καὶ συμπήγνυσθαι. καὶ ἔζευξεν αὐτὸν κατὰ τὸ Κάρδυνον ὄρος ἐπιπονώτατα· οἱ γὰρ βάρβαροι ἀντικαταςάντες ἐκώλυον. ἀλλ' (ἦν γὰρ πολλὴ τῷ Τραϊανῷ καὶ τῶν νεῶν καὶ τῶν ςρατιωτῶν περιεσία) αἱ μὲν ἐζεύγνυντο πολλῷ τάχει, αἱ δὲ πρὸ ἐκείνων ἀνεκώχευον, ὁπλίτας τε καὶ τοξότας φέρεσαι· ἕτεραι δὲ ἔνθεν καὶ ἔνθεν ὡς διαβησόμεναι ἐπείρων. ἔκ τε ὅν τέτων, καὶ ἐξ αὐτῆς τῆς ἐκπλήξεως, τὸ τοσαύτας ἅμα ναῦς ἀθρόας ἐξ ἠπείρε ἀξύλε ἀποφανῆναι, ἐνέδοσαν οἱ βάρβαροι, καὶ ἐπεραιώθησαν οἱ Ῥωμαῖοι. καὶ τήν τε Ἀδιαβηνὴν ἅπασαν παρεςήσαντο, (ἔςι δὲ τῆς Ἀσσυρίας τῆς περὶ Νῖνον μέρος ἄυτη· καὶ τά τε Ἄρβηλα, καὶ τὰ Γαυγάμηλα, παρ' οἷς ὁ Ἀλέξανδρος τὸν Δαρεῖον ἐνίκησε, ταῦτα τῆς δ' ἐςί· καί πε καὶ Ἀτυρία διὰ τὅτο βαρβαρισὶ, τῶν σίγμα ἐς τὸ ταῦ μεταπεσόντων, ἐκλήθη.) καὶ μετὰ ταῦτα καὶ μέχρι τῆς Βαβυλῶνος αὐτῆς ἐχώρησαν κατὰ πολλὴν τῶν κωλυόντων αὐτὲς ἐρημίαν, ἅτε καὶ τῆς τῶν Πάρθων δυνάμεως ἐκ τῶν ἐμφυλίων πολέμων ἐφθαρμένης, καὶ τότε ἔτι ςασιαζέσης.

Τραϊανὸς δὲ ἐβελεύσατο μὲν τὸν Εὐφράτην κατὰ διώρυχα εἰς τὸν Τίγριν εἰσαγαγεῖν, ἵνα τὰ πλοῖα δι' αὐτῆς κατελθόντα τὴν γέφυραν αὐτῷ ποιῆσαι παράσχῃ. cap. 28. μαθὼν δὲ, ὅτι πολὺ ὑψηλότερος τὅ Τίγριδός ἐςι, τὅτο μὲν ἐκ ἔπραξε, φοβηθεὶς μὴ καὶ ἄπλεν τὸν Εὐφράτην ἀπεργάσηται, ἀθρόε τὅ ῥεύματος ἐς τὸ κάταντες φερομένε· ὑπερενεγκὼν δὴ τὰ πλοῖα ὁλκοῖς, διὰ τὅ μέσε τῶν ποταμῶν ἐλαχίςε ὄντος (τὸ γὰρ ῥεῦμα τὸ τὅ Εὐφράτε πᾶν ἐς θ' ἕλος ἐκπίπτει, καὶ ἐκεῖθέν πως τῷ Τίγριδι συμμίγνυται) τὸν Τίγριν ἐπεραιώθη, καὶ ἐς τὴν Κτησιφῶντα εἰσῆλθε. παραλαβών τε αὐτὴν, αὐτοκράτωρ ἐπωνομάσθη, καὶ τὴν ἐπίκλησιν τὅ Παρθικὅ ἐβεβαιώσατο. ἐψηφίσθη δὲ αὐτῷ παρὰ τῆς βελῆς τά τε ἄλλα, καὶ νικητήρια ὅσα ἐθελήσει διεορτάσαι. ἑλὼν δὲ τὴν Κτησιφῶντα, ἐπεθύμησεν ἐς τὴν ἐρυθρὰν θάλασσαν καταπλεῦσαι. ἄυτη δὲ τὅ τε Ὠκεανὅ μοῖρα ἐςὶ, καὶ ἀπό τινος ἐνδυναςεύσαντός ποτε ἐν αὐτῇ ὅτω κέκληται. καὶ τὴν μὲν νῆσον τὴν ἐν τῷ Τίγριδι τὴν Μεσσήνην, ἧς Ἀθάμβιλος

βιλος ἐβασίλευεν, ἀπόνως ᾠκειώσατο· (καὶ ἔτος πιςὸς διέμεινε τῷ Τραϊανῷ, καίπερ ὑποτελεῖν προσταχθείς.) ὑπὸ δὲ δὴ χειμῶνος, τῆς τε τῦ Τίγριδος ὀξύτητος καὶ τῆς τῦ Ὠκεανῦ ἀναῤῥοίας ἐκινδύνευσε. καὶ οἱ τὸν χάρακα δὲ τὸν Σπασίνυ καλέμενον οἰκῦντες (ἐν δὲ δὴ τῇ τῦ Ἀθαμ-
cap. 29 βίλυ ἐπικρατείᾳ ἦσαν) φιλικῶς αὐτὸν ὑπεδέξαντο. Κἀντεῦθεν ἐπ' αὐτὸν τὸν Ὠκεανὸν ἐλθὼν, τήν τε φύσιν αὐτῦ καταμαθὼν, καὶ πλοῖόν τι ἐς Ἰνδίαν πλέον ἰδὼν, εἶπεν ὅτι "πάντως ἂν καὶ ἐπὶ τὺς Ἰνδὺς, εἰ νέος ἔτι ἦν, ἐπεραιώθην." Ἰνδὺς τε γὰρ ἐνενόει, καὶ τὰ ἐκείνων πράγματα ἐπολυπραγμόνει· τόν τε Ἀλέξανδρον ἐμακάριζε, καὶ ἔλεγε καὶ ἐκείνυ περαιτέρω προκεχωρηκέναι· καὶ τῦτο καὶ τῇ βυλῇ ἐπέςειλε, μὴ δυνηθεὶς μηδὲ ἃ κεχείρωται σῶσαι. καὶ ἐπ' αὐτῷ ἄλλα τε ἔλαβε, καὶ ἐπινίκια ὅσων ἂν ἐθελήσῃ ἐθνῶν πέμψαι. διὰ γὰρ τὸ πλῆθος τῶν ἀεὶ σφίσι γραφομένων, ὔτε συνεῖναί τινα αὐτῶν, ὔτε ὀνομάσαι καλῶς ἐδύναντο. καὶ οἱ μὲν ἁψῖδα αὐτῷ τροπαιοφόρον πρὸς πολλοῖς ἄλλοις ἐν αὐτῇ τῇ ἀγορᾷ αὐτῦ παρεσκεύαζον, καὶ ἡτοιμάζοντο ὡς ποῤῥωτέρω ἀπαντήσοντες οἱ ἐπανίοι. ἔμελλε δ' ἄρα μήτε ἐς τὴν Ῥώμην ἔτι ἀφίξεσθαι, μήτε ἄξιόν τι τῶν προκατειργασμένων πράξειν, καὶ προσέτι καὶ αὐτὰ ἐκεῖνα ἀπολέσειν. ἐν γὰρ τῷ χρόνῳ, ἐν ᾧ ἐπὶ τὸν Ὠκεανὸν κατέπλει, καὶ ἐκεῖθεν αὖθις ἀνεκομίζετο, πάντα τὰ ἑαλωκότα ἐταράχθη καὶ ἀπέςη. καὶ τὺς παρὰ σφίσιν ἐπιςοι φρυρὺς οἱ μὲν ἐξέβαλον, οἱ
cap. 30. δ' ἀπεκτίννυσαν. Μαθὼν δὲ ταῦτα ὁ Τραϊανὸς ἐν πλοίῳ, (καὶ γὰρ ἐκεῖσε ἦλθε κατά τε τὴν φήμην, ἧς ὐδὲν ἄξιον εἶδεν, ὅ τι μὴ χώματα καὶ μύθυς καὶ ἐρείπια, καὶ διὰ τὸν Ἀλέξανδρον, ᾧ καὶ ἐνήγισεν ἐν τῷ οἰκήματι, ἐν ᾧ ἐτετελευτήκει·) μαθὼν δὲ ταῦτα, τόν τε Λύσιον καὶ τὸν Μάξιμον ἐπὶ τὺς ἀφεςηκότας ἔπεμψε. καὶ ὗτος μὲν ἀπέθανεν, ἡττηθεὶς μάχῃ. Λύσιος δὲ ἄλλα τε πολλὰ κατώρθωσε, καὶ τὴν Νίσιβιν ἀνέλαβε, τήν τε Ἔδεσσαν ἐξεπολιόρκησε, καὶ διέφθειρε καὶ ἐνέπρησε· ἑάλω δὲ καὶ ἡ Σελεύκεια πρός τε Ἐυρικίυ Κλάρυ καὶ πρὸς Ἰυλίυ Ἀλεξάνδρυ ὑποςρατήγων, καὶ ἐκαύθη. Τραϊανὸς δὲ φοβηθεὶς, μὴ καὶ οἱ Πάρθοι τι νεοχμώσωσι, βασιλέα αὐτοῖς ἴδιον δῦναι ἠθέλησε· καὶ ἐς Κτησιφῶντα ἐλθὼν, συνεκάλε-

κάλεσεν ἐς πεδίόν τι μέγα πάντας μὲν τὲς Ῥωμαίες, πάντας δὲ τὲς Πάρθες τὲς ἐκεῖ τότε ὄντας· καὶ ἐπὶ βῆμα ὑψηλὸν ἀναβὰς, καὶ μεγαληγορήσας ὑπὲρ ὧν καὶ κατειργάσατο, Παρθαμασπάτην τοῖς Πάρθοις βασιλέα ἀπέδειξεν, τὸ διάδημα αὐτῷ ἐπιθείς. Καὶ ὁ πολλῷ ὕςερον ἀῤῥωςεῖν ἤρχετο.

Τραϊανὸς δὲ παρεσκευάζετο μὲν αὖθις ἐς τὴν Μεσοποταμίαν ςρατεῦσαι· ὡς δὲ τῷ νοσήματι ἐπιέζετο, αὐτὸς μὲν ἐς τὴν Ἰταλίαν ὥρμησε πλεῖν, Πόπλιον δὲ Ἄιλιον Ἀδριανὸν ἐν τῇ Συρίᾳ κατέλιπε μετὰ τε ςρατε. ἔτω μὲν οἱ Ῥωμαῖοι τῆς τε Ἀρμενίας καὶ τῆς Μεσοποταμίας τῆς πλείονος τῶν τε Πάρθων κρατήσαντες, μάτην ἐπόνησαν καὶ μάτην ἐκινδύνευσαν. καὶ γὰρ καὶ οἱ Πάρθοι τὸν Παρθαμασπάτην ἀπαξιώσαντες, ἐν τῷ σφετέρῳ τρόπῳ ἤρξαντο βασιλέυεσθαι. 117 post Christ. cap. 33.

Ἀπὸ τέτε τε χρόνε οἱ Ῥωμαῖοι ἐκ ἐςράτευσαν ἐπὶ Πάρθες ἕως τῆς Μάρκε Ἀντωνίνε ἀρχῆς. Ἀυτὸς δὲ τὸν γάμβρον αὐτε Λέκιον εἰς τὸν πρὸς Πάρθες ἔπεμψε πόλεμον. Ὁ γὰρ Ὀυολόγαισος πολέμε ἦρξε, καὶ ςρατοπεδόν τε ὅλον Ῥωμαϊκὸν τὸ ὑπὸ Σεβηριανῷ τεταγμένον ἐν τῇ Ἐλεγείᾳ, χωρίῳ τινι τῆς Ἀρμενίας, ἐπισχὼν πάντοθεν, αὐτοῖς ἡγεμόσι κατετόξευσε καὶ διέφθειρε, καὶ τῆς Συρίας ταῖς πόλεσι πολὺς ἐπῄει καὶ φοβερός. ὁ ἐν Λέκιος, ἐλθὼν εἰς Ἀντιόχειαν, καὶ πλείςες ςρατιώτας συλλέξας, καὶ τὲς ἀρίςες τῶν ἡγεμόνων ὑφ' ἑαυτὸν ἔχων, αὐτὸς μὲν ἐν τῇ πόλει ἐκάθητο, διατάττων ἕκαςα, καὶ τὰς τε πολέμε χορηγίας ἀθροίζων· Κασσίῳ δὲ τὰ ςρατεύματα ἐπέτρεψε. καὶ ὃς ἐπιόντα τε τὸν Ὀυολόγαισον γενναίως ὑπέμεινε, καὶ τέλος ἐγκαταλειφθέντα ὑπὸ τῶν συμμάχων, καὶ ὀπίσω ἀναχωρήσαντα ἐπεδίωξε· μέχρι δὲ Σελευκίας καὶ Κτησιφῶντος ἤλασε, καὶ τήν γε Σελεύκειαν διέφθειρεν ἐμπρήσας, καὶ τὰ τε Ὀυολογαίσε βασίλεια, τὰ ἐν τῇ Κτησιφῶντι, κατέσκαψεν. ἐν γε μὴν τῇ ὑποςροφῇ πλείςες τῶν ςρατιωτῶν ὑπὸ λιμε καὶ νόσε ἀπέβαλεν· ἀπενόσησε δ' ὅμως εἰς τὴν Συρίαν μετὰ τῶν λοιπῶν ςρατιωτῶν. 162 post Christ. LXXI. cap. 2.

Ἀσχολεμένε δὲ Σεβήρε ἐς τὲς ἐμφυλίες πολέμες, οἱ Πάρθοι ἀδείας λαβόμενοι, τήν γε Μεσοποταμίαν εἷλον, 199 post Chr. LXXV. c. 9.

ςρα-

στρατεύσαντες παμπληθεὶ, καὶ μικροῦ καὶ τὴν Νίσιβιν ἐχειρώσαντο, εἰ μὴ Λαῖτος αὐτὴν, πολιορκούμενος ἐν αὐτῇ, διεσώσατο. καὶ ἀπ' αὐτῆς ἐπὶ πλεῖον ἐδοξάσθη, ὢν καὶ ἐς τὰ ἄλλα τά τε πολιτικὰ καὶ τὰ ἴδια καὶ τὰ δημόσια, καὶ ἐν τοῖς πολέμοις καὶ ἐν τῇ εἰρήνῃ, ἄριστος. ἀφικόμενος δὲ ἐς τὴν προειρημένην Νίσιβιν ὁ Σεβῆρος, ἐνέτυχε συΐ μεγίστῳ· ἱππέα τε γὰρ ἔκτεινεν ὁρμήσας, καταβαλεῖν αὐτὸν πειρώμενον, καὶ τῇ ἑαυτοῦ ἰσχύϊ θαῤῥήσαντα, μόλις δὲ ὑπὸ πολλῶν στρατιωτῶν συλληφθείς τε καὶ σφαγεὶς, τριάκοντα τὸν ἀριθμὸν ὄντων τῶν συλλαβόντων αὐτὸν, τῷ Σεβήρῳ προσεκομίσθη. τῶν δὲ Πάρθων οὐ μεινάντων αὐτὸν, ἀλλ' οἴκοι ἀναχωρησάντων, (ἦρχε δὲ αὐτῶν Οὐολόγαισος, οὗ ἀδελφὸς συνῆν τῷ Σεβήρῳ) πλοῖα κατασκευάσας ὁ Σεβῆρος ἐν τῷ Εὐφράτῃ, καὶ πλέων τε καὶ βαδίζων παρ' αὐτὸν, διὰ τὸ εἶναι λίαν ὀξύτατα καὶ ταχινὰ καὶ εὖ ἐσταλμένα, (τῆς παρὰ τὸν Εὐφράτην ὕλης, καὶ τῶν ἐκεῖσε χωρίων, ἄφθονον διδούσης αὐτῷ τὴν τῶν ξύλων χορηγίαν,) τὰ κατασκευασθέντα, ταχέως τήν τε Σελεύκειαν καὶ τὴν Βαβυλῶνα ἐκλειφθείσας ἔλαβε· καὶ μετὰ τοῦτο καὶ τὴν Κτησιφῶντα ἑλὼν, ἐκείνην τε πᾶσαν διαρπάσαι τοῖς στρατιώταις ἐφῆκε, φόνον τε ἀνθρώπων πλεῖστον εἰργάσατο, καὶ ζῶντας ἐς δέκα μυριάδας εἷλεν. οὐ μέντοι οὔτε τὸν Οὐολόγαισον ἐπεδίωξεν, οὔτε τὴν Κτησιφῶντα κατέσχεν, ἀλλ' ὥσπερ ἐπὶ τοῦτο μόνον ἐστρατευκὼς ἵνα αὐτὴν διαρπάσῃ, ᾤχετο, τὸ μὲν ἀγνωσίᾳ τῶν χωρίων, τὸ δ' ἀπορίᾳ τῶν ἐπιτηδείων. ὑπέστρεψε δὲ καθ' ἑτέραν ὁδόν. τά τε γὰρ ξύλα καὶ ὁ χόρτος ὁ ἐν τῇ προτεραίᾳ εὑρεθεὶς, κατανάλωτο. καὶ οἱ μὲν αὐτῷ τῶν στρατιωτῶν πεζῇ ἄνω παρὰ τὸν Τίγριν, οἱ δὲ καὶ ἐπὶ πλοίων ἀνεπορεύθησαν.

Μετὰ δὲ ταῦτα ὁ Ἀντωνῖνος, Καρακάλλος ἐπικληθεὶς, ἐστράτευσε κατὰ τῶν Πάρθων. πρόφασις δὲ τοῦ πολέμου ἦν, ὅτι Οὐολόγαισος τόν τε Τηριδάτην, καὶ Ἀντίοχόν τινα μετ' αὐτοῦ, ἐξαιτήσαντι αὐτῷ οὐκ ἐξεδεδώκει. ὁ δὲ Ἀντίοχος ὁ αὐτομόλος Κίλιξ μὲν ἦν, καὶ φιλοσοφεῖν κυνηδὸν τὰ πρῶτα ἐπλάττετο· καὶ πλεῖστά γε ἐκ τούτου τοὺς στρατιώτας ἐν τῷ πολέμῳ ὠφέλησεν. ἀπαλγοῦντας γὰρ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐπεῤῥώννυεν, ἔς τε

τὴν

τὴν χιόνα ῥίπτων ἑαυτὸν, καὶ ἐν αὐτῇ καλινδέμενος· ὅθεν περ καὶ χρημάτων καὶ τιμῶν καὶ παρ᾽ αὐτȣ̃ τȣ̃ Σεβήρȣ καὶ παρὰ τȣ̃ Ἀντωνίνȣ ἔτυχεν. ἐπαρθεὶς δὲ ἐπὶ τȣ́τοις, τῷ Τηριδάτῃ συνεξητάσθη, καὶ μετ᾽ αὐτȣ̃ πρὸς τὸν Πάρθον ηὐτομόλησε. τȣ̃ δὲ Πάρθȣ φοβηθέντος, καὶ τὸν Ἀντίοχον ἐκδόντος, ἀφῆκε τὴν στρατείαν ἐν τῷ παραυτίκα. εἰς δὲ τȣ̀ς Ἀρμενίȣς στείλας τὸν Θεόκριτον μετὰ στρατιᾶς, ἰσχυρῶς ἔπταισε παρ᾽ αὐτῶν ἡττηθείς.

Μετὰ δὲ ταῦτα ἐς τȣ̀ς Πάρθȣς στρατέυσας, πρόφασιν ὅτι ȣ̓κ ἠθέλησεν αὐτῷ ὁ Ἀρτάβανος τὴν θυγατέρα μνηστευσαμένῳ συνοικίσαι· (καὶ γὰρ εὖ ἠπίστατο, ὅτι λόγῳ μὲν ἐκείνην γῆμαι, ἔργῳ δὲ τὴν τῶν Πάρθων βασιλείαν παρασπάσασθαι ἐπεθύμει·) πολλὰ μὲν τῆς χώρας τῆς περὶ τὴν Μηδίαν, ἅτε καὶ ἐξαπιναίως ἐμπεσὼν ἐς αὐτὴν, ἐκάκωσε, πολλὰ δὲ καὶ τείχη ἐπόρθησε, τά τε Ἄρβηλα παρεστήσατο, καὶ τὰ μνημεῖα τὰ βασιλικὰ τῶν Πάρθων ἀνορύξας, τὰ ὀστᾶ ἔῤῥιψεν. οἱ γὰρ Πάρθοι, ȣ̓δὲ ἐς χεῖρας αὐτῷ ἦλθον· ὅθεν ȣ̓δὲ ἔσχον τι ἐξαίρετον περὶ τῶν τότε πραχθέντων συγγράψαι. ὁ δὲ δὴ Μακρῖνος ἰδὼν τὸν Ἀρτάβανον σφόδρα τε ἐφ᾽ οἷς ἐπεπόνθει θυμȣ́μενον, καὶ δυνάμει πολλῇ ἐς τὴν Μεσοποταμίαν ἐμβεβληκότα, τὸ μὲν πρῶτον τȣ́ς τε αἰχμαλώτȣς αὐτῷ αὐτεπάγγελτος, καὶ λόγȣς φιλίȣς ἔπεμψε, πρός τε τὴν εἰρήνην αὐτὸν προκαλȣ́μενος, καὶ τὴν αἰτίαν τῶν γεγονότων ἐς τὸν Ταράντα τρέπων. ὡς δὲ ἐκεῖνος ȣ̓́τε τȣ̃το προσεδέξατο, καὶ προσέτι καὶ τὰ φρȣ́ρια αὐτὸν, τάς δὲ πόλεις κατασκαφείσας ἀναστῆσαι, τῆς τε Μεσοποταμίας παντελῶς ἐκστῆναι, καὶ δίκας ἐπί τε τοῖς ἄλλοις, καὶ ἐπὶ τῇ τῶν βασιλικῶν μνημάτων λύμῃ δȣ̃ναι ἐκέλευσεν. [τῇ τε γὰρ δυνάμει, ἣν πολλὴν ἠθροίκει, θαῤῥῶν, καὶ τȣ̃ Μακρίνȣ, ὡς καὶ παρὰ τὴν ἀξίαν αὐταρχȣ̃ντος, καταφρονῶν, τῇ τε ὀργῇ ἀπλήστῳ ἐχρῆτο, καὶ ἤλπιζε, καὶ ἄκοντος αὐτȣ̃, πάνθ᾽ ὅσα ἐβȣ́λετο, κατεργάσεσθαι.] ȣ̓δὲ καιρὸν ȣ̓δένα διαβȣλεύσασθαι ἔσχεν· ἀλλ᾽ ἀπαντήσας αὐτῷ πρὸς τὴν Νίσιβιν ἤδη προσιόντι, ἡττήθη, μάχης περὶ τȣ̃ ὕδατος τοῖς στρατιώταις ἐν τῇ ἀντιστρατοπεδέυσει γενομένης.

216 post Chr. LXXVIII. c. 1.

217 post Chr. cap. 26.

Μετὰ δέ τινα χρόνον πολλαὶ καὶ παρὰ πολλῶν ἐπαναστάσεις γενόμεναι, καί τινες καὶ ἰσχυρῶς ἐκφοβήσασαι, κατε-

222 post Chr. libr. LXXX. cap. 3.

κατεπαύθησαν· τὰ δὲ ἐν τῇ Μεσοποταμίᾳ, καὶ φοβερώτερα, καὶ ἀληθέστερον δέος σύμπασιν, οὐχ ὅτι τοῖς ἐν Ῥώμῃ, ἀλλὰ καὶ τοῖς ἄλλοις παρέσχεν. Ἀρταξέρξης γάρ τις Πέρσης [ὃς ἐξ ἀφανῶν καὶ ἀδόξων ἦν, τὴν τῶν Πάρθων βασιλείαν Πέρσαις περιεποιήσατο, καὶ αὐτῶν ἐβασίλευσεν· ἀφ' οὗ λέγεται καὶ τὸ Χοσρόου κατάγεσθαι γένος. μετὰ γὰρ τὴν Ἀλεξάνδρου τοῦ Μακεδόνος τελευτὴν, οἱ ἐκείνου διάδοχοι Μακεδόνες, ἐπὶ πλεῖστον μὲν Περσῶν τε καὶ Παρθυαίων ἦρχον, καὶ τῶν ἄλλων ἐθνῶν· κατ' ἀλλήλων δέ γε χωρήσαντες, ἀλλήλους κατέλυσαν. ἐκείνων δ' οὕτως ἠσθενηκότων, πρῶτος Ἀρσακίδης Παρθυαίοις τῆς ἐξ αὐτῶν ἀποστασίας ἐπικεχείρηκε, καὶ Παρθυαίων ἐκράτησε, καὶ τοῖς ἑαυτοῦ ἀπογόνοις κατέλιπε τὴν ἀρχὴν, ὧν τελευταῖος γέγονεν ὁ Ἀρτάβανος. ὁ δ' οὖν Ἀρταξέρξης] τούς τε Πάρθους τρισὶ μάχαις νικήσας, καὶ τὸν βασιλέα αὐτῶν Ἀρτάβανον ἀποκτείνας, [ἐπὶ τὰ Ἄτρα ἐπεστράτευσεν, ἐπιβασίαν ἀπ' αὐτῶν ἐπὶ τοὺς Ῥωμαίους ποιούμενος. καὶ τὸ μὲν τεῖχος διέρρηξεν· συχνοὺς δὲ δὴ τῶν στρατιωτῶν ἐξ ἐνέδρας ἀποβαλὼν, ἐπὶ τὴν Μηδίαν μετέστη· καὶ ἐκείνης τε οὐκ ὀλίγα, καὶ τῆς Παρθίας, τὰ μὲν βίᾳ, τὰ δὲ καὶ φόβῳ παραλαβὼν] ἐπὶ τὴν Ἀρμενίαν ἤλασε· κἀνταῦτα πρός τε τῶν ἐπιχωρίων, καὶ πρὸς Μήδων τινῶν, τῶν τε τοῦ Ἀρταβάνου παίδων πταίσας, ὡς μέν τινες λέγουσιν, ἔφυγεν, ὡς δ' ἕτεροι, ἀνεχώρησε πρὸς παρασκευὴν δυνάμεως μείζονος.

cap 4. Οὗτός γε οὖν φοβερὸς ἡμῖν ἐγένετο, στρατεύματί τε πολλῷ οὐ μόνον τῇ Μεσοποταμίᾳ, ἀλλὰ καὶ τῇ Συρίᾳ ἐφεδρεύσας, καὶ ἀπειλῶν ἀνακτήσεσθαι πάντα, ὡς καὶ προσήκοντά οἱ ἐκ προγόνων, ὅσα ποτὲ οἱ πάλαι Πέρσαι μέχρι τῆς ἑλληνικῆς θαλάσσης ἔσχον· οὐχ ὅτι αὐτὸς λόγου τινὸς ἄξιος, ἀλλ' ὅτι οὕτω τὰ στρατιωτικὰ ἡμῖν διάκειται, ὥστε τοὺς μὲν καὶ προστίθεσθαι αὐτῷ, τοὺς δὲ οὐκ ἐθέλειν ἀμύνεσθαι.

Neopersæ seu Sassanidæ. Herodianus. VI. cap. 2.

Τῷ μὲν οὖν τεσσαρεσκαιδεκάτῳ ἔτει τοῦ Ἀλεξάνδρου ἐκομίσθη γράμματα τῶν κατὰ Συρίαν τε καὶ Μεσοποταμίαν ἡγεμόνων, δηλοῦντα, ὅτι Ἀρταξέρξης ὁ Περσῶν βασιλεὺς, μετὰ τὸ Παρθυαίους καθελεῖν, καὶ τῆς κατὰ τὴν ἀνατολὴν ἀρχῆς παραλῦσαι, Ἀρτάβανόν τε τὸν πρότερον καλούμενον τὸν μέγαν βασιλέα, καὶ δυσὶ διαδήμασι χρώ-

μενον

μενον, ἀποκτεῖναι· πάντα δὲ τὰ περίοικα βάρβαρα χειρώσασθαι, καὶ εἰς Φόρȣ συντέλειαν ὑπάγεσθαι· ȣ̓χ ἡσυχάζει, ȣ̓δ' ἐντὸς Τίγριδος ποταμȣ̃ μένει, ἀλλὰ τὰς ὄχθας ὑπερβαίνων καὶ τȣ̀ς τῆς Ῥωμαίων ἀρχῆς ὅρȣς, Μεσοποταμίαν τε κατατρέχει, καὶ Σύροις ἀπειλεῖ. πᾶσάν τε τὴν ἀντικειμένην ἤπειρον Ἐυρώπῃ καὶ διαιρȣμένην Ἀιγαίῳ τε καὶ τῷ πορθμῷ τῆς Προποντίδος, Ἀσίαν τε πᾶσαν καλȣμένην, προγονικὸν κτῆμα ἡγȣ́μενος, τῇ Περσῶν ἀρχῇ ἀνακτήσασθαι βȣ́λεται, Φάσκων ἀπὸ Κύρȣ τȣ̃ πρώτȣ τὴν ἀρχὴν ἐκ Μήδων ἐις Πέρσας μεταστήσαντος, μέχρι Δαρείȣ τȣ̃ τελευταίȣ Περσῶν βασιλέως, (ȣ̃ τὴν ἀρχὴν Ἀλέξανδρος ὁ Μακεδὼν καθεῖλε) πάντα μέχρις Ἰωνίας καὶ Καρίας ὑπὸ σατράπαις Περσικοῖς διῳκῆσθαι· προσήκειν ȣ̃ν ἀυτῷ Πέρσαις ἀνανεώσασθαι πᾶσαν ὁλόκληρον, ἣν πρότερον ἔσχον, ἀρχήν. τοιαῦτα τοίνυν δηλωσάντων καὶ ἐπιστειλάντων τῶν ὑπὸ ταῖς ἀνατολαῖς ἡγεμόνων, πρὸς τὴν αἰφνίδιον καὶ παρ' ἐλπίδα κομισθεῖσαν ἀγγελίαν ȣ̓ μετρίως ὁ Ἀλέξανδρος ἐταράχθη, καὶ μάλιστα εἰρήνῃ ἐκ παίδων ἐντραφείς, καὶ τῇ κατὰ τὴν πόλιν ἀεὶ σχολάσας τρυφῇ. τὰ μὲν ȣ̃ν πρῶτα ἔδοξεν ἀυτῷ, κοινωσαμένῳ τοῖς φίλοις, πρεσβείαν πέμψαι, καὶ διὰ γραμμάτων κωλῦσαι τὴν ὁρμὴν καὶ ἐλπίδα τȣ̃ βαρβάρȣ. Ὁ δ' ȣ̓δέν τι Φροντίζων τῶν ἐπεσταλμένων, ὅπλοις ἀλλ' ȣ̓ λόγοις οἰόμενος δεῖν τὰ πράγματα διοικεῖσθαι, ἐνέκειτο, ἄγων καὶ Φέρων τὰ Ῥωμαίων ἅπαντα· κατατρέχων τε καὶ καθιππέυων Μεσοποταμίαν, λείας τε ἀπήλαυνε, καὶ τὰ ἐπικείμενα στρατόπεδα ταῖς ὄχθαις τῶν ποταμῶν, προασπίζοντά τε τῆς Ῥωμαίων ἀρχῆς, ἐπολιόρκει. Φύσει δ' ὢν ἀλαζὼν καὶ ταῖς παρ' ἐλπίδας ἐυπραγίαις ἐπαιρόμενος, πάντα ῥαδίως χειρώσασθαι προσεδόκα.

Ὡς δὲ τῷ Ἀλεξάνδρῳ ἐδηλώθη διατρίβοντι ἐν τῇ Ῥώμῃ τὰ κατὰ τὰς ἀνατολὰς ὑπὸ τȣ̃ βαρβάρȣ τολμώμενα, ȣ̓κ ἀνασχετὰ ἡγȣ́μενος, καλȣ́ντων δὲ ἀυτὸν καὶ τῶν ἐκεῖσε ἡγεμόνων, ἀσχάλλων μὲν καὶ παρὰ γνώμην, ὅμως δ' ἔσχε περὶ ἔξοδον. ἔκ τε ȣ̃ν ἀυτῆς Ἰταλίας καὶ τῶν ὑπὸ Ῥωμαίοις πάντων ἐθνῶν λογάδες ἐς τὴν στρατιὰν ἠθροίζοντο, ὅσοι σώματος ἐυεξίᾳ καὶ ἡλικίας ἀκμῇ εἰς μάχην ἐπιτήδειοι ἐνομίζοντο. κίνησίς τε μεγίστη πᾶσι τῆς ὑπὸ cap. 3.

Ῥω-

Ῥωμαίοις ἐγένετο δυνάμεως, ἰσοῤῥόπου ἀθροιζομένης πρὸς τὸ ἀγγελλόμενον τῶν ἐπιτρεχόντων βαρβάρων πλῆθος.

cap. 4. Ἔπειτα μετὰ πολλῆς σπουδῆς ποιησάμενος τὴν πορείαν, τά γε Ἰλλυρικὰ ἔθνη καὶ στρατόπεδα ἐπελθὼν, πλείστην δὲ δύναμιν κἀκεῖθεν ἀθροίσας, εἰς γῆν Ἀντιόχειαν ἀφίκετο. ἐκεῖ δὲ γενόμενος, τὰ πρὸς τὸν πόλεμον ἐξήρτυε, γυμνάζων τε τοὺς στρατιώτας καὶ τὰ πολεμικὰ ἀσκῶν. Ἔδοξε δὲ αὐτῷ πρεσβείαν πάλιν πέμψαι πρὸς τὸν Πέρσην, καὶ περὶ εἰρήνης καὶ φιλίας διαλέγεσθαι. ἤλπιζε γὰρ αὐτὸν πείσειν ἢ φοβήσειν, αὐτὸς παρών. ὁ δὲ βάρβαρος τοὺς μὲν πρέσβεις τῶν Ῥωμαίων ἀπέπεμψεν ἀπράκτους, αὐτὸς δὲ ἐπιλεξάμενος τετρακοσίους Περσῶν τοὺς μεγίστους, ἐσθῆσί τε πολυτελέσι καὶ χρυσῷ κεκοσμημένους, ἵππων γε καὶ τόξων παρασκευῇ· πρέσβεις ἔπεμψε δὴ πρὸς τὸν Ἀλέξανδρον, καταπλήξειν οἰηθεὶς τοὺς Ῥωμαίους τῇ γε ὄψει καὶ τῷ σχήματι τῶν Περσῶν. ἔλεγε δ᾽ ἡ πρεσβεία, ὅτι δὴ κελεύει μέγας βασιλεὺς Ἀρταξέρξης ἀφίστασθαι Ῥωμαίους τε καὶ τὸν ἄρχοντα αὐτῶν Συρίας γε ἁπάσης, Ἀσίας τε τῆς Εὐρώπῃ ἀντικειμένης· ἐᾶσαι δὲ ἄρχειν Πέρσας μέχρις Ἰωνίας γε καὶ Καρίας, καὶ ὅσα Αἰγαίῳ καὶ Πόντῳ ἔθνη διαιρεῖται. εἶναι γὰρ αὐτὰ Περσῶν προγονικὰ κτήματα. τοιαῦτά τινα τῶν τετρακοσίων πρέσβεων ἀπαγγειλάντων, κελεύει ὁ Ἀλέξανδρος τοὺς τετρακοσίους συλληφθῆναι· καὶ παρελόμενος πάσης τῆς περικειμένης σκευῆς, εἰς Φρυγίαν ἐξέπεμψε, δοὺς κώμας γε οἰκεῖν, καὶ χώραν γεωργεῖν· τοσαύτην αὐτοῖς ἐπιθεὶς τιμωρίαν, ὡς οἴκαδε μὴ ἐπανελθεῖν· ἀποκτεῖναι γὰρ ἀνόσιον καὶ οὐ πάνυ ἀνδρεῖον ἡγήσατο, μήτε μαχομένους, καὶ τὰ κελευσθέντα ὑπὸ τοῦ ἑαυτῶν δεσπότου ἀγγείλαντας. τούτων δὴ οὕτω πραττομένων, παρασκευαζομένου γε τοῦ Ἀλεξάνδρου καὶ διαβῆναι τοὺς ποταμοὺς, εἴς τε τὴν βάρβαρον γῆν τὸν στρατὸν διαγαγεῖν, ἐγένοντο τινὲς καὶ ἀποστάσεις στρατιωτῶν ἀπό τε Αἰγύπτου ἐληλυθότων, ἀλλὰ μὴν καὶ τῶν κατὰ Συρίαν καινοτομῆσαι τινὰ ἐπιχειρησάντων περὶ τὴν βασιλείαν· οἳ ταχέως φωραθέντες ἐκολάσθησαν. ἀλλὰ καὶ τινὰ τῶν στρατοπέδων μετέστησεν ὁ Ἀλέξανδρος εἰς ἕτερα χωρία, ἐπιτηδειότερα δοκοῦντα εἶ-

cap. 5. να πρὸς τὸ κωλύειν τὰς τῶν βαρβάρων ἐπιδρομάς. Τούτων δὴ αὐτῷ διοικηθέντων, τῆς γε στρατιᾶς παμπληθοῦς συνει-

συνειλεγμένης, ὅτε δὴ ἀντίπαλα καὶ ἰσόῤῥοπα ᾠήθη εἶναι τὰ ἑαυτȣ̃ στρατεύματα τῷ πλήθει τῶν βαρβάρων, σκεψάμενος σὺν τοῖς φίλοις, ἔνειμε τὸ στρατιωτικὸν εἰς τρεῖς μοίρας· καὶ τὴν μὲν μίαν ἐκέλευσε, πρὸς τὰ ἀρκτῷα μέρη τῆς βαρβάρȣ γῆς ἀφορῶσαν, δι' Ἀρμενίας ἐπελθȣ̃σαν, φιλίȣ Ῥωμαίοις δοκȣ́σης, κατατρέχειν τὴν Μήδων χώραν· τὴν δὲ ἑτέραν ἔπεμψε πρὸς τὰ ἀρκτῷα μέρη τῆς βαρβάρȣ γῆς βλέπȣσαν· ἔνθα συῤῥέοντας τὸν Τίγρητα καὶ τὸν Εὐφράτην ἕλη πυκνότατα ὑποδέχεσθαι λέγȣσι, καὶ λανθάνειν ποταμῶν ἐκείνων μόνων διὰ τȣ̃το τὰς ἐκβολάς. τὴν δὲ τρίτην μοῖραν καὶ γενναιοτάτην τȣ̃ στρατȣ̃ αὐτὸς ἔχων, ὑπέσχετο ἐπάξειν τοῖς βαρβάροις κατὰ μέσην τὴν πορείαν. ȣ̔́τω γὰρ ᾤετο διαφόροις ἐφόδοις ἀφυλάκτως τε καὶ ἀπροόπτως αὐτοῖς ἐπελεύσεσθαι. καὶ τὸ πλῆθος τῶν Περσῶν ἀεὶ πρὸς τȣ̀ς ἐπιόντας διαιρȣ́μενοι, ἀσθενέστερόν τε ἔσεσθαι, καὶ ἀτακτότερον μάχεσθαι. (ȣ̓ γὰρ δὴ μισθοφόροις χρῶνται στρατιώταις οἱ βάρβαροι, ὥσπερ Ῥωμαῖοι, ȣ̓δὲ στρατόπεδα ἔχȣσι συνεστῶτα καὶ μένοντα, πολέμȣ τέχναις ἐγγεγυμνασμένα. ἀλλὰ πᾶν τὸ πλῆθος τῶν ἀνδρῶν, ἔσθ' ὅπη καὶ τῶν γυναικῶν, ἐπὰν κελεύσῃ βασιλεὺς, ἀθροίζεται. διαλυθέντος δὲ τȣ̃ πολέμȣ, ἕκαστος εἰς τὰ ἑαυτȣ̃ ἐπανέρχεται, τοσȣ̃τον ἀποκερδήσας, ὅσα ἂν ἐξ ἁρπαγῆς αὐτῷ περιγένηται. τόξοις τε καὶ ἵπποις ȣ̓κ εἰς τὸ πολεμεῖν μόνον χρῶνται, ὥσπερ Ῥωμαῖοι, ἀλλ' ἐκ παίδων σὺν αὐτοῖς ἀνατρέφονται, καὶ θηρῶντες διαιτῶνται, ȣ̓́τε τὰς φαρέτρας ποτὲ ἀποτιθέμενοι, ȣ̓́τε τῶν ἵππων ἀποβαίνοντες, ἀεὶ δὲ αὐτοῖς χρώμενοι ἢ κατὰ πολεμίων ἢ κατὰ θηρίων.) Ἀλέξανδρος μὲν ȣ̃ν, ὡς ᾤετο, ἄριστα βεβȣ́λευτο· ἔσφηλε δὲ αὐτȣ̃ τὴν γνώμην ἡ τύχη. τὸ μὲν γὰρ πεμφθὲν δι' Ἀρμενίας στρατιωτικὸν, μόλις καὶ χαλεπῶς ὑπερβαλὸν τὰ τῆς χώρας ὄρη, τραχύτατά τε ὄντα καὶ κρημνωδέστατα (πλὴν ἔτι θέρȣς ὄντος ἀνεκτὴν εἶχε τὴν πορείαν) ἐμβαλὸν εἰς τὴν Μήδων χώραν, ἐπόρθει τε αὐτὴν καὶ πολλὰς ἐνέπρησε κώμας, λείαν τε ἀπήγαγεν. ὁ δὲ Πέρσης μαθὼν, ἐπήμυνε κατὰ δύναμιν. ἀπείργειν δὲ τȣ̀ς Ῥωμαίȣς ȣ̓ πάνυ τι ἐδύνατο· τραχεῖα γὰρ ȣ̃σα ἡ χώρα, τοῖς μὲν πεζοῖς καὶ τὴν βάσιν εὐπαγῆ καὶ τὴν πορείαν εὐμαρῆ παρεῖχεν. ἡ δ' ἵππος τῶν βαρβάρων, ὑπὸ τῆς τῶν ὀρῶν τραχύτητος,

ὁμȣ̃

ὁμȣ̃ καὶ πρὸς δρόμον ἐπείχετο, καὶ κατιππεύειν ἢ ἐπιέναι ἐκωλύετο. Ἧκον δέ τινες ἀγγέλλοντες τῷ Πέρσῃ, ὡς ἄρα φαίνοιτο Ῥωμαίων ςρατὸς ἕτερος, ἐν τοῖς ἑῴοις μέρεσι Παρθυαίων, τά γε πεδία κατατρέχȣσι. διόπερ φοβηθεὶς ἐκεῖνα, μὴ τὰ ἐν Πάρθοις ῥαδίως λυμηνάμενοι, εἰς Πέρσας ἐμβάλωσι, καταλιπὼν τινὰ δύναμιν, ὅσην αὐτάρκη ᾤετο ῥύεσθαι Μηδίαν, αὐτὸς σὺν παντὶ τῷ ςρατῷ εἰς τὰ ἑῷα μέρη ἠπείγετο. ἡ δὲ τῶν Ῥωμαίων ςρατιὰ τὴν πορείαν ἀμελέςερον ἐποιεῖτο, μήτε τινὸς φαινομένȣ μήτε ἀνθεςῶτος· ἤλπιζέ γε τὸν Ἀλέξανδρον σὺν τρίτῃ μοίρᾳ γενναιοτάτῃ ἔσῃ καὶ μεγίςῃ εἰς μέσȣς ἐμβεβληκέναι τȣ̀ς βαρβάρȣς. κἀκείνȣς ἀνθελκομένȣς ἀεὶ πρὸς τὸ ἐνοχλȣ̃ν σχολαιτέραν αὐτοῖς καὶ ἀδεεςέραν παρέξειν τὴν ἔφοδον. προείρητο γὰρ πᾶσι τοῖς ςρατοῖς ὑπερτρέχειν, καὶ τόπος ὥριςο εἰς ὃν καὶ ὅπȣ συνελθεῖν ἔδει πάντα τὰ ἐμπίπτοντα, καὶ ἐν μέσῳ χειρȣμένȣς. Ἔσφηλε δὲ αὐτȣ̀ς ὁ Ἀλέξανδρος, μήτε εἰσαγαγὼν τὸν ςρατὸν, μήτε εἰσελθὼν, ἢ διὰ δέος, ἵνα μὴ δὴ αὐτὸς κινδυνεύοι ψυχῇ καὶ σώματι ὑπὲρ τῆς Ῥωμαίων ἀρχῆς· ἢ τῆς μητρὸς ἐπισχούσης γυναικείᾳ δειλίᾳ καὶ ὑπερβαλλȣ́σῃ φιλοτεκνίᾳ. ἤμβλυνε γὰρ αὐτȣ̃ τὰς πρὸς ἀνδρείαν ὁρμὰς, πείθȣσα δεῖν ἄλλȣς ὑπὲρ αὐτȣ̃ κινδυνεύειν, ἀλλὰ μὴ αὐτὸν παρατάττεσθαι· ὅπερ γὸν εἰσελθόντα Ῥωμαίων ςρατὸν ἀπώλεσεν. ὁ γὰρ Πέρσης σὺν πάσῃ τῇ δυνάμει ἐπελθὼν, ȣ̓ προσδοκȣ̃ντος τȣ̃ ςρατȣ̃, ἐκπεριελθὼν, καὶ ὥσπερ σαγηνεύσας, πανταχόθεν γε τοξεύων, διέφθειρε τὴν δύναμιν τῶν Ῥωμαίων, ὀλίγων τε πρὸς πολλȣ̀ς ἀνθίςασθαι μὴ δυναμένων, καὶ ἀεὶ τὰ γυμνὰ ἑαυτῶν, εἰς ἃ ἐτοξεύοντο, φραττόντων τοῖς ὅπλοις. ῥύεσθαι γὰρ αὐτοῖς τὰ σώματα, ȣ̓ μάχεσθαι, ἀγαπητὸν ἦν. ἔςε δὴ πάντες ἐς τὸ αὐτὸ συναλισθέντες, καὶ τῇ τῶν ἀσπίδων προβολῇ ὥσπερ τειχίσαντες, ἀπεμάχοντο ἐν σχήματι πολιορκίας, βαλλόμενοι πανταχόθεν καὶ τιτρωσκόμενοι· ἀντισχόντες εἰς ὅσον ἐνεδέχετο ἀνδρείως, τὸ τελευταῖον πάντες διεφθάρησαν. μεγίςη δὲ αὕτη συμφορὰ, καὶ ȣ̓ ῥαδίως μνημονευθεῖσα Ῥωμαίȣς ἐπέσχε, δυνάμεως μεγίςης διαφθαρείσης, γνώμῃ καὶ ῥώμῃ μηδεμιᾶς τῶν ἀρχαίων ἀποδεȣ́σης. τόν γε Πέρσην εἰς ἐλπίδα μειζόνων πραγμάτων ἐτύφωσε τηλικȣ́των ἔργων εὐπραγία

Ὡ

Ὡς δὲ ταῦτα τῷ Ἀλεξάνδρῳ ἐδηλώθη, χαλεπῶς νοσοῦντι, εἴτε διὰ δυσθυμίαν, εἴτε διὰ τὴν τοῦ ἀέρος ἀήθειαν, αὐτός τε δυσφόρως ἤνεγκε, καὶ ὁ λοιπὸς στρατὸς ἠγανάκτησε πρὸς τὸν Ἀλέξανδρον· καὶ ἐχαλέπαινεν, ὅτι δὴ ψευσαμένου αὐτοῦ, καὶ μὴ τηρήσαντος τὰ συνθήματα, προδοθείη ὁ εἰσελθὼν στρατός. πλὴν ὁ Ἀλέξανδρος, μήτε τὴν νόσον φέρων καὶ τὸ πνιγῶδες τοῦ ἀέρος, τοῦ τε στρατοῦ παντὸς νοσοῦντος, καὶ μάλιστα τῶν Ἰλλυρικῶν στρατιωτῶν, (οἱ ὑγρῷ καὶ χειμερίῳ ἀέρι ἐνειθισμένοι, τροφάς τε πλείονας συνήθως εἰσφερόμενοι, χαλεπῶς νοσοῦντες, διεφθείροντο) ἐπανελθεῖν τε εἰς τὴν Ἀντιόχειαν ἐβουλεύσατο, καὶ πέμψας τὸν ἐν Μηδίᾳ στρατὸν, ἐπανελθεῖν ἐκέλευσεν. ἐκεῖνος μὲν ὁ στρατὸς ἐπανιὼν, πλεῖστος ἐν τοῖς ὄρεσι διεφθάρη, καὶ ἠκρωτηριάσθησαν οὐκ ὀλίγοι ἐν δυσχειμέρῳ χώρᾳ, ὡς ὀλίγους πάνυ ἐκ πολλῶν ἐπανελθεῖν. τὸ δὲ σὺν αὐτῷ πλῆθος ὁ Ἀλέξανδρος εἰς τὴν Ἀντιόχειαν ἐπανήγαγε, πολλῶν καὶ ἐξ ἐκείνης τῆς μοίρας ἀπολωλότων· ὡς μεγίστην ἐνεγκεῖν δυσθυμίαν τῷ στρατῷ, καὶ Ἀλεξάνδρῳ ἀδοξίαν, σφαλέντι καὶ γνώμῃ καὶ τύχῃ, καὶ τῶν τριῶν μοιρῶν τοῦ στρατοῦ, ὧν ἔνειμε, τὸ πλεῖστον ἀποβαλόντι διαφόροις συμφοραῖς, νόσῳ, πολέμῳ, κρύει. Γενόμενος δὲ ἐν τῇ Ἀντιοχείᾳ ὁ Ἀλέξανδρος, αὐτός τε ῥᾳδίως ἐπεῤῥώσθη τῷ εὐψυχεῖ καὶ ἐνύδρῳ τῆς πόλεως, μετὰ τὸν ἐν Μεσοποταμίᾳ ξηρὸν αὐχμὸν, τούς τε στρατιώτας ἀνεκτᾶτο· καὶ ἐφ' οἷς ἐλελύπηντο, παρεμυθεῖτο μεγαλοδωρίᾳ χρημάτων· τοῦτο γὰρ μόνον εἰς εὐνοίας ἀνάκτησιν στρατιωτῶν ἐνόμιζε φάρμακον. δύναμιν δὲ ἤθροιζε καὶ παρεσκεύαζεν, ὡς δὴ πάλιν ἐπάξων Πέρσαις, εἰ ἐνοχλοῖεν καὶ μὴ ἡσυχάζοιεν. Ἀπηγγέλλετο δὴ καὶ ὁ Πέρσης λύσας τὴν δύναμιν, καὶ ἑκάστους εἰς τὰ ἑαυτῶν ἀποπέμψας. εἰ γὰρ καὶ ἐκ τοῦ κρείττονος ὑπέρτεροι ἐδόκουν γεγενῆσθαι οἱ βάρβαροι, πλὴν ὅμως ἐτετρύχωντο ταῖς τε κατὰ Μηδίαν πολλάκις γενομέναις συμβολαῖς, τῇ τε ἐν Παρθίᾳ μάχῃ, πολλῶν μὲν πεσόντων, παμπλείστων δὲ τετρωμένων. οὐ γὰρ ἀνάνδρως οἱ Ῥωμαῖοι ἡττήθησαν, ἀλλὰ καὶ αὐτοὶ τοὺς πολεμίους ἔσθ' ὅπῃ κακώσαντες· παρὰ τοῦτο δὲ ἀπολόμενοι, παρ' ὅσον πλήθει ἐλάττους εὑρέθησαν. ὡς σχεδὸν ἰσαρίθμου γενομένου τοῦ ἑκατέρωθεν πεσόντος στρατοῦ, τὸ περιλειφθὲν cap. 6.

τῶν

τῶν βαρβάρων, πλήθει ἀλλ' ȣ̓ δυνάμει δοκεῖ νενικηκέναι. δεῖγμα δὲ τȣ̃το ȣ̓ μικρὸν τῆς βαρβάρων κακώσεως· ἐτῶν γȣ̃ν τριῶν ἢ τεττάρων ἡσύχασαν, ȣ̓δ' ἐν ὅπλοις ἐγένοντο.

Zosimus. Libr. I. c. 18. Παρελθόντος δὲ εἰς τὴν ἀρχὴν τȣ̃ Γορδιανȣ̃, καὶ ἤδη τῆς βασιλείας ȣ̓́σης ἐν ὀχυρῷ, Πέρσαι τοῖς κατὰ τὴν ἑῴαν ἔθνεσιν ἐπιέναι προσεδοκῶντο, τὴν ἀρχὴν Σαπώρȣ παραλαβόντος μετὰ Ἀρταξέρξην· τότε τοίνυν ἐπὶ Πέρσας ὁ βασιλεὺς ᾔει παρασκευῇ τῇ πάσῃ· τȣ̃ δὲ Ῥωμαϊκȣ̃ ςρατȣ̃ δόξαντες ἐν τῇ πρώτῃ μάχῃ κεκρατηκέναι, Τιμησικλῆς ὁ τῆς αὐλῆς ὕπαρχος τελευτήσας, ἠλάττωσε πολὺ τῷ βασιλεῖ τὴν ἐπὶ τῇ ἀσφαλείᾳ τῆς ἡγεμονίας πεποίθησιν. Φιλίππȣ γὰρ τȣ̃ ὑπάρχȣ προχειρισθέντος, κατὰ βραχὺ τὰ τῆς εἰς τὸν βασιλέα τῶν ςρατιωτῶν εὐνοίας ὑπέῤῥει. ὁρμώμενος γὰρ ἐξ Ἀραβίας ἔθνȣς χειρίςȣ, καὶ ȣ̓δὲ ἐκ τȣ̃ βελτίονος εἰς τύχης ἐπίδοσιν προελθὼν, ἅμα τῷ παραλαβεῖν τὴν ἀρχὴν, εἰς ἐπιθυμίαν βασιλείας ἐτράπη· καὶ τῶν ςρατιωτῶν τȣ̀ς εἰς τὸ νεωτερίζειν ἐπιῤῥεπεῖς οἰκειȣ́μενος, ἐπειδὴ τὴν τῶν ςρατιωτικῶν σιτήσεων συγκομιδὴν ἅλις ἔχȣσαν εἶδεν, ἔτι τȣ̃ βασιλέως περὶ Κάῤῥας καὶ Νίσιβιν σὺν τῷ ςρατῷ διατρίβοντος, αὐτὸς ἐνδοτέρω τὰς ναῦς, αἳ τὴν ςρατιωτικὴν τροφὴν εἶχον, εἰσιέναι διέταττεν· ὡς ἂν ἡ ςρατιὰ λιμῷ πιεζομένη καὶ ἀπορίᾳ τῶν ἐπιτηδείων ἀναςαίη πρὸς ςάσιν.

cap. 19. Ἐκβάσης δὲ εἰς ἔργον αὐτῷ τῆς σκέψεως, οἱ ςρατιῶται πρόφασιν τὴν τῶν ἀναγκαίων ἔνδειαν ποιησάμενοι, σὺν ȣ̓δενὶ κόσμῳ τὸν Γορδιανὸν περιςάντες, ὡς αἴτιον τῆς τȣ̃ ςρατοπέδȣ φθορᾶς ἀναιρȣ̃σι, Φιλίππῳ τὴν ἁλȣργίδα κατὰ τὸ συγκείμενον περιθέντες. ὁ δὲ πρὸς μὲν Σαπώρην ἔθετο φιλίαν ἐνώμοτον· λύσας δὲ τὸν πόλεμον, ἐπὶ τὴν Ῥώμην ἐξορμᾷ.

244 post Christ. οἱ μὲν Πέρσαι τότε παρεσπάσαντο ȣ̓δὲν τῶν ἤδη Ῥωμαίοις ὑπηκόων γεγενημένων,

252 post Christ. ὡς δὲ βασιλεύοντος Γάλλȣ τὴν Ἀσίαν ἐπῄεσαν, πολλὰς κατ' αὐτὴν χώρας ἐληίζοντο, τήν τε μέσην καταςρεφόμενοι τῶν ποταμῶν, καὶ ἐπὶ Συρίαν προϊόντες, ἄχρι

cap. 27. καὶ Ἀντιοχείας αὐτῆς· ἕως εἷλον καὶ ταύτην, τῆς ἑῴας πάσης μητρόπολιν ȣ̓́σαν· καὶ τȣ̀ς μὲν κατασφάξαντες τῶν οἰκητόρων, τȣ̀ς δὲ αἰχμαλώτȣς ἀπαγαγόντες, ἅμα λείας ἀναριθμήτῳ πλήθει οἴκαδε ἀπῄεσαν, πᾶν ὅτιȣ̃ν ἴδιον ἢ δημόσιον τῆς πόλεως οἰκοδόμημα διαφθείραντες, ȣ̓δενὸς

παν-

παντάπασιν ἀντιςάντος. Πέρσαις μὲν ȣ̓ν ἐξεγένετο ῥᾳδίως τὴν Ἀσίαν κατακτήσαθαι πᾶσαν, ἐι μὴ τῇ τῶν λαφύρων ὑπερβολῇ περιχαρεῖς γεγονότες, ἀσμένως ταῦτα περισῶσαι καὶ ἀπαγαγεῖν ὄικοι διενοήθησαν.

Μετ᾽ ȣ̓ πολὺ δὲ Σαπώρης, ἐπιὼν τὴν ἑῴαν, ἅπαντα κατεςρέφετο. Ὀυαλεριανȣ̃ δὲ διά γε μαλακίαν καὶ βίȣ χαυνότητα βοηθῆσαι μὲν ἐις ἔσχατον ἐλθȣ̃σι τοῖς πράγμασιν ἀπογνόντος, χρημάτων δὲ δόσει καταλῦσαι τὸν πόλεμον βȣλομένȣ, τȣ̀ς μὲν ἐπὶ τȣ́τῳ ςαλέντας πρέσβεις ἀπράκτȣς ὁ Σαπώρης ἀπέπεμψεν, αὐτὸν δὲ ᾔτει τὸν βασιλέα περὶ τῶν ἀναγκαίων αὐτῷ νομιζομένων ἐις λόγȣς ἐλθεῖν. ὁ δὲ σὺν ȣ̓δεμίᾳ φρονήσει κατανεύσας τοῖς αἰτȣμένοις, ἀπερισκέπτως μετ᾽ ὀλίγων ὁρμήσας ἐπὶ Σαπώρην, ὡς δὴ περὶ σπονδῶν αὐτῷ διαλεξόμενος, ἄφνω συλλαμβάνεται παρὰ τῶν πολεμίων. καὶ ἐν αἰχμαλώτȣ τάξει καταςὰς παρὰ Πέρσαις τὸν βίον ἀπέλιπε, μεγίςην αἰσχύνην ἐν τοῖς μετὰ ταῦτα τῶν Ῥωμαίων ὀνόματι καταλελοιπώς. cap. 36.

Τῶν δὲ Σκυθῶν τὴν Ἑλλάδα κάκιςα διαθέντων, καὶ τὰς Ἀθήνας αὐτὰς ἐκπολιορκησάντων, Γαλλιηνὸς μὲν ἐπὶ τὴν πρὸς τȣ́τȣς μετῄει μάχην, ἤδη τὴν Θρᾴκην καταλαβόντας. τοῖς δὲ περὶ τὴν ἑῴαν ȣ̓̃σιν ἐν ἀπογνώσει βοηθεῖν Ὀδάναθον ἔταξεν, ἄνδρα Παλμυρηνὸν, καὶ ἐκ προγόνων τῆς παρὰ τῶν βασιλέων ἀξιωθέντα τιμῆς. ὁ δὲ τοῖς αὐτόθι λελειμμένοις ςρατοπέδοις δύναμιν ἀναμίξας ὅτι πλείςην ὀικείαν, ἐπεξῄει τῷ Σαπώρῃ κατὰ τὸ καρτερὸν, καὶ τάς γε πόλεις ἀνεκτοτάτας ἤδη παρὰ Περσῶν ἐχομένας, καὶ Νίσιβιν ἐιλημμένην μὲν ὑπὸ Σαπώρȣ, τὰ Περσῶν δὲ φρονȣ̃σαν, ἑλὼν ἐξ ἐφόδȣ, κατέσκαψεν. ἐπεξελθὼν δὲ μέχρι Κτησιφῶντος αὐτῆς ȣ̓χ ἅπαξ, ἀλλὰ καὶ δέυτερον, Πέρσας μὲν τοῖς ὀικέιοις ἐναπέκλεισεν, ἀγαπῶντας ἐι παῖδας καὶ γυναῖκας καὶ ἑαυτȣ̀ς περισώσαιεν, αὐτὸς καὶ τὰ περὶ τὴν ἤδη πεπορθημένην χώραν, ὡς ȣ̃ιός τε ἦν, ἐυ διετίθει. Ἐπεὶ δὲ διατρίβων κατὰ τὴν Ἔμισαν, καί τινα γενέθλιον ἄγων ἑορτὴν ἐξ ἐπιβȣλῆς ἀνῃρέθη, τῶν ἐκεῖσε πραγμάτων ἀντιλαμβάνεται Ζηνοβία, συνοικȣ̃σα μὲν Ὀδανάθῳ, φρονήματι δὲ ἀνδρείῳ χρωμένη, καὶ διὰ τῶν ἐκείνῳ συνόντων τὴν ἴσην ἐισφέρȣσα τοῖς πράγ-

260 ante Chr. libr. I. c. 39.

πράγμασιν ἐπιμέλειαν. Ἀυτὴ γὰρ μειζόνων ἐφιεμένη πραγμάτων, πρῶτον ἐχειρώσατο Ἄιγυπτον, καὶ τὴν ἐώαν
273 post Christ. cap. 56. πᾶσαν, καὶ μέχρις Ἀγκύρας τῆς Γαλατίας. ἔπειτα, βασιλεύοντος Ἀυρηλιανοῦ, ἡττωμένη μάχαις ἑάλωκε ἐν τῇ φυγῇ, Ἀυρηλιανὸς δὲ κύριος γενόμενος τῆς Παλμύρας καὶ τοῦ κατὰ ταύτην πλούτου καὶ τῆς ἄλλης ἀποσκευῆς καὶ ἀναθημάτων κρατήσας, ἐπανελθὼν εἰς τὴν Ἔμισαν, εἰς κρίσιν ἤγαγε Ζηνοβίαν τε καὶ τοὺς ταύτῃ συναραμένους. ἐπεὶ δὲ αἰτίας ἔλεγεν, ἑαυτὴν ἐξαιροῦσα, πολλοὺς τε ἄλλους ἦγεν εἰς μέσον, ὡς παραγαγόντας οἷα γυναῖκα. ἐν οἷς καὶ Λογγῖνος ἦν, οὗ συγγράμματά ἐστι μέγα τῆς παιδείας μεταποιουμένοις ὄφελος φέροντα. ὧπερ ἐφ' οἷς κατηγορεῖτο ἐλεγχομένῳ, παραχρῆμα ὁ βασιλεὺς θανάτου ζημίαν ἐπέθηκεν. ἣν οὕτω γενναίως ἤνεγκεν ὁ Λογγῖνος, ὥστε καὶ τοὺς σχετλιάζοντας ἐπὶ τῷ πάθει παραμυθεῖσθαι, καὶ ἄλλων δὲ, Ζηνοβίας κατειπούσης, κολάσεσιν ὑπαχθέντων.

cap. 59. Ἀυρηλιανοῦ τοίνυν ἐπὶ τὴν Ἐυρώπην ἐλαύνοντος, καὶ συνεπαγόντος οἱ Ζηνοβίαν τε καὶ τὸν παῖδα τὸν ταύτης, καὶ πάντας ὅσοι τῆς ἐπαναστάσεως ἀυτοῖς ἐκοινώνησαν· ἀυτὴν μὲν Ζηνοβίαν φασὶν ἢ νόσῳ ληφθεῖσαν, ἢ τροφῆς μεταλαβεῖν οὐκ ἀνασχομένην, ἀποθανεῖν· τοὺς δὲ ἄλλους, πλὴν τοῦ Ζηνοβίας παιδὸς, ἐν μέσῳ τοῦ μεταξὺ Χαλκηδόνος καὶ Βυζαντίου πορθμοῦ καταποντωθῆναι.

337 post Chr. *Zonarae Annales.* XIII. cap. 5. Μετὰ ταῦτα ἐμφυλίοις μάχαις περιπληκόμενοι οἱ Πέρσαι ἐπὶ πολὺ οὐκ ἐστράτευσαν κατὰ τῶν Ῥωμαίων. Μετὰ δὲ τὴν τοῦ Κωνσταντίνου τελευτὴν καὶ τὸν τῆς ἀρχῆς μερισμὸν, ἐν ᾧ τῷ Κωνσταντίῳ λάχος ἐγένετο, ὅσα κατὰ τὴν ἐώαν μοῖραν ἦσαν Ῥωμαίοις ὑπήκοα, ὁ τῶν Περσῶν ἡγεμονεύων Σαπώρης, κατὰ τῶν ὑπὸ Ῥωμαίοις τελούντων ἐπιὼν καὶ ληϊζόμενος, οὐκ ἐπαύετο· τοῦ οὖν μερισμοῦ τῆς ἀρχῆς προβάντος, ὁ μὲν Κωνστάντιος εἰς τὴν ἐώαν ἐχώρησεν, ἐκστρατεύων κατὰ Σαπώρου, ὃς Ναρσοῦ μὲν ἦν υἱὸς, οὐ μέντοι ἐξ ἐπισήμου γυναικός. ἐκ γὰρ τῆς πρωτευούσης τῶν αὐτοῦ γυναικῶν τρεῖς ἐγένοντο τῷ Ναρσῇ παῖδες, Ἀδανάρσης, καὶ Ὁρμίσδας, καὶ τρίτος ἕτερος· τελευτήσαντος δὲ Ναρσοῦ, ὁ πρεσβύτερος τῶν τριῶν τούτων Ἀδανάρσης τῆς ἀρχῆς διάδοχος γέγονεν. Ὠμὸς δὲ λίαν τυγχάνων καὶ ἀπηνὴς, κἀντεῦθεν μισούμενος ὑπὸ τ

Π

Περσῶν, τῆς βασιλείας ἐκπέπτωκεν. Εἰρήσθω δέ τι καὶ τῆς ἐκείνου γνωμικῆς ὠμότητος γνώρισμα. σκηνή ποτε τῷ πατρὶ αὐτοῦ διεκομίσθη ἐκ Βαβυλῶνος, δέρμασιν ἐγχωρίοις ποικιλώτερον εἰργασμένη. Ταύτην οὖν ἐκταθεῖσαν ἄρτι θεώμενος ὁ Ναρσῆς, ἠρώτησε τὸν Ἀδανάρσην, παιδίον ἔτι τυγχάνοντα, εἰ ἀρέσκει αὐτῷ ἡ σκηνή; ὁ δὲ ἀπεκρίνατο, εἰ κρατήσει τῆς βασιλείας, κρείττω ταύτης ποιήσειν, ἐξ ἀνθρώπων δορᾶς. οὕτω νηπιόθεν ἐνέφαινε τὴν ὠμότητα. Τούτου τοίνυν οὕτω τῆς βασιλείας ἐκπεπτωκότος, Σαπώρης εἰς τὴν ἀρχὴν ἀντεισῆκτο. καὶ ὃς εὐθὺς τὸν μὲν ἕτερον τῶν ἀδελφῶν ἐξετύφλωσε· τὸν Ὁρμίσδαν δὲ δεσμήσας ἔμφρουρον εἶχεν. ἡ δέ γε μήτηρ ἐκείνου καὶ ἡ γυνὴ χρήματι δεξιωσάμεναι τοὺς φρουροὺς, εἰς ἐπίσκεψιν ἐκείνου παρεχωρήθησαν εἰσελθεῖν. καὶ εἰσελθοῦσαι ῥίνην αὐτῷ παρέσχον, ἵνα ταύτῃ τὰ σιδήρεα διακόψῃ δεσμὰ, ὑποθέμεναι καὶ ὅσα δέοι μετὰ ταῦτα ποιεῖν, ἵππους τε αὐτῷ καὶ τοὺς συναποδράσοντας ἑτοιμάσασαι. εἶτα τοῖς φρουροῖς ἡ ἐκείνου σύνευνος δεῖπνον παρέθετο δαψιλές· οἱ δὲ καὶ βρωμάτων ἐμφορηθέντες, καὶ τοῦ ἀκράτου σπάσαντες ἀκρατέστερον, ἐλήφθησαν ὕπνῳ βαρεῖ. ὁ δὲ Ὁρμίσδας κοιμωμένων ἐκείνων, καὶ τὰ δεσμὰ τῇ ῥίνῃ διέκοψε, καὶ τῆς φρουρᾶς ἐξελθὼν ᾤχετο, καὶ πρὸς τοὺς Ῥωμαίους ἀπέδρα, καὶ ὑπεδέχθη φιλοτιμότατα. Ὁ δὲ Σαπώρης ἐῴκει τῇ φυγῇ ἐκείνου ἐφήδεσθαι, οἷα τὸν ἐξ ἐκείνου ἀποσκευασάμενος φόβον, οὐ μόνον ἐκδοθῆναι οἱ τὸν φυγάδα οὐκ ἐξεζήτησεν, ἀλλὰ καὶ τὴν γυναῖκα αὐτοῦ ἐντίμως ἐξέπεμψεν. ἦν δὲ ὁ Ὁρμίσδας καὶ πολὺς τὴν ἰσχὺν, καὶ ἀκοντιστὴς περιδέξιος, ὡς ἐν τῷ κατά τινος τὸ ἀκόντιον λέγειν ὅπου βαλεῖ τὸν πολέμιον. οὗτος τοίνυν τῷ Κωνσταντίῳ κατὰ τῶν ὁμοφύλων συνεστρατεύετο, ἄρχειν ταχθεὶς ἱππέων ἴλης πολλῆς. ὁ βασιλεὺς δὲ Κωνστάντιος πολλάκις τοῖς Πέρσαις συμβαλὼν, τὴν ἥττονα μοῖραν εἶχε, καὶ πολλοὺς τῶν οἰκείων ἀπέβαλε. καὶ τῶν Περσῶν δὲ πλεῖστοι πεπτώκασι, καὶ αὐτὸς ὁ Σαπώρης ἐτέτρωτο.

Οὕτω μέντοι τῶν ἐπὶ Πέρσας πολέμων συνενεχθέντων, Μαγνέντιος, τυραννῆσαι ἐπιθυμῶν, ἀπέκτεινε τὸν Κώνσταντα, τῶν ὑπὲρ τὰς Ἄλπεις ἁπάντων καὶ τῆς Ἰταλίας καὶ Ἰλλυρίδος ἄρχοντα. Τῷ δὲ Κωνσταντίῳ τὸν θάνατον cap. 5. 359 post Christ.

U

νατον πυθομένῳ τȣ̃ ἀδελφȣ̃, ἐμερίζετο ἡ διάνοια ἐννοȣμένῳ πότερον ἂν προτιμήσαιτο, τὸ Πέρσαις ἀντικαθίςαθαι, χείρȣσι τὰ Ῥωμαίοις ὑπήκοα, ἢ τȣ́των, κατάγε τὸ παρὸν, ἀμελῆσαι, καὶ χωρῆσαι κατὰ τȣ̃ τυραννήσαντος, ἵνα καὶ τὸν τȣ̃ συγγόνȣ τίσηται φόνον, καὶ ἑαυτῷ προσποιήσηται τὰ ἑσπέρια.

cap. 7. Ταῦτα τȣ̃ Κωνςαντίȣ σκοπȣ̃ντος καὶ διαμέλλοντος, ὁ Σαπώρης ἐπεὶ κἀκείνῳ πρὸς γνῶσιν ἦλθε τὰ συμβεβηκότα περὶ τὸν Κώνςαντα, ἐπιτίθεται τῷ καιρῷ, καὶ σὺν βαρεῖ ςρατεύματι κατὰ τῶν ὑποκειμένων Ῥωμαίοις ἔπεισι χωρῶν τε καὶ πόλεων, καὶ πολλὴν μὲν ἐληΐσατο χώραν, ἀλλὰ μέν τοι καὶ φρȣ́ρια εἷλε, καὶ τέλος ἐπολιόρκει τὴν Νίσιβιν, ἣ πάλαι μὲν τῇ τῶν Ἀρμενίων διέφερε βασιλείᾳ, ἐπεὶ δὲ Μιθριδάτȣ, ὃς Τιγράνȣ τȣ̃ τῶν Ἀρμενίων τότε κρατȣ̃ντος ἦν γαμβρὸς, καὶ ἐξ ἐκείνȣ τὴν πόλιν εἰλήφει, ὑπὸ Ῥωμαίων ἑάλω πολιορκίᾳ. Ἐν ταύτῃ γȣ̃ν ὁ Σαπώρης ἐλθὼν, πᾶσαν ἐκίνησε μηχανὴν, ἵν᾽ αὐτῷ ἡ πόλις ἁλῷ, κριȣ́ς τε γὰρ προσῆγε τοῖς τείχεσι, καὶ διώρυχας ὑπογαίȣς πεποίητο, ἀλλὰ πρὸς πάντα γενναίως ἀντικαθήσαντο οἱ πολιορκȣ́μενοι, καὶ τὸν ποταμὸν δὲ, ὃς διὰ μέσης ἔῤῥει τῆς πόλεως, μετωχέτευσεν, ἵνα δίψει πιεζόμενοι οἱ τῆς πόλεως, προδῶεν αὐτῷ τὴν πόλιν. Τοῖς δὲ ἀφθονία ἦν ὑδάτων καὶ ἐκ φρεάτων καὶ ἐκ πηγῶν. Ὡς δ᾽ εἰς ȣ̓δὲν αὐτῷ κατήντων ἀνύσιμον αἱ ἐπίνοιαι, ἕτερόν τι αὐτῷ μεμηχάνητο. ἀναδραμὼν τὸν ποταμὸν, ὃς, ὡς εἴρηται, διὰ τῆς πόλεως ἔῤῥει, καὶ πρὸς φάραγγας γεγονὼς, ἔνθα ὁ χῶρος, δι᾽ ȣ̃ διῄει, ἐςένωτο, ἀπέφραξε τὸν τόπον, καὶ ἐπέσχε τὸ ῥεῦμα αὐτȣ̃. τȣ̃ δ᾽ ὕδατος πλημμυρήσαντος, ἀθρόον τὰ φραγνύντα τὴν τȣ̃ ὕδατος ἔξοδον ἐξελὼν, ἀφῆκε τὸ ῥεῦμα κατὰ τῆς πόλεως· τὸ δὲ πολύ τε σεσωρευμένον καὶ σὺν βίᾳ σφοδρᾷ τῷ τείχει προσπεσὸν, μέρος ἐκείνȣ κατέῤῥαξεν. ȣ̓κ εὐθὺς δὲ ὁ βάρβαρος εἰσέδυ τὴν πόλιν, ἀλλ᾽ ὡς ἤδη ἁλωθείσης αὐτῆς (ἤδη καὶ πρὸς ἑσπέραν ἦν ὁ καιρὸς) εἰσαύριον παραλήψεσθαι τὴν πόλιν, μή τινος ἀντιβαίνοντος, ὑπερέθετο. οἱ δ᾽ ἐν τῇ πόλει, πρὸς μὲν τὸ ῥῆγμα τȣ̃ τείχȣς ἐθορυβήθησαν. ὡς δ᾽ εἶδον τȣ̀ς Πέρσας ὑπερθεμένȣς τὴν εἴσοδον, ἄϋπνοι τὴν νύκτα διατελέσαντες, πολυχειρίᾳ τὸν τόπον ὠχύρωσαν

τεί-

τεῖχος ἐντὸς ἀνεγείραντες ἕτερον. ὅπερ ἔξωθεν ὁ Σαπώρης ἰδὼν, ἀμελείᾳ οἰκείᾳ τὸ ἀτύχημα ἐπεγράφετο. ἀλλ' ἐδ' ἔτω τῆς πολιορκίας ἀφίςατο. πολλὰ δὲ καὶ ἕτερα κατὰ τῆς πόλεως ἐπινοησάμενος, καὶ πλείςες τῶν οἰκείων ἀποβαλὼν (ὑπὲρ γὰρ τὰς εἴκοσι χιλιάδας κινδυνεῦσαι λέγεται τὲ Περσικὲ ςρατεύματος πολιορκεμένης Νισίβεως) μετ' αἰσχύνης ἀνεχώρησεν. ἤδη γὰρ καὶ Μασαγέται τῇ Περσίδι ἐπῆλθοσαν, καὶ αὐτῇ ἐλυμαίνοντο. Κωνςάντιος δὲ ὁ βασιλεὺς τὴν μὲν Νίσιβιν κατωχύρωσε, καὶ τὲς πολίτας αὐτῆς ἀνεκτήσατο. αὐτὸς δὲ ἀνακωχῆς ἤδη τῇ ἑώᾳ γενομένης ἐκ τῶν Περσῶν, πρὸς τὰ ἑσπέρια ὥρμησε. καί οἱ ἀγγέλλεται Βετρανίων κοινοπραγήσας τῷ Μαγνεντίῳ.

Τῷ μέντοι Κωνςαντίῳ, μετὰ Μαγνεντίε ὄλεθρον, ἀναζευγνύντι ἀπό τῶν Ἑσπερίων, καὶ ἐπανιόντι πρὸς τὸ Βυζάντιον, ἐκ τῶν Περσῶν πρέσβεις περὶ τὸ Σίρμιον συνηντήκασιν, ἐςαλμένοι παρὰ Σαπώρε, ἀπαιτὲντος ἀποδοθῆναι Πέρσαις τὴν Μεσοποταμίαν καὶ Ἀρμενίαν, ἵν' ἔτω παύσαιντο Ῥωμαίοις μαχόμενοι. ταύτας γὰρ τὰς χώρας ἀνέκαθεν ἐκ προγόνων αὐτοῖς διαφέρειν. εἰ δ' ἐ πείθοιτο, δηλὲντος τῷ Αὐτοκράτορι, ὑπὸ τῷ Ἄρει δικαςῇ ποιήσασθαι τὴν τῆς ὑποθέσεως ζήτησιν. Πρὸς ταῦτα ἀνταπέςειλεν αὐτῷ ὁ Κωνςάντιος, θαυμάζειν εἰ ἐπελάθετο, ὅτι Πέρσαι Μακεδόσιν ἐδέλευσαν, καὶ ὅτι Μακεδόνων Ῥωμαίοις ὑποταγέντων, καὶ οἱ ἐκείνοις δελεύοντες, ὑπήκοοι Ῥωμαίοις ἐγένοντο. Τέτοις ὁ Σαπώρης παροξυνθεὶς, πρὸς πόλεμον ἀπεῖδε. καὶ αὖθις εἰς πολιορκίαν κατέςη Νισίβεως. Ὡς δ' ἐδὲν ἐπέραινε κατ' αὐτῆς, ἀπέςη, καὶ ἑτέρων ἀπεπειρᾶτο. ὡς δὲ κἀκείνων ἀπεκρέσθη, εἰς Ἄμιδαν κατηντήκει, καὶ ταύτης ἐκράτησε. cap. 9.

Οὗτος ὁ πόλεμος, εἰς τὴν τὲ Ἰελιανὲ ἀρχὴν ἐκτεινόμενος, ὀλέθριος ἐγίνετο τέτῳ τῷ Καίσαρι. Ἀφ' ἐ γὰρ εἰς τὴν ἀρχὴν παρῆλθε, πάντα χρόνον διέτριβεν ἐν τῇ Ἀσίᾳ κατὰ Περσῶν μαχόμενος. Ἀναμεμιγμένος δὲ ποτὲ τῷ πλήθει, πλήττεται ξίφει παρ' αὐτὴν τῆς μάχης τὴν ἀκμήν. καὶ ἐπιτεθεὶς ἀσπίδι, Φοράδην ἐπὶ τὴν σκηνὴν ἄγεται, μέχρι γε νυκτὸς μέσης ἀρκέσας, ἀπέθανεν, ἐ πόρρω τὴν Περσῶν ἡγεμονίαν ἀπωλείας καταςήσας ἐσχάτης.

361 post Ch.

363 *Zosimus* post Christ. III. 29.

III. 31. Μετὰ τὴν Ἰουλιανοῦ τελευτὴν περὶ φιλίας ὅμως ἐποιοῦντο λόγους οἱ Πέρσαι, Σουρήναν τε, καὶ ἄλλους τῶν ἐν δυνάμει παρ' αὐτοῖς ὄντων, ἐκπέμψαντες. Ἰοβιανοῦ δὲ τοὺς περὶ τῆς εἰρήνης προσδεξαμένου λόγους, στείλαντός τε Σαλούστιον τὸν τῆς αὐλῆς ὕπαρχον, καὶ Ἀρινθαῖον σὺν τούτῳ, λόγων περὶ τούτου γενομένων αὐτοῖς πρὸς ἀλλήλους, ἐγίνοντο μὲν τριακοντούτεις σπονδαί· συνεδόκει δὲ, Ῥωμαίους τοῦ τε Βαβδικηνῶν ἔθνους ἐκστῆναι τοῖς Πέρσαις, ἔτι δὲ Καρδουήνων καὶ Ῥημήνων καὶ Ζαληνῶν τε πρὸς τούτοις, καὶ ἐπὶ πᾶσι περὶ αὐτὰ φρουρίων, ὄντων τὸν ἀριθμὸν πεντεκαίδεκα, μετὰ τῶν οἰκητόρων, καὶ κτημάτων, καὶ ζώων, καὶ πάσης ἀποσκευῆς. Νίσιβιν δὲ παραδοῦναι δίχα τῶν ἐνοικούντων· ἐδόκει γὰρ τούτους, ἔνθα ἂν δόξειε Ῥωμαίοις μετοικισθῆναι. προσαφείλοντο δὲ καὶ Ἀρμενίας τὸ πολὺ μέρος οἱ Πέρσαι, βραχύ τι ταύτης Ῥωμαίοις ἔχειν ἐνδόντες. ἐπὶ τούτοις αἱ σπονδαὶ γεγονυῖαι, καὶ γραμματίοις ἑκατέρωθεν ἐπισφραγισθεῖσαι, δεδώκασι Ῥωμαίοις εὐρυχωρίαν τῆς οἴκαδε ἐπανόδου, κατὰ μηδὲν τὰ Περσῶν διαφθείρουσιν ὅρια, μήτε αὐτοῖς ὑπὸ Περσικῆς ἐπιβουλευομένοις ἐνέδρας.

cap. 32. Μόνη οὖν ἡ Ἰουλιανοῦ τοῦ αὐτοκράτορος τελευτὴ τὴν τούτων ἀπώλειαν ἤρκεσεν, ὥστε ἄχρι τοῦδε μηδὲν δυνηθῆναι τούτων τοὺς Ῥωμαίων βασιλέας ἀναλαβεῖν, ἀλλὰ καὶ προσαπολέσαι κατὰ βραχὺ τὰ πλείονα τῶν ἐθνῶν, τὰ μὲν αὐτόνομα γεγονότα, τὰ δὲ βαρβάροις ἐκδεδομένα, τὰ δὲ εἰς ἐρημίαν πολλὴν περιστάντα.

cap. 33. Τῆς δὲ πρὸς Πέρσας γενομένης εἰρήνης, ὃν διεξήλθομεν τρόπον, Ἰοβιανὸς ὁ βασιλεὺς μετὰ ἀδείας ἐπανῄει ἅμα τῷ στρατοπέδῳ, καὶ πολλαῖς περιπεσὼν δυσχωρίαις τόποις ἀνύδροις, πολλούς τε τῆς στρατιᾶς ἀποβαλὼν ἐν τῇ διὰ τῆς πολεμίας παρόδῳ, Μαυρίκιον μὲν, τῶν λοχαγῶν ἕνα, τροφὴν ἐκ Νισίβιος ἀγαγεῖν ἐκέλευε τῷ στρατοπέδῳ, ἀπαντῆσαι δὲ μετὰ ταύτης, ὡς ἂν οἷός τε ᾖ, πόρρωτάτω· κατὰ δὲ τὴν Ἰταλίαν ἄλλους ἐξέπεμπε, τὴν Ἰουλιανοῦ τελευτὴν καὶ τὴν ἀνάῤῥησιν τὴν οἰκείαν ἀπαγγελοῦντας. ... λις δὲ σὺν πολλῇ κακοπαθείᾳ τῇ Νισίβει πλησιάσας, ... στῆναι μὲν οὐκ ἤθελε τῇ πόλει, τοῖς πολεμίοις ἐκδεδο... καταλύσας δὲ ἔν τινι πρὸ τῆς πύλης ὑπαίθρῳ, τῇ

[redacted]

ραίᾳ ςεφάνες ἅμα καὶ ἱκεσίας ἐδέχετο, πάντων ὅσοι κατὰ τὴν πόλιν ἦσαν, ἐκλιπαρέντων μὴ προέσθαι σφᾶς, μηδὲ εἰς πεῖραν καταςῆσαι βαρβάρων ἠθῶν, τοσαύτη ἐτῶν ἑκατοντὰς, τοῖς Ῥωμαίων νόμοις ἐντεθραμμένες. αἰσχρὸν δὲ καὶ ἄλλως εἶναι, Κωνςάντιον μὲν, τρεῖς Περσικὲς πολέμες ἀναδεξάμενον, καὶ ἐν πᾶσιν ἐλαττωθέντα, Νισιβίοις ἀντιλαβέσθαι, καὶ πολιορκεμένην αὐτὴν, καὶ εἰς ἔσχατον ἐλθῦσαν κινδύνε, διὰ πάσης περισῶσαι σπεδῆς· αὐτὸν δὲ, μηδεμιᾶς τοιαύτης ἐπικειμένης ἀνάγκης, τοῖς πολεμίοις τὴν πόλιν ἐκδῦναι, καὶ δεῖξαι Ῥωμαίοις ἡμέραν, ἣν ὕπω τεθέανται, περιϊδεῖν ἀναγκαζομένοις πόλιν τοσαύτην καὶ χώραν πολεμίοις ἐκδεδομένην. ἐπεὶ δὲ τέτων ὁ βασιλεὺς ἀκέων, τὰ συντεθειμένα προΐσχετο, Σαβῖνος τῦ βελευτικῦ προεςὼς καταλόγε, προσετίθει τοῖς παρὰ τῦ πλήθες εἰς ἱκεσίαν προσενεχθεῖσιν, ὡς ὔτε δαπάνης εἰς τὴν πρὸς Πέρσας δεήσονται μάχην, ὔτε ἐπικερίας ἐπεισάκτε· δυνήσονται δὲ αὐτοὶ σώμασιν οἰκείοις καὶ δαπανήμασι, τὸν ἐπαχθησόμενον αὐτοῖς ἀποκρέσαθαι πόλεμον. κρατήσαντές γε, ἔσονται πάλιν ὑπήκοοι Ῥωμαίοις, τὰ προσταττόμενα πληρῦντες ὃν τρόπον καὶ πρότερον. τῦ δὲ εἰπόντος, ὐδὲν οἷόν τε τῶν συντεθειμένων παραβαθῆναι, πολλάκις οἱ ἀπὸ τῆς πόλεως ἐδεήθησαν ἱκετεύοντες μὴ ςερηθῆναι τὴν Ῥωμαίων ἀρχὴν τῦ προτειχίσματος.

Ἐπεὶ δὲ ἤνυον πλέον ὐδὲν, ἀναχωρήσαντος σὺν ὀργῇ τῦ βασιλέως, καὶ Περσῶν παραλαβεῖν κατὰ τὰς σπονδὰς ἐθελόντων τά τε ἔθνη καὶ τὰ Φρέρια καὶ τὴν πόλιν, οἱ μὲν τῶν ἐθνῶν καὶ τῶν Φρερίων οἰκήτορες, εἰ μὴ λάθρα Φυγεῖν ἠδυνήθησαν, ἐνέδοσαν τοῖς Πέρσαις πράττειν εἰς αὐτὲς, ὅ, γι βέλοιντο. Νισιβινοὶ δὲ, ἀνακωχῆς εἰς τὸ μεταςῆναι τυχόντες, οἱ μὲν πολλοὶ, καὶ σχεδὸν ἅπαντες, εἰς τὴν Ἀμίδαν ἀπανέστησαν· ὀλίγοι δὲ ἑτέρας κατῴκησαν πόλεις. πάντα δὲ ἦν οἰμωγῆς καὶ θρήνων μεςά· πόλεως ἑκάςης ἐκκεῖσθαι ταῖς Περσῶν ἐφόδοις, Νισίβιος δοθείσης αὐτοῖς, οἰομένων. Καῤῥηνοῖς δὲ τοσῦτον ἐγένετο πένθος τῆς Ἰελιανῦ τελευτῆς μηνυθείσης, ὥςε τὸν ἀπαγγείλαντα καταλεῦσαι, σωρόν γε λίθων μέγιςον ἐπ' αὐτῷ ἀνεγεῖραι. τοσαύτην ἴσχυσεν ἀνδρὸς ἑνὸς τελευτὴ τοῖς κοινοῖς πράγμασιν ἐμποιῆσαι μεταβολήν. Ἰοβινιανῦ δὲ σπεδῆ cap. 34.

δῆ

δῆ τὰς πόλεις διαδραμόντος, ὅια δὴ πένθει καὶ συγνόπ-
τι τῶν πόλεων ἐχομένων, καὶ ἱλαρὸν ȣδὲν ἢ χάριεν ἐν-
δείξαθαι (καθάπερ ἦν ἔθος τοῖς αὐτόθι δήμοις) ὑφισαμέ-
νων, παρεγένοντο μὲν τῶν ϛρατιωτῶν, ὅσοι τὴν δορυφο-
ρίαν ἔιχον, ἐις τὴν 'Αντιόχειαν ἅμα τῷ βασιλεῖ· ἔιπετ-
δὲ καὶ ὁ ϛρατὸς ἅπας τῷ 'Ιȣλιανȣ̃ σώματι. καὶ τȣ̃το μὲν
ἐις Κιλικίαν ἀπενεχθὲν ἔν τινι Ταρσȣ̃ προαϛείῳ βασιλικῇ
ταφῇ παρεδίδοτο, καὶ ἐπίγραμμα προσεγράφετο τῷ τα-
φῳ τοιόνδε·

'Ιȣλιανὸς μετὰ Τίγριν ἀγάῤῥοον ἐνθάδε κεῖται,
'Αμφότερον βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.

Zosimus. IV. 4.
'Οι δὲ Πέρσαι, τῇ διὰ τῶν ἐπὶ 'Ιοβιανȣ̃ σπονδῶν
ἐπαρθέντες πλεονεξίᾳ, καὶ τὰς ἐφόδȣς ἐπ' ἀδείας ποιȣ́-
μενοι, Νισίβιος ὑπ' αὐτοῖς γενομένης, μετ' ȣ πολὺ ἕλ-
κον πρὸς ἑαυτȣ̀ς 'Ουάλεντα τὸν βασιλέα, τὰς τῆς ἑώας
372 post Christ. cap. 13.
συνταράσσοντες πόλεις. καὶ πρῶτον μὲν τῇ κατὰ Προ-
κόπιον ἐπαναϛάσει ἀνεκόπτετο τῆς ἐπὶ Πέρσας ἐλάσεως·
ὕϛερον δὲ, ἐφ' ὅπερ ἐξ ἀρχῆς ὥρμητο, κατὰ Περσῶν ἐπὶ
τὴν ἑώαν ἐϛέλλετο· προϊὼν γε σχολαίως, ἐβοήθει τὰ δέον-
τα πρεσβευομέναις ταῖς πόλεσι· καὶ ἄλλα πολλὰ κατὰ
τὸ προσῆκον ᾠκονόμει, τοῖς δίκαια αἰτȣ̃σι ῥᾳδίως φιλοτι-
μȣ́μενος τὰ αἰτȣ́μενα. παρελθὼν δὲ ἐις 'Αντιόχειαν με-
τὰ πάσης ἀσφαλείας τὰ τȣ̃ πολέμȣ διῴκει, τὸν μὲν χει-
μῶνα διατρίβων ἐν τοῖς αὐτόθι βασιλείοις, ἦρος δὲ ἐπὶ
τὴν 'Ιερὰν πόλιν ἀπιὼν, κἀκεῖθεν τὰ ϛρατόπεδα τοῖς Πέρ-
σαις ἐπάγων, καὶ αὖθις ἐνιϛαμένȣ τȣ̃ χειμῶνος ἐπανιὼν
ἐις τὴν 'Αντιόχειαν. 'Η μὲν ȣ̃ν πρὸς Πέρσας ȣ̈τως ἐπρυ-
βετο μάχη.

Procopius de bello Persico. Lib. I. c. 2. 408 post Chr.
Μετὰ ταῦτα ἦν ἐιρήνη ἀναμεταξὺ 'Ρωμαίων καὶ Περ-
σῶν. 'Ηνίκα ȣ̃ν τὸν βίον 'Αρκάδιος ὁ 'Ρωμαίων βασιλεὺς
ἐν Βυζαντίῳ τελευτᾷν ἤμελλεν (ἦν γάρ ὁι παῖς Θεοδόσιος,
ȣ̈πω τȣ̃ τιτθȣ̃ ἀπαλλαγεὶς) τὰ ἐκ Μήδȣ αὐτὸν ξυνετάραξ-
σε, δεδιότα μὴ ὁι βάρβαροι ȣ̃τοι τῆς τȣ̃ αὐτοκράτορος κα-
ταθέοντες ἡλικίας ἀνήκεϛα ἔργα 'Ρωμαίοις δράσωσιν. ἐ[s]
ταύτην 'Αρκάδιος τὴν ἀμηχανίαν ἐμπεπτωκὼς, καίπερ
γεγονὼς ἐς τἆλλα ἀγχίνȣς, βȣλεύεται βȣλῆ, ἥτις ὁι τό
τε παῖδα καὶ τὴν ἀρχὴν διασώσαθαι εὐπετῶς ἴσχυσε,
ἔιτε κοινολογησάμενος τῶν λογίων τισὶν, ὅιοι πολλοὶ βασ-
λ

λεῖ παρεδρεύειν εἰώθασιν· ἢ θείας τινὸς ἐπιπνοίας αὐτῷ γενομένης. διαθήκης γὰρ διαθεὶς γράμματα, διάδοχον μὲν τῆς ἡγεμονίας ἀνεῖπε τὸν παῖδα, ἐπίτροπον δὲ αὐτῷ κατεστήσατο Ἰσδιγέρδην τῶν Περσῶν βασιλέα. ᾧ δὴ πολλὰ ἐν ταῖς διαθήκαις ἐπέσκηψε, Θεοδοσίῳ τὴν βασιλείαν σθένει γε καὶ προνοίᾳ πάσῃ συνδιασώσασθαι. Ἀρκάδιος μὲν ὧδε τήν τε ἀρχὴν καὶ τὰ οἰκεῖα διοικησάμενος, ἐτελεύτησεν. Ἰσδιγέρδης δὲ ὁ Περσῶν βασιλεὺς, ἐπεὶ τὸ γράμμα τοῦτο ἀπενεχθὲν εἶδεν, ὢν καὶ πρότερον ἐπὶ τρόπου μεγαλοφροσύνῃ διαβόητος, ἐς τὰ μάλιστα ἀρετὴν ἐπεδείξατο θαύματός τε πολλοῦ καὶ λόγου ἀξίαν. τὰς γὰρ Ἀρκαδίου ἐντολὰς ἐν ἀλογίᾳ οὐδεμιᾷ ποιησάμενος, εἰρήνῃ τε ἀφθόνῳ χρώμενος διαγέγονεν ἐς Ῥωμαίους τὸν πάντα χρόνον, καὶ Θεοδοσίῳ τὴν ἀρχὴν διεσώσατο. αὐτίκα γοῦν πρὸς Ῥωμαίων τὴν βουλὴν γράμματα ἔγραψεν, ἐπίτροπός τε οὐκ ἀπαρνούμενος Θεοδοσίου βασιλέως εἶναι, καὶ πόλεμον ἐπανατεινάμενος, ἤν τις αὐτῷ ἐς ἐπιβουλὴν ἐγχειροίη καθίσασθαι. Ἐπεὶ δὲ Θεοδόσιος μὲν ἀνήρ γε ἐγεγόνει, καὶ ἡλικίας πόῤῥω ἀφῖκτο· Ἰσδιγέρδης δὲ νοσήσας ἐξ ἀνθρώπων ἠφάνιστο· ἐπῆλθεν μὲν ἐς Ῥωμαίων τὴν γῆν Οὐαραράνης ὁ Περσῶν βασιλεὺς στρατῷ μεγάλῳ, ἔδρασε δὲ οὐδὲν ἄχαρι· ἀλλ' ἄπρακτος ἐπανῆλθεν εἰς τὰ οἰκεῖα, τρόπῳ τοιῷδε. Ἀνατόλιον τὸν τῆς ἕω στρατηγὸν Θεοδόσιος ὁ βασιλεὺς πρεσβευτὴν ἐς Πέρσας μόνον αὐτὸν ἐτύγχανε πέμψας. ὃς ἐπὶ ἄγχιστα ἐγεγόνει τοῦ Μήδων στρατοῦ ἀποθρώσκει μὲν τοῦ ἵππου μόνος, πεζῇ δὲ βαδίζων, ἐπὶ Οὐαραράνην ᾔει. καὶ αὐτὸν Οὐαραράνης ἰδὼν, τῶν παρόντων ἀνεπυνθάνετο, ὅς τίς ποτε ὁ προσιὼν εἴη· οἱ δὲ, τῶν Ῥωμαίων εἶναι στρατηγὸν, ἔφασαν. καταπλαγεὶς οὖν τῷ ὑπερβάλλοντι τῆς τιμῆς ὁ βασιλεὺς, οὕτω στρέψας τὸν ἵππον ὀπίσω ἀπήλαυνε. καί οἱ ἅπας ὁ τῶν Περσῶν λεὼς εἵπετο. γενόμενος δὲ ἐν τῇ οἰκείᾳ γῇ, τόν τε πρεσβευτὴν ξὺν φιλοφροσύνῃ πολλῇ εἶδε, καὶ τὴν εἰρήνην ξυνεχώρησεν οὕτως, ὥσπερ Ἀνατόλιος πρὸς αὐτοῦ ἔχρῃζεν· ἐφ' ᾧ μέντοι μηδέτεροι ἐν χωρίῳ οἰκείῳ ἐν γειτόνων ταῖς τῶν ἑτέρων ὁρίοις ὄντι ὀχύρωμα νεώτερόν τι ἐργάζονται. οὗ δὴ αὐτοῖς ἐξειργασμένου, ἑκάτεροι τὰ οἰκεῖα ὅπη ἐβούλοντο ἔπρασσον.

Χρόνῳ

cap. 3. Χρόνῳ δὲ ὕστερον Περόζης, ὁ Περσῶν βασιλεὺς, πρὸς τὸ Οὔννων τῶν Ἐφθαλιτῶν ἔθνος, οὕσπερ λευκοὺς ὀνομάζουσι, πόλεμον περὶ γῆς ὁρίων διέφερε· λόγου δὲ ἄξιον στρατὸν ἀγείρας ἐπ' αὐτοὺς ᾔει. Ἐφθαλῖται δὲ Οὐννικὸν μὲν ἔθνος εἰσί τε καὶ ὀνομάζονται· οὐ μέντοι ἀναμίγνυνται ἢ ἐπιχωριάζουσιν Οὔννων τισὶν, ὧν ἡμεῖς ἴσμεν. ἐπεὶ οὐδὲ χώραν αὐτῶν ὅμορον ἔχουσιν, οὐδέ πῃ αὐτῶν ἄγχιστα ᾤκηνται. ἀλλὰ προσοικοῦσι μὲν Πέρσαις, πρὸς βορρᾶν ἄνεμον, οὗ δὴ πόλις Γοργὼ ὄνομα πρὸς αὐταῖς που ταῖς Περσῶν ἐσχατιαῖς ἐστιν· ἐνταῦθα δὲ περὶ γῆς ὁρίων διαμάχεσθαι πρὸς ἀλλήλους εἰώθασιν. οὐ γὰρ νομάδες εἰσὶν, ὥσπερ τὰ ἄλλα Οὐννικὰ ἔθνη, ἀλλ' ἐπὶ χώρας ἀγαθῆς τινος ἐκ παλαιοῦ ἵδρυνται. ταῦτά τοι οὐδὲ τινα ἐσβολὴν πεποίηνται πώποτε ἐς Ῥωμαίων τὴν γῆν, ὅτι μὴ ξὺν τῷ Μήδων στρατῷ. μόνοι δὲ Οὔννων οὗτοι λευκοί τε τὰ σώματα, καὶ οὐκ ἄμορφοι τὰς ὄψεις εἰσίν. οὐ μὴν οὐδὲ τὴν δίαιταν ὁμοιότροπον αὐτοῖς ἔχουσιν, οὐδὲ θηρίων βίον τινὰ ἧπερ ἐκεῖνοι ζῶσιν· ἀλλὰ καὶ πρὸς βασιλέως ἑνὸς ἄρχονται, καὶ πολιτείαν ἔννομον ἔχοντες, πρὸς ἀλλήλους τε καὶ τοὺς πέλας ὀρθῶς καὶ δικαίως ξυμβάλλουσι Ῥωμαίων τε καὶ πάντων οὐδέν τι ἧσσον. οἱ μέντοι εὐδαίμονες αὐτοῖς φίλους ἑταιρίζονται, ἄχρι ἐς εἴκοσιν, ἂν οὕτω τύχοι, ἢ τούτων πλείους· οἵπερ αὐτοῖς ξυμπόται μὲν ἐσαεὶ γίνονται· τῶν δὲ χρημάτων μετέχουσι πάντων, κοινῆς τινος ἐξουσίας αὐτοῖς ἐς ταῦτα ἐσο- ἐπειδὰν δὲ τῷ αὐτοὺς ἑταιρισαμένῳ τελευτῆσαι ξυμβαί- τούτους δὴ τοὺς ἄνδρας ζῶντας ξὺν αὐτῷ ἐς τὸν τάφον ἐσκομίζεσθαι νόμος. Ἐπὶ τούτους τοὺς Ἐφθαλίτας τῷ Περόζῃ πορευομένῳ ξυμπαρῆν πρεσβευτὴς, ὃς δὴ ἔτυχε πρὸς βασιλέως Ζήνωνος παρ' αὐτὸν ἐσταλμένος, Εὐσέβιος ὄνομα. Ἐφθαλῖται δὲ δόκησιν παρεχόμενοι τοῖς πολεμίοις, ὅτι δὴ αὐτῶν καταῤῥωδηκότες τὴν ἔφοδον, ἐς φυγὴν ὥρμηνται, ᾔεσαν δρόμῳ ἐς χῶρόν τινα, ὅνπερ ὄρη ἀπότομα πανταχόθεν ἐκύκλουν, συχνοῖς τε καὶ ἀμφιλαφέσιν ἐστεγαν καλυπτόμενα δένδροις. ἐντὸς δὲ τῶν ὀρῶν προϊόντ- ὡς ποῤῥωτάτω, ὁδὸς μέν τις ἐφαίνετο ἐν μέσῳ εὐρεῖ- ἐπὶ πλεῖστον διήκουσα. ἔξοδον δὲ τελευτῶσα οὐδαμῆ εἶχεν ἀλλ' ἐς αὐτὸν μάλιστα τὸν κύκλον τῶν ὀρῶν ἔληγε. Πε-

ρόζ

ῥόζης μὲν οὖν, ὅλως παντὸς ἀφροντιστήσας, οὐκ ἐννοῶν τε ὡς ἐν γῇ ἀλλοτρίᾳ πορεύοιτο, ἀνεπισκέπτως ἐδίωκε. τῶν δὲ Οὔννων ὀλίγοι μέν τινες ἔμπροσθεν ἔφευγον, οἱ δὲ πλεῖστοι ἐν ταῖς δυσχωρίαις διαλαθόντες, κατὰ νώτου ἐγένοντο τοῦ τῶν πολεμίων στρατοῦ. οὔπω τε αὐτοῖς ἐβούλοντο ἔνδηλοι εἶναι, ὅπως δὴ τῆς ἐνέδρας πόῤῥω χωρήσαντες, ἐντός τε τῶν ὀρῶν ἐπιπλεῖστον γεγενημένοι, μηκέτι ὀπίσω ἀναστρέφειν οἷοί τε ὦσιν. ὧνπερ οἱ Μῆδοι αἰσθόμενοι ἤδη γὰρ καί τι τοῦ κινδύνου ὑπέφηνεν. αὐτοὶ μὲν δέει τῷ ἐκ Περόζου τὰ παρόντα σφίσιν ἐν σιωπῇ εἶχον· Εὐσέβιον δὲ πολλὰ ἐλιπάρουν, παραίνεσιν ἐς τὸν βασιλέα ποιήσασθαι, μακρὰν ἀπολελειμμένον τῶν οἰκείων κακῶν, βουλεύεσθαι μᾶλλον ἢ θρασύνεσθαι οὐκ ἐν δέοντι, καὶ διαδιασκοπεῖσθαι, ἥν τις ποτε μηχανὴ εἰς σωτηρίαν φέρουσα εἴη. ὁ δὲ Περόζῃ εἰς ὄψιν ἐλθὼν, τύχην μὲν τὴν παροῦσαν ὡς ἥκιστα ἀπεκάλυψεν· ἀρξάμενος δὲ μυθολογίας, λέοντά ποτε τράγῳ ἔφασκεν ἐντυχεῖν δεδεμένῳ τε καὶ μηκωμένῳ ἐπὶ χώρου τινὸς οὐ λίαν ὑψηλοῦ. ἐπὶ θοίνην δὲ αὐτοῦ τὸν λέοντα ἐφιέμενον, ὁρμῆσαι μὲν ὡς ἁρπάσοντα, ἐμπεσεῖν δὲ ἐς κατώρυχα βαθεῖαν μάλιστα, ὁδὸν κυκλοτερῆ ἔχουσαν, στενὴν δὲ καὶ οὐ πεπερασμένην· διέξοδον γὰρ οὐδαμῇ εἶχεν. ἣν δὴ οἱ τοῦ τράγου κύριοι ἐξεπίτηδες τεχνησάμενοι ὕπερθεν τῆς κατώρυχος τὸν τράγον τεθείκασι τῷ λέοντι ποδοστράβην ἐσόμενον. ταῦτα Περόζης ἀκούσας, ἐς δέος ἦλθε, μήποτε Μῆδοι ἐπὶ τῷ πονηρῷ τῷ σφετέρῳ τὴν δίωξιν ἐπὶ τοὺς πολεμίους πεποίηνται. καὶ πρόσω μὲν οὐκέτι ἐχώρει. μένων δὲ αὐτοῦ, τὰ παρόντα ἐν βουλῇ ἐποιεῖτο. Οὖννοι δὲ ἤδη ἑπόμενοι, ἐκ τοῦ ἐμφανοῦς τοῦ χώρου, τὴν εἴσοδον ἐν φυλακῇ εἶχον, ὅπως μηκέτι οἱ πολέμιοι ὀπίσω ἀπελαύνειν οἷοί τε ὦσι. καὶ οἱ Πέρσαι τότε δὴ λαμπρῶς αἰσθόμενοι οὗ ἦσαν κακοῦ, ἐν συμφορᾷ ἐποιοῦντο τὰ παρόντα σφίσι, διαφεύξασθαι τὸν κίνδυνον, ἐν ἐλπίδι οὐδεμιᾷ τὸ λοιπὸν ἔχοντες. ὁ δὲ τῶν Ἐφθαλιτῶν βασιλεὺς πέμψας παρὰ Περόζην τῶν οἱ ἑπομένων τινὰς, πολλὰ μὲν αὐτῷ περὶ θράσους ἀλογίστου ὠνείδισεν, ἀφ' οὗ δὴ αὐτόν τε καὶ τῶν Περσῶν γένος κόσμῳ οὐδενὶ διαφθείρειεν· ἐνδώσειν δὲ καὶ ὡς τὴν σωτηρίαν Οὔννους αὐτοῖς ἐπηγγέλλετο, ἤνγε αὐτόν τε Περόζης προσκυνεῖν

κυνεῖν βούλοιτο ἅτε δεσπότην γεγενημένον, καὶ ὅρκους τοὺς σφίσι πατρίους ὀμνὺς τὰ πιστὰ δοίη, μήποτε Πέρσας ἐπὶ τὸ Ἐφθαλιτῶν ἔθνος στρατεύσεσθαι. ταῦτα ἐπεὶ Περόζης ἤκουσε, μάγων τοῖς παροῦσι κοινολογησάμενος, ἀνεπυνθάνετο εἰ τὰ ἐπαγγελλόμενα πρὸς τῶν ἐναντίων ποιητέα εἴη; οἱ δὲ μάγοι ἀπεκρίναντο, τὰ μὲν ἀμφὶ τῷ ὅρκῳ, ὅπῃ οἱ βουλομένῳ ἐστὶν, αὐτὸν διοικήσασθαι· ἐς μέν τοι τὸ ἕτερον, σοφίᾳ περιελθεῖν τὸν πολέμιον. εἶναι γὰρ αὐτοῖς νόμον, τὰς τοῦ ἡλίου ἀνατολὰς προσκυνεῖν ἡμέρᾳ ἑκάστῃ. δεήσει οὖν αὐτὸν τηρήσαντα ἐς τὸ ἀκριβὲς, τὸν καιρὸν ξυγγενέσθαι μὲν ἅμα ἡμέρᾳ τῷ τῶν Ἐφθαλιτῶν ἄρχοντι, τετραμμένον δέ πῃ πρὸς ἀνίσχοντα ἥλιον προσκυνεῖν· ταύτῃ γὰρ ἂν ἐς τὸ ἔπειτα τῆς πράξεως τὴν ἀτιμίαν φυγεῖν δύναιτο. Περόζης μὲν οὖν ἀμφί τε τῇ εἰρήνῃ τὰ πιστὰ ἔδωκε, καὶ τὸν πολέμιον προσεκύνησε, καθάπερ τῶν Μάγων ἡ ὑποθήκη παρήγγελεν· ἀκραιφνεῖ δὲ τῷ Μήδων στρατῷ παντὶ, ἐπ' οἴκου ἀσμένως ἀνεχώρησε.

cap. 4. Χρόνοις δὲ οὐ πολλῷ ὕστερον ἀλογίσας τὰ ὀμωμοσμένα, τίσασθαι Οὔννους τῆς ἐς αὐτὸν ὕβρεως ἤθελε. πάντας οὖν αὐτίκα ἐκ πάσης γῆς Πέρσας τε καὶ ξυμμάχους ἀγείρας, ἐπὶ τοὺς Ἐφθαλίτας ἦγε, τῶν παίδων ἕνα μὲν Καβάδην ὀνομαζόμενον ἀπολιπών· τηνικαῦτα γὰρ ἡβηκὼς ἔτυχε· τοὺς δὲ λοιποὺς ἅπαντας ἐπαγόμενος τριάκοντα μάλιστα. Ἐφθαλῖται δὲ αὐτοῦ τὴν ἔφοδον γνόντες, ἀχθόμενοί τε οἷς δὴ πρὸς τῶν πολεμίων ἠπάτηντο· τὸν βασιλέα ἐκάκιζον, ἅτε προέμενον Μήδοις τὰ πράγματα. καὶ ὃς αὐτῶν ξὺν γέλωτι ἐπυνθάνετο, τί ποτε ἄρα σφῶν προέμενος εἴη, πότερον τὴν γῆν, ἢ τὰ ὅπλα, ἢ ἄλλο τι τῶν πάντων χρημάτων; οἱ δὲ ὑπολαβόντες, οὐκ ἄλλο οὐδὲν, πλήν γε δὴ ὅτι τὸν καιρὸν ἔφασαν, οὗ τἆλλα πάντα ἠρτῆσθαι ξυμβαίνει. οἱ μὲν οὖν τοῖς ἐπιοῦσιν ὑπαντιάζειν πάσῃ προθυμίᾳ ἠξίουν· ὁ δὲ αὐτοὺς μὲν ἔν γε τῷ παρόντι ἐκώλυεν. οὔπω γὰρ σαφές τι ἀμφὶ τῇ ἐφόδῳ ἰσχυρίζετο γεγονέναι σφίσιν, ἐπεὶ οἱ Πέρσαι ἔτι ἐν τῇ γῇ οἰκείᾳ τυγχάνουσιν ὄντες· μένων δὲ αὐτοῦ ἐποίει τάδε. ἐν τῷ πεδίῳ, ᾗ ἤμελλον Πέρσαι ἐς τὰ Ἐφθαλιτῶν ἤθη ἐσβάλλειν, χώραν πολλήν τινα ἐπὶ πλεῖστον ἀποτεμὼν, τάφρον εἰργάσατο βαθεῖάν τε καὶ εὖρους ἱκανῶς ἔχουσαν,

ὀλίγα

ὀλίγον τινὰ ἐν μέσῳ ἀκραιφνῆ χῶρον ἀπολιπὼν ὅσον ἵππων ὁδῷ ἐπαρκεῖν δέκα. καλάμους τε τῇ τάφρῳ ὕπερθεν ἐπιθεὶς, καὶ γῆν ἐπὶ τοὺς καλάμους συναμησάμενος, ταύτῃ ἐπιπολῆς ἔκρυψεν. Οὔννων τε τῷ ὁμίλῳ ἐπέστελλεν· ἐπειδὰν ἐνθένδε ὀπίσω ἀπελαύνειν μέλλωσι, διὰ χώρου τοῦ χέρσου ἐς ὀλίγους σφᾶς συναγαγόντας σχολαιτέρους ἰέναι, φυλασσομένους ὅπως μὴ ἐς τὰ ἐσκαμμένα ἐμπίπτοιεν· τοὺς δὲ ἄλας ἄκρου σημείου τοῦ βασιλείου ἀπεκρέμασεν, ἐς οὓς τὸν ὅρκον Περόζης ὤμοσε πρότερον, ὧν δὴ ἀλογήσας ἐπὶ Οὔννους ἐστράτευσεν. ἕως μὲν οὖν ἐν τῇ γῇ τῇ σφετέρᾳ τοὺς πολεμίους ἤκουεν εἶναι, ἡσυχῇ ἔμενεν. ἐπεὶ δὲ αὐτοὺς ἐς Γοργὼ πόλιν ἔμαθεν ἀφικέσθαι πρὸς τῶν κατασκόπων, ἥπερ ἐν τοῖς ἐσχάτοις Περσῶν ὁρίοις τυγχάνει οὖσα, ἐνθένδε τε ἀπαλλαγέντας ὁδοῦ ἐπὶ σφᾶς ἤδη ἰέναι αὐτὸς μὲν τῷ πλείονι στρατῷ τῆς τάφρου ἐντὸς ἔμεινεν. ὀλίγους δὲ πέμψας, ὀφθῆναι μὲν τοῖς ἐν τῷ πεδίῳ ἐκέλευσε μακρὰν ἄποθεν· ὀφθέντας δὲ μόνον, εἶτα ἀνακράτος φεύγειν ὀπίσω, ἐν μνήμῃ τὰς αὐτοῦ ἐντολὰς ἀμφὶ τῇ κατώρυχι ἔχοντας, ἡνίκα δὲ αὐτῆς ἄγχιστα ἵκοιντο. οἱ δὲ κατὰ ταῦτα ἐποίουν, καὶ ἐπεὶ τῆς διώρυχος ἀγχοτάτω ἐγένοντο· ἐς ὀλίγους σφᾶς ξυναγαγόντες, διέβησαν ἅπαντες, καὶ τῷ ἄλλῳ στρατῷ ἀνεμίγνυντο. οἱ δὲ Πέρσαι ξυνιέναι τῆς ἐπιβουλῆς οὐδαμῆ ἔχοντες, κατὰ κράτος ἐν πεδίῳ λίαν ὑπτίῳ ἐδίωκον, θυμῷ πολλῷ ἐς τοὺς πολεμίους ἐχόμενοι. ἔς τε γοῦν τὴν τάφρον ἐμπεπτώκασιν ἅπαντες, οὐχ οἱ πρῶτοι μόνον, ἀλλὰ καὶ ὅσοι ὄπιθεν εἵποντο. ἅτε γὰρ τὴν δίωξιν ξὺν θυμῷ μεγάλῳ (καθάπερ ἐρρήθη) ποιούμενοι, ὡς ἥκιστα ᾔσθοντο τοῦ κακοῦ, ὡς δὴ ξυντετύχηκε τοῖς ἔμπροσθεν ἰοῦσιν· ἀλλ' ὑπὲρ αὐτοὺς ξὺν τοῖς ἵπποις τε καὶ δόρασιν ἐμπεπτωκότες, ἐκείνους τε, ὡς τὸ εἰκὸς, ἔκτειναν, καὶ αὐτοὶ οὐδέν τι ἧσσον ξυνδιεφθάρησαν. ἐν οἷς καὶ Περόζης ἦν ξὺν παισὶ τοῖς αὐτοῦ ἅπασιν. Οὕτω μὲν Περόζης τε διεφθάρη, καὶ ξύμπασα ἡ Περσῶν στρατιά. εἰ γάρ τις οὐκ ἐμπεπτωκὼς ἐς τὴν διώρυχα ἔτυχεν, ὅδε ὑπὸ τῶν πολεμίων ταῖς χερσὶ γέγονε. καὶ ἀπ' αὐτοῦ νόμος τέθειται Πέρσαις, μή ποτε σφᾶς ἐν γῇ πολεμίᾳ ἐλαύνοντας δίωξιν ποιεῖσθαί τινα, ἢν καὶ κατὰ κράτος τοὺς ἐναντίους σφίσι τραπῆναι ξυμβαίνοι ὅσοι μέν τοι Περόζῃ οὐ ξυνεστράτευσαν-

σαντες ἐν χώρᾳ τῇ αὐτῶν ἔμειναν, ὅτοι δὴ βασιλέα σφίσι Καβάδην ἕιλοντο τὸν νεώτατον Περόζȣ ὑιὸν, ὅσπερ τηνικαῦτα περιῆν μόνος. τότε δὴ Ἐφθαλίταις κατήκοοι ἐς φόρȣ ἀπαγωγὴν ἐγένοντο Πέρσαι, ἕως Καβάδης τὴν ἀρχὴν ἰσχυρότατα κρατυνάμενος, φόρον αὐτοῖς ἀποφέρειν τὸν ἐπέτειον ȣκέτι ἠξίȣ. ἤρξαντο δὲ Περσῶν ὁι βάρβαροι ἔτοι ἐνιαυτȣ̀ς δύο.

cap. 5. Μετὰ δὲ Καβάδης ἐπὶ τὸ βιαιότερον τῇ ἀρχῇ χρώμενος, ἄλλα τε νεώτερα ἐς τὴν πολιτείαν εἰσῆγε, καὶ νόμον ἔγραψεν ἐπὶ κοινὰ ταῖς γυναιξὶ μίγνυσθαι Πέρσας· ὅπερ τὸ πλῆθος ȣδαμῇ ἤρεσκε. διὸ δὴ αὐτῷ ἐπαναστάντες, παρέλυσάν τε τῆς ἀρχῆς, καὶ δήσαντες ἐν φυλακῇ εἶχον. καὶ βασιλέα μὲν σφίσι Βλάσην τὸν Περόζȣ ἀδελφὸν εἵλοντο. ἐπεὶ γενόμενος μὲν ȣδεὶς ἔτι ἄῤῥην Περόζῃ, ὥσπερ ἐῤῥήθη, ἐλέλειπτο, Πέρσαις δὲ ȣ̓ θέμις ἄνδρα ἐς τὴν βασιλείαν καθίςαθαι ἰδιώτην γένος, ὅτι μὴ ἐξιτήλȣ παντάπασι γένȣς τȣ̃ βασιλείȣ ὄντος. Βλάσης δὲ τὴν βασιλείαν παραλαβὼν, Περσῶν τε τȣ̀ς ἀρίςȣς ξυνέλεξε, καὶ τὰ ἀμφὶ τῷ Καβάδῃ ἐν βȣλῇ ἐποιεῖτο· τὸν γὰρ ἄνθρωπον ἀποκτιννύναι ȣ̓κ ἦν βȣλομένοις τοῖς πλείοσιν· ἔνθα δὴ πολλαὶ μὲν ἐλέχθησαν γνῶμαι ἐφ᾽ ἑκάτερα φέρȣσαι. παραελθὼν δὲ τῶν τις ἐν Πέρσαις λογίμων, ὄνομα μὲν Γȣσανας άδης, Χαναράγγης δὲ τὸ ἀξίωμα (ἐίη δ᾽ ἂν ἐν Πέρσαις ςρατηγὸς τȣ̃τό γε·) πρὸς αὐταῖς πȣ ταῖς ἐσχατιαῖς τῆς Περσῶν γῆς τὴν ἀρχὴν ἔχων, ἐν χώρᾳ ἣ τοῖς Ἐφθαλίταις ὅμορός ἐςι· καὶ τὴν μάχαιραν ἐπιδείξας, ᾗ τῶν ὀνύχων τὰ προὔχοντα Πέρσαι εἰώθασιν ἀποτέμνεσθαι, μῆκος μὲν ὡς δακτύλȣ ἀνδρὸς, πάχος δὲ ȣ̓δὲ τριτημόριον δακτύλȣ ἔχȣσαν· ταύτην ὁρᾶτε, εἶπε, τὴν μάχαιραν, βραχεῖαν ȣ̃σαν παντάπασιν· ἅυτη μέν τοι ἔργον ἐν τῷ παρόντι ἐπιτελεῖν ὅια τέ ἐςιν, ὅπερ εὖ ἴςε· ὀλίγῳ δὲ ὕςερον, ὦ φίλτατοι Πέρσαι, μυριάδες δύο τεθωρακισμένων ἀνδρῶν ἐξεργάζεθαι ȣ̓κ ἂν δύναιντο. ὁ μὲν ταῦτα εἶπε παραδηλῶν ὡς, ἐι μὴ Καβάδην ἀνέλωσιν, αὐτίκα πράγματα Πέρσαις περιὼν παρέξει. ὁι δὲ κτεῖναι ἄνδρα βασιλείȣ ἅιματος ȣ̓δ᾽ ὅλως ἔγνωσαν· ἀλλ᾽ ἐν φρȣρίῳ καθεῖρξαι, ὅπερ τῆς λήθης καλεῖν νενομίκασιν· ἦν γάρ τις ἐν

ταῦθα

ταῦθα ἐμβληθεὶς τύχῃ, οὐκ ἔτι νόμος σφίσι μνήμην αὐτοῦ εἶναι, ἀλλὰ θάνατος τῷ ὠνομακότι ἡ ζημία ἐςί.

Κατειρχθέντα δὴ τὸν Καβάδην ἐθεράπευεν ἡ γυνὴ, ἐσιοῦσά τε παρ' αὐτὸν, καὶ τὰ ἐπιτήδεια ἐσκομίζουσα, ἣν δὴ ὁ τῆς εἱρκτῆς ἄρχων πειρᾷν ἤρξατο, ἦν γὰρ τὴν ὄψιν ἐς τὰ μάλιςα εὐπρεπής· ὅπερ ἐπεὶ ὁ Καβάδης παρὰ τῆς γυναικὸς ἔμαθεν, ἐκέλευσεν ἐνδιδόναι αὐτὴν τῷ ἀνθρώπῳ, ὅ τι βούλοιτο χρῆσθαι. οὕτω δὴ τῇ γυναικὶ εἰς εὐνὴν ξυνελθὼν ὁ τοῦ φρουρίου ἄρχων, ἠράσθη τε αὐτῆς ἔρωτα ἐξαίσιον οἷον, καὶ ἀπ' αὐτοῦ ξυνεχώρει περὶ τὸν ἄνδρα τὰς εἰσόδους ποιεῖσθαι, ὅπῃ ἂν αὐτῇ βουλομένῃ εἴη, καὶ αὖθις ἐνθένδε ἀπαλλάσσεσθαι, οὐδενὸς ἐμποδὼν ἱςαμένου. ἦν δή τις τῶν ἐν Πέρσαις λογίμων, Σεόσης ὄνομα, Καβάδῃ ἐς τὸ μάλιςα φίλος· ὃς ἀμφὶ τὸ φρούριον τοῦτο διατριβὴν εἶχε, καιροφυλακῶν εἴπως αὐτὸν ἔνδοθεν ἐξελέσθαι δυνήσεται. διὰ δὲ τῆς γυναικὸς τῷ Καβάδῃ ἐσήμαινεν, ὡς ἵπποι τέ οἱ καὶ ἄνδρες ἐν παρασκευῇ τυγχάνουσιν ὄντες τοῦ φρουρίου οὐ μακρὰν ἄποθεν, δηλώσας τι χωρίον αὐτῷ. καί ποτε, νυκτὸς ἐπιλαβούσης, ἀνέπεισε τὴν γυναῖκα Καβάδης ἐσθῆτα μὲν αὐτῷ τὴν οἰκείαν δοῦναι, αὐτὴν δὲ τὰ αὐτοῦ ἀμπεχομένην ἱμάτια ἐπὶ τῆς εἱρκτῆς ἀντ' αὐτοῦ καθῆσθαι, οὗπερ οὗτος ἐκάθητο. οὕτω μὲν οὖν Καβάδης ἀπηλλάττετο τοῦ δεσμωτηρίου. κατιδόντες δὲ αὐτὴν, οἷς ἡ φυλακὴ αὕτη ἐπέκειτο, τὴν γυναῖκα ὑπετόπαζον εἶναι, ταῦτά τοι οὐδὲ κωλύειν, οὐδὲ ἄλλως αὐτῷ ἐνοχλεῖν ἔγνωσαν. ἅμα δὲ ἡμέρᾳ τὴν γυναῖκα ἐς τὸ δωμάτιον ἐν τοῖς τοῦ ἀνδρὸς ἱματίοις ἰδόντες, καὶ μακρὰν ἀπολελειμμένοι τοῦ ἀληθοῦς, ᾤοντο Καβάδην ἐνταῦθα εἶναι. ἥτε δόκησις αὕτη ἐν ἡμέραις συχναῖς ἤκμαζεν, ἕως Καβάδης πόῤῥω που γῆς ἐγεγόνει. τὰ μὲν οὖν ἀμφὶ τῇ γυναικὶ ξυνενεχθέντα, ἐπεὶ ἐς φῶς ἐπιβουλὴ ἦλθε· καὶ ὅν τινα αὐτὴν τρόπον ἐκόμασαν· ἐς τὸ ἀκριβὲς οὐκ ἔχω εἰπεῖν. οὐ γὰρ ὁμολογοῦσι Πέρσαι ἀλλήλοις, διὸ δὴ αὐτὰ λέγειν ἀφίημι. Καβάδης δὲ λαθὼν ἅπαντας ξὺν τῷ Σεόσῃ . . . . ὑπαντιάζειν οὐδαμῆ ἤθελον, ἀλλ' ἄλλος ἄλλῃ ἐς φυγὴν ὥρμηντο. ἐπεὶ δὲ ὁ Καβάδης ἐν τῇ χώρᾳ ἐγένετο, ἔνθα ὁ Γουσαναςάδης τὴν ἀρχὴν εἶχεν, εἶπε τῶν ἐπιτηδείων τισὶν, ὡς Χανα-

cap. 6.

Χαναράγγην καταςήσεται ἐκεῖνον, ὃς ἂν αὐτῷ Περσῶν πρῶτος ἐκείνῃ τῇ ἡμέρᾳ ἐς ὄψιν ἥκων ὑπȣργεῖν βȣ́λοιτο. ἐιπόντι τέ ὁι μετέμελεν ἤδη τȣ̃ λόγȣ, ἐπεὶ νόμος αὐτὸν ἐισήει, ὃς δὴ ȣ̓κ ἐᾷ Πέρσας ἐς τȣ̀ς ἀλλοτρίȣς τὰς ἀρχὰς φέρεσθαι, ἀλλ᾽ ὅις ἡ τιμὴ ἑκάςη κατὰ γένος προςήκει. ἔδεισε γὰρ, μήτις ἵκοιτο ἐς αὐτὸν πρῶτος τῷ Χαναράγγῃ ȣ̓ ξυγγενὴς ὢν, τόν τε νόμον ἀναγκάζηται λύειν, ὅπως αὐτὸς ἀληθίζηται. ταῦτα δέ ὁι ἐν νῷ ἔχοντι ξυνέβη τις τύχη, ὥς τε μὴ τὸν νόμον ἀτιμάζοντι ἀληθῆ ἔιναι. ἔτυχε γὰρ πρῶτος Ἀδεργȣδȣνβάδης ἐις αὐτὸν ἵκων, νεανίας ἀνὴρ, ξυγγενής τε ὢν τῷ Γȣσαναςάδῃ, καὶ διαφερόντως ἀγαθὸς τὰ πολέμια. ὃς δὴ δεσπότην προσεῖπε Καβάδην, καὶ βασιλέα προσεκύνησε πρῶτος· ἐδεῖτό τέ ὁι, ἅτε δȣ́λῳ, ὅ, τι βȣ́λοιτο χρῆσθαι. Καβάδης ȣ̃ν ἐν τοῖς βασιλείοις ȣ̓δενὶ πόνῳ γενόμενος, ἔρημόν τε Βλάσην τῶν ἀμυνομένων λαβὼν, ἐξετύφλωσε· τρόπῳ δὴ, ὅτῳ τυφλȣ̀ς ὁι Πέρσαι ποιεῖν τȣ̀ς κακȣ́ργȣς ἐιώθασιν· ἔλεον ἑψῶντες, καὶ αὐτὸ ὡς μάλιςα ζέων ἐις τȣ̀ς ὀφθαλμȣ̀ς ἔτι μύοντας ἐπιχέοντες, ἢ περόνην τινὰ σιδηρᾶν πυρακτȣ̃ντες, καὶ ταύτῃ τῶν ὀφθαλμῶν τὰ ἐντὸς χρίοντες. καὶ τὸ λοιπὸν ἐν φυλακῇ ἔιχεν ἄρξαντι Περσῶν ἐνιαυτȣ̀ς δύο, καὶ τὸν μὲν Γȣσαναςάδην κτείνας, τὸν Ἀδεργȣδȣνβάδην ἀντ᾽ αὐτȣ̃ κατεςήσατο ἐπὶ τῆς τȣ̃ Χαρανάγγȣ ἀρχῆς. τὸν δὲ Σεόσην Ἀδρασάδαραν Σαλάνην ἐυθὺς ἀνεῖπε· δύναται δὲ τȣ̃το τὸν ἐπὶ ἀρχαῖς τε ὁμȣ̃ καὶ ςρατιώταις ἅπασιν ἐφεςῶτα. ταύτην ὁ Σεόσης τὴν ἀρχὴν πρῶτος καὶ μόνος ἐν Πέρσαις ἔσχεν· ȣ̓́τε γὰρ πρότερον, ȣ̓́τε ὑςερόν τινι γέγονε. τήν τε βασιλείαν ὁ Καβάδης ἐκρατύνατο, καὶ ξὺν τῷ ἀσφαλεῖ διεφύλαξεν. ἦν γὰρ ἀγχίνȣς τε καὶ δραςήριος ȣ̓δενὸς ἧσσον.

cap. 7. Ὀλίγῳ δὲ ὕςερον χρήματα Καβάδης τῷ τῶν Ἐφθαλιτῶν βασιλεῖ ὤφελεν. ἅπερ ἐπεὶ ἀποτιννύναι ὁι ȣ̓χ ὅιός τε ἦν, Ἀναςάσιον τῶν Ῥωμαίων αὐτοκράτορα ᾔτει ταῦτα ὁι δανεῖσαι τὰ χρήματα. ὁ δὲ κοινολογησάμενος τῶν ἐπιτηδείων τισὶν, ἐπυνθάνετο ἐιγέ ὁι ταῦτα ποιητέα ἔιη; ὅιπερ αὐτὸν τὸ συμβόλαιον ποιήσασθαι ȣ̓κ ἔιων· ἀξύμφορον γὰρ ἀπέφαινον ἔιναι, βεβαιότερον τοῖς πολεμίοις χρήμασιν οἰκείοις ἐς τȣ̀ς Ἐφαλίτας τὴν φιλίαν ποιήσασθαι,

θαι, ὡς δὴ ἐς ἀλλήλους ξυγκρούειν ὅτι μάλιστα σφίσιν ἄμεινον εἶναι. διὸ δὴ Καβάδης ἐξ οὐδεμιᾶς ἄλλης αἰτίας ἔγνω ἐπὶ Ῥωμαίους στρατεύεσθαι. καὶ πρῶτον μὲν αὐτάγγελος Ἀρμενίων τῇ χώρᾳ ἐπῆλθε· καὶ αὐτοῦ τὰ πολλὰ ἐξ ἐπιδρομῆς ληϊσάμενος, ἐς Ἄμιδαν πόλιν ἐν Μεσοποταμίᾳ κειμένην ἐκ τοῦ αἰφνιδίου ἀφίκετο, ἧς δὴ χειμῶνος ὥρᾳ ἐς πολιορκίαν καθίσατο. καὶ κατὰ κράτος ἡ πόλις ἥλω, ὀγδοηκοστῇ ἀπὸ τῆς πολιορκίας ἡμέρᾳ. οἱ δὲ Ῥωμαῖοι τὴν πόλιν ἀπέλαβον, δύο ἐνιαυτοῖς ὕστερον, ἢ πρὸς τῶν πολεμίων ἑάλω. Ὕστερον δὲ Πέρσαι τοῦ πρὸς Οὔννους πολέμου σφίσι μηκυνομένου, ἐς σπονδὰς Ῥωμαίοις ξυνίασιν· ἅιπερ αὐτοῖς ἐς ἑπτὰ ἔτη ἐγένοντο, Κέλερός τε τοῦ Ῥωμαίου, καὶ Ἀσπεβέδου τοῦ Περσοῦ αὐτὰς ποιησαμένων. ἐπ' οἴκου τε ἀναχωρήσαντες ἀμφότεροι, ἡσυχῇ ἔμενον· οὕτω μὲν, ὥσπερ ἐῤῥήθη, ἀρξάμενος ὁ Ῥωμαίων τε καὶ Περσῶν πόλεμος ἐς τόδε ἐτελεύτα. τὰ δὲ ἀμφὶ πύλας τὰς Κασπίας ξυνενεχθέντα ἐρῶν ἔρχομαι. cap. 9.

Τὸ Κιλίκων ὄρος, ὁ Ταῦρος, ἀμείβει μὲν τὰ πρῶτα Καππαδοκάς τε καὶ Ἀρμενίους καὶ τῶν Περσαρμενίων τὴν γῆν. ἔτι μέν τοι Ἀλβανούς τε καὶ Ἴβηρας. καὶ ὅσα ἄλλα ἔθνη αὐτονομά τε καὶ Πέρσαις κατήκοα ᾤκηνται ταύτῃ. ἐξικνεῖται γὰρ ἐς χώραν πολλὴν, προϊόντι δὲ ἀεὶ τὸ ὄρος τοῦτο ἐς μέγα τι χρῆμα εὖρους τε καὶ ὕψους διήκει. ὑπερβάντι δὲ τοὺς Ἰβήρων ὅρους, ἀτραπός τίς ἐστιν ἐν στενοχωρίᾳ πολλῇ, ἐπὶ σταδίους πεντήκοντα ἐξικνουμένη. αὕτη τε ἡ ἀτραπὸς ἐς ἀπότομόν τινα καὶ ὅλως ἄβατον τελευτᾷ χῶρον. δίοδος γὰρ οὐδεμία τὸ λοιπὸν φαίνεται· πλὴν γε δὴ ὅτι ὥσπερ τινὰ χειροποίητον πυλίδα ἐνταῦθα ἡ φύσις ἐξεῦρεν, ἣ Κασπία ἐκ παλαιοῦ ἐκλήθη. τὸ δὲ ἐνθένδε πεδία τέ ἐστιν ἱππήλατα, καὶ ὑδάτων πολλῶν ἀτεχνῶς ἔμπλεα, καὶ χώρα πολλὴ ἱππόβοτός τε καὶ ἄλλως ὑπτία. οὗ δὴ τὰ Οὔννων ἔθνη σχεδόν τι ἅπαντα ἵδρυται ἄχρι ἐς τὴν Μαιῶτιν διήκοντα λίμνην. οὗτοι ἢν μὲν τῆς πυλίδος, ἧς ἄρτι ἐμνήσθην, ἴωσιν ἐς τὰ Περσῶν καὶ Ῥωμαίων ἤθη. ἀκραιφνέσι τοῖς ἵπποις ἴασι· καὶ περιόδῳ τινὶ οὐδαμῇ χρώμενοι. οὐδὲ κρημνώδεσιν ἐντυχόντες χωρίοις, ὅτι μὴ τοῖς πεντήκοντα σταδίοις ἐκείνοις, ὅιπερ ἐς τοὺς Ἰβηρίους ὅρους, ὥσπερ ἐῤῥήθη, διήκουσιν. ἐπ' ἄλλας δέ τινας cap. 10.

τινας ἐξόδȣς ἰόντες, πόνῳ τε πολλῷ παραγίνονται, καὶ ἵπποις ἐκ ἔτι χρῆϑαι τοῖς ἀυτοῖς ἔχοντες. περιόδȣς τε γὰρ ἀυτὲς περιϊέναι πολλὰς ἐπάναγκες, καὶ ταύτας κρημνώδεις. ὅπερ ἐπειδὴ ὁ Φιλίππȣ Ἀλέξανδρος κατενόησε, πύλας τε ἐν χώρῳ ἐτεκτήνατο τῷ εἰρημένῳ, καὶ Φυλακτήριον κατεςήσατο· ὃ δὴ ἄλλοι τε περιϊόντος χρόνȣ ἔσχον, καὶ Ἀμβαζȣκης, Οὔννος μὲν γένος, Ῥωμαίοις δὲ καὶ Ἀναπολλοίςασίῳ βασιλεῖ Φίλος. ὗτος Ἀμβαζȣκης ἐπειδὴ ἔς τε γῆρας ἀΦῖκτο βαϑὺ, καὶ τελευτᾷν ἔμελλε, πέμψας παρὰ τὸν Ἀναςάσιον, χρήματα ὁι δοϑῆναι ἤτει, ἐΦ᾽ ᾧ τό τε Φυλακτήριον καὶ πύλας τὰς Κασπίας ἐνδώσειν Ῥωμαίοις. βασιλεὺς δὲ Ἀναςάσιος (δρᾷν γὰρ ἀνεπισκέπτως ȣδὲν ὗτε ἠπίςατο, ὗτε ἐιώϑει) λογισάμενος, ὅτι ὁι ςρατιώτας ἐνταῦϑα ἐκτρέΦειν ἀδύνατον ἦν· ἐν χωρίῳ ἐρήμῳ τε ἀγαϑῶν ἀπάντων, καὶ ȣδαμῆ ἐν γειτόνων ἔχοντι ἔϑνος Ῥωμαίοις κατήκοον· χάριν μὲν τῷ ἀνϑρώπῳ τῆς ἐς ἀυτὸν ἐυνοίας πολλὴν ὡμολόγει· τὸ δὲ ἔργον τȣ̃το ȣδενὶ λόγῳ προσίετο. Ἀμβαζȣκης μὲν ξὺν ȣ̓ πολλῷ ὕςερον ἐτελέυτα νόσῳ. Καβάδης δὲ, βιασάμενος τὰς ἀυτȣ̃ παῖδας, τὰς πύλας ἔσχεν. Ἀναςάσιός τε βασιλεὺς, ἐπειδὴ ἐγένοντο ἀι πρὸς Καβάδην σπονδαὶ, πόλιν ἐδείματο ἐν χωρίῳ Δάρας, ἰσχυράν τε ὑπερΦυῶς καὶ λόγȣ ἀξίαν, ἀυτȣ̃ βασιλέως ἐπώνυμον. ἀπέχει δὲ ἅυτη πόλεως μὲν Νισίβιδος ςαδίȣς ἑκατὸν, δυνοῖν δεόντας, καὶ ὅρων, ὁι τὰ Ῥωμαίων τε καὶ Περσῶν διορίζȣσιν, ὀκτὼ καὶ ἑκοσι μάλιςα. Πέρσαι δὲ κωλύειν τὴν ὀικοδομίαν σπȣδὴν ἔχοντες, ȣδαμῆ ἴσχυον, ἀσχολίᾳ τῇ ἐς πόλεμον τὸν Οὐννικὸν πιεζόμενοι. ἐπειδὴ δὲ ἀυτὸν τάχιςα Καβάδης κατέλυσε· πέμψας παρὰ Ῥωμαίȣς, ᾐτιᾶτο πόλιν ἀυτὲς οἰκοδομήσαϑαι ἀγχιςάπȣ τῶν ὁρίων τῶν σΦετέρων. ἀπειρημένον τȣ̃το ἐν τοῖς Μήδοις τε καὶ Ῥωμαίοις ξυγκειμένοις τὰ πρότερα. ὅτε μὲν ȣ̓ν Ἀναςάσιος τὰ μὲν ἀπειλῶν, τὰ δὲ Φιλίαν τε τὴν ἐς ἀυτὸν προτεινόμενος, καὶ χρήμασιν ȣ̓ Φαύλοις δωρȣ́μενος, παρακρȣ́εϑαί τε καὶ τὴν αἰτίαν ἐκλύειν ἤϑελε. καὶ πόλιν δὲ ἄλλην ταύτῃ ὁμοίαν ἐν Ἀρμενίοις ὁ βασιλεὺς ὗτος ἀγχοτάτω ἐδείματο τῶν Περσαρμενίας ὁρίων· ἡ κώμη μὲν ἐκ παλαιȣ̃ ἐτύγχανεν ȣ̓̃σα, πόλεως δὲ ἀξίωμα μέχρι ἐς τὸ ὄνομα Θεοδοσίȣ βασιλέ-

σιλέως λαβῦσα, ἐπώνυμος αὐτῷ ἐγεγόνει. ἀλλ' Ἀναςάσιος τείχει αὐτὴν ὀχυρωτάτῳ περιβαλὼν, πράγματα Πέρσαις ὐδέν τι ἧσσον ἢ διὰ τῆς ἑτέρας παρέσχετο· ἐπιτειχίσματα γὰρ αὐτῶν τῇ χώρᾳ γέγονεν ἄμφω.

Ἀναςασίυ δὲ ὀλίγῳ ὕςερον τελευτήσαντος, Ἰυςῖνος τὴν βασιλείαν παρέλαβεν, ἀπεληλαμένων αὐτῆς τῶν Ἀναςασίυ ξυγγενῶν ἁπάντων, καίπερ πολλῶν τε καὶ λίαν ἐπιφανῶν ὄντων. τότε δὴ μέριμνά τις Καβάδῃ ἐγένετο, μήτι Πέρσαι νεωτερίσωσιν ἐς τὸν αὐτῦ οἶκον, ἐπειδὰν τάχιςα αὐτὸς τελευτήσῃ τὸν βίον· ἐπεὶ ὐδὲ ἀντιλογίας χωρὶς ἐς τῶν παίδων τινα παραπέμψαι τὴν ἀρχὴν ἔμελλε. τῶν γὰρ οἱ παίδων τὸν πρεσβύτατον Καόσην τῆς μὲν ἡλικίας ἕνεκα ἐς τὴν βασιλείαν ὁ νόμος ἐκάλει· ἀλλὰ Καβάδην ὐδαμῇ ἤρεσκεν. ἐβιάζετο δὲ τήν τε φύσιν καὶ τὰ νόμιμα ἡ τῦ πατρὸς γνώμη. Ζάμην δὲ, ὃς τὰ δευτερεῖα ἐφέρετο, τοῖν ὀφθαλμοῖν τὸν ἕτερον ἐκκεκομμένον, ἐκώλυεν ὁ νόμος· ἑτερόφθαλμον γὰρ, ἢ ἄλλῃ τινὶ λώβῃ ἐχόμενον, ὐ θέμις Πέρσαις βασιλέα καθίσασθαι. Χοσρόην δὲ, ὃς αὐτῷ ἐκ τῆς Ἀσπεσβέδυ ἀδελφῆς ἐγεγόνει, ὑπερηγάπα μὲν ὁ πατὴρ, ὁρῶν δὲ Πέρσας, σχεδόν τι εἰπεῖν, ἅπαντας τεθηπότας τὴν Ζάμυ ἀνδρείαν (ἦν γὰρ ἀγαθὸς τὰ πολέμια, καὶ τὴν ἄλλην ἀρετὴν σέβων) ἔδεισε μὴ Χοσρόῃ ἐπαναςάντες ἔργα ἀνήκεςα ἐς τὸ γένος καὶ τὴν βασιλείαν ἐργάσωνται. ἔδοξεν ὖν αὐτῷ ἄριςον εἶναι τόν τε πόλεμον καὶ τὰς τῦ πολέμυ αἰτίας διαλῦσαι Ῥωμαίοις, ἐφ' ᾧ Χοσρόης παῖς εἰσποιητὸς Ἰυςίνῳ βασιλεῖ γένοιτο· ὕτω γὰρ οἱ μόνος τὸ ἐχυρὸν ἐπὶ τῇ ἀρχῇ διασώσασθαι. διὸ δὴ πρέσβεις τε ὑπὲρ τύτων καὶ γράμματα ἐς Βυζάντιον Ἰυςίνῳ βασιλεῖ ἵει. ὁ μὲν Ἰυςῖνος, καὶ Ἰυςινιανὸς βασιλέως ἀδελφιδῦς, ὃς δὴ αὐτῷ καὶ τὴν βασιλείαν ἐκδέχεσθαι ἐπίδοξος ἦν, κατὰ τάχος ἐς τὴν πρᾶξιν ἠπειγέσθην τὴν εἰσποίησιν ἐν γράμμασι θέσθαι, ᾗ νόμος Ῥωμαίοις· εἰ μὴ Πρόκλος ἐκώλυσεν, ὃς βασιλεῖ τότε παρήδρευε τὴν τῦ καλυμένυ κοιαίςωρος ἀρχὴν ἔχων. ἀλλὰ γῦν Καβάδης γράμματα πρὸς Ἰυςῖνον βασιλέα πέμψας, ἄνδρας τε αὐτὸν ςεῖλαι δοκίμυς ἠξίυ, ἐφ' ᾧ τὴν εἰρήνην πρὸς αὐτὸν θήσονται. καὶ γράμμασι τὸν τρόπον σημῆναι, καθ' ὃν ἂν αὐτῷ τὴν τῦ παιδὸς εἰσποίησιν θέσθαι βυλομένῳ εἴη. καὶ

 τύτο

cap. 11.

τότε δὴ Πρόκλος ἔτι μᾶλλον ἢ πρότερον τὴν Περσῶν πεῖραν διέβαλλε. καὶ μᾶλλον αὐτοῖς ἰσχυρίζετο, ὅπως δὴ τὸ Ῥωμαίων κράτος σφίσιν αὐτοῖς ὡς ἀσφαλέςατα προσποιήσωνται. καὶ γνώμην ἀπέφαινε τὴν μὲν εἰρήνην αὐτοῖς αὐτίκα δὴ τάλα περαίνεσθαι, ἄνδρας τε τοὺς πρώτους ἐκ βασιλέως ἐπ' αὐτῇ ςέλλεσθαι, οὓς δὴ δεήσει· πυνθανομένῳ τῷ Καβάδῃ, καθότι δεῖ τὴν εἰσποίησιν Χοσρόῃ γενέσθαι, διαῤῥήδην ἀποκρίνασθαι, ὅτι δὴ ὡς βαρβάρῳ προσήκει δηλονότι, οὐ γράμμασιν οἱ βάρβαροι τοὺς παῖδας ποιοῦνται, ἀλλ' ὅπλων σκευῇ. οὕτω τοίνυν τοὺς πρέσβεις Ἰουςῖνος βασιλεὺς ἀπεπέμψατο, ἄνδρας τοὺς Ῥωμαίων ἀρίςους ἥψεσθαι σφίσιν οὐκ εἰς μακρὰν ὑποσχόμενος, οἳ τά τε ἀμφὶ τῇ εἰρήνῃ καὶ τῷ Χοσρόῃ ὡς ἄριςα διοικήσονται· γράμμασι δὲ Καβάδην κατὰ ταῦτα ἠμείψατο. ςέλλονται τοίνυν ἐκ μὲν Ῥωμαίων Ὑπάτιος Ἀναςασίου τοῦ πρώην βεβασιλευκότος ἀδελφιδοῦς, πατρίκιος, καὶ ἀρχὴν τῆς ἕω τὴν ςρατηγίδα ἔχων, καὶ Ῥουφῖνος ὁ Σιλβανοῦ παῖς ἔν τε πατρικίοις, ἀνὴρ δόκιμος, καὶ Καβάδῃ ἐκ πατέρων αὐτοῦ γνώριμος· ἐκ Περσῶν δὲ ἀνὴρ δυνατώτατός τε καὶ ἐξουσίᾳ πολλῇ χρώμενος, ὄνομα μὲν Σεόσης, Ἀδραςαδαρανσαλάνης τε τὸ ἀξίωμα, καὶ Μεβώδης τὴν Μαγίςρου ἔχων ἀρχήν. οἳ δὴ ἐς χῶρόν τινα ξυνιόντες, ὃς γῆν τῶν Ῥωμαίων τε καὶ Περσῶν διορίζει, ἀλλήλοις τε ξυγγενόμενοι, ἔπρασσον, ὅπως τά τε διάφορα διαλύσωσι, καὶ τὰ ἀμφὶ τῇ εἰρήνῃ εὖ διαθήσονται. ἦκε δὲ καὶ Χοσρόης ἐς ποταμὸν Τίγριν, ὃς δὴ πόλεως Νισίβιδος διέχει δυοῖν ἡμέραιν ὁδῷ μάλιςα· ὅπως, ἐπειδὰν τὰ ἐς τὴν εἰρήνην ἑκατέροις δοκῇ ὡς ἄριςα ἔχειν, αὐτὸς ἐς Βυζάντιον ςέλλοιτο. πολλοὶ μὲν οὖν καὶ ἄλλοι λόγοι πρὸς ἀμφοτέρων ὑπὲρ τῶν ἐν σφίσι διαφόρων ἐλέγοντο· καὶ γῆν δὲ τὴν Κολχίδα, ἣ νῦν Λαζικὴ ἐπικαλεῖται, Σεόσης ἔλεγε Περσῶν κατήκοον τὸ ἀνέκαθεν οὖσαν, βιαζομένους λόγῳ οὐδενὶ Ῥωμαίους ἔχειν. ταῦτα Ῥωμαῖοι ἀκούσαντες, δεινὰ ἐποιοῦντο, εἰ καὶ Λαζικὴ πρὸς Περσῶν ἀντιλέγοιτο. ἐπεὶ δὲ καὶ τὴν εἰσποίησιν ἔφασκον δὴ γενέσθαι Χοσρόῃ οὕτως, ὥσπερ βαρβάρῳ προσήκει, οὐκ ἀνεκτὰ Πέρσαις ἔδοξεν εἶναι. ἑκάτεροι (διαλυθέντες, ἐπ' οἴκου ἀνεχώρησαν· καὶ Χοσρόης ἄπρακτος) πρὸς τὸν πατέρα ἀπιὼν ᾤχετο, περιαδυνό

δυνός τε ὢν τοῖς ξυμπεσοῦσι, καὶ Ῥωμαίοις εὐχόμενος τῆς αὐτῶν ὕβρεως τίσασθαι.

Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον Ἰουστῖνος βασιλέα τὸν ἀδελφιδοῦν αὐτοῦ Ἰουστινιανὸν ξὺν αὐτῷ ἀνειπὼν ἐτελεύτησε, καὶ ἀπ' αὐτοῦ ἐς μόνον Ἰουστινιανὸν ἡ βασιλεία ἦλθεν. οὗτος Ἰουστινιανὸς ἐκέλευε Βελισάριον δείμασθαι Φρούριον ἐν χωρίῳ Μίνδονος, ὃ πρὸς αὐτοῖς ἐστι τοῖς Περσῶν ὁρίοις, ἐν ἀριστερᾷ ἐς Νίσιβιν ἰόντι· ὁ μὲν οὖν σπουδῇ πολλῇ τὰ βασιλεῖ δόξαντα ἐποίει ἐπιτελῆ· τό, τε ὀχύρωμα ἐς ὕψος ἤδη πολυανθρωπίᾳ τεχνητῶν ἤρετο. Πέρσαι δὲ ἀπεῖπον μὴ οἰκοδομήσασθαι περαιτέρω μηδέν· οὐ λόγῳ μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις διακωλυταὶ ἀπειλοῦντες οὐκ ἐς μακρὰν ἔσεσθαι. ταῦτα ἐπεὶ βασιλεὺς ἤκουσεν (οὐ γὰρ οἷός τε ἦν Βελισάριος Πέρσας ἐνθένδε τῷ παρόντι στρατῷ ἀποκρούεσθαι) ἄλλην στρατιὰν ἐπήγγειλεν αὐτόσε ἰέναι, καὶ Κούτζην τε καὶ Βούζην, οἱ τῶν ἐν Λιβάνῳ στρατιωτῶν ἦρχαν τότε. οὗτω δὲ ἀδελφὼ μὲν ἐκ Θρᾴκης ἤστην, νέω δὲ ἀμφω καί, ξὺν τῷ ἀσφαλεῖ τοῖς πολεμίοις ἐς χεῖρας ἰόντε. ἑκάτεροι μὲν οὖν ξυλλεγέντες ἐπὶ τὴν οἰκοδομίαν ἀθρόοι ἦσαν· Πέρσαι μὲν αὐτὴν παντὶ σθένει διακωλύσοντες, Ῥωμαῖοι δὲ τοῖς τεκταινομένοις ἐπαμυνοῦντες. μάχης δὲ καρτερᾶς γενομένης, ἡσσῶνται Ῥωμαῖοι. Φόνος δὲ αὐτῶν πολὺς γέγονε· τινὰς δὲ καὶ ἐζώγρησαν οἱ πολέμιοι· ἐν τούτοις ἦν καὶ Κούτζης, οὓς δὴ οἱ Πέρσαι ἅπαντας εἰς τὰ οἰκεῖα ἤθη παραγαγόντες, δήσαντές τε, τὸν ἅπαντα χρόνον ἐν σπηλαίῳ καθεῖρξαν· καὶ τοῦ Φρουρίου τὴν οἰκοδομίαν οὐδενὸς ἔτι ἀμυνομένου, εἰς ἔδαφος καθεῖλον. ὕστερον δὲ βασιλεὺς Ἰουστινιανὸς, στρατιὰν λόγου πολλοῦ ἀξίαν ἀγείρας, στρατηγὸν τῆς ἕω Βελισάριον καθήστησε καὶ στρατεύειν ἐπὶ Πέρσας ἐκέλευσε. Καὶ αὐτοὶ ἡττήθησαν μάχαις πλείοσιν, ἕως Βελισάριος βασιλεῖ ἐς Βυζάντιον μετάπεμπτος ἦλθε, περιῃρημένος ἣν εἶχεν ἀρχὴν, ἐφ' ᾧ ἐπὶ Βανδίλους στρατεύσειεν. Σίττας δὲ, (Ἰουστινιανῷ βασιλεῖ τοῦτο δεδογμένον) ὡς φυλάξων τὴν ἑῴαν ἐνταῦθα ἦλθεν. cap. 13. cap. 21.

Ἐν τούτῳ δὲ ξυνέβη πονηρῶς τῷ Καβάδῃ νοσῆσαι τὸ σῶμα. καὶ Περσῶν ἕνα τόν οἱ ἐν τοῖς μάλιστα ἐπιτηδειότατον καλέσας, Μεβόδην ὄνομα, ἐκοινολογεῖτο ἀμφί τε Χοσρόῃ καὶ τῇ βασιλείᾳ· δεδιέναι τε Πέρσας ἔφασκε

 μὴ

μή τι τῶν αὐτῷ βεβουλευμένων ἀλογήσειν ἐν σπουδῇ ἕξουσι.
ὁ δέ οἱ τῆς γνώμης τὴν δήλωσιν ἐν γράμμασιν ἀπολιπεῖν
ἠξίου, θαρσοῦντα ὡς οὐ μή ποτε αὐτὴν ὑπεριδεῖν τολμήσωσι
Πέρσαι. Καβάδης μὲν οὖν ἄντικρυς διετίθετο βασιλέα
Χοσρόην Πέρσαις καθίσασθαι. τὸ δὲ γράμμα ὁ Μεβόδης
αὐτὸς ἔγραφε, καὶ ὁ Καβάδης αὐτίκα ἐξ ἀνθρώπων ἠφά-
νιστο. καὶ ἐπεὶ τὰ νόμιμα ἐπὶ τῇ τοῦ βασιλέως ταφῇ ἐγε-
γόνει· ὁ μὲν Καόσης τῷ νόμῳ θαρσῶν, ἐπεβάτευε τῆς τι-
μῆς. ὁ δὲ Μεβόδης ἐκώλυε, φάσκων οὐδένα χρῆναι αὐ-
τόματον ἐς τὴν βασιλείαν ἰέναι, ἀλλὰ ψήφῳ Περσῶν
τῶν λογίμων. καὶ ὃς ἐπέτρεπε ταῖς ἀρχαῖς τὴν περὶ
τοῦ πράγματος γνῶσιν, οὐδὲν ἐνθένδε ἔσεσθαί οἱ ἐναντίωμα
ὑποτοπάζων. ἐπεὶ δὲ ἅπαντες οἱ Περσῶν λόγιμοι ἐς τοῦτο
ἐγηγερμένοι ἐκάθηντο· τὸ μὲν γράμμα ὁ Μεβόδης ἀναλε-
ξάμενος, τὴν Καβάδου ἀμφὶ τῷ Χοσρόῃ ἐδήλου γνώμην·
ἀναμνησθέντες δὲ τῆς Καβάδου ἀρετῆς ἅπαντες, βασιλέα
532 Πέρσαις αὐτίκα Χοσρόην ἀνεῖπον. Χρόνῳ δὲ οὐ πολλῷ
post Christ. ὕστερον Ῥουφῖνος καὶ Ἑρμογένης παρὰ Χοσρόην ἐστέλλον-
cap. 22. το, ἔς τε τὰς σπονδὰς αὐτίκα ἀλλήλοις ξυνέβησαν, ἐφ'
ᾧ ἑκάτεροι ἀποδώσουσιν ὅσα δὴ ἀμφότεροι χωρία ἐν τῷ
τε τῷ πολέμῳ ἀλλήλοις ἀφείλοντο, καὶ μηκέτι στρατιωτῶν
τις ἀρχὴ ἐν Δάρας εἴη· τοῖς δὲ Ἴβηρσιν ἐδέδοκτο ἐν γνώ-
μῃ εἶναι ἢ μένειν αὐτοῦ ἐν Βυζαντίῳ, ἢ ἐς σφῶν τὴν πα-
τρίδα ἐπανιέναι. ἦσαν δὲ πολλοὶ καὶ οἱ μένοντες καὶ οἱ
ἐπανιόντες ἐς τὰ πάτρια ἤθη. οὕτω τοίνυν τήν τε ἀπέ-
ραντον καλουμένην εἰρήνην ἐσπείσαντο, ἕκτον ἤδη ἔτος τὴν
βασιλείαν Ἰουστινιανοῦ ἔχοντος. καὶ Ῥωμαῖοι μὲν τότε Φα-
ράγγιον καὶ Βῶλον τὸ φρούριον σὺν τοῖς χρήμασι Πέρσαις
ἔδοσαν· Πέρσαι δὲ Ῥωμαίοις τὰ Λαζικῆς φρούρια. καὶ
Δάγαριν δὲ Ῥωμαίοις ἀπέδοσαν Πέρσαι, ἀντ' αὐτοῦ ἕτερον
κεκοσμημένοι ἄνδρα οὐκ ἀφανῆ. οὗτος ὁ Δάγαρις χρόνῳ
ὑστέρῳ πολλάκις Οὔννους ἐς γῆν τῶν Ῥωμαίων ἐσβεβλη-
κότας μάχαις νικήσας, ἐξήλασσεν. ἦν γὰρ διαφερόντως
ἀγαθὸς τὰ πολέμια. τὰς μὲν οὖν πρὸς ἀλλήλους σπονδὰς
cap. 23. τρόπῳ τῷ εἰρημένῳ ἀμφότεροι ἐκρατύνοντο. Εὐθὺς
βασιλεῖ ἑκατέρῳ ἐπιβουλὴν γενέσθαι ξυνηνέχθη πρὸς τῶν
ὑπηκόων. ὅν τινα μέν τοι τρόπον αὐτίκα δηλώσω. Χοσ-
ρόης ὁ Καβάδου ἄτακτός τε ἦν τὴν διάνοιαν, καὶ νεω-

ρῶν πραγμάτων ἄτοπος ἐραστὴς, διὸ δὴ αὐτός τε ἀεὶ ἔλπλεως ταραχῆς τε καὶ θορύβων ἐγένετο, καὶ τῶν ὁμοίων τοῖς ἄλλοις ἅπασιν αἰτιώτατος. ἀχθόμενοι οὖν αὐτοῦ τῇ ἀρχῇ ὅσοι ἐν Πέρσαις δραστήριοι ἦσαν, ἕτερον σφίσι βασιλέα καταστήσεσθαι ἐκ τῆς τοῦ Καβάδου οἰκίας ἐν βουλῇ εἶχον. καὶ ἦν γὰρ αὐτοῖς πολύς τις πόθος τῆς Ζάμου ἀρχῆς, ἣν δὴ ὁ νόμος, αἰτίᾳ τῆς τοῦ ὀφθαλμοῦ λάβης, ἐκώλυε. λογισάμενοι ηὕρισκον σφίσιν αὐτοῖς ἄμεινον εἶναι, Καβάδην μὲν τὸν αὐτοῦ παῖδα καὶ τῷ πάππῳ ὁμώνυμον ἐς τὴν ἀρχὴν καταστήσεσθαι, Ζάμην δὲ, ἅτε τῷ παιδὶ ἐπίτροπον ὄντα, διοικεῖσθαι ὅπη βούλοιτο τὰ Περσῶν πράγματα, γενόμενοί τε παρὰ τὸν Ζάμην, τό τε βούλευμα ἐξήνεγκαν· καὶ προθυμίᾳ πολλῇ ἐγκελευόμενοι, ἐς τὴν πρᾶξιν ἐνῆγον. καὶ ἐπεὶ τὸν ἄνδρα ἡ βουλὴ ἤρεσκεν, ἐς καιρὸν τῷ Χοσρόῃ ἐπιθήσεσθαι διενοοῦντο. ἔκπυστος δὲ ἡ βουλὴ μέχρι ἐς τὸν βασιλέα γεγενημένη, τὰ πρασσόμενα διεκώλυσε. Ζάμην τε γὰρ αὐτὸν ὁ Χοσρόης, καὶ τοὺς αὐτοῦ τε καὶ Ζάμου ἀδελφοὺς ἅπαντας, ξὺν γόνῳ παντὶ ἄρσενι, ἔκτεινε. καὶ Περσῶν δοκίμων ὅσους τοὺς ἐπ' αὐτῷ βεβουλευμένους, ἢ ἄρξαι ἢ μεταλαχεῖν τρόπῳ δὴ ὅτῳ τετύχηκεν.

Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον ὁ Χοσρόης, μαθὼν ὡς καὶ Ἰταλίαν Βελισάριος Ἰουστινιανῷ βασιλεῖ προσποιεῖν ἤρξατο, οὐκέτι κατέχειν οἷός τε ἦν τὴν διάνοιαν· ἀλλὰ σκήψεις ἐπινοεῖν ἤθελεν, ὅπως δὴ λόγῳ τινι εὐπρεπεῖ τὰς σπονδὰς λύσειεν. ὑπὲρ ὧν κοινολογησάμενος Ἀλαμουνδάρῳ, ἐκέλευεν αὐτὸν ξυμπορίζεσθαι πολέμου αἰτίας. ὁ δὲ Ἀρέθᾳ ἐπικαλέσας ὅτι αὐτὸν περὶ γῆς ὁρίων βιάζοιτο, ἐς χεῖρας τε αὐτῷ ἐκσπόνδως ἦλθε, καὶ γῆν τὴν Ῥωμαίων ἐπὶ ταύτῃ τῇ σκήψει καταθεῖν ἤρξατο. ἔφασκέ τε ὡς αὐτὸς οὐ λύει τὰς Περσῶν τε καὶ Ῥωμαίων σπονδάς. ἐπεὶ αὐτὸν ἐς ταύτας οὐδέτεροι ἐσεγράψαντο. καὶ ἦν δὲ οὕτως. οὐ γάρ τις πώποτε Σαρακηνῶν λόγος ἐν σπονδαῖς ἐγένετο, ἅτε ξυνεχομένων τῶν Περσῶν τε καὶ Ῥωμαίων ὀνόμασιν. αὕτη δὲ ἡ χώρα, ἣ δὴ πρὸς ἑκατέρων τότε Σαρακηνῶν ἀντελέγετο, Στράτα μὲν κέκληται, Παλμύρας δὲ πόλεως πρὸς νότον ἄνεμον τέτραπται. δένδρον μὲν ἢ τι τῶν ἐν τοῖς ληΐοις ἀγαθῶν οὐδαμῆ φέρουσα (ἡλιόκαυστος γὰρ ὑπερφυῶς ἐστι) προβάτων δέ τισιν ἐκ παλαιοῦ ἀνει- Procopius libr. II. c. 1.

ἀνειμένη νομαῖς. Ἀρέθας μὲν οὖν Ῥωμαίων ἰσχυρίζετ εἶναι τὸν χῶρον, τῷ τε ὀνόματι τεκμηριούμενος, ὃ δὴ πρὸς πάντων ἄνωθεν ἔτυχε (στράτα γὰρ ἡ ἐστρωμένη ὁδὸς τῇ Λατίνων καλεῖται φωνῇ) καὶ μαρτυρίαις παλαιοτάτων ἀνδρῶν χρώμενος. Ἀλαμούνδαρος δὲ φιλονεικεῖν μὲν ὑπὲ τοῦ ὀνόματος ἥκιστα ἐδικαίου· μισθοὺς δέ οἱ τοῦ ἐνταῦθα νομ ἐκ παλαιοῦ ἔφασκε τοὺς τὰ πρόβατα κεκτημένους διδόνα. διὸ δὴ βασιλεὺς Ἰουστινιανὸς Στρατηγίῳ τε πατρικίῳ ἀνδ καὶ τῶν βασιλικῶν θησαυρῶν ἄρχοντι, ἄλλως δὲ ξυνετ καὶ εὐπατρίδι, ἔτι μέντοι καὶ Σούμμῳ τῶν ἐν Παλαιστίνῃ στρατιωτῶν ἡγησαμένῳ, τὴν τῶν ἀντιλεγομένων ἐπέτρεψε δίαιταν. ὁ δὲ Σοῦμμος Ἰουλιανοῦ ἀδελφὸς ἦν, ὃς ὀλίγῳ ἔμπροσθεν ἐς Αἰθίοπάς τε καὶ Ὁμηρίτας ἐπρέσβευσε. καὶ αὐτοῖν ἅτερος μὲν, Σοῦμμος, μὴ χρῆναι Ῥωμαίους καταπροΐεσθαι τὴν χώραν ἠξίου. Στρατήγιος δὲ βασιλέως ἐδεῖτο, μὴ χώρας τινὸς ἕνεκα βραχείας τε καὶ ὡς ἥκιστα λόγου ἀξίας, ἀλλὰ ἀγόνου τε καὶ ἀκάρπου παντάπασιν οὔσης, Πέρσαις πολεμησείουσι σκήψεις τοῦ πολέμου χαρίζεσθαι. βασιλεὺς μὲν Ἰουστινιανὸς ταῦτα ἐν βουλῇ ἐποιεῖτο· καὶ χρόνος πολὺς ταύτῃ τῇ διαίτῃ ἐτρίβη. Χοσρόης δὲ ὁ Περσῶν βασιλεὺς λελύσθαι πρὸς Ἰουστινιανοῦ τὰ σπονδὰς ἔφασκε, πολλὴν ἐπιβουλὴν ἐς οἶκον τὸν αὐ ἄρτι ἐνδειξαμένου, οἷς δὴ ἑταιρίζεσθαι Ἀλαμούνδαρον ἐ σπονδαῖς ἐνεχείρησε. Σοῦμμον γὰρ ἔναγχος ἐπὶ διαίτ δῆθεν τῷ λόγῳ, παρ' αὐτὸν ἥκοντα, ἐπαγγελίαις αὐτ περιελθεῖν μεγάλων χρημάτων, ἐφ' ᾧ προσχωρήσει Ῥωμαίοις, γράμματά τε προΐσχετο, ἃ δὴ πρὸς Ἀλαμούνδαρον ἐν σπονδαῖς ὑπὲρ τούτων Ἰουστινιανὸς βασιλεὺς ἔγραψ καὶ πρὸς Οὔννων δέ τινας ἰσχυρίζετο αὐτὸν ἐπιστολ πέμψαι, ἐγκελευομένην αὐτοῖς ἐσβαλεῖν τε ἐς τὴν Περσῶν γῆν, καὶ τοῖς ἐκείνῃ χωρίοις ἐπὶ πλεῖστον λυμήνασθα ἣν δὴ οἱ τοὺς Οὔννους αὐτοὺς ἔφασκεν ἐγχειρίσαι εἰς ὄψ ἐλθόντας. ταῦτα μὲν Χοσρόης ἐπικαλῶν Ῥωμαίοις, τὰ σπονδὰς λύειν διενοεῖτο. εἰ μέντοι ταῦτα λέγοντί οἱ ἀληθίζεσθαι ξυνέβαινεν, οὐκ ἔχω εἰπεῖν. cap. 2. Ἐν τούτῳ δὲ Οὐίτιγις, ὁ τῶν Γότθων ἡγούμενος, ἤδη τῷ πολέμῳ κεκακωμένος, πρέσβεις δύο παρ' αὐτὸν ἔπεμψεν, ἀναπείσοντα ἐπὶ Ῥωμαίους στρατεύεσθαι, οὐ Γότθους μέν τοι, ὅπως μ

κατ

κατάδηλοι αὐτόθεν γινόμενοι, ξυγχέωσι τὰ πρασσόμενα· ἀλλὰ Λιγύρυς ἱερεῖς, χρήμασιν ἀδροῖς ἐς ταύτην ἠγμένυς τὴν πρᾶξιν. ὧν ἅτερος μὲν (ὅσπερ ἀξιώτερος ἔδοξεν εἶναι, δόκησίν τε καὶ ὄνομα ἐπισκόπυ περιβεβλημένος ὐδὲν αὐτῷ προσῆκον) ἐς τὴν πρεσβείαν καθίςατο· ὁ δὲ δὴ ἕτερος αὐτῷ ὑπηρετῶν εἵπετο. ὁδῷ δὲ ἰόντες ἐς τὰ ἐπὶ τῆς Θρᾴκης χωρία, εταιρίζονταί τινα ἐνθένδε, Σύρας τε καὶ Ἑλληνίδος Φωνῆς ἑρμηνέα σφίσιν ἐσόμενον. ἅπαντάς τε Ῥωμαίυς λαθόντες, ἐς τὰ Περσῶν ἤδη ἀφίκοντο. ἅτε γὰρ ἐν ταῖς σπονδαῖς καθεςῶτες ὐκ ἐς τὸ ἀκριβὲς ταύτῃ ἐφύλασσον. Οὗτοι δὲ τοιαῦτα Ἰυςινιανῷ ἐπεκάλυν ἐγκλήματα, ἃ βασιλεῖ γενναίῳ εἰκότως ἂν ἐγκώμια εἴη. ὅτι δὴ τὴν βασιλείαν τὴν αὐτῦ μείζω τε ποιῆσαι καὶ πολλῷ ἐπιφανεςέραν ἐν σπυδῇ ἔχοι. ταῦτα γὰρ καὶ Κύρῳ ἄν τις ἐπενέγκοι τῷ Περσῶν βασιλεῖ, καὶ Ἀλεξάνδρῳ τῷ Μακεδόνι. ἀλλὰ γὰρ φθόνῳ τὸ δίκαιον ὐδαμῆ εἴωθε ξυνοικίζεσθαι. διὰ ταῦτα μὲν Χοσρόης τὰς σπονδὰς λύειν διενοεῖτο. Ἐν τύτῳ δὲ καὶ ἄλλο τι γενέσθαι τοιόνδε ξυνέβη. Συμεώνης ἐκεῖνος, ὁ τὸ Φαράγγιον cap. 3. Ῥωμαίοις ἐνδὺς, Ἰυςινιανὸν βασιλέα πείθει, ἔτι τῦ πολέμυ ἀκμάζοντος, κώμαις αὐτόν τισιν ἀνδρῶν Ἀρμενίων δωρήσασθαι. κύριός τε τῶν χωρίων γενόμενος, πρὸς τῶν αὐτὰ πάλαι κεκτημένων ἐξ ἐπιβυλῆς θνήσκει. ἐξειργασμένυ δὲ τῦ κακῦ, οἱ τῦ φόνυ ἀρχηγοὶ φεύγυσιν ἐς τὰ Περσῶν ἤδη. ἀδελφὼ δὲ ἤςην δύο Περόζυ παῖδες. βασιλεὺς δὲ ταῦτα ἀκύσας, τάς τε κώμας Ἀμαζάσπῃ παραδίδωσι τῷ Συμεώνυ ἀδελφιδῷ, καὶ ἄρχοντα κατεςήσατο Ἀρμενίας αὐτόν. τῦτον τὸν Ἀμαζάσπην, προϊόντος τῦ χρόνυ, Ἰυςινιανῷ βασιλεῖ τῶν τις ἐπιτηδείων διέβαλλεν, Ἀκάκιος ὄνομα, κακυργεῖν τε ἐς Ἀρμενίυς, καὶ βυλεύεσθαι Πέρσαις ἐνδῦναι Θεοδοσίυ πόλιν τε καὶ ἄλλα ἄττα πολίσματα. ταῦτα εἰπὼν, γνώμῃ βασιλέως Ἀκάκιος τὸν Ἀμαζάσπην δόλῳ ἔκτεινε, καὶ τὴν Ἀρμενίων ἀρχὴν, δόντος βασιλέως, ἔσχεν αὐτός. πονηρὸς δὲ ὢν φύσει, ἔσχε καθότι τὰ τῆς ψυχῆς ἤδη ἐνδείξοιτο. γέγονεν ὖν ἐς τὺς ἀρχομένυς ὠμότατος ἀνθρώπων ἁπάντων. τά τε γὰρ χρήματα ἐληΐζετο ὐδενὶ λόγῳ, καὶ φόρυ αὐτοῖς ἀπαγωγὴν ὔποτε ὖσαν ἐς κεντηνάρια τέσσαρα ἔταξεν. Ἀρμένιοι δὲ

(φέρειν

(Φέρειν γὰρ οὐκέτι αὐτὸν οἷοί τε ἦσαν) κτείνουσί τε ξυμφρονήσαντες τὸν Ἀκάκιον, καὶ ἐς τὸ Φαράγγιον καταφεύγουσι.

Διὸ δὴ Σίτταν ἐπ᾽ αὐτοὺς ἐκ Βυζαντίου βασιλεὺς ἔπεμψεν, καὶ τελευτήσαντος αὐτοῦ Βούζην. ἡττώμενοι οὖν μάχαις, καὶ οὐδέ τινα ἐλπίδα ἐς Ῥωμαίους Ἀρμένιοι ξυμβάσεως περὶ τὸ λοιπὸν ἔχοντες, οὐδὲ βασιλέα τῷ πολέμῳ περαίρειν οἷοί τε ὄντες, παρὰ τὸν Περσῶν βασιλέα ἦλθον, αἰτήσαντες βοήθειαν. τοὺς αὐτῶν λόγους ἐπεὶ Χοσρόης ἤκουσεν, ἥσθη τε καὶ ξυγκαλέσας, εἴ τι ἐν Πέρσαις καθαρὸν ἦν, ἐς πάντας ἐξήνεγκεν, ἅ, τι Οὐίττιγις ἔγραψε, καὶ ὅσα οἱ Ἀρμένιοι εἶπον· ἀμφί τε τῷ πρακτέῳ βουλὴν ἔθηκεν. ἔνθα δὴ ἐλέχθησαν μὲν γνῶμαι πολλαὶ ἑκάτερα φέρουσαι, τέλος δὲ πολεμητέα σφίσιν, ἅμα ἦρι ἀρχομένῳ, ἐπὶ Ῥωμαίους ἔδοξεν εἶναι. ἦν γὰρ τοῦ ἔτους μετόπωρον, τρίτον καὶ δέκατον ἔτος Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος. οὐ μέν τοι Ῥωμαῖοι τοῦτο ὑπώπτευον, οὐδὲ δὴ Πέρσας λύσειν ποτὲ τὰς ἀπεράντους καλουμένας σπονδὰς ᾤοντο. καί περ Χοσρόην ἀκούσαντες τῷ τε σφῶν αὐτῶν βασιλεῖ ἐγκαλεῖν ὅτι εὐημέρησεν ἐν ταῖς τοῦ ἡλίου δυσμαῖς· καὶ τὰ ἐγκλήματα ἐπιφέρειν ταῦτα, ὧν ἄρτι ἐμνήσθην.

cap. 4. Ἡνίκα Χοσρόου πολεμησείοντος Ἰουστινιανὸς βασιλεὺς ᾔσθετο, παραίνεσιν τε ποιῆσθαί τινα, καὶ τῆς ἐγχειρήσεως αὐτὸν ἀπαγαγεῖν ἤθελεν. ἐτύγχανε δέ τις ἐς Βυζάντιον ἥκων ἐκ Δάρας πόλεως, Ἀναστάσιος ὄνομα, δόξαν ἐπὶ ξυνέσει ἔχων· ὃς καὶ τὴν ἐν Δάρας ἔναγχος γενομένην τυραννίδα κατελελύκει. τοῦτον οὖν τὸν Ἀναστάσιον παρὰ Χοσρόην Ἰουστινιανὸς βασιλεὺς ἔπεμψε γράμματα γράψας. ταῦτα ἐπεὶ ὁ Χοσρόης ἀπενεχθέντα εἶδεν, ἐν μὲν τῷ αὐτίκα οὔτέ τι ἀπεκρίνατο, οὔτε τὸν Ἀναστάσιον ἀπεπέμψατο·

cap. 5. ἀλλ᾽ αὐτοῦ μένειν ἠνάγκαζεν. Ἐπειδὴ δὲ ὁ μὲν χειμὼν ἤδη ὑπέληγε, τρίτον δὲ καὶ δέκατον ἔτος ἐτελεύτα Ἰουστινιανῷ βασιλεῖ τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντι, Χοσρόης ὁ Καβάδου ἐς τὴν γῆν Ῥωμαίων, ἅμα ἦρι ἀρχομένῳ, στρατῷ μεγάλῳ ἐσέβαλε, τήν τε ἀπέραντον καλουμένην εἰρήνην

cap. 6. λαμπρῶς ἔλυεν. Ἐτύγχανε δὲ ὀλίγῳ ἔμπροσθεν βασιλεὺς ἀρχὴν τῆς ἕω τὴν στρατηγοῦ διελὼν δίχα· καὶ τὰ μὲν

ἄχρι

ἄχρι ἐς ποταμὸν Εὐφράτην ἐς τὸ Βελισαρίȣ ἀπολιπὼν ὄνομα, ὃς ξύμπασαν τὴν ἀρχὴν τὰ πρότερα εἶχε· τὰ δὲ ἐνθένδε μέχρι τῶν Περσικῶν ὁρίων τῷ Βȣζῃ ἐπιτρέψας, ὃν δὴ ἁπάσης ἐπιμελεῖσθαι τῆς ἑώας ἀρχῆς, ἕως Βελισάριος ἐξ Ἰταλίας ἐπανήκοι, ἐκέλευε. διὸ δὴ ὁ Βȣζης ἅπαντα τὸν ςρατὸν ἑπόμενον ἔχων, ἐκελεύετο τὰ πρὸς πόλεμον ἐξαρτύειν. ἀλλ' ȣκ ἦν αὐτάρκης ἀντιςῆναι τῷ Χοσρόῃ· ὅθεν μετὰ τὴν ἅλωσιν Βεροίας καὶ Ἀντιοχείας Χοσρόης τε καὶ οἱ πρέσβεις, ȣ̓ς εἰς τὸ διαλέγεσθαι περὶ εἰρήνης πάλαι ἐπεπόμφει Ἰȣςινιανὸς, πολλὰ ἀλλήλȣς διαλεχθέντες ξυνέβησαν ὕςερον, ἐφ' ᾧ Χοσρόην ἐν μὲν τῷ παραυτίκα κεντηνάρια πεντήκοντα πρὸς Ῥωμαίων λαβόντα, πέντε δὲ ἄλλων φερομένων ἐπέτειον ἐς τὸν πάντα αἰῶνα δασμὸν, μηδὲν αὐτȣ̀ς ἐργάσεσθαι περαιτέρω κακόν. ἀλλ' αὐτὸν μὲν ὁμήρȣς ἐπὶ ταύτῃ τῇ ὁμολογίᾳ παρὰ τῶν πρέσβεων κεκομισμένον τὴν ἀποπορείαν παντὶ τῷ ςρατῷ ἐς τὰ πάτρια ἤδη ποιήσασθαι. ἐνταῦθα δὲ πρέσβεις παρὰ βασιλέως Ἰȣςινιανȣ̃ ςελλομένȣς τὰς ἀμφὶ τῇ εἰρήνῃ ξυνθήκας ἐν βεβαίῳ τὸ λοιπὸν θέσθαι. Χρόνῳ δὲ ȣ̓ πολλῷ ὕςερον καὶ γράμματα Χοσρόῃ βασιλεὺς Ἰȣςινιανὸς ἔγραψεν, ἐπιτελέσειν ὁμολογῶν τά τε αὐτῷ καὶ τοῖς πρέσβεσιν ἀμφὶ τῇ εἰρήνῃ ξυγκείμενα. ἅπερ ἐπεὶ ὁ Χοσρόης ἀπενεχθέντα εἶδε, τȣ̀ς τε ὁμήρȣς ἀφῆκε, καὶ συνεσκευάζετο ἐς τὴν ἄφοδον. cap. 10. cap. 13.

Ἔπειτα ὁ Χοσρόης ἐπὶ Κολχίδα τὸν ςρατὸν ἦγε, Λαζῶν αὐτὸν ἐπαγομένων ἐξ αἰτίας τοιᾶσδε. Λαζοὶ τὰ μὲν πρῶτα γῆν τὴν Κολχίδα ᾤκȣν, Ῥωμαίων κατήκοοι ὄντες· ȣ̓ μέν τοι ἐς φόρȣ ἀπαγωγὴν, ȣ̓δέ τι ἄλλο ἐπαγγέλλȣσιν αὐτοῖς ἐπακȣ́οντες, πλήνγε δὴ ὅτι, ἐπειδὰν αὐτοῖς ὁ βασιλεὺς τελευτήσειε, ξύμβολα τῆς ἀρχῆς τῷ διαδεξομένῳ τὴν βασιλείαν ὁ Ῥωμαίων βασιλεὺς ἔπεμπε. τὰ δὲ τῆς χώρας ὅρια ξὺν τοῖς ἀρχομένοις ἐς τὸ ἀκριβὲς διεφύλασσεν· ὅπως δὴ μὴ Οὖννοι πολέμιοι ἐξ ὄρȣς τȣ̃ Καυκάσȣ, ὁμόρȣ σφίσιν ὄντος, διὰ Λαζικῆς πορευόμενοι, ἐσβάλλωσιν εἰς γῆν τῶν Ῥωμαίων. ἐφύλασσον δὲ, ȣ̓δὲ αὐτοὶ χρήματα ἢ ςρατιὰν πρὸς Ῥωμαίων δεχόμενοι, ȣ̓δὲ Ῥωμαίοις πη ξυςρατεύοντες· ἐπ' ἐμπορίᾳ δὲ τῇ κατὰ θάλασσαν πρὸς Ῥωμαίȣς ἀεὶ τȣ̀ς ἐν Πόντῳ ᾠκημένȣς ἐργαζόμε- cap. 15.

ζόμενοι. αὐτοὶ μὲν γὰρ ὔτε ἅλας, ὔτε σῖτον, ὔτε ἄλλο τι ἀγαθὸν ἔχουσι· δέῤῥεις δὲ καὶ βύρσας καὶ ἀνδράποδα παρεχόμενοι, τὰ σφίσιν ἐπιτήδεια ἐκομίζοντο. ἐπειδὴ δὲ τὰ ἀμφὶ Γουργένει τῷ Ἰβήρων βασιλεῖ γενέσθαι ξυνέπεσεν στρατιῶται Ῥωμαίων ἐπιχωριάζειν Λαζοῖς ἤρξαντο, οἷς δὴ οἱ βάρβαροι οὔτοι ἤχθοντο, καὶ πάντων μάλιστα Πέτρῳ τῷ στρατηγῷ, ἐπηρεάζειν τοῖς ἐντυγχάνουσιν εὐπετῶς ἔχοντι. ὁ δὲ Πέτρος οὗτος ὥρμητο μὲν ἐξ Ἀρζανηνῆς, ἣ ἐκτὸς Νυμφίου ποταμοῦ ἐστι, Περσῶν κατήκοος ἐκ παλαιοῦ οὖσα. Ἰουστίνου δὲ βασιλέως, ἔτι παῖς ὤν, ἠνδραποδίσθη, ἡνίκα Ἰουστῖνος μετὰ τῆς Ἀμίδης ἅλωσιν, ξὺν τῷ Κέλερος στρατῷ, ἐσέβαλεν ἐς τὴν Περσῶν γῆν. φιλανθρωπίᾳ δὲ πολλῇ χρωμένου τοῦ κεκτημένου ἐς αὐτὸν, ἐς γραμματιστοῦ ἐφοίτησε. καὶ τὰ μὲν πρῶτα Ἰουστίνου γραμματεὺς γέγονεν· ἐπεὶ δὲ, Ἀναστασίου τετελευτηκότος, Ἰουστῖνος τὴν βασιλείαν παρέλαβε Ῥωμαίων· ὁ Πέτρος στρατηγὸς γεγονὼς, εἴς τε φιλοχρηματίαν, εἴπερ τις ἄλλος, ἐξώκειλε, καὶ ἀβελτηρίᾳ πολλῇ ἐς ἅπαντας ἐχρῆτο. Ὕστερον δὲ βασιλεὺς Ἰουστινιανὸς, ἄλλους τε ἐς Λαζικὴν ἄρχοντας ἔπεμψε, καὶ Ἰωάννην, ὃν Τζίβον ἐκάλουν· ἄνδρα ἐξ ἀφανῶν μὲν καὶ ἀδόξων ἐς ἀρχὴν γεγονότα, ἐς στρατηγίαν δὲ ἀναβεβηκότα κατ' ἄλλο οὐδὲν, ἢ ὅτι πονηρότατός τε ἦν ἀνθρώπων ἁπάντων, καὶ πόρους χρημάτων ἀδίκων ἱκανώτατος ἐξευρεῖν. ὃς δὴ ἅπαντα ἔσφηλέ τε καὶ συνετάραξε τὰ Ῥωμαίων τε καὶ Λαζῶν πράγματα. οὗτος καὶ βασιλέα Ἰουστινιανὸν πόλιν ἀνέπεισεν ἐπιθαλασσίαν, Πέτραν ὄνομα, ἐν Λαζοῖς δείμασθαι. ἐνταῦθά τε, ὥσπερ ἐν ἀκροπόλει καθήμενος, ἦγέ τε καὶ ἔφερε τὰ Λαζῶν πράγματα. τούς τε γὰρ ἅλας, καὶ ὅσα ἄλλα φορτία Λαζοῖς ἀναγκαῖα ἐδόκει εἶναι, οὐκέτι φέρειν ἐς γῆν τὴν Κολχίδα τοῖς ἐμπόροις ἐξῆν, ἢ ἄλλο ἐνθένδε ὠνεῖσθαι. ἀλλ' ἐν Πέτρᾳ ξυστησάμενος τὸ δὴ καλούμενον μονοπώλιον, αὐτὸς κάπηλός τε καὶ ξυμπάσης τῆς περὶ ταῦτα ἐργασίας ἐπιστάτης ἐγίνετο· ἅπαντα ὠνούμενός τε καὶ ἀποδιδόμενος Κόλχοις, οὐχ ᾗπερ εἰώθει, ἀλλ' ᾗπερ ἐξῆν. ἅμα καὶ ἄλλως οἱ βάρβαροι ἤχθοντο ἐπιχωριάζοντι αὐτοῖς, οὐκ εἰωθὸς πρότερον τῷ Ῥωμαίων στρατῷ. ἃ δὴ οὐκέτι φέρειν οἷοί τε ὄντες, Πέρσαις τε καὶ Χοσρόῃ προσχωρεῖν ἔγνωσαν· πρέσβεις τε αὐτίκα τοὺς ταῦτα

τα διαπραξομένους, κρύφα Ῥωμαίων, παρ' αὐτοὺς ἔπεμψαν. οἷς δὴ εἴρητο τὰ πιστὰ πρὸς Χοσρόου λαβοῦσιν, ὅτι γε ἔποτε Λαζοὺς ἄκοντας ἐκδώσει Ῥωμαίοις, οὕτω δὴ αὐτῶν ξὺν τῷ Περσῶν στρατῷ ἐς τὴν χώραν ἀπαγαγέσθαι. Χοσρόης δὲ ἀμύνειν τε Λαζοῖς ὡμολόγησε, καὶ τῶν πρέσβεων ἐπυνθάνετο, εἰ οἱ στρατῷ μεγάλῳ ἐς γῆν τὴν Κολχίδα ἰέναι δυνατὰ εἴη; πολλῶν γὰρ ἀπαγγελλόντων ἔφασκεν ἀκηκοέναι, τὰ πρότερα δύσοδον ἐπιεικῶς καὶ ἀνδρὶ εὐζώνῳ τὴν χώραν εἶναι. κρημνώδη δὲ ὑπερφυῶς οὖσαν, καὶ δένδροις συχνοῖς τε καὶ ἀμφιλαβέσιν ἐπὶ μακρότατον ξυνεχομένην· οἱ δέ οἱ ἰσχυρίζοντο παντὶ τῶν Περσῶν στρατῷ τὴν ἐκείνῃ ὁδὸν εὐπετῆ ἔσεσθαι, τέμνουσι μὲν τὰ δένδρα, ἐς δὲ τῶν κρημνῶν τὰς δυσχωρίας αὐτὰ ἐμβαλλομένοις. καὶ αὐτοὶ ὡμολόγουν τῆς τε ὁδοῦ ἡγεμόνες, καὶ τοῦ ἔργου τούτου Πέρσαις ἔσεσθαι πρόνοοι. ταύτῃ ὁ Χοσρόης ἐπηρμένος τῇ ὑποθήκῃ, στρατιάν τε πολλὴν ἤγειρε, καὶ τὰ ἐς τὴν ἔφοδον ἐξηρτύετο. οὐδὲ τὸ βούλευμα ἐς Πέρσας ἐξενεγκών, πλήν γε δὴ οἷς τὰ ἀπόῤῥητα κοινολογεῖσθαι μόνοις εἰώθει. καὶ τοῖς πρέσβεσιν ἐπαγγείλας, ὅπως τὰ πρασσόμενα μηδενὶ φράσωσιν, ἐς Ἰβηρίαν τῷ λόγῳ ἐστέλλετο, ὡς τὰ τῇδε καταστησόμενος πράγματα· ἔθνος γὰρ Οὐννικὸν ἐνταῦθά πη ἐπισκῆψαι τῇ Περσῶν ἀρχῇ ἐπεφήμιζεν. Ἐν τούτῳ δὲ γενόμενος Βελισάριος ἐν Μεσοποταμίᾳ πανταχόθεν τὸν στρατὸν ἤγειρε, καί τινας ἐς τὰ Περσῶν ἤθη ἐπὶ κατασκοπῇ ἔπεμπεν. αὐτὸς δὲ τοῖς πολεμίοις ἐνταῦθα ὑπαντιάσαι βουλόμενος, ἤν τινα ἐσβολὴν ἐς Ῥωμαίων τὴν γῆν αὖθις ποιήσωνται, διεῖπέ τε αὐτοῦ καὶ διεκόσμει τοὺς στρατιώτας, γυμνούς τε καὶ ἀνόπλους ἐπὶ πλεῖστον ὄντας, καὶ κατωῤῥωδηκότας τὸ Περσῶν ὄνομα. οἱ μὲν οὖν κατάσκοποι ἐπανήκοντες, οὐδεμίαν τῶν πολεμίων ἰσχυρίζοντο ἐν τῷ παρόντι ἐσβολὴν ἔσεσθαι· πολέμου γὰρ Οὐννικοῦ ἀσχολίαν Χοσρόῃ ἑτέρωθι εἶναι. Βελισάριος δὲ ταῦτα ἀκούσας, παντὶ τῷ στρατῷ ἐσβάλλειν τῶν πολεμίων τῇ γῇ ἤθελε. καί οἱ Ἀρέθας τε ξὺν πολλῷ στρατῷ Σαρακηνῶν ἦλθε· καὶ βασιλεὺς, γράμματα γράψας, ἐσβάλλειν κατὰ τάχος ἐς τὴν πολεμίαν γῆν ἐπέστελλε. Βελισάριος μὲν οὖν τὰ ἐς τὴν ἐσβολὴν σπουδῇ πολλῇ ἐξηρτύετο. cap. 16.

Χοσρόης δὲ καὶ ὁ Μήδων στρατὸς, ἐπειδὴ τὴν Ἰβηρίαν cap. 17.

ρίαν ἀμείψαντες, ἐν τοῖς τῆς Λαζικῆς ὁρίοις, τῶν πρέσ-
βεων σφίσιν ἡγȣμένων, ἐγένοντο· τὰ δένδρα, ȣ̓δενὸς ἀν-
τιςατȣ͂ντος ἐκτέμνοντες, ἅπερ ἐνταῦθα συχνά τε καὶ δει-
νῶς ἀμφιλαβῆ τε καὶ ὑψηλὰ ἐν χωρίοις κρημνώδεσιν ὄν-
τα, παντάπασιν ἄβατον τῇ ςρατιᾷ τὴν χώραν ἐποίει·
ταῦτά τε ἐς τὰς δυσχωρίας ἐῤῥίπτȣν, καὶ ὅλως εὐπετῆ
τὴν ὁδὸν ἀπειργάζοντο. ἀφικομένοις τε αὐτοῖς ἐς μέσην
Κολχίδα (ȣ̓ δὴ καί τε ἀμφὶ Μήδειαν Ἰάσονα οἱ ποιηταὶ
γεγενῆσθαι μυθολογȣ͂σιν·) ἐλθὼν Γȣβάζης, ὁ Λαζῶν βα-
σιλεὺς, προσεκύνησεν, ἅτε δεσπότην, Χοσρόην τȣ͂ Καβά-
δȣ· αὐτόν τέ οἱ, ξὺν τοῖς βασιλείοις, καὶ Λαζικὴν ἐνδι-
δȣ̀ς ἅπασαν. Ἔςι δὲ Πέτρα πόλις ἐπιθαλασσία ἐν Κόλ-
χοις, πρὸς τῷ Εὐξίνῳ καλȣμένῳ πόντῳ, ἣν δὴ φαῦλόν
τι χωρίον τὰ πρότερα ȣ̓͂σαν, Ἰȣςινιανὸς βασιλεὺς τῷ τε
περιβόλῳ καὶ τῇ ἄλλῃ κατασκευῇ, ἐχυράν τε καὶ ἄλλως
ἐπιφανῆ κατεςήσατο. ἐνταῦθα τὸ Ῥωμαίων ςράτευμα εἶ-
ναι ξὺν τῷ Ἰωάννῃ μαθὼν ὁ Χοσρόης, ἄγχιςα τȣ͂ Πέτρας
περιβόλȣ ἀφίκετο, καὶ ςρατοπεδευσάμενος ἐς πολιορκίαν
καθίςατο· μετ᾽ ȣ̓ πολὺ εἷλεν αὐτὴν, καὶ τὰ μὲν Ἰωάννȣ
χρήματα λίαν ἁδρὰ εὑρὼν, αὐτὸς ἔλαβε· τῶν δὲ ἄλλων
ȣ̓δενὸς ȣ̓͂τε αὐτὸς, ȣ̓͂τέ τις τῶν Περσῶν ἥψατο. ἀλλὰ
Ῥωμαῖοι, τὰ σφέτερα ἔχοντες, τῷ Μήδων ςρατῷ ἀνεμίγ-
cap. 18. νυντο. Ἐν τȣ́τῳ δὲ Βελισάριός τε καὶ ὁ Ῥωμαίων ςρα-
τὸς, ȣ̓δέν τι πεπεισμένοι ὧν ταύτῃ ἐπράσσετο, κόσμῳ πολ-
cap. 19. λῷ ἐκ Δάρας πόλεως ἐπὶ Νίσιβιν ᾔεισαν. Χοσρόῃ δὲ
Πέτραν ἑλόντι Βελισάριος ἐσβαλὼν ἐς γῆν τὴν Περσίδα
ἠγγέλλετο, καὶ ἡ ἀμφὶ πόλιν Νίσιβιν ξυμβολὴ, Φρȣρίȣ
τε τῶν Σισαυράνων ἡ ἅλωσις, καὶ ὅσα Τίγριν ποταμὸν
διαβὰν τὸ ξὺν Ἀρέθα ςράτευμα ἔπρασσεν· αὐτίκα τε φυ-
λακὴν ἐν τῇ Πέτρᾳ καταςησάμενος, ξὺν τῷ ἄλλῳ ςρατῷ
καὶ Ῥωμαίων τοῖς ἁλȣ͂σιν ἐς τὰ Περσῶν ἤθη ἀπήλαυνε.
ταῦτα μὲν ἐν τῇ δευτέρᾳ Χοσρόȣ ἐσβολῇ ξυνηνέχθη γε-
νέσθαι. Βελισάριος δὲ βασιλεῖ ἐς Βυζάντιον μετάπεμπτος
ἐλθὼν διεχείμαζεν.

cap. 20. Ἅμα δὲ ἦρι ἀρχομένῳ, Χοσρόης ὁ Καβάδȣ τὸ τρίτον
ςρατῷ μεγάλῳ ἐς γῆν τὴν Ῥωμαίων ἐσέβαλλε, ποταμὸν
Εὐφράτην ἐν δεξιᾷ ἔχων. Γνȣ̀ς δὲ τὴν Περσῶν ἔφοδον
Ἰȣςινιανὸς βασιλεὺς, Βελισάριον αὖθις ἐπ᾽ αὐτȣ̀ς ἔπεμψεν.

ὁ

ὁ δὲ ἵπποις τοῖς δημοσίοις ὀχούμενος, οὓς δὴ Βερέδους καλεῖν νενομίκασιν, ἅτε οὐ στράτευμα ξὺν αὐτῷ ἔχων, τάχει πολλῷ ἐς Εὐφρατησίαν ἀφίκετο, καὶ τὸν στρατὸν ἐς Εὐρωπὸν ἤγαγε. Χοσρόης δὲ μαθὼν Βελισάριον παντὶ τῷ στρατῷ ἐστρατοπεδεῦσθαι ἐν Εὐρωπῷ, πρόσω μὲν ἐλαύνειν οὐκέτι ἔγνω· τῶν δὲ βασιλικῶν γραμματέων ἕνα, Ἀβανδάνην τοὔνομα, δόξαν ἐπὶ πολλὴν ἔχοντα, παρὰ Βελισάριον ἔπεμψε, τὸν στρατηγὸν μὲν, ὁποῖός ποτε εἴη, κατασκεψόμενον, τῷ δὲ λόγῳ μεμψόμενον, ὅτι δὴ βασιλεὺς Ἰουστινιανὸς τοὺς πρέσβεις ἐς Πέρσας ἥκιστα πέμψειε, ἐφ' ᾧ τὰ ἀμφὶ τῇ εἰρήνῃ κατὰ τὰ συγκείμενα πρυτανεύσωσιν. Βελισάριος δὲ οὔτε κατωῤῥωδήσας, ἅτε πη ἄγχιστα ἐστρατοπεδευμένων βαρβάρων τοσούτων πλῆθος, οὔτε τῷ λόγῳ ἐς ταραχήν τινα καταστὰς, ἀλλὰ γελῶντί τε καὶ ἀνειμένῳ τῷ προσώπῳ ἀμείβεται· οὐ ταύτῃ λέγων, ᾗ τῷ Χοσρόῃ τανῦν, εἰργάσθαι νενομίσθαι τοῖς ἀνθρώποις τὰ πράγματα. οἱ μὲν γὰρ ἄλλοι, ἤν τι ἀντιλέγοιτο σφίσι τε τῶν πέλας τισὶ, πρεσβεύουσι μὲν ἐς αὐτοὺς πρότερον· ἐπειδὰν δὲ τῶν μετρίων οὐ τύχωσιν, οὕτω δὴ πολέμῳ ἐς αὐτοὺς ἴασιν. ὁ δὲ γενόμενος ἐν μέσοις Ῥωμαίοις εἶτα τοὺς ὑπὲρ τῆς εἰρήνης προτείνεται λόγους. ὁ μὲν τοσαῦτα εἰπὼν, τὸν πρεσβευτὴν ἀπεπέμψατο. ὁ δὲ παρὰ Χοσρόην γενόμενος, παρῄνει οἱ ὅτι τάχιστα ἀπαλλάσσεσθαι· στρατηγῷ γὰρ ἔφη ἐντυχεῖν ἀνδρειοτάτῳ τε καὶ συνετωτάτῳ ἀνθρώπων ἁπάντων, καὶ στρατιώταις, οἵους ἄλλους αὐτὸς οὐ πώποτε εἶδεν. ὧν δὴ τὴν εὐκοσμίαν θαυμάσειε μάλιστα πάντων· εἶναί τε οὐκ ἐξ ἀντιπάλου τοῦ κινδύνου αὐτῷ τε καὶ Βελισαρίῳ τὴν ἀγωνίαν. διαφέρειν δὲ, ὅτι νικήσας μὲν αὐτὸς, τὸν Καίσαρος νικήσει δοῦλον· ἡσσηθεὶς δὲ, ἂν οὕτω τύχοι, μέγα τι αἶσχος τῇ τε βασιλείᾳ ποριεῖται καὶ τῷ Περσῶν γένει· καὶ Ῥωμαῖοι μὲν νενικημένοι ῥᾳδίως ἂν ἔν τε ὀχυρώμασι καὶ γῇ τῇ αὐτῶν διασώζοιντο. αὐτῶν δὲ, ἤν γέ τι ἐναντίωμα ξυμβαίη, οὐδ' ἂν ἄγγελος διαφύγοι ἐς τὴν Περσῶν χώραν. ταύτῃ ὁ Χοσρόης ἀναπεισθεὶς τῇ ὑποθήκῃ, ἀναστρέφειν μὲν ἐς τὰ Περσῶν ἤθη ἐβούλετο· ἀμηχανίᾳ δὲ πολλῇ εἴχετο. τήν τε γὰρ διάβασιν τοῦ ποταμοῦ πρὸς τῶν πολεμίων φυλάσσεσθαι ᾤετο, καὶ ὁδῷ τῇ αὐτῇ, ἐρήμῳ ἀνθρώπων παντάπασιν οὔσῃ, ὀπίσω ἀπελαύνειν

cap. 21.

νειν οὐχ οἷός τε ἦν· ἐπεὶ ἅπαντα σφᾶς τὰ ἐπιτήδεια ἤδη ἐπελελοίπει, ἅπερ τὰ πρότερα ξὺν αὐτοῖς ἔχοντες, ἐς γῆν Ῥωμαίων ἐσέβαλλον. τέλος δὲ πολλὰ λογισαμένῳ ξυμφορώτατόν οἱ ἔδοξεν εἶναι μάχῃ διακινδυνεύσαντι ἐς γῆν τε τὴν ἀντιπέρας ἥκειν, καὶ διὰ χώρας πᾶσιν εὐθηνούσης τοῖς ἀγαθοῖς τὴν πορείαν ποιήσασθαι. Βελισάριος δὲ εὖ μὲν ἠπίστατο, ὡς οὐδ' ἂν δέκα μυριάδες ἀνδρῶν τὴν διάβασιν Χοσρόῃ ἀναχαιτίζειν ποτὲ ἱκαναὶ εἶεν. ὅ τε γὰρ ποταμὸς πολλαχῇ τῶν ταύτῃ χωρίων ναυσὶ διάβατος ὢν ἐπιπλεῖστον τυγχάνει, καὶ κρεῖσσον ἦν ἄλλως τὸ Περσῶν στράτευμα, ἢ πρὸς πολεμίων ὀλίγων τινῶν τῆς διαβάσεως ἀποκεκλεῖσθαι. τοῖς δὲ ἀμφὶ Διογένην τε καὶ Ἀδόλιον σὺν τοῖς χιλίοις ἐπέστελλε τὰ πρῶτα προϊέναι τὴν ἐκείνῃ ἀκτὴν, ὅπως δὲ ἐς ταραχὴν ἀφασίᾳ τινὶ τὸν βάρβαρον καταστήσονται. ὅνπερ δεδιξάμενος ἔδεισε, μή τι αὐτῷ ἐμπόδισμα εἴη ἀπαλλάσσεσθαι ἐκ τῆς Ῥωμαίων γῆς. λόγου δέ οἱ πολλοῦ ἄξιον ἐφαίνετο εἶναι, ἐξελάσαι ἐνθένδε τὸν Χοσρόου στρατὸν, οὐδεμιᾷ κινδυνεύσαντι μάχῃ πρὸς μυριάδας βαρβάρων πολλὰς ξὺν στρατιώταις λίαν τε ὀλίγοις οὖσι, καὶ ἀτεχνῶς κατεπτηχόσι τὸν Μήδων στρατόν. διὸ δὴ ἐκέλευε Διογένην τε καὶ Ἀδόλιον ἡσυχῇ μένειν. Ὁ οὖν Χοσρόης γέφυραν σὺν πολλῷ τάχει πηξάμενος, ποταμὸν Εὐφράτην ἐκ τοῦ αἰφνιδίου διέβη παντὶ τῷ στρατῷ. Πέρσαις γὰρ πόνῳ οὐδενὶ διάβατοί εἰσιν οἱ ποταμοὶ ἅπαντες, ἐπεὶ αὐτοῖς ὁδῷ ἰοῦσιν ἀγκιστροειδῆ σιδήρια ἐν παρασκευῇ ἐστιν, οἷς δὴ ξύλα μακρὰ ἐς ἄλληλα ἁρμόζοντες, γέφυραν αὐτοσχεδιάζουσιν ἐκ τοῦ παραυτίκα ὅπῃ ἂν σφίσι βουλομένοις εἴη. ἐπεὶ δὲ τάχιστα γέγονεν ἐν τῇ ἀντιπέρας ἠπείρῳ, πέμψας παρὰ Βελισάριον, αὐτὸς μὲν Ῥωμαίοις κεχαρίσθαι τοῦ Μήδων στρατοῦ τὴν ἀναχώρησιν ἔφασκε· προσδέχεσθαι δὲ τοὺς παρ' αὐτῶν πρέσβεις, οὓς σφίσι παρέσεσθαι οὐκ ἐς μακρὰν ἄξιον εἶναι. Βελισάριος δὲ παντὶ καὶ αὐτὸς τῷ Ῥωμαίων στρατῷ τὸν Εὐφράτην ποταμὸν διαβὰς, παρὰ Χοσρόην εὐθὺς ἔπεμψεν. οἱ, ἐπεὶ παρ' αὐτὸν ἥκοντο, πολλὰ τῆς ἀναχωρήσεως ἐπαινέσαντες, πρέσβεις ἐς αὐτὸν ἥξειν παρὰ βασιλέως αὐτίκα δὴ μάλα ὑπέσχοντο, οἳ δὴ τὰ ἀμφὶ τῇ εἰρήνῃ ξυγκείμενα πρότερον, ἔργῳ ἐπιτελῆ πρὸς αὐτὸν θήσονται. ἠξίουν δὲ διὰ Ῥωμαίων, ἅτε φίλων αὐτῷ, τὴν

πορεί-

πορεία χρῆσθαι. ὁ δὲ καὶ ταῦτα ὑπεδέχετο ἐπιτελέσειν, εἴ τινά οἱ δοῖεν τῶν δοκίμων ἐν ὁμήρων λόγῳ ἐπὶ ταύτῃ τῇ ὁμολογίᾳ, ἐφ' ᾧ τὰ ξυγκείμενα πράξουσιν. οἱ μὲν οὖν πρέσβεις παρὰ Βελισάριον ἐπανήκοντες τοὺς Χοσρόου λόγους ἀπήγγελλον. ὁ δὲ ἐς τὴν Ἔδεσαν ἀφικόμενος, Ἰωάννην τὸν Βασιλείου παῖδα, γένει τε καὶ πλούτῳ πάντων τῶν Ἐδεσηνῶν διαφανέστατον, ὅμηρον τῷ Χοσρόῃ, οὔτε ἑκούσιον, εὐθὺς ἔπεμψεν. Ῥωμαῖοι δὲ Βελισάριον ἐν εὐφημίαις εἶχον· μᾶλλόν τε σφίσιν ὁ ἀνὴρ ἐν τούτῳ εὐδοκιμῆσαι τῷ ἔργῳ ἐδόκει, ἢ ὅτε Γελίμερα δορυάλωτον ἢ τὸν Οὐίττιγιν ἐς Βυζάντιον ἤνεγκεν. ἦν γὰρ ὡς ἀληθῶς λόγου καὶ ἐπαίνου πολλοῦ ἄξιον, πεφοβημένων μὲν κἂν τοῖς ὀχυρώμασι κρυπτομένων Ῥωμαίων ἁπάντων, Χοσρόου δὲ στρατῷ μεγάλῳ ἐν μέσῃ γεγονότος Ῥωμαίων ἀρχῇ, ἄνδρα στρατηγὸν ξὺν ὀλίγοις τισὶ δρόμῳ ὀξεῖ ἐκ Βυζαντίου μεταξὺ ἥκοντα, ἀπεναντίας τοῦ Περσῶν βασιλέως στρατοπεδεύσασθαι· Χοσρόην δὲ ἐκ τοῦ ἀπροσδοκήτου (ἢ τὴν τύχην ἢ τὴν ἀρετὴν τοῦ ἀνδρὸς δείσαντα, ἢ καί τισιν ἐξαπατηθέντα σοφίσμασιν) ἐπίπροσθε μηκέτι χωρῆσαι· ἀλλὰ τῷ μὲν ἔργῳ φυγεῖν, λόγῳ δὲ τῆς εἰρήνης ἐφίεσθαι. Ἐν τούτῳ δὲ Χοσρόης ἀλογήσας τὰ ὡμολογημένα, Καλλίνικον πόλιν, οὐδενὸς τὸ παράπαν ἀμυνομένου, εἷλε. ταύτης γὰρ τὸν περίβολον ὁρῶντες Ῥωμαῖοι σαθρόν τε καὶ εὐάλωτον παντάπασιν ὄντα, μοῖραν αὐτοῦ ἀεὶ καθαιροῦντές τινα, νέᾳ τινὶ ἀνενεοῦντο οἰκοδομίᾳ. τότε γοῦν μέρος τι αὐτοῦ καθελόντες, οὔπω δὲ τὸ λειπόμενον τοῦτο δειμάμενοι, ἐπειδὴ τοὺς πολεμίους ἄγχιστά πῃ ἐπύθοντο εἶναι, τῶν χρημάτων ὑπεξαγαγόντες τὰ τιμιώτατα, οἱ μὲν εὐδαίμονες αὐτῆς τῶν οἰκητόρων, ἐς ἕτερα ἄττα ὀχυρώματα ἀπεχώρησαν, οἱ δὲ λοιποὶ στρατιωτῶν χωρὶς αὐτοῦ ἔμειναν. καὶ γεωργῶν δὲ παμπολύ τι χρῆμα ἐνταῦθα ξυνειλέχθαι ξυνέβη. οὓς δὴ ὁ Χοσρόης ἀνδραποδίσας ἅπαντα ἐς ἔδαφος καθεῖλεν. ὀλίγῳ δὲ ὕστερον τὸν ὅμηρον Ἰωάννην δεξάμενος, ἀπεχώρησεν εἰς τὰ πάτρια ἤθη. Ἀρμένιοί τε, οἱ τῷ Χοσρόῃ προσκεχωρηκότες, τὰ πιστὰ πρὸς Ῥωμαίων λαβόντες, ξὺν τῷ Βασσάκῃ ἐς Βυζάντιον ἦλθον. ταῦτα μὲν ἐν τῇ τρίτῃ Χοσρόου ἐσβολῇ Ῥωμαίοις γενέσθαι ξυνέβη· καὶ Βελισάριος βασιλεῖ ἐς Βυζάντιον ἦλθε μετάπεμπτος, ἐφ' ᾧ

ἐς

ἐς Ἰταλίαν εὐθὺς ϛαλήσεται, πονήρων ἤδη παντάπασι τῶν ἐκείνῃ πραγμάτων Ῥωμαίοις ὄντων.

cap. 26. Χρόνῳ δὲ ȣ πολλῷ ὕϛερον Χοσρόης ὁ Καβάδȣ τὸ τέταρτον ἐς γῆν τὴν Ῥωμαίων ἐσέβαλλεν, ἐπὶ τὴν Μεσοποταμίαν τὸ ϛράτευμα ἄγων. αὕτη δὲ ἡ ἐσβολὴ τῷ Χοσρόῃ τȣ́τῳ ȣ πρὸς Ἰȣϛινιανὸν τὸν βασιλέα Ῥωμαίων πεποίηται· ȣ μὴν ȣ̓δὲ ἐπ' ἄλλων ἀνθρώπων ȣ̓δένα, ὅτι μὴ ἐπὶ τὸν Θεὸν, ὅνπερ Χριϛιανοὶ σέβονται μόνον. ἐπειδὴ γὰρ ἐν τῇ πρώτῃ ἐφόδῳ, Ἐδέσης ἀποτυχὼν, ἀνεχώρησεν· πολλή τις ἐγεγόνει αὐτῷ τε καὶ μάγοις, ἅτε πρὸς τȣ̃ τῶν Χριϛιανῶν Θεȣ̃ ἡσσημένοις, κατήφεια. ἣν δὴ παρηγορῶν ὁ Χοσρόης ἐν τοῖς βασιλείοις, Ἐδεσηνȣ̀ς μὲν ἀνδραποδιεῖν ἠπείλησεν ἅπαντας ἐς τὰ Περσῶν ἤθη, τὴν δὲ πόλιν μηλόβοτον καταϛήσεσθαι. παντὶ γȣ̃ν τῷ ϛρατῷ ἀγχȣ̃ Ἐδέσης γενόμενος, κελεύει ἄνευ διατριβῆς χρόνȣ ἐπιπεσεῖν τῇ πόλει. Ῥωμαίων δὲ ϛρατιωτῶν τε καὶ τῶν ἀπὸ τȣ̃ δήμȣ ἐπεξελθόντων τοῖς πολεμίοις, ἡ μὲν μάχη ἐκ χειρὸς γέγονεν, ἐν ᾗ ἑκάτεροι τὸ πλέον ἔχειν οἰόμενοι, διελύθησαν. καὶ Ῥωμαῖοι μὲν ἐντὸς τȣ̃ περιβόλȣ ἐγένοντο. οἱ δὲ βάρβαροι ἀπὸ ϛαδίων τῆς πόλεως ἑπτὰ διεσκηνημένοι, ἐϛρατοπεδεύσαντο ἅπαντες. Τότε ὁ Χοσρόης, εἴτε τινα ὄψιν ὀνείρȣ εἶδεν, ἤ τις αὐτῷ ἔννοια γέγονεν, ὡς δὶς ἐγχειρήσας, ἣν μὴ δυνατὸς εἴη Ἐδέσαν ἐξελεῖν, πολλήν οἱ αἰσχύνην τινα περιβαλέσθαι ξυμβήσεται. ὡς δὴ πολλῶν χρημάτων ὑποδόσθαι τὴν πόλιν Ἐδεσσηνοῖς τὴν ἀναχώρησιν ἔγνω. τῇ γȣ̃ν ἐπιγινομένῃ ἡμέρᾳ Παῦλος ἑρμηνεὺς παρὰ τὸ τεῖχος ἥκων, ἔφασκε Ῥωμαίȣς χρῆναι παρὰ Χοσρόην ϛαλῆναι τῶν δοκίμων τινάς. οἱ δὲ κατὰ τάχος τέσσαρας ἀπολεξάμενοι τῶν ἐν σφίσιν αὐτοῖς ἐπιφανῶν ἔπεμψαν. οἷς δὴ ἐς τὸ Μήδων ἀφικομένοις ϛρατόπεδον ἐντυχὼν γνώμῃ βασιλέως ὁ Ζαβεργάνης, ἀπειλάς τε πολλαῖς δειδιξάμενος, ἀνεπυνθάνετο αὐτῶν, ὁπότερα σφίσιν αἱρετώτερα τυγχάνει ὄντα, πότερον τὰ ἐς τὴν εἰρήνην, ἢ τὰ ἐς τὸν πόλεμον ἄγοντας; τῶν δὲ τὴν εἰρήνην ὀλέσθαι ἂν πρὸ τῶν κινδύνων ὁμολογȣ́ντων· ȣ̓κȣ̃ν, εἶπεν ὁ Ζαβεργάνης, ὠνεῖσθαι ὑμᾶς ταύτην ἀνάγκη χρημάτων πολλῶν. οἱ δὲ πρέσβεις ἔφασαν τοσαῦτα δώσειν, ὅσα παρέσχοντο πρότερον, ἡνίκα τὴν Ἀντιόχειαν ἐξελαύνων ἀν-

αὐτὰς ἦλθε. καὶ ὁ Ζαβεργάνης αὐτὰς ξὺν γέλωτι ἀπεπέμψατο, ἐφ' ᾧ ἐνδελεχέστατα βουλευσάμενοι ἀμφὶ τῇ σωτηρίᾳ ὅτω δὴ αὖθις παρ' αὐτὰς ἔλθωσιν. ὀλίγῳ τε ὕστερον μεταπεμψάμενος αὐτὰς ὁ Χοσρόης, ἐπειδὴ παρ' αὐτὸν ἥκοντο, κατέλεξε μὲν ὅσα τε πρότερον, καὶ ὅντινα τρόπον ἐξηνδραπόδισε Ῥωμαίων χωρία. ἠπείλησε δὲ τὰ δεινότερα Ἐδεσσηνοῖς πρὸς Περσῶν ἔσεσθαι, εἰ μὴ πάντα σφίσι τὰ χρήματα δοῖεν, ὅσα τὰ περιβόλα ἐντὸς ἔχουσιν· ὅτω γὰρ ἐνθένδε μόνως ἀπαλλαγήσεσθαι τὸν στρατὸν ἔφασκε. ταῦτα οἱ πρέσβεις ἀκούσαντες, ὡμολόγουν μὲν παρὰ Χοσρόου τὴν εἰρήνην ὠνήσεσθαι, ἥν γε σφίσι μὴ ἀδύνατον ἐπαγγείλειε· τοῦ δὲ κινδύνου τὸ πέρας οὐδενὶ τῶν πάντων ἔφασαν πρὸ τῆς ἀγωνίας ἔνδηλον εἶναι· πόλεμον γὰρ τοῖς αὐτὸν διαφέρουσιν ἐπὶ τοῖς ὁμολογουμένοις οὐ μή ποτε εἶναι. τότε μὲν οὖν ξὺν ὀργῇ ὁ Χοσρόης τὰς πρέσβεις ἐκέλευεν, ὅτι τάχιστα ἀπαλλαγήσεσθαι. Ἀπὸ τούτου τοῦ χρόνου ἐπολιόρκει μὲν παντὶ σθένει· τῆς δὲ πολιορκίας μὴ προχωρούσης, ἀλλὰ μᾶλλον βλαττομένων τῶν Περσῶν, τότε Παῦλος ὁ Περσῶν ἑρμηνεὺς παρὰ τὸ τεῖχος ἥκων Μαρτῖνον ἐκάλει, ἐφ' ᾧ τὰ ἐς τὴν ξύμβασιν διοικήσηται. οὕτω τε Μαρτίνου τοῖς Περσῶν ἄρχουσιν ἐς λόγους ἐλθόντος ξυνέβησαν· καὶ πέντε κεντηνάρια πρὸς τῶν Ἐδεσσηνῶν ὁ Χοσρόης λαβὼν, ἐν γράμμασιν αὐτοῖς τὴν ὁμολογίαν ἀπέλιπε τοῦ μηδὲν Ῥωμαίοις περαιτέρω λυμήνασθαι. τάτε χαρακώματα πάντα ἐμπρήσας, ἐπ' οἴκου ἀνεχώρησε παντὶ τῷ στρατῷ. cap. 26.

Ὑπὸ τὸν χρόνον τοῦτον Ῥωμαίων τετελευτήκασι στρατηγοὶ δύο, Ἰοῦστος τε ὁ βασιλέως ἀνεψιὸς, καὶ Περάνιος Ἴβηρ. Ἰοῦστος μὲν νόσῳ διαφθαρείς. Περανίῳ δὲ συνέβη ἐν κυνηγεσίῳ τοῦ ἵππου ἐκπεπτωκότι διαῤῥαγῆναι. διὸ δὴ ἀντ' αὐτῶν βασιλεὺς ἑτέρους καταστησάμενος, ἔπεμψε, Μάρκελλόν τε τὸν ἀδελφιδοῦν τὸν αὐτοῦ ἄρτι γενειάσκοντα, καὶ Κωνσταντιανὸν, ὃς δι' ὀλίγου πρότερον ἅμα Σεργίῳ παρὰ Χοσρόην πρεσβεύων ἐστάλη. ἔπειτα δὲ Ἰουστινιανὸς βασιλεὺς πρέσβεις παρὰ Χοσρόην ἐπὶ τῇ συμβάσει Κωνσταντιανόν τε καὶ Σέργιον ἔπεμψεν. οἱ δὲ αὐτὸν καταλαμβάνουσιν ἐν Ἀσσυρίοις, οὗ δὴ πολίσματα δύο, Σελεύκειά τε καὶ Κτησιφῶν ἐστι, Μακεδόνων αὐτὰ δειμαμένων, οἱ μετὰ τὸν cap. 28.

Φιλίππε Ἀλέξανδρον Περσῶν τε ἦρξαν καὶ τῶν ταύτῃ ἐθνῶν. ἄμφω δὲ ταῦτα Τίγρις ποταμὸς διορίζει· ἐ γὰρ ἄλλην χώραν μεταξὺ ἔχεσιν. ἐνταῦθα ἐντυχόντες Χοσρόῃ οἱ πρέσβεις, ἠξίεν μὲν τὰ ἐπὶ τῆς Λαζικῆς χωρία Ῥωμαίοις ἀποδῦναι, βεβαιότατα δὲ πρὸς αὐτὲς τὰ ἀμφὶ τῇ εἰρήνῃ κρατύνασθαι. Χοσρόης δὲ ἐ ῥάδιον αὐτὲς ἔφασκεν εἶναι ἀλλήλοις ξυμβῆναι, ἢν μή τινα ἐκεχειρίαν θέμενοι πρότερον, ὅτω τε ἀδεέςερον ἀεὶ ἐς ἀλλήλες φοιτῶντες, τά τε διάφορα διαλύσεσι, καὶ τὰ τῆς εἰρήνης ἐν τῷ ἀσφαλεῖ τὸ λοιπὸν θήσονται. χρῆναι δὲ ὑπὲρ τῆς ἐκεχειρίας χρήματά τε οἱ τῶν Ῥωμαίων αὐτοκράτορα δῦναι, καί τινα Τριβῦνον ὄνομα ἰατρὸν πέμψαι, ἐφ' ᾧ οἱ ξυνδιατρίψει τακτόν τινα χρόνον. ἐτύγχανε γὰρ ὁ ἰατρὸς ὅτος νόσε τε αὐτὸν ἀπαλλάξας χαλεπῆς πρότερον, καὶ ἀπ' αὐτῦ φίλος τε καὶ ποθεινὸς ἐς τὰ μάλιςα ὤν. ταῦτα ἐπεὶ βασιλεὺς Ἰεςινιανὸς ἤκεσε, τόν τε Τριβῦνον καὶ τὰ χρήματα εὐθὺς ἔπεμψε ξυνιόντα ἐς κεντηνάρια εἴκοσιν. ὅτω τε αἱ σπονδαὶ γεγόνασι Ῥωμαίοις τε καὶ Πέρσαις ἐς ἐνιαυτὲς πέντε, δέκατον καὶ ἔννατον ἔτος Ἰεςινιανῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος. Ὀλίγῳ δὲ ὕςερον Ἀρέθας τε καὶ Ἀλαμένδαρος οἱ τῶν Σαρακηνῶν ἄρχοντες πόλεμον πρὸς ἀλλήλες καταμόνας διέφερον, ἐδὲ Ῥωμαίων, ἐδὲ Περσῶν ἀμυνόντων σφίσι. καὶ Ἀλαμένδαρος μὲν ἕνα τῶν Ἀρέθα παίδων ἵππες νέμοντα ἐξ ἐπιδρομῆς ἑλὼν, τῇ Ἀφροδίτῃ εὐθὺς ἔθυσε. καὶ ἀπ' αὐτῦ ἐγνώσθη ἐ καταπροΐεσθαι τὰ Ῥωμαίων πράγματα Πέρσαις Ἀρέθας. μετὰ δὲ ξυνίασι μὲν ἐς μάχην ἑκάτεροι παντὶ τῷ ςρατῷ, νικῶσι δὲ κατὰ κράτος οἱ ξὺν τῷ Ἀρέθᾳ· τρεψάμενοί τε τὲς πολεμίες, πολλὲς ἔκτειναν. καὶ παρ' ὀλίγον Ἀρέθας ἦλθε δύο τῶν Ἀλαμενδάρε παίδων ζῶντας ἑλεῖν· ἐ μέν τοι εἷλε. τὰ μὲν ἕν Σαρακηνῶν ταύτῃ πῃ εἶχε.

* * * * ἅπαντας, Πέρσας δὲ ἀντ' αὐτῶν οἰκήτορας καταςήσασθαι, τὼ ἄνδρε τέτω ἐς ἄμφω τὰ ἔργα ὑπηρετήσοντας εἵλετο, ἕρμαιον γὰρ καὶ λόγε πολλῦ ἄξιον ἐφαίνετο εἶναι, γῆν τὴν Κολχίδα σφετερισαμένῳ, ἐν τῷ βεβαίῳ τῆς κτήσεως ἔχειν, ξύμφορον λογισαμένῳ τῇ Περσῶν ἀρχῇ κατὰ πολλὰ ἔσεσθαι τετόγε. τήν τε γὰρ Ἰβηρίαν ἐν τῷ ἀσφαλεῖ ἐς τὸ ἔπειτα ἕξειν, ἐκ ἂν ἔτι ἐχόντων

ων Ἰβήρων, ἐφ᾽ ἧς τινας ἀνθρώπων ἀποςάντες σωθήσονται. ἐπειδὴ γὰρ οἱ τούτων λογιμώτατοι τῶν βαρβάρων ὁ-ῦ Γουργένει τῷ βασιλεῖ ἐς ἀπόςασιν εἶδον, οὔτε βασιλέα φίσι καταςήσασθαι τὸ ἐνθένδε ξυνεχώρουν Πέρσαι, οὔτε αὐγνωμονοῦντες Περσῶν κατήκοοι Ἴβηρες ἦσαν. ἀλλ᾽ ὑπο-ίᾳ τε καὶ ἀπιςίᾳ ἐς ἀλλήλους πολλῇ εἴχοντο. ἔνδηλοί Ἴβηρες ἦσαν, δυσανασχετοῦντές τε ἰσχυρότατα, καὶ ωτεριοῦντες οὐ πολλῷ ὕςερον, ἤν τινός ποτε καιροῦ λαβέαι δυνατοὶ εἶεν. καὶ πρὸς Οὔννων τῶν Λαζικῇ προσοίων ἀδήωτον μὲν τὴν Περσῶν ἀρχὴν ἐς ἀεὶ ἔσεσθαι, ῥᾷον καὶ ἀπονώτερον αὐτοὺς τῇ Ῥωμαίων ἀρχῇ ἐπιπέμψειν, νίκα ἂν αὐτῷ βουλομένῳ εἴη· οὐ γὰρ ἄλλο οὐδὲν τοῖς ἐν Καυκάσῳ οἰκοῦσι βαρβάροις, ἢ ἐπιτείχισμα Λαζικὴν εἶναι. άλιςα δὲ πάντων κατὰ τοῦτο ξυνοίσειν πρὸς Λαζικῆς ἐπικράτησιν ἤλπιζε Πέρσαις, ὅτι δὴ ἐξ αὐτῆς ὁρμώμενοι, υνήσονται οὐδενὶ πόνῳ, καταθέοντες καὶ πεζῇ καὶ ναυσὶ ὰ ἐπὶ τοῦ Εὐξείνου καλουμένου πόντου χωρία, Καππαδόας μὲν καὶ τοὺς αὐτῶν ἐχομένους Γαλάτας καὶ Βιθυνοὺς παραςήσεσθαι· ἐξ ἐπιδρομῆς δὲ Βυζαντίους αἱρήσειν, οὐδενὸς φίσιν ἀντιςατοῦντος. τούτων μὲν δὴ ἕνεκα προσποιεῖσθαι Χοσρόης Λαζικὴν ἤθελεν, ἐπὶ Λαζοῖς δὲ τὸ θαρσεῖν ὡς ἥκιςα εἶχεν. ἐπειδὴ γὰρ Ῥωμαῖοι ἐκ τῆς Λαζικῆς ἀνεχώρησαν, Λαζῶν τὸ πλῆθος τῇ Περσῶν ἀρχῇ ἐπιεικῶς ἤχθετο. μονότροποι γὰρ, εἴπερ ἄλλοι τινες, οἱ Πέρσαι εἰσὶ, καὶ τὰ ἐς δίαιταν ὑπεράγαν σκληροί. καὶ αὐτοῖς οἱ τε νόμοι δυσπρόσοδοί εἰσι πρὸς πάντων ἀνθρώπων, καὶ τὰ ἐπιτάγματα οὐδαμῇ ἀνεκτά. πρὸς μέν τοι Λαζοὺς καὶ διαφερόντως τὸ διαλλάσσον τῆς τε γνώμης ἀεὶ καὶ τῆς διαίτης παραπολὺ διαφαίνεται· ἐπεὶ Λαζοὶ μὲν Χριςιανοί εἰσι πάντων μάλιςα, Πέρσαις δὲ ἀπ᾽ ἐναντίας αὐτῶν τὰ εἰς τὸ θεῖον ἅπαντα ἔχει. χωρὶς δὲ τούτων, ἅλες μὲν τῆς Λαζικῆς οὐδαμοῦ γίνονται, οὐ μὲν οὐδὲ σῖτος, οὐδὲ οἶνος, οὐδέ τι ἄλλο ἀγαθὸν φύεται. ἐκ δὲ Ῥωμαίων τῶν παραλίων ἅπαντα ταῖς ναυσὶν ἐπεισέρχεταί σφίσι. καὶ ταῦτα οὐ χρυσίον τοῖς συμβάλλουσι προϊεμένοις, ἀλλὰ δέῤῥεις τε καὶ ἀνδράποδα καὶ εἴ τι ἄλλο ἐνταῦθα κατὰ πολὺ περιεῖναι ξυμβαίνει. τούτου δὲ, ὡς τὸ εἰκὸς, ἀποκεκλεισμένοι τὸ λοιπὸν ἤσχαλλον. ὧν δὴ ὁ Χοσρόης αἰσθόμενος,

νος, προτερῆσαι ξὺν τῷ ἀσφαλεῖ, πρίν τι ἐς αὐτὸν νεωτερίσειν, ἐν σπȣδῇ εἶχε. καί οἱ βȣλευομένῳ ξυμφορώτατον ἔδοξεν εἶναι, Γȣβάζην τὸν Λαζῶν βασιλέα ἐκποδὼν ὅτι τάχιστα ποιησαμένῳ, Λαζȣς ἐνθένδε πανδημεὶ ἀναστήσειν· ȣτω τε Πέρσας καὶ ἄλλα ἄττα ἔθνη ξυνοικιεῖν ἐν ταύτῃ τῇ χώρᾳ.

Agathias. libr. 2. Ἰȣστινιανῷ τε τῷ Ῥωμαίων αὐτοκράτορι καταπροέσθαι Γȣβάζην τὸν Λαζῶν ἐν τῷ τότε βασιλέα, καὶ ἅπαν τὸ ἔθνος κατηκόȣς ὄντας καὶ εὔνȣς, καὶ τὰ ἐς Θεὸν ὁμογνώμονας, ȣκ ἀνεκτὰ ἐδόκει ȣδὲ ὅσιον. μᾶλλον μὲν ȣν καὶ ἐπειρᾶτο παντὶ σθένει ἀπώσασθαι ὡς τάχιστα τȣς πολεμίȣς. ἐλογίζετο γὰρ καὶ ἐδεδίει, ὡς εἰ τῷ πολέμῳ κρατήσαιεν οἱ Πέρσαι, καὶ ἁπάσης ἐπιλάβοιντο τῆς χώρας, ȣδὲν ἔσται τὸ κωλῦον αὐτȣς ἀνὰ τὸν Εὔξεινον πόντον ἀδεῶς ναυτιλλομένȣς, τὰ ἐνδότατα τῆς Ῥωμαίων ἀρχῆς ἀνιχνεύειν. τοιγάρτοι στράτευμα μεγιστόν τε καὶ ἀλκιμώτατον ἐνταῦθα ἔταξε, καὶ στρατηγȣς ἐπέστησε τȣς ἀρίστȣς. Βέσσας τε γὰρ καὶ Μαρτῖνος καὶ Βȣζης ἡγεῖτο, ἄνδρες ἐν τοῖς μάλιστα γεγενημένοι, καὶ πολέμȣς συχνȣς ἀγωνισάμενοι, ἔσταλτο δὲ καὶ Ἰȣστῖνος ὁ Γερμανȣ, νεάζων μὲν ἔτι κομιδῇ, τὰ δὲ πολέμια ἤδη πεπαιδευμένος.

ibid. libr. 4. Μετὰ δὲ πόλεμον πολλῶν ἐτῶν, λογιζόμενος ὁ Χοσρόης, ὡς ȣχ οἷόν τε αὐτῷ ἀνὰ τὴν Κολχίδα γῆν πρὸς Ῥωμαίȣς παρατάττεσθαι, τῶν μὲν τῆς θαλάσσης κρατȣντων, καὶ ἅπαντα ὧν ἂν δέοιντο ῥᾳδίως ἐνθένδε μεταπεμπομένων, αὐτȣ δὲ διὰ μακρᾶς ὁδȣ καὶ ἐρήμȣ μόλις τοῖς στρατοπεδεύȣσιν ἐλάχιστα γȣν τῶν ἐδωδίμων ὑπὸ ἀχθοφόροις ἀνδράσι τε καὶ ὑποζυγίοις χαλεπώτατα στέλλειν ἀναγκαζομένȣ· ταῦτα δὴ ȣν ἐπισκοπῶν, ἔγνω τὸν ὅλον πόλεμον καταθέσθαι, ὡς ἂν μὴ ἐπὶ πλεῖστον αὐτοῖς ἡ εἰρήνη χωρίοις τισὶ περιοριζομένη, ἀτελὴς καὶ οἷον σκάζȣσα διαμένοι, ἀλλ' ὁμοίως ἁπανταχȣ ἐπιῤῥωσθείη· καὶ τοίνυν ἐκπέμπει ἐπὶ τῇ πρεσβείᾳ ἐς τὸ Βυζάντιον ἄνδρα Πέρσην τῶν σφόδρα παρ' αὐτοῖς λογιμωτάτων, ὄνομα δὲ ἦν αὐτῷ Ζίχ. ȣτος δὲ ὁ Ζίχ, ἀφικόμενος καὶ παρελθὼν ὡς Ἰȣστινιανὸν βασιλέα, πολλὰ μὲν ἔφη τῶν παρόντων πέρι, πολλὰ δὲ ἀκήκοε· καὶ πέρας, ἐς τόδε ξυνηνέθέτην ἐφ' ᾧ Ῥωμαίȣς τε καὶ Πέρσας κατέχειν μὲν ἅπαντα

παντα, ὧν ἤδη ἐτύγχανον κατὰ τὴν Λαζῶν πολέμου θεσμῷ ἐπειλημμένοι, εἴτε πολίσματά γε, εἴτε Φρούρια εἶεν, ἡσυχίαν δὲ ἄγειν ἐφ' ἑαυτῶν, καὶ ἥκιστα κατ' ἀλλήλων παρατάττεσθαι, ἕως ἐς ἕτερόν τι μεῖζον καὶ τελεώτερον τὸ ἑκατέρωθεν ἄρχον συμβαίη. ὁ μὲν οὖν Ζὶχ οὕτω τὰ τῆς πρεσβείας διαπραξάμενος, ἀπενόστησεν ἐς τὰ οἰκεῖα. τούτων δὲ τοῖς στρατηγοῖς ἀπηγγελμένων, ἔμενον αἱ δυνάμεις ἐπὶ χρόνον συχνὸν πάμπαν ἀπόλεμοι, καὶ τὸ πρότερον αὐτομάτως γιγνόμενον, τότε δὴ οὖν ὑπὸ ξυνθήκαις ἐβεβαιοῦτο.

Τοιάδε ἐποίησε Χοσρόης, ἐς ὀκτὼ καὶ τεσσαράκοντα ἐνιαυτοὺς τοῦ κράτους ἐχόμενος. καὶ γέγονεν ὁποῖος οὔπω πρότερον ἄλλος τῶν παρὰ Πέρσαις βεβασιλευκότων ἀναδέδεικται, εἴγε τῷ παντὶ ἑκάστῳ συγκρίνοιτο, οὐδὲ εἰ Κῦρον εἴποι τις ἂν τὸν Καμβύσου, οὐδὲ Δαρεῖον Ὑστάσπεω, οὐδὲ μὴν Ξέρξην ἐκεῖνον τὸν ἱππήλατον μὲν δεικνύντα τὴν θάλατταν, ἐν δὲ τοῖς ὄρεσι ναυτιλλόμενον· πλὴν ἀλλὰ τοιοῦτός γε ὤν, ἀκλεής γε αὐτῷ ἡ τοῦ βίου καταστροφὴ γέγονε, καὶ οἰκτρὰ, καὶ τῶν Φθασάντων ἀλλοτριωτάτη. ἐτύγχανε μὲν γὰρ ἐν τῷ τότε ἀμφὶ τὰ Καρδούχια ὄρη, ἐς κώμην Θαμανῶν διὰ τὴν τοῦ θέρους ὥραν καὶ τὴν τῶν τόπων εὐκρασίαν μεταβάς τε καὶ διαιτώμενος. Μαυρίκιος δὲ ὁ Παύλου ὑπὸ Τιβερίου Κωνσταντίνου τοῦ Ῥωμαίων βασιλέως ἄρχειν τῶν κατὰ τὴν ἕω πραγμάτων προστεταγμένος, εἰσέβαλεν ἀθρόον ἐς τὴν Ἀρζανηνὴν χώραν, πρόσοικον οὖσαν τῇ τῆς χώρας περιοικίδι καὶ ἀγχιτέρμονα· καὶ δῆτα ἀνίει δηΐων ἅπασαν ἀφειδῶς καὶ ληϊζόμενος. περαιωθεὶς δὲ τὰ ῥεῖθρα τοῦ Ζίρμα ποταμοῦ, ἀνὰ τὰ πρόσω ἔτι ἐχώρει, καὶ τὰ ἐν ποσὶν ἐλεηλάτει καὶ ἐνεπίμπρα. οὕτω δὲ αὐτοῦ ἄρδην ἅπαντα καταστρεφομένου καὶ ξυγκυκῶντος, Χοσρόης (οὐ πόῤῥω γὰρ ἦν, ἀλλ' ὅσον ἀρθεῖσαν ἤδη θεᾶσθαι τὴν Φλόγα) οὐκ ἤνεγκε τὴν ὄψιν τοῦ πολεμίου πυρὸς, ἐπεὶ μήπω πρότερον ἑωράκει. τοιγάρτοι αἰδοῖ τε καὶ δέει καταπεπληγμένος, οὔτε ἀντεξῄει, οὔτε ἠμύνετο. ἀλλὰ τοῖς προσπεσοῦσι πέρα τοῦ μετρίου περιαλγήσας, καὶ οἷον ἀπειρηκὼς ταῖς ἐλπίσιν, αὐτίκα νόσῳ ἥλω ὑπὸ δυσθυμίας δεινῇ τε καὶ ἀνηκέστῳ· καὶ τοίνυν Φοράδην ἀχθεὶς μετὰ τάχους πολλοῦ εἰς τὰ ἐν Σελευκείᾳ καὶ Κτησιφῶντι βασίλεια, καὶ

ibid. pag. 98. edit. Venetæ.

580 post Christ. καὶ φυγὴν τὴν ἀναχώρησιν ποιησάμενος, ὐκ ἐς μακρὰ καταλύει τὸν βίον.

Hormisdas IV. Theophanes in Chronogr. pag. 176. edit. Venetæ.

Ὀυδὲ Ὁρμίσδας, Χοσρὸυ διάδοχος, ἐπαύσατο πολεμοποιῶν κατὰ Ῥωμαίων, ὐκ ἄνευ τύχης· μετὰ μείζονος δὲ ἐμάχετο τοῖς Τὐρκοις. Στρατηγὸν δὴ χειροτονήσας τὸν Βαρὰμ ἅμα δυνάμεσι πολλαῖς κατὰ Σὐανίας ἐκπέμπει. ἀδοκήτως δὲ ταύτῃ ἐπισὰς, καταπολεμηθέντων τῶν Τὐρκων ὑπὸ τῶν Περσῶν, τοσὐτον Ὁρμίσδας ηὐξήθη, ὡς καὶ φόρυς μ' χιλιάδας χρυσὐ παρὰ τῶν Τὐρκων λαβεῖν, πρότερον τὐτυ τὰ ἴσα τοῖς Τὐρκοις τελὐντος. τὐ δὲ Βαρὰμ περιδόξυ κατὰ τὸν πόλεμον τὐτυ γεγονότος, καὶ εἰς τὸν Ἀράξην ποταμὸν ςρατοπεδευομένυ, ὁ Μαυρίκιος τὐτο μαθὼν, Ῥωμανὸν χειροτονεῖ ςρατηγὸν, καὶ ἐν Σὐανίᾳ μετὰ δυνάμεως πέμπει· καταλαβὼν δὲ ὁ Ῥωμανὸς τὴν Λαζικὴν, καὶ εἰς τὸν Φάσιδα λεγόμενον ποταμὸν, ἐπὶ τὴν Ἀλβανίαν ςρατοπεδεύεται. ὁ δὲ Βαρὰμ τὸν τῶν Ῥωμαίων ςρατὸν ἐπιδημήσαντα ἀκηκοὼς, διεγέλα τὸ πρᾶγμα· ἐπεθύμει δὲ καὶ Ῥωμαϊκῆς παρατάξεως πεῖραν λαβεῖν· ὐ γὰρ ἦν ποτε Ῥωμαίυς πολεμήσας. διαβὰς τοίνυν τὸν γείτονα ποταμὸν, ὡς ἐπὶ τὰ ἐνδότερα μέρη τῆς Περσίδος τὐς Ῥωμαίυς ἐφελκόμενος ᾔει· ὁ δὲ Ῥωμανὸς τὴν Ῥωμαϊκὴν πληθὺν ἐχώριζε, τὐς ἀδοκίμυς εἰς τὸ τὐλδον καταλιπὼν, καὶ δέκα χιλιάδας ἐπιλέκτυς παραλαβὼν κατὰ τῶν βαρβάρων ἐχώρει· δύο δὲ χιλιάδας προτρέχειν τὐ ςρατὐ παρακελεύεται· ὁι τινες συναντήσαντες τὐς προτρέχοντας τῶν Περσῶν, τὐτυς τρέπὐσι, καὶ πάντας ἀνήλωσαν. τῆς γὰρ φυγῆς γεναμένης, καὶ κρημνὐ σύναντος αὐτοῖς, ἀποκλεισθέντες πάντες ἀνηλώθησαν. ὁι δὲ Ῥωμαῖοι μέχρι τὐ χάρακος τῶν βαρβάρων ἐγένοντο, ὡς καταπλαγῆναι τὸν Βαρὰμ ἐπὶ τὐτῳ· τὐτο ἀκηκοὼς Ῥωμανὸς, παραθαῤῥύνει τὸ ςρατόπεδον, καὶ παρατάσσονται ἐν πεδίῳ τῆς Ἀλβανίας. ὁ δὲ Βαρὰμ ἀπεπειρᾶτο κλέψαι τὸν πόλεμον, διητύχησε δὲ τὐ βυλεύματος· συνέσει γὰρ ὁ Ῥωμανὸς ἐκεκόσμητο. συμβαλόντων δὲ ἀλλήλοις, καὶ πολλῶν ἀναιρεθέντων, μεγίςη Ῥωμαίων γίνεται νίκη· σκυλεύονται τοίνυν ὁι βάρβαροι, καὶ ταφῆς ἀμοιρήσαντες, θηρίοις γίνονται κατάβρωμα. τὐτων ἀκὐσας ὁ τῶν Περσῶν βασιλεὺς, καὶ τὴν αἰσχύνην μὴ φέρων, γυναικεῖαν ἐσθῆτα τῷ Βαρὰμ ἐξέπεμψε,

πεμψε, καὶ τῆς στρατηγίας τοῦτον ἀπέπεμψε. νεωτερίζει τοίνυν ὁ Βαρὰμ, καὶ πρὸς τυραννίδα χωρεῖ· καὶ ἀνθυβρίζει διὰ γραμμάτων τὸν Ὁρμίσδαν, ἐπιγράψας τὴν ἐπιστολὴν, Ὁρμίσδᾳ τῇ θυγατρὶ Χοσρόου. ὁ Βαρὰμ ταῦτα στέλλει. συναγαγὼν δὲ τὰ στρατόπεδα, ἔφασκεν ἀγανακτῶν τὸν Ὁρμίσδαν κατὰ τῶν στρατευμάτων, ὡς ὑπὸ Ῥωμαίων ἡττηθέντων. ὑπεδείκνυε δὲ καὶ ἐπίπλαστα γράμματα, ὡς ἀπὸ Ὁρμίσδα, πρὸς τὸ ὑπομειῶσαι τὰς τῶν στρατιωτῶν ῥόγας, ὑπομιμνήσκων αὐτοὺς τό, τε ἀπηνὲς τοῦ Ὁρμίσδα, καὶ ὠμότατον, τὸ φιλάργυρόν τε, καὶ βίαιον· καὶ ὅπως φόνοις μὲν ἀρεσκόμενος, εἰρήνης δὲ ἀπεχόμενος, καὶ πῶς μεγιστᾶνας δεσμοῖς καθυπέβαλλε· καὶ τοὺς μὲν ξίφει ἀπέτεμεν, τοὺς δὲ ἀνέπνιξεν ἐν τῷ Τίγριδι· καὶ πῶς κατηνάγκαζε Πέρσας ἐν μεγάλοις πολέμοις χωρεῖν ὅπως διαφθαρῶσι, καὶ μὴ κατ᾽ αὐτοῦ στασιάσωσι. τούτοις τοῖς λόγοις συμβάλλων ὁ Βαρὰμ τὰ στρατεύματα, τυραννίδα μεγάλην κατὰ Ὁρμίσδα ἐξῆψε· καὶ ὅρκοις τὸν Βαρὰμ ὀχυρώσαντες δογματίζουσι πάντες καθελεῖν τὸν Ὁρμίσδαν. Ὁρμίσδας δὲ Φερογάνην τὸν μάγειρον αὐτοῦ καθοπλίσας, μετὰ δυνάμεως ἀπέστειλε κατὰ Βαράμ. ὁ δὲ Βαρὰμ ἐδήλου τῷ Φερογάνῃ, καὶ τοῖς στρατεύμασιν, ὅτι οὐ δεῖ ὅπλα κατὰ Περσῶν ἐπιφέρεσθαι Πέρσας· καὶ ὑπεμίμνησκεν αὐτοὺς τὴν τοῦ Ὁρμίσδα τραχύτητα, τὸ ἄδικον, τὸ αἱμοχαρὲς, καὶ φιλόπονον, τὸ ἄπιστον, τὸ ἀλαζονικόν τε, καὶ βίαιον· τούτων αἰσθόμενοι ἀληθῶς εἰρημένων οἱ περὶ τὸν Φερογάνην λαοὶ πρὸς Βαρὰμ μετατίθενται· καὶ τὸν Φερογάνην ἀνελόντες τῷ Βαρὰμ ἡνώθησαν· καὶ ἐπὶ Κτησιφῶντα ὥρμησαν. ὁ δὲ Ὁρμίσδας εἶχεν ἐν δεσμοῖς Βινδόην τὸν ἐν ἀξίᾳ μεγάλῃ τελοῦντα. ἐν δὲ σάλῳ μεγάλῳ τῶν πραγμάτων ὄντων Βεστὰν ὁ τοῦ Βινδόου ἀδελφὸς εἰς τὴν φρουρὰν εἰσπηδήσας, εἰσάγει Βινδόην τὸν ἀδελφὸν αὐτοῦ, καὶ συναθροίσαντες πλῆθος ἀγροίκων τε καὶ πολιτῶν, τρίτῃ ὥρᾳ τῆς ἡμέρας εἰσέρχεται εἰς τὰ βασίλεια· καὶ εὑρόντες τὸν Ὁρμίσδαν ἐπὶ θρόνου βασιλικῶς καθεζόμενον, ὕβρεσι τοῦτον πολλοῖς καθυπέβαλλον. ὁ δὲ Βινδόης κρατήσας τὸν Ὁρμίσδαν, ἀφείλετο τὸ διάδημα ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, καὶ εἰς φρουρὰν τοῦτον παρέδωκε· παρεκάλει δὲ Χοσρόην τοῦ πατρῴου θρόνου ἀναδέξασθαι. ὁ δὲ Ὁρμίσδας

ἐκ

ἐκ τῆς Φρȣρᾶς ἄγγελον ἐξέπεμψε τοῖς Πέρσαις, αἰτȣ́μενος λαλῆσαι τὰ συμφέροντα τῇ Περσίδι· γίνεται τοίνυν τῇ ἐπαύριον, καὶ συνηθροίσθη ἡ σύγκλητος τῶν Περσῶν ἐν τοῖς βασιλείοις σὺν τῷ πλήθει, καὶ ἄγȣσιν τὸν Ὁρμίσδαν δέσμιον. ὁ δὲ Ὁρμίσδας ἀνεμίμνησκε Πέρσας, ὡς ȣ̓ δεῖ περὶ τȣ̀ς βασιλεῖς ταῦτα ἐξαμαρτάνειν· καὶ ὅσα ἀφ' ȣ̓̃ ἐβασίλευσε, τρόπαια πεποίηκε, καὶ ὅσα ἐυηργέτησε Πέρσας, καὶ ὅσȣς φόρȣς Τȣ́ρκων τελεῖν τῇ Περσίδι πεποίηκε· Ῥωμαίȣς δὲ εἰρήνης ἐρȣ̃ν, καὶ ὅπως τὴν Μαρτυρόπολιν παρέλαβε, καὶ τὰς πατρῴας ἀριστείας ἐξήγγειλεν. ἠξίȣ δὲ ἀποχειροτονηθῆναι Χοσρόην τῆς βασιλείας, ὡς φιλάδικον, καὶ ἄπληστον, καὶ αἱμοχαρῆ, ὑπεροπτικὸν δὲ, καὶ ὑβριστὴν, καὶ φιλοπόλεμον· ὑπεῖναι δὲ αὐτῷ παῖδα, καὶ τȣ̃τον μᾶλλον εἰς βασιλέα προχειρίσασθαι παρεκάλει. Βινδόης δὲ πρὸς Ὁρμίσδαν ἀντέλεγε, καὶ τὰ τȣ́τȣ σφάλματα εἰς μέσον προβαλλόμενος πάντας διήγειρε κατὰ τȣ̃ Ὁρμίσδȣ. καὶ ἄγȣσιν εἰς μέσον τήν τε γυναῖκα Ὁρμίσδȣ καὶ τὸν υἱόν· καὶ τοῖς προσειωθόσιν ἐπ' ὄψεσιν Ὁρμίσδȣ τȣ́τȣς ἐδιχοτόμησαν· τὸν δὲ Ὁρμίσδαν τυφλάσαντες, τῇ Φρȣρᾷ ἐναπέθεντο. καὶ ὁ μὲν Χοσρόης ἄχρι τινὸς τὸν πατέρα ἐφιλοφρόνησεν ἐν τῇ Φρȣρᾷ, πᾶσαν ἡδονὴν παρέχων· ὁ δὲ Ὁρμίσδας ὕβρεσι τȣ̃τον ἠμείβετο, καταπατῶν τὰ ὑπὸ βασιλέως πεμπόμενα. ὠργίσθη δὲ ὁ Χοσρόης καὶ ῥοπάλοις ἀγρίοις ἐκέλευσε κατὰ τὸν λαγόνα τύπτεσθαι τȣ̃τον ἀποθανεῖν. τȣ̃το δὲ ἐλύπησε τȣ̀ς Πέρσας, καὶ μῖσος κατὰ τȣ̃ Χοσρόȣ ἐνέθηκε. Χοσρόης δὲ συναθροίσας δυνάμεις, βασιλείων ὑπεξελθὼν κατὰ τȣ̃ Βαρὰμ παρεγένετο ἐν πεδίῳ τȣ̃ Ζάβα ποταμȣ̃, ἔνθα Βαρὰμ τὸν χάρακα εἶχεν. ὑπολαβὼν δὲ Χοσρόης, ὅτι τινὲς τῶν ἀρχόντων πρόσκεινται τῷ Βαρὰμ, τȣ́τȣς ἐφόνευσε. ταραχθέντος δὲ τȣ̃ λαȣ̃, ἀποδιδράσκει Χοσρόης μετά τινων ὀλίγων· καὶ πάντες περὶ τὸν Χοσρόην τῷ Βαρὰμ προσεχώρησαν. ὁ δὲ Χοσρόης ἠπόρει τί δράσοιτο, ἐνίων μὲν συμβȣλευόντων αὐτῷ πρὸς Τȣ́ρκȣς χωρεῖν, ἑτέρων δὲ πρὸς Ῥωμαίȣς. ὁ δὲ Χοσρόης τῶν ἵππων ἐπιβὰς καὶ τὸν χαλινὸν ἐάσας προστάττει πᾶσιν ἕπεσθαι τοῖς τȣ̃ ἵππȣ κινήμασιν. ὁ δὲ ἵππος ἐπὶ τὰ Ῥωμαϊκὰ μέρη ἀπεκίνησε, καὶ πρὸς τὸ Κερκέσιον παραγίνεται· καὶ πρέσβεις πέμπει

πει τὴν ἑαυτοῦ ἄφιξιν κατάδηλον Ῥωμαίοις ποιούμενος. ἔτυχε δὲ Πρόβον τὸν πατρίκιον ἐκεῖ ὄντα τοῦτον ὑποδέξασθαι, καὶ διὰ γραμμάτων τῷ βασιλεῖ μηνύσαντα τὰ κατ' αὐτόν. ὁ δὲ Βαρὰμ ἀπέστειλε πρέσβεις πρὸς αὐτὸν αἰτούμενος μὴ συμμαχῆσαι τῷ Χοσρόῃ· κελεύει δὲ ὁ βασιλεὺς Μαυρίκιος Κομεντιόλῳ στρατηγῷ εἰς Ἱεράπολιν τὸν Χοσρόην ὑποδέξασθαι, καὶ βασιλικαῖς θεραπείαις τιμῆσαι.

Μετὰ ταῦτα τεκνοποιηθεὶς ὁ βασιλεὺς Μαυρίκιος Χοσρόην τὸν βασιλέα Περσῶν, Δομετιανὸν ἐπίσκοπον Μελιτινῆς πρὸς αὐτὸν ἐξέπεμψε τὸν ἴδιον συγγενῆ σὺν Ναρσῇ, τὴν ἡγεμονίαν τοῦ πολέμου τούτῳ καταπιστεύσας, οἵτινες παραλαβόντες Χοσρόην καὶ πάσας τὰς Ῥωμαϊκὰς δυνάμεις, εἰς τὴν Περσίδα εἰσβάλλουσιν. ὁ δὲ Βαρὰμ τοῦτο μαθὼν τὰς περὶ αὐτὸν δυνάμεις ἀναλαβὼν, ἐν τόπῳ Ἀλεξανδρίνης ὀνομαζομένῳ ἐστρατοπέδευσε, κωλύειν οἰόμενος τὰ ἐκ τῆς Ἀρμενίας ἐρχόμενα στρατεύματα, τοῦ μὴ ἑνωθῆναι τῷ Ναρσῇ. ἐκέλευσε γὰρ Μαυρίκιος Ἰωάννην τὸν Μουστάκωνα τὸν τῆς Ἀρμενίας στρατηλάτην ἀναλαβεῖν τὰ στρατεύματα, καὶ ἑνωθῆναι τῷ Ναρσῇ, τοῦ ἅμα συστήσασθαι τὸν πρὸς τὸν Βαρὰμ πόλεμον. διὰ δὲ τῆς νυκτὸς ἡνώθησαν πᾶσαι αἱ Ῥωμαϊκαὶ δυνάμεις, καὶ παρετάξαντο κατὰ Βαρὰμ· ὁ δὲ Βαρὰμ πρὸς τὸ ὄρος ἐστρατοπέδευσε, δειλίᾳ κατεχόμενος. πολέμου δὲ κρατηθέντος, ὁ Ναρσῆς τῶν Ἰνδικῶν καταφρονήσας θηρίων, τὴν μέσην τῶν βαρβάρων διέλυσε φάλαγγα. τούτου δὲ γενομένου, αἱ λοιπαὶ τοῦ Βαρὰμ ἠσθένησαν φάλαγγες, καὶ γίνεται τοῦ τυράννου μεγάλη φυγή. ὁ δὲ Ναρσῆς ἀκατασχέτως διώκων ἀνεῖλε τοὺς Πέρσας. ἓξ δὲ χιλιάδας ζωγρήσας, πρὸς Χοσρόην δεσμίους ἤγαγεν. ὁ δὲ Χοσρόης πάντας ἀνεῖλε τῷ δόρατι· ὅσοι δὲ Τοῦρκοι ἐτύγχανον, τούτους τῷ αὐτοκράτορι εἰς Βυζάντιον ἔπεμψε. τῶν δὲ Τούρκων ἐν τοῖς μετώποις τὸν τύπον τοῦ σταυροῦ κεντητοῦ διὰ μέλανος ἐχόντων, ἐρωτωμένων ὑπὸ τοῦ αὐτοκράτορος ποίῳ τρόπῳ τοῦτο τὸ σημεῖον ἐπιφέρονται; οἱ Τοῦρκοι ἔφασκον, πρὸ πολλῶν χρόνων λοιμὸν ἐν Τουρκίᾳ γενέσθαι. τινὲς δὲ τῶν ἐν αὐτοῖς Χριστιανῶν ὑποθέσθαι τοῦτο ποιῆσαι, ὡς ἐντεῦθεν σωτηρία κατὰ τὴν χώραν ἐγένετο. ὁ δὲ στρατὸς τῶν Ῥωμαίων τὴν σκηνὴν τοῦ Βαρὰμ καὶ τὸ τοῦλδον παραλαβόντες μετὰ τῶν ἐλεφάντων, τῷ Χοσρόῃ προσήνεγκαν.

Chosroës II. 591—627 post Christ.

νεγκαν. ὁ δὲ Βαρὰμ ἐπὶ τὰ ἐνδότερα μέρη τῆς Περσίδος τὴν φυγὴν ἐποιήσατο· καὶ ȣ̓́τως ὁ κατ᾽ αὐτὸν διαλύεται πόλεμος. ὁ δὲ Χοσρόης μεγάλην νίκην ἀναδησάμενος, τὸν ἴδιον ἀπέλαβε θρόνον, καὶ ἐπινίκια ἑςία Ῥωμαίοις. ὁ δὲ Ναρσῆς ἀναζευγνύων ἐπὶ τὰ ἴδια, τῷ Χοσρόῃ ἔλεγεν· μέμνησο, Χοσρόη, τῆς παρȣ́σης ἡμέρας, Ῥωμαῖοι σοι τὴν βασιλείαν χαρίζονται. Χοσρόης δὲ τὴν δολοφονίαν δεδοικὼς, ἐζήτει Μαυρίκιον χιλίȣς Ῥωμαίȣς εἰς φυλακὴν αὐτῷ ἔχειν· ὁ δὲ Μαυρίκιος ἀγάπην πολλὴν πρὸς τὸν βάρβαρον κεντημένος, ἐπλήρȣ τὸ ἄιτημα αὐτȣ̃. ȣ̓́τως ὁ Περσικὸς τῶν Ῥωμαίων κατεπέπαυτο πόλεμος.

Ἐντεῦθεν ὁ Μαυρίκιος ἀπαςέλλει Θεοδόσιον τὸν ἑαυτȣ̃ υἱὸν πρὸς τὸν βασιλέα Περσῶν μετὰ Κωνςαντίνȣ, ὅπως ὑπομνηθῇ τῶν ὑπὸ Μαυρικίȣ γεγονότων αὐτῷ, καὶ τὴν ἀνταπόδοσιν τῆς εὐεργεσίας προσνείμῃ τῷ υἱῷ αὐτȣ̃.
602 post Chr. Ὡς ȣ̓̃ν μετὰ τὸν Μαυρικίȣ φόνον λόγος ἐκράτει, Θεοδόσιον πεφευγῆναι καὶ σεσῶσθαι, ταύτην τὴν φήμην Χοσρόης ηὔξησεν ἄλλοτε ἄλλως ψευδόμενος, καὶ παρ᾽ ἑαυτῷ τȣ̃τον ἔχειν λέγων, καὶ προνοεῖν δῆθεν, ἵνα τὴν Ῥωμαίων βασιλείαν παραλάβῃ. δολερῶς δὲ τῆς τῶν Ῥωμαίων βασιλείας ἐλπίζων κρατῆσαι, ὡς ἠλέγχθη πολυτρόπως, μάλιστα δὲ ἐκ τȣ̃ πολέμȣς αἰφνιδίȣς κινῆσαι, καὶ μεγάλως λυμήνασθαι τὰ Ῥωμαϊκά. τȣ̃ δὲ Φωκᾶ πρέσβειν πρὸς αὐτὸν ἀποςείλαντος Βίλιον, τȣ̃τον ἐκράτησε, καὶ εἰς φυλακὴν ἀπέθετο, μηκέτι εἰς τὰ Ῥωμαικὰ ὑποςρέψαντα, γράμμασι δὲ ἀτίμοις τὸν Φωκᾶν ἀνταμείβεται.

Ναρσῆς ὁ τῶν Ῥωμαϊκῶν γενόμενος ςρατηγὸς κατὰ τȣ̃ τυράννȣ ἀντῆρε καὶ τὴν Ἔδεσσαν ἐκράτησε. γράφει τοίνυν Φωκᾶς Γερμανῷ τῷ ςρατηγῷ πολιορκῆσαι τὴν Ἔδεσσαν. ὁ δὲ Ναρσῆς γράφει πρὸς βασιλέα Περσῶν τὸν Χοσρόην ἀθροῖσαι δυνάμεις καὶ κατὰ Ῥωμαίων συςήσασθαι πόλεμον.
603 post Chr. Χοσρόης ȣ̓̃ν τῷ ἔτει τῆς ἀρχῆς τȣ̃ Φωκᾶ δευτέρῳ συναθροίσας δύναμιν πολλὴν κατὰ Ῥωμαίων ἐξαπέςειλεν. ὁ δὲ Γερμανὸς ἀκȣ́σας ἐφοβήθη, ἀναγκαζόμενος δὲ τȣ̃ πολέμȣ ἀπήρξατο. τȣ̃ δὲ Γερμανȣ̃ ἐν τῷ πολέμῳ πληγέντος, οἱ ὑπασπιςαὶ τȣ̃τον διέσωσαν μέχρι Κωνςαντίνης, καὶ ἡττῶνται Ῥωμαῖοι· ἑνδεκάτῃ δὲ ἡμέρᾳ καὶ ὁ Γερμανὸς ἐτελεύτησεν. ὁ δὲ Φωκᾶς τὰς δυνάμεις ἀπὸ

τῆς

τῆς Εὐρώπης ἐπὶ τὴν Ἀσίαν μετέφερε, τῷ Χαγάνῳ τὰ πάκτα ἐπαυξήσας, νομίζων ἠρεμεῖν τῶν βαρβάρων τὸ ἔθνος. ταύτας δὲ διελὼν κατὰ Περσῶν ἀπέςειλε, τὰς δὲ πρὸς τὴν πολιορκίαν Ἐδέσσης κατὰ Ναρσῆ σὺν Λεοντίῳ Εὐνέχῳ καὶ μεγιςάνῳ αὐτῆ. ὁ δὲ Χοσρόης συναθροίσας δυνάμεις ἐπὶ τὸ Δαρᾶς γίνεται. Ναρσῆς δὲ ἐξελθὼν Ἐδέσσης ἐπὶ τὴν Ἱεράπολιν διέφυγεν. ὁ δὲ Χοσρόης σὺν τοῖς Ῥωμαίοις γίνεται εἰς τὸ Ἀρζαμῆν. καὶ Φρέριον ἀπὸ ἐλέφαντος συςησάμενος τῆ πολέμῃ ἀπήρξατο, καὶ νίκην μεγάλην ἤρατο, πολλὲς Ῥωμαίων ζωγρήσας, ὃς καὶ ἀπέτεμεν. τέτων ἔτω πραχθέντων ὁ Χοσρόης ἐπὶ τὴν ἑαυτῆ γῆν ἐπανέζευξε, Ζογγόῃ τὰς δυνάμεις καταλιπών. Τῷ ἔτει τῆ Φωκᾶ τρίτῳ ἀπέςειλε Χοσ- 604
ρόης Καρδαρῆγαν καὶ Ῥεσμιάζαν, καὶ ἐπόρθησε πολλὰς post Chr.
τῶν Ῥωμαίων πόλεις. τῷ δὲ τετάρτῳ παρέλαβον τὸ Δαρᾶς οἱ Πέρσαι, καὶ πᾶσαν τὴν Μεσοποταμίαν καὶ Συρίαν, αἰχμαλωσίαν πολλὴν ποιήσαντες, ἧς ἐκ ἔςιν ἀριθμός. τῷ δὲ πέμπτῳ τὸν Εὐφράτην περάσαντες πᾶσαν τὴν Συρίαν καὶ Παλαιςίνην καὶ Φοινίκην ᾐχμαλώτευσαν, πολλὴν ἅλωσιν ἐν Ῥωμαίοις ποιήσαντες. τῷ δὲ ἕκτῳ 607
ἐξῆλθον σὺν τῷ Καρδαρήγα, καὶ παρέλαβον τὴν Γαλατίαν καὶ τὴν Παφλαγονίαν· καὶ ἦλθον μέχρι Χαλκηδόνος, λυμαινόμενοι ἀφειδῶς πᾶσαν ἡλικίαν.

Τῷ ἔτει, ᾧ Ἡράκλειος αὐτοκράτωρ ἀναδείκνυται, 610
ἐςράτευσαν οἱ Πέρσαι κατὰ Συρίας, καὶ παρέλαβον τὴν Ἀπάμειαν, καὶ τὴν Ἔδεσσαν, καὶ ἦλθον ἕως Ἀντιοχείας. καὶ οἱ Ῥωμαῖοι συναντήσαντες ἐπολέμησαν, καὶ ἡττήθησαν Ῥωμαῖοι. καὶ διωλέθη πᾶς ὁ λαὸς τῶν Ῥωμαίων, ὥςε ὀλίγες λίαν ἐξηλῆσαι. τῷ δὲ ἔτει Ἡρακλείε δευτέρῳ παρέλαβον οἱ Πέρσαι Καισάρειαν τῆς Καππαδοκίας, καὶ πολλὰς μυριάδας ἐν αὐτῇ ᾐχμαλώτευσαν. Ἡράκλειος δὲ ὁ βασιλεὺς βασιλέυσας, ἕυρε παραλελυμένα τὰ τῆς πολιτείας Ῥωμαίων πράγματα. τήν τε γὰρ Εὐρώπην οἱ βάρβαροι ἠρήμωσαν, τὴν Ἀσίαν οἱ Πέρσαι πᾶσαν κατέςρεψαν, καὶ τὰς πόλεις ᾐχμαλώτευσαν, καὶ τὸν τῶν Ῥωμαίων ςρατὸν ἐν τοῖς πολέμοις ἀνήλωσαν. Ἡράκλειος ὧν ἐν τῷ τῆς αὐτῆ ἀρχῆς ἔτει πέμπτῳ πρέσ- 614
βεις πρὸς Χοσρόην ἀπέςειλε, παύσασθαι τῆ ἐκχέειν ἀνηλεῶς

λεῶς τὰ ἅιματα τῶν ἀνθρώπων, καὶ ὁρίσαι Φόρους, καὶ λαμβάνειν πάντα. ὁ δὲ τοὺς πρέσβεις ἀπράκτους ἀπέλυσε, μὴ ποιησάμενος αὐτοῖς λόγον, ἐλπίζων τελείως παραλαβεῖν τὴν τῶν Ῥωμαίων ἀρχήν. Τῷ οὖν ἔτει Ἡρακλείου πέμπτῳ παρέλαβον οἱ Πέρσαι τὸν Ἰορδάνην, Παλαιστίνην, καὶ τὴν ἁγίαν πόλιν πολέμῳ, καὶ πολλοὺς ἀπέκτειναν ἐν αὐτῇ διὰ χειρὸς τῶν Ἰουδαίων, ὥς Φασί τινες, μυριάδας ἐννέα. αὐτοὶ γὰρ ὠνούμενοι τοὺς Χριστιανοὺς, καθὰ ἠυπόρει ἕκαστος ἀπέκτεινεν αὐτούς. Ζαχαρίαν δὲ τὸν πατριάρχην Ἱεροσολύμων, καὶ τὰ τίμια, καὶ ζωοποιὰ ξύλα λαβόντες σὺν αἰχμαλωσίᾳ πολλῇ ἐν Περσίδι ἀπήγαγον. τῷ δὲ ἔτει ἕκτῳ παρέλαβον τὴν Ἄιγυπτον, καὶ Ἀλεξάνδρειαν, καὶ Λιβύην, ἕως Ἀιθιοπίας, καὶ λαβόντες αἰχμαλωσίαν πολλὴν καὶ λάΦυρα πάμπολλα καὶ χρήματα ὑπέστρεψαν. τὴν δὲ Χαλκηδόνα οὐκ ἴσχυσαν παραλαβεῖν, ἀλλὰ Φρουρὰν ἐάσαντες τοῦ πολιορκεῖν ἀνεχώρησαν. τῷ δὲ ἐπιόντι ἐστράτευσαν κατὰ Χαλκηδόνος, καὶ
617 post Chr. παρέλαβον αὐτὴν πολέμῳ. Ἔπειτα πάλιν Ἡράκλειος ἀπέστειλε πρέσβεις ἐν Περσίδι πρὸς Χοσρόην αἰτούμενος εἰρήνην. ὁ δὲ Χοσρόης καὶ πάλιν αὐτοὺς ἀπεπέμψατο, λέγων· οὐ Φείσομαι ὑμῶν, ἕως ἂν ἀρνήσησθε τὸν ἐσταυρωμένον, ὃν λέγετε Θεὸν εἶναι, καὶ προσκυνήσητε τῷ ἡλίῳ. παρέλαβε δὲ καὶ Ἀγκύραν Γαλατίας πολέμῳ.

Ἐν τούτῳ τῷ χρόνῳ ἐσκλήρυνε Χοσρόης τὸν ζυγὸν αὐτοῦ ἐπὶ πάντας ἀνθρώπους εἰς αἱμοβορίαν καὶ Φορολογίαν. ἐπαρθεὶς γὰρ τῇ νίκῃ οὐκ ἔτι ἐν τῷ καθεστῶτι εἶναι ἠδύνατο. τότε Ἡράκλειος ζῆλον Θεοῦ ἀναλαβὼν, καὶ μετὰ τῶν Ἀβάρων εἰρηνεύσας ὡς ἐνόμιζε, μετήνεγκε τὰ στρατεύματα τῆς Ἐυρώπης ἐπὶ τὴν Ἀσίαν, καὶ διενοεῖτο τῇ τοῦ Θεοῦ συνεργείᾳ κατὰ Περσίδος χωρῆσαι.

Ἀπὸ τούτου τοῦ χρόνου ἐν ἓξ ἔτεσι καταπολεμήσας τὴν Περσίδα, Χοσρόην πάντοτε ἐν μάχαις ἐνίκησε, καὶ Φόνους Περσῶν χαλεποὺς εἰργάσατο. μετὰ Φθορὰν ἑκάστην Ἡράκλειος ἔγραψε πρὸς Χοσρόην, τὴν εἰρήνην ἀσπάσασθαι καὶ σβεννύειν τὸ πῦρ, πρὶν τὸ πᾶν καταΦλέξῃ. τούτου δὲ μὴ καταδεξαμένου, μεγάλως τὸ μῖσος τοῦ λαοῦ τῆς Περσίδος ηὐξήθη κατὰ Χοσρόου, καὶ ἐκράτευσε Χοσρόης πάντας τοὺς ἀνθρώπους τῶν ἀρχόντων αὐτοῦ, καὶ πᾶσαν τὴν ὑπουργίαν

αὐτοῦ

αὐτοῦ τε καὶ τῶν γυναικῶν αὐτοῦ, καὶ τούτους ὁπλίσας πάντας ἀπέλυσεν ἑνωθῆναι τῷ στρατῷ τοῦ Ῥαζάτα, καὶ στῆναι εἰς τὸν Ἀρβᾶ ποταμὸν ἀπὸ ιβ΄. μιλίων Κτησιφῶντος· καὶ ἐκέλευσεν αὐτούς, ἵνα ὅταν περάσῃ τὸν ποταμὸν, κόψωσι τὴν γέφυραν, καὶ τὴν ποντογέφυραν. ὁ δὲ βασιλεὺς τῇ ἑβδόμῃ τοῦ Ἰανουαρίου μηνὸς κινήσας ἐκ τοῦ Δασταγὲρδ, καὶ περιπατήσας τρεῖς ἡμέρας, ἠπλήκευσεν ἀπὸ ιβ΄. μιλίων τοῦ Ἀρβᾶ ποταμοῦ, ὅπου ἦν τὸ φωσάτον τῶν Περσῶν, ἐν ὅις εἶχε καὶ διακοσίους ἐλέφαντας. καὶ ἀπέστειλεν ὁ βασιλεὺς Γεώργιον τὸν Τουμάρχην τῶν Ἀρμενιακῶν, ἵνα ἀπέλθῃ μέχρι τοῦ ποταμοῦ, καὶ καταμάθῃ, ἐι ἔχει πέραμα ὁ Ἀρβᾶς. καὶ εὑρὼν, ὅτι ἔκοψαν τὰς γεφύρας, καὶ οὐκ ἔχει πέραμα ὁ Ἀρβᾶς, ὑπέστρεψε πρὸς τὸν βασιλέα. καὶ ἀποκινήσας ὁ βασιλεὺς ἦλθεν εἰς τὸν Σιάζουρον. καὶ περιήρχετο τὰς χώρας καὶ τὰς πόλεις ὅλον τὸν Φεβρουάριον μῆνα. τῷ δὲ Μαρτίῳ μηνὶ ἐλθὼν εἰς χωρίον λεγόμενον Βαρζᾶν, ἐποίησεν ἑπτὰ ἡμέρας. καὶ ἀπέστειλε Μεζέζιον τὸν στρατηγὸν εἰς κοῦρσον· καὶ προσερρύη αὐτῷ Γουνδαβούνας, ὅς τις χιλίαρχος ἦν τῆς στρατείας Σαρβάρου μετὰ ἄλλων πέντε, τριῶν μὲν Κομήτων, δύο δὲ ἀξιωματικῶν· καὶ ἤγαγεν αὐτοὺς πρὸς τὸν βασιλέα. ὅς τις Γουνδαβούνας ἀναγκαῖα πράγματα τῷ βασιλεῖ ἀπήγγειλε, λέγων· ὅτι ἔφυγεν ὁ Χοσρόης ἀπὸ Δασταγὲρδ, καὶ ἀπῆλθεν ἐν Κτησιφῶντι, καὶ Σελευκείᾳ, ἀσθένησε δυσεντερίᾳ, καὶ ἠθέλησε τὸν ἴδιον Μερδασᾶν τὸν τεχθέντα ἐκ τῆς Σιρὲμ στέψαι· καὶ ὅτι ἀντεπέρασε τὸν ποταμὸν πάλιν, καὶ ἤνεγκε μεθ᾽ ἑαυτοῦ τὸν Μερδασᾶν, καὶ τὴν Σιρὲμ, καὶ τὸν ἄλλον αὐτῆς Σαλιαρόν. τὸν δὲ πρωτότοκον αὐτοῦ υἱὸν Σιρόην, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ τὰς γυναῖκας αὐτοῦ ἐάσας πέραν τοῦ ποταμοῦ. καὶ γνοὺς Σιρόης, ὅτι τὸν Μερδασᾶν θέλει στέψαι, ἐταράχθη· καὶ ἔπεμψε τὸν συγγάλακτον αὐτοῦ πρὸς Γουνδαβουσᾶν, δηλώσας αὐτῷ, ὅτι· ἐλθὲ πέραν τοῦ ποταμοῦ, ἵνα συντύχω σοι. ὁ δὲ Γουνδαβουσᾶν ἐφοβήθη, διὰ τὸν Χοσρόην, περάσαι. καὶ δηλοῖ αὐτὸν, ὅτι· γράψον μοι διὰ τοῦ συγγαλάκτου σου, ἔι τι θέλεις. καὶ ἔγραψεν αὐτῷ Σιρόης, ὅτι· γινώσκεις ἡ πολιτεία τῶν Περσῶν ἀπώλετο ἐκ τοῦ κακοῦ ἀνθρώπου Χοσρόου, καὶ θέλει στέψαι τὸν Μερδασᾶν,

καὶ

καὶ ἐμὲ τὸν πρωτότοκον αὐτȣ̃ υἱὸν περιεφρόνησε· καὶ ἐὰν λαλήσῃς τὸν ϛρατὸν, ἵνα δέξωνταί με, καὶ τὰς ῥόγας αὐτῶν ἐπαυξῆσαι ἔχω, καὶ εἰρήνην ποιῶ μετὰ τȣ̃ βασιλέως τῶν Ῥωμαίων· καὶ καλῶς ἔχομεν ζῆσαι· καὶ σπȣ́δασον μετὰ τȣ̃ λαȣ̃ σȣ, ἵνα ἐγὼ βασιλεύσω· καὶ πάντας ὑμᾶς ἀναβιβάσαι ἔχω, καὶ συγκρατῆσαι, καὶ κατεξαίρετόν σε. καὶ ὅτι ἐδήλωσα αὐτῷ διὰ τȣ̃ συγγαλάκτȣ αὐτȣ̃, ὅτι εἴ τι δύναμαι λαλῆσαι ἔχω τὸν ϛρατὸν, καὶ μοχθῆσαι· καὶ ὅτι ἐλάλησα δύο Κόμητας, καὶ ἐποίησα αὐτȣ̀ς τῆς γνώμης μȣ, καὶ ἄλλȣς καὶ ϛρατιώτας πολλȣ̀ς. καὶ ταῦτα δηλώσας τῷ Σιρόῃ, ἐδήλωσέ μοι· ἵνα τῇ κγ΄. τȣ̃ Μαρτίȣ μηνὸς λάβω ταξάτας νεωτέρȣς, καὶ εἰς τὴν ποντογέφυραν τȣ̃ Τίγριδος ποταμȣ̃ ὑπαντήσω αὐτῷ, καὶ λάβωμεν αὐτὸν εἰς τὸν ϛρατὸν, καὶ κινήσωμεν κατὰ Χοσρόȣ. καὶ ὅτι μετὰ Σιρόȣ εἰσὶν καὶ οἱ δύο υἱοὶ τȣ̃ Σαρβαραζᾶ, καὶ ὁ υἱὸς τȣ̃ Ἐσδὶμ, καὶ ἄλλα πολλὰ ἀρχόντων τέκνα, καὶ ὁ υἱὸς τȣ̃ Ἀρὰμ, πάντες ἐπίλεκτοι. καὶ εἰ μὲν δυνηθῶσιν ἀνελεῖν τὸν Χοσρόην, εὖ καὶ καλῶς· εἰ ἀϛοχήσωσι, πάντες σὺν Σιρόῃ προσφεύγονται τῷ βασιλεῖ· καὶ ἀπέϛειλέ με πρός σε, δέσποτα· αἰδεῖται γὰρ τοὶ βασιλέα τῶν Ῥωμαίων, ὅτι Χοσρόην ἔσωσέ ποτε. νῦν δὲ μᾶλλον κακὰ παρ᾽ αὐτȣ̃ πέπονθε, καὶ ὅτι διὰ τὴν ἐκείνȣ ἀγνωμοσύνην ȣ̓δὲ ἐμοὶ ἔχει ὁ βασιλεὺς πιϛεῦσαι. ὁ δὲ βασιλεὺς Ἡράκλειος τȣ̃τον πάλιν πρὸς Σιρόην ἀποϛεῖλας, ἐδήλωσε ἀνοῖξαι τὰς φυλακὰς, καὶ τȣ̀ς κατεχομένȣς ἐν αὐταῖς Ῥωμαίȣς ἐκβάλοι, καὶ δȣ̃ναι αὐτοῖς ὅπλα, καὶ ȣ̔́τω κινῆσαι κατὰ Χοσρόȣ. ὁ δὲ Σιρόης ὑπακȣ́σας τῷ βασιλεῖ, καὶ ἐκβαλὼν τȣ̀ς κατακλείϛȣς, ἐπῆλθε τῷ πατροκτόνῳ πατρὶ Χοσρόῃ. αὐτὸς δὲ φυγὴν δοκιμάσας, καὶ μὴ ἰσχύσας, ἐκρατήθη. τȣ̃τον δὲ δεσμήσαντες σφοδρῶς σιδηροπέδαις καὶ ὀπιθάγκωνα, τοῖς τε ποσὶ καὶ τῷ τραχήλῳ βάρη σίδηρα περιέθηκαν, καὶ εἰσάγȣσιν αὐτὸν εἰς τὸν οἶκον τȣ̃ σκότȣς, ὃν αὐτὸς ὀχυρώσας ἐκ νέας κτίσας εἰς ἀπόθεσιν χρημάτων, καὶ ἄρτον πενιχὸν τȣ́τῳ διδόντες καὶ ὕδωρ ἐλιμαγχόνȣν. ἔφη γὰρ ὁ Σιρόης· ὅτι τὸν χρυσὸν φάγη, ὃν συνήγαγε μάτην, δι᾽ ὃν πολλȣ̀ς ἐλιμαγχόνησε, καὶ τὸν κόσμον ἠρήμωσεν. ἀπέϛειλε δὲ πρὸς αὐτὸν τȣ̀ς σατράπας ὑβρίζειν καὶ ἐμπτύειν αὐτόν. καὶ ἀγαγὼν τὸν Μερδα-

σα

σαν τὸν υἱὸν αὐτȣ̃, ὃν ἐβȣ́λετο σέψαι, ἐνώπιον αὐτȣ̃ ἔσφαξε· κα̉ὶ πάντα τὰ λοιπὰ τέκνα αὐτȣ̃ ἐνώπιον αὐτȣ̃ ἀνεῖλε· κα̉ὶ πάντα ἐχθρὸν αὐτȣ̃ ὑβρίζειν κα̉ὶ τύπτειν κα̉ὶ ἐμπτύειν αὐτόν. ἐν πέντε δὲ ἡμέραις τȣ̃το ποιήσαντες ἐκέλευσεν ὁ Σιρόης τȣ̃τον τόξοις ἀνελεῖν, κα̉ὶ ȣ̃τω κατὰ μικρὸν ἐν δεινοῖς παρέδωκε τὴν πονηρὰν αὐτȣ̃ ψυχήν. τότε ὁ Σιρόης γράφει πρὸς Ἡράκλειον, εὐαγγελιζόμενος αὐτῷ τὴν τȣ̃ μιαρȣ̃ Χοσρόȣ ἀναίρεσιν· κα̉ὶ εἰρήνην ἀειπαγῆ πρὸς αὐτὸν ποιησάμενος, πάντας τȣ̀ς ἐν Φρȣραῖς Χριστιανȣ̀ς, κα̉ὶ τȣ̀ς ἐν Περσίδι πάσῃ αἰχμαλώτȣς παρέδωκεν αὐτῷ, σὺν τῷ Πατριάρχῃ Ζαχαρίᾳ, σὺν τοῖς τιμίοις κα̉ὶ ζωοποιοῖς ξύλοις τοῖς ἐξ Ἱερȣσαλὴμ ληφθεῖσι ὑπὸ Σαρβαραζᾶ, ὅταν τὴν Ἱερȣσαλὴμ παρέλαβεν.

Τȣ́τῳ τῷ ἔτει εἰρήνης γενομένης μεταξὺ Περσῶν κα̉ὶ Ῥωμαίων, ἀπέσειλεν ὁ βασιλεὺς Θεόδωρον τὸν ἑαυτȣ̃ ἀδελφὸν μετὰ γραμμάτων κα̉ὶ ἀνθρώπων Σιρόȣ τȣ̃ βασιλέως Περσῶν, ὅπως τȣ̀ς ἐν Ἐδέσσῃ κα̉ὶ Παλαισίνῃ, κα̉ὶ Ἱεροσολύμοις κα̉ὶ ταῖς λοιπαῖς πόλεσι Ῥωμαίων Πέρσας μετὰ εἰρήνης ἀποσρέψωσιν ἐν Περσίδι, κα̉ὶ ἀβλαβῶς παρέλθωσι τὴν τῶν Ῥωμαίων γῆν. ὁ δὲ βασιλεὺς ἐν ἓξ ἔτεσι καταπολεμήσας τὴν Περσίδα, ἐν ἑβδόμῳ εἰρηνεύσας μετὰ χαρᾶς μεγάλης ἐπὶ ΚΠ. 627 post Christ. Siroes.

Μετὰ Σιρόȣ τελευτὴν Ἀδεσὴρ ὁ τȣ́τȣ υἱὸς τὴν βασιλείαν τῶν Περσῶν παρέλαβε, τȣ́τȣ δὲ μῆνας ἑπτὰ κρατήσαντος τῆς ἀρχῆς ἐπανέςη αὐτῷ Σαρβαραζᾶς, κα̉ὶ τȣ̃τον πατάξας, ἐβασίλευσε τῶν Περσῶν μῆνας δύο. τȣ̃τον δὲ ἀνελόντες οἱ Πέρσαι Βοράνην κατέςησαν εἰς βασιλέα τὴν θυγατέρα Χοσρόȣ, ἥτις ἐκράτησε τὴν βασιλείαν Περσῶν μῆνας ἑπτά. ταύτην διεδέξατο Ὁρμίσδας ἀπὸ τῶν Σαρακηνῶν διωχθείς. Ἐςράτευσαν δὴ οἱ Σαρακηνοὶ κατὰ Περσίδος, κα̉ὶ συνάπτȣσι πόλεμον μετ' αὐτῶν, κα̉ὶ νικήσαντες κατὰ κράτος πάντας τȣ̀ς Πέρσας ὑπέταξαν. Ὁρμίσδας δὲ ὁ τῶν Περσῶν βασιλεὺς φυγῇ χρησάμενος, ἐπὶ τȣ̀ς ἐνδοτέρȣς Πέρσας εἰς τὰ βασίλεια ἐχώρει. οἱ δὲ Σαρακηνοὶ ἠχμαλώτευσαν τὰς τȣ̃ Ὁρμίσδȣ θυγατέρας μετὰ πάσης τῆς βασιλικῆς ἀποσκευῆς, κα̉ὶ ἤχθησαν πρὸς Ὄυμαρον. Οὕτω γέγονεν ἡ βασιλεία τῶν Περσῶν ὑπὸ τȣ̀ς Ἄραβας. Adeser.

IV. DE

IV. DE REBUS ARMENIORUM.

Strabo libr. XI.

Τῆς δ' Ἀρμενίας τὰ μὲν νότια προβέβληται τὸν Ταῦρον, διείργοντα αὐτὴν ἀφ' ὅλης τῆς μεταξὺ Εὐφράτου καὶ τοῦ Τίγριδος, ἣν Μεσοποταμίαν καλοῦσι· τὰ δὲ ἑωθινὰ τῇ Μηδίᾳ συνάπτει τῇ μεγάλῃ, καὶ τῇ Ἀτροπατηνῇ. προσάρκτια δέ ἐστι τὰ ὑπερκείμενα τῆς Κασπίας θαλάττης ὄρη τὰ τοῦ Παραχοάθρα, καὶ Ἀλβανοί, καὶ Ἴβηρες, καὶ ὁ Καύκασος ἐγκυκλούμενος τὰ ἔθνη ταῦτα, καὶ συνάπτων τοῖς Ἀρμενίοις, συνάπτων δὲ καὶ τοῖς Μοσχικοῖς ὄρεσι, καὶ Κολχικοῖς μέχρι τῶν καλουμένων Τιβαρηνῶν. Ἀπὸ δὲ τῆς ἑσπέρας ταῦτά ἐστι τὰ ἔθνη, καὶ ὁ Παρυάδρης καὶ ὁ Σκυδίσης μέχρι μικρᾶς Ἀρμενίας καὶ τῆς τοῦ Εὐφράτου ποταμίας, ἣ διείργει τὴν Ἀρμενίαν ἀπὸ τῆς Καππαδοκίας καὶ τῆς Κομμαγηνῆς. ὁ γὰρ Εὐφράτης ἀπὸ τῆς βορείας πλευρᾶς τοῦ Ταύρου τὰς ἀρχὰς ἔχων, τὸ μὲν πρῶτον ῥεῖ πρὸς δύσιν διὰ τῆς Ἀρμενίας, εἶτ' ἐπιστρέφει πρὸς νότον, καὶ διακόπτει τὸν Ταῦρον, μεταξὺ τῶν Ἀρμενίων τε καὶ Καππαδοκῶν καὶ Κομμαγηνῶν· ἐκπεσὼν δ' ἔξω, καὶ γενόμενος κατὰ τὴν Συρίαν ἐπιστρέφει πρὸς χειμερινὰς ἀνατολὰς μέχρι Βαβυλῶνος, καὶ ποιεῖ τὴν Μεσοποταμίαν πρὸς τὸν Τίγριν· ἀμφότεροι δὲ τελευτῶσιν εἰς τὸν Περσικὸν κόλπον. Τὰ μὲν δὴ κύκλῳ ταῦτα, ὀρεινὰ σχεδὸν πάντα καὶ τραχέα, πλὴν τῶν πρὸς τὴν Μηδίαν κεκλιμένων ὀλίγων. πάλιν δὲ τοῦ λεχθέντος Ταύρου τὴν ἀρχὴν λαμβάνοντος ἀπὸ τῆς περαίας τῶν Κομμαγηνῶν καὶ τῶν Μελιτηνῶν, ἣν ὁ Εὐφράτης ποιεῖ, Μάσιον μέν ἐστι τὸ ὑπερκείμενον ὄρος τῶν ἐν τῇ Μεσοποταμίᾳ Μυγδόνων ἐν νότου, ἐν οἷς ἡ Νίσιβίς ἐστιν· ἐκ δὲ τῶν προσαρκτίων μερῶν ἡ Σωφηνὴ κεῖται, μεταξὺ τοῦ τε Μασίου καὶ τοῦ Ἀντιταύρου· οὗτος δὲ ἀπὸ τοῦ Εὐφράτου καὶ τοῦ Ταύρου τὴν ἀρχὴν λαβών, τελευτᾷ πρὸς τὰ ἕω τῆς Ἀρμενίας, ἀπολαμβάνων μέσην τὴν Σωφηνήν, ἐκ θατέρου δὲ μέρους ἔχων τὴν Ἀκιλισηνήν, μεταξὺ ἱδρυμένην τοῦ Ταύρου τε καὶ τοῦ Εὐφράτου καὶ τῆς Μεσοποταμίας, πρὶν ἢ κάμπτειν αὐτὴν ἐπὶ νότον. βασίλειον δὲ τῆς Σωφηνῆς Καρκαθιόκερτα. τοῦ δὲ

Μασ

Μασίȣ ὑπέρκειται πολὺ πρὸς ἕω κατὰ τὴν Γοργοδυληνὴν ὁ Νιφάτης, εἶτ' ὁ Ἄβος, ἀφ' ȣ͂ καὶ ὁ Εὐφράτης ῥεῖ καὶ ὁ Ἀράξης, ὁ μὲν πρὸς δύσιν, ὁ δὲ πρὸς ἀνατολάς, εἶθ' ὁ Νίβαρος μέχρι τῆς Μηδείας παρατείνει. ὁ μὲν ȣ͂ν Εὐφράτης εἴρηται ὃν τρόπον ῥεῖ. Ὁ δὲ Ἀράξης πρὸς τὰς ἀνατολὰς ἐνεχθεὶς μέχρι τῆς Ἀτροπατηνῆς, κάμπτει πρὸς δύσιν καὶ πρὸς ἄρκτȣς, καὶ παραῤῥεῖ τὴν Ἄζαραν πρῶτον, εἶτ' Ἀρτάξατα πόλιν Ἀρμενίων· ἔπειτα διὰ τȣ͂ Ἀραξηνȣ͂ πεδίȣ, πρὸς τὸ Κάσπιον ἐκδίδωσι πέλαγος. Ἐν αὐτῇ δὲ τῇ Ἀρμενίᾳ πολλὰ μὲν ὄρη, πολλὰ δὲ ὀροπέδια, ἐν οἷς ȣ̓δ' ἄμπελος φύεται ῥαδίως· πολλοὶ δ' αὐλῶνες, οἱ μὲν μέσως, οἱ δὲ καὶ σφόδρα εὐδαίμονες· καθάπερ τὸ Ἀραξηνὸν πεδίον, δι' ȣ͂ ὁ Ἀράξης ποταμὸς ῥέων εἰς τὰ ἄκρα τῆς Ἀλβανίας, καὶ τὴν Κασπίαν ἐμπίπτει θάλασσαν· καὶ μετὰ ταῦτα ἡ Σακασσηνή, καὶ αὐτὴ τῇ Ἀλβανίᾳ πρόσχωρος καὶ τῷ Κύρῳ ποταμῷ· εἶθ' ἡ Γωγαρηνή. πᾶσα γὰρ ἡ χώρα ἄυτη καρποῖς τε καὶ τοῖς ἡμέροις δένδροις, καὶ τοῖς ἀειθαλέσι πληθύει. φέρει δὲ καὶ ἐλαίας· ἔτι δὲ καὶ ἡ Φαυηνὴ τῆς Ἀρμενίας ἐπαρχία· καὶ ἡ Κωμισηνή, καὶ Ὀρχηςενή, πλείςην ἱππείαν παρέχȣσα. ἡ δὲ Χορζηνὴ καὶ Καμβυσηνὴ προσβορώταταί εἰσιν καὶ νιφοβόλοι μάλιςα, συνάπτȣσαι τοῖς Καυκασίοις ὄρεσι, καὶ τῇ Ἰβερίᾳ, καὶ τῇ Κολχίδι· ὅπȣ φασι κατὰ τὰς ὑπερβολὰς τῶν ὀρῶν πολλάκις, καὶ συνοδίας ὅλας τῶν ὀρῶν ἐν τῇ χιόνι καταπίνεσθαι, νιφετῶν γινομένων ἐπὶ πλέον· ἔχειν δὲ καὶ βακτηρίας πρὸς τȣ̀ς τοιȣ́τοις κινδύνοις παρεξαίροντας εἰς τὴν ἐπιφάνειαν, ἀναπνοῆς τε χάριν, καὶ τȣ͂ διαμηνύειν τοῖς ἐπιȣ͂σιν, ὥς τε βοηθείας τυγχάνειν, ἀνορύττεσθαι, καὶ σώζεσθαι. ἐν δὲ τῇ χιόνι βώλȣς πήγνυσθαι φασὶ κοίλας παρεχȣ́σας χρηςὸν ὕδωρ, ὡς ἐν χιτῶνι· καὶ τὰ ζῶα ἐν αὐτῇ γεννᾶσθαι· καλεῖ δὲ σκώληκας Ἀπολλωνίδης, ...οφάνης δὲ θρῖπας· καὶ τȣ́τοις ἀπολαμβάνεσθαι χρηςὸν ...ρ, περισχισθέντων δὲ τῶν χιτόνων πίνεσθαι· τὴν δὲ γέ...ιν τῶν ζώων τοιαύτην εἰκάζȣσιν, ὅιαν τὴν τῶν κωνώ...ν ἐκ τῆς μετάλλοις φλογὸς καὶ τȣ͂ φεψάλȣ. Ἱςορȣ͂σι ... τὴν Ἀρμενίαν μικρὰν πρότερον ȣ͂σαν, αὐξηθῆναι διὰ ... περὶ Ἀρταξίαν καὶ Θαριάδην· οἱ πρότερον μὲν ἦσαν ...τιόχȣ τȣ͂ μεγάλȣ ςρατηγοί, βασιλεύσαντες δ' ὕςερον

μετὰ

μετὰ τὴν ἐκείνȣ ἧτταν, ὁ μὲν τῆς Σωφηνῆς καὶ τῆς Ἀκιλισηνῆς καὶ Ὀδομαντίδος καὶ ἄλλων τινων, ὁ δὲ τῆς περὶ Ἀρτάξατα, συνηύξησαν, ἐκ τῶν περικειμένων ἐθνῶν ἀποτεμόμενοι μέρη· ἐκ Μήδων μὲν τήν τε Κασπιανὴν καὶ Φαυνίτην καὶ Βασοροπέδαν· Ἰβήρων δὲ τήν τε παρωρίαν τȣ Παρυάδρȣ, καὶ τὴν Χορζηνὴν, καὶ τὴν Γωγαρηνὴν, πέραν ὄσαν τȣ Κύρȣ. Χαλύβων δὲ καὶ Μοσυνοίκων Παρηνήτην καὶ Ξερξηνὴν, ἃ τῇ μικρᾷ Ἀρμενίᾳ ἐστιν ὅμορα, καὶ μέρη αὐτῆς ἐστί. καὶ Καταόνων δὲ Ἀκιλισηνὴν καὶ τὴν περὶ τὸν Ἀντίταυρον. Σύρων δὲ Ταμωνίτην, ὥστε πάντας ὁμογλώττȣς εἶναι. Πόλεις δ᾽ εἰσιν Ἀρμενίας Ἀρταξατά τε, ἣν καὶ Ἀρταξιάσατα καλȣσιν, Ἀννίβα κτίσαντος Ἀρταξίᾳ τῷ βασιλεῖ, καὶ ἄρξοντος ἀμφοτέρων, ἐπὶ τῷ Ἀράξῃ· ἡ μὲν Ἀρξάτα πρὸς τοῖς ὅροις τῆς Ἀτροπατίας· ἡ δὲ Ἀρτάξατα, πρὸς τῷ Ἀρταξηνῷ πεδίῳ, συνῳκισμένη καλῶς καὶ βασίλειον ȣσα τῆς χώρας· κεῖται δ᾽ ἐπὶ χεῤῥονησιάζοντος ἀγκῶνος τὸ τεῖχος κύκλῳ προβεβλημένον τὸν ποταμὸν, πλὴν τȣ ἰσθμȣ· τὸν ἰσθμὸν δ᾽ ἔχει τάφρῳ καὶ χάρακι κεκλεισμένον· ȣ πολὺ δ᾽ ἄπωθεν ἐστὶ τῆς πόλεως καὶ τὰ Τιγράνȣ καὶ Ἀρταβάσδȣ γαζοφυλάκια, φρȣρια ὀρεινὰ, Βάβυρσά τε καὶ Ὀλανή· ἦν δὲ καὶ ἄλλα ἐπὶ τῷ Εὐφράτῃ. Ἀταγῆρας δὲ ἀπέστησε μὲν Ἀδὼρ ὁ φρȣραρχος· ἐξεῖλον δ᾽ οἱ Καίσαρος στρατηγοὶ πολιορκήσαντες πολὺν χρόνον, καὶ τὰ τείχη περιεῖλον. Ποταμοὶ δὲ πλείȣς μέν εἰσιν ἐν τῇ χώρᾳ· γνωριμώτατοι δὲ Φάσις μὲν καὶ Λύκος, εἰς τὴν Ποντικὴν ἐκπίπτοντες θάλατταν, (Ἐρατοσθένης δ᾽ ἀντὶ τȣ Λύκȣ τίθησι Θερμώδοντα ȣκ εὖ·) εἰς τὴν Κασπίαν δὲ Κύρος καὶ Ἀράξης· εἰς δὲ τὴν Ἐρυθρὰν ὅ, τε Εὐφράτης καὶ ὁ Τίγρις. Εἰσὶ δὲ καὶ λίμναι κατὰ τὴν Ἀρμενίαν μεγάλαι· μία μὲν ἡ Μαντιανὴ, Κυνεανὴ ἑρμηνευθεῖσα, μεγίστη, ὥς φασι. μετὰ τὴν Μαιῶτιν ἁλμυρȣ ὕδατος, διήκȣσα μέχρι τῆς Ἀτροπατίας, ἔχȣσα καὶ ἁλοπήγια· ἡ δὲ Ἀρσηνὴ, ἣν καὶ Θωνῖτιν καλȣσιν, ἔστι δὲ νιτρῖτις, τὰς δ᾽ ἐσθῆτας ῥύπτει καὶ διαξαίνει· διὰ δὲ τȣτο καὶ ἄποτόν ἐστι τὸ ὕδωρ· φέρεται δὲ δι᾽ αὐτῆς ὁ Τίγρις, ἀπὸ τῆς κατὰ τὸν Νιφάτην ὀρεινῆς ὁρμηθεὶς, ἄμικτον φυλάττων τὸ ῥεῦμα διὰ τὴν ὀξύτητα· ἀφ᾽ ȣ καὶ τȣνομα, Μήδων τίγριν καλȣντων τὸ τόξευμα·

κα

καὶ ἔτος μὲν ἔχει πολυειδεῖς ἰχθῦς· οἱ δὲ λιμναῖοι ἑνὸς εἴδους εἰσί· κατὰ δὲ τὸν μυχὸν τῆς λίμνης εἰς βάραθρον ἐμπεσὼν ὁ ποταμὸς, καὶ πολὺν τόπον ἐνεχθεὶς ὑπὸ γῆς, ἀνατέλλει κατὰ τὴν Χαλωνίτην· ἐκεῖθεν δ' ἤδη πρὸς μὲν Ὦπιν καὶ τὸ τῆς Σεμιράμιδος διατείχισμα ἐκεῖνός τε καταφέρεται, τοὺς Γορδυαίους ἐν δεξιᾷ ἀφεὶς, καὶ τὴν Μεσοποταμίαν ὅλην· καὶ Εὐφράτης τοὐναντίον ἐν ἀριστερᾷ ἔχων τὴν αὐτὴν χώραν· πλησιάσαντες δὲ ἀλλήλοις, καὶ ποιήσαντες τὴν Μεσοποταμίαν, ὁ μὲν διὰ Σελευκείας φέρεται πρὸς τὸν Περσικὸν κόλπον, ὁ δὲ διὰ Βαβυλῶνος· καθάπερ εἴρηταί που ἐν τοῖς πρὸς Ἐρατοσθένην καὶ Ἵππαρχον λόγοις. Μέταλλα δ' ἐν μὲν τῇ Ὑσπιράτιδι ἐστι χρυσοῦ κατὰ τὰ Κάμβαλα· ἐφ' ἃ Μέμνονα ἔπεμψεν Ἀλέξανδρος μετὰ στρατιωτῶν· ἀνήχθη δ' ὑπὸ τῶν ἐγχωρίων· καὶ ἄλλα δ' ἐστὶ μέταλλα, καὶ δὴ τῆς σπάνδικος καλούμενος, ὃν δὴ καὶ ἀρμένιον καλοῦσι, χρῶμα ὅμοιον κάλχῃ. οὕτω δ' ἐστὶν ἱππόβοτος σφόδρα ἡ χώρα, καὶ οὐχ ἧττον τῆς Μηδίας, ὥς τε οἱ Νισαῖοι ἵπποι καὶ ἐνταῦθα γίνονται, οἷσπερ οἱ Περσῶν βασιλεῖς ἐχρῶντο· καὶ ὁ σατράπης τῆς Ἀρμενίας τῷ Πέρσῃ κατ' ἔτος δισμυρίους πώλους τοῖς μιθρακίνοις ἔπεμπεν. Ἀρταουάσδης δὲ Ἀντωνίῳ χωρὶς τῆς ἄλλης ἱππείας αὐτὴν τὴν κατάφρακτον ἑξακισχιλίαν ἵππον ἐκτάξας ἀπέδειξεν, ἡνίκα εἰς τὴν Μηδίαν ἐνέβαλε σὺν αὐτῷ. ταύτης δὲ τῆς ἱππείας οὐ Μῆδοι μόνοι καὶ Ἀρμένιοι ζηλωταὶ γεγόνασιν, ἀλλὰ καὶ Ἀλβανοί· καὶ γὰρ ἐκεῖνοι καταφράκτοις χρῶνται. Τοῦ δὲ πλούτου καὶ τῆς χώρας τῆς δυνάμεως σημεῖον οὐ σμικρὸν, ὅτι Πομπηΐου Τιγράνῃ τῷ πατρὶ τοῦ Ἀρταουάσδου τάλαντα ἐπιγράψαντος ἑξακισχίλια ἀργυρίου, διένει μὲν αὐτίκα ταῖς δυνάμεσι τῶν Ῥωμαίων, στρατιώτῃ μὲν κατ' ἄνδρα πεντήκοντα δραχμὰς καὶ ἑκατὸν, ἑκατοντάρχῃ δὲ χιλίας, ἐπάρχῳ δὲ καὶ χιλιάρχῳ τάλαντον. Μέγεθος δὲ τῆς χώρας Θεοφάνης ἀποδίδωσιν, εὖρος μὲν σχοίνων ἑκατὸν, μῆκος δὲ διπλάσιον· τιθεὶς τὴν σχοῖνον τετταράκοντα σταδίων. πρὸς ὑπερβολὴν δ' εἴρηκεν· ἐγγυτέρω δ' ἐστὶ τῆς ἀληθείας, μῆκος μὲν θέσθαι τὸ ὑπ' ἐκείνου λεχθὲν, εὖρος δὲ τὸ ἥμισυ ἢ μικρῷ πλεῖον.

Ἅπαντα δὲ τῶν Περσῶν ἱερὰ καὶ Μῆδοι καὶ Ἀρ-

μένιοι τετιμήκασι· τὰ δὲ τῆς Ἀναΐτιδος διαφερόντως Ἀρμένιοι· ἔν τε ἄλλοις ἱδρυσάμενοι τόποις, καὶ δὴ καὶ ἐν τῇ Ἀκιλισηνῇ· ἀνατιθέασι δ' ἐνταῦθα δȣ́λȣς καὶ δȣ́λας· καὶ τȣ̃το μὲν ȣ̓ θαυμαςόν· ἀλλὰ καὶ θυγατέρας οἱ ἐπιφανέςατοι τȣ̃ ἔθνȣς ἀνιερȣ̃σι παρθένȣς, αἷς νόμος ἐςὶ, καταπορνευθείσαις πολὺν χρόνον παρὰ τῇ Θεῷ, μετὰ ταῦτα δίδοσθαι πρὸς γάμον· ȣ̓κ ἀπαξιȣ̃ντος τῇ τοιαύτῃ συνοικεῖν ȣ̓δενός. τοιȣ̃τον δέ τι καὶ Ἡρόδοτος λέγει τὸ περὶ τὰς Λυδάς· πορνεύειν γὰρ ἁπάσας. ȣ̔́τω δὲ φιλοφρόνως χρῶνται τοῖς ἐραςαῖς, ὥς τε καὶ ξενίαν παρέχȣσι, καὶ δῶρα ἀντιδιδόασι πλείω πολλάκις, ἢ λαμβάνȣσιν· ἅ τ' ἐξ εὐπόρων ὄικων ἐπιχορηγȣ́μεναι· δέχονται δὲ ȣ̓ τȣ̀ς τυχόντας τῶν ξένων· ἀλλὰ μάλιςα τȣ̀ς ἀπὸ ἴσȣ ἀξιώματος.

Ἀρχαιολογία δέ τις ἐςὶ περὶ τȣ̃ ἔθνȣς τȣ̃δε τοιαύτη. Ἄρμενος ἐξ Ἀρμενίȣ πόλεως Θετταλικῆς, ἣ κεῖται μεταξὺ Φερῶν καὶ Λαρίσσης ἐπὶ τῇ Βοίβῃ, συνεςράτευσεν Ἰάσονι ἐς τὴν Ἀρμενίαν· τȣ́τȣ φασὶν ἐπώνυμον τὴν Ἀρμενίαν οἱ περὶ Κύρσιλον τὸν Φαρσάλιον καὶ Μήδιον τὸν Λαρισσαῖον, ἄνδρες συνεςρατευκότες Ἀλεξάνδρῳ· τῶν δὲ μετὰ τȣ̃ Ἀρμενίȣ τȣ̀ς μὲν τὴν Ἀκιλισηνὴν οἰκῆσαι, τὴν ὑπὸ τῆς Σωφηνῆς πρότερον ȣ̓̃σαν, τȣ̀ς δὲ ἐν τῇ Συσπιρίτιδι, ἕως τῆς Καλαχηνῆς καὶ τῆς Ἀδιαβηνῆς ἔξω τῶν Ἀρμενιακῶν ὅρων. καὶ τὴν ἐσθῆτα δὲ τὴν Ἀρμενιακὴν Θετταλικὴν φασὶν, οἷον τȣ̀ς βαθεῖς χιτῶνας, ȣ̔̀ς καλȣ̃σιν Αἰτωλικȣ̀ς ἐν ταῖς τραγῳδίαις, καὶ ζωννύȣσι περὶ τὰ ςήθη, καὶ ἐφαπτίδας ὡς καὶ τῶν τραγῳδῶν μιμησαμένων τȣ̀ς Θετταλȣ́ς· ἔδει μὲν γὰρ αὐτοῖς ἐπιθέτȣ κόσμȣ τοιȣ́τȣ τινός· οἱ δὲ Θετταλοὶ μάλιςα βαθυςολȣ̃ντες ὡς εἰκὸς, διὰ τὸ πάντων εἶναι Ἑλλήνων βορειοτάτȣς, καὶ ψυχροτάτȣς νέμεσθαι τόπȣς, ἐπιτηδειοτάτην παρέσχοντο μίμησιν· τὴν τῶν ὑποκριτῶν δὲ διασκευὴν ἐν τοῖς ἀναπλάσμασιν, καὶ τὸν τῆς ἱππικῆς ζῆλον φασὶν εἶναι Θετταλικὸν, καὶ τȣ́τοις ὁμοίως καὶ Μήδοις· τὴν δὲ Ἰάσονος ςρατείαν καὶ τὰ Ἰασόνια μαρτυρεῖ· ὧν τινα οἱ δυνάςαι κατέσκαψαν παραπλησίως· ὥσπερ τὸν ἐν Ἀβδήροις νεὼν τȣ̃ Ἰάσονος Παρμενίων. τὸν δὲ Ἀράξην κληθῆναι νομίζȣσι κατὰ τὴν ὁμοιότητα τὴν πρὸς τὸν Πηνειὸν ὑπὸ τῶν περὶ τὸν Ἄρμενον, ὁμωνύμως ἐκείνῳ· καλεῖσθαι γὰρ

Ἀρα-

Ἀράξην κἀκεῖνον, διὰ τὸ ἀποῤῥῆξαι τὴν Ὄσσαν ἀπὸ τοῦ Ὀλύμπου ῥήξαντα τὰ Τέμπη· καὶ τοῦτον ἐν Ἀρμενίᾳ ἀπὸ τῶν ὀρῶν καταβάντα, πλατύνεσθαι φασὶ τὸ παλαιὸν καὶ πελαγίζειν ἐν τοῖς ὑποκειμένοις πεδίοις οὐκ ἔχοντα διέξοδον. Ἰάσονα δὲ μιμησάμενον τὰ Τέμπη, ποιῆσαι τὴν διασφάγα, δι' ἧς καταράττει νυνὶ τὸ ὕδωρ εἰς τὴν Κασπίαν θάλατταν· ἐκ δὲ τούτου γυμνωθῆναι τὸ Ἀραξηνὸν πεδίον, δι' οὗ συμβαίνει ῥέων ἐπὶ τὸν καταῤῥάκτην ὁ ποταμός. οὗτος μὲν οὖν ὁ λόγος περὶ τοῦ Ἀράξου ποταμοῦ λεγόμενος ἔχει τι πιθανόν· ὁ δὲ Ἡροδότειος οὐ πάνυ· φησὶ γὰρ ἐκ Ματιανῶν αὐτὸν ῥέοντα, εἰς τετταράκοντα ποταμοὺς σχίζεσθαι, μερίζειν δὲ Σκύθας καὶ Βακτριανούς· καὶ Καλλισθένης δὲ ἠκολούθησεν αὐτῷ. Λέγονται δὲ καὶ τῶν Αἰνιανῶν τινες, οἱ μὲν, τὴν Οὐϊτίαν οἰκῆσαι, οἱ δ' ὕπερθε τῶν Ἀρμενίων ὑπὲρ τὸν Ἄβον, καὶ τὸν Ἴμβαρον· μέρη δ' ἐστὶ τοῦ Ταύρου ταῦτα, ὧν ὁ Ἄβος ἐγγύς ἐστι τῆς ὁδοῦ τῆς εἰς Ἐκβάτανα φερούσης παρὰ τὸν τῆς Βάριδος νέων. φασὶ δὲ καὶ Θρακῶν τινὰς τοὺς προσαγορευομένους Σαραπάρας οἷον κεφαλοτόμους, οἰκῆσαι ὑπὲρ τῆς Ἀρμενίας, πλησίον Γουρανίων καὶ Μήδων θηριώδεις ἀνθρώπους καὶ ἀπειθεῖς, ὀρεινούς, περισκελιστάς τε καὶ ἀποκεφαλιστάς· τοῦτο γὰρ δηλοῦσι οἱ Σαραπάραι· εἴρηται δὲ καὶ τὰ περὶ τῆς Μηδείας ἐν τοῖς Μηδικοῖς· ὥστ' ἐκ τούτων πάντων εἰκάζουσι καὶ τοὺς Μήδους καὶ Ἀρμενίους συγγενεῖς πως τοῖς Θετταλοῖς εἶναι, τοῖς ἀπὸ Ἰάσονος καὶ Μηδείας· ὁ μὲν δὴ παλαιὸς λόγος οὗτος. Ὁ δὲ τούτου νεώτερος καὶ κατὰ Πέρσας εἰς τὸ ἐφεξῆς μέχρι εἰς ἡμᾶς, ὡς ἐν κεφαλαίῳ πρέποι ἂν μέχρι τοσούτου λεχθεὶς, ὅτι κατεῖχον τὴν Ἀρμενίαν Πέρσαι καὶ Μακεδόνες, μετὰ ταῦτα οἱ τὴν Συρίαν ἔχοντες καὶ τὴν Μηδίαν· τελευταῖος ὑπῆρξεν Ὀρόντης ἀπόγονος Ὑδάρνου τῶν ἑπτὰ Περσῶν ἑνός· εἶθ' ὑπὸ τῶν Ἀντιόχου τοῦ μεγάλου στρατηγῶν, τοῦ πρὸς Ῥωμαίους πολεμήσαντος διῃρέθη δίχα, Ἀρταξίου καὶ Ζαδριάδριος· καὶ ἦρχον οὗτοι τοῦ βασιλέως ἐπιτρέψαντος· ἡττηθέντος δ' ἐκείνου, προσθέμενοι Ῥωμαίοις, καθ' αὑτοὺς ἐτάττοντο βασιλεῖς προσαγορευθέντες. Τοῦ μὲν οὖν Ἀρταξίου Τιγράνης ἦν ἀπόγονος· καὶ εἶχε τὴν ἰδίως λεγομένην Ἀρμενίαν· αὕτη δ' ἦν προσεχὴς τῇ τε Μηδίᾳ καὶ Ἀλβανοῖς καὶ Ἴβηρσι μέχρι Κολχίδος, καὶ τῆς ἐπὶ τῷ

Εὐ-

Εὐξείνῳ Καππαδοκίας. Τοῦ δὲ Ζαδριάδριος ὁ Σωφηνὸς Ἀρτάνης ἔχων τὰ νότια μέρη, καὶ τούτων τὰ πρὸς δύσιν μᾶλλον· κατελύθη δ' οὗτος ὑπὸ τοῦ Τιγράνου, καὶ πάντων κατέστη κύριος ἐκεῖνος· τύχαις δ' ἐχρήσατο ποικίλαις. κατ᾽ ἀρχὰς μὲν γὰρ ὡμήρευσε παρὰ Πάρθοις· ἔπειτα δι' ἐκείνων ἔτυχε καθόδου, λαβόντων μισθὸν ἑβδομήκοντα αὐλῶνας τῆς Ἀρμενίας· αὐξηθεὶς δὲ, καὶ ταῦτα ἀπέλαβε τὰ χωρία. καὶ τὴν ἐκείνων ἐπόρθησε, τήν τε περὶ Νίνον, καὶ τὴν περὶ Ἄρβηλα· ὑπηκόους δ' ἔσχε καὶ τὸν Ἀτροπατηνὸν, καὶ τὸν Γορδιαῖον, μεθ' ὧν καὶ τὴν λοιπὴν Μεσοποταμίαν, ἔτι δὲ καὶ τὴν Συρίαν αὐτὴν καὶ Φοινίκην, διαβὰς τὸν Εὐφράτην, ἀνακράτος εἷλεν. ἐπὶ τοσοῦτον δ' ἐξαρθεὶς, καὶ πόλιν ἔκτισε πλησίον τῆς Ἰβηρίας μεταξὺ ταύτης τε καὶ τοῦ κατὰ τὸν Εὐφράτην ζεύγματος, ἣν ὠνόμασε Τιγρανόκερτα, ἐκ δώδεκα ἐρημωθεισῶν ὑπ' αὐτοῦ πόλεων Ἑλληνίδων ἀνθρώπους συναγαγών. Ἔφθη δ' ἐπελθὼν Λεύκολλος ὁ τῷ Μιθριδάτῃ πολεμήσας, καὶ τοὺς μὲν οἰκήτορας εἰς τὴν οἰκείαν ἑκάστου ἀπέλυσε, τὸ δὲ κτίσμα ἡμιτελὲς ἔτι ὂν, κατέσπασε προσβαλὼν, καὶ μικρὰν κώμην κατέλιπεν· ἐξήλασε δὲ καὶ τῆς Συρίας αὐτὸν καὶ τῆς Φοινίκης. διαδεξάμενος δ' Ἀρταουάσδης ἐκεῖνον, τέως μὲν εὐτύχει φίλος ὢν Ῥωμαίοις. Ἀντώνιον δὲ προδιδοὺς Παρθυαίοις ἐν τῷ πρὸς αὐτοὺς πολέμῳ, δίκας ἔτισεν· αναχθεὶς γὰρ εἰς Ἀλεξάνδρειαν ὑπ' αὐτοῦ δέσμιος πομπευθεὶς διὰ τῆς πόλεως, τέως μὲν ἐφρουρεῖτο· ἔπειτ' ἀνῃρέθη, συνάπτοντος τοῦ Ἀκτιακοῦ πολέμου. μετ' ἐκεῖνον δὲ πλείους ἐβασίλευσαν ὑπὸ Καίσαρι καὶ Ῥωμαίοις ὄντες.

Procopius de aedificiis. III. 1.

Ὡς δὲ Ῥωμαίοις ὁ Μαμαίας Ἀλέξανδρος βασιλεὺς γέγονε, τότε τις τῶν ἐν Πάρθοις βασιλέων τὸν ἀδελφὸν αὐτοῦ Ἀρμενίοις βασιλέα κατεστήσατο Ἀρσάκην ὄνομα, ὥσπερ ἡ τῶν Ἀρμενίων ἱστορία φησί. χρόνῳ δὲ ὕστερον παῖδες ἐγένοντο Ἀρσάκῃ τινι Ἀρμενίων βασιλεῖ δύο, Τιγράνης τε καὶ Ἀρσάκης ὀνόματα. ὅσπερ, ἐπεὶ ἔμελλε τὸν βίον διαμετρήσασθαι, διαθήκας τιθεὶς, ἄμφω τὼ παῖδε ποιεῖται διαδόχους αὐτῷ τῆς ἀρχῆς, οὐκ ἰσοστάσιον διορίσας ἑκατέρῳ τὸ κράτος· ἀλλὰ τῷ Τιγράνῃ τετραπλασίαν ἀπολιπὼν τὴν μοῖραν. Ἀρσάκης μὲν οὖν ὁ πατὴρ οὕτω τὴν βασιλείαν διοικησάμενος, ἐξ ἀνθρώπων ἠφάνιστο. Ἀρσάκη

δὲ ὁ παῖς, ἐφ' ὅις δὴ αὐτῷ ἐλασσῦσθαι ξυνέβη, ἀγανακτῶν τε καὶ δυσφορῦμενος, ἐπὶ τῶν Ῥωμαίων τὸν αὐτοκράτορα τὸ πρᾶγμα ἦγε, τῦ τε ἀδελφῦ καταλῦσαι τὴν βασιλείαν μηχανῇ πάσῃ ἐλπίδα ἔχων, καὶ ἄδικον ῦσαν τὴν πατρὸς γνώμην ἀβέβαιον καταςήσεσθαι. Θεοδόσιος δὲ τότε Ἀρκαδίυ ὑιὸς ἔτι παῖς ὢν κομιδῇ Ῥωμαίων ἦρχε. τίσιν δὲ δειμαίνων τὴν ἐκ βασιλέως Τιγράνης, Πέρσαις αὐτὸν ἐνεχείρισε, τὴν βασιλείαν παραδιδὺς, περὶ πλείονός τε πεποιημένος ἰδιώτης ἐν Πέρσαις ἐῖναι, ἢ πρὸς τῦ ἀδελφῦ δίκαια θέσθαι, καὶ συμβασιλέυειν Ἀρμενίων αὐτῷ ὀρθῶς καὶ δικαίως. καὶ Ἀρσάκης δὲ ὐδέν τι ἧσσον τὴν ἐκ Περσῶν τε καὶ ἀδελφῦ ἐπιβυλὴν δείσας, ἐξέςη τῆς βασιλείας τῆς αὐτῦ Θεοδοσίῳ τῷ αὐτοκράτορι ἐπὶ ξυνθήκαις τισὶν, ἅι μοι ἐν τοῖς ὑπὲρ τῶν πολέμων δεδήλωνται λόγοις. καὶ χρόνον μέν τινα περιμάχητος Ῥωμαίοις τε καὶ Πέρσαις ἡ τῶν Ἀρμενίων γεγένηται χώρα. ἐν ὑςάτῳ δὲ ξυνέβησαν, Πέρσας μὲν τὴν Τιγράνυ μοῖραν, Ῥωμαίυς δὲ Ἀρσάκυ ἔχειν. ἐπὶ τύτοις δὲ σπονδαὶ ἀμφοτέροις ξυνετελέσθησαν. καὶ τὸ λοιπὸν ὁ Ῥωμαίων βασιλεὺς ἄρχοντα τοῖς Ἀρμενίοις ἀεὶ καθίςα, ὅν τινά ποτε καὶ ὁπηνίκα ἂν αὐτῷ βυλομένῳ ἐίη. Κόμητά τε τῆς Ἀρμενίας ἐκάλυν καὶ ἐις ἐμὲ τὸν ἄρχοντα τῦτον. Ἀλλ' ἐπεὶ ὐχ ὅια τε ἦν ἡ τοιαύτη ἀρχὴ ἀποκρύεσθαι τὰς τῶν πολεμίων ἐφόδυς, ὐ παρόντων αὐτῇ ςρατιωτικῶν καταλόγων, κατανενοηκὼς Ἰυςινιανὸς βασιλεὺς ῦτως ἀτάκτως ἀεὶ φερομένην τὴν Ἀρμενίαν, ταύτῃ τε τοῖς βαρβάροις ἐυάλωτον ῦσαν, ταύτην μὲν τὴν ἀρχὴν ἐνθένδε καθεῖλε. ςρατηγὸν δὲ τοῖς Ἀρμενίοις ἐπέςησε, ςρατιωτικῶν τε καταλόγων αὐτῷ κατεςήσατο πλῆθος ἀξιόχρεων ταῖς τῶν πολεμίων ἐπιδρομαῖς ἀντιτάξασθαι. τὰ μὲν ῦν ἀμφὶ τῇ μεγάλῃ καλυμένῃ Ἀρμενίᾳ διῳκήσατο ὧδε. τῇ δὲ ἄλλῃ Ἀρμενίᾳ, ἥπερ ἐντὸς Ἐυφράτυ ποταμῦ ῦσα διήκει ἐις Ἀμίδαν πόλιν, σατράπαι ἐφειςήκεισαν Ἀρμένιοι πέντε, καὶ κατὰ γένος μὲν ἐσαεὶ ἐς τὰς ἀρχὰς ἐκαλῦντο ταύτας, ἐχόμενοι αὐτῶν ἄχρι ἐς θάνατον. σύμβολα μέντοι αὐτῶν πρὸς τῦ Ῥωμαίων βασιλέως ἐδέχοντο μόνον. ἄξιον δὲ τὰ σύμβολα ταῦτα δηλῶσαι λόγῳ, ἐπεὶ ὐκέτι ἐς ἀνθρώπυ ὄψιν ἀφίξεται. χλαμὺς ἡ ἐξ ἐρίων πεποιημένη, ὐχ ὅια τῶν προβατίων ἐκπέφυκεν, ἀλλ' ἐκ θαλάσσης

λάσσης συνειλεγμένων. πίννας τὰ ζῶα καλεῖν νενομίκασιν, ἐν οἷς ἡ τῶν ἐρίων ἔκφυσις γίνεται. χρυσῷ δὲ ἡ τῆς πορφύρας κατείληπτο μοῖρα, ἐφ᾽ ἧς εἰωθεν ἡ τῆς ἀλεργίδος ἐμβολὴ γίνεσθαι. περόνη χρυσῆ τῇ χλαμύδι ἐπέκειτο, λίθον ἐπὶ μέσης περιφράττεσά τινα ἔντιμον· ἀφ᾽ ἧ δὴ ὑάκινθοι τρεῖς χρυσαῖς τε καὶ χαλαραῖς ταῖς ἁλύσεσιν ἀπεκρέμαντο. χιτὼν ἐκ μετάξης ἐγκαλλωπίσμασι χρυσοῖς πανταχόθεν ὡραϊσμένος, ἃ δὴ νενομίκασι πλεμμίαν καλεῖν. ὑποδήματα μέχρι ἐς γόνυ φοινικᾶ χρώματος, ἃ δὴ βασιλέα μόνον Ῥωμαίων τε καὶ Περσῶν ὑποδεῖσθαι θέμις. Στρατιώτης δὲ Ῥωμαῖος ὅτε τῷ Ἀρμενίων βασιλεῖ, ὅτε σατράπαις ἤμυνε πώποτε· ἀλλὰ τὰ πολέμια καταμόνας αὐτοὶ διωκοῦντο. χρόνῳ δὲ ὕστερον, ἐπὶ Ζήνωνος βασιλεύοντος, Ἰλλῷ τε καὶ Λεοντίῳ τετυραννηκόσιν ἐπὶ βασιλέα διαφανῶς συντάσσεσθαί τινες τῶν σατραπῶν ἔγνωσαν. διὸ δὴ Λεόντιόν τε καὶ Ἴλλον Ζήνων βασιλεὺς ὑποχειρίες πεποιημένος, σατράπην μὲν ἕνα φαυλοτάτην ἀρχὴν ἔχοντα, καὶ ὡς ἥκιστα λόγε ἀξίαν ἐν χώρᾳ τῇ Βελαβιτίνῃ καλεμένῃ, ἐπὶ τᾶ προτέρε σχήματος εἴασε. τὲς δὲ λοιπὲς, καθελὼν ἅπαντας, ὀκέτι ἐς τὲς κατὰ γένος σφίσι προσήκοντας ξυνεχώρησε τὰς ἀρχὰς φέρεσθαι. ἀλλ᾽ ἑτέρες ἀεὶ τὴν ἀρχὴν διαδέχεσθαι διώρισε ταύτην ὃς ἂν βελομένῳ βασιλεῖ εἴη. ὥσπερ ἐφ᾽ ἁπάσαις ταῖς ἄλλαις διώρισαι Ῥωμαίων ἀρχαῖς. στρατιῶται μέν τοι ὀδ᾽ ὡς Ῥωμαῖοι αὐτοῖς εἵποντο, ἀλλὰ τῶν Ἀρμενίων τινες, ἧπερ τὰ πρότερα εἴθισο· καὶ ἀπ᾽ αὐτᾶ πολεμίες προσβάλλοντας ἀποκρέεσθαι ἀδύνατοι ἦσαν. ἃ δὴ καταμαθὼν Ἰεστινιανὸς βασιλεὺς τὸ μὲν τῶν σατραπῶν ὄνομα ἐξήλασεν ἐνθένδε εὐθύς. Δᾶκας δὲ τὲς καλεμένες δύο τοῖς ἔθνεσιν ἐπέστησε τέτοις· οἷς δὴ ξυνεστήσατο μὲν Ῥωμαίων στρατιωτῶν καταλόγες παμπληθεῖς, ἐφ᾽ ᾧ τὰ Ῥωμαίων ξυμφυλάξεσιν αὐτοῖς ὅρια· ὀχυρώτατα δὲ δεδημιέργηκεν αὐτοῖς.

V. DE REBUS BACTRIANORUM.

Strabo. libr. XI. Τῆς Βακτρίας μέρη μέν τινα τῇ Ἀρίᾳ περιβέβληται πρὸς ἄρκτον, τὰ πολλὰ δ᾽ ὑπέρκειται πρὸς ἕω· πολλὴ δ᾽

ἐστι

ἐςι καὶ πάμφορος, πλὴν ἐλαίου. τοσοῦτον δὲ ἴσχυσαν οἱ
ἀποςήσαντες Ἕλληνες αὐτὴν διὰ τὴν ἀρετὴν τῆς χώρας,
ὥςε τῆς Ἀριανῆς ἐπεκράτουν, καὶ τῶν Ἰνδῶν, ὥς φησιν
Ἀπολλόδωρος ὁ Ἀδραμυττηνός, καὶ πλείω ἔθνη κατεςρέ-
ψαντο, ἢ Ἀλέξανδρος, καὶ μάλιςα Μένανδρος· εἴγε καὶ
τὸν Ὕπανιν διέβη πρὸς ἕω, καὶ μέχρι τοῦ Ἰσάμου προῆλ-
θε· τὰ μὲν γὰρ αὐτός, τὰ δὲ Δημήτριος ὁ Εὐθυδήμου
υἱὸς τοῦ Βακτρίων βασιλέως, οὐ μόνον δὲ τὴν Πατταλήνην
κατέσχον, ἀλλὰ καὶ τῆς ἄλλης παραλίας τήν τε Τεσσα-
ριόςου καλουμένην, καὶ τὴν Σιγέρτιδος βασιλείαν. Καθόλου
δέ φησιν ἐκεῖνος τῆς συμπάσης Ἀριανῆς πρόσχημα εἶναι
τὴν Βακτριανήν· καὶ δὴ καὶ μέχρι Σύρων καὶ Φαύνων ἐξέ-
τειναν τὴν ἀρχήν. πόλεις δ' εἶχον τά τε Βάκτρα, ἥν-
περ καὶ Ζαριάσπαν καλοῦσιν· ἣν διαῤῥεῖ ὁμώνυμος ποταμὸς
ἐμβάλλων εἰς τὸν Ὦξον, καὶ Δάραψαν, καὶ ἄλλας πλείους·
τούτων δ' ἦν καὶ Εὐκρατιδία τοῦ ἄρξαντος ἐπώνυμος. Οἱ
δὲ κατασχόντες αὐτὴν Ἕλληνες, καὶ εἰς σατραπείας διῃ-
ρήκασιν· ὧν τήν τε Ἀσπιώνου καὶ τὴν Τουριούαν ἀφῄρηντο
Εὐκρατίδην οἱ Παρθυαῖοι. ἔσχον δὲ καὶ τὴν Σογδανὴν
ὑπερκειμένην πρὸς ἕω τῆς Βακτριανῆς, μεταξὺ τοῦτε Ὤξου
ποταμοῦ, ὃς ὁρίζει τήν τε τῶν Βακτρίων, καὶ τὴν τῶν
Σογδίων, καὶ τοῦ Ἰαξάρτου· οὗτος δὲ καὶ τοὺς Σογδίους ὁρί-
ζει καὶ τοὺς Νομάδας. Τὸ μὲν οὖν παλαιὸν οὐ πολὺ διέ-
φερον τοῖς βίοις καὶ τοῖς ἤθεσι τῶν Νομάδων οἵ τε Σογ-
διανοὶ καὶ οἱ Βακτριανοί· μικρὸν δ' ὅμως ἡμερώτερα ἦν τὰ
τῶν Βακτριανῶν· ἀλλὰ καὶ περὶ τούτων οὐ τὰ βέλτιςα λέ-
γουσιν οἱ περὶ Ὀνησίκριτον· τοὺς γὰρ ἀπειρηκότας διὰ νόσον,
ἢ γῆρας ζῶντας παραβάλλεσθαι τρεφομένοις κυσὶν, ἐπίτη-
δες πρὸς τοῦτο, οὓς ἐνταφιςὰς καλοῦσι τῇ πατρῴᾳ γλώτ-
τῃ· καὶ ὁρᾶσθαι τὰ μὲν ἔξω τείχους τῆς μητροπόλεως τῶν
Βάκτρων καθαρά· τῶν δ' ἐντὸς τὸ πλέον ὀςέων πλῆρες ἀν-
θρωπίνων· καταλῦσαι δὲ τὸν νόμον Ἀλέξανδρον. τοιαῦτα
δέ πως καὶ τὰ περὶ τοὺς Κασπίους ἱςοροῦσι· τοὺς γὰρ γονέας
ἐπειδὰν ἑβδομήκοντα ἔτη γεγονότες τυγχάνωσιν ἐγκλει-
σθέντας λιμοκτονεῖν. τοῦτο μὲν οὖν ἀνεκτότερον, καὶ τῷ
Κείων νόμῳ παραπλήσιον, καίπερ ὂν Σκυθικόν· πολὺ μέν
τοι Σκυθικώτερον τὸ τῶν Βακτριανῶν. καὶ δεῖ διαπορεῖν
εἰ ὅτε Ἀλέξανδρος τοιαῦτα κατελάμβανε τἀνθαῦτα, τί χρὴ
ποιεῖν

ποιεῖν τὰ ἐπὶ τῶν πρώτων Περσῶν, καὶ τῶν ἔτι πρότερον ἡγεμόνων, ὁποῖα εἰκὸς ἦν παρ' αὐτῦ νενομίσθαι. Φασὶ δ' ὖν ὀκτὼ πόλεις τὸν Ἀλέξανδρον ἔν τε τῇ Βακτριανῇ καὶ τῇ Σογδανῇ κτίσαι, τινὰς δὲ κατασκάψαι, ὧν Καριάτας μὲν τῆς Βακτριανῆς, ἐν ᾗ Καλλισθένης συνελήφθη, καὶ παρεδόθη φυλακῇ. Παρακάνδα δὲ τῆς Σογδιανῆς, καὶ τὰ Κύρα, ἔσχατον ὂν Κύρῦ κτίσμα ἐπὶ τῷ Ἰαξάρτῃ ποταμῷ κείμενον, ὅπερ ἦν ὅριον τῆς Περσῶν ἀρχῆς· κατασκάψαι δὲ τὸ κτίσμα τῦτο καίπερ ὄντα φιλόκυρον, διὰ τὰς πυκνὰς ἀποστάσεις· ἑλεῖν δὲ καὶ πέτρας ἐρυμνὰς σφόδρα ἐκ προδόσεως, τήν τε ἐν τῇ Βακτριανῇ τὴν Σισιμίθρῦ, ἐν ᾗ εἶχεν Ὀξυάρτης τὴν θυγατέρα Ῥωξάνην, καὶ τὴν ἐν τῇ Σογδιανῇ, καὶ τὴν τῦ Ὄξῦ. οἱ δ' Ἀριαμάζῦ φασί. τὴν μὲν ὖν Σισιμίθρῦ πεντεκαίδεκα σαδίων ἱσορῦσι τὸ ὕψος, ὀγδοήκοντα δὲ τὸν κύκλον· ἄνω δ' ἐπίπεδον, καὶ εὔγαιον, ὅσον πεντακοσίυς ἄνδρας τρέφειν δυναμένην· ἐν ᾗ καὶ ξενίας τυχεῖν πολυτελῦς, καὶ γάμυς ἀγαγεῖν Ῥωξάνης τῦ Ὀξυάρτῦ θυγατρὸς τὸν Ἀλέξανδρον· τὴν δὲ τῆς Σογδιανῆς διπλασίαν τὸ ὕψος φασί. περὶ τύτυς δὲ τὺς τόπυς καὶ τὸ τὸν Βραγχίδων ἄςυ ἀνελεῖν· ὓς Ξέρξην μὲν ἱδρύσαι αὐτόθι, συναπάραντας αὐτῷ ἑκόντας ἐκ τῆς οἰκίας, διὰ τὸ παραδῦναι τὰ χρήματα τῦ Θεῦ τὰ ἐν Διδύμοις, καὶ τὺς θησαυρύς· ἐκεῖνον δ' ἀνελεῖν μυσαττόμενον τὴν ἱεροσυλίαν καὶ τὴν προδοσίαν. Τὸν δὲ διὰ τῆς Σογδιανῆς ῥέοντα ποταμὸν καλεῖ Πολυτίμητον Ἀριςόβυλος, τῶν Μακεδόνων τῦνομα θεμένων, καθάπερ καὶ ἄλλα πολλὰ, τὰ μὲν καινὰ ἔθεσαν, τὰ δὲ παρωνόμασαν· ἄρδοντα δὲ τὴν χώραν, ἐκπίπτειν εἰς ἔρημον καὶ ἀμμώδη γῆν, καταπίνεσθαί τε εἰς τὴν ἄμμον, ὡς καὶ τὸν Ἄριον τὸν δι' Ἀρίων ῥέοντα. τῦ δὲ Ὤχυ ποταμῦ πλησίον ὀρύττοντας εὑρεῖν ἐλαίυ πηγὴν λέγυσιν· εἰκὸς δὲ ὥσπερ νιτρώδη τινὰ καὶ στύφοντα ὑγρὰ, καὶ ἀσφαλτώδη, καὶ θειώδη διαῤῥεῖν τὴν γῆν, ὕτω καὶ λιπαρὰ εὑρίσκεσθαι· τὸ δὲ σπάνιον ποιεῖ τὴν παραδοξίαν. ῥεῖν δὲ Ὦχον οἱ μὲν διὰ τῆς Βακτριανῆς φασὶν, οἱ δὲ παρ' αὐτήν· καὶ οἱ μὲν ἕτερον τῦ Ὤξυ μέχρι τῶν ἐκβολῶν νοτιώτερον ἐκείνυ, ἀμφοτέρων δ' ἐν τῇ Ὑρκανίᾳ τὰς εἰς τὴν θάλατταν ὑπάρχειν ἐκρύσεις· οἱ δὲ καταρχὰς μὲν ἕτερον· συμβάλλειν δ' εἰς, ἓν τὸ τῦ Ὤ-

ῥεῖθρον, πολλαχοῦ καὶ ἓξ καὶ ἑπτὰ σταδίων ἔχοντα τὸ πλάτος. ὁ μέντοι Ἰαξάρτης ἀπαρχῆς μέχρι τέλους ἕτερός ἐστι τοῦ Ὤξου, καὶ εἰς μὲν τὴν αὐτὴν τελευτῶν θάλατταν· αἱ δ' ἐκβολαὶ διέχουσιν ἀλλήλων, ὥς φησι Πατροκλῆς, παρασάγγας ὡς ὀγδοήκοντα· τὸν δὲ παρασάγγην τὸν Περσικὸν οἱ μὲν ἑξήκοντα σταδίων φασὶν, οἱ δὲ τριάκοντα ἢ τετταράκοντα. ἀναπλεόντων δὲ ἡμῶν τὸν Νεῖλον, ἄλλοτ' ἄλλοις μέτροις χρώμενοι τὰς σχοίνους ὠνόμαζον ἀπὸ πόλεως εἰς πόλιν· ὥς τε τὸν αὐτὸν τῶν σχοίνων ἀριθμὸν ἀλλαχοῦ μὲν μείζω παρέχειν πλοῦν, ἀλλαχοῦ δὲ βραχύτερον· οὕτως ἐξαρχῆς παραδεδομένον καὶ φυλαττόμενον μέχρι τοῦ νῦν. Μέχρι μὲν δὴ τῆς Σογδιανῆς πρὸς ἀνίσχοντα ἥλιον ἰόντι ἀπὸ τῆς Ὑρκανίας γνώριμα ὑπῆρξε τὰ ἔθνη καὶ τοῖς Πέρσαις πρότερον τὰ ἔξω τοῦ Ταύρου, καὶ τοῖς Μακεδόσι μετὰ ταῦτα καὶ τοῖς Παρθυαίοις. Τὰ δ' ἐπέκεινα ἐπ' εὐθείας, ὅτι μὲν Σκυθικά ἐστιν ἐκ τῆς ὁμοειδίας εἰκάζεται· στρατεῖαι δ' οὐ γεγόνασιν ἐπ' αὐτοὺς ἡμῖν γνώριμοι· καθάπερ οὐδὲ περὶ τοὺς βορειοτάτους τῶν Νομάδων. ἐφ' οὓς ἐπεχείρησε μὲν ὁ Ἀλέξανδρος ἄγειν στρατείαν, ὅτε τὸν Βῆσσον μετήει καὶ τὸν Σπιταμένην· ζώγρια δ' ἀνενεχθέντος τοῦ Βήσσου, τοῦ δὲ Σπιταμένους ὑπὸ τῶν βαρβάρων διαφθαρέντος, ἐπαύσατο τῆς ἐπιχειρήσεως. οὐχ ὁμολογοῦσι δ' ὅτι περιέπλευσάν τινες ἀπὸ τῆς Ἰνδικῆς ἐπὶ τὴν Ὑρκανίαν· ὅτι δὲ δυνατὸν, Πατροκλῆς εἴρηκε.

Ὁ δὲ Κῦρος τοῖς Βακτρίοις ἐπολέμησε, καὶ αὐτοὶ τοῖς Πέρσαις ὑπήκοοι ἔμενον μέχρι Ἀλεξάνδρου. ἐν γὰρ τῇ ἐν Γαυγαμήλοις μάχῃ Δαρείου σύμμαχοι ἦσαν. ὡς οὖν Ἀλέξανδρος προήει ἐπὶ Βῆσσον, εἰς Ἄορνους τε ἦγε καὶ Βάκτρα, αἳ δὴ μέγισταί εἰσι πόλεις ἐν τῇ Βακτρίων χώρᾳ· καὶ ταύτας δὲ ἐξ ἐφόδου ἔλαβε, καὶ φυλακὴν ἐν τῇ ἄκρᾳ τοῦ Ἀόρνου ἀπέλιπε, καὶ ἐπὶ ταύτης Ἀρχέλαον τοῦ Ἀνδρόκλου, τῶν ἑταίρων. τοῖς δ' ἄλλοις Βακτρίοις οὐ χαλεπῶς προσχωρήσασιν, ἐπέταξε σατράπην Ἀρτάβαζον τὸν Πέρσην· αὐτὸς δὲ ἦγεν ὡς ἐπὶ τὸν Ὦξον ποταμόν. — 339 ante Chr. — 331 ante Christ. *Arrianus* de expedit. Alex. M.

Μετὰ δὲ Ἀλεξάνδρου τελευτὴν ἐν τῇ τῆς Ἀσίας νεμήσει Ἀντίπατρος τῆς Βακτριανῆς καὶ Σογδιανῆς Στασάνορα τὸν Σόλιον καθίστη ἡγεμόνα. Νεωτερισθέντων δὲ — *Arrianus* apud Photium.

τῶν

255 ante Chr. τῶν ἔξω τȣ̃ Ταύρȣ διὰ τὸ πρὸς ἀλλήλοις ἐ͂ιναι τȣ̀ς τῆς Συρίας καὶ τῆς Μηδείας βασιλέας, τȣ̀ς ἔχοντας καὶ ταῦτα, πρῶτον μὲν τὴν Βακτριανὴν ἀπέστησαν ὁι πεπιστευμένοι ([ὁ δὴ Διόδοτος] καὶ τὴν ἐγγὺς αὐτῆς πᾶσαν ὁι περὶ Ἐυθύδημον.)

Ὀλίγα δὲ περὶ ταύτης τῆς βασιλείας ἐστὶ γνώριμα. Πλȣ́ταρχος μὲν διηγεῖται· Μενάνδρȣ τινὸς ἐν Βάκτροις ἐπιεικῶς βασιλεύσαντος, ἐ͂ιτα ἀποθανόντος ἐπὶ στρατοπέδȣ, τὴν μὲν ἄλλην ἐποιήσαντο κηδείαν κατὰ τὸ κοινὸν ἁι πόλεις, περὶ δὲ τῶν λειψάνων αὐτȣ̃, καταστάντες ἐις ἀγῶνα, μόλις συνέβησαν, ὥστε νειμάμεναι μέρος ἴσον τῆς τέφρας, ἀπελθεῖν καὶ γενέσθαι μνημεῖα παρὰ πᾶσι τȣ̃ ἀνδρός. Ὁ δὲ Στράβων Φησί· ἀφείλοντο ὁι Πάρθαι καὶ τῆς Βακτριανῆς μέρος (τήν τε Ἀσπιώνȣ καὶ τὴν Τȣρίαν), βιασάμενοι τȣ̀ς Σκύθας, καὶ ἔτι πρότερον τȣ̀ς περὶ Ἐυκρατίδαν.

VI. DE REBUS INDORUM.

Arriani Histor. Ind. c. cap. 1. Τὰ ἔξω Ἰνδȣ̃ ποταμȣ̃ τὰ πρὸς ἑσπέρην ἔς τε ἐπὶ τὸν ποταμὸν Κωφῆνα, Ἀστακηνοὶ καὶ Ἀσσακηνοὶ, ἔθνεα Ἰνδικὰ, ἐποικέȣσιν. Ἀλλ᾽ ȣ̓́τε μεγάλοι τὰ σώματα, καθάπερ ὁι ἐντὸς τȣ̃ Ἰνδȣ̃ ᾠκισμένοι, ȣ̓́τε ἀγαθοὶ ὡσαύτως τὸν θυμὸν, ȣ̓δὲ μέλανες ὡσαύτως τοῖς πολλοῖς Ἰνδοῖσιν. Ὗυτοι πάλαι μὲν Ἀσσυρίοις ὑπήκοοι ἦσαν· ἔπειτα Μήδοισι· ἐπεὶ δὲ Μῆδοι Περσέων ἤκȣον, καὶ Φόρȣς ἀπέφερον Κύρῳ τῷ Καμβύσȣ ἐκ τῆς γῆς σφῶν, ȣ̔̀ς ἔταξε Κῦρος. Νυσαῖοι δὲ ȣ̓κ Ἰνδικὸν γένος ἐστὶν, ἀλλὰ τῶν ἅμα Διονύσῳ ἐλθόντων ἐς τὴν γῆν τῶν Ἰνδῶν· τυχὸν μὲν καὶ Ἑλλήνων, ὅσοι ἀπόμαχοι αὐτῶν ἐγένοντο ἐν τοῖς πολέμοις, ȣ̔̀ς τινας πρὸς Ἰνδȣ̀ς Διόνυσος ἐπολέμησε· τυχὸν δὲ καὶ τῶν ἐπιχωρίων τȣ̀ς ἐθέλοντας τοῖς Ἕλλησι συνῴκισε· τήν τε χώρην Νυσαίην ὠνόμασεν ἀπὸ τȣ̃ ὄρεος τῆς Νύσης Διόνυσος, καὶ τὴν πόλιν αὐτὴν Νῦσαν. Καὶ τὸ ὄρος τὸ πρὸς τῇ πόλει, ὅτȣ ἐν τῇσιν ὑπωρείῃσιν ᾤκισται ἡ Νῦσα, Μηρὸς κληΐζεται, ἐπὶ τῇ συμφορῇ ἥτινι ἐχρήσατο

ήσατο εὐθὺς γενόμενος. Ταῦτα μὲν οἱ ποιηταὶ ἐπὶ Διονύσῳ ἐποίησαν· καὶ ἐξηγείσθων αὐτὰ ὅσοι λόγιοι Ἑλλήνων ἢ Βαρβάρων. Ἐν Ἀσσακηνοῖσι δὲ Μάσσακα, πόλις μεγάλη, ἵναπερ καὶ τὸ κράτος τῆς γῆς ἐςι τῆς Ἀσσακίης· καὶ ἄλλη πόλις Πευκέλα, μεγάλη καὶ αὐτὴ, ȣ̓ μακρὰν τȣ̃ Ἰνδȣ̃. Ταῦτα μὲν ἔξω τȣ̃ Ἰνδȣ̃ ποταμȣ̃ ᾤκιςαι πρὸς ἑσπέρην, ἔςε ἐπὶ τὸν Κωφῆνα.

Τὰ δὲ ἀπὸ τȣ̃ Ἰνδȣ̃ ὡς ἕω, τȣ̃τό μοι ἔςω ἡ τῶν Ἰνδῶν γῆ, καὶ Ἰνδοὶ ȣ̃τοι ἔςωσαν. Ὅροι δὲ τῆς Ἰνδῶν γῆς, πρὸς μὲν βορέȣ ἀνέμȣ ὁ Ταῦρος τὸ ὄρος. Καλέεται δὲ ȣ̓ Ταῦρος ἔτι ἐν τῇ γῇ ταύτῃ· ἀλλ' ἄρχεται μὲν ὁ Ταῦρος ἀπὸ θαλάσσης τῆς κατὰ Παμφύλȣς τε καὶ Λυκίην καὶ Κίλικας· παρατείνει τε ἔςε τὴν πρὸς ἕω θάλασσαν, τέμνων τὴν Ἀσίην πᾶσαν· ἄλλῃ δὲ ἄλλο καλέεται τὸ ὄρος, τῇ μὲν Παραπαμισὸς, τῇ δὲ Ἠμωδός· ἄλλῃ δὲ Ἴμαος κληΐζεται· καὶ τυχὸν ἄλλα καὶ ἄλλα ἔχει ὀνόματα· Μακεδόνες δὲ οἱ ξὺν Ἀλεξάνδρῳ ςρατεύσαντες Καύκασον αὐτὸ ἐκάλεον· ἄλλον τȣ̃τον Καύκασον, ȣ̓ τὸν Σκυθικόν· ὡς καὶ τὰ ἐπέκεινα τȣ̃ Καυκάσȣ λόγον κατέχειν ὅτι ἦλθεν Ἀλέξανδρος. Τὰ πρὸς ἑσπέρην δὲ τῆς Ἰνδῶν γῆς ὁ ποταμὸς ὁ Ἰνδὸς ἀπείργει, ἔςε ἐπὶ τὴν μεγάλην θάλασσαν, ἵναπερ αὐτὸς κατὰ δύο ςόματα ἐκδιδοῖ, ȣ̓ συνεχέα ἀλλήλοισι τὰ ςόματα, κατάπερ τὰ πέντε τȣ̃ Ἴςρȣ ἐςὶ συνεχέα· ἀλλ' ὡς τὰ τȣ̃ Νείλȣ, ὑπὸ των Δέλτα ποιέεται τὸ Αἰγύπτιον· ὧδέ τι καὶ τῆς Ἰνδῶν γῆς Δέλτα ποιέει ὁ Ἰνδὸς ποταμὸς, ȣ̓ μεῖον τȣ̃ Αἰγυπτίȣ· καὶ τȣ̃το Πάτταλα τῇ Ἰνδῶν γλώσσῃ καλέεται. Τὸ δὲ πρὸς νότȣ τε ἀνέμȣ καὶ μεσημβρίης, αὐτὴ ἡ μεγάλη θάλασσα ἀπείργει τὴν Ἰνδῶν γῆν, καὶ τὰ πρὸς ἕω αὐτὴ ἡ θάλασσα ἀπείργει. Τὰ μὲν πρὸς μεσημβρίης, κατὰ Πάτταλά τε καὶ τȣ̃ Ἰνδȣ̃ τὰς ἐκβολὰς, ὤφθη πρός τε Ἀλεξάνδρȣ καὶ Μακεδόνων καὶ πολλῶν Ἑλλήνων· τὰ δὲ πρὸς ἕω Ἀλέξανδρος μὲν ȣ̓κ ἐπῆλθε, τάδε πρόσω ποταμȣ̃ Ὑφάσιος. Ὀλίγοι δὲ ἀνέγραψαν τὰ μέχρι ποταμȣ̃ Γάγγεω, καὶ ἵνα τȣ̃ Γάγγεω αἱ ἐκβολαὶ, καὶ πόλις Παλίμβοθρα μεγίςη Ἰνδῶν πρὸς τῷ Γάγγῃ. cap. 2.

Ἐμοὶ δὲ Ἐρατοσθένης ὁ Κυρηναῖος πιςότερος ἄλλȣ ἔςω, ὅτι τῆς περιόδȣ πέρι ἔμελεν Ἐρατοσθένει. Οὗτος ἀπὸ cap. 3.

ἀπὸ τȣ͂ ὄρεος τȣ͂ Ταύρȣ, ἵνα τȣ͂ Ἰνδȣ͂ αἱ πηγαὶ, παρ' αὐτὸν Ἰνδὸν ποταμὸν ἰόντι ἔςε ἐπὶ τὴν μεγάλην θάλασσαν, καὶ τȣ͂ Ἰνδȣ͂ τὰς ἐκβολὰς, μυρίȣς ςαδίȣς καὶ τρισχιλίȣς τὴν πλευρὴν λέγει ἐπέχειν τῆς γῆς τῆς Ἰνδῶν. Ταυτησὶ δὲ ἀντίπορον πλευρὴν ποιέει τὴν ἀπὸ τȣ͂ αὐτȣ͂ ὄρεος παρὰ τὴν ἑῴην θάλασσαν, ȣ̓κέτι ταύτῃ τῇ πλευρῇ ἴσην· ἀλλὰ ἄκρην γὰρ ἀνέχειν ἐπὶ μέγα ἔισω ἐις τὸ πέλαγος, ἐς τρισχιλίȣς ςαδίȣς μάλιςα ἀνατεινȣ͂σαν τὴν ἄκρην· ἔιη ἂν ὦν αὐτῷ ἡ πλευρὴ τῆς Ἰνδῶν γῆς πρὸς ἕω, μυρίȣς καὶ ἑξακισχιλίȣς ςαδίȣς ἐπέχȣσα· τȣ͂το μὲν αὐτῷ πλάτος τῆς Ἰνδῶν γῆς συμβαίνει. Μῆκος δὲ τὸ ἀφ' ἑσπέρης ἐπὶ ἕω, ἔςε μὲν ἐπὶ πόλιν Παλίμβοθρα, μεμετρημένον σχοίνοισι λέγει ἀναγράφειν (καὶ ἔιναι γὰρ ὁδὸν βασιληΐην) τȣ͂το ἐπέχειν ἐς μυρίȣς ςαδίȣς· τὰ δὲ ἐπέκεινα ȣ̓κέτι ὡσαύτως ἀτρεκέα. Φήμας δὲ ὅσοι ἀνέγραψαν, ξὺν τῇ ἄκρῃ τῇ ἀνεχȣ́σῃ ἐς τὸ πέλαγος, ἐς μυρίȣς ςαδίȣς μάλιςα ἐπέχειν λέγȣσιν· ἔιναι δὲ ἄνω τὸ μῆκος τῆς Ἰνδῶν γῆς, ςαδίων μάλιςα δισμυρίων. Κτησίης δὲ ὁ Κνίδιος τὴν Ἰνδῶν γῆν ἴσην τῇ ἄλλῃ Ἀσίῃ λέγει, ȣ̓δὲν λέγων, ȣ̓δὲ Ὀνησίκριτος τρίτην μοῖραν τῆς πάσης (Ἀσίης)· Νέαρχος δὲ μηνῶν τεττάρων ὁδὸν τὴν δί αὐτȣ͂ τȣ͂ πεδίȣ τῆς Ἰνδῶν γῆς. Μεγασθένει δὲ, τὸ ἀπὸ ἀνατολῶν ἐς ἑσπέρην πλάτος ἐςὶ τῆς Ἰνδῶν γῆς, ὅ, τι περ οἱ ἄλλοι μῆκος ποιέȣσι· καὶ λέγει Μεγασθένης, μυρίων καὶ ἑξακισχιλίων ςαδίων ἔιναι, ἵναπερ τὸ βραχύτατον αὐτȣ͂. Τὸ δὲ ἀπὸ ἄρκτȣ πρὸς μεσημβρίην, τȣ͂το δὲ αὐτῷ μῆκος γίγνεται, καὶ ἐπέχει τριηκοσίȣς καὶ δισχιλίȣς καὶ δισμυρίȣς, ἵναπερ τὸ ςενώτατον αὐτȣ͂. Ποταμοὶ δὲ τοσοίδε ἐισὶν ἐν τῇ Ἰνδῶν γῇ, ὅσοι ȣ̓δὲ ἐν τῇ πάσῃ Ἀσίῃ· μέγιςοι μὲν Γάγγης τε καὶ ὁ Ἰνδὸς, ὅτȣ καὶ ἡ γῆ ἐπώνυμος· ἄμφω, τȣ͂ τε Νείλȣ τȣ͂ Αἰγυπτίȣ καὶ τȣ͂ Ἴςρȣ τȣ͂ Σκυθικȣ͂, καὶ ἐι ἐς ταυτὸ συνέλθοι αὐτοῖσι τὸ ὕδωρ, μέζονες· δοκέειν δὲ ἔμοιγε, καὶ ὁ Ἀκεσίνης μέζων ἐςὶ τȣ͂ τε Ἴςρȣ καὶ τȣ͂ Νείλȣ, ἵναπερ παραλαβὼν ἅμα τόν τε Ὑδάσπεα καὶ τὸν Ὑδραώτεα καὶ τὸν Ὕφασιν, ἐμβάλλει ἐς τὸν Ἰνδὸν, ὡς καὶ τριάκοντα αὐτῷ ςάδια τὸ πλάτος ταύτῃ ἔιναι· καὶ τυχὸν, καὶ ἄλλοι πολλοὶ μέζονες ποταμοὶ ἐν τῇ Ἰνδῶν γῇ ῥέȣσιν.

Ἀλλ

'Αλλὰ ἐ μοι ἀτρεκὲς, ὑπὲρ τῶν ἐπέκεινα Ὑφάσιος cap. 4.
τοταμȣ̃ ἰσχυρίσασθαι, ὅτι ἐ πρόσω τȣ̃ Ὑφάσιος ἦλθεν
Αλέξανδρος. 'Αυτοῖν δὲ τοῖν μεγίςοιν ποταμοῖν, τȣ̃ τε
Γάγγεω καὶ τȣ̃ Ἰνδȣ̃, τὸν Γάγγεα (μεγέθει) πολύ τι
ὑπερφέρειν Μεγασθένης ἀνέγραψεν, καὶ ὅσοι ἄλλοι μνή-
μην τȣ̃ Γάγγεω ἔχȣσιν· αὐτόν τε γὰρ μέγαν ἀνίσχειν ἐκ
τῶν πηγέων, δέχεσθαί τε ἐς αὐτὸν, τόν τε Καϊνὰν πο-
ταμὸν, καὶ τὸν Ἐραννοβόαν, καὶ τὸν Κοσσόανον, πάν-
τας πλωτȣ̀ς· ἔτι δὲ Σῶνόν τε ποταμὸν, καὶ Σιττόκεσιν,
καὶ Σολόματιν· καὶ τȣ́τȣς πλωτȣ̀ς. Ἐπὶ δὲ Κονδοχάτην
τε, καὶ Σάμβον, καὶ Μάγωνα, καὶ Ἀγόρανιν, καὶ Ὤμα-
λιν· ἐμβάλλȣσι δὲ ἐς αὐτὸν Κομμενάσης τε μέγας ποτα-
μὸς καὶ Κάκȣθις καὶ Ἀνδώματις ἐξ ἔθνεος Ἰνδικȣ̃ τȣ̃
Μανδιαδινῶν ῥέων· καὶ ἐπὶ τȣ́τοισιν, Ἄμυσις παρὰ πόλιν
Καταδȣ́πην, καὶ Ὀξύμαγις ἐπὶ Παζάλαις καλȣμένοις,
καὶ Ἐῤῥένυσις ἐν Μάθαις, ἔθνει Ἰνδικῷ, ξυμβάλλει τῷ
Γάγγῃ. Τȣ́των λέγει Μεγασθένης ȣ̓δένα ἐῖναι τȣ̃ Μαιάν-
δρȣ ἀποδέοντα, ἵναπερ ναυσίπορος ὁ Μαίανδρος. Ἐῖναι
ν τὸ εὖρος τῷ Γάγγῃ, ἔνθα περ αὐτὸς ἑωϋτȣ̃ ςενώτα-
ος, ἐις ἑκατὸν ςαδίȣς· πολλαχῇ δὲ καὶ λιμνάζειν, ὡς
ὴ ἄποπτον ἐῖναι τὴν πέραν χώρην, ἵναπερ χθαμαλή τέ
ι, καὶ ȣ̓δαμῆ γηλόφοισιν ἀνεςηκυῖα. Τῷ δὲ Ἰνδῷ ἐς
αὐτὸν ἔρχεται. Ὑδραώτης μὲν ἐν Καμβισθόλοις, παρει-
ηφὼς τόν τε Ὕφασιν ἐν Ἀςρύβαις, καὶ τὸν Σαράγγην ἐκ
ηνέων, καὶ τὸν Νεῦδρον ἐξ Ἀττακηνῶν, ἐς Ἀκεσίνην ἐμ-
άλλει. Ὑδάσπης δὲ ἐν Ὀξυδράκαις ἄγων ἅμα ὁι τὸν Σί-
ναρον, ἐν Ἀρίσπαις ἐς τὸν Ἀκεσίνην ἐκδιδοῖ καὶ ȣ̃τος. Ὁ
Ἀκεσίνης ἐν Μαλλοῖς ξυμβάλλει τῷ Ἰνδῷ· καὶ Τȣ́ταπος
μέγας ποταμὸς ἐς τὸν Ἀκεσίνην ἐκδιδοῖ. Τȣ́των ὁ Ἀ-
εσίνης ἐμπλησθεὶς, καὶ τῇ ἐπικλήσει νικήσας αὐτὸς τῷ
ωϋτȣ̃ ἤδη ὀνόματι ἐσβάλλει ἐς τὸν Ἰνδόν. Κωφὴν δὲ ἐν
ευκελαιήτιδι, ἅμα ὁι ἄγων Μάλαντόν τε καὶ Σόαςον,
ὶ Γαῤῥοίαν, ἐκδιδοῖ ἐς τὸν Ἰνδόν. Καθύπερθεν δὲ τȣ-
ων, Πάρενος καὶ Σάπαρνος, ȣ̓ πολὺ διέχοντες, ἐμβάλ-
σιν ἐς τὸν Ἰνδόν. Σόανος δὲ, ἐκ τῆς ὀρεινῆς τῆς Βησ-
ρέων, ἔρημος ἄλλȣ ποταμȣ̃, ἐκδιδοῖ ἐς αὐτόν. Καὶ τȣ-
ων τȣ̀ς πολλȣ̀ς Μεγασθένης λέγει, ὅτι πλωτοί εἰσιν.
θυκȣν ἀπιςίην χρὴ ἔχειν ὑπέρ τε τȣ̃ Ἰνδȣ̃ καὶ τȣ̃ Γάγ-

γεω,

γεω, μηδὲ συμβλητοὺς εἶναι αὐτοῖσι τόν τε Ἴστρον καὶ τὸ Νείλου τὸ ὕδωρ. Ἐς μέντοι τὸν Νεῖλον οὐδένα ποταμὸν ἐκδιδόντα ἴσμεν, ἀλλ' ἀπ' αὐτοῦ διώρυχας τετμημένας κατὰ τὴν χώρην τὴν Αἰγυπτίην. Ὁ δέ γε Ἴστρος, ὀλίγος μὲν ἀνίσχει ἀπὸ τῶν πηγέων· δέχεται δὲ πολλοὺς ποταμοὺς, ἀλλ' οὐ τε πλήθει ἴσους τοῖς Ἰνδῶν ποταμοῖσιν, οἳ ἐς τὸν Ἰνδὸν καὶ τὸν Γάγγην ἐκδιδοῦσιν· πλωτοὺς δὲ δὴ καὶ κάρτα ὀλίγους, ὧν τοὺς μὲν αὐτὸς ἰδὼν οἶδα, τὸν Ἔνον τε, καὶ τὸν Σάον. Ἔνος μὲν ἐν μεθορίῳ τῆς Νορίκων καὶ Ῥαιτῶν γῆς μίγνυται τῷ Ἴστρῳ· ὁ δὲ Σάος, κατὰ Παίονας. Ὁ δὲ χῶρος, ἵναπερ συμβάλλουσιν οἱ ποταμοὶ, Ταυροῦνος καλέεται. Ὅστις δὲ καὶ ἄλλον οἶδε ναυσίπορον τῶν ἐς τὸν Ἴστρον ἐκδιδόντων, ἀλλὰ οὐ πολλούς που οἶδε.

cap. 5. Τὸ δὲ αἴτιον ὅστις ἐθέλει φράζειν τοῦ πλήθεός τε καὶ μεγέθεος τῶν Ἰνδῶν ποταμῶν, φραζέτω· ἐμοὶ δὲ καὶ ταῦτα ὡς ἀκοὴ ἀναγεγράφθω. Ἐπεὶ καὶ ἄλλων ποταμῶν οὐνόματα Μεγασθένης ἀνέγραψεν, οἳ ἔξω τοῦ Γαγγέω τε καὶ τοῦ Ἰνδοῦ ἐκδιδοῦσιν ἐς τὸν ἑῷόν τε καὶ μεσημβρινὸν τὸν ἔξω πόντον· ὥστε τοὺς πάντας ὀκτὼ καὶ πεντήκοντα λέγει ὅτι εἰσὶν Ἰνδοὶ ποταμοὶ ναυσίποροι πάντες. Ἀλλ' οὐδὲ Μεγασθένης πολλὴν δοκέει μοι ἐπελθεῖν τῆς Ἰνδῶν χώρης, πλήν γε ὅτι πλεῦνα ἢ οἱ ξὺν Ἀλεξάνδρῳ τῷ Φιλίππου ἐπελθόντες. Ξυγγενέσθαι γὰρ Σανδρακόττῳ λέγει, τῷ μεγίστῳ βασιλεῖ τῶν Ἰνδῶν· καὶ Πώρῳ, ἔτι τούτου μέζονι. Οὗτος ὧν ὁ Μεγασθένης λέγει, οὔτε Ἰνδοὺς ἐπιστρατεῦσαι οὐδαμοῖσιν ἀνθρώποισιν, οὔτε Ἰνδοῖσιν ἄλλους ἀνθρώπους· ἀλλὰ Σέσωστριν μὲν τὸν Αἰγύπτιον, τῆς Ἀσίας καταστρεψάμενον τὴν πολλὴν, ἔστε ἐπὶ τὴν Εὐρώπην σὺν στρατιῇ ἐλάσαντα, ὀπίσω ἀπονοστῆσαι· Ἰνδάθυρσιν δὲ τὸν Σκύθεα ἐκ Σκυθίης ὁρμηθέντα, πολλὰ μὲν τῆς Ἀσίης ἔθνεα καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων γῆν κρατέοντα· Σεμίραμιν δὲ τὴν Ἀσσυρίην ἐπιχειρέειν μὲν στέλλεσθαι εἰς Ἰνδοὺς, ἀποθανεῖν δὲ πρὶν τέλος ἐπιθεῖναι τοῖσι βουλεύμασιν· ἀλλὰ Ἀλέξανδρον γὰρ στρατεῦσαι ἐπὶ Ἰνδοὺς μοῦνον. Καὶ πρὸ Ἀλεξάνδρου, Διονύσου πέρι πολλὸς λόγος κατέχει, ὡς καὶ τούτου στρατεύσαντος ἐς Ἰνδοὺς, καὶ καταστρεψαμένου Ἰνδούς. Ἡρακλέους δὲ πέρι, οὐ πολλός. Διονύσου μέν γε καὶ Νύσσα πόλις μνῆμα οὐ φαῦλον τῆς

στρατ-

ρατηλασίης, καὶ ὁ Μηρὸς τὸ ὄρος, καὶ ὁ κισσὸς ὅτι ἐν
ῷ ὄρει τέτῳ φύεται, καὶ αὐτοὶ οἱ Ἰνδοὶ ὑπὸ τυμπάνων
ε καὶ κυμβάλων σελλόμενοι ἐς τὰς μάχας· καὶ ἐσθὴς
ντοῖσι κατάςικτος ἐῦσα, κατάπερ τῶ Διονύσε τοῖσι βάκ-
οισιν· Ἡρακλέες δὲ ὀ πολλὰ ὑπομνήματα. Ἀλλὰ τὴν
Ἄορνον γὰρ πέτρην, ἥντινα Ἀλέξανδρος βίῃ ἐχειρώσατο,
ι Ἡρακλέης ὀ δυνατὸς ἐγένετο ἐξελεῖν, Μακεδονικὸν δο-
έει μοι τὸ κόμπασμα, κατάπερ καὶ τὸν Παραπάμισον,
αύκασον ἐκάλεον Μακεδόνες, ὀδέν τι προσήκοντα τῦτον
ῷ Καυκάσῳ. Καί τι καὶ ἄντρον ἐπιφραθέντες ἐν Πα-
παμισάδεσι, τῦτο ἔφρασαν ἐκεῖνο εἶναι τῶ Προμηθέως
Τιτῆνος τὸ ἄντρον, ἐν ὅτῳ ἐκρέματο ἐπὶ τῇ κλοπῇ τῶ
υρός. Καὶ δὴ καὶ ἐν Σίβαισιν, Ἰνδικῷ γένει, ὅτι δορὰς
μπεχομένες εἶδον τὲς Σίβας, ἀπὸ τῆς Ἡρακλέες ςρατη-
ασίης ἔφασκον τὲς ὑπολειφθέντας εἶναι τὲς Σίβας· καὶ
ὰρ καὶ σκυτάλην φέρεσί τε οἱ Σίβαι, καὶ τοῖς βεσὶν ἀν-
ῶν ῥόπαλον ἐπικέκαυται· καὶ τῦτο ἐς μνήμην ἀνέφερον
ῥοπάλε τῶ Ἡρακλέες. Ἐι δέ τῳ πιςὰ ταῦτα, ἄλλος
ὗτος Ἡρακλέης εἴη, ὀχ ὁ Θηβαῖος, ἢ ὁ Τύριος ὗτος,
ὁ Ἀιγύπτιος, ἤ τις καὶ κατὰ τὴν ἄνω χώρην ὀ πόῤῥω
ς Ἰνδῶν γῆς ᾠκισμένην μέγας βασιλεύς.

Ὕεται δὲ ἡ Ἰνδῶν γῆ τὸ θέρος, μάλιςα μὲν τὰ ὄρεα cap. 6.
αραπάμισός τε καὶ ὁ Ἠμωδὸς, καὶ τὸ Ἰμαϊκὸν ὄρος, καὶ
τὸ τετέων μεγάλοι καὶ θολεροὶ οἱ ποταμοὶ ῥέεσιν. Ὕε-
ι δὲ τῶ θέρεος καὶ τὰ πεδία τῶν Ἰνδῶν, ὥςε λιμνάζειν
πολλὰ αὐτέων· καὶ ἔφυγεν ἡ Ἀλεξάνδρε ςρατιὴ ἀπὸ
Ἀκεσίνε ποταμῦ μέσε θέρεος, ὑπερβαλόντος τῶ ὕδα-
ς εἰς τὰ πεδία· ὥςε ἀπὸ τῶνδε ἔξεςι τεκμηριῦσθαι καὶ
Νείλε τὸ πάθημα τῦτο, ὅτι ἐοικὸς εἶναι ὕεσθαι τὰ Ἀι-
όπων ὄρεα τῶ θέρεος· καὶ ἀπ' ἐκείνων ἐμπιπλάμενον
ν Νεῖλον ὑπερβάλλειν ὑπὲρ τὰς ὄχθας ἐς τὴν γῆν τὴν
ιγυπτίην.

Ἔθνεα δὲ Ἰνδικὰ εἴκοσι καὶ ἑκατόν τι ἅπαντα λέγει cap. 7.
εγασθένης, δυοῖν δέοντα. καὶ πολλὰ μὲν εἶναι ἔθνεα
δικὰ, καὶ αὐτὸς ξυμφέρομαι Μεγασθένει· τὸ δὲ ἀτρεκὲς
ἔχω εἰκάσαι ὅπως ἐκμαθὼν ἀνέγραψεν, ὀδὲ πολλοςὸν
ρος τῆς Ἰνδῶν γῆς ἐπελθὼν, ὀδὲ ἐπιμιξίης πᾶσι τοῖς
νεσιν ἐέσης ἐς ἀλλήλες. Πάλαι μὲν δὴ νομάδας εἶναι

Ἰνδὰς, κατάπερ Σκυθέων τὰς ἀκ ἀροτῆρας, οἱ ἐπὶ τῇσιν ἁμάξῃσι πλανώμενοι, ἄλλοτε ἄλλην τῆς Σκυθίης ἀμείβουσιν, ὅτε πόλιας οἰκέοντες, ὅτε ἱερὰ θεῶν σέβοντες· ὅτω μηδὲ Ἰνδοῖσι πόλιας εἶναι, μηδὲ ἱερὰ θεῶν δεδομημένα· ἀλλ' ἀμπέχεσθαι μὲν δορὰς θηρίων ὅσων κατακτάνοιεν· σιτέεσθαι δὲ τῶν δενδρέων τὸν φλοιόν· καλέεσθαι δὲ τὰ δένδρεα ταῦτα τῇ Ἰνδῶν φωνῇ Τάλα· καὶ φύεσθαι ἐπ' αὐτῶν, κατάπερ τῶν φοινίκων ἐπὶ τῇσι κορυφῇσιν, οἷά περ τολύπας. Σιτέεσθαι δὲ καὶ τῶν θηρίων ὅσα ἕλοιεν, ὠμοφαγέοντας, πρὶν δὴ Διόνυσον ἐλθεῖν ἐς τὴν χώρην τῶν Ἰνδῶν. Διόνυσον δὲ ἐλθόντα, ὡς καρτερὸς ἐγένετο Ἰνδῶν, πόλιάς τε οἰκῆσαι, καὶ νόμους θέσθαι τῇσι πόλεσιν, οἶνου τε δοτῆρα Ἰνδοῖς γενέσθαι, κατάπερ Ἕλλησι, καὶ σπείρειν διδάξαι τὴν γῆν, διδόντα αὐτὸν σπέρματα· ἢ οὐκ ἐλάσαντος ταύτῃ Τριπτολέμου, ὅτε περ ἐκ Δήμητρος ἐστάλη σπείρειν τὴν γῆν πᾶσαν· ἢ πρὸ Τριπτολέμου τις οὗτος Διόνυσος ἐπελθὼν τὴν Ἰνδῶν γῆν, σπέρματα σφίσιν ἔδωκε καρποῦ τοῦ ἡμετέρου· βόας τε ὑπ' ἀρότρῳ ζεῦξαι Διόνυσον πρῶτον, καὶ ἀροτῆρας ἀντὶ νομάδων ποιῆσαι Ἰνδῶν τοὺς πολλοὺς, καὶ ὁπλίσαι ὅπλοισι τοῖσιν ἀρηΐοισι. Καὶ θεοὺς σέβειν ὅτι ἐδίδαξε Διόνυσος ἄλλους τε, καὶ μᾶλλον δὴ ἑωυτὸν, κυμβαλίζοντας καὶ τυμπανίζοντας· καὶ ὄρχησιν δὲ διδάξαι τὴν σατυρικὴν, τὸν κόρδακα παρ' Ἕλλησι καλέομενον· καὶ κομᾶν Ἰνδοὺς τῷ θεῷ, μίτρην φορέειν τε ἀναδιδάξαι, καὶ μύρων ἀλοιφὰς ἐκδιδάξαι, ὥστε καὶ εἰς Ἀλέξανδρον ἔτι ὑπὸ κυμβάλων τε καὶ τυμπάνων ἐς τὰς μάχας Ἰνδοὶ καθίσταντο.

cap. 8. Ἀπιόντα δὲ ἐκ τῆς Ἰνδῶν γῆς, ὡς οἱ ταῦτα κεκοσμέατο, καταστῆσαι βασιλέα τῆς χώρης Σπατέμβαν, τῶν ἑταίρων ἕνα, τὸν βακχωδέστατον· τελευτήσαντος δὲ Σπατέμβα, τὴν βασιλείην ἐκδέξασθαι Βουδύαν τὸν τούτου παῖδα· καὶ τὸν μὲν πεντήκοντα καὶ δύο ἔτεα βασιλεῦσαι Ἰνδῶν τὸν πατέρα· τὸν δὲ παῖδα, εἴκοσιν ἔτεα· καὶ τούτου παῖδα ἐκδέξασθαι τὴν βασιλείην Κραδεύαν· καὶ τὸ ἀπὸ τοῦδε, τὸ πολὺ μὲν κατὰ γένος ἀμείβειν τὴν βασιλείην, παῖδα παρὰ πατρὸς ἐκδεχόμενον· εἰ δὲ ἐκλείποι τὸ γένος, οὕτω ἀριστίνδην καθίσασθαι Ἰνδοῖσι βασιλέας. Ἡρακλέα δὲ, ὅντινα ἐς Ἰνδοὺς ἀφικέσθαι λόγος κατέχει, παρ' αὐτοῖσιν Ἰν-

οἷσι γηγενέα λέγεσθαι. Τοῦτον τὸν Ἡρακλέα μάλιστα πρὸς Σαρασηνῶν γεραίρεσθαι, Ἰνδικοῦ ἔθνεος, ἵνα δύο πόλιες μεγάλαι, Μέθορά τε καὶ Κλεισόβορα, καὶ ποταμὸς Ἰαβάρης πλωτὸς διαῤῥεῖ τὴν χώρην αὐτῶν. Τὴν σκευὴν δὲ οὗτος ὁ Ἡρακλέης ἥντινα ἐφόρεε, Μεγασθένης λέγει ὅτι ὁμοίην τῷ Θηβαίῳ Ἡρακλεῖ, ὡς αὐτοὶ Ἰνδοὶ ἀπηγέονται· καὶ τούτῳ ἄρσενας μὲν παῖδας πολλοὺς κάρτα γενέσθαι ἐν τῇ Ἰνδῶν γῇ (πολλῇσι γὰρ δὴ γυναιξὶν ἐς γάμον ἐλθεῖν καὶ τοῦτον τὸν Ἡρακλέα) θυγατέρα δὲ μουνογενέην· οὔνομα δὲ τῇ παιδὶ Πανδαίην· καὶ τὴν χώρην ἵνα τε ἐγένετο, καὶ ἧστινος ἐπέτρεψεν αὐτὴν ἄρχειν Ἡρακλέης, Πανδαίην, τῆς παιδὸς ἐπώνυμον· καὶ ταύτῃ ἐλέφαντας μὲν γενέσθαι ἐκ τοῦ πατρὸς ἐς πεντακοσίους, ἵππον δὲ ἐς τετρακισχιλίην, πεζῶν δὲ ἐς τὰς τρεῖς καὶ δέκα μυριάδας.

Ἀπὸ μὲν δὴ Διονύσου βασιλέως ἠρίθμεον Ἰνδοὶ ἐς Σανδράκοτταν τρεῖς καὶ πεντήκοντα καὶ ἑκατόν· ἔτεα δὲ, δύο καὶ τεσσαράκοντα καὶ ἑξακισχίλια· ἐν δὲ τούτοισι τρὶς τὸ πᾶν εἰς ἐλευθερίην τὴν δὲ, καὶ ἐς τριακόσια· τὴν δὲ, εἴκοσί τε ἐτέων καὶ ἑκατόν· πρεσβύτερόν τε Διόνυσον Ἡρακλέους δέκα καὶ πέντε γενεῇσιν Ἰνδοὶ λέγουσιν· ἄλλον δὲ οὐδένα ἐμβαλεῖν ἐς γῆν τῶν Ἰνδῶν ἐπὶ πολέμῳ· οὐδὲ Κῦρον τὸν Καμβύσεω, καίτοι ἐπὶ Σκύθας ἐλάσαντα, καὶ τἄλλα πολυπραγμονέστατον δὴ τῶν κατὰ τὴν Ἀσίην βασιλέων γενόμενον τὸν Κῦρον. Ἀλλὰ Ἀλέξανδρον γὰρ ἐλθεῖν τε καὶ κρατῆσαι πάντων τοῖς ὅπλοις, ὅσους γε δὴ ἐπῆλθε· καὶ ἂν καὶ πάντων κρατῆσαι, εἰ ἡ στρατιὴ ἤθελεν· Οὐ μὲν δὴ οὐδὲ Ἰνδῶν τινα ἔξω τῆς οἰκείης σταλῆναι ἐπὶ πολέμῳ, διὰ δικαιότητα. cap. 9.

Λέγεται δὲ καὶ τάδε, μνημεῖα ὅτι Ἰνδοὶ τοῖς τελευτήσασιν οὐ ποιέουσιν, ἀλλὰ τὰς ἀρετὰς γὰρ τῶν ἀνδρῶν ἱκανὰς ἐς μνήμην τίθενται τοῖσιν ἀποθανοῦσι, καὶ τὰς ᾠδὰς οἱ αὐτοῖσιν ἐπᾴδονται. Πόλεων δὲ ἀριθμὸν οὐκ εἶναι ἂν ἀτρεκὲς ἀναγράψαι τῶν Ἰνδικῶν, ὑπὸ πλήθεος· ἀλλὰ γὰρ ὅσαι παραποτάμιαι αὐτέων, ἢ παραθαλάσσιαι, ταύτας μὲν ξυλίνας ποιέεσθαι· οὐ γὰρ εἶναι ἐκ πλίνθου ποιεομένας διαρκέεσαι ἐπὶ χρόνον, τοῦ τε ὕδατος ἕνεκα τοῦ ἐξ οὐρανοῦ, καὶ ὅτι οἱ ποταμοὶ αὐτοῖσιν ὑπερβάλλοντες ὑπὲρ τὰς ὄχθας, ἐμπιπλᾶσι τοῦ ὕδατος τὰ πεδία. Ὅσαι δὲ ἐν ὑπερδεξίοις τε cap. 10.

 καὶ

καὶ μετεώροις τόποισι, καὶ τούτοισιν ὑψηλοῖσιν, ᾠκισμέναι εἰσί, ταύτας δὲ ἐκ πλίνθου τε καὶ πηλοῦ ποιέεσθαι· μεγίστην δὲ πόλιν Ἰνδοῖσιν εἶναι Παλίμβοθρα καλεομένην, ἐν τῇ Πρασίων γῇ, ἵνα αἱ συμβολαί εἰσι τοῦ τε Ἐραννοβόα ποταμοῦ καὶ τοῦ Γάγγεω· τοῦ μὲν Γάγγεω, τοῦ μεγίστου ποταμῶν· ὁ δὲ Ἐραννοβόας, τρίτος μὲν ἂν εἴη τῶν Ἰνδῶν ποταμῶν, μέζων δὲ τῶν ἄλλῃ καὶ οὗτος· ἀλλὰ ξυγχωρέει αὐτὸς τῷ Γάγγῃ, ἐπειδὰν ἐμβάλῃ ἐς αὐτὸν τὸ ὕδωρ. Καὶ λέγει Μεγασθένης, μῆκος μὲν ἐπέχειν τὴν πόλιν καθ' ἑκατέρην τὴν πλευρὴν, ἵναπερ μακροτάτη αὐτὴ ἑωϋτῆς ᾤκισται, ἐς ὀγδοήκοντα σταδίους· τὸ δὲ πλάτος, ἐς πεντεκαίδεκα· τάφρον δὲ περιβεβλῆσθαι τῇ πόλει τὸ εὖρος ἑξάπλεθρον, τὸ δὲ βάθος τριήκοντα πηχέων· πύργους δὲ ἑβδομήκοντα καὶ πεντακοσίους ἐπέχειν τὸ τεῖχος, καὶ πύλας τέσσαρας καὶ ἑξήκοντα. Εἶναι δὲ καὶ τόδε μέγα ἐν τῇ Ἰνδῶν γῇ, πάντας Ἰνδοὺς εἶναι ἐλευθέρους, οὐδέ τινα δοῦλον εἶναι Ἰνδόν· τοῦτο μὲν Λακεδαιμονίοισιν ἐς ταὐτὸ συμβαίνει καὶ Ἰνδοῖσιν. Λακεδαιμονίοις μέν γε οἱ Ἕλωτες δοῦλοί εἰσι, καὶ τὰ δούλων ἐργάζονται· Ἰνδοῖσι δὲ, οὐδὲ ἄλλος δοῦλός ἐστι, μήτοιγε Ἰνδῶν τις.

cap. 11. Νενέμηνται δὲ οἱ πάντες Ἰνδοὶ ἐς ἑπτὰ μάλιστα γενεάς· ἐν μὲν αὐτοῖσιν οἱ σοφισταί εἰσι, πλήθει μὲν μείους τῶν ἄλλων, δόξῃ δὲ καὶ τιμῇ γεραρώτατοι. Οὔτε γάρ τι τῷ σώματι ἐργάζεσθαι ἀναγκαίη σφὶν προσκέαται· οὔτε τι ἀποφέρειν ἀφ' ὅτου πονέουσιν ἐς τὸ κοινόν· οὐδέ τι ἄλλο ἀνάγκης ἁπλῶς ἐπεῖναι τοῖσι σοφιστῇσιν, ὅτι μὴ θύειν τὰς θυσίας τοῖσι θεοῖσιν ὑπὲρ τοῦ κοινοῦ τῶν Ἰνδῶν· καὶ ὅστις δὲ ἰδίᾳ θύει, ἐξηγητὴς αὐτῷ τῆς θυσίης τῶν τις σοφιστῶν τούτων γίνεται, ὡς οὐκ ἂν ἄλλως κεχαρισμένα τοῖς θεοῖς θύσαντας. Εἰσὶ δὲ καὶ μαντικῆς οὗτοι μοῦνοι Ἰνδῶν δαήμονες, οὐδὲ ἐφεῖται ἄλλῳ μαντεύεσθαι, ὅτι μὴ σοφῷ ἀνδρί· μαντεύουσι δὲ ὅσα ὑπὲρ τῶν ὥρεων τοῦ ἔτεος, καὶ εἴ τις ἐς τὸ κοινὸν συμφορὴ καταλαμβάνει· τὰ δὲ ἴδια ἑκάστοισιν οὔ σφιν μέλει μαντεύεσθαι· ἢ ὡς οὐκ ἐξικνεομένης τῆς μαντικῆς ἐς τὰ μικρότερα, ἢ ὡς οὐκ ἄξιον ἐπὶ τούτοισι πονέεσθαι. Ὅστις δὲ ἁμάρτοι ἐς τρεῖς μαντευσάμενος, τούτῳ δὲ ἄλλο μὲν κακὸν γίγνεσθαι οὐδὲν, σιωπᾶν δὲ εἶναι ἐπάναγκες τοῦ λοιποῦ· καὶ οὐκ ἔστιν ὅστις ἐξαναγκάσει τ

ἀνέ

ἄνδρα τοῦτον φωνῆσαι, ὅτῳ ἡ σιωπὴ κατακέκριται. Οὗτοι γυμνοὶ διαιτῶνται οἱ σοφισαὶ, τοῦ μὲν χειμῶνος ὑπαίθριοι ἐν τῷ ἡλίῳ, τοῦ δὲ θέρεος ἐπὴν ὁ ἥλιος κατέχῃ, ἐν τοῖσι λειμῶσι καὶ τοῖσιν ἕλεσιν ὑπὸ δένδρεσι μεγάλοισιν· ὧν τὴν σκιὴν Νέαρχος λέγει ἐς πέντε πλέθρα ἐν κύκλῳ ἐξικνέεσθαι, καὶ ἂν καὶ μυρίους ἀνθρώπους ὑπὸ ἑνὶ δένδρεϊ σκιάζεσθαι· τηλικαῦτα εἶναι ταῦτα τὰ δένδρεα. Σιτέονται δὲ ὡραῖα, καὶ τὸν φλοιὸν τῶν δένδρων, γλυκύν τε ὄντα τὸν φλοιὸν καὶ τρόφιμον, οὐ μεῖον ἤπερ αἱ βάλανοι τῶν φοινίκων. Δεύτεροι δ᾽ ἐπὶ τούτοισιν οἱ γεωργοί εἰσιν· οὗτοι πλήθει πλεῖστοι Ἰνδῶν ἐόντες· καὶ τούτοισιν οὔτε ὅπλα ἐστὶν ἀρήϊα, οὔτε μέλει τὰ πολέμια ἔργα, ἀλλὰ τὴν χώρην οὗτοι ἐργάζονται· καὶ τοὺς φόρους τοῖς τε βασιλεῦσι καὶ τῇσι πόλεσιν, ὅσαι αὐτόνομοι, οὗτοι ἀποφέρουσι· καὶ εἰ πόλεμος ἐς ἀλλήλους τοῖσιν Ἰνδοῖσιν τύχοι, τῶν ἐργαζομένων τὴν γῆν οὐ θέμις σφὶν ἅπτεσθαι, οὐδὲ αὐτὴν τὴν γῆν τέμνειν· ἀλλὰ οἱ μὲν πολεμοῦσι καὶ κατακαίνουσιν ἀλλήλους ὅπως τύχοιεν· οἱ δὲ πλησίον αὐτῶν κατ᾽ ἡσυχίην ἀροῦσιν, ἢ τρυγῶσιν, ἢ κλαδοῦσιν, ἢ θερίζουσιν. Τρίτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ νομέες, οἱ ποιμένες τε καὶ βουκόλοι, καὶ οὗτοι οὔτε κατὰ πόλιας, οὔτε ἐν τῇσι κώμῃσιν οἰκέουσι, νομάδες τέ εἰσι, καὶ ἀνὰ τὰ ὄρεα βιοτεύουσι· φόρον δὲ καὶ οὗτοι ἀπὸ τῶν κτηνέων ἀποφέρουσι· καὶ θηρεύουσιν οὗτοι ἀνὰ τὴν χώρην ὄρνιθάς τε καὶ ἄγρια θηρία.

Τέταρτον δέ ἐστι τὸ δημιουργικόν τε καὶ καπηλικὸν cap. 12. γένος. Καὶ οὗτοι λειτουργοί εἰσι, καὶ φόρον ἀποφέρουσιν ἀπὸ τῶν ἔργων τῶν σφετέρων, πλήν γε δὴ ὅσοι τὰ ἀρήϊα ὅπλα ποιέουσιν· οὗτοι δὲ καὶ μισθὸν ἐκ τοῦ κοινοῦ προσλαμβάνουσιν. Ἐν δὲ τούτῳ τῷ γένει οἵ τε ναυπηγοὶ καὶ οἱ ναῦταί εἰσιν, ὅσοι κατὰ τοὺς ποταμοὺς πλώουσι. Πέμπτον δὲ γένος ἐστὶν Ἰνδοῖσιν, οἱ πολεμισταί· πλήθει μὲν δεύτερον μετὰ τοὺς γεωργούς, πλείστῃ δὲ ἐλευθερίῃ τε καὶ εὐθυμίῃ ἐπιχρεόμενον· καὶ οὗτοι ἀσκηταὶ μόνων τῶν πολεμικῶν ἔργων εἰσί. Τὰ δὲ ὅπλα ἄλλοι αὐτοῖς ποιέουσι, καὶ ἵππους ἄλλοι παρέχουσι· καὶ διακονοῦσιν ἐπὶ στρατοπέδοις ἄλλοι, οἳ τούς τε ἵππους αὐτοῖς θεραπεύουσι, καὶ τὰ ὅπλα ἐκκαθαίρουσι, καὶ τοὺς ἐλέφαντας ἄγουσι, καὶ τὰ ἅρ-

ματα κοσμέουσί τε καὶ ἡνιοχέουσιν. Αὐτοὶ δὲ, ἐς ἂν μὲν πολεμεῖν δεῖ, πολεμοῦσιν· εἰρήνης δὲ γενομένης, εὐθυμέονται· καί σφιν μισθὸς ἐκ τοῦ κοινοῦ τοσόσδε ἔρχεται, ὡς καὶ ἄλλους τρέφειν ἀπ' αὐτοῦ εὐμαρέως. Ἕκτοι δέ εἰσιν Ἰνδοῖσιν, οἱ ἐπίσκοποι καλεόμενοι. Οὗτοι ἐφορῶσι τὰ γινόμενα κατά τε τὴν χώρην, καὶ κατὰ τὰς πόλιας· καὶ ταῦτα ἀναγγέλλουσι τῷ βασιλεῖ, ἵναπερ βασιλεύονται Ἰνδοί· ἢ τοῖς τέλεσιν, ἵναπερ αὐτόνομοι εἰσί· καὶ τούτοις οὐ θέμις ψεῦδος ἀγγεῖλαι οὐδέν· οὐδέ τις Ἰνδῶν αἰτίην ἔσχε ψεύσαθαι. Ἕβδομοι δέ εἰσιν, οἱ ὑπὲρ τῶν κοινῶν βουλευόμενοι ὁμοῦ τῷ βασιλεῖ, ἢ κατὰ πόλιας ὅσαι αὐτόνομοι, σὺν τῇσιν ἀρχῇσι. Πλήθει μὲν ὀλίγον τὸ γένος τοῦτό ἐστι, σοφίῃ δὲ καὶ δικαιότητι, ἐκ πάντων προκεκριμένον· ἔνθεν οἵ τε ἄρχοντες αὐτοῖσιν ἐπιλέγονται, καὶ ὅσοι νομάρχαι καὶ ὕπαρχοι καὶ θησαυροφύλακές τε καὶ στρατοφύλακες, ναύαρχοί τε καὶ ταμίαι, καὶ τῶν κατὰ γεωργίην ἔργων ἐπιστάται. Γαμέειν δὲ ἐξ ἑτέρου γένεος, οὐ θέμις· οἷον τοῖσι γεωργοῖσιν ἐκ τοῦ δημιουργικοῦ, ἢ ἔμπαλιν· οὐδὲ δύο τέχνας ἐπιτηδεύειν τὸν αὐτὸν, οὐδὲ τοῦτο θέμις· οὐδὲ ἀμείβειν ἐξ ἑτέρου γένεος εἰς ἕτερον· οἷον, γεωργικὸν ἐκ νομέως γενέσθαι, ἢ νομέα ἐκ δημιουργικοῦ. Μοῦνόν σφίσιν ἀνεῖται, σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι· ὅτι οὐ μαλθακὰ τοῖσι σοφιστῇσιν εἰσὶ τὰ πρήγματα, ἀλλὰ πάντων ταλαιπωρότατα.

cap. 16. Ἐσθῆτι δὲ Ἰνδοὶ λινέῃ χρέονται, κατάπερ λέγει Νέαρχος, λίνου τοῦ ἀπὸ τῶν δενδρέων, ὑπὲρ ὅτων μοι ἤδη λέλεκται. Τὸ δὲ λίνον τοῦτο ἢ λαμπρότερον τὴν χροιήν ἐστιν ἄλλου λίνου παντός· ἢ μέλανες αὐτοὶ ἐόντες λαμπρότερον τὸ λίνον φαίνεσθαι ποιέουσιν. Ἔστι δὲ κιθὼν λίνεος αὐτοῖς ἔστε ἐπὶ μέσην τὴν κνήμην· εἷμα δὲ, τὸ μὲν, περὶ τοῖσιν ὤμοισι περιβεβλημένον· τὸ δὲ, περὶ τῇσι κεφαλῇσιν εἱλιγμένον. Καὶ ἐνώτια Ἰνδοὶ φορέουσιν ἐλέφαντος, ὅσοι κάρτα εὐδαίμονες· οὐ γὰρ πάντες Ἰνδοὶ φορέουσι· Τοὺς δὲ πώγωνας λέγει Νέαρχος ὅτι βάπτονται Ἰνδοί, χροιὴν δὲ ἄλλην καὶ ἄλλην· οἱ μὲν, ὡς λευκοὺς φαίνεσθαι, οἵους λευκοτάτους· οἱ δὲ, κυανέους· τοὺς δὲ, φοινικέους εἶναι· τοὺς δὲ, καὶ πορφυρέους· ἄλλους, πρασοειδέας. Καὶ σκιάδια ὅτι προβάλλονται τοῦ θέρεος ὅσοι ἐκ ἠμελημένοι

Ἰν-

Ἰνδῶν. Ὑποδήματα δὲ λευκοῦ δέρματος φορέουσι, περιττῶς καὶ ταῦτα ἠσκημένα· καὶ τὰ ἴχνη τῶν ὑποδημάτων αὐτοῖσι ποικίλα καὶ ὑψηλὰ, τοῦ μέζονας φαίνεσθαι. Ὁπλίσιος δὲ τῆς Ἰνδῶν, οὐκ ὠυτὸς εἷς τρόπος· ἀλλ' οἱ μὲν πεζοὶ αὐτοῖσι τόξον τε ἔχουσιν ἰσόμηκες τῷ φορέοντι τὸ τόξον· καὶ τοῦτο κάτω ἐπὶ τὴν γῆν θέντες, καὶ τῷ ποδὶ τῷ ἀριστερῷ ἀντιβάντες, οὕτως ἐκτοξεύουσι, τὴν νευρὴν ἐπὶ μέγα ὀπίσω ἀπαγαγόντες· ὁ γὰρ ὀϊστὸς αὐτοῖσιν ὀλίγον ἀποδέων τριπήχεος· οὐδέ τι ἀντέχει τοξευθὲν πρὸς Ἰνδοῦ ἀνδρὸς τοξικοῦ, οὔτε ἀσπὶς, οὔτε θώρηξ, οὔτε ὅ τι καρτερὸν ἐγένετο. Ἐν δὲ τῇσιν ἀριστερῇσι πέλται εἰσὶν αὐτοῖσιν ὠμοβόϊνοι, στεινότεραι μὲν ἢ κατὰ τοὺς φορέοντας, μήκει δὲ οὐ πολλὸν ἀποδέουσαι. Τοῖσι δὲ ἄκοντες ἀντὶ τόξων εἰσί. Μάχαιραν δὲ πάντες φορέουσι, πλατείην δὲ, καὶ τὸ μῆκος οὐ μέζω τριπήχεος· καὶ ταύτην, ἐπεὰν συστάδην κατασταῇ αὐτοῖσιν ἡ μάχη (τὸ δὲ οὐκ εὐμαρέως Ἰνδοῖσιν ἐς ἀλλήλους γίγνεται) ἀμφοῖν ταῖν χεροῖν καταφέρουσιν ἐς τὴν πληγὴν, τοῦ καρτερὴν τὴν πληγὴν γενέσθαι. Οἱ δὲ ἱππέες ἀκόντια δύο αὐτοῖσιν ἔχουσιν, οἷα τὰ σαύνια ἀκόντια· καὶ πέλτην [τὴν] μικροτέρην τῶν πεζῶν. Οἱ δὲ ἵπποι αὐτοῖσιν οὐ σεσαγμένοι εἰσὶν, οὐδὲ χαλινοῦνται τοῖσιν Ἑλληνικοῖσι χαλινοῖσιν ἢ τοῖσι Κελτικοῖσιν ἐμφορέως· ἀλλὰ περὶ ἄκρῳ τῷ στόματι τοῦ ἵππου ἐν κύκλῳ ἔχουσι δέρμα ὠμοβόϊνον, ῥαπτὸν, περιηρτημένον· καὶ ἐν τούτῳ χάλκεα κέντρα ἢ σιδήρεα, οὐ κάρτα ὀξέα, ἔσω ἐστραμμένα· τοῖσι δὲ πλουσίοισιν ἐλεφάντινα κέντρα ἐστίν· ἐν δὲ τῷ στόματι σίδηρον αὐτοῖσιν οἱ ἵπποι ἔχουσιν, οἷόν περ ὀβελὸν, ἔνθεν ἐξηρτημένοι εἰσὶν αὐτοῖσιν οἱ ῥυτῆρες. ἐπεὰν ὦν ἐπαγάγωσι τὸν ῥυτῆρα, ὅ, τε ὀβελὸς κρατέει τὸν ἵππον, καὶ τὰ κέντρα, οἷα δὴ ἐξ αὐτοῦ ἠρτημένα, κεντέοντα, οὐκ ἐᾷ ἄλλο τι ἢ πείθεσθαι τῷ ῥυτῆρι.

Τὰ δὲ σώματα ἰσχνοί τε εἰσὶν Ἰνδοὶ καὶ εὐμήκεες, καὶ κοῦφοι πολλόν τι ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους. Ὀχήματα δὲ τοῖς μὲν πολλοῖς Ἰνδῶν, κάμηλοί εἰσιν, καὶ ἵπποι, καὶ ὄνοι· τοῖς δὲ εὐδαίμοσιν, ἐλέφαντες. Βασιλικὸν γὰρ ὄχημα ὁ ἐλέφας παρ' Ἰνδοῖς ἐστι· δεύτερον δὲ τιμῇ ἐπὶ τούτῳ, τὰ τέθριππα· τρίτον δὲ, αἱ κάμηλοι· τὸ δὲ ἐφ' ἑνὸς ἵππου ὀχέεσθαι, ἄτιμον. Αἱ γυναῖκες δὲ αὐτοῖσιν, cap. 17.

ὅσαι

ὅσαι κάρτα σώφρονες, ἐπὶ μὲν ἄλλῳ μισθῷ οὐκ ἄν τι διαμάρτοιεν· ἐλέφαντα δὲ λαβοῦσα γυνὴ μίσγεται τῷ δόντι, οὐδὲ αἰσχρὸν Ἰνδοὶ ἄγουσι, τὸ ἐπὶ ἐλέφαντι μιγῆναι· ἀλλὰ καὶ σεμνὸν δοκέει τῇσι γυναιξὶν, ἀξίην τὸ κάλλος φανῆναι ἐλέφαντος. Γαμέουσι δὲ οὔτέ τι διδόντες, οὔτε λαμβάνοντες· ἀλλὰ ὅσαι ἤδη ὡραῖαι γάμου, ταύτας οἱ πατέρες προάγοντες ἐς τὸ ἐμφανὲς καθιστῶσιν ἐκλέξασθαι τῷ νικήσαντι πάλην ἢ πὺξ ἢ δρόμον, ἢ κατ' ἄλλην τινὰ ἀνδρίαν προκριθέντι. Σιτοφάγοι δὲ καὶ ἀροτῆρες Ἰνδοί εἰσιν, ὅσοι γε μὴ ὄρειοι αὐτῶν· οὗτοι δὲ τὰ θήρεια κρέα σιτέονται. Ταῦτά μοι ἀπόχρη δεδηλῶσθαι ὑπὲρ Ἰνδῶν, ὅσα γνωριμώτατα Νέαρχός τε καὶ Μεγασθένης δοκίμω ἄνδρε ἀνεγραψάτην.

Arrianus de expeditione Alexandri. libr. IV. c. 22. 327 ante Chr.

Ἀλέξανδρος δὲ ἐκ Βάκτρων, ἀναλαβὼν τὴν στρατιὰν, προὐχώρει ὡς ἐπὶ Ἰνδοὺς, ξὺν αὐτῷ ἱππέας μὲν τρισχιλίους καὶ πεντακοσίους, πεζοὺς δὲ μυρίους. Ὑπερβαλὼν δὲ τὸν Καύκασον ἐν δέκα ἡμέραις, ἀφίκετο ἐς Ἀλεξάνδρειαν πόλιν, τὴν κτισθεῖσαν ἐν Παραπαμισάδαις, ὅτε τὸ πρῶτον ἐπὶ Βάκτρων ἐστέλλετο. Ἀφικόμενος δ' ἐς Νίκαιαν πόλιν, καὶ τῇ Ἀθηνᾷ θύσας, προὐχώρει ὡς ἐπὶ τὸν Κωφῆνα, προπέμψας κήρυκα ὡς Ταξίλην τε καὶ τοὺς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ποταμοῦ, κελεύσας ἀπαντᾷν, ὅπως ἂν ἑκάστοις προσχωρῇ. Καὶ Ταξίλης τε καὶ οἱ ἄλλοι ὕπαρχοι ἀπήντων, δῶρα τὰ μέγιστα παρ' Ἰνδοῖς νομιζόμενα κομίζοντες καὶ τοὺς ἐλέφαντας δώσειν ἔφασκον, τοὺς παρὰ σφισιν ὄντας, ἀριθμὸν ἐς πέντε καὶ εἴκοσιν. Ἔνθα δὴ διελὼν τὴν στρατιὰν, Ἡφαιστίωνα μὲν καὶ Περδίκκαν ἐκπέμπει ἐς τὴν Πευκελαῶτιν χώραν, ὡς ἐπὶ τὸν Ἰνδὸν ποταμὸν, ἔχοντας τήν τε Γοργίου τάξιν, καὶ Κλείτου καὶ Μελεάγρου, καὶ τῶν ἑταίρων ἱππέων τοὺς ἡμίσεας, καὶ τοὺς μισθοφόρους ἱππέας ξύμπαντας· προστάξας τά τε κατὰ τὴν ὁδὸν χωρία ἢ βίᾳ ἐξαιρεῖν, ἢ ὁμολογίᾳ παρίστασθαι· καὶ ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ἀφικομένους, παρασκευάζειν ὅσα ἐς τὴν διάβασιν τοῦ ποταμοῦ ξύμφορα· ξὺν τούτοις δὲ καὶ Ταξίλης, καὶ οἱ ἄλλοι ὕπαρχοι στέλλονται. Καὶ οὗτοι ὡς ἀφίκοντο πρὸς τὸν Ἰνδὸν ποταμὸν, ἔπρασσον ὅσα ἐξ Ἀλεξάνδρου ἦν τεταγμένα.

cap. 23. Ἀλέξανδρος δὲ ἄγων τοὺς ὑπασπιστὰς, καὶ τῶν ἑταίρων ἱππέων ὅσοι μὴ ξὺν Ἡφαιστίωνι ἐτετάχετο, καὶ

τῶν

τῶν πεζεταίρων καλεμένων τὰς τάξεις, καὶ τὲς τοξότας καὶ τὲς Ἀγριάνας καὶ τὲς ἱππακοντιςὰς, προὐχώρει ἐς τῶν Ἀσπασίων τε καὶ Γεραίων χώραν καὶ Ἀσσακανῶν.

Ἐν δὲ τῇ χώρᾳ ταύτῃ, ἥν τινα μεταξὺ τε τε Κωφῆνος καὶ τε Ἰνδε ποταμε ἐπῆλθεν Ἀλέξανδρος, καὶ Νύσαν πόλιν ᾠκίσθαι λέγεσι· τὸ δὲ κτίσμα εἶναι Διονύσε· ὡς δ' ἐπέβη τῇ Νύσῃ Ἀλέξανδρος, ἐκπέμπεσι παρ' αὐτὸν οἱ Νυσαῖοι τὸν κρατιςεύοντα σφῶν (ὄνομα δ' ἦν αὐτῷ Ἄκεφις) καὶ ξὺν αὐτῷ πρέσβεις τῶν δοκιμωτάτων τριάκοντα, δεησομένες Ἀλεξάνδρε, ἀφεῖναι τῷ Θεῷ τὴν πόλιν. τῦτο δ' Ἀλεξάνδρῳ πρὸς θυμε ἐγίγνετο· καὶ δίδωκε ἐλευθέρες τε εἶναι τὲς οἰκήτορας τῆς Νύσης καὶ αὐτονόμες. libr. 5. cap. 1.

Ἀλέξανδρος δὲ ὡς ἀφίκετο ἐπὶ τὸν Ἰνδὸν ποταμὸν, καταλαμβάνει γέφυράν τε ἐπ' αὐτῷ πεποιημένην πρὸς Ἡφαιςίωνος, καὶ πλοῖα πολλὰ μὲν σμικρότερα, δύο δὲ τριακοντόρες, καὶ παρὰ Ταξίλε τε Ἰνδε δῶρα ἥκοντα ἀργυρίε μὲν τάλαντα ἐς διακόσια, ἱερεῖα δὲ βὲς μὲν τρισχιλίες, πρόβατα δὲ ὑπὲρ μύρια, ἐλέφαντας δὲ ἐς τριάκοντα· καὶ ἱππεῖς δὲ ἑπτακόσιοι αὐτῶν Ἰνδῶν ἐς ξυμμαχίαν παρὰ Ταξίλε ἧκον· καὶ τὴν πόλιν Τάξιλα, τὴν μεγίςην μεταξὺ Ἰνδε τε ποταμε καὶ Ὑδάσπε, ὅτι αὐτῷ Ταξίλης ἐνδίδωσιν. Ἐνταῦθα θύει Ἀλέξανδρος τοῖς θεοῖς ὅσοις αὐτῷ νόμος, καὶ ἀγῶνα ποιεῖ γυμνικὸν καὶ ἱππικὸν ἐπὶ τῷ ποταμῷ, καὶ γίγνεται αὐτῷ ἐπὶ τῇ διαβάσει τὰ ἱερά. cap. 3.

Τῦτον τὸν ποταμὸν Ἰνδὸν ὑπὸ τὴν ἕω διέβαινε ξὺν τῇ ςρατιᾷ Ἀλέξανδρος εἰς τῶν Ἰνδῶν τὴν γῆν. Τὸ δὲ ζεῦγμα τὸ ἐπὶ τε Ἰνδε ποταμε, ὅπως μὲν ἐποιήθη Ἀλεξάνδρῳ, ἔτε Ἀριςόβελος ἔτε Πτολεμαῖος, οἷς μάλιςα ἐγὼ ἕπομαι, λέγεσιν· ἐδὲ αὐτὸς ἔχω ἀτρεκῶς εἰκάσαι, πότερα πλοίοις ἐζεύχθη ὁ πόρος, καθαπερεν ὁ Ἑλλήσποντός τε πρὸς Ξέρξε, καὶ ὁ Βόσπορός τε καὶ Ἴςρος πρὸς Δαρείε, ἢ γέφυρα κατὰ τε ποταμε διηνεκὴς ἐποιήθη αὐτῷ. Δοκεῖ δὲ ἐμοί γε πλοίοις μᾶλλον ζευχθῆναι· ε γὰρ ἂν δέξασθαι γέφυραν τὸ βάθος τε ὕδατος, ἐδ' ἂν ἐν τοσῷδε χρόνῳ ἔργον ἔτως ἄτοπον ξυντελεσθῆναι. Εἰ δὲ δὴ πλοίοις ἐζεύχθη ὁ πόρος, πότερα ξυνδεθεῖσαι αἱ νῆες σχοίνοις καὶ κατὰ ςοῖχον ὁρμισθεῖσαι ἐς τὸ ζεῦγμα ἀπήρκεσαν, (ὡς λέγει Ἡρόδοτος ζευχθῆναι τὸν Ἑλλήσποντον) ἢ ὅτῳ τρόπῳ cap. 7.

τῷ Ῥωμαίοις ἐπὶ τῷ Ἴστρῳ ποταμῷ ζεῦγμα ποιεῖσθαι, καὶ ἐπὶ τῷ Ῥήνῳ τῷ Κελτικῷ, καὶ τὸν Εὐφράτην καὶ τὸν Τίγρητα, ὁσάκις κατέλαβεν αὐτοὺς ἀνάγκη, ἐγεφύρωσαν, οὐδὲ τοῦτο ἔχω ξυμβαλεῖν.

cap. 8. Ὡς δὲ διέβη πέραν τοῦ Ἰνδοῦ ποταμοῦ, καὶ ἐνταῦθα αὖ θύει κατὰ νόμον Ἀλέξανδρος. ἄρας δὲ ἀπὸ τοῦ Ἰνδοῦ, ἐς Τάξιλα ἀφίκετο πόλιν μεγάλην καὶ εὐδαίμονα, τὴν μεγίστην τῶν μεταξὺ Ἰνδοῦ τε ποταμοῦ καὶ Ὑδάσπου· καὶ ἐδέχετο αὐτὸν Ταξίλης ὁ ὕπαρχος τῆς πόλεως, καὶ αὐτοὶ οἱ ταύτῃ Ἰνδοὶ φιλίως· καὶ Ἀλέξανδρος προστίθησιν αὐτοῖς χώραν τῆς ὁμόρου, ὅσης ἐδέοντο. Ἧκον δ' ἐνταῦθα παρ' αὐτὸν καὶ παρὰ Ἀβισάρου πρέσβεις, τοῦ τῶν ὀρείων Ἰνδῶν βασιλέως, ὅ, τε ἀδελφὸς αὐτοῦ Ἀβισάρου, καὶ ἄλλοι ξὺν αὐτῷ οἱ δοκιμώτατοι· καὶ παρὰ Δοξάρεως νομάρχου ἄλλοι, δῶρα φέροντες. Καὶ ἐνταῦθα αὖ Ἀλέξανδρος ἐν Ταξίλοις θύει ὅσα οἱ νόμος, καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ ἱππικόν· καὶ ἀποδείξας σατράπην τῶν ταύτῃ Ἰνδῶν Φίλιππον τὸν Μαχάτα, φρουράν τε ἀπολείπει ἐν Ταξίλοις, καὶ τοὺς ἀπομάχους τῶν στρατιωτῶν διὰ νόσον· αὐτὸς δὲ ἦγεν ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν. Ἐπέκεινα γὰρ τοῦ Ὑδάσπου Πῶρος αὐτῷ εἶναι ἐξηγγέλλετο ξὺν τῇ στρατιᾷ πάσῃ, ἐγνωκὼς εἴργειν τοῦ πόρου αὐτὸν, ἢ περῶντι ἐπιτίθεσθαι. Ταῦτα ὡς ἔγνω Ἀλέξανδρος, Κοῖνον μὲν τὸν Πολεμοκράτους πέμψας ὀπίσω ἐπὶ τὸν Ἰνδὸν ποταμὸν, τὰ πλοῖα ὅσα παρεσκεύαστο αὐτῷ ἐπὶ τοῦ πόρου τοῦ Ἰνδοῦ, ξυντεμόντα κελεύει φέρειν ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν· καὶ ξυνετμήθη τε τὰ πλοῖα καὶ ἐκομίσθη αὐτῷ, ὅσα μὲν βραχύτερα διχῇ διατμηθέντα, αἱ τριακόντοροι δὲ τριχῇ ἐτμήθησαν, καὶ τὰ τμήματα ἐπὶ ζευγῶν διεκομίσθη ἔς τε ἐπὶ τὴν ὄχθην τοῦ Ὑδάσπου· κἀκεῖ ξυμπηχθὲν τὸ ναυτικὸν αὖθις δὴ ὁμοῦ ὤφθη ἐν τῷ Ὑδάσπῃ. Αὐτὸς δὲ ἀναλαβὼν ἥν τε δύναμιν ἔχων ἧκεν ἐς Τάξιλα, καὶ πεντακισχιλίους τῶν Ἰνδῶν, οὓς Ταξίλης τε καὶ οἱ ταύτῃ ὕπαρχοι ἦγον, ᾔει ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμὸν, καὶ Ἀλέξανδρος κατεστρατοπέδευσεν ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου.

cap. 9. Καὶ Πῶρος κατὰ τὴν ἀντιπέραν ὄχθην ὤφθη ξὺν πάσῃ τῇ στρατιᾷ, καὶ τῶν ἐλεφάντων τῷ στίφει. Ταύτῃ μὲν δὴ ᾗ κατεστρατοπεδευκότα εἶδεν Ἀλέξανδρον, αὐτὸς

μένων

μένων ἐφύλαττε τὸν πόρον· ὅσα δ' ἄλλα τῦ ποταμῦ εὐπορώτερα, ἐπὶ ταῦτα φρυρὰς διαπέμψας, καὶ ἡγεμόνας ἐπιςήσας ἑκάςοις, εἴργειν ἐπενόει τῦ πόρυ τὺς Μακεδόνας. Ταῦτα δὲ ὁρῶντι Ἀλεξάνδρῳ, κινητέα καὶ αὐτῷ ἐδόκει ἡ ςρατιὰ πολλαχῆ, ὡς τὸν Πῶρον ἀμφίβολον γίγνεσθαι. Διελὼν δ' ἐς πολλὰ τὸν ςρατὸν, τὺς μὲν αὐτὸς ἄλλη καὶ ἄλλη ἦγε τῆς χώρας, τὰ μὲν πορθῶν ὅσα πολέμια, τὰ δὲ σκοπῶν, ὅπη εὐπορώτερος αὐτῷ ὁ ποταμὸς φανεῖται, τὺς δὲ τῶν ἡγεμόνων ἄλλοις καὶ ἄλλοις ἐπιτάξας, καὶ αὐτὺς πολλαχῆ διέπεμπε. Σῖτος δὲ αὐτῷ πάντοθεν ἐκ τῆς ἐπὶ τάδε τῦ Ὑδάσπυ χώρας ἐς τὸ ςρατόπεδον ξυνεκομίζετο, ὡς δῆλον εἶναι τῷ Πώρῳ, ὅτι ἐγνωκὼς εἴη προσλιπαρεῖν τῇ ὄχθῃ, ἔς τε τὸ ὕδωρ τῦ ποταμῦ μεῖον γενόμενον τῦ χειμῶνος, πολλαχῆ παραδῦναι οἱ τὸν πόρον. Τά τε πλοῖα αὐτῷ ἄλλη καὶ ἄλλη παραπλέοντα, καὶ αἱ διφθέραι τῆς κάρφης ἐμπιπλάμεναι, καὶ ἡ ὄχθη πλήρης πᾶσα φαινομένη τῇ μὲν ἱππέων, τῇ δὲ πεζῶν, ὐκ εἴα ἠρεμεῖν τὸν Πῶρον· ὐδὲ ἕν τι ἐπιλεξάμενον ἐς φυλακὴν ξύμφορον, ἐς τῦτο ἐκ πάντων παρασκευάζεσθαι. Ἄλλως τε ἐν μὲν τῷ τότε οἱ ποταμοὶ πάντες οἱ Ἰνδικοὶ πολλῦ τε ὕδατος καὶ θολερῦ ἔῤῥεον, καὶ ὀξέος τῦ ῥεύματος· ἦν γὰρ ὥρα ἔτυς, ᾗ μετὰ τροπὰς μάλιςα ἐν θέρει τρέπεται ὁ ἥλιος· ταύτῃ δὲ τῇ ὥρᾳ ὕδατά τε ἐξ ὐρανῦ ἀθρόα τε καταφέρεται ἐς τὴν γῆν τὴν Ἰνδικὴν, καὶ αἱ χιόνες αἱ τῦ Καυκάσυ (ἔνθεν περ τῶν πολλῶν ποταμῶν αἱ πηγαί εἰσι) κατατηκόμεναι αὔξυσιν αὐτοῖς τὸ ὕδωρ ἐπὶ μέγα· χειμῶνος δὲ ἔμπαλιν ἴσχυσιν, ὀλίγοι τε γίγνονται καὶ καθαροὶ ἰδεῖν, καὶ εἰσὶν ὅπυ περάσιμοι, πλήν γε δὴ τῦ Ἰνδῦ καὶ Γάγγυ, καὶ τυχὸν καὶ ἄλλυ τυ· ἀλλ' ὅ γ' Ὑδάσπης περατὸς γίνεται.

Ταύτην ὖν τὴν ὥραν τῦ ἔτυς προσμένειν ἐς τὸ φανερὸν ἔφασκεν, εἰ ἐν τῷ τότε εἴργοιτο. Ὁ δὲ, ὐδὲν μεῖον ἐφεδρεύων ἔμενεν, εἴπη λάθοι ὑφαρπάσας ὀξέως τὸν πόρον· ᾗ μὲν δὴ αὐτὸς Πῶρος κατεςρατοπεδεύκει πρὸς τῇ ὄχθῃ τῦ Ὑδάσπυ, ἔγνω ἀδύνατος ὢν περᾶσαι, ὑπὸ τῦ πλήθυς τῶν ἐλεφάντων, καὶ ὅτι πολλὴ ςρατιὰ καὶ αὐτὴ τεταγμένη τε καὶ ἀκριβῶς ὡπλισμένη ἐκβαίνυσιν αὐτοῖς ἐπιθήσεσθαι ἔμελλον, οἵ τε ἵπποι ὐκ ἂν ἐδόκυν αὐτῷ ἐθελῆσαι cap. 10.

σαι οὐδὲ ἐπιβῆναι τῆς ὄχθης τῆς πέραν, προσκειμένων σφίσιν εὐθὺς τῶν ἐλεφάντων καὶ τῇ τε ὄψει ἅμα καὶ τῇ φωνῇ φοβούντων, οὐδ' ἂν ἔτι πρόσθεν μεῖναι ἐπὶ τῶν διφθερῶν κατὰ τὸν πόρον, ἀλλ' ἐκπηδᾶν γὰρ ἐς τὸ ὕδωρ, ἀφορῶντες πέραν τοὺς ἐλέφαντας, καὶ ἔκφρονες γιγνόμενοι. Κλέψαι οὖν ἐπενόει τὴν διάβασιν, ὧδε πράττων. Νύκτωρ παραγαγὼν ἄλλῃ καὶ ἄλλῃ τῆς ὄχθης τοὺς πολλοὺς τῶν ἱππέων, βοήν τε ἐποίει καὶ ἠλαλάζετο τῷ Ἐνυαλίῳ· καὶ τ' ἄλλα ὅσα ἐπὶ διαβάσει συσκευαζομένων, θόρυβος παντοδαπὸς ἐγίγνετο· καὶ ὁ Πῶρός τε ἀντιπαρῄει πρὸς τὴν βοὴν ἐπάγων τοὺς ἐλέφαντας· καὶ Ἀλέξανδρος ἐς ἔθος αὐτὸν τῆς ἀντιπαραγωγῆς καθίστη. Ὡς δὲ ἐπὶ πολὺ τοῦτο ἐγίγνετο, καὶ ἡ βοὴ μόνον καὶ ὁ ἀλαλαγμὸς ἦν, οὐκέτι ὁ Πῶρος μετεκινεῖτο πρὸς τὰς ἐκδρομὰς τῶν ἱππέων, ἀλλ' ἐκείνων γὰρ γνοὺς τὸν φόβον, κατὰ χώραν ἐπὶ στρατοπέδου ἔμενε· σκοποὶ δὲ αὐτῷ πολλαχοῦ τῆς ὄχθης καθειστήκεσαν. Ἀλέξανδρος δὲ ὡς ἐξείργαστο αὐτῷ ἄφοβον τὸ τοῦ Πώρου ἐς τὰς νυκτερινὰς ἐπιχειρήσεις, μηχανᾶταί τι τοιόνδε.

cap. 11. Ἄκρα ἦν ἀνέχουσα τῆς ὄχθης τοῦ Ὑδάσπου, ἵνα ἐπικάμπτει ὁ ποταμὸς λόγου ἀξίως· αὐτή τε δασεῖα παντοίῳ δένδρων εἴδει, καὶ κατ' αὐτὴν νῆσος ἐν τῷ ποταμῷ ὑλώδης τε καὶ ἄστιβης ὑπ' ἐρημίας. Ταύτην καταμαθὼν τὴν νῆσον καταντικρὺ τῆς ἄκρας, ἀμφότερα ὑλώδη τὰ χωρία, καὶ οἷα κρύψαι τῆς διαβάσεως τὴν ἐπιχείρησιν, ταύτῃ ἔγνω διαβιβάζειν τὸν στρατόν. Ἀπέχει δὲ ἥ τε ἄκρα καὶ ἡ νῆσος τοῦ μεγάλου στρατοπέδου ἐς πεντήκοντα καὶ ἑκατὸν σταδίους. Παρὰ πᾶσαν δὲ τὴν ὄχθην φυλακαί τε αὐτῷ καθεστηκυῖαι ἦσαν, διαλείπουσαι ὅσον ξύμμετρον ἐς τὸ ξυνορᾶν τε ἀλλήλους καὶ κατακούειν εὐπετῶς ὁπόθεν τι παραγγέλλοιτο· καὶ πανταχόθεν βοαί τε νύκτωρ ἐπὶ πολλὰς νύκτας ἐγίγνοντο, καὶ πυρὰ ἐκαίετο. Ἐπειδὴ δὲ ἔγνω ἐπιχειρεῖν τῷ πόρῳ, κατὰ μὲν τὸ στρατόπεδον φανερῶς αὐτῷ τὰ τῆς διαβάσεως παρεσκευάζετο· καὶ Κρατερὸς ὑπελέλειπτο ἐπὶ στρατοπέδου, τήν τε αὐτοῦ ἔχων ἱππαρχίαν, καὶ τοὺς ἐξ Ἀραχωτῶν καὶ Παραπαμισαδῶν ἱππέας, καὶ τῆς φάλαγγος τῶν Μακεδόνων, τήν τε Ἀλκέτου καὶ τὴν Πολυπέρχοντος τάξιν, καὶ τοὺς νομάρχας τῶν ἐπὶ τάδε Ἰνδῶν καὶ τοὺς ἅμα τούτοις τοὺς πεντακισχιλίους· παραγγέλ-

λει

ιετο δὲ Κρατερῷ μὴ πρὶν διαβαίνειν τὸν πόρον, πρὶν ἀ-
ταλλαγῆναι Πῶρον ὡς ἐπὶ σφᾶς ξὺν τῇ δυνάμει, ἢ φεύ-
γοντα μαθεῖν, αὐτὲς δὲ νικῶντας· ἢν δὲ μέρος μέντοι τῆς
ρατιᾶς ἀναλαβὼν Πῶρος ἐπ' ἐμὲ ἄγῃ, μέρος δέ τι ὑπο-
ειφθῇ αὐτῷ ἐπὶ ϛρατοπέδε καὶ ἐλέφαντες, σὺ δὲ δικαίως
ένειν κατὰ χώραν. ει δὲ τὲς ἐλέφαντας ξύμπαντας ἅμα
: ἄγει Πῶρος ἐπ' ἐμὲ, τῆς δὲ ἄλλης ϛρατιᾶς ὑπολείποιτό
ι ἐπὶ ϛρατοπέδε, σὺ δὲ διαβαίνειν σπεδῇ (οἱ γὰρ ἐλέ-
φαντες μόνοι, ἔφη, ἄποροί εισιν πρὸς τὲς ἐκβαίνοντας
ππες) ἡ δὲ ἄλλη ϛρατιὰ * *

Ταῦτα μὲν Κρατερῷ ἐνετέλλετο. Ἐν μέσῳ δὲ τῆς ήσε τε καὶ τε μεγάλε ϛρατοπέδε, ἵνα αὐτῷ Κρατερὸς ὑ-ολέλειπτο, Μελέαγρός τε καὶ Ἄτταλος καὶ Γοργίας ξὺν οῖς μισθοφόροις ἱππεῦσί τε καὶ πεζοῖς ἐτετάχατο· καὶ τέ-οις διαβαίνειν παρηγγέλλετο κατὰ μέρος, διελόντας τὸν ρατὸν, ὁπότε ξυνεχομένες ἤδη ἐν τῇ μάχῃ τὲς Ἰνδὲς οιεν. Αὐτὸς δ' ἐπιλεξάμενος τῶν τε ἑταίρων τὸ ἄγημα ιὶ τὴν Ἡφαιςίωνος ἱππαρχίαν καὶ τὴν Περδίκκε τε καὶ ημητρίε καὶ τὲς ἐκ Βάκτρων καὶ Σογδιανῶν καὶ τὲς κύθας ἱππέας, καὶ Δάας τὲς ἱπποτοξότας, καὶ τῆς φά-λαγγος τές τε ὑπασπιςὰς καὶ τὴν Κλείτε τε καὶ Κοίνε τά-ν καὶ τὲς τοξότας καὶ τὲς Ἀγριάνας, ἦγεν ἀφανῶς λύ τι ἀπέχων τῆς ὄχθης, τε μὴ καταφανὴς ἔιναι ἄγων ὶ τὴν νῆσον καὶ τὴν ἄκραν, ἔνθα διαβαίνειν αὐτῷ ἦν γνωσμένον. Καὶ ἐνταῦθα ἐπληρεντο τῆς νυκτὸς αἱ δι-φθέραι τῆς κάρφης ἐκ πολλε ἤδη παρενηνεγμέναι, καὶ τεῤῥάπτοντο ἐς ἀκρίβειαν· ὕδωρ τε ἐξ ἐρανε τῆς νυκτὸς βρον ἐπιγίνεται ταύτῃ, καὶ μᾶλλόν τι ἡ παρασκευή τε τῷ καὶ ἡ ἐπιχείρησις ἡ ἐς τὴν διάβασιν ε φανερὰ κατέ-, τῷ κτύπῳ τῷ ἀπὸ τῶν ὅπλων καὶ τῷ θορύβῳ τῷ ἀπὸ ν παραγγελμάτων τῶν τε βροντῶν καὶ τε ὄμβρε ἀντι-ταγέντων· καὶ τῶν πλοίων τε τὰ πολλὰ ξυντετμημένα ρεκεκόμιςο ἐς τὸν χῶρον τετον, καὶ ἀφανῶς αὖθις ξυμ-πηγμένα ἐν τῇ ὕλῃ ἐκρύπτετο, τά τε ἄλλα καὶ αἱ τρια-κόντοροι. Ὑπὸ δὲ τὴν ἕω ὅ, τε ἄνεμος καὶ ὁ ὄμβρος κε-ίμητο, καὶ ἡ μὲν ἄλλη ϛρατιὰ αὐτῷ ἡ ἱππικὴ τῶν δι-φθερῶν ἐπιβᾶσα, καὶ ὅσες τῶν πεζῶν τὰ πλοῖα ἐδέχετο, έρα κατὰ τὴν νῆσον, ὡς μὴ πρόσθεν ὀφθείεν πρὸς τῶν σκο- cap. 12.

σκοπῶν τῶν παρὰ τῷ Πώρῳ καθεστηκότων, πρὶν παραλλάξαντας τὴν νῆσον ὀλίγον ἔτι ἀπέχειν τῆς ὄχθης.

cap. 13. Αὐτὸς δὲ ἐπιβὰς τριακοντόρῳ ἐπέρα, καὶ ἅμα αὐτῷ Πτολεμαῖός τε καὶ Περδίκκας καὶ Λυσίμαχος, οἱ σωματοφύλακες, καὶ Σέλευκος τῶν ἑταίρων, ὁ βασιλεύσας ὕστερον, καὶ τῶν ὑπασπιστῶν οἱ ἡμίσεες· τοὺς δὲ ἄλλους ὑπασπιστὰς ἄλλαι τριακόντοροι ἔφερον. Ὡς δὲ τὴν νῆσον παρήλλαξεν ἡ στρατιὰ, φανερῶς ἤδη ἐπεῖχον τῇ ὄχθῃ· καὶ οἱ σκοποὶ κατιδόντες αὐτῶν τὴν ὁρμὴν, ὡς ἑκάστοις τάχους οἱ ἵπποι εἶχον, ἤλαυνον ὡς ἐπὶ τὸν Πῶρον. Ἐν τούτῳ δὲ Ἀλέξανδρος πρῶτος αὐτὸς ἐκβὰς, καὶ τοὺς ἀπὸ τῶν ἄλλων τριακοντόρων ἀναλαβὼν, ξυνέτασσε τοὺς ἀεὶ ἐκβαίνοντας τῶν ἱππέων· οἱ γὰρ ἱππεῖς πρῶτοι ἐτετάχατο αὐτῷ ἐκβαίνειν· καὶ τούτους ἄγων προῄει ἐν τάξει. Οἱ δὲ Ἰνδοὶ ἐς φυγὴν πάντες ἐπεστράφησαν.

cap. 18. Καὶ ἐν τῷ αὐτῷ Κρατερός τε καὶ οἱ ἄλλοι, ὅσοι τῆς στρατιᾶς τῆς Ἀλεξάνδρου ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου ὑπολελειμμένοι ἡγεμόνες ἦσαν, ὡς νικῶντα λαμπρῶς Ἀλέξανδρον κατεῖδον, ἐπέρων καὶ αὐτοὶ τὸν ποταμόν· καὶ οὗτοι οὐ μείονα τὸν φόνον ἐν τῇ ἀποχωρήσει τῶν Ἰνδῶν ἐποίησαν, ἀκμῆτες ἀντὶ κεκμηκότων τῶν ἀμφ' Ἀλέξανδρον ἐπιγενόμενοι τῇ διώξει. Ἀπέθανον δὲ τῶν Ἰνδῶν πεζοὶ μὲν ὀλίγον ἀποδέοντες τῶν δισμυρίων, ἱππεῖς δὲ ἐς τρισχιλίους· τὰ δὲ ἅρματα ξύμπαντα κατεκόπη, καὶ Πώρου δύο παῖδες ἀπέθανον. Καὶ Σπιτάκης ὁ νομάρχης τῶν ταύτῃ Ἰνδῶν, καὶ τῶν ἐλεφάντων καὶ ἁρμάτων οἱ ἡγεμόνες, καὶ οἱ ἱππάρχαι, καὶ οἱ στρατηγοὶ τῆς στρατιᾶς τῆς Πώρου ξύμπαντες· ἐλήφθησαν δὲ καὶ οἱ ἐλέφαντες, ὅσοι γε αὐτῶν αὐτοῦ μὴ ἀπέθανον. Τῶν δὲ ἀμφ' Ἀλέξανδρον πεζοὶ μὲν, ἀπὸ ἑξακισχιλίων τῶν ἐν τῇ πρώτῃ προσβολῇ γενομένων, ἐς ὀγδοήκοντα μάλιστα ἀπέθανον· ἱππεῖς δὲ τῶν μὲν ἱπποτοξοτῶν, οἳ δὴ καὶ πρῶτοι τοῦ ἔργου ἥψαντο, δέκα· τῆς δὲ ἑταιρικῆς ἵππου ἀμφὶ τοὺς εἴκοσι· τῶν δὲ ἄλλων ἱππέων, ὡς διακόσιοι. Πῶρος δὲ μεγάλα ἔργα ἐν τῇ μάχῃ ἀποδειξάμενος, μὴ ὅτι στρατηγοῦ, ἀλλὰ καὶ στρατιώτου γενναίου, ὡς τῶν τε ἱππέων τὸν φόνον κατεῖδε, καὶ τῶν ἐλεφάντων τοὺς μὲν αὐτοῦ πεπτωκότας, τοὺς δὲ ἐρήμους τῶν ἡγεμόνων λυπηροὺς

πεπλ-

πεπλανημένες, τῶν δὲ πεζῶν αὐτῷ οἱ πλεῖς ἀπολώλεσαν· ἐχ ἧπερ Δαρεῖος ὁ μέγας βασιλεὺς ἐξάρχων τοῖς ἀμφ' αὐτὸν τῆς φυγῆς ἀπεχώρει, ἀλλὰ ἔς τε γὰρ ὑπέμενέ τι τῶν Ἰνδῶν ἐν τῇ μάχῃ ξυνεστηκὸς, ἐς τοσόνδε ἀγωνισάμενος· τετρωμένος δὲ τὸν δεξιὸν ὦμον, ὃν δὴ γυμνὸν μόνον ἔχων ἐν τῇ μάχῃ ἀνεστρέφετο (ἀπὸ γὰρ τῦ ἄλλυ σώματος ἤρκει αὐτῷ τὰ βέλη ὁ θώραξ, περιττὸς ὢν κατά τε τὴν ἰσχὺν, καὶ τὴν ἁρμονίαν, ὡς ὕστερον καταμαθεῖν θεωμένοις ἦν) τότε δὴ καὶ αὐτὸς ἀπεχώρει ἐπιστρέψας τὸν ἐλέφαντα. Καὶ Ἀλέξανδρος μέγαν τε αὐτὸν καὶ γενναῖον ἄνδρα ἰδὼν ἐν τῇ μάχῃ, σῶσαι ἐπεθύμησε· πέμπει δὴ παρ' αὐτὸν πρῶτα μὲν Ταξίλην τὸν Ἰνδόν· καὶ Ταξίλης προσιππεύσας ἐφ' ὅσον οἱ ἀσφαλὲς ἐφαίνετο τῷ ἐλέφαντι, ὃς ἔφερε τὸν Πῶρον, ἐπιστῆσαί τε ἠξίυ τὸ θηρίον (ὐ γὰρ εἶναι οἱ ἔτι φεύγειν) καὶ ἀκῦσαι τῶν παρ' Ἀλεξάνδρυ λόγων. Ὁ δὲ ἰδὼν ἄνδρα ἐχθρὸν ἐκ παλαιῦ τὸν Ταξίλην, ἐπιστρέψας ἀνήγετο ὡς ἀκοντίσων· καὶ ἂν καὶ κατέκτανεν ἂν τυχὸν, εἰ μὴ ὑποφθάσας ἐκεῖνος ἀπήλασεν ἀπὸ τῦ Πώρυ πρόσω τὸν ἵππον. Ἀλέξανδρος δὲ ὐδὲ ἐπὶ τῷδε τῷ Πώρῳ χαλεπὸς ἐγένετο. Ἀλλ' ἄλλυς τε ἐν μέρει ἔπεμπε, καὶ δὴ καὶ Μερόην ἄνδρα Ἰνδὸν, ὅτι φίλον εἶναι ἐκ παλαιῦ τῷ Πώρῳ τὸν Μερόην ἔμαθε. Πῶρος δὲ ὡς τὰ παρὰ τῦ Μερόυ ἤκυσε, καὶ ἐκ τῦ δίψυς ἅμα ἐκρατεῖτο, ἐπέστησέ τε τὸν ἐλέφαντα, καὶ κατέβη ἀπ' αὐτῦ· ὡς δὲ ἔπιέ τε καὶ ἀνέψυξεν, ἄγειν αὐτὸν σπυδῇ ἐκέλευσεν παρ' Ἀλέξανδρον· καὶ ὁ μὲν ἤγετο.

Ἀλέξανδρος δὲ ὡς προσάγοντα ἐπύθετο, προσιππεύσας πρὸ τῆς τάξεως ξὺν ὀλίγοις τῶν ἑταίρων ἀπαντᾷ τῷ Πώρῳ, καὶ ἐπιστήσας τὸν ἵππον, τό τε μέγεθος ἐθαύμαζεν ὑπὲρ πέντε πήχεις μάλιστα ξυμβαῖνον, καὶ τὸ κάλλος τῦ Πώρυ, καὶ ὅτι ὐ δεδυλωμένος τῇ γνώμῃ ἐφαίνετο, ἀλλ' ὥσπερ ἀνὴρ ἀγαθὸς ἀνδρὶ ἀγαθῷ προσέλθοι, ὑπὲρ βασιλείας τῆς αὐτῦ πρὸς βασιλέα ἄλλον καλῶς ἠγωνισμένος. Ἔνθα δὴ Ἀλέξανδρος πρῶτος προσειπὼν αὐτὸν, λέγειν ἐκέλευσεν ὅ, τι οἱ γενέσθαι ἐθέλοι. Πῶρον δὲ ἀποκρίνεσθαι λόγος, Ὅτι βασιλικῶς μοι χρῆσαι, ὦ Ἀλέξανδρε· καὶ Ἀλέξανδρος ἡσθεὶς τῷ λόγῳ, cap. 19.

γῳ, Τȣ̃το μὲν ἔςαι σοι, Πῶρε, ἔφη, ἐμȣ̃ ἕνεκα· σὺ δὲ σαυτȣ̃ ἕνεκα ὅ, τι σοὶ φίλον ἀξίȣ. Ὁ δὲ πάντα ἔφη ἐν τȣ́τῳ ἐνεῖναι· καὶ Ἀλέξανδρος τȣ́τῳ ἔτι μᾶλλον τῷ λόγῳ ἡσθεὶς, τήν τε ἀρχὴν τῷ Πώρῳ τῶν τε αὐτῶν Ἰνδῶν ἔδωκε, καὶ ἄλλην ἔτι χώραν πρὸς τῇ ἄλλῃ τῇ πάλαι ȣ̓́σῃ πλείονα τῆς πρόσθεν προσέθηκε· καὶ ȣ̃́τως αὐτός τε βασιλικῶς κεχρημένος ἦν ἀνδρὶ ἀγαθῷ, καὶ ἐκείνῳ ἐκ τȣ́τȣ ἐς ἅπαντα πιςῷ ἐχρήσατο. Τȣ̃το τὸ τέλος τῇ μάχῃ τῇ πρὸς Πῶρόν τε καὶ τȣ̀ς ἐπέκεινα τȣ̃ Ὑδάσπȣ ποταμȣ̃ Ἰνδȣ̀ς Ἀλεξάνδρῳ ἐγένετο, ἐπ᾽ ἄρχοντος Ἀθηναίοις Ἡγεμόνος, μηνὸς Μȣνυχιῶνος. Ἵνα δὲ ἡ μάχη ξυνέβη, καὶ ἔνθεν ὁρμηθεὶς ἐπέρασε τὸν Ὑδάσπην ποταμὸν, πόλεις ἔκτισεν Ἀλέξανδρος· καὶ τὴν μὲν, Νικαίαν, τῆς νίκης τῆς κατ᾽ Ἰνδῶν ἐπώνυμον ὠνόμασε τὴν δὲ, Βȣκεφάλα, ἐς τȣ̃ ἵππȣ Βȣκεφάλα τὴν μνήμην, ὃς ἀπέθανεν αὐτȣ̃, ȣ̓ βληθεὶς πρὸς ȣ̓δενὸς, ἀλλ᾽ ὑπὸ καύματός τε καὶ ἡλικίας· ἦν γὰρ ἀμφὶ τὰ τριάκοντα ἔτη, καματηρὸς γενόμενος, πολλὰ δὲ πρόσθεν ξυγκαμών τε καὶ συγκινδυνεύσας Ἀλεξάνδρῳ, ἀναβαινόμενός τε πρὸς μόνȣ Ἀλεξάνδρȣ ὁ Βȣκεφάλας ȣ̓̃τος, ὅτι τȣ̀ς ἄλλȣς πάντας ἀπηξίȣ ἀμβάτας, καὶ μεγέθει μέγας καὶ τῷ θυμῷ γενναῖος. Σημεῖον δὲ οἱ ἦν βοὸς κεφαλὴ ἐγκεχαραγμένη, ἐφ᾽ ὅτῳ καὶ τὸ ὄνομα τȣ̃το λέγȣσιν ὅτι ἔφερεν· οἱ δὲ λέγȣσιν, ὅτι λευκὸν σῆμα εἶχεν ἐπὶ τῆς κεφαλῆς, μέλας ὢν αὐτὸς, ἐς βοὸς κεφαλὴν μάλιςα εἰκασμένον. Οὗτος ὁ ἵππος ἐν τῇ Οὐξίων χώρᾳ ἀφανὴς ἐγένετο Ἀλεξάνδρῳ, καὶ Ἀλέξανδρος προσεκήρυξε ἀνὰ τὴν χώραν πάντας ἀποκτενεῖν Οὐξίȣς, εἰ μὴ ἀπάξȣσιν αὐτῷ τὸν ἵππον· καὶ ἀπήχθη εὐθὺς ἐπὶ τῷ κηρύγματι· τοσήδε μὲν σπȣδὴ Ἀλεξάνδρῳ ἀμφ᾽ αὐτὸν ἦν, τοσόσδε Ἀλεξάνδρȣ φόβος τοῖς βαρβάροις· καὶ ἐμοὶ ἐς τοσόνδε τετιμήσθω ὁ Βȣκεφάλας ȣ̓̃τος Ἀλεξάνδρȣ ἕνεκα.

cap. 20. Ἀλεξάνδρῳ δὲ ἐπειδὴ οἱ ἀποθανόντες ἐν τῇ μάχῃ κεκόσμηντο τῷ πρέποντι κόσμῳ, ὁ δὲ τοῖς θεοῖς τὰ νομιζόμενα ἐπινίκια ἔθυε, καὶ ἀγὼν ἐποιεῖτο αὐτῷ γυμνικὸς καὶ ἱππικὸς αὐτȣ̃ ἐπὶ τῇ ὄχθῃ τȣ̃ Ὑδάσπȣ, ἵναπερ τὸ πρῶτον διέβη ἅμα τῷ ςρατῷ· Κρατερὸν μὲν δὴ ξὺν μέρει τῆς ςρατιᾶς ὑπελείπετο, τὰς πόλεις ἃς ταύτῃ

ταύτῃ ἔκτιζεν ἀναςήσοντά τε καὶ ἐκτειχιῦντα· αὐτὸς δὲ ἤλαυνεν ὡς ἐπὶ τὺς προσχώρυς τῇ τῦ Πώρυ ἀρχῇ Ἰνδύς. Ὄνομα δὲ ἦν τῷ ἔθνει Γλαυγανῖκαι, ὡς λέγει Ἀριςόβυλος· ὡς δὲ Πτολεμαῖος, Γλαῦσαι· ὁποτέρως δὲ ἔχει τὸ ὄνομα, ὔ μοι μέλει. Ἐπήει δὲ τὴν χώραν αὐτῶν Ἀλέξανδρος, τῶν τε ἑταίρων ἱππέων ἔχων τὺς ἡμίσεας, καὶ τῶν πεζῶν ἀπὸ Φάλαγγος ἑκάςης ἐπιλέκτυς καὶ τὺς ἱπποτοξότας ξύμπαντας, καὶ τὺς Ἀγριάνας καὶ τὺς τοξότας, καὶ προσεχώρυν αὐτῷ ὁμολογίᾳ πάντες· καὶ ἔλαβε πόλεις μὲν ἐς τριάκοντα καὶ ἑπτά· ὧν ἵνα ὀλιγοςοὶ ἦσαν οἰκήτορες πεντακισχιλίων ὐκ ἐλάττυς ἦσαν, πολλῶν δὲ καὶ ὑπὲρ τὺς μυρίυς, καὶ κώμας πλήθει τε πολλὰς ἔλαβε, καὶ πολυανθρώπυς ὐ μεῖον τῶν πόλεων. Καὶ ταύτης τῆς χώρας Πώρῳ ἄρχειν ἔδωκε· καὶ Ταξίλῃ δὲ διαλλάττει Πῶρον, καὶ Ταξίλην ἀποπέμπει ὀπίσω εἰς τὰ ἤθη τὰ αὐτῦ. Ἐν τύτῳ δὲ παρά τε Ἀβισάρυ πρέσβεις ἧκον, ἐνδιδόντες αὐτόν τε Ἀλεξάνδρῳ Ἀβισάρην καὶ τὴν χώραν ὅσης ἦρχε· καί τοι πρό γε τῆς μάχης τῆς πρὸς Πῶρον γενομένης Ἀλεξάνδρῳ, ἐπενόει Ἀβισάρης καὶ αὐτὸς ξὺν Πώρῳ τάσσεσθαι· τότε δὲ καὶ τὸν ἀδελφὸν τὸν αὐτῦ ξὺν τοῖς ἄλλοις πρέσβεσι παρ' Ἀλέξανδρον ἔπεμψε, χρήματά τε κομίζοντα, καὶ ἐλέφαντας τεσσαράκοντα, δῶρον Ἀλεξάνδρῳ. Ἧκον δὲ καὶ παρὰ τῶν αὐτονόμων Ἰνδῶν πρέσβεις παρ' Ἀλέξανδρον, καὶ παρὰ Πώρυ ἀλλέττυ ὑπάρχοντος Ἰνδῶν. Ἀλέξανδρος δὲ διὰ τάχυς Ἀβισάρην ἰέναι παρ' αὐτὸν κελεύει, ἐπαπειλήσας, εἰ μὴ ἔλθοι, ὅτι αὐτὸν ὄψεσθαι ἥκοντα ξὺν τῇ ςρατιᾷ, ἵνα ὐ χαιρήσῃ ἰδών. Ἐν τύτῳ δὲ Φραταφέρνης τε ὁ Παρθυαίων καὶ Ὑρκανίας σατράπης, τὺς καταλειφθέντας παρὰ οἱ Θρᾶκας ἄγων, ἧκεν ἐς Ἀλέξανδρον· καὶ παρὰ Σισικόττυ τῦ Ἀσσακηνῶν σατράπυ ἄγγελοι, ὅτι τόν τε ὕπαρχον σφῶν καὶ ἀπεκτονότες εἶεν οἱ Ἀσσακηνοὶ, καὶ ἀπ' Ἀλεξάνδρυ ἀφεςηκότες. Καὶ ἐπὶ τύτυς Φίλιππον ἐκπέμπει καὶ Τυριάσπην σὺν ςρατιᾷ, τὰ περὶ τὴν Ἀσσακηνῶν χώραν καταςησομένυς καὶ κοσμήσοντας· αὐτὸς δὲ ὡς ἐπὶ τὸν Ἀκεσίνην ποταμὸν προῆγεν. Τύτυ τῦ Ἀκεσίνυ ποταμῦ τὸ μέγεθος μόνυ τῶν Ἰνδῶν ποταμῶν Πτολεμαῖος ὁ Λάγυ ἀνέγραψεν· εἶναι γὰρ ἵνα ἐπέρασεν Ἀλέξανδρος αὐτὸν ἐπὶ τῶν πλοίων τε

καὶ τῶν διφθερῶν ξὺν τῇ στρατιᾷ, τὸ μὲν ῥεῦμα ὀξὺ τὸ Ἀκεσίνου, πέτραις μεγάλαις καὶ ὀξείαις, καθ' ὧν φερόμενον βίᾳ τὸ ὕδωρ κυμαίνεσθαί τε καὶ καχλάζειν· τὸ δὲ εὖρος σταδίους ἐπέχειν πεντεκαίδεκα. Καὶ τοῖς μὲν δὴ ἐπὶ τῶν διφθερῶν περῶσιν εὐμαρῆ γενέσθαι τὸν πόρον· τοὺς δ' ἐν τοῖς πλοίοις διαβαίνοντας, ἐποκειλάντων πολλῶν πλοίων ἐπὶ ταῖς πέτραις καὶ ξυναῤῥαχθέντων, οὐκ ὀλίγους αὐτοῦ ἐν τῷ ὕδατι διαφθαρῆναι. Ἐίη ἂν οὖν ἐκ τοῦδε τοῦ λόγου ξυντιθέντι τεκμηριοῦσθαι, ὅτι οὐ πόῤῥω τοῦ ἀληθοῦς ἀναγέγραπται σταδίους δοκεῖ τοῦ Ἰνδοῦ εἶναι τὸ εὖρος, ἵνα μέσως ἔχει αὐτὸς αὐτοῦ ὁ Ἰνδός· ἵνα δὲ στενώτατός τε καὶ διὰ στενότητα βαθύτατος, ἐς τοὺς πεντεκαίδεκα ξυνάγεσθαι· καὶ ταῦτα πολλαχῇ εἶναι τοῦ Ἰνδοῦ. Καὶ γὰρ καὶ τοῦ Ἀκεσίνου τεκμαίρομαι ἐπιλέξασθαι Ἀλέξανδρον, ἵνα περ τὸ πλατύτατον ἦν τοῦ πόρου, ὡς σχολαιτέρῳ χρήσασθαι τῷ ῥεύματι.

cap. 21. Περάσας δὲ τὸν ποταμὸν, Κοῖνον μὲν ξὺν τῇ αὐτοῦ τάξει ἀπολείπει αὐτοῦ ἐπὶ τῇ ὄχθῃ, προστάξας ἐπιμελεῖσθαι τῆς ὑπολελειμμένης στρατιᾶς τῆς διαβάσεως, οἳ τόν τε σῖτον αὐτῷ τὸν ἐκ τῆς ἤδη ὑπηκόου τῶν Ἰνδῶν χώρας καὶ τὰ ἄλλα ἐπιτήδεια παρακομίζειν ἔμελλον. Πῶρον δὲ ἐς τὰ αὐτοῦ ἤθη ἀποπέμπει, κελεύσας Ἰνδῶν τε τοὺς μαχιμωτάτους ἐπιλεξάμενον, καὶ ἔι τινας παρ' αὐτῷ ἔχοι ἐλέφαντας, τούτους δὲ ἀναλαβόντα ἰέναι παρ' αὐτόν. Αὐτὸς δὲ Πῶρον τὸν ἕτερον τὸν κακὸν, ὅτι ἐξηγγέλθη πεφευγέναι ἀπολιπὼν τὴν χώραν ἧς ἦρχεν, ἐπενόει διώκειν σὺν τοῖς κουφοτάτοις τῆς στρατιᾶς. Ὁ γὰρ Πῶρος οὗτος, ἔς τε μὲν πολέμια ξυνειστήκειν Ἀχεξάνδρῳ τὰ πρὸς τὸν ἄλλον Πῶρον, πρέσβεις πρὸς Ἀλέξανδρον πέμπων, αὐτόν τε καὶ τὴν ὑπὸ οἱ χώραν ἐνεδίδου Ἀλεξάνδρῳ, κατὰ ἔχθος τὸ Πώρου μᾶλλον ἢ φιλίᾳ τῇ Ἀλεξάνδρου· ὡς δὲ ἀφειμένον τε ἐκεῖνον, καὶ πρὸς τῇ αὐτοῦ καὶ ἄλλης πολλῆς ἄρχοντα ἔμαθε, τότε δὴ φοβηθεὶς, οὐχ οὕτω τι Ἀλέξανδρον, ὡς τὸν Πῶρον ἐκεῖνον τὸν ὁμώνυμον, φεύγει τὴν ἑαυτοῦ, ἀναλαβὼν ὅσους τῶν μαχίμων ξυμπεῖσαι ἐδυνήθη μετασχεῖν οἱ τῆς φυγῆς. Ἐπὶ τοῦτον ἐλαύνων Ἀλέξανδρος ἀφικνεῖται ἐπὶ τὸν Ὑδραώτην ποταμὸν, ἄλλον αὖ τοῦτον Ἰνδὸν ποταμὸν, τὸ μὲν εὖρος οὐ μείονα τοῦ Ἀκεσίνου, ὀξύτητι δὲ τοῦ ῥοῦ μείονα. Ὅσην δὲ τῆς χώρας ἔς τε ἐπὶ τὸν Ὑδρα-

τη

την ἐπῆλθε, Φυλακὰς ὑπέλιπεν ἐν τοῖς ἐπικαιροτάτοις χωρίοις, ὅπως οἱ ἀμφὶ Κρατερόν γε καὶ Κοῖνον δι' ἀσφαλείας ἐπέρχοιτο, τῆς χώρας τὴν πολλὴν προνομεύοντες. Ἐνταῦθα Ἡφαιστίωνα μὲν ἐκπέμπει, δοὺς αὐτῷ μέρος τῆς στρατιᾶς, πεζῶν μὲν Φάλαγγας δύο, ἱππέων δὲ τήν γε αὐτοῦ καὶ τὴν Δημητρίου ἱππαρχίαν καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, ἐς τὴν Πώρου τοῦ ἀφεστηκότος χώραν, κελεύσας παραδιδόναι ταύτην Πώρῳ τῷ ἄλλῳ, καὶ εἰ δή τινα πρὸς ταῖς ὄχθαις τοῦ Ὑδραώτου ποταμοῦ αὐτόνομα ἔθνη Ἰνδῶν νέμεται, καὶ ταῦτα προσαγαγόμενον τῷ Πώρῳ ἄρχειν ἐγχειρίσαι. Αὐτὸς δ' ἐπέρα τὸν Ὑδραώτην ποταμὸν, οὐ καθάπερ τὸν Ἀκεσίνην χαλεπῶς. Προχωροῦντι δὲ αὐτῷ ἐπέκεινα τῆς ὄχθης τοῦ Ὑδραώτου τοὺς μὲν πολλοὺς καθ' ὁμολογίαν προσχωρεῖν ξυνέβαινεν· ἤδη δέ τινας ξὺν ὅπλοις ἀπαντήσαντας, τοὺς δὲ καὶ ὑποφεύγοντας ἑλὼν βίᾳ κατεστρέψατο.

Ἐν τούτῳ δὲ ἐξαγγέλλεται Ἀλεξάνδρῳ τῶν αὐτονόμων Ἰνδῶν ἄλλους γέ τινας, καὶ τοὺς καλουμένους Καθαίους αὐτούς τε παρασκευάζεσθαι ὡς πρὸς μάχην, εἰ προσάγοι τῇ χώρᾳ αὐτῶν Ἀλέξανδρος, καὶ ὅσα ὅμορα σφίσιν αὐτόνομα καὶ ταῦτα παρακαλεῖν ἐς τὸ ἔργον· εἶναι δὲ τήν γε πόλιν ὀχυρὰν, πρὸς ἣν ἐπενόουν ἀγωνίσασθαι. Σάγγαλα ἦν τῇ πόλει ὄνομα, καὶ αὐτοὶ οἱ Καθαῖοι εὐτολμότατοί τε καὶ τὰ πολέμια κράτιστοι ἐνομίζοντο· καὶ τούτοις κατὰ τὰ αὐτὰ Ὀξυδράκαι ἄλλο Ἰνδῶν ἔθνος· καὶ Μαλλοί, ἄλλο καὶ τοῦτο· ἐπεὶ καὶ ὀλίγῳ πρόσθεν στρατεύσαντας ἐπ' αὐτοὺς Πῶρόν γε καὶ Ἀβισάρην ξύν τε τῇ σφετέρᾳ δυνάμει, καὶ πολλὰ ἄλλα ἔθνη τῶν αὐτονόμων Ἰνδῶν ἀναστήσαντας, οὐδὲν πράξαντας τῆς παρασκευῆς ἄξιον ξυνέβη ἀπελθεῖν. Ταῦθ' ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, σπουδῇ ἤλαυνεν ὡς ἐπὶ τοὺς Καθαίους. Καὶ δευτεραῖος μὲν ἀπὸ τοῦ ποταμοῦ τοῦ Ὑδραώτου πρὸς πόλιν ἧκεν, ᾗ ὄνομα Πίμπραμα. Τὸ δ' ἔθνος τοῦτο τῶν Ἰνδῶν Ἀδραϊσταὶ ἐκαλοῦντο· οὗτοι μὲν δὴ προσεχώρησαν ὁμολογίᾳ Ἀλεξάνδρῳ. Καὶ Ἀλέξανδρος ἀναπαύσας τῇ ὑστεραίᾳ τὴν στρατιὰν, τῇ τρίτῃ προὐχώρει ἐπὶ τὰ Σάγγαλα, ἵνα οἱ Καθαῖοί γε καὶ οἱ ἄλλοι πρόσχωροι αὐτοῖς ξυνεληλυθότες πρὸ τῆς πόλεως παρατεταγμένοι ἦσαν ἐπὶ γηλόφου οὐ πάντη ἀποτόμου. Ἐπὶ πολὺ δὲ αὐτῶν διαγωνισαμένων, οἱ Ἰνδοὶ ἐβιάζοντο ὑπὸ τῆς

cap. 22.

cap. 23.

τῆς Φάλαγγος· οἱ δὲ ὐκέτι ἔμενον, ἀλλ᾽ ὡς τάχυς εἶχον Φυγῇ εἰς τὴν πόλιν κατεκλείσθησαν. Καὶ Ἀλέξανδρος ταύτην μὲν τὴν ἡμέραν περιεστρατοπέδευσε τοῖς πεζοῖς τὴν πόλιν· ἔπειτα χάρακί γε διπλῷ περιβάλλει, ἵναπερ μὴ εἶργεν ἡ λίμνη, τὴν πόλιν· καὶ Φυλακὰς ἐν κύκλῳ τῆς λίμνης ἀκριβεστέρας κατέστησεν· αἵ γε μηχαναὶ Ἀλεξάνδρῳ ξυμπεπηγμέναι ἦσαν, καὶ προσήγοντο ἤδη τῷ τείχει.

cap. 24. Ἀλλὰ οἱ Μακεδόνες, πρὶν καὶ κατασεισθῆναί τι τῦ τείχυς, ὑπορύττοντές τε αὐτοὶ πλίνθινον ὂν τὸ τεῖχος, καὶ τὰς κλίμακας ἐν κύκλῳ πάντη προσθέντες, αἱρῦσι κατακράτος τὴν πόλιν· καὶ ἀποθνήσκυσι μὲν ἐν τῇ καταλήψει τῶν Ἰνδῶν ἐς μυρίυς καὶ ἑπτακισχιλίυς· ἑάλωσαν δὲ ὑπὲρ τὰς ἑπτὰ μυριάδας, καὶ ἅρματα τριακόσια, καὶ ἱππεῖς πεντακόσιοι. Τῆς δὲ ξὺν Ἀλεξάνδρῳ στρατιᾶς ἀπέθανον μὲν ὀλίγον ἀποδέοντες τῶν ἑκατὸν ἐν τῇ πάσῃ πολιορκίᾳ. Τραυματίαι δὲ ὐ κατὰ τὸ πλῆθος τῶν νεκρῶν ἐγένοντο, ἀλλ᾽ ὑπὲρ τὺς χιλίυς καὶ διακοσίυς, καὶ ἐν τύτοις τῶν ἡγεμόνων ἄλλοι γε καὶ Λυσίμαχος ὁ σωματοΦύλαξ. Θάψας δὲ ὡς νόμος αὐτῷ τὺς τελευτήσαντας, Εὐμενῆ τὸν γραμματέα ἐκπέμπει ἐς τὰς δύο πόλεις τὰς ξυναΦεστώσας τοῖς Σαγγάλοις, δὺς αὐτῷ τῶν ἱππέων ἐς τριακοσίυς, Φράσοντας τοῖς ἔχυσι τὰς πόλεις τῶν γε Σαγγάλων τὴν ἅλωσιν, καὶ ὅτι αὐτοῖς ὐδὲν ἔσται χαλεπὸν ἐξ Ἀλεξάνδρυ, ὑπομένυσί γε καὶ δεχομένοις Φιλίως Ἀλέξανδρον· ὐδὲ γὰρ ὐδὲ ἄλλοις τισὶ γενέσθαι τῶν αὐτονόμων Ἰνδῶν, ὅσοι ἑκόντες σΦᾶς ἐνέδοσαν. Οἱ δὲ (ἤδη γὰρ ἐξήγγελτο αὐτοῖς κατὰ κράτος ἑαλωκότα πρὸς Ἀλεξάνδρυ τὰ Σάγγαλα) Φοβεροὶ γενόμενοι, ἔΦευγον ἀπολιπόντες τὰς πόλεις· καὶ Ἀλέξανδρος, ἐπειδὴ ἐξηγγέλθη αὐτῷ ἡ Φυγὴ, σπυδῇ ἐδίωκεν· ἀλλὰ οἱ πολλοὶ μὲν αὐτῶν ἔΦθασαν ἀποΦυγόντες (διὰ μακρῦ γὰρ ἡ δίωξις ἐγένετο) ὅσοι δὲ κατὰ τὴν ἀποχώρησιν ἀσθενείᾳ ὑπελείποντο, ὗτοι ἐγκαταληΦθέντες πρὸς τῆς στρατιᾶς ἀπέθανον ἐς πεντακοσίυς μάλιστα. Ὡς δ᾽ ἀπέγνω διώκειν τῦ πρόσω τὺς Φεύγοντας, ἐπανελθὼν ἐς τὰ Σάγγαλα, τὴν πόλιν μὲν κατέσκαψε· τὴν χώραν δὲ, τῶν Ἰνδῶν τοῖς πάλαι μὲν αὐτονόμοις, τότε δὲ ἑκυσίως προσχωρήσασι προσέθηκε· καὶ Πῶρον μὲν ξὺν τῇ δυνάμει τῇ ἀμΦ᾽ αὐτὸν ἐκπέμπει ἐπὶ τὰς πόλεις,

πόλεις, αἱ προσκεχωρήκεσαν, φρουρὰς εἰσάξοντα εἰς αὐτάς· αὐτὸς δὲ ξὺν τῇ στρατιᾷ ἐπὶ τὸν Ὕφασιν ποταμὸν προὐχώρει, ὡς καὶ τοὺς ἐπέκεινα Ἰνδοὺς καταστρέψαιτο. Οὐδ' ἐφαίνετο αὐτῷ πέρας τι τοῦ πολέμου, ἔς τε ὑπελείπετό τι πολέμιον.

Τὰ δὲ δὴ πέραν τοῦ Ὑφάσιος ποταμοῦ, εὐδαίμονά τε τὴν χώραν εἶναι ἐξηγγέλλετο, καὶ ἀνθρώπους ἀγαθοὺς μὲν γῆς ἐργάτας, γενναίους δὲ τὰ πολέμια, καὶ εἰς τὰ ἴδια δὲ σφῶν ἐν κόσμῳ πολιτεύοντας. Πρὸς γὰρ τῶν ἀρίστων ἄρχεσθαι τοὺς πολλοὺς, τοὺς δὲ οὐδὲν ἔξω τοῦ ἐπιεικοῦς ἐξηγεῖσθαι· πλῆθός τε ἐλεφάντων εἶναι τοῖς ταύτῃ ἀνθρώποις, πολύ τι ὑπὲρ τοὺς ἄλλους Ἰνδοὺς, καὶ μεγέθει μεγίστους τε καὶ ἀνδρείᾳ. Ταῦτα δ' ἐξαγγελλόμενα Ἀλέξανδρον μὲν παρώξυνεν ἐς ἐπιθυμίαν τοῦ πρόσω ἰέναι· οἱ δὲ Μακεδόνες ἐξέκαμνον ἤδη ταῖς γνώμαις, πόνους τε ἐκ πόνων καὶ κινδύνους ἐκ κινδύνων ἐπαναιρούμενον ὁρῶντες τὸν βασιλέα· ξύλλογοί τε ἐγίγνοντο κατὰ τὸ στρατόπεδον, τῶν μὲν τὰ σφέτερα ὀδυρομένων, ὅσοι ἐπιεικέστατοι· τῶν δὲ οὐκ ἀκολουθήσειν, οὐδ' ἢν ἄγῃ Ἀλέξανδρος, ἐπισχυριζομένων. Ταῦτα ὡς ἐπύθετο Ἀλέξανδρος, πρὶν καὶ προελθεῖν ἐπὶ μεῖζον τὴν ταραχὴν τοῖς στρατιώταις καὶ τὴν ἀθυμίαν, ξυγκαλέσας τοὺς ἡγεμόνας τῶν τάξεων, ἤλπιζε λόγοις πείθειν τὸν στρατόν. Ὡς λέγειν τετέλεκε, πολὺν μὲν χρόνον σιωπὴ ἦν, οὔτε ἀντιλέγειν τολμώντων πρὸς τὸν βασιλέα ἐκ τοῦ εὐθέος, οὔτε ξυγχωρεῖν ἐθελόντων. Ἐν δὲ τούτῳ πολλάκις μὲν Ἀλέξανδρος ἐκέλευε λέγειν τὸν βουλόμενον, εἰ δή τις τὰ ἐναντία τοῖς ὑπ' αὐτοῦ λεχθεῖσι γινώσκει· ἔμενε δὲ καὶ ὡς ἐπὶ πολὺ ἡ σιωπή. ὀψὲ δέ ποτε θαρσήσας Κοῖνος ὁ Πολεμοκράτους τὴν τοῦ στρατοῦ γνώμην ἀνέθηκεν. Ὡς ἐτέλεσε, θόρυβον γενέσθαι ἐκ τῶν παρόντων ἐπὶ τοῖς λόγοις· πολλοῖς δὲ δὴ καὶ δάκρυα προχυθέντα, ἔτι μᾶλλον δηλῶσαι τό, τε ἀκούσιον τῆς γνώμης ἐς τοὺς πρόσω κινδύνους, καὶ τὸ καθ' ἡδονὴν σφίσιν εἶναι τὴν ἀναχώρησιν. Ἀλέξανδρος δὲ, τότε μὲν ἀχθεσθεὶς τοῦ τε Κοίνου τῇ παῤῥησίᾳ, καὶ τῷ ὄκνῳ τῶν ἄλλων ἡγεμόνων, διέλυσε τὸν ξύλλογον· ἐς δὲ τὴν ὑστεραίαν ξυγκαλέσας αὖθις ξὺν ὀργῇ τοὺς αὐτοὺς, αὐτὸς μὲν ἰέναι ἔφη τὸ πρόσω, βιάσεσθαι δὲ οὐδένα ἄκοντα Μακεδόνων ξυνέπεσθαι·

cap. 25. cap. 27. cap. 28.

θαι· ἕξειν γὰρ τὰς ἀκολουθήσοντας τῷ βασιλεῖ σφῶν ἑκόντας· τοῖς δὲ καὶ ἀπιέναι ὄικαδε ἐθέλουσιν, ὑπάρχειν ἀπιέναι, καὶ ἐξαγγέλλειν τοῖς ὀικείοις, ὅτι τὸν βασιλέα σφῶν ἐν μέσοις τοῖς πολεμίοις ἐπανήκουσιν ἀπολιπόντες· ταῦτ' ἐιπόντα ἀπελθεῖν ἐς τὴν σκηνὴν, μηδέ τινα τῶν ἑταίρων προσέσθαι αὐτῆς τ' ἐκείνης τῆς ἡμέρας καὶ ἐς τὴν τρίτην ἔτι ἀπ' ἐκείνης· ὑπομένοντα, ἐι δή τις προτροπὴ ταῖς γνώμαις τῶν Μακεδόνων τε καὶ ξυμμάχων (ὄια δὴ ἐν ὄχλῳ στρατιωτῶν τὰ πολλὰ φιλεῖ γίγνεσθαι) ἐμπεσοῦσα, ἐυπειθεστέρους παρέξει αὐτούς. Ὡς δὲ σιγὴ ἂν πολλὴ ἦν ἀνὰ τὸ στρατόπεδον, καὶ ἀχθόμενοι μὲν τῇ ὀργῇ αὐτοῦ δῆλοι ἦσαν, οὐ μὴν μεταβαλλόμενοί γε ὑπ' αὐτῆς· ἐνταῦθα δὴ λέγει Πτολεμαῖος ὁ Λάγου, ὅτι ἐπὶ τῇ διαβάσει οὐδὲν μεῖον ἐθύετο, θυομένῳ δὲ οὐκ ἐγίγνετο αὐτῷ τὰ ἱερά· τότε δὴ τοὺς πρεσβυτάτους τε τῶν ἑταίρων, καὶ μάλιστα τοὺς ἐπιτηδείους αὐτῷ ξυναγαγὼν ὡς πάντα ἐς τὴν ὀπίσω ἀναχώρησιν αὐτῷ ἔφερε, ἐκφαίνει ἐς τὴν στρατιὰν, ὅτι ἔγνωσται ὀπίσω ἀποστρέφειν.

cap. 29. Ὁι δὲ ἐβόων τε ὄια ἂν ὄχλος ξυμμιγὴς χαίρων βοήσειε, καὶ ἐδάκρυον ὁι πολλοὶ αὐτῶν, ὁι δὲ, καὶ τῇ σκηνῇ τῇ βασιλικῇ πελάζοντες, ηὔχοντο Ἀλεξάνδρῳ πολλὰ καὶ ἀγαθὰ, ὅτι πρὸς σφῶν μόνων νικηθῆναι ἠνέσχετο. Ἔνθα δὴ διελὼν κατὰ τάξεις τὴν στρατιὰν, δώδεκα βωμοὺς κατασκευάζειν προστάττει· ὕψος μὲν, κατὰ τοὺς μεγίστους πύργους· εὖρος δὲ, μείζονας ἢ κατὰ πύργους· χαριστήρια τοῖς Θεοῖς τοῖς ἐς τοσόνδε ἀγαγοῦσιν αὐτὸν νικῶντα, καὶ μνημεῖα τῶν αὐτοῦ πόνων. Ὡς δὲ κατεσκευασμένοι αὐτῷ ὁι βωμοὶ ἦσαν, θύει δὴ ἐπ' αὐτῶν, ὡς νόμος· καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ ἱππικόν. Καὶ τὴν μὲν χώραν τὴν μέχρι τοῦ Ὑφάσιος ποταμοῦ Πώρῳ ἄρχειν προσέθηκεν, αὐτὸς δ' ἐπὶ τὸν Ὑδραώτην ἀνέστρεφε. Διαβὰς δὲ τὸν Ὑδραώτην, ἐπὶ τὸν Ἀκεσίνην αὖ ἐπανήει ὀπίσω. Καὶ ἐνταῦθα καταλαμβάνει τὴν πόλιν ἐξῳκοδομημένην, ἣν τῷ Ἡφαιστίων αὐτῷ ἐκτειχίσαι ἐτάχθη· καὶ ἐς ταύτην ξυνοικίσας τῶν τε προσχώρων ὅσοι ἐθελονταὶ κατῳκίζοντο, καὶ τῶν μισθοφόρων ὅ, τι περ ἀπόμαχον, αὐτὸς τὰ ἐπὶ τῷ κατάπλῳ παρεσκευάζετο τῷ ἐς τὴν μεγάλην θάλασσαν. Ἐν τούτῳ δ' ἀφίκοντο πρὸς αὐτὸν Ἀρσάκης τε ὁ τῆς ὁμόρου

ρυ Ἀβισάρῃ χώρας ὕπαρχος, καὶ ὁ ἀδελφὸς Ἀβισάρυ, καὶ οἱ ἄλλοι οἰκεῖοι, δῶρά τε κομίζοντες τὰ μέγιςα παρ' Ἰνδοῖς, καὶ τὺς παρ' Ἀβισάρῃ ἐλέφαντας, ἐς τριάκοντα τὸν ἀριθμόν· Ἀβισάρην γὰρ νόσῳ ἀδύνατον γενέθαι ἐλθεῖν. Ξυνέβαινον δὲ τύτοις καὶ οἱ παρ' Ἀλεξάνδρυ ἐκπεμφθέντες πρέσβεις πρὸς Ἀβισάρην. Καὶ ταῦτα ὐ χαλεπῶς πιςεύσας ὕτως ἔχειν, Ἀβισάρῃ γε τῆς αὐτῦ χώρας σατραπεύειν ἔδωκε, καὶ Ἀρσάκην τῇ Ἀβισάρυ ἐπικρατείᾳ προσέθηκε· καὶ φόρυς ὕς τινας ἀποίσυσι τάξας, θύει αὖ καὶ ἐν τῷ Ἀκεσίνῃ ποταμῷ· καὶ τὸν Ἀκεσίνην αὖ διαβὰς, ἐπὶ τὸν Ὑδάσπην ἧκεν, ἵνα καὶ τῶν πόλεων, τῆς γε Νικαίας καὶ τῶν Βυκεφάλων, ὅσα πρὸς τῶν ὄμβρων πεπονηκότα ἦν, ξὺν τῇ ςρατιᾷ ἐπεσκεύασε, καὶ τὰ ἄλλα τὰ κατὰ τὴν χώραν ἐκόσμει.

Ἀλέξανδρος δὲ, ἐπειδὴ παρεσκευάσθησαν αὐτῷ ἐπὶ τῦ Ὑδάσπυ ταῖς ὄχθαις πολλαὶ μὲν τριακόντοροι καὶ ἡμιόλιαι, πολλὰ δὲ καὶ ἱππαγωγὰ πλοῖα, καὶ ἄλλα ὅσα ἐς παρακομιδὴν ςρατιᾶς ποταμῷ εὔπορα, ἔγνω καταπλεῖν κατὰ τὸν Ὑδάσπην, ὡς ἐπὶ τὴν μεγάλην θάλασσαν. Αἱ δ' ὑπηρεσίαι αὐτῷ ἐς τὰς ναῦς ξυνεπληρώθησαν ἐκ τῶν ξυνεπομένων τῇ ςρατιᾷ Φοινίκων, καὶ Κυπρίων, καὶ Καρῶν, καὶ Αἰγυπτίων. Libr. VI. c. 1.

Ἐν δὲ τύτῳ Κοῖνος μὲν ἐν τοῖς πιςοτάτοις Ἀλεξάνδρῳ ὢν τῶν ἑταίρων, νόσῳ τελευτᾷ· καὶ τῦτον θάπτει ἐκ τῶν παρόντων μεγαλοπρεπῶς. Αὐτὸς δὲ ξυναγαγὼν τύς τε ἑταίρυς, καὶ ὅσοι Ἰνδῶν πρέσβεις παρ' αὐτὸν ἀφιγμένοι ἦσαν, βασιλέα μὲν τῆς ἑαλωκυίας ἤδη Ἰνδῶν γῆς ἀπέδειξε Πῶρον, ἑπτὰ μὲν ἐθνῶν τῶν ξυμπάντων, πόλεων δὲ ἐν τοῖς ἔθνεσιν ὑπὲρ τὰς δισχιλίας. Τὴν ςρατιὰν δὲ διένειμεν ὧδε· αὐτὸς μὲν τὺς ὑπασπιςάς γε ἅμα οἱ ξύμπαντας ἐπὶ τὰς ναῦς ἀνεβίβασε καὶ τὺς τοξότας καὶ τὺς Ἀγριάνας καὶ τὸ ἄγημα τῶν ἱππέων. Κρατερὸς δὲ αὐτῷ μοῖράν γε τῶν πεζῶν καὶ τῶν ἱππέων παρὰ τὴν ὄχθην τῦ Ὑδάσπυ τὴν ἐν δεξιᾷ ἦγε· κατὰ δὲ τὴν ἑτέραν ὄχθην, τὸ πλεῖςόν γε καὶ κράτιςον τῆς ςρατιᾶς καὶ τὺς ἐλέφαντας, Ἡφαιςίων προὐχώρει ἄγων, ἤδη ὄντας ἐς διακοσίυς· τύτοις δὲ ἦν παρηγγελμένον ὡς τάχιςα ἄγειν, ἵναπερ τὰ Σωπείθυ βασίλεια. Φιλίππῳ δὲ τῷ σατράπῃ cap. 2.

τῆς

τῆς ἐπέκεινα τȣ̃ Ἰνδȣ̃, ὡς ἐπὶ Βακτρίȣς, γῆς διαλιπόντ τρεῖς ἡμέρας, παρήγγελτο ἕπεσθαι ξὺν τοῖς ἀμφ' αὐτόν. Τȣ̀ς ἱππέας δὲ τȣ̀ς Νυσαίȣς ὀπίσω ἀποπέμπει ἐς τὴν Νῦσαν. Τȣ̃ μὲν δὴ ναυτικȣ̃ παντὸς Νέαρχος αὐτῷ ἐξηγεῖτο· τῆς δὲ αὐτȣ̃ νεὼς κυβερνήτης Ὀνησίκριτος, ὃς ἐν τῇ ξυγγραφῇ ἥν τινα ὑπὲρ Ἀλεξάνδρȣ ξυνέγραψε, καὶ τȣ̃το ἐψεύσατο, ναύαρχον ἑαυτὸν εἶναι γράψας, κυβερνήτην ὄντα. Ἦν δὲ τὸ ξύμπαν πλῆθος τῶν νεῶν, (ὡς λέγει Πτολεμαῖος ὁ Λάγȣ, ᾧ μάλιστα ἐγὼ ἕπομαι, τριακόντοροι μὲν ἐς ὀγδοήκοντα· τὰ δὲ πάντα πλοῖα σὺν τοῖς ἱππαγωγοῖς καὶ κερκȣ́ροις, καὶ ὅσα ἄλλα ποτάμια, ἢ τῶν πάλαι πλεόντων κατὰ τȣ̀ς ποταμȣ̀ς, ἢ ἐν τῷ τότε ποιηθέντων, οὐ πολὺ ἀποδέοντα τῶν δισχιλίων.

cap. 3. Ὡς δὲ ξύμπαντα αὐτῷ παρεσκεύαστο, ὑπὸ τὴν ἕω ὁ μὲν στρατὸς ἐπέβαινε τῶν νεῶν, αὐτὸς δὲ ἔθυε τοῖς θεοῖς ὡς νόμος, καὶ τῷ ποταμῷ τῷ Ὑδάσπῃ, ὅπως οἱ μάντεις ἐξηγȣ̃ντο· καὶ ἐπιβὰς τῆς νεὼς, ἀπὸ τῆς πρώρας ἐκ χρυσῆς φιάλης ἔσπενδεν ἐς τὸν ποταμὸν, τόν τ' Ἀκεσίνην ξυνεπικαλȣ́μενος τῷ Ὑδάσπῃ, ὅντινα μέγιστον τῶν ἄλλων ποταμῶν ξυμβάλλειν τῷ Ὑδάσπῃ ἐπέπυστο, καὶ ȣ̓ πόῤῥω αὐτῶν εἶναι τὰς ξυμβολάς· καὶ τὸν Ἰνδὸν, ἐς ὅντινα ὁ Ἀκεσίνης ξὺν τῷ Ὑδάσπῃ ἐμβάλλει. Ἐπεὶ δὲ Ἡρακλεῖ τε τῷ προπάτορι σπείσας, καὶ Ἄμμωνι καὶ τοῖς ἄλλοις θεοῖς ὅσοις αὐτῷ νόμος, σημῆναι ἐς ἀναγωγὴν κελεύει τῇ σάλπιγγι· ἅμα γε δὴ ἐσημάνθη, καὶ ἀνήγοντο ἐν κόσμῳ. Παρήγγελτο γὰρ ἐφ' ὅσον τε τὰ σκευοφόρα πλοῖα ἐχρῆν τετάχθαι, καὶ ἐφ' ὅσον τὰ ἱππαγωγὰ, ἐφ' ὅσον γε τὰς μαχίμȣς τῶν νεῶν, ὡς μὴ συμπίπτειν ἀλλήλαις κατὰ τὸν πόρον εἰκῇ πλεȣ́σας· καὶ ταῖς ταχυναυτȣ́σαις φθάνειν οὐκ ἐφίετο ἔξω τῆς τάξεως. Ἦν δε ὅ, γε κτύπος τῆς εἰρεσίας ȣ̓δενὶ ἄλλῳ ἐοικὼς, ἅτε ἀπὸ πολλῶν νεῶν ἐν ταὐτῷ ἐρεσσομένων, καὶ βοὴ ἀπό τε τῶν κελευστῶν, ἐνδιδόντων τὰς ἀρχάς τε καὶ ἀναπαύλας τῆς εἰρεσίας, καὶ τῶν ἐρετῶν ὁπότε ἀθρόοι ἐμπίπτοντες τῷ ῥοθίῳ ἐπαλαλάξειαν. αἵ γε ὄχθαι ὑψηλότεραι τῶν νεῶν πολλαχῆ ȣ̃σαι, ἐς στενόν τε τὴν βοὴν ξυνάγȣσαι, καὶ τῇ ξυναγωγῇ αὐτῇ ἐπὶ μέγα ηὐξημένην ἐς ἀλλήλας ἀντέπεμπον· καὶ πȣ καὶ νάπαι ἑκατέρωθεν τȣ̃ ποταμȣ̃ τῇ τ' ἐρημίᾳ καὶ τῇ ἀντιπέμψει τȣ̃ κτύπȣ

κτύπε καὶ ἄυται ξυνεπελάμβανον· ὅι τε ἵπποι διαφαινόμενοι διὰ τῶν ἱππαγωγῶν πλοίων (ἐ πρόσθεν ἵπποι ἐπὶ νεῶν ὀφθέντες ἐν τῇ Ἰνδῶν γῇ· καὶ γὰρ καὶ τὸν Διονύσε ἐπ' Ἰνδὲς ϛόλον ἐκ ἐμέμνηντο γενέϑαι ναυτικὸν) ἔκπληξιν παρεῖχον τοῖς θεωμένοις τῶν βαρβάρων, ὥς τε ὁι μὲν αὐτῶν αὐτόθεν τῇ ἀναγωγῇ παραγενόμενοι ἐπὶ πολὺ ἐφωμάρτεν. Ἐς ὅσες δὲ τῶν ἤδη Ἀλεξάνδρῳ προσκεχωρηκότων Ἰνδῶν ἡ βοὴ τῶν ἐρετῶν ἢ ὁ κτύπος τῆς ειρεσίας ἐξίκετο, καὶ ἔτοι ἐπὶ τῇ ὄχθῃ κατέθεον, καὶ ξυνείποντο ἐπᾴδοντες βαρβαρικῶς. Φιλῳδοὶ γὰρ, ἔιπερ τινὲς ἄλλοι, Ἰνδοὶ, καὶ φιλορχήμενες ἀπὸ Διονύσε ἔτι, καὶ τῶν ἅμα Διονύσῳ βακχευσάντων κατὰ τὴν Ἰνδῶν γῆν.

Ὄυτω δὴ πλέων, τρίτῃ γε ἡμέρᾳ κατέσχεν, ἵναπερ Ἡφαιςίωνί γε καὶ Κρατερῷ κατὰ τὸ αὐτὸ ϛρατοπεδεύειν ἐπὶ ταῖς ἀντιπέραν ὄχθαις παρήγγελτο. Μείνας ἐνταῦθα ἡμέρας δύο, ὡς καὶ Φίλιππος αὐτῷ ξὺν τῇ λοιπῇ ϛρατιᾷ ἀφίκετο, τἔτον μὲν ἐπὶ τὸν Ἀκεσίνην ποταμὸν ἐκπέμπει ξὺν ὅις ἔχων ἧκε, τάξας παρὰ τε Ἀκεσίνε ποταμε τὴν ὄχθην πορεύεϑαι· τὲς δ' ἀμφὶ Κρατερόν τε καὶ Ἡφαιςίωνα αὖθις ἐκπέμπει, παραγγείλας, ὅπως χρὴ τὴν πορείαν ποιεῖϑαι. Ἀυτὸς δ' ἔπλει κατὰ τὸν Ὑδάσπην ποταμὸν, ἐδαμε μείονα ἐν τῷ κατάπλῳ ἐικοσι ϛαδίων τὸ εὖρος. Προσορμιζόμενος δὲ ὅπῃ τύχοι ταῖς ὄχθαις, τὲς προσοικἔντας τῷ Ὑδάσπῃ Ἰνδῶν, τὲς μὲν ἐνδιδόντας σφᾶς ὁμολογίαις κατελάμβανεν· ἤδη δὲ τινας καὶ ἐς ἀλκὴν χωρήσαντας, βίᾳ κατεςρέψατο. Ἀυτὸς δ' ὡς ἐπὶ τὴν Μαλλῶν γε καὶ Ὀξυδράκων γῆν σπεύδων ἔπλει, πλείςες τε καὶ μαχιμωτάτες τῶν ταύτῃ Ἰνδῶν πυνθανόμενος· καὶ ὅτι ἐξηγγέλλοντο αὐτῷ παῖδας μὲν καὶ γυναῖκας ἀποτεθεῖϑαι ἐς τὰς ὀχυρωτάτας τῶν πόλεων, αὐτοὶ δὲ ἐγνωκέναι διὰ μάχης ἰέναι πρὸς αὐτόν· ἐφ' ὅτῳ δὴ καὶ σπεδῇ πλείονι ἐποιεῖτο τὸν πλἔν, ὅπως μὴ καθεςηκόσιν αὐτοῖς, ἀλλὰ ἐν τῷ ἐνδεεῖ γε ἔτι τῆς παρασκευῆς καὶ τεταραγμένοις προσφέρηται. cap. 4.

Ἐπὶ πολὺ δὲ αὐτῶν διαγωνισαμένων, πολλε γε ἐρρυέντος φόνε, ἀφίκονται παρ' Ἀλέξανδρον τῶν Μαλλῶν τῶν ὑπολειπομένων πρέσβεις, ἐνδιδόντες τὸ ἔθνος· παρὰ Ὀξυδρακῶν ὅι τε ἡγεμόνες τῶν πόλεων, καὶ ὅι cap. 14.

οἱ νομάρχαι αὐτοὶ, καὶ ἄλλοι ἅμα τούτοις ἑκατὸν κα[i] πεντήκοντα οἱ γνωριμώτατοι, αὐτοκράτορες περὶ σπονδῶν δῶρά γε ὅσα μέγιστα παρ' Ἰνδοῖς κομίζοντες, καὶ τὸ ἔθνος καὶ οὗτοι ἐνδιδόντες· συγγνωστὰ δὲ ἁμαρτεῖν ἔφασαν, οὐ πάλαι παρ' αὐτὸν πρεσβευσάμενοι· ἐπιθυμεῖν γὰρ, ὥσπερ τινὲς ἄλλοι, ἔτι μᾶλλον αὐτοὶ ἐλευθερίας τε καὶ αὐτόνομοι εἶναι, ἥν τινα ἐλευθερίαν ἐξότου Διόνυσος ἐς Ἰνδοὺς ἧκε, σώαν σφίσιν εἶναι ἐς Ἀλέξανδρον· εἰ δὲ καὶ Ἀλεξάνδρῳ δοκοῦν ἐστιν (ὅτι καὶ Ἀλέξανδρον ἀπὸ θεῶν γενέσθαι λόγος κατέχει) σατράπην γε ἀναδέξεσθαι, ὅντινα τάττοι Ἀλέξανδρος, καὶ φόρους ἀποίσειν, τοὺς Ἀλεξάνδρῳ δόξαντας· διδόναι δὲ καὶ ὁμήρους ἐθέλειν, ὅσους ἂν αἰτῇ Ἀλέξανδρος. Ὁ δὲ χιλίους ᾔτησε τοὺς κρατιστεύοντας τ[οῦ] ἔθνους· οὓς εἰ μὲν βούλοιτο, ἀντὶ ὁμήρων καθέξειν· εἰ δὲ μὴ, ξυστρατεύοντας ἕξειν, ἔς τ' ἂν διαπολεμηθῇ αὐτῷ πρὸς τοὺς ἄλλους Ἰνδούς. Οἱ δὲ τούς τε χιλίους ἔπεμψαν, τοὺς κρατίστους καὶ μεγίστους σφῶν ἐπιλεξάμενοι, καὶ ἅρματα πεντακόσια, οὐκ αἰτηθέντες, καὶ τοὺς ἀμβάτας τῶν ἁρμάτων. Ἀλέξανδρος δὲ σατράπην μὲν τούτοις γε καὶ τῶν Μαλλῶν τοῖς ἔτι σωζομένοις ἐπέταξε Φίλιππον· τοὺς ὁμήρους δὲ αὐτοῖς ἀφῆκε, τὰ δὲ ἅρματα ἔλαβεν. Ἐν τ[ῷ] κατὰ Μαλλῶν πολέμῳ Ἀλέξανδρος, βαλλόμενος καὶ αὐτὸς διὰ τοῦ θώρακος ἐς τὸ στῆθος τοξεύματι ὑπὲρ τὸν μαστὸν, ἐγγὺς ἦν ἤδη ὑπὸ τοῦ αἵματος ἐκλιπεῖν. Ὡς δὲ ταῦτα αὐτῷ κεκόμιστο, καὶ πλοῖα ἐπὶ τῇ διατριβῇ τῇ ἐκ τ[οῦ] τραύματος πολλὰ προσενεναυπήγητο, ἀναβιβάσας ἐς τὰ[ς] ναῦς τῶν μὲν ἑταίρων ἱππέων ἱππέας ἑπτακοσίους καὶ χιλίους, τῶν ψιλῶν δὲ ὅσουσπερ καὶ πρότερον, πεζοὺς δὲ ἐς μυρίους, ὀλίγου μέν τοι τῷ Ὑδραώτῃ ποταμῷ κατέπλευσε[ν]· ὡς δὲ συνέμιξεν ὁ Ὑδραώτης τῷ Ἀκεσίνῃ, ὅτι ὁ Ἀκεσίνης κρατεῖ τοῦ Ὑδραώτου τῇ ἐπωνυμίᾳ, κατὰ τὸν Ἀκεσίνην αὖ ἔπλει, ἔς τε ἐπὶ τὴν ξυμβολὴν τοῦ Ἀκεσίνου καὶ τοῦ Ἰνδοῦ ἧκε. Τέσσαρες γὰρ οὗτοι μεγάλοι ποταμοὶ, καὶ ναυσίποροι οἱ τέσσαρες, εἰς τὸν Ἰνδὸν ποταμὸν τὸ ὕδωρ ξυμβάλλουσιν, οὐ ξὺν τῇ σφετέρᾳ ἕκαστος ἐπωνυμίᾳ· ἀλλ[ὰ] ὁ Ὑδάσπης μὲν ἐς τὸν Ἀκεσίνην ἐμβάλλει· [ἐμβαλὼν δὲ τὸ πᾶν ὕδωρ Ἀκεσίνης παρέρχεται καλούμενον.] Αὖθις δ[ὲ] ὁ Ἀκεσίνης οὗτος ξυμβάλλει τῷ Ὑδραώτῃ, καὶ παραλα-

βὼν

ῶν τȣ̃τον, ἔτι Ἀκεσίνης ἐςί. καὶ τὸν Ὕφασιν ἐπὶ τȣ̃-
ῳ ὁ Ἀκεσίνης παραλαβὼν, τῷ αὐτῷ δὴ ὀνόματι ἐς τὸν
Ἰνδὸν ἐμβάλλει· ξυμβαλὼν δὲ, ξυγχωρεῖ δὴ τῷ Ἰνδῷ.
Ἔνθεν δὴ ὁ Ἰνδὸς, πρὶν ἐς τὸ Δέλτα σχισθῆναι, ἐκ ἀπιςῶ
τι καὶ ἐς ἑκατὸν ςαδίȣς ἔρχεται, καὶ ὑπὲρ τȣ̀ς ἑκατὸν
υχὸν, ἵναπερ λιμνάζει μᾶλλον.

Ἐνταῦθα ἐπὶ τῇ ξυμβολῇ τȣ̃ Ἀκεσίνȣ καὶ τȣ̃ Ἰνδȣ̃ cap. 15.
ροσέμενεν, ἔς τε ἀφίκετο αὐτῷ ξὺν τῇ ςρατιᾷ Περδίκ-
ας, καταςρεψάμενος ἐν παρόδῳ τὸ Ἀβαςανῶν ἔθνος αὐ-
όνομον. Ἐν τȣ́τῳ δὲ ἄλλαι γε προσγίγνονται Ἀλεξάν-
ρῳ τριακόντοροι, καὶ πλοῖα ςρογγύλα ἄλλα, ἃ δὴ ἐν Ξά-
ροις ἐναυπηγήθη αὐτῷ, οἳ δὴ ἄλλο ἔθνος Ἰνδῶν αὐτό-
ομον προσεχώρησαν. Καὶ παρὰ Ὀσσαδίων, καὶ τȣ́τȣ γέ-
ȣς αὐτονόμȣ Ἰνδικȣ̃, πρέσβεις ἧκον, ἐνδιδόντες καὶ ȣ̃τοι
ȣ̀ς Ὀσσαδίȣς. Φιλίππῳ μὲν δὴ τῆς σατραπείας ὅρȣς ἔτα-
ε τὰς συμβολὰς τȣ̃ γε Ἀκεσίνȣ καὶ Ἰνδȣ̃· καὶ ἀπολείπει
ὺν αὐτῷ τȣ́ς τε Θρᾶκας πάντας, καὶ ἐκ τῶν τάξεων ὅσοι
ς φυλακὴν τῆς χώρας ἱκανοὶ ἐφαίνοντο. Πόλιν τε ἐν-
κῦθα κτίσαι ἐκέλευσεν ἐπ' αὐτῇ ξυμβολῇ τοῖν ποταμοῖν,
λπίσας μεγάλην γε ἔσεσθαι καὶ ἐπιφανῆ ἐς ἀνθρώπȣς, καὶ
ωσοίκȣς ποιηθῆναι. Ἐν τȣ́τῳ δὲ καὶ Ὀξυάρτης ὁ Βακ-
ιος, ὁ Ῥοξάνης τῆς γυναικὸς Ἀλεξάνδρȣ πατὴρ, ἧκε
ιρ' Ἀλέξανδρον, καὶ προστίθησιν αὐτῷ Παραπαμισάδων
ατραπεύειν, ἀπαλλάξας Τιρυάσπην τὸν πρόσθεν σατρά-
ην, ὅτι ȣ̓κ ἐν κόσμῳ ἐξηγεῖσθαι αὐτῷ ὁ Τιρυάσπης ἐξήγ-
λτο. Ἔνθα δὴ διαβιβάσας Κρατερόν γε καὶ τῆς ςρα-
ȣ̃ς τὴν πολλὴν καὶ τȣ̀ς ἐλέφαντας ἐν ἀριςερᾷ τȣ̃ ποταμȣ̃,
ι εὐπορώτερά τε ταύτῃ τὰ παρὰ τὸν ποταμὸν ςρατιᾷ βα-
ίᾳ ἐφαίνετο, καὶ τὰ ἔθνη τὰ προσοικȣ̃ντα ȣ̓ πάντῃ φί-
κ ἦν, αὐτὸς κατέπλει ἐς τῶν Σόγδων τὸ βασίλειον· καὶ
ταῦθα πόλιν τε ἐτείχιζεν ἄλλην, καὶ νεωσοίκȣς ἐποίει
λȣς, καὶ τὰ πλοῖα αὐτῷ τὰ πεπονηκότα ἐπεσκευάσθη.
ῆς δὲ ἀπὸ τῶν ξυμβολῶν τȣ̃ τε Ἰνδȣ̃ καὶ Ἀκεσίνȣ χώ-
ς, ἔς γε ἐπὶ θάλασσαν, σατράπην ἀπέδειξεν Ὀξυάρτην
ὶ Πείθωνα, ξὺν τῇ παραλίᾳ πάσῃ τῆς Ἰνδῶν γῆς· καὶ
ατερὸν μὲν ἐκπέμπει αὖθις ξὺν τῇ ςρατιᾷ· [διὰ τῆς
ραχώτων καὶ Δράγγων γῆς] αὐτὸς δὲ κατέπλει ἐς τὴν
σικανȣ̃ ἐπικράτειαν, ἥν τινα εὐδαιμονεςάτην τῆς Ἰνδῶν
γῆς

γῆς εἶναι ἐξηγγέλλετο, ὅτι ὔπω ὔτε ἀπηντήκει αὐτῷ Μϑσικανὸς, ἐνδιδὺς αὐτόν τε καὶ τὴν χώραν, ὔτε πρέσβεις ἐπὶ Φιλίᾳ ἐκπέμπει, ὐδέ τι ὔτε αὐτὸς ἐπεπόμΦει, ἃ δὴ μεγάλῳ βασιλεῖ εἰκὸς, ὔτέ τι ᾐτήκει ἐξ Ἀλεξάνδρϑ. Καὶ γίγνεται αὐτῷ ὁ πλῦς κατὰ τὸν ποταμὸν ἐς τοσόνδε ἐσπϑδασμένος, ὥς τε ἔΦθη ἐπὶ τοῖς ὁρίοις γενέσθαι τῆς Μϑσικανῦ χώρας, πρὶν πυθέσθαι Μϑσικανὸν, ὅτι ὥρμηται ὡς ἐπ' αὐτὸν Ἀλέξανδρος. Οὕτω δὴ ἐκπλαγεὶς, κατὰ τάχος ἀπήντα Ἀλεξάνδρῳ, δῶρά τε τὰ πλεῖςϑ ἄξια τοῖς Ἰνδοῖς κομίζων, καὶ τὺς ἐλέΦαντας ξύμπαντας ἄγων, καὶ τὸ ἔθνος τε καὶ αὐτὸν ἐνδιδὺς, καὶ ὁμολογῶν ἀδικεῖν, ὅπερ μέγιςον παρ' Ἀλεξάνδρῳ ἦν ἐς τὸ τυχεῖν ὧν τις δέοιτο. Καὶ ὖν καὶ Μϑσικανῷ ἐπὶ τοῖσδε ἄδεια ἐδόθη ἐξ Ἀλεξάνδρϑ· καὶ τὴν πόλιν ἐθαύμασεν Ἀλέξανδρος καὶ τὴν χώραν, καὶ ἄρχειν αὐτῆς Μϑσικανῷ ἔδωκε. Κρατερὸς δὲ ἐν τῇ πόλει ἐτάχθη τὴν ἄκραν ἐκτειχίσαι· καὶ παρόντος ἔτι ἐτειχίσθη Ἀλεξάνδρϑ, καὶ Φυλακὴ κατεςάθη, ὅτι ἐπιτήδειον αὐτῷ ἐΦάνη τὸ χωρίον ἐς τὸ κατέχεσθαι τὰ κύκλῳ ἔθνη Φυλαττόμενα.

cap. 16. Ἔνθεν δὲ ἀναλαβὼν τύς τε τοξότας, καὶ τὺς Ἀγριᾶνας, καὶ τὴν ἵππον τὴν ἅμά οἱ πλεῦσαν, ἐξελαύνει ἐπὶ τὸν νομάρχην, τῆς ταύτῃ γῆς (ὄνομα δὲ ἦν Ὀξυκανὸς) ὅτι μήτε αὐτὸς ἀΦῖκτο, μήτε πρέσβεις παρ' αὐτῦ ἧκον ἐνδιδόντες αὐτόν τε καὶ τὴν χώραν. Δύο μὲν δὴ πόλεις τὰς μεγίςας τῶν ὑπὸ τῷ Ὀξυκανῷ ἐξ ἐΦόδϑ κατὰ κράτος ἔλαβεν· ἐν δὲ τῇ ἑτέρᾳ τύτων καὶ αὐτὸς Ὀξυκανὸς ἑάλω. Ὁ δὲ τὴν μὲν λείαν τῇ ςρατιᾷ δίδωσι, τὺς ἐλέΦαντας δὲ ἅμά οἱ ἦγε· καὶ ἄλλαι δὲ πόλεις αὐτῷ αἱ ἐν τῇ αὐτῇ χώρᾳ ἐνεδίδοντο ἐπιόντι, ὐδέ τις ἐτράπετο ἐς ἀλκήν· ὕτω καὶ Ἰνδοὶ πάντες ἐδεδύλωντο ἤδη τῇ γνώμῃ πρὸς Ἀλεξάνδρϑ τε καὶ τῆς Ἀλεξάνδρϑ τύχης.

cap. 17. ἈΦίκετο δὲ αὐτῷ καὶ ὁ τῶν Παττάλων τῆς χώρας ἄρχων (ὃ δὴ τὸ Δέλτα ἔΦην εἶναι τὸ πρὸς τῦ ποταμῦ τῦ Ἰνδῦ ποιύμενον, μεῖζον ἔτι τῦ Δέλτα τῦ Αἰγυπτίϑ) καὶ ὗτος τήν γε χώραν αὐτῦ ἐνεδίδϑ πᾶσαν, καὶ αὐτόν τε καὶ τὰ αὐτῦ ἐπέτρεψε. Τῦτον μὲν δὴ ἐπὶ τῇ αὐτῦ ἀρχῇ ἐκπέμπει αὖθις, παραγγείλας παρασκευάζειν ὅσα ἐς ὑποδοχὴν τῇ ςρατιᾷ· αὐτὸς δὲ Κρατερὸν μὲν, τήν τε Ἀττάλϑ τάξιν

τάξιν ἄγοντα καὶ τὴν Μελεάγρε καὶ Ἀντιγένες, καὶ τῶν
·οξοτῶν ἔςιν ὃς, καὶ τῶν ἑταίρων ⌉ε καὶ ἄλλων Μακεδό-
ιων ὅσες ἐς Μακεδονίαν ἀπομάχες ὄντας ἤδη ἔςελλε τὴν
π' Ἀραχώτων καὶ Δράγγων, ἔπεμπεν ἐς Καρμανίαν,
ιαὶ τὲς ἐλέφαντας τέτῳ ἄγειν ἔδωκε· τὴν δὲ ἄλλην ςρα-
ιὰν, ὅση γε μὴ ξὺν αὐτῷ κατέπλει ὡς ἐπὶ θάλασσαν,
Ηφαιςίων ἐπετάχθη. Πείθωνα δὲ τὲς τε ἱππακοντιςὰς
ἄγοντα καὶ τὲς Ἀγριάνας ἐς τὴν ἐπέκεινα ὄχθην τε Ἰνδε
ιαβιβάσας, ἐχ ἧπερ Ἡφαιςίων τὴν ςρατιὰν ἄγειν ἔμελ-
ε, τάς ⌉ε ἐκτετειχισμένας ἤδη πόλεις ξυνοικίσαι ἐκέλευσε·
αὶ ἐι δή τινα νεωτερίζοιτο πρὸς τῶν ταύτῃ Ἰνδῶν, καὶ
χῦτα ἐς κόσμον καταςήσαντα, ξυμβάλλειν οἱ ἐς τὰ Πάτ-
χλα. Περὶ δὲ τοῖς Παττάλοις σχίζεται τε Ἰνδε τὸ ὕδωρ cap. 18.
; δύο ποταμὲς μεγάλες· καὶ ἔτοι ἀμφότεροι σώζεσι τε
νδε τὸ ὄνομα, ἔς τε ἐπὶ τὴν θάλασσαν. Ἐνταῦθα ναύ-
κθμόν ⌉ε καὶ νεωσοίκες ἐποίει Ἀλέξανδρος. Ὡς δὲ cap. 19.
ρούκεχωρήκει αὐτῷ τὰ ἔργα, ὁ δὲ καταπλεῖν ἐπενόει ἔς
ἐπὶ τὴν ἐκβολὴν τε ἐν δεξιᾷ ῥέοντος ποταμε ἐς τὴν
άλασσαν· καὶ ὑπερβαλὼν τε Ἰνδε ποταμε τὰς ἐκβολὰς,
: τὸ πέλαγος ἀνέπλει, ὡς μὲν ἔλεγεν, ἀπιδεῖν, εἴπε τις
ώρα πλησίον ἀνίσχει ἐν τῷ πόντῳ· ἐμοὶ δὲ δοκεῖ, ἐχ
ιςα ὡς πεπλευκέναι τὴν μεγάλην τὴν ἔξω Ἰνδῶν θάλασ-
ιν. Ἐνταῦθα ταύρες ⌉ε σφάξας τῷ Ποσειδῶνι, ἀφῆ-
ν ἐς τὴν θάλασσαν· καὶ σπείσας ἐπὶ τῇ θυσίᾳ, τήν τε
ιάλην χρυσῆν ἔσαν, καὶ κρατῆρας χρυσὲς ἐνέβαλλεν ἐς
ν πόντον χαριςήρια· ἐυχόμενος σῶόν οἱ παραπέμψαι τὸν
ατὸν τὸν ναυτικόν, ὅντινα ξὺν Νεάρχῳ ἐπενόει ςέλλειν
ἐπὶ τὸν κόλπον τὸν Περσικὸν, καὶ τὰς ἐκβολὰς τε τε
υφράτε καὶ τε Τίγρητος.

Ἐπανελθὼν δὲ ὀπίσω ἐς τὰ Πάτταλα, τήν τε ἄκραν cap. 20.
τειχισμένην καταλαμβάνει, καὶ Πείθωνα ξὺν τῇ ςρα-
ᾷ ἀφιγμένον, καὶ τέτῳ ξύμπαντα καταπεπραγμένα ἐφ'
περ ἐςάλη. Ἡφαιςίων μὲν δὴ ἐτάχθη παρασκευάζειν
πρὸς τὸν ἐκτειχισμὸν τε ναυςάθμε καὶ τῶν νεωσοίκων
, κατάσκευήν· καὶ γὰρ καὶ ἐνταῦθα ἐπενόει ςόλον ὑπο-
πεσθαι νεῶν ἐκ ὀλίγων πρὸς τῇ πόλει τοῖς Παττάλοις,
περ ἐσχίζετο ὁ ποταμὸς ὁ Ἰνδός. Αὐτὸς δὲ κατὰ τὸ
ρον ςόμα τε Ἰνδε ποταμε κατέπλει αὖθις ἐς τὴν μέ-
γάλην

γάλην θάλασσαν, ὡς καταμαθεῖν, ὅπη εὐπορωτέρα ἡ ἐκβολὴ τοῦ Ἰνδοῦ ἐς πόντον γίνεται· ἀπέχει δὲ ἀλλήλων τὰ στόματα τοῦ ποταμοῦ τοῦ Ἰνδοῦ ἐς σταδίους μάλιστα ὀκτακοσίους καὶ χιλίους. Ἐν δὲ τῷ κατάπλῳ ἀφίκετο [τῆς ἐκβολῆς τοῦ ποταμοῦ] ἐς λίμνην μεγάλην, ἥν τινα ἀναχεόμενος ὁ ποταμὸς, τυχὸν δὲ καὶ ἐκ τῶν πέριξ ὑδάτων ἐμβαλόντων ἐς αὐτὴν, μεγάλην γε ποιεῖ καὶ κόλπῳ θαλάσσης μάλιστα ἐοικυῖαν· καὶ γὰρ καὶ ἰχθύες ἤδη ἐν αὐτῇ τῶν ἀπὸ θαλάσσης ἐφαίνοντο, μείζονες τῶν ἐν τῇ ἡμετέρᾳ θαλάσσῃ. Προσορμισθεὶς οὖν κατὰ τὴν λίμνην, ἵνα περ οἱ καθηγεμόνες ἐξηγοῦντο, τῶν μὲν στρατιωτῶν τοὺς πολλοὺς καταλείπει σὺν Λεοννάτῳ αὐτοῦ, καὶ τοὺς κερκούρους ξύμπαντας. Αὐτὸς δὲ ταῖς τριακοντόροις γε καὶ ἡμιολίαις ὑπερβαλὼν τὴν ἐκβολὴν τοῦ Ἰνδοῦ, καὶ προελθὼν καὶ ταύτῃ ἐς τὴν θάλασσαν, εὐπορωτέραν τε κατέμαθε τὴν ἐπὶ τάδε τοῦ Ἰνδοῦ ἐκβολήν. Καὶ αὐτὸς προσορμισθεὶς τῷ αἰγιαλῷ, καὶ τῶν ἱππέων τινὰς ἅμα οἱ ἔχων, παρὰ θάλασσαν ᾔει σταθμοὺς τρεῖς, τήν τε χώραν ὁποία τις ἐστὶν ἡ ἐν τῷ παράπλῳ ἐπισκεπτόμενος καὶ φρέατα ὀρύττεσθαι κελεύων, ὅπως ἔχοιεν ὑδρεύεσθαι οἱ πλέοντες, αὐτὸς μὲν δὴ ἐπανελθὼν ἐπὶ τὰς ναῦς, ἀνέπλει ἐς τὰ Πάτταλα· μέρος δέ τι τῆς στρατιᾶς τὰ αὐτὰ ταῦτα ἐργασομένους, κατὰ τὴν παραλίαν ἔπεμψε, ἐπανιέναι καὶ τούτοις προστάξας ἐς τὰ Πάτταλα. Αὖθις δὲ ὡς ἐπὶ τὴν λίμνην καταπλεύσας, ἄλλον ναύσταθμον καὶ ἄλλους νεωσοίκους ἐνταῦθα κατεσκεύασε, καὶ φυλακὴν καταλιπὼν τῷ χωρίῳ, σῖτόν γε ὅσον καὶ ἐς τέσσαρας μῆνας ἐξαρκέσαι τῇ στρατιᾷ ἐπηγάγετο, καὶ τἄλλα, ὅσα ἐν τῷ παράπλῳ παρεσκεύασεν.

cap. 21. Ἦν δὲ ἐν μὲν τῷ τότε ἄπορος ἡ ὥρα ἐς τὸν πλοῦν· οἱ γὰρ ἐτήσιοι ἄνεμοι κατεῖχον, οἳ δὴ τῇ ὥρᾳ ἐκείνῃ οὐ καθάπερ παρ' ἡμῖν ἀπ' ἄρκτου, ἀλλὰ ἀπὸ τῆς μεγάλης θαλάσσης κατὰ νότον μάλιστα ἄνεμον ἵστανται. Ἀπὸ δὲ τοῦ χειμῶνος, τὴν ἀρχὴν τὸ ἀπὸ Πλειάδων δύσεως ἔστε ἐπὶ τροπὰς, ἃς ἐν χειμῶνι ὁ ἥλιος ἐπιστρέφει, πλόϊμα εἶναι ταύτῃ ἐξηγγέλλετο. Τότε γὰρ κατὰ γῆν μᾶλλον, οἷα δὴ πολλῷ ὕδατι ἐξ οὐρανοῦ βεβρεγμένην, αὔρας ἵστασθαι μαλθακὰς, καὶ ἐς τὸν παράπλουν ταῖς γε κώπαις καὶ τοῖς ἱστίοις ξυμμέτρους. Νέαρχος μὲν δὴ ἐπιταχθεὶς τῷ ναυ-

ιῷ προσέμενε την ὥραν τȣ̃ παράπλȣ· αὐτὸς δὲ ἄρας ἐκ Παττάλων, ἔς τε μὲν ἐπὶ τὸν ποταμὸν τὸν Ἀράβιον ξὺν τῇ ςρατιᾷ πάσῃ προὐχώρει. Ἐκεῖθεν δὲ ἀναλαβὼν τῶν ὑπασπιςῶν τε καὶ τῶν τοξοτῶν τȣ̀ς ἡμίσεας καὶ τῶν πε-ζεταίρων καλȣμένων τὰς τάξεις καὶ τῆς ἵππȣ τῆς ἑται-ρικῆς τό, τε ἄγημα καὶ ἴλην ἀφ᾽ ἑκάςης ἱππαρχίας καὶ τȣ̀ς ἱπποτοξότας ξύμπαντας, ὡς ἐπί τὴν θάλασσαν ἐν ἀριςερᾷ ἐτράπετο, ὕδατά γε ὀρύσσειν, ὡς κατὰ τὸν πα-ράπλȣν ἄφθονα εἶναι τῇ ςρατιᾷ τῇ παραπλεȣ́σῃ, καὶ ἅ-μα ὡς τοῖς Ὠρείταις, τοῖς ταύτῃ Ἰνδοῖς αὐτονόμοις ἐκ πολλȣ̃ ȣ̓̃σιν, ἄφνω ἐπιπεσεῖν, ὅτι μηδὲν φίλιον αὐτοῖς ἐς αὐτόν γε καὶ τὴν ςρατιὰν ἐπέπρακτο· τῆς δὲ ὑπολει-φθείσης δυνάμεως Ἡφαιςίων αὐτῷ ἀφηγεῖτο· Ἀραβῖται μὲν δή, ἔθνος καὶ τȣ̃το αὐτόνομον τῶν περὶ τὸν Ἀρά-βιον ποταμὸν νεμομένων, ȣ̓́τε ἀξιόμαχοι δόξαντες εἶναι Ἀλεξάνδρῳ, ȣ̓́τε ὑποδῦναι ἐθελήσαντες, ὡς προσάγοντα ἐπύθοντο Ἀλέξανδρον, φεύγȣσιν ἐς τὴν ἔρημον. Ἀλέ-ξανδρος δὲ διαβὰς τὸν Ἀράβιον ποταμὸν, ςενὸν τε καὶ ὀλίγȣ ὕδατος, καὶ διελθὼν ἐν νυκτὶ τῆς ἐρήμȣ τὴν πολ-λὴν, ὑπὸ τῇ ἕω πρὸς τῇ οἰκȣμένῃ ἦν· καὶ τȣ̀ς μὲν πε-ζȣ̀ς ἐν τάξει ἐκέλευσεν ἕπεσθαι, τȣ̀ς δὲ ἱππέας ἀναλα-βὼν αὐτὸς, καὶ ἐς ἴλας κατανείμας, ὅπως ἐπιπλεῖςον τȣ̃ πεδίȣ ἐπέχοιεν, ἐπῄει τὴν χώραν τῶν Ὠρειτῶν. Ὅ-σοι μὲν δὴ ἐς ἀλκὴν ἐτράποντο αὐτῶν, κατεκόπησαν πρὸς τῶν ἱππέων· πολλοὶ δὲ καὶ ζῶντες ἑάλωσαν. Ὁ δὲ, τότε μὲν κατεςρατοπέδευσε πρὸς ȣ̓ πολλῷ ὕδατι, ὡς δὲ καὶ οἱ περὶ Ἡφαιςίωνα αὐτῷ ὁμȣ̃ ἤδη ἦσαν, προὐχώρει ἐς τὸ πρόσω. Ἀφικόμενος δὲ ἐς κώμην, ἥπερ ἦν μεγί-ςη τȣ̃ ἔθνȣς τȣ̃ Ὀρειτῶν (Ῥαμβακία ἐκαλεῖτο ἡ κώμη) τόν τε χῶρον ἐπῄνεσε, καὶ ἐδόκει ἂν αὐτῷ πόλις ξυνοι-κισθεῖσα, μεγάλη καὶ εὐδαίμων γενέσθαι. Ἡφαιςίωνα μὲν δὴ ἐπὶ τȣ́τοις ὑπελείπετο.

Αὐτὸς δὲ ἀναλαβὼν αὖθις τῶν ὑπασπιςῶν καὶ τῶν Ἀγριάνων τȣ̀ς ἡμίσεας καὶ τὸ ἄγημα τῶν ἱππέων καὶ τȣ̀ς ἱπποτοξότας, προῄει ὡς ἐπὶ τὰ ὅρια τῶν γε Γαδρω-σῶν καὶ Ὠρειτῶν, ἵναπερ ςενή τε ἡ πάροδος αὐτῷ εἶ-ναι ἐξηγγέλλετο, καὶ Ὠρεῖται τοῖς Γαδρωσοῖς ξυντεταγ-μένοι πρὸ τῶν ςενωπῶν ςρατοπεδεύειν, ὡς εἴρξοντες τῆς cap. 22.
παρό-

παρὰ δὲ Ἀλέξανδρον· καὶ ἦσαν μὲν ταύτῃ τεταγμένοι. Ὡς δὲ προσάγων ἤδη ἐξηγγέλλετο, οἱ μὲν πολλοὶ ἔφυγον ἐκ τῶν στενῶν, λιπόντες τὴν φυλακήν· οἱ δὲ ἡγεμόνες τῶν Ὠρειτῶν ἀφίκοντο παρ' αὐτὸν, σφᾶς γε αὐτοὺς καὶ τὸ ἔθνος ἐνδιδόντες. Τούτοις μὲν δὴ προστάττει, ξυγκαλέσαντας τὸ πλῆθος τῶν Ὠρειτῶν, πέμπειν ἐπὶ τὰ σφέτερα ἤθη, ὡς δεινὸν οὐδὲν πεισομένους· σατράπην δὲ καὶ τούτοις ἐπιτάσσει Ἀπολλοφάνην, καὶ ξὺν τούτῳ ἀπολείπει Λεοννάτον τὸν σωματοφύλακα ἐν Ὤροις, σχόντα τούς τε Ἀγριάνας ξύμπαντας καὶ τῶν τοξοτῶν ἔστιν οὓς καὶ τῶν ἱππέων καὶ ἄλλους πεζούς τε καὶ ἱππέας Ἕλληνας μισθοφόρους· καὶ τό, γε ναυτικὸν ὑπομένειν, ἔς τ' ἂν περιπλεύσῃ τὴν χώραν, καὶ τὴν πόλιν ξυνοικίζειν, καὶ τὰ κατὰ τοὺς Ὠρείτας κοσμεῖν, ὅπως μᾶλλόν τι προσέχοιεν τῷ σατράπῃ τὸν νοῦν. Αὐτὸς δὲ ξὺν τῇ στρατιᾷ τῇ πολλῇ (καὶ γὰρ καὶ Ἡφαιστίων ἀφίκετο ἄγων αὐτῷ τοὺς ὑπολειφθέντας) προὐχώρει ὡς ἐπὶ Γαδρωσοὺς, ἔρημον τὴν
cap. 24. πολλήν. Καὶ λέγουσιν οἱ πολλοὶ τῶν ξυγγραψάντων τὰ ἀμφ' Ἀλέξανδρον, οὐδὲ τὰ ξύμπαντα ὅσα ἐταλαιπώρησεν αὐτῷ κατὰ τὴν Ἀσίαν ἡ στρατιὰ, ξυμβληθῆναι ἄξια εἶναι τοῖς τῇδε πονηθεῖσι πόνοις· οὐ μὴν ἀγνοήσαντα Ἀλέξανδρον τῆς ὁδοῦ τὴν χαλεπότητα, ταύτῃ ἐλθεῖν (τοῦτο μὲν μόνος Νέαρχος λέγει ὧδε) ἀλλὰ ἀκούσαντα γὰρ, ὅτι οὔπω τὶς πρόσθεν διελθὼν ταύτῃ ξὺν στρατιᾷ ἀπεσώθη, ὅτι μὴ Σεμίραμις [ἐξ Ἰνδῶν ἔφυγε]· καὶ ταύτην δὲ ἔλεγον οἱ ἐπιχώριοι ξὺν εἴκοσι μόνοις τῆς στρατιᾶς ἀποσωθῆναι. Κῦρον δὲ τὸν Καμβύσου, ξὺν ἑπτὰ μόνοις καὶ τοῦτον. Ἐλθεῖν γὰρ δὴ καὶ Κῦρον ἐς τοὺς χώρους τούτους ὡς ἐμβαλοῦντα ἐς τὴν Ἰνδῶν γῆν, φθάσαι δὲ, ὑπὸ τῆς ἐρημίας τε καὶ ἀπορίας τῆς ὁδοῦ ταύτης, ἀπολέσαντα τὴν πολλὴν τῆς στρατιᾶς· καὶ ταῦτα Ἀλεξάνδρῳ ἐξαγγελλόμενα, ἔριν ἐμβαλεῖν πρὸς Κῦρον καὶ Σεμίραμιν. Τούτων γε οὖν ἕνεκα, καὶ ἅμα ὡς τῷ ναυτικῷ ἐγγύθεν ἐκπορίζεσθαι τὰ ἀναγκαῖα, λέγει Νέαρχος ταύτην τραπῆναι Ἀλέξανδρον· τό, τε οὖν καῦμα ἐπιφλέγον, καὶ τοῦ ὕδατος τὴν ἀπορίαν πολλὴν τῆς στρατιᾶς διαφθεῖραι, καὶ μάλιστα δὴ τὰ ὑποζύγια· ταῦτα μὲν δὴ πρὸς τοῦ βάθους τε τῆς ψάμμου καὶ τῆς θέρμης, ὅτι κεκαυμένη ἦν, τὰ

πολλὰ

πολλὰ δὲ καὶ δίψῃ ἀπόλλυσθαι· καὶ γὰρ καὶ γηλόφοις ἐπιτυγχάνειν ὑψηλοῖς, ψάμμου βαθείας οὐ νενησμένης, ἀλλ' οἵας δέχεσθαι, καθάπερ ἐς πηλὸν ἢ ἔτι μᾶλλον ἐς χιόνα ἀπάτητον ἐπιβαίνοντας· καὶ ἅμα ἐν ταῖς προσβά-σεσί τε καὶ καταβαίνοντας τούς τε ἵππους καὶ τοὺς ἡμιό-ους, ἔτι μᾶλλον κακοπαθεῖν τῷ ἀνωμάλῳ τῆς ὁδοῦ, καὶ ἅμα ἀβεβαίῳ· τῶν δὲ σταθμῶν τὰ μήκη πιέσαι οὐχ ἥκιστα ῆν στρατιάν· ἀπορία γὰρ ὕδατος οὐ ξύμμετρος οὖσα μᾶλ-όν τι ἦγε πρὸς ἀνάγκην τὰς πορείας ποιεῖσθαι. Ὁπότε ὲν δὴ τῆς νυκτὸς ἐπελθόντες τὴν ὁδὸν, ἥν τινα ἀνύσαι χρῆν, ἕωθεν πρὸς ὕδωρ ἔλθοιεν, οὐ πάντη ἐταλαιπωροῦν-ο· προχωρούσης δὲ τῆς ἡμέρας, ὑπὸ μήκους τῆς ὁδοῦ, εἰ δοιποροῦντες ἔτι ἐγκαταληφθεῖεν, ἐνταῦθα ἂν ἐταλαιπώ-ουν πρὸς τοῦ καύματός τε καὶ ἅμα δίψει ἀπαύστῳ ἐχόμενοι.

Τῶν δὲ δὴ ὑποζυγίων πολὺς ὁ φθόρος καὶ ἑκούσιος cap. 25. ῇ στρατιᾷ ἐγίγνετο· ξυνιόντες γὰρ, ὁπότε ἐπιλείποι σφᾶς ὰ σιτία, καὶ τῶν ἵππων τοὺς πολλοὺς ἀποσφάζοντες, καὶ ῶν ἡμιόνων τὰ κρέα ἐσιτοῦντο, καὶ ἔλεγον δίψει ἀποθα-εῖν αὐτοὺς ἢ ὑπὸ καμάτου ἐκλιπόντας· καὶ ὁ τὴν ἀτρέκειαν οῦ ἔργου ἐξελέγξων, ὑπό τε τοῦ πόνου οὐδεὶς ἦν, καὶ ὅτι ύμπαντες τὰ αὐτὰ ἡμάρτανον· καὶ Ἀλέξανδρον μὲν οὐκ ελήθει τὰ γιγνόμενα, ἴασιν δὲ τῶν παρόντων ἑώρα, τὴν ῆς ἀγνοίας προσποίησιν μᾶλλόν τι, ἢ τὴν ὡς γιγνωσκο-ένων ἐπιχώρησιν. Οὔκουν οὐδὲ τοὺς νόσῳ κάμνοντας τῆς ατιᾶς, οὐδὲ τοὺς διὰ κάματον ὑπολειπομένους ἐν ταῖς ὁδοῖς, γειν ἔτι ἦν εὐμαρῶς, ἀπορίᾳ τε τῶν ὑποζυγίων, καὶ ὅτι ὰς ἁμάξας αὐτοὶ κατέκοπτον, ἀπόρους οὔσας αὐτοῖς ὑπὸ άθους τῆς ψάμμου ἄγεσθαι· καὶ ὅτι ἐν τοῖς πρώτοις σταθ-οῖς διὰ ταῦτα ἐξηναγκάζοντο οὐ τὰς βραχυτάτας ἰέναι τῶν ῶν, ἀλλὰ τὰς εὐπορωτάτας τοῖς ζεύγεσι· καὶ οὕτως οἱ ν νόσῳ κατὰ τὰς ὁδοὺς ὑπελείποντο, οἱ δὲ ὑπὸ καμάτου καύματος, ἢ τῷ δίψει οὐκ ἀντέχοντες· καὶ οὔτε οἱ ἄξον-ς ἦσαν, οὔτε οἱ μένοντας θεραπεύσοντες· σπουδῇ γὰρ πολ-ἐγίγνετο ὁ στόλος, καὶ ἐν τῷ ὑπὲρ τοῦ παντὸς προθύ-, τὸ καθ' ἑκάστους ξὺν ἀνάγκῃ ἠμελεῖτο· οἱ δὲ καὶ ὕπ-κάτοχοι κατὰ τὰς ὁδοὺς γενόμενοι, οἷα δὴ νυκτὸς τὸ λὺ τῆς πορείας ποιούμενοι, ἔπειτα ἐξαναστάντες, οἷς μὲν ναμις ἔτι ἦν, κατὰ τὰ ἴχνη τῆς στρατιᾶς ἐφομαρτήσαν-

τες, ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν· οἱ πολλοὶ δὲ, ὥσπερ ἐν πελάγει ἐκπεσόντες, τῇ ψάμμῳ ἀπώλοντο. Ξυνηνέχθη δὲ τῇ στρατιᾷ καὶ ἄλλο πάθημα, ὃ δὴ οὐχ ἥκιστα ἐπίεσεν αὐτούς τε καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια. Ὕεται γὰρ ἡ Γαδρωσίων γῆ ὑπ' ἀνέμων τῶν ἐτησίων, καθάπερ οὖν καὶ ἡ Ἰνδῶν γῆ, οὐ τὰ πεδία τῶν Γαδρωσίων, ἀλλὰ τὰ ὄρη, ἵναπερ προσφέρονταί τε αἱ νεφέλαι ὑπὸ τοῦ πνεύματος, καὶ ἀναχέονται, οὐχ ὑπερβάλλουσαι τῶν ὀρῶν τὰς κορυφάς. Ὡς δὲ ηὐλίσθη ἡ στρατιὰ πρὸς χειμάρρῳ ὀλίγου ὕδατος, αὐτοῦ δὴ ἕνεκα τοῦ ὕδατος, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς, ἐμπλησθεὶς ὑπὸ τῶν ὄμβρων ὁ χείμαρρος ὁ ταύτῃ ῥέων, ἀφανῶν τῇ στρατιᾷ γεγενημένων τῶν ὄμβρων, τοσοῦτον ἐπῆλθε τῷ ὕδατι, ὡς γύναια καὶ παιδάρια τὰ πολλὰ τῶν ἑπομένων τῇ στρατιᾷ διαφθεῖραι, καὶ τὴν κατασκευὴν τὴν βασιλικὴν ξύμπασαν ἀφανίσαι, καὶ τῶν ὑποζυγίων ὅσα ἀπελείπετο· αὐτοὺς δὲ μόλις καὶ χαλεπῶς ξὺν τοῖς ὅπλοις, οὐδὲ τούτοις πᾶσιν, ἀποσωθῆναι· οἱ πολλοὶ δὲ καὶ πίνοντες, ὁπότε ἐκ καύματός τε καὶ δίψους ὕδατι ἀθρόῳ ἐπιτύχοιεν, πρὸς αὐτοῦ τοῦ ἀπαύστου ποτοῦ ἀπώλοντο. Καὶ τούτου ἕνεκα Ἀλέξανδρος τὰς στρατοπεδείας οὐ πρὸς τοῖς ὕδασιν αὐτοῖς τὸ πολὺ ἐποιεῖτο, ἀλλὰ ἀπέχων ὅσον εἴκοσι σταδίους μάλιστα, ὡς μὴ ἀθρόους ἐμπίπτοντας τῷ ὕδατι, αὐτούς τε καὶ τὰ κτήνη ἀπόλλυσθαι· καὶ ἅμα τοὺς μάλιστα ἀκράτορας σφῶν ἐπεμβαίνοντας ἐς τὰς πηγὰς, ἢ τὰ ῥεύματα, διαφθείρειν καὶ τῇ ἄλλῃ στρατιᾷ τὸ ὕδωρ.

cap. 26. Ἔνθεν δὴ ἔργον καλὸν, εἴπερ τι ἄλλο τῶν Ἀλεξάνδρου, οὐκ ἔδοξέ μοι ἀφανίσαι, ἢ ἐν τῇδε τῇ χώρᾳ πραχθὲν, ἢ ἔτι ἔμπροσθεν ἐν Παραπαμισάδαις, ὥς μετεξέτεροι ἀνέγραψαν· ἰέναι μὲν τὴν στρατιὰν διὰ ψάμμου τε καὶ τοῦ καύματος ἤδη ἐπιφλέγοντος, ὅτι πρὸς ὕδωρ ἐχρῆν ἐξανύσαι (τὸ δὲ ἦν πρόσθεν τῆς ὁδοῦ) καὶ αὐτόν τε Ἀλέξανδρον δίψει κατεχόμενον, μόλις μὲν καὶ χαλεπῶς, πεζὸν δὲ ὅμως ἡγεῖσθαι· ὥς τε καὶ τοὺς ἄλλους στρατιώτας (ὅσπερ φιλεῖ ἐν τῷ τοιῷδε) κουφοτέρως φέρειν τοὺς πόνους ἐν ἰσότητι τῆς ταλαιπωρήσεως· ἐν δὲ τούτῳ τῶν ψιλῶν τινὰς, κατὰ ζήτησιν ὕδατος ἀποτραπέντας ἀπὸ τῆς στρατιᾶς, εὑρεῖν ὕδωρ συλλελεγμένον ἔν τινι χαράδρᾳ οὐ βαθείᾳ, ὀλίγην καὶ φαύλην πίδακα· καὶ τοῦτο οὐ χαλεπῶς

συλλ-

ϛυλλέξαντας σπȣδῇ ἰέναι παρ' Ἀλέξανδρον, ὡς μέγα δή ·ι ἀγαθὸν φέροντας· ὡς δὲ ἐπέλαζον ἤδη, ἐμβαλόντας ἐς ιράνας τὸ ὕδωρ προσενεγκεῖν τῷ βασιλεῖ. Τὸν δὲ λαβεῖν ιὲν, καὶ ἐπαινέσαι τȣς κομίσαντας· λαβόντα δὲ, ἐν ὄψει ϖάντων ἐκχέαι· καὶ ἐπὶ τῷδε τῷ ἔργῳ ἐς τοσόνδε ἐπιῤῥω-θῆναι τὴν ϛρατιὰν ξύμπασαν, ὥς τε εἰκάσαι ἄν τινα πό-ον γενέϑαι πᾶσιν ἐκεῖνο τὸ ὕδωρ πρὸς Ἀλεξάνδρȣ ἐκχυ-θέν. Τȣ̃το ἐγὼ, εἴπέρ τι ἄλλο, τὸ ἔργον εἰς καρτερίαν ·ε καὶ ἅμα ϛρατηγίαν ἐπαινῶ Ἀλεξάνδρȣ. Ξυνηνέχθη δέ ι καὶ τοιόνδε τῇ ϛρατιᾷ ἐν τῇ γῇ ἐκείνῃ. Οἱ γὰρ ἡγε-ιόνες τῆς ὁδȣ̃ τελευτῶντες ȣ̓κέτι μεμνῆσθαι ἔφασκον τὴν δὸν, ἀλλ' ἀφανισθῆναι τὰ σημεῖα αὐτῆς πρὸς τȣ̃ ἀνέμȣ πιπνεύσαντος· καὶ ȣ̓ γὰρ εἶναι ἐν τῇ ψάμμῳ πολλῇ τε αὶ ὁμοίᾳ πάντῃ νενημένῃ, ὅτῳ τεκμηριώσονται τὴν ὁδόν· τ' ȣ̃ν δένδρα ξυνήθη παρ' αὐτὴν πεφυκότα, ȣ̃τε τινὰ ήλοφον βέβαιον ἀνεϛηκότα, ȣ̓δὲ πρὸς τὰ ἄϛρα ἐν νυκτὶ μεθ' ἡμέραν πρὸς τὸν ἥλιον μεμελετῆσθαι σφίσι τὰς πο-ιας, καθάπερ τοῖς ναύταις πρὸς τῶν ἄρκτων· τὴν μὲν οίνιξι τὴν ὀλίγην· τὴν δὲ τοῖς ἄλλοις ἀνθρώποις τὴν μεί-ονα. Ἔνθα δὴ Ἀλέξανδρον συνιέντα, ὅτι ἐν ἀριϛερᾷ ϛοκλίναντα ἄγειν, ἀναλαβόντα ὀλίγȣς ἅμά οἱ ἱππέας· ὡς καὶ τȣ́των οἱ ἵπποι ἐξέκαμνον ὑπὸ τȣ̃ καύματος, ἀπο-πεῖν καὶ τȣ́των τȣ̀ς πολλȣ̀ς· αὐτὸν δὲ ξὺν πέντε τοῖς ἰσιν ἀφιππάσασθαι, καὶ εὑρεῖν τὴν θάλασσαν· διαμησά-νόν τε αὐτὸν ἐπὶ τȣ̃ αἰγιαλȣ̃ τὸν κάχληκα, καὶ ἐπιτυ-εῖν ὕδατι γλυκεῖ καὶ καθαρῷ, καὶ ȣ̃τω μετελθεῖν τὴν ατιὰν πᾶσαν, καὶ ἐν ἑπτὰ ἡμέραις ἰέναι παρὰ τὴν θά-σσαν ὑδρευομένȣς ἐκ τῆς ἠϊόνος. Ἔνθεν δὲ (ἤδη γὰρ γιγνώσκειν τὴν ὁδὸν τȣ̀ς ἡγεμόνας) ἐπὶ τῆς μεσογαίας ιεῖσθαι τὸν ϛόλον.

Ὡς δὲ ἀφίκετο ἐς τῶν Γαδρωσίων τὰ βασίλεια, ἀνα-υει ἐνθαῦτα τὴν ϛρατιάν. ἔπειτα ἐπὶ Καρμανίας προ-ώρει ὁ βασιλεύς. ἤδη δ' αὐτȣ̃ ἐς Καρμανίαν ἥκοντος, ατερὸς ἀφικνεῖται, τήν τε ἄλλην ϛρατιὰν ἅμά οἱ ἄγων τȣ̀ς ἐλέφαντας. Οἱ δὲ ξὺν Στασάνορι, τῷ Ἀρείων ϛράπῃ καὶ Φραταφέρνῃ, τȣ̃ Παρθυαίων καὶ Ὑρκανίων ϛράπȣ υἱῷ, πλῆθός τε ὑποζυγίων παρ' Ἀλέξανδρον ἄγον-ῆλθον, καὶ καμήλȣς πολλὰς, ὡς ἔμαθον, ὅτι τὴν cap. 27.

 ἐπὶ

ἐπὶ Γαδρωσίων ἄγει, εἰκάσαντες, ὅτι τὰ αὐτὰ ἐκεῖνα πείσεται αὐτῷ ἡ στρατιὰ, ἃ ἤδη ἔπαθε. Καὶ οὖν καὶ ἐν καιρῷ μὲν οὗτοι ἀφίκοντο, ἐν καιρῷ δὲ οἱ κάμηλοί τε καὶ τὰ ὑποζύγια· διένειμε γὰρ ξύμπαντα Ἀλέξανδρος, τοῖς μὲν ἡγεμόσι κατ' ἄνδρα, τοῖς δὲ κατ' ἴλας τε καὶ ἑκατοστύας, τοῖς δὲ κατὰ λόχους, ὅπως τὸ πλῆθος τῶν ὑποζυγίων τε καὶ καμήλων αὐτῷ ξυνέβαινεν.

cap. 28. Ἐν τούτῳ δὲ καὶ Νέαρχος περιπλεύσας τὴν Ὠρειτῶν τε καὶ Γαδρωσίων γῆν καὶ τῶν Ἰχθυοφάγων, κατῆρεν ἐς τῆς Καρμανίας τὰ πρὸς θάλασσαν ᾠκισμένα· ἔνθεν δὲ ἀνελθὼν σὺν ὀλίγοις, Ἀλεξάνδρῳ ἀπήγγειλε τὰ ἀμφὶ τὸν περίπλουν τὸν γενόμενον αὐτῷ κατὰ τὴν ἔξω θάλασσαν. Τοῦτον μὲν δὴ καταπέμπει αὖθις, ἐκπεριπλεύσοντα ἔς τ' ἐπὶ τὴν Σουσιανῶν τε γῆν καὶ τοῦ Τίγρητος ποταμοῦ τὰς ἐκβολάς. Ἀλέξανδρος δὲ Ἡφαιστίωνα μὲν σύν τε τῇ πλείστῃ μοίρᾳ τῆς στρατιᾶς καὶ τοῖς ὑποζυγίοις, καὶ τοὺς ἐλέφαντας ἅμα οἱ ἔχοντα, τὴν παρὰ θάλασσαν ἀπὸ τῆς Καρμανίας ὡς ἐπὶ τὴν Περσίδα ἄγειν ἐκέλευσεν. ὅτι χειμῶνος ὥρᾳ γιγνομένου αὐτῷ τοῦ στόλου, τὰ πρὸς τῇ θαλάσσῃ Περσίδος ἀλεεινά τε ἦν, καὶ τῶν ἐπιτηδείων ἀφθόνως ἔχοντα.

cap. 29. Αὐτὸς δὲ ξὺν τοῖς κουφοτάτοις τῶν πεζῶν, καὶ ξὺν τοῖς ἑταίροις τῶν ἱππέων, καὶ μέρει τινὶ τῶν τοξοτῶν, ᾔει τὴν ἐπὶ Πασαργάδας τῆς Περσίδος. Στασάνορα δὲ καταπέμπει ἐπὶ τὴν ἀρχὴν τὴν ἑαυτοῦ.

Appianus. Syriac. cap. 5. Μετ' Ἀλέξανδρον ἀπὸ Φρυγίας ἐπὶ ποταμὸν Ἰνδὸν ἄνω πάντα Σελεύκῳ κατήκουε. καὶ τὸν Ἰνδὸν περάσας, ἐπολέμησεν Ἀνδροκόττῳ, βασιλεῖ τῶν περὶ αὐτὸν Ἰνδῶν, μέχρι φιλίαν αὐτῷ καὶ κῆδος συνέθετο.

Plutarchus in Alexandro. Ἔπειτα Ἀνδροκοττος Σελεύκῳ πεντακοσίους ἐλέφαντας ἐδωρήσατο καὶ στρατοῦ μυριάσιν ἑξήκοντα τὴν Ἰνδικὴν ἐπῆλθεν ἅπασαν καταστρεφόμενος.

Strabo lib. II. Τότε ἐπέμφθη εἰς τὰ Παλίμβροτα ὁ μὲν Μεγασθένης πρὸς Ἀνδρόκοττον, ὁ δὲ Δηΐμαχος πρὸς Ἀλλιτροχάδην τὸν ἐκείνου υἱὸν κατὰ πρεσβείαν. ὑπομνήματα μὲν τῆς ἀποδημίας κατέλιπον, ἀπιστεῖν δ' ἄξια.

206 ante Christ. *Polybius* XI, 34. Ἀντίοχος, ὁ ἐπικληθεὶς Μέγας, ὑπερβαλὼν τὸν Καύκασον, καὶ κατάρας εἰς τὴν Ἰνδικὴν, τήν τε φιλίαν ἀνενεώσατο τὴν πρὸς τὸν Σοφαγασῆνον, τὸν βασιλέα τῶν Ἰνδῶν

δῶν· καὶ λαβὼν ἐλέφαντας, ὥςε γενέσθαι τὰς ἅπαντας ἑκατὸν καὶ πεντήκοντα, ἔτι δὲ σιτομετρήσας πάλιν ἐνθα τὴν δύναμιν, αὐτὸς μὲν ἀνέζευξε μετὰ τῆς ςρατιᾶς.

Μετὰ ταῦτα Μένανδρος, ὁ τῆς Βακτρίας βασιλεὺς ιάτησε τῶν Ἰνδῶν, ὡς πρότερον εἴρηται, καὶ Μιθριδά- ; μέχρι τῆς Ἰνδικῆς διατείνας, τῆς ὑπὸ τὸν Πῶρον γεμένης χώρας ἐκινδύνευσεν ἀκινδύνως. *Diodor. Sic.* in ecl.

Ὡς πάμπολλαι πρεσβεῖαι πρὸς Αὔγυςον ἀφίκοντο, υ καὶ οἱ Ἰνδοὶ προκηρυκευσάμενοι πρότερον φιλίαν, τότε τείσαντο, δῶρα πέμψαντες ἄλλα τε καὶ τίγρεις, πρῶ, τότε τοῖς Ῥωμαίοις, νομίζω δ' ὅτι καὶ τοῖς Ἕλλησιν, θείσας. καί τι καὶ μειράκιόν οἱ ἄνευ ὤμων (οἵας τὰς ρμᾶς ὁρῶμεν) ἔδωκαν. καὶ μέντοι τοιοῦτον ὂν ἐκεῖνο, πάντα τοῖς ποσὶν ἅτε καὶ χερσὶν ἐχρῆτο· τόξον τε αὐς ἐπέτεινε, καὶ βέλη ἠφίει, καὶ ἐσάλπιζεν, οὐκ οἶδ' ως· γράφω γὰρ τὰ λεγόμενα. εἷς δ' οὖν τῶν Ἰνδῶν ρμαρος, εἴτε δὴ τοῦ τῶν σοφιςῶν γένους ὤν, καὶ κατὰ ο ὑπὸ φιλοτιμίας, εἴτε καὶ ὑπὸ τοῦ γήρως, κατὰ τὸν τριον νόμον, εἴτε καὶ ἐς ἐπίδειξιν τοῦ Αὐγούςου καὶ τῶν θηναίων, (καὶ γὰρ ἐκεῖσε ἦλθεν) ἀποθανεῖν ἐθελήσας, ιήθη τε τὰ τοῖς θεοῖς τῶν μυςηρίων, καίπερ οὐκ ἐν τῷ θήκοντι καιρῷ, ὥς φασι, διὰ τὸν Αὔγυςον, καὶ μεμένον γινόμενον, καὶ πυρὶ ἑαυτὸν ζῶντα ἐξέδωκεν. 20 ante Chr. *Dio Cassius.* LIV. 9.

μοίως καὶ πρὸς Τραϊανὸν, καὶ πρὸς ἄλλους βασιλέας ιμαίους πρεσβεῖαι Ἰνδῶν ἀφίκοντο. 107 post Chr.

Περὶ δὲ τῶν ἐμπόρων πλεόντων εἰς τὴν Ἰνδικὴν ψομεν ἐν τῷ κεφαλαίῳ περὶ Ἀραβίας.

VII. DE REBUS SCYTHARUM.

Ἡ δευτέρα μερὶς τῆς Ἀσίας ἄρχεται μὲν ἀπὸ τῆς σπίας θαλάττης, εἰς ἣν κατέπαυεν ἡ προτέρα· καλεῖ- δὲ αὕτη ἡ θάλαττα καὶ Ὑρκανία· ἔςι δ' ὁ κόλπος χων ἐκ τοῦ ὠκεανοῦ πρὸς μεσημβρίαν· καταρχὰς μὲν νῶς ςενός· ἐνδοτέρω δὲ πλατύνεται προϊὼν καὶ μάλι- κατὰ τὸν μυχὸν, ἐπὶ ςαδίους που καὶ πεντακισχιλίους· *Strabo* libr. XI.

ὁ

ὁ δ' ἔισπλȣς μέχρι τȣ̃ μυχȣ̃ μικρῷ πλείων ἂν ἔιη· συνάπτων πως ἤδη τῇ ἀοικήτῳ. Φησὶ δ' Ἐρατοθένης τὸν ὑπὸ τῶν Ἑλλήνων γνώριμον περίπλȣν τῆς θαλάττης ταύτης, τὸν μὲν παρὰ τȣ̀ς Ἀλβανȣ̀ς, καὶ τȣ̀ς Καδȣσίȣς, εἶναι πεντακισχιλίων καὶ τετρακοσίων· τὸν δὲ παρὰ τῶν Ἀναριάκων καὶ Μάρδων καὶ Ὑρκανῶν, μέχρι τȣ̃ σώματος τȣ̃ Ὤξȣ ποταμȣ̃, τετρακισχιλίων καὶ ὀκτακοσίων· ἔνθεν δ' ἐπὶ τȣ̃ Ἰαξάρτȣ δισχιλίων τετρακοσίων. δεῖ δὲ περὶ τῶν ἐν τῇ μερίδι ταύτῃ, καὶ τοῖς ἐπὶ τοσȣ̃τον ἐκτετοπισμένοις ἁπλȣ́στερον ἀκȣ́ειν, καὶ μάλιστα περὶ τῶν διαστημάτων. Ἐισπλέοντι δ' ἐν δεξιᾷ μὲν τοῖς Ἐυρωπαίοις ὁ συνεχεῖς Σκύθαι νέμονται καὶ Σαρμάται, ὁι μεταξὺ τȣ̃ Ταναΐδος καὶ τῆς θαλάσσης ταύτης, νομάδες ὁι πλείȣς· ἐν ἀριστερᾷ δ' ὁι πρὸς ἕω Σκύθαι νομάδες, καὶ ȣ̃τοι μέχρι τῆς πρὸς ἕω θαλάττης καὶ τῆς Ἰνδικῆς παρατείνοντες. ἅπαντας μὲν δὴ τȣ̀ς προσβόῤῥȣς κοινῶς ὁι παλαιοὶ τῶν Ἑλλήνων συγγραφεῖς Σκύθας καὶ Κελτοσκύθας ἐκάλȣν. ὁι δ' ἔτι πρότερον διελόντες τȣ̀ς μὲν ὑπὲρ τȣ̃ Ἐυξείνȣ καὶ Ἴστρȣ καὶ Ἀδρίȣ κατοικȣ̃ντας Ὑπερβορέȣς ἔλεγον καὶ Σαυρομάτας καὶ Ἀριμασπȣ́ς· τȣ̀ς δὲ πέραν τῆς Κασπίας θαλάττης, τȣ̀ς μὲν Σάκας, τȣ̀ς δὲ Μασσαγέτας ἐκάλȣν, ἐ ἔχοντες ἀκριβῶς λέγειν περὶ ἀυτῶν ȣ̓δὲν, καίπερ πρὸς Μασσαγέτας τὸν Κύρȣ πόλεμον ἱστορȣ̃ντες.

Herodotus. IV. 17. Φησὶ δὲ ȣ̃ν Ἡρόδοτος· Ἀπὸ τȣ̃ Βορυσθενεϊτέων ἐμπορίȣ, τȣ̃το γὰρ τῶν παραθαλασσίων μεσαίτατόν ἐστι πάσης τῆς Σκυθίης, ἀπὸ τȣ́τȣ πρῶτοι Καλλιπίδαι νέμονται ἐόντες Ἕλληνες Σκύθαι. ὑπὲρ δὲ τȣ́των ἄλλο ἔθνος, ὁ Ἀλαζῶνες καλέονται. ȣ̃τοι δὲ καὶ ὁι Καλλιπίδαι τὰ μὲν ἄλλα κατὰ ταὐτὰ Σκύθῃσι ἐπασκέȣσι· σῖτον δὲ καὶ σπείρȣσι καὶ σιτέονται, καὶ κρόμμυα καὶ σκόροδα καὶ φακȣ̀ς καὶ κέγχρȣς. ὑπερ δὲ Ἀλαζώνων οἰκέȣσι Σκῦθαι ἀροτῆρες, ὁι ȣ̓κ ἐπὶ σιτήσει σπείρȣσι τὸν σῖτον, ἀλλ' ἐπὶ πρήσει. τȣ́τέων δὲ κατύπερθε οἰκέȣσι Νευροί. Νευρῶν δὲ τὸ πρὸς βορῆν ἄνεμον, ἔρημος ἀνθρώπων, ὅσον ἡμεῖς ἴδμεν. ταῦτα μὲν παρὰ τὸν Ὕπανιν ποταμόν ἐστι ἔθνεα πρὸς ἑσπέρης τȣ̃ Βορυσθένεος. cap. 18. Ἀτὰρ διαβάντι τὸν Βορυσθένεα, ἀπὸ θαλάσσης πρῶτον μὲν ἡ Ὑλαίη· ἀπὸ δὲ ταύτης, ἄνω οἰκέȣσι Σκύθαι γεωργοί· τȣ̀ς Ἕλληνες ὁι οἰκέοντες ἐπὶ

Ὑπ

Ὑπάνι ποταμῷ καλέουσι Βορυσθενεΐτας· σφέας δὲ αὐτοὺς Ὀλβιοπολίτας. οὗτοι ὦν οἱ γεωργοὶ Σκύθαι νέμονται τὸ μὲν πρὸς τὴν ἠῶ ἐπὶ τρεῖς ἡμέρας ὁδοῦ, κατήκοντες ἐπὶ ποταμὸν τῷ οὔνομα κεῖται Παντικάπης· τὸ δὲ πρὸς βορῆν ἄνεμον, πλόον ἀνὰ Βορυσθένεα ἡμερέων ἕνδεκα. ἤδη δὲ κατύπερθε τούτων ἐρημός ἐστι ἐπιπολλόν. μετὰ δὲ τὴν ἔρημον Ἀνδροφάγοι οἰκέουσι, ἔθνος ἐὸν ἴδιον, καὶ οὐδαμῶς Σκυθικόν. τὸ δὲ τούτων κατύπερθε, ἔρημος ἤδη ἀληθέως, καὶ ἔθνος ἀνθρώπων οὐδὲν, ὅσον ἡμεῖς ἴδμεν. Τὸ δὲ πρὸς τὴν ἠῶ γεωργῶν τούτων Σκυθέων, διαβάντι τὸν Παντικάπην ποταμὸν, Νομάδες ἤδη Σκύθαι νέμονται, οὔτέ τι σπείροντες οὐδὲν, οὔτε ἀροῦντες· ψιλὴ δὲ δενδρέων πᾶσα αὕτη γῆ, πλὴν τῆς Ὑλαίης· οἱ δὲ Νομάδες οὗτοι τὸ πρὸς τὴν ἠῶ, ἡμερέων τεσσέρων καὶ δέκα ὁδὸν νέμονται χώρην κατατείνουσαν ἐπὶ ποταμὸν Γέῤῥον. Πέρην δὲ τοῦ Γέῤῥου ταῦτα δὴ τὰ καλεύμενα Βασιλήϊά ἐστι, καὶ Σκύθαι οἱ ἄριστοί τε καὶ πλεῖστοι, καὶ τοὺς ἄλλους νομίζοντες Σκύθας, δούλους σφετέρους εἶναι· κατήκουσι δὲ οὗτοι τὸ μὲν πρὸς μεσαμβρίην, ἐς τὴν Ταυρικήν· τὸ δὲ πρὸς ἠῶ, ἐπί τε τάφρον, τὴν δή οἱ ἐκ τῶν τυφλῶν γενόμενοι ὤρυξαν, καὶ ἐπὶ τῆς λίμνης τῆς Μαιήτιδος τὸ ἐμπόριον, τὸ καλέεται Κρημνοί. τὰ δὲ αὐτῶν κατήκουσι ἐπὶ ποταμὸν Τάναϊν. Τὰ δὲ κατύπερθε πρὸς βορῆν ἄνεμον τῶν βασιληΐων Σκυθέων οἰκέουσι Μελάγχλαινοι, ἄλλο ἔθνος, καὶ οὐ Σκυθικόν. Μελαγχλαίνων δὲ τὸ κατύπερθε, λίμναι, καὶ ἔρημός ἐστι ἀνθρώπων, κατόσον ἡμεῖς ἴδμεν. Τάναϊν δὲ ποταμὸν διαβάντι Σκυθικὴ, ἀλλ' ἡ μὲν πρώτη τῶν λαξίων, Σαυροματέων ἐστὶ, οἳ ἐκ τοῦ μυχοῦ ἀρξάμενοι τῆς Μαιήτιδος λίμνης νέμονται τὸ πρὸς βορέην ἄνεμον, ἡμερέων πεντεκαίδεκα ὁδὸν, πᾶσαν ἐοῦσαν ψιλὴν καὶ ἀγρίων καὶ ἡμέρων δενδρέων· ὑπεροικέουσι δὲ τουτέων δευτέρην λάξιν ἔχοντες Βουδῖνοι, γῆν νεμόμενοι πᾶσαν δασέην ὕλῃ παντοίῃ. Βουδίνων δὲ κατύπερθε πρὸς βορῆν, ἔστι πρώτη μὲν ἔρημος, ἐπ' ἡμερέων ἑπτὰ ὁδόν· μετὰ δὲ τὴν ἔρημον ἀποκλίναντι μᾶλλον πρὸς ἀπηλιώτην ἄνεμον, νέμονται Θυσσαγέται, ἔθνος πολλὸν καὶ ἴδιον· ζώουσι δὲ ἀπὸ θήρης. συνεχέες δὲ τούτοισι ἐν τοῖσι αὐτοῖσι τόποισι κατοικημένοι εἰσὶ τοῖσι οὔνομα κεῖται Ἰΰρκαι· καὶ οὗτοι ἀπὸ θήρης ζώοντες τρόπῳ

cap. 19. cap. 20. cap. 21. cap. 22.

τοιῷ-

τοιῷδε· λοχᾷ ἐπὶ δένδρεον ἀναβάς· τὰ δέ ἐςι πυκνὰ ἀνὰ πᾶσαν τὴν χώρην· ἵππος δὲ ἑκάςῳ δεδιδαγμένος ἐπὶ γαςέρα κεῖσθαι, ταπεινότητος εἵνεκα· ἕτοιμός ἐςι καὶ κύων· ἐπεὰν δὲ ἀπίδῃ τὸ θηρίον ἀπὸ τῦ δενδρέυ, τοξεύσας, ἐπιβὰς ἐπὶ τὸν ἵππον, διώκει· καὶ ὁ κύων ἔχεται. ὑπὲρ δὲ τύτων, τὸ πρὸς τὴν ἠῶ τετραμμένοι οἰκέυσι Σκύθαι ἄλλοι, ἀπὸ τῶν βασιληΐων Σκυθέων ἀποςάντες, καὶ ὕτω

cap. 23. ἀπικόμενοι ἐς τῦτον τὸν χῶρον. Μέχρι μὲν δὴ τῆς τύτων τῶν Σκυθέων χώρης, ἐςι ἡ καταλεχθεῖσα πᾶσα, πεδιάς τε γῆ καὶ βαθύγεως· τὸ δ᾽ ἀπὸ τύτυ, λιθώδης τ᾽ ἐςι καὶ τρηχέη. διεξελθόντι δὲ καὶ τῆς τρηχέης χῶραν πολλὸν, οἰκέυσι ὑπώρεαν ὀρέων ὑψηλῶν ἄνθρωποι λεγόμενοι εἶναι πάντες φαλακροὶ ἐκ γενεῆς γινόμενοι, καὶ ἔρσενες καὶ θήλεαι ὁμοίως, καὶ σιμοί· καὶ γένεια ἔχοντες μεγάλα· φωνὴν δὲ ἰδίην ἱέντες· ἐσθῆτι δὲ χρεώμενοι Σκυθικῇ· ζῶντες δὲ ἀπὸ δενδρέων. Ποντικὸν μὲν ὔνομα τῷ δενδρέῳ ἀπὸ τῦ ζῶσι, μέγαθος δὲ κατὰ συκέην μάλιςά κῃ· καρπὸν δὲ φορέει κυάμῳ ἴσον, πυρῆνα δὲ ἔχει· τῦτο ἐπεὰν γένηται πέπον, σακκέυσι ἱματίοισι· ἀποῤῥέει δ᾽ ἀπ᾽ αὐτῦ παχὺ καὶ μέλαν· ὔνομα δὲ τῷ ἀποῤῥέοντί ἐςι ἄσχυ· τῦτο καὶ λείχυσι, καὶ γάλακτι συμμίσγοντες πίνυσι· καὶ ἀπὸ τῆς παχύτητος αὐτῦ τῆς τρυγὸς παλάθας συντιθέασι, καὶ ταύτας σιτέονται. πρόβατα γάρ σφι ὐ πολλά ἐςι· ὐ γάρ τι σπυδαῖαι νομαὶ αὐθότι εἰσί. ὑπὸ δενδρέῳ δὲ ἕκαςος κατοίκηται, τὸν μὲν χειμῶνα, ἐπεὰν τὸ δένδρεον περικαλύψῃ πίλῳ ςεγνῷ λευκῷ· τὸ δὲ θέρος, ἄνευ πίλυ. τύτυς ὐδεὶς ἀδικέει ἀνθρώπων· ἱροὶ γὰρ λέγονται εἶναι· ὐδέ τι ἀρήϊον ὅπλον ἐκτέαται· καὶ τῦτο μὲν, τοῖσι περιοικέυσι ὗτοί εἰσι οἱ τὰς διαφορὰς διαιρέοντες· τῦτο δὲ, ὃς ἂν καταφεύγων καταφύγῃ ἐς τύτυς, ὑπ᾽ ὐδενὸς ἀδικέεται· ὔνομα δέ σφι ἐςι

cap. 24. Ἀργιππαῖοι. Μέχρι μέν νυν τῶν Φαλακρῶν τυτέων πολλὴ περιφάνεια τῆς χώρης ἐςὶ, καὶ τῶν ἔμπροσθεν ἐθνέων· καὶ γὰρ Σκυθέων τινὲς ἀπικνέονται ἐς αὐτὺς, τῶν ὐ χαλεπόν ἐςι πυθέσθαι, καὶ Ἑλλήνων τῶν ἐκ Βορυσθένεός τε ἐμπορίυ καὶ τῶν ἄλλων Ποντικῶν ἐμπορίων. Σκυθέων δὲ οἳ ἂν ἔλθωσι ἐς αὐτὺς, δι᾽ ἑπτὰ ἑρμηνέων καὶ δι᾽ ἑπτὰ

cap. 25. γλωσσέων διαπρήσσονται. Μέχρι μὲν δὴ τυτέων γινώσκεται· τὸ δὲ τῶν Φαλακρῶν κατύπερθε ὐδεὶς ἀτρεκέως οἶδε

Φρα-

Φράσαι· ὄρεα γὰρ ὑψηλὰ ἀποτάμνει ἄβατα, καὶ ὐδείς σφεα ὑπερβαίνει. οἱ δὲ Φαλακροὶ ὗτοι λέγουσι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, οἰκέειν τὰ ὄρεα αἰγίποδας ἄνδρας· ὑπερβάντι δὲ τούτους, ἄλλους ἀνθρώπους, οἳ τὴν ἑξάμηνον καταδεύδουσι. τοῦτο δὲ οὐκ ἐνδέκομαι τὴν ἀρχήν. ἀλλὰ τὸ μὲν πρὸς ἠῶ τῶν Φαλακρῶν γινώσκεται ὑπὸ Ἰσσηδόνων οἰκεόμενον· τὸ μέν τοι κατύπερθε πρὸς βορῆν ἄνεμον, οὐ γινώσκεται, οὔτε τῶν Φαλακρῶν, οὔτε τῶν Ἰσσηδόνων, εἰ μὴ ὅσα αὐτέων τουτέων λεγόντων. Νόμοισι δὲ Ἰσσηδόνες τοιοισίδε λέγονται χρᾶσθαι· ἐπεὰν ἀνδρὶ ἀποθάνοι πατὴρ, οἱ προσήκοντες πάντες προσάγουσι πρόβατα· καὶ ἔπειτα ταῦτα θύσαντες, καὶ καταταμόντες τὰ κρέα, κατατάμνουσι καὶ τὸν τοῦ δεκομένου τεθνεῶτα γονέα. ἀναμίξαντες δὲ πάντα τὰ κρέα, δαῖτα προτίθενται. τὴν δὲ κεφαλὴν αὐτοῦ ψιλώσαντες καὶ ἐκκαθήραντες, καταχρυσοῦσι· καὶ ἔπειτα ἅτε ἀγάλματι χρέωνται, θυσίας μεγάλας ἐπετέους ἐπιτελέοντες. παῖς δὲ πατρὶ τοῦτο ποιέει, κατάπερ οἱ Ἕλληνες τὰ γενέσια. ἄλλως δὲ δίκαιοι καὶ οὗτοι λέγονται εἶναι· ἰσοκρατέες δὲ ὁμοίως αἱ γυναῖκες τοῖσι ἀνδράσι. γινώσκονται μὲν δὴ καὶ οὗτοι. Τὸ δὲ ἀπὸ τουτέων τὸ κατύπερθε, Ἰσσηδόνες εἰσὶ οἱ λέγοντες μουνοφθάλμους ἀνθρώπους καὶ χρυσοφύλακας γρῦπας εἶναι· παρὰ δὲ τουτέων Σκύθαι παραλαβόντες λέγουσι· παρὰ δὲ Σκυθέων ἡμεῖς οἱ ἄλλοι νενομίκαμεν, καὶ οὐνομάζομεν αὐτοὺς Σκυθιστὶ Ἀριμασποὺς· ἄριμα γὰρ ἓν καλέουσι Σκύθαι, σποῦ δὲ τὸν ὀφθαλμόν. Δυσχείμερος δὲ αὕτη ἡ καταλεχθεῖσα πᾶσα χώρη οὕτω δή τι ἐστι· ἔνθα τοὺς μὲν ὀκτὼ τῶν μηνῶν ἀφόρητος οἷος γίνεται κρυμὸς, ἐν τοῖσι ὕδωρ ἐκχέας, πηλὸν οὐ ποιήσεις· πῦρ δὲ ἀνακαίων, ποιήσεις πηλόν. ἡ δὲ θάλασσα πήγνυται, καὶ ὁ Βόσπορος πᾶς ὁ Κιμμέριος· καὶ ἐπὶ τοῦ κρυστάλλου οἱ ἐντὸς τάφρου Σκύθαι κατοικημένοι στρατεύονται, καὶ τὰς ἁμάξας ἐπελαύνουσι πέρην ἐς τοὺς Σινδούς. οὕτω μὲν δὴ τοὺς ὀκτὼ μῆνας διατελέει χειμὼν ἐών· τοὺς δ' ἐπιλοίπους τέσσερας ψύχεα αὐτόθι ἐστί. κεχώρισται δὲ οὗτος ὁ χειμὼν τοὺς τρόπους πᾶσι τοῖσι ἐν ἄλλοισι χωρίοισι γινομένοισι χειμῶσι· ἐν τῷ τὴν μὲν ὡραίην οὐκ ὕει λόγου ἄξιον οὐδέν· τὸ δὲ θέρος ὕων οὐκ ἀνίει· βρονταί τε ἦμος τῇ ἄλλῃ γίνονται, τηνικαῦτα μὲν οὐ γίνονται, θέρεος δὲ ἀμφιλαφέες.

cap. 26.

cap. 28.

φέες. ἢν δὲ χειμῶνος βροντὴ γένηται, ὡς τέρας θωυμά-
ζεται· ὣς δὲ ἢν σεισμὸς γένηται ἤν τε θέρεος ἢν χειμῶνος
ἐν τῇ Σκυθικῇ, τέρας νενόμισαι. ἵπποι δὲ ἀνεχόμενοι
φέρουσι τὸν χειμῶνα τοῦτον, ἡμίονοι δὲ καὶ ὄνοι οὐκ ἀνέ-
cap. 31. χονται τὴν ἀρχήν. Περὶ δὲ τῶν πτερῶν, τῶν Σκύθαι
λέγουσι ἀνάπλεων εἶναι τὸν ἠέρα, καὶ τουτέων εἵνεκα οὐκ
οἷά τε εἶναι οὔτε ἰδεῖν τὸ πρόσω τῆς ἠπείρου, οὔτε διεξιέ-
ναι, τήνδε ἔχω περὶ αὐτέων τὴν γνώμην· τὰ κατύπερθε
ταύτης τῆς χώρης αἰεὶ νίφεται, ἐλάσσονι δὲ τοῦ θέρεος ἢ
τοῦ χειμῶνος, ὥσπερ καὶ εἰκός· ἤδη ὦν ὅστις ἀγχόθεν
χιόνα ἁδρὴν πίπτουσαν εἶδε, οἶδε τὸ λέγω· ἔοικε γὰρ ἡ
χιὼν πτεροῖσι· καὶ διὰ τὸν χειμῶνα τοῦτον ἐόντα τοιοῦτον
ἀνοίκητα τὰ πρὸς βορῆν ἐστι τῆς ἠπείρου ταύτης· τὰ ὦν
πτερά, εἰκάζοντας τὴν χιόνα, τοὺς Σκύθας τε καὶ τοὺς
περιοίκους δοκέω λέγειν. ταῦτα μέν νυν τὰ λέγεται μα-
cap. 32. κρότατα, εἴρηται. Ὑπερβορέων δὲ πέρι ἀνθρώπων οὔτε τι
Σκύθαι λέγουσι, οὔτε τινὲς ἄλλοι τῶν ταύτῃ οἰκημένων,
εἰ μὴ ἄρα Ἰσσηδόνες. ὡς δ' ἐγὼ δοκέω, οὐδ' οὗτοι λέγου-
σι οὐδέν· ἔλεγον γὰρ ἂν καὶ Σκύθαι, ὡς περὶ τῶν μου-
νοφθάλμων λέγουσι. ἀλλ' Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερ-
βορέων εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι, εἰ
δὴ τῷ ἐόντι γε Ὅμηρος ταῦτα τὰ ἔπεα ἐποίησε.

cap. 46. Τῷ δὲ Σκυθικῷ γένεϊ ἓν μὲν τὸ μέγιστον τῶν ἀν-
θρωπηίων πρηγμάτων σοφώτατα πάντων ἐξεύρηται, τῶν
ἡμεῖς ἴδμεν· τὰ μέντοι ἄλλα οὐκ ἄγαμαι. τὸ δὲ μέγι-
στον οὕτω σφι ἀνεύρηται, ὥστε ἀποφυγέειν τε μηδένα ἐπελ-
θόντα ἐπὶ σφέας, μὴ βουλομένους τε ἐξευρεθῆναι, κατα-
λαβεῖν μὴ οἷόν τε εἶναι. τοῖσι γὰρ μήτε ἄστεα, μήτε
τείχεα ᾖ ἐκτισμένα, ἀλλὰ φερέοικοι ἐόντες πάντες, ἔω-
σι ἱπποτοξόται, ζῶντες μὴ ἀπ' ἀρότου, ἀλλ' ἀπὸ κτηνέων,
οἰκήματά τέ σφι ᾖ ἐπὶ ζευγέων, κῶς οὐκ ἂν εἴησαν οὗτοι
cap. 47. ἄμαχοί τε καὶ ἄποροι προσμίσγειν; Ἐξεύρηται δέ σφι
ταῦτα, τῆς τε γῆς ἐούσης ἐπιτηδέης, καὶ τῶν ποταμῶν
ἐόντων σφι συμμάχων· ἥ τε γὰρ γῆ ἐοῦσα πεδιὰς αὕτη
ποιώδης τε καὶ εὔυδρός ἐστι· ποταμοί τε δι' αὐτῆς ῥέουσι
οὐ πολλῷ τέῳ ἀριθμὸν ἐλάσσονες τῶν ἐν Αἰγύπτῳ διω-
ρύχων. ὅσοι δὲ οὐνομαστοί τέ εἰσι αὐτέων, καὶ προσπλω-
τοὶ ἀπὸ θαλάσσης, τούτους οὐνομανέω. Ἴστρος μέν, πεντά-

στομος

ςομος· μετὰ δὲ, Τύρης τε καὶ Ὕπανις, καὶ Βορυσθένης, καὶ Παντικάπης, καὶ Ὑπάκυρις, καὶ Γέῤῥος, καὶ Τάναϊς· ῥέουσι γὰρ οἵδε κατὰ τάδε. Ἴςρος μὲν ἐὼν μέγιςος ποταμῶν πάντων τῶν ἡμεῖς ἴδμεν, ἴσος αἰεὶ αὐτὸς ἑωϋτῷ ῥέει καὶ θέρεος καὶ χειμῶνος· πρῶτος δὲ τὸ ἀπ᾽ ἑσπέρης τῶν ἐν τῇ Σκυθικῇ ῥέων κατὰ τοιόνδε μέγιςος γέγονε, ποταμῶν καὶ ἄλλων ἐς αὐτὸν ἐκδιδόντων. εἰσὶ δὲ οἵδε οἱ μέγαν αὐτὸν ποιεῦντες, διὰ μέν γε τῆς Σκυθικῆς χώρης πέντε μόνοι ῥέοντες· τόν τε Σκύθαι Πόρατα καλέουσι, Ἕλληνες δὲ Πυρετόν· καὶ ἄλλος Τιαραντὸς, καὶ Ἀραρός τε καὶ Νάπαρις, καὶ Ὀρδησσός. ὁ μὲν πρῶτος λεχθεὶς τῶν ποταμῶν, μέγας, καὶ πρὸς ἠῶ ῥέων, ἀνακοινοῦται τῷ Ἴςρῳ τὸ ὕδωρ· ὁ δὲ δεύτερος λεχθεὶς Τιαραντὸς, πρὸς ἑσπέρης τε μᾶλλον, καὶ ἐλάσσων. ὁ δὲ δὴ Ἀραρός τε καὶ ὁ Νάπαρις καὶ ὁ Ὀρδησσὸς, διὰ μέσου τούτων ἰόντες, ἐσβάλλουσι ἐς τὸν Ἴςρον. οὗτοι μὲν αὐτιγενέες ποταμοὶ Σκυθικοὶ συμπληθύουσι αὐτόν· ἐκ δὲ Ἀγαθύρσων Μάρις ποταμὸς ῥέων συμμίσγεται τῷ Ἴςρῳ. Ἐκ δὲ τοῦ Αἵμου τῶν κορυφέων τρεῖς ἄλλοι μεγάλοι ῥέοντες πρὸς βορῆν ἄνεμον, ἐσβάλλουσι ἐς αὐτὸν, Ἄτλας, καὶ Αὔρας, καὶ Τίβισις· διὰ δὲ Θρηΐκης καὶ Θρηΐκων τῶν Κροβύζων ῥέοντες, Ἄθρυς, καὶ Νόης, καὶ Ἀρτάνης, ἐκδιδοῦσι ἐς τὸν Ἴςρον· ἐκ δὲ Παιόνων, καὶ οὔρεος Ῥοδόπης, Κίος ποταμὸς μέσον σχίζων τὸν Αἷμον, ἐσδιδοῖ ἐς αὐτόν. ἐξ Ἰλλυριῶν δὲ ῥέων πρὸς βορῆν ἄνεμον Ἄγγρος ποταμὸς, ἐσβάλλει ἐς πεδίον τὸ Τριβαλλικὸν, καὶ ἐς ποταμὸν Βρόγγον· ὁ δὲ Βρόγγος ἐς τὸν Ἴςρον· οὕτω ἀμφοτέρους ἐόντας μεγάλους ὁ Ἴςρος δέκεται. ἐκ δὲ τῆς κατύπερθε χώρης Ὀμβρίκων, Κάρπις ποταμὸς, καὶ ἄλλος Ἄλπις ποταμὸς, πρὸς βορῆν ῥέοντες ἄνεμον, καὶ οὗτοι ἐκδιδοῦσι ἐς αὐτόν. ῥέει γὰρ δὴ διὰ πάσης τῆς Εὐρώπης ὁ Ἴςρος, ἀρξάμενος ἐκ Κελτῶν, οἳ ἔσχατοι πρὸς ἡλίου δυσμέων μετὰ Κύνητας οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ· ῥέων δὲ διὰ πάσης τῆς Εὐρώπης, ἐς τὰ πλάγια τῆς Σκυθίης ἐσβάλλει. Τουτέων ὦν τῶν καταλεχθέντων, καὶ ἄλλων πολλῶν συμβαλλομένων τὸ σφέτερον ὕδωρ, γίνεται ὁ Ἴςρος ποταμῶν μέγιςος· ἐπεὶ ὕδωρ γε ἓν πρὸς ἓν συμβάλλειν, ὁ Νεῖλος πλήθεϊ ἀποκρατέει· ἐς γὰρ δὴ τοῦτον

cap. 48. cap. 49. cap. 50.

οὔτε

ἔτε ποταμὸς, ἔτε κρήνη ἐδεμίη ἐσδιδῦσα, ἐς πλῆθός οἱ συμβάλλεται· ἴσος δὲ αἰεὶ ῥέει ἔν τε θέρεϊ καὶ χειμῶνι ὁ Ἴςρος, κατὰ τοιόνδέ τι, ὡς ἐμοὶ δοκέει· τῶ μὲν χειμῶνός ἐςι, ὅσοσπέρ ἐςι· ὀλίγῳ γε μέζων τῆς ἑωϋτῶ φύσιος γίνεται. ὕεται γὰρ ἡ γῆ ἅυτη τῶ χειμῶνος πάμπαν ὀλίγῳ· νιφετῷ δὲ πάντα χρᾶται. τῶ δὲ θέρεος ἡ χιὼν ἡ ἐν τῷ χειμῶνι πεσῦσα ἐῦσα ἀμφιλαφὴς, τηκομένη πάντοτεν ἐσδιδοῖ ἐς τὸν Ἴςρον· ἅυτη γε δὴ ἡ χιὼν ἐσδιδῦσα ἐς ἀυτὸν, συμπληθύει, καὶ ὄμβροι πολλοί τε καὶ λάβροι σὺν ἀυτῇ· ὕει γὰρ δὴ τὸ θέρος· ὅσῳ δὲ πλέον ἐπ' ἑωϋτὸν ὕδωρ ὁ ἥλιος ἐπέλκεται ἐν τῷ θέρεϊ ἢ ἐν τῷ χειμῶνι, τοσἔτῳ τὰ συμμισγόμενα τῷ Ἴςρῳ, πολλαπλήσιά ἐςι τῶ θέρεος ἤπερ τῶ χειμῶνος· ἀντιτιθέμενα δὲ ταῦτα, ἀντισήκωσις γίνεται, ὥςε ἴσον μεν αἰεὶ φαίνεσθαι

cap. 51. ἐόντα. Εἷς μὲν δὴ τῶν ποταμῶν τοῖσι Σκύθῃσί ἐςι ὁ Ἴςρος· μετὰ δὴ τἔτον Τύρης· ὃς ἀπὸ βορέω μὲν ἀνέμε ὁρμᾶται, ἄρχεται δὲ ῥέων ἐκ λίμνης μεγάλης, ἣ ἐρίζει τήν γε Σκυθικὴν καὶ τὴν Νευρίδα γῆν. ἐπὶ δὲ τῷ ςόματι ἀυτῶ κατοίκηνται Ἕλληνες, οἱ Τυρῖται καλέονται.

cap. 52. Τρίτος δὲ Ὕπανις ποταμὸς ὁρμᾶται μὲν ἐκ τῆς Σκυθικῆς, ῥέει δὲ ἐκ λίμνης μεγάλης, τὴν πέριξ νέμονται ἵπποι ἄγριοι λευκοί. καλέεται δ' ἡ λίμνη ἅυτη ὀρθῶς, μήτηρ Ὑπάνιος. ἐκ ταύτης ὦν ἀνατέλλων ὁ Ὕπανις ποταμὸς ῥέει. ἐπὶ μὲν πέντε ἡμερέων πλόον βραχὺς καὶ γλυκύς ἐςι· ἀπὸ δὲ τἔτε, πρὸς θαλάσσης τεσσέρων ἡμερέων πλόον, πικρὸς αἰνῶς. ἐκδιδοῖ γὰρ ἐς ἀυτὸν κρήνη πικρὴ, ἔτω δή τι ἐῦσα πικρὴ, ἣ μεγάθεϊ σμικρὴ ἐῦσα, κρινᾷ τὸν Ὕπανιν, ἐόντα ποταμὸν ἐν ὀλίγοισι μέγαν. ἔςι δὲ ἡ κρήνη ἅυτη ἐν ἔροισι χώρης τῆς γε ἀροτήρων Σκυθέων καὶ Ἀλαζώνων. ἔνομα δὲ τῇ κρήνῃ, καὶ ὅθεν ῥέει τῷ χώρῳ, Σκυθισὶ μὲν, Ἐξαμπαῖος· κατὰ δὲ τὴν Ἑλλήνων γλῶσσαν, Ἱραὶ ὁδοί. συνάγεσι δὲ τὰ τέρματα ὅ, γε Τύρης καὶ ὁ Ὕπανις κατὰ Ἀλαζώνας· τὸ δὲ ἀπὸ τἔτε, ἀποςρέψας ἑκάτερος ῥέει εὐρύνων τὸ μέσον.

cap. 53. Τέταρτος δὲ Βορυσθένης ποταμός. ὅς ἐςι μέγιςός γε μετὰ Ἴςρον τἔτέων καὶ πολυαρκέςατος, κατὰ γνώμας τὰς ἡμετέρας, ἔτι μῦνον τῶν Σκυθικῶν ποταμῶν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, πλὴν Νείλε τῶ Ἀιγυπτίε· τἔτῳ

γὰρ

γὰρ οὐκ οἷά τε ἐστὶ συμβαλέειν ἄλλον ποταμόν· τῶν δὲ
λοιπῶν Βορυσθένης ἐστὶ πολυαρκέστατος, ὃς νομάς τε καλ-
λίστας καὶ εὐκομιδεστάτας κτήνεσι παρέχεται, ἰχθύας δὲ
ἀρίστους διακριδὸν καὶ πλείστους· πίνεσθαί τε ἥδιστός ἐστι· ῥέει τε
καθαρὸς παρὰ θολεροῖσι· σπόρος τε παρ' αὐτὸν ἄριστος γίνεται·
ποίη τε, τῇ οὐ σπείρεται ἡ χώρη, βαθυτάτη· ἅλες τε ἐπὶ
τῷ στόματι αὐτοῦ αὐτόματοι πήγνυνται ἄπλετοι· κήτεά τε
μεγάλα ἀνάκανθα, τὰ ἀντακαίους καλέουσι, παρέχεται ἐς
ταρίχευσιν, ἄλλά τε πολλὰ θωϋμάσαι ἄξια. μέχρι μέν
νυν Γέρρου χώρου, ἐς τὸν τεσσερεσκαίδεκα ἡμερέων πλόος
ἐστὶ, γινώσκεται ῥέων ἀπὸ βορέω ἀνέμου· τὸ δὲ κατύπερθε
δι' ὧν ῥέει ἀνθρώπων, οὐδεὶς ἔχει φράσαι· φαίνεται δὲ
ῥέων δι' ἐρήμου ἐς τῶν γεωργῶν Σκυθέων τὴν χώρην·
οὗτοι γὰρ οἱ Σκύθαι παρ' αὐτὸν ἐπὶ δέκα ἡμερέων πλόον
νέμονται. μούνου δὲ τούτου τοῦ ποταμοῦ καὶ Νείλου οὐκ ἔχω
φράσαι τὰς πηγάς· δοκέω δὲ, οὐδὲ οὐδεὶς Ἑλλήνων. ἀγχοῦ
τε δὴ θαλάσσης ὁ Βορυσθένης ῥέων γίνεται, καί οἱ συμμίσ-
γεται ὁ Ὕπανις ἐς τὠυτὸ ἕλος ἐκδιδούς· τὸ δὲ μεταξὺ
τῶν ποταμῶν τουτέων ἐὸν ἔμβολον τῆς χώρης, Ἱππόλεω
ἄκρη καλέεται· ἐν δὲ αὐτῷ ἱρὸν Δήμητρος ἐνίδρυται· πέ-
ρην δὲ τοῦ ἱροῦ ἐπὶ τῷ Ὑπάνι Βορυσθενεῖται κατοίκηνται.
ταῦτα μὲν τὰ ἀπὸ τουτέων τῶν ποταμῶν. Μετὰ δὲ τού- cap. 54.
τους πέμπτος ποταμὸς ἄλλος, τῷ οὔνομα Παντικάπης· ῥέει
μὲν γὰρ καὶ οὗτος ἀπὸ βορέω τε καὶ ἐκ λίμνης, καὶ τὸ
μεταξὺ τούτου τε καὶ τοῦ Βορυσθένεος νέμονται οἱ γεωργοὶ
Σκύθαι· ἐκδιδοῖ δὲ ἐς τὴν Ὑλαίην· παραμειψάμενος δὲ
ταύτην, τῷ Βορυσθένεϊ συμμίσγεται. Ἕκτος δὲ Ὑπάκυ- cap. 55.
ρις ποταμὸς, ὃς ὁρμᾶται μὲν ἐκ λίμνης, διὰ μέσων δὲ
τῶν νομάδων Σκυθέων ῥέων, ἐκδιδοῖ κατὰ Καρκινῖτιν πό-
λιν, ἐς δεξιὴν ἀπέργων τήν τε Ὑλαίην καὶ τὸν Ἀχιλ-
λήϊον καλεόμενον Δρόμον. Ἕβδομος δὲ Γέρρος ποτα- cap. 56.
μὸς ἀπέσχισται μὲν ἀπὸ τοῦ Βορυσθένεος, κατὰ τοῦτο τῆς
χώρης ἐς ὃ γινώσκεται ὁ Βορυσθένης· ἀπέσχισται μέν νυν
ἐκ τούτου τοῦ χώρου· οὔνομα δὲ ἔχει τόπερ ὁ χῶρος αὐτὸς,
Γέρρος· ῥέων δ' ἐς θάλασσαν, οὐρίζει τήν τε τῶν Νομάδων
χώρην, καὶ τὴν τῶν βασιληΐων Σκυθέων· ἐκδιδοῖ δὲ ἐς τὸν
Ὑπάκυριν. Ὄγδοος δὲ δὴ Τάναϊς ποταμὸς, ὃς ῥέει τἀνέ- cap. 57.
καθεν ἐκ λίμνης μεγάλης ὁρμεώμενος, ἐκδιδοῖ δὲ ἐς μέζω
ἔτι

ἔτι λίμνην καλεομένην Μαιῆτιν, ἣ ἐρίζει Σκύθας τε τὰς βασιληΐους καὶ Σαυρομάτας. ἐς δὲ Τάναιν τοῦτον ἄλλος ποταμὸς ἐσβάλλει, τῷ οὔνομά ἐστι Ὕργις. τοῖσι μὲν δὴ ὀνομαστοῖσι ποταμοῖσι οὕτω δή τι οἱ Σκύθαι ἐσκευάδαται.

Straba Libr. XI. Φησὶ δὲ Στραβὼν, ὁ πολλῷ χρόνῳ μεθ' Ἡρόδοτον γράψας· ἐν ἀριστερᾷ τῆς Κασπίας θαλάττης οἰκεῖ Σκυθικὰ ἔθνη καὶ τὰ Νομαδικὰ, ἅπασαν ἐκπληροῦντα τὴν βόρειον πλευράν. Οἱ μὲν δὴ πλείους τῶν Σκυθῶν ἀπὸ τῆς Κασπίας θαλάττης ἀρξάμενοι, Δάαι προσαγορεύονται· τοὺς δὲ προσεώους τούτων μᾶλλον Μασσαγέτας, καὶ Σάκας ὀνομάζουσι· τοὺς δ' ἄλλους κοινῶς μὲν Σκύθας ὀνομάζουσιν, ἰδίᾳ δ' ὡς ἑκάστους. Ἅπαντες δ' ὡς ἐπὶ τὸ πολὺ νομάδες. Μάλιστα δὲ γνώριμοι γεγόνασι τῶν νομάδων οἱ τοὺς Ἕλληνας ἀφελόμενοι τὴν Βακτριανὴν, Ἄσιοι, καὶ Πασιανοὶ, καὶ Τόχαροι, καὶ Σακάραυλοι, καὶ ὁρμηθέντες ἀπὸ τῆς περαίας τοῦ Ἰαξάρτου τῆς κατὰ Σάκας καὶ Σογδιανοὺς, ἣν κατεῖχον Σάκαι, καὶ τῶν Δαῶν οἱ μὲν προσαγορεύονται Ἄπαρνοι, οἱ δὲ, Ξάνθιοι, οἱ δὲ, Πίσσουροι· οἱ μὲν οὖν Ἄπαρνοι πλησιαίτατα τῇ Ὑρκανίᾳ παράκεινται, καὶ τῇ κατ' αὐτὴν θαλάττῃ· οἱ δὲ λοιποὶ διαμένουσι καὶ μέχρι τῆς ἀντιπαρηκούσης τῇ Ἀσίᾳ. Μεταξὺ δ' αὐτῶν, καὶ τῆς Ὑρκανίας, καὶ τῆς Παρθυαίας μέχρι Ἀρίων ἔρημος πρόκειται πολλὴ καὶ ἄνυδρος· ἣν διεξιόντες μακραῖς ὁδοῖς κατέτρεχον τήν τε Ὑρκανίαν, καὶ τὴν Νησαίαν καὶ τὰ τῶν Παρθυαίων πεδία· οἱ δὲ συνέθεντο φόρους· φόρος δ' ἦν τὸ ἐπιτρέπειν τακτοῖς τισι χρόνοις τὴν χώραν κατατρέχειν καὶ φέρεσθαι λείαν. Ἐπιπολαζόντων δ' αὐτῶν παρὰ τὰ συγκείμενα, ἐπολεμεῖτο· καὶ πάλιν διαλύσεις τε καὶ ἀναπολεμήσεις ὑπῆρχον. Τοιοῦτος δὲ καὶ ὁ τῶν ἄλλων Νομάδων βίος, ἀεὶ τοῖς πλησίον ἐπιτιθεμένων, τοτὲ δ' αὖ διαλλαττομένων. Σάκαι μέντοι παραπλησίας ἐφόδους ἐποιήσαντο τοῖς Κιμμερίοις καὶ Τρήρεσι· τὰς μὲν, μακροτέρας, τὰς δὲ, καὶ ἐγγύθεν· καὶ γὰρ τὴν Βακτριανὴν κατέσχον, καὶ τῆς Ἀρμενίας κατεκτήσαντο τὴν ἀρίστην γῆν· ἣν καὶ ἐπώνυμον ἑαυτῶν κατέλιπον τὴν Σακασηνὴν καὶ μέχρι Καππαδοκῶν, καὶ μάλιστα τῶν πρὸς Εὐξείνῳ οὓς Ποντικοὺς νῦν καλοῦσι, προῆλθον. Ἐπιθέμενοι δ' αὐτοῖς τοῖς πανηγυρίζουσιν ἀπὸ τῶν λαφύρων οἱ τότε ταύτῃ

Π

ερσῶν στρατηγοὶ, νύκτωρ ἄρδην αὐτοὺς ἠφάνισαν. Ἐν δὲ ι πεδίῳ πέτραν τινὰ προσχώματι συμπληρώσαντες εἰς ινοειδὲς σχῆμα ἐπέθηκαν τεῖχος, καὶ τὸ τῆς Ἀναΐτιδος, ὶ τὸ τῶν συμβώμων θεῶν ἱερὸν ἱδρύσαντο Ὠμανοῦ, καὶ ιανδάτου Περσικῶν δαιμόνων· ἀπέδειξάν τε πανήγυριν ιτ᾽ ἔτος ἱερὰν, τὰ Σάκαια· ἣν μέχρι νῦν ἐπιτελοῦσιν οἱ Ζῆλα ἔχοντες· οὕτω γὰρ καλοῦσι τὸν τόπον. Ἔστι δὲ ροδούλων πόλισμα τὸ πλέον. Πομπήϊος δὲ προθεὶς χώ-ιν ἀξιόλογον, καὶ τοὺς ἐν αὐτῇ συνοικίσας εἰς τὸ τεῖχος ίαν τῶν πόλεων ἀπέφηνεν, ὧν διέταξε μετὰ τὴν τοῦ ιθριδάτου κατάλυσιν. Οἱ μὲν οὕτω λέγουσι περὶ τῶν Σα-ῶν. Οἱ δ᾽, ὅτι Κῦρος ἐπιστρατεύσας τοῖς Σάκαις, ἡττη-εἰς τῇ μάχῃ, φεύγει· στρατοπεδευσάμενος δ᾽ ἐν ᾧ χωρίῳ ὶς παρασκευὰς ἀπολελοίπει, πλήρεις ἀφθονίας ἁπάσης, αὶ μάλιστα οἴνου, διαναπαύσας μικρὰ τὴν στρατιὰν, ἤλαυνεν φ᾽ ἑσπέρας, ὡς φεύγων, πλήρεις ἀφεὶς τὰς σκηνάς· ροελθὼν δ᾽, ὅσον ἐδόκει συμφέρειν, ἱδρύθη· ἐπιόντες δ᾽ εεῖνοι καὶ καταλαβόντες ἔρημον ἀνδρῶν τὸ στρατόπεδον, ῶν δὲ πρὸς ἀπόλαυσιν μεστῶν, ἀνέδην ἐνεπίμπλαντο· ὁ δ᾽ ποστρέψας ἐξοίνους κατέλαβε καὶ παραπλῆγας· ὥσθ᾽ οἱ μὲν, ι κάρῳ κείμενοι καὶ ὕπνῳ, κατεκόπτοντο· οἱ δ᾽ ὀρχούμενοι αὶ βακχεύοντες, γυμνοὶ περιέπιπτον τοῖς τῶν πολεμίων πλοις· ὀλίγου δ᾽ ἀπώλοντο ἅπαντες. Ὁ δὲ θεῖον νομί-ας τὸ εὐτύχημα, τὴν ἡμέραν ἐκείνην ἀνιερώσας τῇ πατρίῳ εῷ προσηγόρευσε Σάκαια· ὅπου δ᾽ ἂν ᾖ τῆς θεοῦ ταύτης ερὸν, ἐνταῦθα νομίζεται καὶ ἡ τῶν Σακαίων ἑορτὴ βακ-εία τις τῶν μεθ᾽ ἡμέραν καὶ νύκτωρ διεσκευασμένων Σκυ-ιστὶ, πινόντων ἅμα, καὶ πληκτιζομένων πρὸς ἀλλήλους, μα τε καὶ τὰς συμπινούσας γυναῖκας. Μασσαγέται δ᾽ ἐδή-ωσαν τὴν σφετέραν ἀρετὴν ἐν τῷ πρὸς Κῦρον πολέμῳ· ερὶ ὧν θρυλλοῦσι πολλοί. καὶ δεῖ πυνθάνεσθαι παρ᾽ ἐκεί-ων. Λέγεται δὲ καὶ τοιαῦτα περὶ τῶν Μασσαγετῶν· ὅτι ατοικοῦσιν οἱ μὲν, ὄρη· τινὲς δ᾽ αὐτῶν πεδία· οἱ δὲ ἕλη, ποιοῦσιν οἱ ποταμοί. οἱ δὲ, τὰς ἐν τοῖς ἕλεσι νήσους. Μάλιστα δέ φασι τὸν Ἀράξον ποταμὸν κατακλύζειν τὴν ώραν πολλαχῇ σχιζόμενον· ἐκπίπτοντα δὲ τοῖς μὲν ἄλ-οις στόμασιν εἰς τὴν ἄλλην τὴν πρὸς ἄρκτοις θάλασσαν, ἑνὶ δὲ μόνῳ πρὸς τὸν κόλπον τὸν Ὑρκάνιον. Θεὸν δὲ ἥ-

λιον

λιον μόνον ἡγοῦνται· τούτῳ δὲ ἱπποθυτοῦσι· γαμεῖ δ' ἕκαστος
μίαν· χρῶνται δὲ καὶ ταῖς ἀλλήλων οὐκ ἀφανῶς· ὁ δὲ μι-
γνύμενος τῇ ἀλλοτρίᾳ, τὴν φαρέτραν ἐξαρτήσας ἐκ τῆς ἁ-
μάξης, φανερῶς μίγνυται· θάνατος δὲ νομίζεται παρ' αὐ-
τοῖς ἄριστος, ὅταν γηράσαντες κατακοπῶσι μετὰ τῶν προ-
βατείων κρεῶν, καὶ ἀναμὶξ βρωθῶσι· τοὺς δὲ νόσῳ θανόν-
τας ῥίπτουσιν, ὡς ἀσεβεῖς, καὶ ἀξίους ὑπὸ θηρίων βεβρῶ-
σθαι. Ἀγαθοὶ δὲ ἱππόται, καὶ πεζοί· τόξοις δὲ χρῶνται,
καὶ μαχαίραις, καὶ θώραξι, καὶ σαγάρεσι χαλκαῖς· ζῶναι
δὲ αὐτοῖς εἰσὶ χρυσαῖ, καὶ διαδήματα ἐν ταῖς μάχαις· οἵ
τε ἵπποι χρυσοχάλινοι, μασχαλιστῆρες δὲ χρυσοῖ· ἄργυρος
δ' οὐ γίνεται παρ' αὐτοῖς, σίδηρος δ' ὀλίγος· χαλκὸς δὲ καὶ
χρυσὸς ἄφθονος. Οἱ μὲν οὖν ἐν ταῖς νήσοις, οὐκ ἔχοντες
σπόριμα, ῥιζοφαγοῦσι, καὶ ἀγρίοις χρῶνται καρποῖς· ἀμπέ-
χονται δὲ τοὺς τῶν δένδρων φλοιούς· οὐδὲ γὰρ βοσκήματα
ἔχουσι· πίνουσι δὲ τὸν ἐκ τῶν δένδρων καρπὸν ἐκθλίβοντες.
Οἱ δ' ἐν τοῖς ἕλεσιν ἰχθυοφαγοῦσιν· ἀμπέχονται δὲ τὰ τῶν
φωκῶν δέρματα τῶν ἐκ θαλάττης ἀνατρεχουσῶν. Οἱ δ'
ὄρειοι τοῖς ἀγρίοις τρέφονται καὶ αὐτοὶ καρποῖς· ἔχουσι δὲ
καὶ πρόβατα ὀλίγα, ὥστ' οὐδὲ κατακόπτουσι φειδόμενοι, τῶν
ἐρίων καὶ τοῦ γάλακτος· τὴν δ' ἐσθῆτα ποικίλλουσιν ἐπιχρί-
στοις φαρμάκοις, δυσεξίτηλον ἔχουσι τὸ ἄνθος. Οἱ δὲ πε-
δινοί, καίπερ ἔχοντες χώραν, οὐ γεωργοῦσιν· ἀλλὰ ἀπὸ προ-
βάτων καὶ ἰχθύων ζῶσι, Νομαδικῶς καὶ Σκυθικῶς. Ἔστι
γάρ τις καὶ κοινὴ ἡ δίαιτα πάντων τῶν τοιούτων, ἣν πολ-
λάκις λέγω· καὶ ταφαὶ δ' εἰσὶ παραπλήσιαι, καὶ ἤθη· καὶ
ὁ σύμπας βίος αὐθέκαστος μέν, σκαιὸς δέ, καὶ ἄγριος καὶ
πολεμικός· πρὸς δὲ τὰ συμβόλαια ἁπλοῦς καὶ ἀκάπηλος.
Τοῦ δὲ τῶν Μασσαγετῶν καὶ τῶν Σακῶν ἔθνους καὶ οἱ Ἀ-
τάσιοι, καὶ οἱ Χωράσμιοι· εἰς οὓς ἀπὸ τῶν Βακτριανῶν καὶ
τῶν Σογδιανῶν ἔφυγε Σπιταμένης, εἷς ἐκ τῶν ἀποδράντων
Περσῶν τὸν Ἀλέξανδρον, καθάπερ καὶ Βῆσσος, καὶ ὕστε-
ρον δὲ Ἀρσάκης τὸν Καλλίνικον φεύγων Σέλευκον εἰς τοὺς
Ἀπασιάκας ἐχώρησε. Φησὶ δ' Ἐρατοσθένης τοὺς Ἀραχωτοὺς
καὶ Μασσαγέτας τοῖς Βακτρίοις παρακεῖσθαι πρὸς Ὦξον· καὶ
Σάκας μὲν καὶ Σογδιανοὺς τοῖς ὅλοις ἐδάφεσιν ἀντικεῖσθαι τῇ
Ἰνδικῇ, Βακτρίους δ' ἐπ' ὀλίγον· τὸ γὰρ πλέον τῷ Παροπα-
μισῷ παρακεῖσθαι· διείργειν δὲ Σάκας μὲν καὶ Σογδιανοὺς
τ

τὸν Ἰαξάρτην, Σογδιανὲς δὲ καὶ Βακτριανὲς τὸν Ὦξον, μεταξὺ δὲ Ὑρκανῶν καὶ Ἀρίων Ταπύρες οἰκεῖν. Κύκλῳ δὲ περὶ τὴν θάλατταν μετὰ τὲς Ὑρκανὲς, Ἀμαρδές τε, καὶ Ἀναριάκας, καὶ Καδεσίες καὶ Ἀλβανὲς, καὶ Κασπίες, καὶ Οὐιτίες, τάχα δὲ καὶ ἑτέρες μέχρι Σκυθῶν· ἐπὶ θάτερα δὲ μέρη τῶν Ὑρκανῶν Δέρβικας· τὲς δὲ Καδεσίες συμψαύειν Μήδων καὶ Ματιανῶν ὑπὸ τὸν Παραχοάθραν. Τὰ δὲ διαστήματα ὅτω λέγει. Ἀπὸ μὲν τῦ Κασπίε ἐπὶ τὸν Κύρον ὡς χιλίες ὀκτακοσίες σταδίες· ἔνθεν ' ἐπὶ Κασπίας πύλας πεντακισχιλίες ἑξακοσίες· εἶτα εἰς Ἀλεξάνδρειαν τὴν ἐν Ἀρίοις ἑξακισχιλίες τετρακοσίες· ιτ' εἰς Βάκτραν τὴν πόλιν, ἣ καὶ Ζαριάσπα καλεῖται, ρισχιλίες ὀκτακοσίες ἑβδομήκοντα. Λέγει δὲ καὶ ὅτω ὰ διαστήματα. Ἀπὸ Κασπίων πυλῶν εἰς Ἰνδὲς, εἰς μὲν Ἑκατόμπυλον, χιλίες ἐννακοσίες ἑξήκοντά φασιν· εἰς δ' Ἀλεξάνδρειαν τὴν ἐν Ἀρίοις τετρακισχιλίες πεντακοσίες ριάκοντα· εἶτ' εἰς Προφθασίαν τὴν ἐν Δραγγῇ, χιλίες '·, οἱ δὲ Φ'· εἶτ' εἰς Ἀραχωτὲς τὴν πόλιν τετρακισχιλίες ἑκατὸν εἴκοσιν· εἶτ' εἰς Ὀρτόσπανα, ἐπὶ τὴν ἐκ άκτρων τρίοδον, δισχιλίες· εἶτ' εἰς τὰ ὅρια τῆς Ἰνδικῆς λίες· ὁμῦ, μύριοι πεντακισχίλιοι Φ'. Ἐπ' εὐθείας δὲ ; διαστήματι τέτῳ τὸ συνεχὲς δεῖ νοεῖν, τὸ ἀπὸ τῦ Ἰν- μέχρι τῆς ἑώας θαλάττης μῆκος, τῆς Ἰνδικῆς. Ταῦ- μὲν τὰ περὶ τὲς Σάκας.

Περὶ δὲ τῆς τῶν Σκυθέων μετοικεσίας ἐστὶ λόγος ων ὧδε· Σκύθας τὲς νομάδας, οἰκέοντας ἐν τῇ Ἀσίῃ, *Herodotus IV, 11.* λέμῳ πιεσθέντας ὑπὸ Μασσαγετέων, οἴχεσθαι διαβάντας ταμὸν Ἀράξεα ἐπὶ γῆν τὴν Κιμμερίην· τὴν γὰρ νῦν ιονται Σκύθαι, ἄυτη λέγεται τοπαλαιὸν εἶναι Κιμμε- ιν· τὲς δὲ Κιμμερίες, ἐπιόντων Σκυθέων, βελεύεσθαι, στρατῦ ἐπιόντος μεγάλε· καὶ δὴ τὰς γνώμας σφέων χωρισμένας, ἐντόνες μὲν ἀμφοτέρας, ἀμείνω δὲ τὴν , βασιλήων· τὴν μὲν γὰρ δὴ τῦ δήμε φέρειν γνώμην, ἀπαλλάσσεσθαι πρῆγμα εἴη, μηδὲ πρὸς πολλὲς δεόμε- κινδυνεύειν· τὴν δὲ τῶν βασιλήων, διαμάχεσθαι περὶ χώρης τοῖσι ἐπιεσι. ἐκων δὴ ἐθέλειν πείθεσθαι ὅτε τι βασιλεῦσι τὸν δῆμον, ὅτε τῷ δήμῳ τὲς βασιλῆας. μὲν δὴ ἀπαλλάσσεσθαι βελεύεσθαι ἀμαχητὶ, τὴν χώ-

ρην παραδόντας, τοῖσι ἐπιῦσι· τοῖσι δὲ βασιλεῦσι δόξ[illegible] ἐν τῇ ἑωϋτῶν κέεσθαι ἀποθανόντας, μηδὲ συμφεύγειν τ[illegible] δήμῳ· λογισαμένες ὅσα τε ἀγαθὰ πεπόνθασι, καὶ ὅσ[illegible] φεύγοντας ἐκ τῆς πατρίδος κακὰ ἐπίδοξα καταλαμβάνε[illegible] ὡς δὲ δόξαι σφι ταῦτα, διαςάντας, καὶ ἀριθμὸν ἴσες γε νομένες, μάχεσθαι πρὸς ἀλλήλες· καὶ τὲς μὲν, ἀποθα νόντας πάντας ὑπ' ἑωϋτῶν, θάψαι τὸν δῆμον τῶν Κιμ μερίων παρὰ ποταμὸν Τύρην· καί σφεων ἔτι δῆλός ἐςι ὁ τάφος· θάψαντας δὲ, ἕτω τὴν ἔξοδον ἐκ τῆς χώρης ποιέε σθαι. Σκύθας δὲ ἐπελθόντας λαβεῖν ἐρήμην τὴν χώρη[illegible]

cap. 12. Καὶ νῦν ἔςι μὲν ἐν τῇ Σκυθικῇ Κιμμέρια τείχεα, ἔςι δὲ Πορθμήϊα Κιμμέρια· ἔςι δὲ καὶ χώρη ἔνομα Κιμμε ρίη· ἔςι δὲ Βόσπορος, Κιμμέριος καλεόμενος. Φαίνοντα[illegible] δὲ οἱ Κιμμέριοι φεύγοντες ἐς τὴν Ἀσίην τὲς Σκύθας, καὶ τὴν Χερσόνησον κτίσαντες, ἐν τῇ νῦν Σινώπη πόλις Ἑλλὰς οἴκιςαι. Φανεροὶ δέ εἰσι καὶ οἱ Σκύθαι διώξαν τες αὐτὲς, καὶ ἐσβαλόντες ἐς γῆν τὴν Μηδικὴν, ἁμαρ τόντες τῆς ὁδῦ. οἱ μὲν γὰρ Κιμμέριοι αἰεὶ τὴν παρὰ θάλασσαν ἔφευγον· οἱ δὲ Σκύθαι, ἐν δεξιῇ τὸν Καύκα σον ἔχοντες, ἐδίωκον· ἐς ὃ ἐσέβαλον ἐς τὴν Μηδικὴ[illegible] γῆν, ἐς μεσόγαιαν τῆς ὁδῦ τραφθέντες.

Idem IV. 1. Μετὰ δὲ τὴν Βαβυλῶνος αἵρεσιν ἐγένετο ἐπὶ Σκύθα[illegible] αὐτῦ Δαρείυ ἔλασις. ἀνθεύσης γὰρ τῆς Ἀσίης ἀνδράσ[illegible] καὶ χρημάτων μεγάλων συνιόντων, ἐπεθύμησε ὁ Δαρεῖ[illegible] τίσασθαι Σκύθας, ὅτι ἐκεῖνοι πρότεροι ἐσβαλόντες ἐς τ[illegible] Μηδικὴν, καὶ νικήσαντες μάχῃ τὲς ἀντιευμένες, ὑπῆρ[illegible] ἀδικίης. τῆς γὰρ ἄνω Ἀσίης ἦρξαν Σκύθαι ἔτεα δυ[illegible] δέοντα τριήκοντα. Κιμμερίες γὰρ ἐπιδιώκοντες ἐσέβαλ[illegible] ἐς τὴν Ἀσίην, καταπαύσαντες τῆς ἀρχῆς Μήδες· ἕτοι γὰ[illegible] πρὶν ἢ Σκύθας ἀπικέσθαι, ἦρχον τῆς Ἀσίης. τὲς [illegible] Σκύθας ἀποδημήσαντας ὀκτὼ καὶ εἴκοσι ἔτεα, καὶ [illegible] χρόνε τοσέτε κατιόντας ἐς τὴν σφετέρην, ἐξεδέξατο [illegible] ἐλάσσων πόνος τῦ Μηδικῦ· εὗρον γὰρ ἀντιευμένην σφι ς[illegible] τιὴν ἐκ ὀλίγην· αἱ γὰρ τῶν Σκυθέων γυναῖκες, ὥς [illegible] οἱ ἄνδρες ἀπῆσαν χρόνον πολλὸν, ἐφοίτεον παρὰ τὲς [illegible]

cap. 2. λες. Τὲς δὲ δέλες οἱ Σκύθαι πάντας τυφλῦσι, τῦ [illegible] λακτος εἵνεκε τῦ πίνεσι, ποιεῦντες ὧδε· ἐπεὰν φυση[illegible] ρας λάβωσι ὀςεΐνες, αὐλοῖσι προσεμφερεςάτες, τὲ[illegible]

θέντες ἐς τῶν θηλέων ἵππων τὰ ἄρθρα, φυσσῶσι τοῖσι
ὀμασι· ἄλλοι δὲ ἄλλων φυσσεόντων ἀμέλγουσι. Φασὶ δὲ
ὧδε εἵνεκα τοῦτο ποιέειν· τὰς φλέβας τε πίμπλαθαι φυσ-
σωμένας τῆς ἵππου, καὶ τὸ οὖθαρ κατίεθαι. ἐπεὰν δὲ
μέλξωσι τὸ γάλα, ἐσχέαντες ἐς ξύλινα ἀγγήϊα κοῖλα,
καὶ περιστήξαντες κατὰ τὰ ἀγγήϊα τοὺς τυφλοὺς, δονέουσι τὸ
γάλα. καὶ τὸ μὲν αὐτοῦ ἐπιστάμενον ἀπαρύσαντες, ἡγεῦν-
ται εἶναι τιμιώτερον· τὸ δ' ὑπιστάμενον, ἧσσον τοῦ ἑτέρου.
τῶν μὲν εἵνεκα ἅπαντα τὸν ἂν λάβωσι οἱ Σκύθαι, ἐκ-
τυφλοῦσι· οὐ γὰρ ἀρόται εἰσὶ, ἀλλὰ νομάδες. Ἐκ τουτέων
ὧν σφι τῶν δούλων καὶ τῶν γυναικῶν ἐτράφη νεότης·
ἐπεί τε ἔμαθον τὴν σφετέρην γένεσιν, ἠντιοῦντο αὐτοῖσι
κατιοῦσι ἐκ τῶν Μήδων. καὶ πρῶτα μὲν τὴν χώρην
ἀπετάμοντο, τάφρον ὀρυξάμενοι εὐρέαν, κατατείνουσαν ἐκ
τῶν Ταυρικῶν οὐρέων ἐς τὴν Μαιῶτιν λίμνην, ἧπερ ἐστὶ με-
γίστη· μετὰ δὲ, πειρεωμένοισι ἐσβάλλειν τοῖσι Σκύθῃσι ἀν-
τικατιζόμενοι ἐμάχοντο. γινομένης δὲ μάχης πολλάκις,
καὶ οὐ δυναμένων οὐδὲν πλέον ἔχειν τῶν Σκυθέων τῇ μά-
χῃ, εἷς αὐτῶν ἔλεξε τάδε· "Οἷα ποιεῦμεν, ἄνδρες Σκύ-
θαι; δούλοισι τοῖσι ἡμετέροισι μαχόμενοι, ἐλάσσονες κτει-
νόμενοι γινόμεθα, καὶ ἐκείνους κτείνοντες ἐλασσόνων τὸ
λοιπὸν ἄρξομεν. νῦν ὦν μοι δοκέει αἰχμὰς μὲν καὶ τόξα
μετεῖναι· λαβόντα δὲ ἕκαστον τοῦ ἵππου τὴν μάστιγα, ἰέναι
ἆσσον αὐτῶν. μέχρι μὲν γὰρ ὥρεον ἡμέας ὅπλα ἔχοντας,
οἱ δὲ ἐνόμιζον ὁμοῖοί τε καὶ ἐξ ὁμοίων ἡμῖν εἶναι· ἐπεὰν
δὲ ἴδωνται μάστιγας ἀντὶ ὅπλων ἔχοντας, μαθόντες ὡς
εἰσι ἡμέτεροι δοῦλοι, καὶ συγγνόντες τοῦτο, οὐκ ὑπομενέουσι."
Ταῦτα ἀκούσαντες οἱ Σκύθαι, ἐποίευν ἐπιτελέα· οἱ δ' ἐκ-
πλαγέντες τῷ γινομένῳ, τῆς μάχης τε ἐπελάθοντο, καὶ
ἔφευγον. οὕτω οἱ Σκύθαι τῆς τε Ἀσίης ἦρξαν, καὶ ἐξε-
λαθέντες αὖτις ὑπὸ Μήδων, κατῆλθον τρόπῳ τοιούτῳ ἐς
τὴν σφετέρην. τῶνδε εἵνεκα ὁ Δαρεῖος τίσασθαι βουλόμε-
νος, συνήγειρε ἐπ' αὐτοὺς στράτευμα.

Δαρεῖος δὲ ἐπεί τε πορευόμενος ἐκ Σούσων ἀπίκετο τῆς
Καλχηδονίης ἐπὶ τὸν Βόσπορον, ἵνα ἔζευκτο ἡ γέφυρα,
διέβαινε ἐς τὴν Εὐρώπην, τοῖσι Ἴωσι παραγγείλας
πλέειν ἐς τὸν Πόντον, μέχρι Ἴστρου ποταμοῦ· ἐπεὰν δὲ
ἀπίκωνται ἐς τὸν Ἴστρον, ἐνθαῦτα αὐτὸν περιμένειν, ζευ-

cap. 3.

cap. 4.

γνύντας τὸν ποταμόν. Πρὶν δὲ ἀπικέσθαι ἐπὶ τὸν Ἴστρον Δαρεῖος πρώτους αἱρέει Γέτας τοὺς ἀθανατίζοντας· ὡς δὲ ἀπίκετο αὐτὸς καὶ ὁ πεζὸς ἅμ' αὐτῷ στρατὸς ἐπὶ τὸν Ἴστρον, ἐνθαῦτα διαβάντων πάντων, Δαρεῖος, καλέσας ἐς λόγους τοὺς Ἰώνων τυράννους, ἔλεγε· Φυλάσσετε τὴν σχεδίην πᾶσαν προθυμίην σωτηρίης τε καὶ φυλακῆς παρεχόμενοι· καὶ ἐς τὸ πρόσω ἐπείγετο.

cap. 102. Οἱ δὲ Σκύθαι, βασιλῆες δὴ Ταύρων, καὶ Ἀγαθύρσων, καὶ Νευρῶν, καὶ Ἀνδροφάγων, καὶ Μελαγχλαίνων, καὶ Γελωνῶν, καὶ Βουδίνων, καὶ Σαυροματέων, δόντες σφίσι λόγον, ὡς οὐκ οἷοί τε εἰσι τὸν Δαρείου στρατὸν ἰθυμαχίῃ διώσασθαι μοῦνοι, ἔπεμπον ἐς τοὺς πλησιοχώρους ἀγγέλους· οὗτοι δέ σφι σύμμαχοι οὐ προσεγένοντο.

cap. 120. Οἱ οὖν Σκύθαι ἐβουλεύοντο ἰθυμαχίην μὲν μηδεμίην ποιέεσθαι ἐκ τοῦ ἐμφανέος· ὑπεξιόντες δὲ καὶ ὑπεξελαύνοντες, τὰ φρέατα τὰ παρεξίοιεν αὐτοί, καὶ τὰς κρήνας συγχοῦν, τὴν ποίην τε ἐκ τῆς γῆς ἐκτρίβειν, διχοῦ σφέας διελόντες. καὶ πρὸς μὲν τὴν μίην τῶν μοιρέων, τῆς ἐβασίλευσε Σκώπασις, προσχωρέειν Σαυρομάτας· τούτους μὲν δὴ ὑπάγειν, ἢν ἐπὶ τοῦτο τράπηται ὁ Πέρσης, ἰθὺ Τανάιδος ποταμοῦ παρὰ τὴν Μαιῆτιν λίμνην ὑποφεύγοντας· ἀπελαύνοντός τε τοῦ Πέρσεω, ἐπιόντας διώκειν. αὕτη μὲν σφι μίη ἦν μοίρη τῆς βασιληΐης, τεταγμένη ταύτην τὴν ὁδόν. τὰς δὲ δύο τῶν βασιληΐων, τήν τε μεγάλην, τῆς ἦρχε Ἰδάνθυρσος, καὶ τὴν τρίτην, τῆς ἐβασίλευε Τάξακις, συνελθούσας ἐς τὠυτὸ, καὶ Γελωνῶν τε καὶ Βουδίνων προσγενομένων, ἡμέρης καὶ τούτους ὁδῷ προέχοντας τῶν Περσέων, ὑπεξάγειν, ὑπιόντας τε καὶ ποιεῦντας τὰ βεβουλευμένα. πρῶτα μέν νυν ὑπάγειν σφέας ἰθὺ τῶν χωρέων τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, ἵνα καὶ τούτους ἐκπολεμώσωσι· εἰ δὲ μὴ ἑκόντες γε ὑπέδυσαν τὸν πόλεμον τὸν πρὸς Πέρσας, ἀλλ' ἄκοντας ἐκπολεμῶσαι. μετὰ δὲ τοῦτο ὑποστρέφειν ἐς τὴν σφετέρην, καὶ ἐπιχειρέειν ἢν δὴ βουλευομένοισι δοκέῃ.

cap. 121. Ταῦτα οἱ Σκύθαι βουλευσάμενοι, ὑπηντίαζον τὴν Δαρείου στρατιὴν, προδρόμους ἀποστείλαντες τῶν ἱππέων τοὺς ἀρίστους. τὰς δὲ ἁμάξας ἐν τῇσί σφι διαιτᾶτο τὰ τέκνα τε καὶ αἱ γυναῖκες πᾶσαι, καὶ τὰ πρόβατα πάντα, πλὴν ὅσα σφι ἐς φορβὴν ἱκανὰ ἦν, τοσαῦτα ὑπο-

ιολιπόμενοι, τὰ ἄλλα ἅμα τῇσι ἁμάξῃσι προέπεμψαν, τειλάμενοι αἰεὶ τὸ πρὸς βορέω ἐλαύνειν. ταῦτα μὲν δὴ ιοεκομίζετο. Τῶν δὲ Σκυθέων οἱ πρόδρομοι ὡς εὗρον cap. 122.
ς Πέρσας ὅσον τε τριῶν ἡμερέων ὁδὸν ἀπέχοντας ἀπὸ Ἴσρε, ἔτοι μὲν τέτες εὑρόντες, ἡμέρης ὁδῷ προέχοντες, ἐςρατοπεδεύοντο, τὰ ἐκ τῆς γῆς φυόμενα λεαίνοντες. οἱ δὲ Πέρσαι ὡς εἶδον ἐπιφανεῖσαν τῶν Σκυθέων ν ἵππον, ἐπήϊσαν κατὰ ςίβον αἰεὶ ὑπαγόντων· καὶ ἔπει-, πρὸς γὰρ τὴν μίην τῶν μοιρέων ἴθυσαν, οἱ Πέρσαι ώκον πρὸς ἠῶ τε καὶ τῦ Τανάϊδος. διαβάντων δὲ τέ-ν τὸν Τάναϊν ποταμὸν, οἱ Πέρσαι ἐπιδιαβάντες ἐδίω-,· ἐς ὃ τῶν Σαυροματέων τὴν χώρην διεξελθόντες, ίκοντο ἐς τὴν τῶν Βεδίνων. Ὅσον μὲν δὴ χρόνον οἱ cap. 123.
ἔρσαι ἤϊσαν διὰ τῆς Σκυθικῆς καὶ τῆς Σαυρομάτιδος ώρης, οἱ δὲ εἶχον ἐδὲν σίνεσθαι, ἅτε τῆς χώρης ἐέσης ἔρσε· ἐπεί τε δὲ ἐς τὴν τῶν Βεδίνων χώρην ἐσέβαλον, θαῦτα δὴ ἐντυχόντες τῷ ξυλίνῳ τείχεϊ, ἐκλελειπότων ῶν Βεδίνων, καὶ κεκενωμένε τῦ τείχεος πάντων, ἐνέ-ησαν αὐτό. τῦτο δὲ ποιήσαντες, εἵποντο αἰεὶ τὸ πρό-ν κατὰ ςίβον· ἐς ὃ διεξελθόντες ταύτην, ἐς τὴν ἐρη-ν ἀπίκοντο. ἡ δὲ ἔρημος ἅυτη ὑπὸ ἐδαμῶν νέμεται δρῶν, κέεται δὲ ὑπὲρ τῆς Βεδίνων χώρης, ἐῦσα πλῆ-ς ἑπτὰ ἡμερέων ὁδῦ. ὑπὲρ δὲ τῆς ἐρήμε Θυσσαγέται έεσι· ποταμοὶ δὲ ἐξ αὐτέων τέσσερες μεγάλοι ῥέοντες Μαιητέων ἐκδιδῦσι ἐς τὴν λίμνην καλεομένην Μαιή-· τοῖσι ἐνόματα κέεται τάδε, Λύκος, Ὄαρος, Τάναϊς, ργις. Ἐπεὶ ὦν ὁ Δαρεῖος ἦλθε ἐς τὴν ἔρημον, παυ- cap. 124.
μενος τῦ δρόμε, ἵδρυσε τὴν ςρατιὴν ἐπὶ ποταμῷ Ὀά-. τῦτο δὲ ποιήσας, ὀκτὼ τείχεα ἐτείχεε μεγάλα, ἴσον ἀλλήλων ἀπέχοντα ςαδίες ὡς ἑξήκοντα μάλιςά κη· ν ἔτι ἐς ἐμὲ τὰ ἐρείπια σῶα ἦν. ἐν ᾧ δὲ ἕτος πρὸς ῦτα ἐτράπετο, οἱ διωκόμενοι Σκύθαι περιελθόντες τὰ ύπερθε, ὑπέςρεφον ἐς τὴν Σκυθικήν. ἀφανισθέντων τέτων τοπαράπαν, ὡς ἐκέτι ἐφαντάζοντό σφι, ἕτω δὴ Δαρεῖος τείχεα μὲν ἐκεῖνα ἡμίεργα μετῆκε· αὐτὸς δὲ οςρέψας ἤϊε πρὸς ἑσπέρην· δοκέων τέτες τε πάντας τὲς ύθας εἶναι, καὶ πρὸς ἑσπέρην σφέας φεύγειν. Ἐλαύ- cap. 125.
δὲ τὴν ταχίςην τὸν ςρατὸν, ὡς ἐς τὴν Σκυθικὴν ἀπί-

κετο,

κετο, ἐνέκυρσε ἀμφοτέρῃσι τῇσι μοίρῃσι τῶν Σκυθέων· ἐντυχὼν δὲ, ἐδίωκε ὑπεκφέροντας ἡμέρης ὁδῷ. καὶ, οὐ γὰρ ἀνίεε ἐπιὼν ὁ Δαρεῖος, οἱ Σκύθαι κατὰ τὰ βεβουλευμένα ὑπέφευγον ἐς τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην· πρώτην δὲ, ἐς τῶν Μελαγχλαίνων τὴν γῆν. ὡς δὲ ἐσβαλόντες τούτους ἐτάραξαν οἵ τε Σκύθαι καὶ οἱ Πέρσαι, κατηγέοντο οἱ Σκύθαι ἐς τῶν Ἀνδροφάγων τοὺς χώρους. ταραχθέντων δὲ καὶ τούτων, ὑπῆγον ἐπὶ τὴν Νευρίδα. ταρασσομένων δὲ καὶ τούτων, ἤϊσαν ὑποφεύγοντες οἱ Σκύθαι ἐς τοὺς Ἀγαθύρσους. Ἀγάθυρσοι δὲ ὁρέοντες καὶ τοὺς ὁμούρους φεύγοντας ὑπὸ Σκυθέων, καὶ τεταραγμένους, πρὶν ἤ σφι ἐμβαλέειν τοὺς Σκύθας, πέμψαντες κήρυκα, ἀπηγόρευον Σκύθῃσι μὴ ἐπιβαίνειν τῶν σφετέρων οὔρων· προλέγοντες ὡς εἰ πειρήσονται ἐσβαλόντες, σφίσι πρῶτα διαμαχήσονται. Ἀγάθυρσοι μὲν προείπαντες ταῦτα, ἐβοήθεον ἐπὶ τοὺς οὔρους, ἐν νῷ ἔχοντες ἐρύκειν τοὺς ἐπιόντας. Μελάγχλαινοι δὲ καὶ Ἀνδροφάγοι καὶ Νευροὶ, ἐσβαλόντων τῶν Περσέων ἅμα Σκύθῃσι, οὔτε πρὸς ἀλκὴν ἐτράποντο, ἐπιλαθόμενοί τε τῆς ἀπειλῆς, ἔφευγον αἰεὶ τὸ πρὸς βορέω ἐς τὴν ἔρημον τεταραγμένοι. οἱ δὲ Σκύθαι ἐς μὲν τοὺς Ἀγαθύρσους οὐκέτι, ἀπείπαντας, ἀπικνέοντο· οἱ δὲ ἐκ τῆς Νευρίδος χώρης ἐς τὴν σφετέρην κα-
cap. 126. τηγέοντο τοῖσι Πέρσῃσι. Ὡς δὲ πολλὸν τοῦτο ἐγένετο, καὶ οὐκ ἐπαύετο, πέμψας Δαρεῖος ἱππέα παρὰ τὸν Σκυθέων βασιλῆα Ἰδάνθυρσον, ἔλεγε τάδε, "Δαιμόνιε ἀνδρῶν, τί φεύγεις αἰεὶ, ἐξόν τοι τῶνδε τὰ ἕτερα ποιέειν; εἰ μὲν γὰρ ἀξιόχρεως δοκέεις εἶναι σεωϋτῷ, τοῖσι ἐμοῖσι πρήγμασι ἀντιωθῆναι, σὺ δὲ στάς τε καὶ παυσάμενος πλάνης μάχεσθαι· εἰ δὲ συγγινώσκεαι εἶναι ἥσσων, σὺ δὲ καὶ οὕτω παυσάμενος τοῦ δρόμου, δεσπότῃ τῷ σῷ δῶρα φέρων
cap. 127. γῆν τε καὶ ὕδωρ, ἐλθὲ ἐς λόγους." Πρὸς ταῦτα ὁ Σκυθέων βασιλεὺς Ἰδάνθυρσος ἔλεγε τάδε, "Οὕτω τὸ ἐμὸν ἔχει ὦ Πέρσα· ἐγὼ οὐδένα κω ἀνθρώπων δείσας ἔφυγον οὔτε πρότερον, οὔτε νῦν σε φεύγω· οὐδέ τι νεώτερόν εἰμι ποιήσας νῦν ἢ καὶ ἐν εἰρήνῃ ἐώθεα ποιέειν. ὅτι δὲ οὐκ αὐτίκα μάχομαί τοι, ἐγὼ καὶ τοῦτο σημανέω· ἡμῖν οὔτε ἄστεα, οὔτε γῆ πεφυτευμένη ἐστὶ, τῶν πέρι δείσαντες μὴ ἁλώῃ ἢ καρῇ, ταχύτερον συμμίσγοιμεν ἂν ἐς μάχην ὑμῖν. εἰ δὲ δέοι πάντως ἐς τοῦτο κατὰ τάχος ἀπικνέεσθαι, τυγχά-

νει

σι ἡμῖν ἐόντες τάφοι πατρώϊοι, φέρετε, τούτους ἀνευρόν-
ς, συγχέειν πειρᾶσθε αὐτούς· καὶ γνώσεσθε τότε, εἴτε
ιῖν μαχησόμεθα περὶ τῶν τάφων, εἴτε καὶ οὐ μαχησόμε-
κ. πρότερον δὲ, ἢν μὴ ἡμέας λόγος αἱρῇ, οὐ συμμίξο-
εν τοι. ἀμφὶ μὲν μάχῃ τοσαῦτα εἰρήσθω. δεσπότας
ἐμοὺς Διά τε ἐγὼ νομίζω τὸν ἐμὸν πρόγονον, καὶ Ἰ-
ην τὴν Σκυθέων βασίλειαν μούνους εἶναι. σοὶ δὲ ἀντὶ
ὶν δώρων γῆς τε καὶ ὕδατος δῶρα πέμψω τοιαῦτα οἷά
ι πρέπει ἐλθεῖν· ἀντὶ δὲ τοῦ ὅτι δεσπότης ἔφησας εἶ-
ι ἐμὸς, κλαίειν λέγω." [τοῦτό ἐστι ἡ ἀπὸ Σκυθέων
σις.] Ὁ μὲν δὴ κῆρυξ οἰχώκεε ἀγγελέων ταῦτα Δα-
ίῳ. Οἱ δὲ Σκυθέων βασιλῆες, ἀκούσαντες τῆς δουλο- cap. 128.
ύνης τὸ οὔνομα, ὀργῆς ἐπλήσθησαν. τὴν μὲν δὴ Σαυρο-
κτέων μοίρην ταχθεῖσαν, τῆς ἦρχε Σκώπασις, πέμπου-
, Ἴωσι κελεύοντες ἐς λόγους ἀπικέσθαι, τούτοισι οἳ τὸν
ςρον ἐζευγμένον ἐφρούρεον· αὐτῶν δὲ τοῖσι ὑπολειπομέ-
ισι ἔδοξε πλανᾶν μὲν μηκέτι Πέρσας, σῖτα δὲ ἑκάστοτε
αιρεομένοισι ἐπιτίθεσθαι. νωμῶντες ὦν σῖτα ἀναιρεομέ-
ις τοὺς Δαρείου, ἐποίευν τὰ βεβουλευμένα. ἡ μὲν δὴ ἵπ-
ος τὴν ἵππον αἰεὶ τρέπεσκε ἡ τῶν Σκυθέων· οἱ δὲ τῶν
ερσέων ἱππόται φεύγοντες ἐσέπιπτον ἐς τὸν πεζόν· ὁ
πεζὸς ἂν ἐπεκούρεε· οἱ δὲ Σκύθαι ἐσαράξαντες τὴν
πον, ὑπέστρεφον, τὸν πεζὸν φοβεόμενοι. ἐποιεῦντο δὲ
ὶ τὰς νύκτας παραπλησίας προσβολὰς οἱ Σκύθαι. Τὸ cap. 129.
τοῖσι Πέρσῃσί τε ἦν σύμμαχον καὶ τοῖσι Σκύθῃσι ἀν-
ξοον, ἐπιτιθεμένοισι τῷ Δαρείου στρατοπέδῳ, θῶυμα μέ-
σον ἐρέω· τῶν τε ὄνων ἡ φωνὴ, καὶ τῶν ἡμιόνων τὸ
δος. οὔτε γὰρ ὄνον οὔτε ἡμίονον γῆ ἡ Σκυθικὴ φέρει,
ὲ ἔστι ἐν τῇ Σκυθικῇ πάσῃ χώρῃ τοπαράπαν οὔτε ὄνος,
ε ἡμίονος, διὰ τὰ ψύχεα. ὑβρίζοντες ὦν οἱ ὄνοι ἐτά-
σσον τὴν ἵππον τῶν Σκυθέων. πολλάκις δὲ ἐπελαυ-
ντων ἐπὶ τοὺς Πέρσας, μεταξὺ ὅκως ἀκούσειαν οἱ ἵπποι
ν ὄνων τῆς φωνῆς, ἐταράσσοντό τε ὑποστρεφόμενοι,
ὶ ἐν θωύματι ἔσκον, ὀρθὰ ἱστάντες τὰ ὦτα· ἅτε οὔτε
ιούσαντες πρότερον φωνῆς τοιαύτης, οὔτε ἰδόντες τὸ εἶδος.
ῦτα μέν νυν ἐπὶ σμικρόν τι ἐφέροντο τοῦ πολέμου. Οἱ cap. 130.
Σκύθαι ὅκως τοὺς Πέρσας ἴδοιεν τεθορυβημένους, ἵνα
ιραμένοιέν τε ἐπὶ πλέω χρόνον ἐν τῇ Σκυθικῇ, καὶ
παρα-

παραμένοντες ἀνιῷατο, τῶν πάντων ἐπιδεέες ἐόντες, ἐποί-
ευν τοιάδε· ὅκως τῶν προβάτων τῶν σφετέρων αὐτῶν κα-
ταλίποιεν μετὰ τῶν νομέων, αὐτοὶ ἂν ὑπεξήλαυνον ἐς
ἄλλον χῶρον· οἱ δὲ ἂν Πέρσαι ἐπελθόντες ἐλάβεσκον τὰ
πρόβατα, καὶ λαβόντες, ἐπήροντο ἂν τῷ πεποιημένῳ.
cap. 131. Πολλάκις δὲ τούτου γινομένου, τέλος Δαρεῖός τε ἐν ἀπορί-
σι εἴχετο, καὶ οἱ Σκυθέων βασιλῆες μαθόντες τοῦτο,
ἔπεμπον κήρυκα, δῶρα Δαρείῳ φέροντα, ὄρνιθά τε καὶ
μῦν, καὶ βάτραχον καὶ ὀϊςοὺς πέντε. Πέρσαι δὲ τὸν
φέροντα τὰ δῶρα ἐπειρώτεον τὸν νόον τῶν διδομένων· ὁ
δὲ οὐδὲν ἔφη οἱ ἐπεςάλθαι ἄλλο ἢ δόντα τὴν ταχίςη
ἀπαλλάσσεσθαι. αὐτοὺς δὲ τοὺς Πέρσας ἐκέλευε, εἰ σοφοί
εἰσι, γνῶναι τὸ ἐθέλει τὰ δῶρα λέγειν. ταῦτα ἀκούσαν-
cap. 132. τες οἱ Πέρσαι, ἐβουλεύοντο. Δαρείου μέν νυν ἡ γνώμη
ἔην, Σκύθας ἑωϋτῷ διδόναι σφέας τε αὐτοὺς, καὶ γῆν τε
καὶ ὕδωρ· εἰκάζων τῇδε, ὡς μῦς μὲν ἐν γῇ γίνεται, καρ-
πὸν τὸν αὐτὸν ἀνθρώπῳ σιτεόμενος· βάτραχος δὲ ἐν ὕδα-
τι· ὄρνις δὲ μάλιςα ἔοικε ἵππῳ· τοὺς δὲ ὀϊςοὺς, ὡς τὴν
ἑωϋτῶν ἀλκὴν παραδιδοῦσι. αὕτη μεν Δαρείῳ ἡ γνώμη
ἀπεδέδεκτο. συνεςήκεε δὲ ταύτῃ τῇ γνώμῃ ἡ Γοβρύεω,
τῶν ἀνδρῶν τῶν ἑπτὰ ἑνὸς, τῶν τὸν μάγον κατελόντων,
εἰκάζοντος τὰ δῶρα λέγειν, "Ἢν μὴ ὄρνιθες γενόμενοι
ἀναπτῆσθε ἐς τὸν οὐρανὸν, ὦ Πέρσαι, ἢ μύες γενόμενοι
κατὰ τῆς γῆς καταδύητε, ἢ βάτραχοι γενόμενοι ἐς τὰς
λίμνας ἐσπηδήσητε, οὐκ ἀπονοςήσετε ὀπίσω, ὑπὸ τῶνδε
τῶν τοξευμάτων βαλλόμενοι." Πέρσαι μὲν δὴ οὕτω τὰ
cap. 133. δῶρα εἴκαζον. Ἡ δὲ Σκυθέων μίη μοίρη ἡ ταχθεῖσα
πρότερον μὲν παρὰ τὴν Μαιῆτιν λίμνην φρουρέειν, τότε
δὲ ἐπὶ τὸν Ἴςρον Ἴωσι ἐς λόγους ἐλθεῖν, ὡς ἀπίκετο ἐπὶ
τὴν γέφυραν, ἔλεγε τάδε, "Ἄνδρες Ἴωνες, ἐλευθερίην
ὑμῖν ἥκομεν φέροντες, ἤνπερ γε ἐθέλητε ἐσακούειν. πυν-
θανόμεθα γὰρ Δαρεῖον ἐντείλασθαι ὑμῖν, ἑξήκοντα ἡμέρας
μούνας φρουρήσαντας τὴν γέφυραν, αὐτοῦ μὴ παραγενομένου
ἐν τούτῳ τῷ χρόνῳ, ἀπαλλάσσεσθαι ἐς τὴν ὑμετέρην. νῦν
ὦν ὑμεῖς τάδε ποιεῦντες, ἐκτὸς μὲν ἔσεσθε πρὸς ἐκείνου αἰ-
τίης, ἐκτὸς δὲ πρὸς ἡμέων· τὰς προκειμένας ἡμέρας παρα-
μείναντες, τὸ ἀπὸ τούτου ἀπαλλάσσεσθε." Οὗτοι μὲν νυν
ὑποδεξαμένων Ἰώνων ποιήσειν ταῦτα, ὀπίσω τὴν ταχίςη
ἐπε-

'είγοντο. Πέρσῃσι δὲ μετὰ τὰ δῶρα τὰ ἐλθόντα τῷ Δα- cap. 134.
ίῳ, ἀντετάχθησαν οἱ ὑπολειφθέντες Σκύθαι πεζῷ καὶ
ποισι, ὡς συμβαλέοντες· τεταγμένοισι δὲ τοῖσι Σκύθῃσι
ιγὸς ἐς τὸ μέσον διῆξε. τῶν δὲ, ὡς ἕκαστοι ὥρεον τὸν
ιγὸν, ἐδίωκον. ταραχθέντων δὲ τῶν Σκυθέων, καὶ βοῇ
ιεωμένων, εἴρετο ὁ Δαρεῖος τῶν ἀντιπολεμίων τὸν θόρυ-
ν· πυθόμενος δέ σφεας τὸν λαγὸν διώκοντας, εἶπε ἄρα
ὸ τούσπερ ἐώθεε καὶ τὰ ἄλλα λέγειν, "οὗτοι ὤνδρες ἡ-
έων πολλὸν καταφρονέουσι· καί μοι νῦν φαίνεται Γοβρύης
παι περὶ τῶν Σκυθικῶν δώρων ὀρθῶς. ὡς ὦν οὕτως ἤδη
κεόντων καὶ αὐτῷ μοι ἔχειν, βουλῆς ἀγαθῆς δεῖ, ὅκως
σφαλέως ἡ κομιδὴ ἡμῖν ἔσται ὀπίσω." Πρὸς ταῦτα Γο-
ρύης εἶπε, "ὦ βασιλεῦ, ἐγὼ σχεδὸν μὲν καὶ λόγῳ ἠπι-
έμην τούτων τῶν ἀνδρῶν τὴν ἀπορίην· ἐλθὼν δὲ, μᾶλλον
ξέμαθον, ὁρέων αὐτοὺς ἐμπαίζοντας ἡμῖν· νῦν ὦν μοι δο-
ξει, ἐπὴν τάχιστα νὺξ ἐπέλθῃ, ἐκκαύσαντας τὰ πυρὰ, ὡς
αὶ ἄλλοτε ἐώθαμεν ποιέειν, τῶν στρατιωτέων τοὺς ἀσθενε-
ἐτους ἐς τὰς ταλαιπωρίας ἐξαπατήσαντας, καὶ τοὺς ὄνους
άντας καταδήσαντας, ἀπαλλάσσεσθαι, πρὶν ἢ καὶ ἐπὶ τὸν
στρον ἰθῦσαι Σκύθας λύσοντας τὴν γέφυραν, ἢ καί τι
ωσι δόξαι, τὸ ἡμέας οἷόν τε ἔσται ἐξεργάσεσθαι." Γοβρύης cap. 135.
ὲν ταῦτα συνεβούλευε. Μετὰ δὲ, νύξ τε ἐγένετο, καὶ
αρεῖος ἐχρᾶτο τῇ γνώμῃ ταύτῃ· τοὺς μὲν καματηροὺς τῶν
νδρῶν, καὶ τῶν ἦν ἐλάχιστος ἀπολλυμένων λόγος, καὶ
οὺς ὄνους πάντας καταδήσας, κατέλιπε αὐτοῦ ταύτῃ ἐν τῷ
ρατοπέδῳ· κατέλιπε δὲ τούστε ὄνους καὶ τοὺς ἀσθενέας τῆς
ρατιῆς, τῶνδε εἵνεκεν· ἵνα οἱ μὲν ὄνοι βοὴν παρέχωνται·
ι δὲ ἄνθρωποι ἀσθενείης μὲν εἵνεκεν κατελίποντο, προφά-
ιος δὲ τῆσδε δηλαδὴ, αὐτὸς μὲν σὺν τῷ καθαρῷ τοῦ στρατοῦ
πιθήσεσθαι μέλλοι τοῖσι Σκύθῃσι, οὗτοι δὲ τὸ στρατόπεδον
οῦτον τὸν χρόνον ῥυοίατο. ταῦτα τοῖσι ὑπολειπομένοισι
ποθέμενος ὁ Δαρεῖος, καὶ πυρὰ ἐκκαύσας, τὴν ταχίστην
πείγετο ἐπὶ τὸν Ἴστρον. οἱ δὲ ὄνοι ἐρημωθέντες τοῦ ὁμί-
ου, οὕτω μὲν δὴ μᾶλλον πολλῷ ἵεσαν τῆς φωνῆς· ἀκούσαν-
ες δὲ οἱ Σκύθαι τῶν ὄνων, πάγχυ κατὰ χώρην ἤλπιζον
οὺς Πέρσας εἶναι. Ἡμέρης δὲ γενομένης, γνόντες οἱ ὑπο- cap. 136.
ειφθέντες ὡς προδεδομένοι εἶεν ὑπὸ Δαρείου, χεῖράς τε
ροετείνοντο τοῖσι Σκύθῃσι, καὶ ἔλεγον τὰ κατήκοντα· οἱ
δὲ

δὲ ὡς ἤκουσαν ταῦτα, τὴν ταχίστην συστραφέντες, αἵ τε δύο μοῖραι τῶν Σκυθέων καὶ ἡ μίη, Σαυρομάται καὶ Βουδῖνοι καὶ Γελωνοὶ, ἐδίωκον τοὺς Πέρσας ἰθὺ τοῦ Ἴστρου. ἅτε δὲ τοῦ Περσικοῦ μὲν τοῦ πολλοῦ ἐόντος πεζοῦ στρατοῦ, καὶ τὰς ὁδοὺς οὐκ ἐπισταμένου, ὥστε οὐ τετμημένων τῶν ὁδῶν, τοῦ δὲ Σκυθικοῦ, ἱππότεω, καὶ τὰ σύντομα τῆς ὁδοῦ ἐπισταμένου, ἁμαρτόντες ἀλλήλων, ἔφθησαν πολλῷ οἱ Σκύθαι τοὺς Πέρσας ἐπὶ τὴν γέφυραν ἀπικόμενοι. μαθόντες δὲ τοὺς Πέρσας οὔκω ἀπιγμένους, ἔλεγον πρὸς τοὺς Ἴωνας ἐόντας ἐν τῇσι νηυσί, "Ἄνδρες Ἴωνες, αἵ τε ἡμέραι ὑμῖν τοῦ ἀριθμοῦ διοίχηνται, καὶ οὐ ποιέετε δίκαια ἔτι παραμένοντες. ἀλλ' ἐπεὶ πρότερον δειμαίνοντες ἐμένετε, νῦν λύσαντες τὸν πόρον, τὴν ταχίστην ἄπιτε χαίροντες ἐλεύθεροι, θεοῖσί τε καὶ Σκύθῃσι εἰδότες χάριν. τὸν δὲ πρότερον ἐόντα ὑμέων δεσπότην ἡμεῖς παραστησόμεθα οὕτω, ὥστε ἐπὶ μηδαμοὺς ἔτι ἀνθρώπους αὐτὸν στρατεύσασθαι." Πρὸς

cap. 137. ταῦτα οἱ Ἴωνες ἐβουλεύοντο. Μιλτιάδεω μὲν τοῦ Ἀθηναίου, στρατηγέοντος καὶ τυραννεύοντος Χερσονησιτέων τῶν ἐν Ἑλλησπόντῳ, ἦν γνώμη, πείθεσθαι Σκύθῃσι, καὶ ἐλευθεροῦν Ἰωνίην· Ἱστιαίου δὲ τοῦ Μιλησίου ἐναντίη ταύτῃ, λέγοντος ὡς νῦν μὲν διὰ Δαρεῖον ἕκαστος αὐτέων τυραννεύει πόλιος· τῆς Δαρείου δὲ δυνάμιος καταιρεθείσης, οὔτε αὐτὸς Μιλησίων οἷός τε ἔσεσθαι ἄρχειν, οὔτε ἄλλον οὐδένα οὐδαμῶν· βουλήσεσθαι γὰρ ἑκάστην τῶν πολίων δημοκρατέεσθαι μᾶλλον ἢ τυραννεύεσθαι. Ἱστιαίου δὲ γνώμην ταύτην ἀποδεικνυμένου, αὐτίκα πάντες ἦσαν τετραμμένοι πρὸς ταύτην

cap. 138. τὴν γνώμην, πρότερον τὴν Μιλτιάδεω αἱρεόμενοι. Ἦσαν δὲ οὗτοι οἱ διαφέροντές τε τὴν ψῆφον, καὶ ἐόντες λόγου πρὸς βασιλῆος, Ἑλλησποντίων μὲν τύραννοι, Δάφνις τε Ἀβυδηνὸς, καὶ Ἵπποκλος Λαμψακηνὸς, καὶ Ἡρόφαντος Παριηνὸς, καὶ Μητρόδωρος Προκοννήσιος, καὶ Ἀρισταγόρης Κυζικηνὸς, καὶ Ἀρίστων Βυζάντιος· οὗτοι μὲν ἦσαν οἱ ἐξ Ἑλλησπόντου· ἀπ' Ἰωνίης δὲ, Στράττις τε Χῖος, καὶ Αἰάκης Σάμιος, καὶ Λαοδάμας Φωκαιεὺς, καὶ Ἱστιαῖος Μιλήσιος· τοῦ ἦν γνώμη ἡ προκειμένη ἐναντίη τῇ Μιλτιάδεω. Αἰολέων δὲ παρῆν λόγιμος μοῦνος Ἀρισταγόρης Κυ-

cap. 139. μαῖος. Οὗτοι ὦν ἐπεί τε τὴν Ἱστιαίου αἱρέοντο γνώμην, ἔδοξέ σφι πρὸς ταύτῃ τάδε ἔργα τε καὶ ἔπεα προσθεῖναι·

ι· τῆς μὲν γεφύρης λύειν τὰ κατὰ τὰς Σκύθας ἐόν-
, λύειν δὲ ὅσον τόξευμα ἐξικνέεται· ἵνα καὶ ποιέειν
δοκέωσι, ποιεῦντες μηδέν· καὶ οἱ Σκύθαι μὴ πειρώα-
βιώμενοι, καὶ βϐλόμενοι διαβῆναι τὸν Ἴςρον κατὰ τὴν
φυραν· εἰπεῖν τε λύοντας τῆς γεφύρης τὸ ἐς τὴν Σκυ-
κὴν ἔχον, ὡς πάντα ποιήσϐσι τὰ Σκύθησί ἐςι ἐν ἡδο-
. ταῦτα μὲν προσέθηκαν τῇ γνώμῃ· μετὰ δὲ, ἐκ πάν-
ν ὑπεκρίνατο Ἱςιαῖος, τάδε λέγων, "Ἄνδρες Σκύθαι,
ηςὰ ἥκετε φέροντες, καὶ ἐς καιρὸν ἐπείγεθε· καὶ τά
ἀπ' ὑμέων ἡμῖν χρηςῶς ὁδϐται, καὶ τὰ ἀπ' ἡμέων
ὑμέας ἐπιτηδέως ὑπηρετέεται. ὡς γὰρ ὁρᾶτε, καὶ λύο-
τὸν πόρον, καὶ προθυμίην πᾶσαν ἕξομεν, θέλοντες
αι ἐλεύθεροι. ἐν ᾧ δὲ ἡμέες τάδε λύομεν, ὑμέας
ιρός ἐςι δίζεθαι ἐκείνϐς· εὑρόντας δὲ, ὑπέρ τε ἡμέων
ὶ ὑμέων αὐτέων τίσαθαι ὅτως ὡς ἐκείνοισι πρέπει."
ύθαι μὲν τοδεύτερον Ἴωσι πιςεύσαντες λέγειν ἀληθέα, cap. 140.
έςρεφον ἐπὶ ζήτησιν τῶν Περσέων, καὶ ἥμαρτανον πά-
ς τῆς ἐκείνων διεξόδϐ. αἴτιοι δὲ τϐτϐ αὐτοὶ οἱ Σκύ-
ι ἐγένοντο, τὰς νομὰς τῶν ἵππων τὰς ταύτῃ διαφθεί-
ντες, καὶ τὰ ὕδατα συγχώσαντες. εἰ γὰρ ταῦτα μὴ
οίησαν, παρεῖχε ἄν σφι, εἰ ἐβϐλοντο, εὐπετέως ἐξευ-
ειν τὰς Πέρσας· νῦν δὲ τά σφι ἐδόκεε ἄριςα βεβϐλεῦ-
ι, κατὰ ταῦτα ἐσφάλησαν. Σκύθαι μέν νυν τῆς σφε-
ης χώρης τῇ χιλός τε τοῖσι ἵπποισι καὶ ὕδατα ἦν,
ύτῃ διεξιόντες, ἐδίζηντο τὰς ἀντιπολεμίϐς, δοκέοντες καὶ
ίνϐς διὰ τοιϐτων τὴν ἀπόδρησιν ποιέεθαι· οἱ δὲ δὴ
ρσαι τὸν πρότερον ἑωϋτῶν γενόμενον ςίβον, τϐτον φυ-
σσοντες ἤϊσαν· καὶ ὅτω μόγις εὗρον τὸν πόρον. οἷα
νυκτός τε ἀπικόμενοι, καὶ λελυμένης τῆς γεφύρης ἐν-
χόντες, ἐς πᾶσαν ἀῤῥωδίην ἀπίκατο μή σφεας οἱ Ἴω-
ἔωσι ἀπολελοιπότες. Ἦν δὲ περὶ Δαρεῖον ἀνὴρ Αἰ- cap. 141.
τπιος, φωνέων μέγιςον ἀνθρώπων· τϐτον δὴ τὸν ἄν-
κατας άντα ἐπὶ τϐ χείλεος τϐ Ἴςρϐ, ἐκέλευε Δαρεῖος
λέειν Ἱςιαῖον Μιλήσιον. ὁ μὲν δὴ ἐποίεε ταῦτα· Ἱ-
ῖος δὲ, ἐπακϐσας τῷ πρώτῳ κελεύσματι, τάς τε νέας
άσας παρεῖχε διαπορθμεύειν τὴν ςρατιὴν, καὶ τὴν γέ-
ραν ἔζευξε. Πέρσαι μὲν ὦν ὅτω ἐκφεύγϐσι. Σκύ- cap. 142.
ι δὲ διζήμενοι, καὶ τοδεύτερον ἥμαρτον τῶν Περσέων·
καὶ

καὶ τοῦτο μὲν, ὡς ἐόντας Ἴωνας ἐλευθέρους, κακίστους τε καὶ ἀνανδροτάτους κρίνουσι εἶναι ἁπάντων ἀνθρώπων· τοῦτο δὲ, ὡς δούλων Ἰώνων τὸν λόγον ποιεύμενοι, ἀνδράποδα φιλοδέσποτά φασι εἶναι, καὶ ἀδρηστα μάλιστα. ταῦτα μὲν δὴ Σκύθῃσι ἐς Ἴωνας ἀπέῤῥιπται.

cap. 143. Δαρεῖος δὲ διὰ τῆς Θρηΐκης πορευόμενος, ἀπίκετο ἐς Σηστὸν τῆς Χερσονήσου· ἐνθεῦτεν δὲ αὐτὸς μὲν διέβη τῇσι νηυσὶ ἐς τὴν Ἀσίην, λείπει δὲ στρατηγὸν ἐν τῇ Εὐρώπῃ Μεγάβαζον, ἄνδρα Πέρσην.

VIII. DE REBUS ARABUM.

Strabo Lib. XVI. Ἀρτεμίδωρος περὶ Ἀράβων λογοποιῶν πρώτους εἶναι τοὺς τὸν Ἀράβιον κόλπον ἀφορίζοντας καὶ ἀντικειμένους τοῖς Τρωγλοδύταις, ἀρξάμενος ἀπὸ τοῦ Ποσειδίου. φησὶ δὲ ἐνδοτέρω κεῖσθαι τοῦτο τοῦ Ἐλανίτου μυχοῦ· συνεχῆ δὲ τοῦ Ποσειδίου φοινικῶνα εἶναι εὔανδρον, τιμᾶσθαι τε καὶ διὰ τὸ πᾶσαν τὴν κύκλῳ καυματηρὰν τε καὶ ἄνυδρον, καὶ ἄσκιον ὑπάρχειν· ἐνταῦθα δὲ καὶ τὴν εὐκαρπίαν τῶν φοινίκων εἶναι θαυμαστήν· προεστήκασι δὲ τοῦ ἄλσους ἀνὴρ καὶ γυνὴ, διὰ γένους ἀποδεδειγμένοι δερματοφόροι, τροφὴν ἀπὸ τῶν φοινίκων ἔχοντες· κοιτάζονται δ' ἐπὶ δένδρων καλυβοποιησάμενοι διὰ τὸ πλῆθος τῶν θηρίων. Εἶθ' ἑξῆς ἐστι νῆσος Φωκῶν, ἀπὸ τοῦ πλήθους τῶν θηρίων τούτων ὠνομασμένη. Πλησίον δ' αὐτῆς ἀκρωτήριον, ὃ διατείνει πρὸς τὴν Πέτραν τὴν τῶν Ναβαταίων καλουμένων Ἀράβων καὶ τὴν Παλαιστίνην χώραν, εἰς ἣν Μειναῖοι τε καὶ Γεῤῥαῖοι, καὶ πάντες οἱ πλησιόχωροι τὰ τῶν ἀρωμάτων φορτία κομίζουσιν. Εἶτ' ἄλλη παραλία, πρότερον μὲν Μαρανειτῶν καλουμένη, ὧν οἱ μὲν ἦσαν γεωργοὶ, τινὲς δὲ Σκηνῖται. νῦν δὲ Γαρινδαίων, ἀνελόντων ἐκείνους δόλῳ· ἐπέθεντο γὰρ αὐτοῖς πενταετηρικήν τινα πανήγυριν ἐπιτελοῦσι, καὶ τούτους δὲ διέφθειραν, καὶ τοὺς ἄλλους ἐπελθόντες ἄρδην διελυμήναντο. Εἶτ' Ἐλανίτης κόλπος, καὶ ἡ Ναβαταία, πολύανδρος οὖσα ἡ χώρα καὶ εὔβοτος· οἰκοῦσι δὲ καὶ νήσους προκειμένας πλησίον, αἳ

προσ-

ότερον μὲν καθ' ἡσυχίαν ἦσαν, ὕςερον δὲ σχεδίαις ηἵζοντο τὰς ἐκ τῆς 'Αιγύπτε πλέοντας· δίκας δ' ἔτι- ν, ἐπελθόντος ςόλε, καὶ ἐκπορθήσαντος αὐτὰς. 'Εξῆς ἐςὶ πεδίον ἔυδενδρόν τε καὶ ἔυυδρον, καὶ βοσκημάτων ντόιων μεςὸν, ἄλλων τε καὶ ἡμιόνων ἀγρίων, καὶ κα- λων, καὶ ἐλάφων, καὶ δορκάδων πλῆθος, λέοντές τε ἡ παρδάλεις καὶ λύκοι συχνοί. Πρόκειται δὲ νῆσος λεμένη Δία· ἔιτα κόλπος ὅσον πεντακοσίων ςαδίων, εσι περικλειόμενος καὶ δυσεισβόλῳ ςόματι, περιοικᾶσι δὲ ιρευτικοὶ ἄνδρες τῶν χερσαίων ἀγρευμάτων. Ἔιτ' ἐρῆ- ι τρεῖς νῆσοι πλήρεις ἐλαιῶν ἐ τῶν παρ' ἡμῖν, ἀλλὰ ν ἐντοπίων, ἃς καλᾶμεν 'Αιθιοπικάς· ὧν τὸ δάκρυον, ἡ ἰατρικῆς δυνάμεώς ἐςιν. 'Εφεξῆς δ' ἐςιν ἀιγιαλὸς θώδης· καὶ μετὰ τᾶτον τραχεῖα καὶ δυσπαράσκευςος, ον χιλίων ςαδίων παραλία σπάνει λιμένων, καὶ ἀγκυ- βολίων· ὄρος γὰρ παρατείνει τραχὺ καὶ ὑψηλόν· ἐιθ' ώσειαι σπιλαδώδεις μέχρι τῆς θαλάττης, τοῖς ἐτησίαις ἔλιςα καὶ ταῖς τότε ἐπομβρίαις ἀβοήθητον παρέχουσαι ν κίνδυνον. 'Εξῆς δ' ἐςὶ κόλπος νήσες ἔχων σπορά- ς· καὶ συνεχεῖς θῖνες ψάμμε μελαίνης τρεῖς ἄγαν ὑ- ηλοί· καὶ μετὰ τέτες Χαρμόθας λιμὴν ὅσον ςαδίων ν κύκλον ἑκατὸν, ςενὸν καὶ ἐπικίνδυνον ἔχων τὸν ἔι- λεν παντὶ σκάφει· ῥεῖ δὲ καὶ ποταμὸς εἰς αὐτόν· ἐν σῳ δὲ νῆσος ἔυδενδρος καὶ γεωργήσιμος. Ἔιτ' ἐςὶ πα- λία τραχεῖα, καὶ μετὰ ταύτην κόλποι τινὲς, καὶ χώ- Νομάδων, ἀπὸ καμήλων ἐχόντων τὸν βίον· καὶ γὰρ λεμᾶσιν ἀπ' αὐτῶν, καὶ ὁδεύεσι, καὶ τρέφονται τῷ τε λακτι χρώμενοι καὶ ταῖς σαρξί. 'Ροῖ δὲ ποταμὸς δι' τῶν ψῆγμα χρυσᾶ καταφέρων, ἐκ ἴσασι δ' αὐτὸ κατ- γάζεσθαι· καλᾶνται δὲ Δέβαι, οἱ μὲν Νομάδες, οἱ δὲ ἡ γεωργοί· ἐ λέγω δὲ τῶν ἐθνῶν τὰ ὀνόματα τὰ πα- ιὰ, διὰ τὴν ἀδοξίαν καὶ ἅμα ἀτοπίαν τῆς ἐκφορᾶς αὐ- ν. 'Εχόμενοι δ' ἐισὶν ἡμερότεροι τέτων ἄνδρες, ἐυ- ατοτέραν ὀικᾶντες γῆν· καὶ γὰρ ἔυυδρός ἐςι καὶ ἔυομ- ος· χρυσός τε ὀρυκτὸς γίνεται παρ' αὐτοῖς ἐ ψήγμα- ς, ἀλλὰ βωλαρίων χρυσᾶ καθάρσεως ἐ πολλῆς δεομέ- , μέγεθος δ' ἐχόντων ἐλάχιςον μὲν πυρῆνος, μέσον δὲ σπίλε, μέγιςον δὲ καρύε· τρήσαντες δὲ ταῦτα ἐναλλὰξ

δια-

διαφανέσιν λίθοις ὁρμοὺς ποιοῦνται διείροντες λίνον· περ-
τίθενται δὲ περὶ τοὺς τραχήλους καὶ καρπούς· πωλοῦσι δ
καὶ πρὸς τοὺς ἀσυγείτονας εὔωνον τὸν χρυσὸν, τριπλα-
σιον ἀντιδόντες τοῦ χαλκοῦ, διπλάσιον δὲ τοῦ ἀργύρου· δ
δὲ τὴν ἀπειρίαν τῆς ἐργασίας, καὶ τὴν σπάνιν τῶν ἀν-
τιλαμβομένων, ὧν ἡ χρεία πρὸς τοὺς βίους ἀναγκαιοτέρα.
Συνάπτει δ' ἡ τῶν Σαβαίων εὐδαιμονεστάτη μεγίστου ἔθνους,
παρ' οἷς καὶ σμύρνα καὶ λίβανος καὶ κιννάμαμον· ἐν δ
τῇ παραλίᾳ καὶ βάλσαμον, καὶ ἄλλη τις πόα σφόδρα
εὐώδης, ταχὺ δ' ἐξίτηλον τὴν ὀσμὴν ἔχουσα· εἰσὶ δὲ κα
φοίνικες εὐώδεις καὶ κάλαμος· ὄφεις δὲ σπιθαμιαῖοι, φο-
νικοὶ τὴν χρόαν, προσαλλόμενοι καὶ μέχρι λαγόνος, τ
δῆγμα ἔχοντες ἀνήκεστον. Διὰ δὲ τὴν ἀφθονίαν τῶν κα-
πῶν ἀργοὶ καὶ ῥάθυμοι τοῖς βίοις εἰσὶν οἱ ἄνθρωπ
κοιτάζονται δὲ ἐπὶ τῶν ῥιζῶν τῶν δένδρων, ἐκτέμνοντε
οἱ πολλοὶ καὶ δημοτικοὶ, διαδεχόμενοι δ' οἱ σύνεγγυς ἀε
τὰ φορτία, τοῖς μετ' αὐτοὺς παραδιδόασι μέχρι Συρίας καὶ
Μεσοποταμίας· καρούμενοι δ' ὑπὸ τῶν εὐωδιῶν αἴρουσι τ
κάρον ἀσφάλτου θυμιάματι, καὶ τράγου πώγωνος. Ἡ δ
πόλις τῶν Σαμαίων, ἡ Μερίαβα, κεῖται μὲν ἐπ' ὄρους ε
δένδρου· βασιλέα δ' ἔχει κύριον τῶν κρίσεων καὶ τῶν ἀ
λων· ἐκ δὲ τῶν βασιλείων οὐ θέμις ἐξεῖναι, ἢ καταλεύσ
αὐτὸν παραχρῆμα οἱ ὄχλοι κατά τι λόγιον· ἐν χλιδῇ δ
γυναικείᾳ καὶ αὐτὸς καὶ οἱ περὶ αὐτόν· τὰ δὲ πλήθη τ
μὲν γεωργεῖ, τὰ δ' ἐμπορεύεται τὰ ἀρώματα, τά τε ἐπ
χώρια καὶ τὰ ἀπὸ τῆς Αἰθιοπίας, πλέοντες ἐπ' αὐτὰ δ
τῶν στενῶν δερματίνοις πλοίοις· τοσαῦτα δ' ἐστὶ τὸ πλῆ-
θος, ὥστ' ἀντὶ φρυγάνων καὶ τῆς καυσίμου ὕλης χρῆσθαι
κινναμώμῳ καὶ κασσίᾳ καὶ τοῖς ἄλλοις. Γίνεται δ' ἐ
τοῖς Σαβαίοις καὶ τὸ λάριμνον, εὐωδέστατον θυμίαμα.
Ἐκ δὲ τῆς εὐπορίας οὗτοί τε καὶ Γερραῖοι πλουσιώτατ
πάντων εἰσὶν, ἔχουσί τε παμπληθῆ κατασκευὴν χρυσω-
μάτων τε καὶ ἀργυρωμάτων, κλινῶν τε καὶ τριπόδων κ
κρατήρων, σὺν ἐκπώμασι καὶ τῇ τῶν οἴκων πολυτελεί
καὶ γὰρ θυρώματα καὶ τείχη, καὶ ὀροφαὶ δι' ἐλέφαντ
καὶ χρυσοῦ καὶ ἀργύρου καὶ λιθοκολλήτου τυγχάνει διατε-
ποικιλμένα. Ταῦτα μὲν περὶ τούτων εἴρηκε· τἄλλα δ
τὰ μὲν παραπλησίως τῷ Ἐρατοσθένει λέγει· τὰ δὲ κα
πα-

ιρὰ τῶν ἄλλων ἱςορικῶν παρατίθησιν. Ἐρυθρὰν γὰρ
'γειν τινας τὴν θάλατταν ἀπὸ τῆς χροιᾶς τῆς ἐμφαι-
μένης κατ' ἀνάκλασιν, εἴτε ἀπὸ τȣ ἡλίȣ κατὰ κορυφὴν
τος, εἴτε ἀπὸ τῶν ὀρῶν ἐρυθραινομένων ἐκ τῆς ἀπο-
ύσεως, ἀμφοτέρως γὰρ εἰκάζει. Κτησίαν δὲ τὸν Κνί-
ν πηγὴν ἱςορεῖν ἐκδιδȣσαν εἰς τὴν θάλατταν ἐρευθὲς
ἰ μιλτῶδες ὕδωρ. Ἀγαθαρχίδην δὲ τὸν ἐκείνȣ πολί-
', παρά τινος Βόξȣ τὸ γένος Πέρσȣ, ἱςορῆσαι, διότι
ἔρσης τὶς Ἐρύθρας ἱπποφορβίȣ τινὸς ὑπὸ λεαίνης οἴςρῳ
τασχομένης ἐξελαθέντος μέχρι θαλάττης, κἀκεῖθεν εἰς
τον τινὰ διάραντος, σχεδίαν πηξάμενος, πρῶτος περαιω-
ίη πρὸς τὴν νῆσον· ἰδὼν δὲ καλῶς οἰκήσιμον, τὴν μὲν
έλην εἰς τὴν Περσίδα ἐκ ἀπαγάγοι πάλιν· ἀποίκȣς δ'
ῖ ςέλλειεν, καὶ τὰς ἄλλας νήσȣς, καὶ τὴν παραλίαν,
ώνυμον δὲ ποιήσειεν ἑαυτȣ τὸ πέλαγος. Τȣς δὲ Περ-
ὺς υἱὸν ἀποφαίνεθαι τὴν Ἐρύθραν, ἡγήσαθαί τε τῶν
των. Λέγεται δ' ὑπό τινων τὰ ἀπὸ τῶν ςενῶν τȣ Ἀρα-
ς κόλπȣ μέχρι τῆς κινναμωμοφόρȣ τῆς ἐσχάτης πεντα-
χιλίων ςαδίων, ἐκ εὐκρινῶς, ἔτε ἐπὶ νότον, ἔτ' ἐπὶ
ς ἀνατολάς. Λέγεται δὲ καὶ διότι ὁ σμάραγδος καὶ ὁ
ρυλλος ἐν τοῖς τȣ χρυσίȣ μετάλλοις ἐγγίνεται. Εἰσὶ δὲ
ες εὐώδεις ἐν Ἄραψιν, ὥς φησι Ποσειδώνιος. Πρῶτοι
ὑπὲρ τῆς Συρίας Ναβαταῖοι καὶ Σαβαῖοι τὴν εὐδαίμονα
ραβίαν νέμονται, καὶ πολλάκις κατέτρεχον αὐτὴν, πρὶν
Ῥωμαίων γενέθαι· νῦν δὲ κἀκεῖνοι Ῥωμαίοις εἰσὶν ὑπή-
οι καὶ Σύροι. Μητρόπολις δὲ τῶν Ναβαταίων ἐςιν ἡ
έτρα καλȣμένη· κεῖται γὰρ ἐπὶ χωρίȣ τἄλλα ὁμαλȣ καὶ
πέδȣ, κύκλῳ δὲ πέτρᾳ φρȣρȣμένȣ, τὰ μὲν ἐκτὸς κρη-
ȣ ἀποτόμȣ, τὰ δ' ἐντὸς πηγὰς ἀφθόνȣς ἔχοντος εἴς τε
είαν καὶ κηπείαν. Ἔξω δὲ τȣ περιβόλȣ χώρα ἔρημος
πλείςη, καὶ μάλιςα ἡ πρὸς Ἰȣδαίαν, ταύτῃ δὲ καὶ
υντάτω ἐςὶ τριῶν ἢ τεττάρων ὁδὸς ἡμερῶν εἰς Ἱεριχȣν-
, εἰς δὲ τὸν Φοινικῶνα πέντε. Βασιλεύεται μὲν ȣν ὑ-
τινος ἀεὶ τῶν ἐκ τȣ βασιλικȣ γένȣς· ἔχει δ' ὁ βασι-
ὺς ἐπίτροπον, τῶν ἑταίρων τινὰ καλȣμενον ἀδελφόν· σφό-
ς δ' εὐνομεῖται· γενόμενος γȣν παρὰ τοῖς Πετραίοις Ἀθη-
ωρος, ἀνὴρ φιλόσοφος καὶ ἡμῖν ἑταῖρος, διηγεῖτο θαυ-
ζων. Εὑρεῖν γὰρ ἐπιδημȣντας ἔφη πολλȣς μὲν Ῥω-
μαίων,

μαίων, πολλοὺς δὲ καὶ τῶν ἄλλων ξένων· τοὺς μὲν οὖν ξένο
ὁρῶν κρινομένους πολλάκις, καὶ πρὸς τοὺς ἀλλήλους καὶ πρ
τοὺς ἐπιχωρίους· τῶν δ' ἐπιχωρίων οὐδένας ἀλλήλοις ἐγκαλοῦ-
τας, ἀλλὰ τὴν πᾶσαν ἡσυχίαν ἄγοντας πρὸς ἑαυτούς. Πολ-
λὰ δὲ καὶ ἡ τῶν Ῥωμαίων ἐπὶ τοὺς Ἄραβας στρατεία νεω-
στὶ γενηθεῖσα ἐφ' ἡμῶν, ὧν ἡγεμὼν ἦν Ἄιλιος Γάλλος,
διδάσκει τῶν τῆς χώρας ἰδιωμάτων· τοῦτον δ' ἔπεμψεν ὁ
Σεβαστὸς Καῖσαρ διαπειρασόμενον τῶν ἐθνῶν καὶ τῶν τό-
πων τούτων τε καὶ τῶν Ἀιθιοπικῶν ὁρῶν, τήν τε Τρωγλο-
δυτικὴν τὴν προσεχῆ τῇ Ἀιγύπτῳ, γειτονεύουσαν τούτοις
καὶ τὸν Ἀράβιον κόλπον στενὸν ὄντα τελέως τὸν διείργοντ
ἀπὸ τῶν Τρωγλοδυτῶν τοὺς Ἄραβας· προσοικειοῦσθαι δὴ δι-
νοήθη τούτους ἢ καταστρέφεσθαι· ἦν δέ τι καὶ τὸ πολυχρ
μάτους ἀκούειν ἐκ παντὸς χρόνου, πρὸς ἄργυρον καὶ χρυσ
τὰ ἀρώματα διατιθεμένους· καὶ τὴν πολυτελεστάτην λιθί
ἀναλίσκοντας τῶν λαμβανομένων τοῖς ἔξω μηδέν· ἢ γὰ
φίλοις ἤλπιζε πλουσίοις χρήσασθαι, ἢ ἐχθρῶν κρατήσει
πλουσίων· ἐπῆρε δ' αὐτὸν καὶ ἡ παρὰ τῶν Ναβαταί
ἐλπὶς, φίλων ὄντων, καὶ συμπράξειν ἅπανθ' ὑπισχ
μένων. Ἐπὶ τούτοις μὲν οὖν ἔστειλε τὴν στρατείαν ὁ Γ
λος. Ἐξηπάτησε δ' αὐτὸν ὁ τῶν Ναβαταίων ἐπίτρο
Συλλαῖος· ὑποσχόμενος μὲν ἡγήσασθαι τὴν ὁδὸν, καὶ
ρηγήσειν ἅπαντα καὶ συμπράξειν· ἅπαντα δ' ἐξ ἐπιβ
πράξας, καὶ οὔτε παράπλουν ἀσφαλῆ μηνύων, οὐδ'
ἀλλὰ ἀνοδίαις καὶ κυκλοπορείαις καὶ πάντων ἀπόροις χ
ρίοις, ἢ ῥαχίαις ἀλιμένοις παραβαλὼν, ἢ χοιράδων
λων μεσταῖς, ἢ τεναγώδεσι· πλεῖστον δὲ αἱ πλημμ
ἐλύπουν ἐν τοιούτοις, καὶ ταῦτα χωρίοις, καὶ αἱ ἀμπ
Πρῶτον μὲν δὴ τοῦθ' ἁμάρτημα συνέβη, τὰ μακρὰ κα
σκευάσθαι πλοῖα, μηδενὸς ὄντος μηδ' ἐσομένου κατὰ θ
λατταν πολέμου. Ὀυδὲ γὰρ κατὰ γῆν σφόδρα πολε
σταί εἰσιν, ἀλλὰ κάπηλοι μᾶλλον οἱ Ἄραβες καὶ ἐμπ
κοὶ, μήτοι γε κατὰ θάλατταν· ὁ δ' οὐκ ἔλαττον ὀ
κοντα ἐναυπηγήσατο δίκροτα καὶ τριήρεις καὶ φασηλ
κατὰ Κλεοπατρίδα τὴν πρὸς τῇ παλαιᾷ διώρυγι τῇ
τοῦ Νείλου. Γνοὺς δὲ διεψευσμένος, ἐναυπηγήσατο σκε
γωγὰ ἑκατὸν καὶ τριάκοντα, οἷς ἔπλευσεν ἔχων περὶ μ
ρίους πεζοὺς τῶν ἐκ τῆς Ἀιγύπτου Ῥωμαίων, καὶ τῶν σ

μαχ

έχων, ὧν ἦσαν Ἰϐδαῖοι μὲν πεντακόσιοι, Ναβαταῖοι δὲ
(λιοι μετὰ τῦ Συλλαίϐ. Πολλὰ δὲ παθὼν, καὶ ταλαι-
ωρηθεὶς, πεντεκαιδεκαταῖος ἧκεν εἰς Λευκὴν κώμην τῆς
αβαταίων γῆς, ἐμπορεῖον μέγα, πολλὰ τῶν πλοίων ἀπο-
ιλὼν, ὧν ἔνια καὶ αὔτανδρα ὑπὸ δυσπλοίας, πολεμίϐ
ϐδενός· τϐτο δ' ἀπειργάσατο ἡ τῦ Συλλαίϐ κακία τῦ
ζῆ φήσαντος ἀνόδευτα εἶναι στρατοπέδοις εἰς τὴν Λευ-
ν κώμην, εἰς ἣν καὶ ἐξῆς οἱ καμηλέμποροι τοσϐτῳ πλή-
ι ἀνδρῶν καὶ καμήλων ὁδεύϐσιν ἀσφαλῶς καὶ εὐπόρως,
; πέτραν ἐκ πέτρας, ὥστε μὴ διαφέρειν μηδὲν στρατοπέ-
. Συνέβαινε δὲ τϐτο τῦ μὲν βασιλέως τῦ Ὀβόδα μὴ
ιλὺ φροντίζοντος τῶν κοινῶν, καὶ μάλιστα τῶν κατὰ
ίλεμον (κοινὸν δὲ τϐτο πᾶσι τοῖς Ἀράβων βασιλεῦσι)
ταντα δὲ ἐπὶ τῇ τῦ ἐπιτρόπϐ ποιϐμένϐ ἐξϐσίᾳ τῦ Συλ-
ιίϐ· τϐτϐ δ' ἅπαντα δόλῳ στρατηγϐντος, καὶ ζητϐντος,
; οἶμαι, κατοπτεῦσαι μὲν τὴν χώραν, καὶ συνεξελεῖν
νὰς αὐτῶν πόλεις καὶ ἔθνη μετὰ τῶν Ῥωμαίων, αὐ-
ν δὲ καταστῆναι κύριον ἁπάντων, ἀφανισθέντων ἐκείνων
τὸ λιμῦ καὶ κόπϐ, καὶ νόσων, καὶ ἄλλων, ὅσα δόλῳ
ιρεσκεύασεν ἐκεῖνος· εἰς γϐν τὴν Λευκὴν κώμην κατῆ-
ν, ἤδη στομακάκκῃ τε καὶ σκελοτίρβῃ πειραζομένης τῆς
ατιᾶς ἐπιχωρίοις πάθεσι, τῶν μὲν περὶ τὸ στόμα, τῶν
περὶ τὰ σκέλη παράλυσίν τινα δηλϐντων, ἔκ τε τῶν ὑ-
ρίων καὶ τῶν βοτανῶν. Ἠναγκάσθη γϐν τό, τε θέρος
ὶ τὸν χειμῶνα διατελέσαι αὐτόθι, τϐς ἀσθενϐντας ἀνα-
ώμενος. Ἐκ μὲν ϐν τῆς Λευκῆς κώμης εἰς Πέτραν,
τεῦθεν δ' εἰς Ῥινοκόλϐρα τῆς πρὸς Αἰγύπτῳ Φοινίκης
φορτία κομίζεται, κἀντεῦθεν εἰς τϐς ἄλλϐς· νυνὶ δὲ
πλέον εἰς τὴν Ἀλεξάνδρειαν τῷ Νείλῳ κατάγεται·
δ' ἐκ τῆς Ἀραβίας καὶ τῆς Ἰνδικῆς εἰς Μυὸς ὅρμον·
θ' ὑπερθέσεις εἰς Κοπτὸν τῆς Θηβαΐδος, καμήλοις, ἐν
ὑρυγι τῦ Νείλϐ κειμένῃ εἰς Ἀλεξάνδρειαν. Πάλιν ἐκ
ς Λευκῆς κώμης ὁ Γάλλος ἀναζεύξας τὴν στρατιὰν, διὰ
ιϐτων ᾔει χωρίων, ὥστε καὶ ὕδωρ καμήλοις κομίζειν
ιχθηρίᾳ τῶν ἡγεμόνων τῆς ὁδϐ· διόπερ πολλαῖς ἡμέραις
εν εἰς τὴν Ἀρέτα γῆν συγγενϐς τῷ Ὀβόδᾳ· ἐδέξατο
ν ϐν αὐτὸν Ἀρέτας φιλικῶς, καὶ δῶρα προσήνεγκεν.
. δὲ τῦ Συλλαίϐ προδοσία κἀκείνειν ἐποίησε τὴν χώ-

 ραν

ραν δυσπόρευτον· τριάκοντα γὖν ἡμέραις διῆλθεν αὐτὴ
ζειὰς καὶ Φοινίκας ὀλίγας παρέχϐσαν, καὶ βϐτυρον ἀν
ἐλαίϐ διὰ τὰς ἀνοδίας· ἡ δ᾽ ἑξῆς ἣν ἐπῄει, Νομάδω
ἦν, ἔρημος τὰ πολλὰ ὡς ἀληθῶς, ἐκαλεῖτο δὲ Ἀραρ
νή· βασιλεὺς δ᾽ ἦν Σάβος· καὶ ταύτην ἀνοδίαις διῆλθε
κατατρίψας ἡμέρας πεντήκοντα, μέχρι πόλεως Ἀγρανῶ
καὶ χώρας εἰρηνικῆς τε καὶ ἀγαθῆς. Ὁ μὲν ὖν βασι-
λεὺς ἔφυγεν, ἡ δὲ πόλις ἐξ ἐφόδϐ κατελήφθη. Ἐκεῖ-
θεν ἡμέραις ἓξ ἧκεν ἐπὶ τὸν ποταμόν. Συναψάντων δ
αὐτόθι τῶν βαρβάρων εἰς μάχην, περὶ μυρίϐς αὐτῶν ἔπε
σον· τῶν δὲ Ῥωμαίων δύο· ἐχρῶντο γὰρ ἀπείρως τοῖ
ὅπλοις ἀπόλεμοι τελέως ὄντες τόξοις τὲ καὶ λόγχαι
ξίφεσι καὶ σφενδόναις· οἱ πλεῖςοι δ᾽ αὐτῶν ἀμφιςόμοι
πελέκεσιν· εὐθὺς δὲ καὶ τὴν πόλιν εἷλε καλϐμένην Ἀσ
κᾶ, συλλειφθῆσαν ὑπὸ τϐ βασιλέως. Ἐντεῦθεν εἰς Ἀ-
θρϐλλα πόλιν ἧκε, κρατήσας αὐτῆς ἀκοντὶ, φρϐρὰν ἐμ-
βαλὼν, καὶ παρασκευάσας ἐφόδια σίτϐ καὶ φοινίκων εἰς
πόλιν Μαρσυαβαὶ προῆλθεν, ἔθνϐς τϐ Ῥαμανιτῶν, ο
ἦσαν ὑπὸ Ἰλασάρῳ. Ἓξ μὲν ὖν ἡμέρας προσβαλὼν ἐπο-
λιόρκει· λειψυδρίας δ᾽ ὔσης, ἀπέςη· δύο μὲν ὖν ἡμερῶ
ὁδὸν ἀπέσχε τῆς ἀρωματοφόρϐ, καθάπερ τῶν αἰχμαλώ
των ἀκϐειν ἦν. Ἓξ δὲ μηνῶν χρόνον ἐν ταῖς ὁδοῖς κα
τέςρεψε φαύλως ἀγόμενος· ἔγνω δ᾽ ἀναςρέφων ὀψὲ τη
ἐπιβϐλὴν, καὶ καταμαθὼν, καὶ καθ᾽ ἑτέρας ὁδϐς ἐπανελ
θὼν, ἐνναταῖος μὲν γὰρ εἰς Ἀνάγρανα ἧκεν, ὅπϐ
μάχη συμβεβήκει· ἑνδεκαταῖος δ᾽ ἐκεῖθεν εἰς Ἑπτὰ Φρέα
τα, καλϐμενα ἀπὸ τϐ συμβεβηκότος· ἐντεῦθεν ἤδη δι᾽ εἰ
ρήνης εἰς Χάαλλα κώμην, καὶ πάλιν ἄλλην Μαλόθαν πρὸς
ποταμῷ κειμένην ἀφικνεῖται· εἶτα δι᾽ ἐρήμης ὀλίγα ὑδρεῖα
ἐχϐσης ὁδϐ, μέχρι Νερᾶς κώμης· ἔςι δὲ τῆς Ὀβόδα
κεῖται δ᾽ ἐπὶ θαλάττης· τὴν δὲ πᾶσαν ὁδὸν ἑξηκοσταῖο
ἐξήνυσε κατὰ τὴν ἐπάνοδον, ἀναλώσας ἓξ μῆνας ἐν τῇ ἐξ
ἀρχῆς ὁδῷ· ἐντεῦθεν δ᾽ ἐπεραίωσε τὴν ςρατιὰν ἑνδεκαταίο
εἰς Μυὸς ὅρμον, εἶθ᾽ ὑπέρθεσις εἰς Κοπτόν· μετὰ γὖν τῶ
ὠνηθῆναι δυναμένων κατῆρεν εἰς Ἀλεξάνδρειαν· τϐς δ᾽ ἄλ
λϐς ἀπέβαλον, ὐχ ὑπὸ πολεμίων, ἀλλὰ νόσων καὶ κόπο
καὶ λιμϐ καὶ μοχθηρίας τῶν ὁδῶν· ἐπεὶ κατὰ πόλεμο
ἑπτά γε μόνον διαφθαρῆναι συνέβη, δι᾽ ἃς αἰτίας ὐδ᾽ ἐπ
πο

ολὺ πρὸς τὴν γνῶσιν τῶν τόπων ὤνησεν ἡ στρατιὰ αὐτη·
ικρὰ δ' ὅμως συνήργησεν· ὁ δ' αἴτιος τέτων ὁ Συλλαῖος.
ἰτισε δὲ καὶ δίκας ἐν Ῥώμῃ, προσποιέμενος μὲν Φιλίαν,
εγχθεὶς δὲ πρὸς αὐτῇ τῇ πονηρίᾳ, καὶ ἄλλα κακεργῶν,
ὶ ἀποτμηθεὶς τὴν κεφαλήν. Τὴν μὲν ἂν ἀρωματοφό-
ν διαιρᾶσιν εἰς τέτταρας μερίδας, ὥσπερ εἰρήκαμεν· τῶν
ωμάτων δὲ λίβανον μὲν καὶ σμύρναν ἐκ δένδρων γίγνε-
ι φασί· κασσίαν δὲ καὶ ἐκ λιμνῶν· τινὲς δὲ τὴν πλείω
Ἰνδῶν εἶναι· τᾶ δὲ λιβάνα βέλτιστον τὸν πρὸς τῇ Περ-
ι. Κατ' ἄλλην δὲ διαίρεσιν σύμπασαν τὴν Εὐδαίμονα
νταχῇ σχίζεσιν εἰς βασιλείας, ὧν ἡ μὲν τὰς μαχίμας
ει καὶ προαγωνιστὰς ἁπάντων· ἡ δὲ τὰς γεωργὰς, παρ'
ὁ σῖτος εἰς τὰς ἄλλας εἰσάγεται· ἡ δὲ τὰς βαναυσοτεχ-
ντας· καὶ ἡ μὲν σμυρνοφόρος, ἡ δὲ λιβανωτοφόρος· αἱ
αὐταὶ καὶ τὴν κασσίαν καὶ τὸ κιννάμωμον καὶ τὴν
ρδον φέρεσι· παρ' ἀλλήλων δ' ἂ μεταφοιτᾷ τὰ ἐπιτηδεύ-
τα, ἀλλ' ἐν τοῖς πατρίοις διαμένεσιν ἕκασοι. Οἶκος δ'
φοινίκων ὁ πλείων. Ἀδελφοὶ τιμιώτεροι τῶν τέκνων
τὰ πρεσβυτερίαν· καὶ βασιλεύεσιν οἱ ἐκ τᾶ γένες, καὶ
λας ἀρχὰς ἄρχεσι· κοινὴ κτῆσις ἅπασι τοῖς συγγενέσι·
ριος δὲ ὁ πρεσβύτατος· μία δὲ καὶ γυνὴ πᾶσιν· ὁ δὲ
λάσας εἰσιὼν μίγνυται, προθεὶς τῆς θύρας τὴν ῥάβδον·
ίσῳ γὰρ δὴ ῥαβδοφορεῖν ἔθος· νυκτεύει δὲ παρὰ τῷ
εσβυτάτῳ· διὸ καὶ πάντες ἀδελφοὶ πάντων εἰσί· μίγνυν-
δὲ καὶ μητράσι· μοιχῷ δὲ ζημία θάνατος· μοιχὸς δ'
ν ὁ ἐξ ἄλλα γένες. Θυγάτηρ δὲ τῶν βασιλέων τινὸς
υμασὴ τὸ κάλλος, ἔχεσα ἀδελφὰς πεντεκαίδεκα, ἐρῶν-
: αὐτῆς πάντας, καὶ διὰ τᾶτ' ἀδιαλείπτως ἄλλων ἐπ'
λῳ παριόντα πρὸς αὐτὴν, κάμνεσα ἤδη, παραδέδοται
ματι χρήσασθαι τοιέτῳ, ποιησαμένη ῥάβδες ὁμοίας ταῖς
ίνων· ὅτ' ἐξίει παρ' αὐτῆς τὶς, ἀεί τινα προυτίθει τῆς
ιας τὴν ὁμοίαν ἐκείνῃ, καὶ μικρὸν ὕστερον ἄλλην, σο-
ζομένης ὅπως μὴ ἐκείνην τὴν παραπλησίαν ἔχῃ ὁ μέλ-
προσιέναι· καὶ δὴ πάντων κατ' ἀγορὰν ποτὲ ὄντων,
προσιόντα τῇ θύρᾳ, καὶ ἰδόντα τὴν ῥάβδον, ἐκ μὲν
της εἰκάσαι, διότι παρ' αὐτήν τις εἰσιοι· ἐκ δὲ τᾶ τὰς
λφὰς πάντας ἐν τῇ ἀγορᾷ καταλιπεῖν, ὑπονοῆσαι μοι-
δραμόντα δὲ πρὸς τὸν πατέρα καὶ ἀπαγαγόντα, ἐκεῖ-

νον ἐλεγχθῆναι καταψευσάμενον τῆς ἀδελφῆς. Σώφρονες δ' εἰσὶν οἱ Ναβαταῖοι καὶ κτητικοὶ, ὥςε καὶ δημοσίᾳ τῷ μὲν μειώσαντι τὴν ἐσίαν ζημία κεῖται, τῷ δ' αὐξήσαντι τιμαί. 'Ολιγόδελοι δ' ὄντες, ὑπὸ τῶν συγγενῶν διακονῦνται τὸ πλέον, ἢ ὑπ' ἀλλήλων, ἢ αὐτοδιάκονοι, ὥςε καὶ μέχρι τῶν βασιλέων διατείνειν τὸ ἔθος. Συσσίτεια δὲ ποιῦνται κατὰ τρισκαίδεκα ἀνθρώπες· μεσεργὰ δὲ δύο τῷ συμποσίῳ ἑκάςῳ. 'Ο δὲ βασιλεὺς ἐν ὄγκῳ μεγάλῳ πολλὰ συνεχῆ ποιεῖ συμπόσια· πίνει δ' ἐδεὶς πλείω τῶν ἕνδεκα ποτηρίων ἄλλῳ καὶ ἄλλῳ χρυσῷ ἐκπώματι. 'Ουτω δ' ὁ βασιλεὺς ἐςι δημοτικὸς, ὥςε πρὸς τῷ αὐτοδιακόνῳ καὶ τὸ ἀντιδιάκονον τοῖς ἄλλοις αὐτὸν γίνεσθαι· πολλάκις δὲ καὶ ἐν τῷ δήμῳ δίδωσιν εὐθύνας· ἐσθ' ὅτε καὶ ἐξετάζεται τὰ περὶ τὸν βίον. οἰκήσεις δὲ διὰ λίθων πολυτελεῖς· αἱ δὲ πόλεις ἀτείχιςοι δι' εἰρήνην· εὔκαρπος ἡ πολλὴ πλὴν ἐλαίε· χρῶνται δὲ σησαμίνῳ. Πρόβατα λευκότριχα, βόες μεγάλοι, ἵππων ἄφορος ἡ χώρα· κάμηλοι δὲ τὴν ὑπεργίαν ἀντ' ἐκείνων παρέχονται· χιτῶνες ἐν περιζώμασι, καὶ βλαυτίοις προιᾶσι, καὶ οἱ βασιλεῖς ἐν πορφύρᾳ δ' ἐτοι· εἰσαγώγιμα δ' ἐςὶ τὰ μὲν τελέως, τὰ δ' ἐ παντελῶς· ἄλλως τε καὶ ἐπιχωριάζειν καθάπερ χρυσὸν καὶ ἄργυρον καὶ τὰ πολλὰ τῶν ἀρωμάτων· χαλκὸς καὶ σίδηρος, καὶ ἔτι πορφυρὰ ἐσθὴς, ςύραξ· κρόκος δὲ κοςώρια τόρευμα, γραφὴ πλάσμα, ἐκ ἐπιχώρια· ἴσα κοπρίᾳ ἡγῦνται τὰ νεκρὰ σώματα· καθάπερ 'Ηράκλειτος φησὶ, Νέκυες κοπρίων ἐκβλητότεροι· διὸ καὶ παρὰ τὰς κοπρῶνας κατορύττεσι καὶ τὰς βασιλεῖς. "Ηλιον τιμῶσιν ἐπὶ τῦ δώματος ἱδρυσάμενοι βωμὸν, σπένδοντες ἐν αὐτῷ καθ' ἡμέραν καὶ λιβανωτίζοντες.

Τῆς δὲ τῶν 'Αράβων εὐδαιμονίας καὶ 'Αλέξανδρον ἄν τις ποιήσαιτο μάρτυρα, τὸν διανοηθέντα ὥς φασι καὶ βασίλειον αὐτὴν ποιήσασθαι μετὰ τὴν ἐξ 'Ινδῶν ἐπάνοδον. Πᾶσαι μὲν ἐν αἱ ἐπιχειρήσεις αὐτῦ κατελύθησαν τελευτήσαντος παραχρῆμα τὸν βίον· μία δ' ἐν καὶ αὕτη τῶν ἐπιχειρήσεων ἦν, εἰ μὲν ἑκόντες παραδέχοιντο αὐτόν· εἰ δὲ μὴ, ὡς πολεμήσοντος· καὶ δὴ ὁρῶν μήτε πρότερον μήθ' ὕςερον πέμψαντας πρὸς αὐτὸν πρέσβεις, παρεσκευάζετο πρὸς τὸν πόλεμον.

Φη-

Φησὶ δὴ Ἀριστόβουλος τὸν Ἀλέξανδρον καὶ στόλους καὶ ρμητήρια ἤδη κατασκευάσασθαι τὰ πλοῖα, τὰ μὲν ἐν Φοινί- η τε καὶ Κύπρῳ ναυπηγησάμενον διάλυτά τε καὶ γομφω- ὰ, ἃ κομισθέντα εἰς Θάψακον, σταδίοις ἑπτὰ, εἶτα τῷ οταμῷ κατακομισθῆναι, μέχρι Βαβυλῶνος. Τὰ δ᾽ ἐν τῇ αβυλωνίᾳ συμπηξάμενον τῶν ἐν τοῖς ἄλσεσι καὶ τοῖς αραδείσοις κυπαρίττων· σπάνις γὰρ ὕλης ἐνταῦθα· ἐν δὲ οσσαίοις καὶ ἄλλοις τισὶ μετρία τίς ἐστιν εὐπορία· σκήψα- αι μὲν οὖν αἰτίαν τοῦ πολέμου φασὶν, ἐπειδὴ μόνοι τῶν ἁ- άντων οὐ πρεσβεύσαιντο οἱ Ἄραβες ὡς αὐτόν· τὸ δ᾽ ἀλη- ὲς ὀρεγόμενον πάντων εἶναι κύριον· καὶ ἐπεὶ δύο θεοὺς τυνθάνετο τιμᾶσθαι μόνους ὑπ᾽ αὐτῶν, τόν τε Δία καὶ ὸν Διόνυσον τοὺς τὰ κυριώτατα πρὸς τὸ ζῆν παρέχοντας, ρίτον ὑπολαβεῖν ἑαυτὸν τιμηθήσεσθαι, κρατήσαντα, καὶ πιτρέψαντα τὴν πάτριον αὐτονομίαν ἔχειν, ἣν εἶχον πρό- ερον.

Οἱ δὲ Ναβαταῖοι ἔχουσι τὸν βίον ὑπαίθριον, πατ- ρίδα καλοῦντες τὴν ἀοίκητον, τὴν μήτε ποταμοὺς ἔχουσαν ήτε κρήνας δαψιλεῖς, ἐξ ὧν δυνατὸν στρατόπεδον πολέ- ιον ὑδρεύσασθαι. νόμος δ᾽ ἐστὶν αὐτοῖς μήτε σῖτον σπεί- ιν, μήτε φυτεύειν μηδὲν φυτὸν καρποφόρον, μήτε οἴ- ν χρῆσθαι, μήτε οἰκίαν κατασκευάζειν· ὃς δ᾽ ἂν παρὰ ῦτα ποιῶν εὑρίσκηται, θάνατον αὐτῷ πρόστιμον εἶναι· ρῶνται δὲ τῷ νόμῳ τούτῳ, διαλαμβάνοντες τοὺς ταῦτα ωμένους ἀναγκασθήσεσθαι ῥᾳδίως ὑπὸ τῶν δυνατῶν ἕνεκα ς τούτων χρείας, ποιεῖν τὸ προσταττόμενον· τρέφουσι δ᾽ τῶν οἱ μὲν καμήλους, οἱ δὲ πρόβατα, τὴν ἔρημον ἐπι- μοντες. οὐκ ὀλίγων δ᾽ ὄντων Ἀραβικῶν ἐθνῶν τῶν τὴν ημον ἐπινεμόντων, οὗτοι πολὺ τῶν ἄλλων προέχουσι ταῖς πορίαις, τὸν ἀριθμὸν ὄντες οὐ πολὺ πλείους τῶν μυρίων. ώθασι γὰρ αὐτῶν οὐκ ὀλίγοι κατάγειν ἐπὶ θάλασσαν λι- νωτόν τε καὶ σμύρναν καὶ τὰ πολυτελέστατα τῶν ἀρω- ίτων, διαδεχόμενοι παρὰ τῶν κομιζόντων ἐκ τῆς εὐδαι- ονος καλουμένης Ἀραβίας. Φιλελεύθεροι δέ εἰσι διαφε- ντως, καὶ ὅταν πολεμίων δύναμις ἁδρὰ προσίῃ, φεύ- σιν εἰς τὴν ἔρημον, ταύτῃ χρώμενοι ὀχυρώματι. ἄνυ- ος γὰρ οὖσα, τοῖς μὲν ἄλλοις ἀνεπίβατός ἐστι· τούτοις κατεσκευακόσιν ἀγγεῖα κατὰ γῆς ὀρυκτὰ κεκονιαμένα

Diodor. Sic. l. XIX. c. 94.

μόνοις

μόνοις παρέχεται τὴν ἀσφάλειαν. τῆς γὰρ γῆς οὔσης τῇ μὲν ἀργιλλώδους, τῇ δὲ πέτραν ἐχούσης μαλακὴν, ὀρύγματα μεγάλα ποιοῦσιν ἐν αὐτῇ· ὧν τὰ μὲν στόμια μικρὰ παντελῶς κατασκευάζουσι, κατὰ βάθους δ' ἀεὶ μᾶλλον εὐρυχωρῆ ποιοῦντες, τὸ τελευταῖον τηλικοῦτον ἀποτελοῦσι τὸ μέγεθος, ὥστε γίνεσθαι πλευρὰν ἑκάστην πλέθρου. ταῦτα δὲ ἀγγεῖα πληροῦντες ὕδατος ὀμβρίου, τὰ στόματα ἐμφράττουσι· καὶ ποιοῦντες ἰσόπεδον τῇ λοιπῇ χώρᾳ, σημεῖα καταλείπουσιν, ἑαυτοῖς μὲν γιγνωσκόμενα, τοῖς δ' ἄλλοις ἀνεπινόητα. ποτίζουσι δὲ καὶ τὴν λείαν δι' ἡμερῶν τριῶν, ὅπως ἐν ταῖς ἀνυδρίαις καὶ φυγαῖς μὴ προσδέωνται συνεχῶν ὑδάτων. αὐτοὶ δὲ χρῶνται τροφῇ κρέασι καὶ γάλακτι, καὶ τῶν ἐκ τῆς γῆς φυομένων τοῖς ἐπιτηδείοις. φύεται γὰρ παρ' αὐτοῖς τὸ πέπερι ἀπὸ τῶν δένδρων, καὶ μέλι πολὺ τὸ καλούμενον ἄγριον, ᾧ χρῶνται ποτῷ μεθ' ὕδατος. ἐστι δὲ καὶ ἄλλα γένη τῶν Ἀράβων, ὧν ἔνια καὶ γεωργεῖ, μιγνύμενα τοῖς φορολογουμένοις, καὶ μετέχει τῶν αὐτῶν τοῖς Σύροις, πλὴν τοῦ κατασκηνοῦν ἐν οἰκίαις.

Nabataei terram sterilem (Arabiam desertam & petræam) incolunt, ipsi latrocinils nobiles.

Οἱ δὲ Ναβαταῖοι ἔχουσι βίον λῃστρικὸν καὶ πολλὴν τῆς ὁμόρου χώρας κατατρέχοντες λῃστεύουσιν, ὄντες δύσμαχοι κατὰ τοὺς πολέμους. κατὰ γὰρ τὴν ἄνυδρον χώραν λεγομένην κατασκευάζοντες εὔκαιρα φρέατα, καὶ ταῦτα πεποιηκότες τοῖς ἄλλοις ἔθνεσιν ἄγνωστα, συμφεύγουσιν εἰς τὴν χώραν ταύτην ἀκινδύνως. αὐτοὶ μὲν γὰρ εἰδότες τὰ κατακεκρυμμένα τῶν ὑδάτων, καὶ ταῦτ' ἀνοίγοντες, χρῶνται δαψιλέσι πότοις. οἱ δὲ τούτους ἐπιδιώκοντες ἀλλοεθνεῖς, σπανίζοντες τῆς ὑδρείας διὰ τὴν ἄγνοιαν τῶν φρεάτων, οἱ μὲν ἀπόλλυνται διὰ τὴν σπάνιν τῶν ὑδάτων, οἱ δὲ, πολλὰ κακοπαθήσαντες, μόλις εἰς τὴν οἰκείαν σώζονται. διόπερ οἱ ταύτην τὴν χώραν κατοικοῦντες Ἄραβες, ὄντες δυσκαταπολέμητοι, διατελοῦσιν ἀδούλωτοι. πρὸς δὲ τούτοις ἔπηλυν μὲν ἡγεμόνα τὸ παράπαν οὐ προσδέχονται, διατελοῦσι δὲ τὴν ἐλευθερίαν διαφυλάττοντες ἀσάλευτον. διόπερ οὔθ' οἱ Ἀσσύριοι τὸ παλαιὸν, οὔθ' οἱ Μήδων καὶ Περσῶν, ἔτι δὲ Μακεδόνων βασιλεῖς ἠδυνήθησαν αὐτοὺς καταδουλώσασθαι, πολλὰς μὲν καὶ μεγάλας δυνάμεις ἐπ' αὐτοὺς ἀγαγόντες, οὐδέποτε δὲ τὰς ἐπιβολὰς συντελέ-

σαντες.

φαντες. ἔστι δ' ἐν τῇ χώρᾳ ταύτῃ τῶν Ναβαταίων καὶ πέτρα καθ' ὑπερβολὴν ὀχυρὰ, μίαν ἀνάβασιν ἔχουσα, δι' ἧς κατ' ὀλίγους ἀναβαίνοντες, ἀποτίθενται τὰς ἀποσκευάς· λίμνη τε μεγάλη, φέρουσα πολλὴν ἄσφαλτον, ἐξ ἧς λαμβάνουσιν οὐκ ὀλίγας προσόδους· αὕτη δ' ἔχει τὸ μὲν μῆκος σταδίων ὡς πεντακοσίων, τὸ δὲ πλάτος ὡς ἑξήκοντα· τὸ δ' ὕδωρ, δυσῶδες καὶ διάπικρον, ὥστε μὴ δύνασθαι, μήτε ἰχθὺν τρέφειν, μήτ' ἄλλο τῶν καθ' ὕδατος εἰωθότων ζώων εἶναι. ἐκβαλλόντων δ' εἰς αὐτὴν ποταμῶν μεγάλων, τῇ γλυκύτητι διαφόρων, τούτων μὲν περιγίνεται κατὰ τὴν δυσωδίαν, ἐξ αὐτῆς δὲ μέσης κατ' ἐνιαυτὸν ἐκφυσᾷ ἀσφάλτου μέγεθος, ποτὲ μὲν μεῖζον ἢ τρίπλεθρον, ἔστι δ' ὅτε δυοῖν πλέθρων. ἐφ' ᾧ δὴ συνήθως οἱ περιοικοῦντες βάρβαροι, τὸ μὲν μεῖζον καλοῦσι Ταῦρον, τὸ δ' ἔλαττον, Μόσχον ἐπονομάζουσιν. ἐπιπλεούσης δὲ τῆς ἀσφάλτου πελαγίας, ὁ τόπος φαίνεται τοῖς μὲν ἐξ ἀποστήματος θεωροῦσιν οἱονεὶ νῆσος· τὴν δ' ἔκπτωσιν τῆς ἀσφάλτου συμβαίνει φανερὰν γίνεσθαι τοῖς ἀνθρώποις πρὸ ἡμερῶν εἴκοσι. κύκλῳ γὰρ τῆς λίμνης ἐπὶ πολλοὺς σταδίους ὀσμὴ προσπίπτει μετὰ πνεύματος, καὶ πᾶς ὁ περὶ τὸν τόπον ἄργυρός τε καὶ χρυσὸς καὶ χαλκὸς ἀποβάλλει τὴν ἰδιότητα τοῦ χρώματος. ἀλλ' αὕτη μὲν ἀποκαθίσταται πάλιν, ἐπειδὰν ἀναφυσῆσαι συμβῇ πᾶσαν τὴν ἄσφαλτον· ὁ δὲ πλησίον τόπος, ἔμπυρος ὢν καὶ δυσώδης, ποιεῖται τὰ σώματα τῶν ἀνθρώπων ἐπίνοσα, καὶ παντελῶς ὀλιγοχρόνια. ἀγαθὴ δ' ἐστὶ φοινικόφυτος, ὅσην αὐτῆς συμβαίνει ποταμοῖς διειλῆφθαι χρησίμοις, ἢ πηγαῖς δυναμέναις ἀρδεύσαι. γίνεται δὲ περὶ τοὺς τόπους τούτους ἐν αὐλῶνι τινὶ τὸ καλούμενον βάλσαμον, ἐξ οὗ πρόσοδον λαμπρὰν λαμβάνουσιν, οὐδαμοῦ μὲν τῆς ἄλλης οἰκουμένης εὑρισκομένου τοῦ φυτοῦ τούτου, τῆς δ' ἐξ αὐτοῦ χρείας εἰς φάρμακα τοῖς ἰατροῖς καθ' ὑπερβολὴν εὐθετούσης.

Petra ingens, lacus bitumen procreans, balsamum stirps indigena.

Ἡ δ' ἐχομένη τῆς ἀνύδρου καὶ ἐρήμου χώρας Ἀραβία τοσοῦτο διαφέρει ταύτης, ὥστε, διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ φυομένων καρπῶν τε καὶ τῶν ἄλλων ἀγαθῶν, εὐδαίμονα Ἀραβίαν προσαγορευθῆναι. κάλαμον μὲν γὰρ καὶ σχοῖνον καὶ τὴν ἄλλην ὕλην τὴν ἀρωματίζουσαν πολλὴν φέρει, καὶ καθόλου παντοδαπὰς φύλλων εὐωδίας. καὶ τῶν ἀποσταζόντων δακρύων ὀσμαῖς ποικίλαις διείληπται.

***Arabia felix.* Stirpium fructiferarum & odoriferarum genera.**

τὴν

τήν τε γὰρ σμύρναν, καὶ τὸν προσφιλέστατον τοῖς θεοῖς εἴς τε τὴν οἰκουμένην πᾶσαν διαπόμπιμον λιβανωτὸν ἀπ' αὐτῆς αἱ ταύτης ἐσχατιαὶ φέρουσι. τοῦ δὲ κόστου καὶ κασίας, ἔτι δὲ κιναμώμου καὶ τῶν ἄλλων τῶν τοιούτων οἱ χόρτοι καὶ θάμνοι βαθεῖαι τοσαῦται πεφύκασιν, ὥστε τὰ παρὰ τοῖς ἄλλοις σπανίως ἐπὶ βωμοὺς θεῶν τιθέμενα, παρ' ἐκείνοις καὶ κριβάνων ὑπάρχειν ἐκκαύματα, καὶ τὰ παρὰ τοῖς ἄλλοις μικρῷ δείγματι ὑπάρχοντα, παρ' ἐκείνοις στιβάδας οἰκετικὰς ἐπὶ τῶν οἰκιῶν παρέχεσθαι· τό, τε καλούμενον κινάμωμον διάφορον χρείαν παρεχόμενον, καὶ ῥητίνη, καὶ τερέβινθος ἄπλατος εὐώδης φύεται περὶ τοὺς τόπους. ἐν δὲ τοῖς ὄρεσιν οὐ μόνον ἐλάτη καὶ πεύκη φύεται δαψιλής, ἀλλὰ καὶ κέδρος καὶ ἄρκευθος ἄπλατος, καὶ τὸ καλούμενον Βόρατον. πολλαὶ δὲ καὶ ἄλλαι φύσεις εὐώδεις καρποφοροῦσαι τὰς ἀποῤῥοίας καὶ προσπνεύσεις ἔχουσι τοῖς ἐγγίσασι προσηνεστάτας. καὶ γὰρ αὐτὸ τὸ τῆς γῆς ἔχει τὶ φυσικὸν ἔνατμον, καὶ θυμιάμασιν εὐώδεσιν ἐοικός. διὸ καὶ κατά τινας τόπους τῆς Ἀραβίας ὀρυττομένης τῆς γῆς, εὑρίσκονται φλέβες εὐώδεις, ὧν μεταλλευομένων ἐξαίσιοι τὸ μέγεθος λατομίαι γίνονται· ἐκ δὲ τούτων τὰς οἰκίας συλλέγοντες κατασκευάζουσιν, αἷς ὅταν ἐκ τοῦ περιέχοντος προσπέσωσι ψεκάδες, τὸ διατηκόμενον ὑπὸ τῆς ἰκμάδος συῤῥεῖ εἰς τὰς ἁρμογὰς τῶν λίθων, καὶ πηγνύμενον συμφυεῖς ἀπεργάζεται τοίχους.

Aurum apyrum s. purum.

Μεταλλεύεται δὲ καὶ κατὰ τὴν Ἀραβίαν καὶ ὁ προσαγορευόμενος ἄπυρος χρυσὸς, οὐχ ὥσπερ παρὰ τοῖς ἄλλοις ἐκ ψηγμάτων καθεψόμενος, ἀλλ' εὐθὺς ὀρυττόμενος εὑρίσκεται, τὸ μέγεθος καρύοις κασταναϊκοῖς παραπλήσιος, τὴν δὲ χρόαν οὕτως φλογώδης, ὥστε τοὺς ἐντιμοτάτους λίθους ὑπὸ τῶν τεχνιτῶν ἐνδεθέντας ποιεῖν τὰ κάλλιστα τῶν κοσμημάτων.

Pecorum abundantia.

θρεμμάτων τε παντοδαπῶν τοσοῦτο κατ' αὐτὴν ὑπάρχει πλῆθος, ὥστε ἔθνη πολλὰ, νομάδα βίον ᾑρημένα, δύνασθαι καλῶς διατρέφεσθαι, σίτου μὲν μὴ προσδεόμενα, τῇ δ' ἀπὸ τούτων δαψιλείᾳ χορηγούμενα. θηρίων τε πλῆθος ἀλκίμων ἡ προσορίζουσα τῇ Συρίᾳ τρέφει. καὶ γὰρ λέοντας καὶ παρδάλεις ἐν αὐτῇ πολλῷ πλείονας καὶ μείζους, καὶ ταῖς ἀλκαῖς διαφόρους πεφυκέναι, ἤπερ ἐν τῇ Λιβύῃ, συμβέβηκε. πρὸς δὲ τούτοις,

οις, οἱ καλέμενοι Βαβυλώνιοι τίγρεις. Φέρει δὲ καὶ
ῷα διφυῆ καὶ μεμιγμένα ταῖς ἰδέαις, ὧν αἱ μὲν ὀνομα-
ζόμεναι ϛρεθοκάμηλοι περιειλήφασι τοῖς τύποις μίγματα Struthocameli.
;ηνῶν καὶ καμήλων, ἀκολέθως τῇ προσηγορίᾳ. τὸ μὲν
'ὰρ μέγεθος ἔχεσι νεογενεῖ καμήλῳ παραπλήσιον. τὰς
ὲ κεφαλὰς πεφυκυίας θριξὶ λεπταῖς, τὲς δὲ ὀφθαλμὲς
εγάλες καὶ κατὰ τὴν χρόαν μέλανας, ἀπαραλλάκτες
ατὰ τὸν τύπον καὶ τὸ χρῶμα τοῖς τῶν καμήλων. μα-
ροτράχηλον δ' ὑπάρχον, ῥύγχος ἔχει βραχὺ παντελῶς,
αὶ εἰς ὀξὺ συνηγμένον. ἐπτέρωται δὲ ταρσοῖς μαλακοῖς
αὶ τετριχωμένοις, καὶ δυσὶ σκέλεσι ϛηριζόμενον καὶ πο-
ὶ διχηλοῖς, χερσαῖον ἅμα φαίνεται καὶ πτηνόν. διὰ δὲ
ὸ βάρος, ἐ δυνάμενον ἐξᾶραι καὶ πέτεσθαι, κατὰ τῆς
ῆς ὠκέως ἀκροβατεῖ, καὶ διωκόμενον ὑπὸ τῶν ἱππέων,
οῖς ποσὶ τὲς ὑποπίπτοντας λίθες ἕτως εὐτόνως ἀπο-
φενδονᾷ πρὸς τὲς διώκοντας, ὥϛε πολλάκις καρτεραῖς
ληγαῖς αὐτὲς περιπίπτειν. ἐπειδὰν δὲ περικατάληπτον
, τὴν κεφαλὴν εἰς τινα θάμνον ἢ τοιαύτην σκέπην ἀπο-
ρύπτεται, ἐχ ὡς οἴονταί τινες, ἀφροσύνῃ καὶ νωθρότητι
ψυχῆς, διὰ τὸ μὴ βλέπειν ἑτέρες, μηδ' αὐτὸ βλέπεσθαι
αλαμβάνον ὑφ' ἑτέρων, ἀλλὰ, διὰ τὸ τε σώματος ἔχειν
ῦτο τὸ μέρος ἀσθενέϛατον, σκέπην αὐτῷ πρὸς σωτηρίαν
ϛριποιεῖν. ἀγαθὴ γὰρ ἡ φύσις διδάσκαλος ἅπασι τοῖς
ώοις ἐϛὶ πρὸς διατήρησιν ἐ μόνον ἑαυτῶν, ἀλλὰ καὶ τῶν
ϛννωμένων, διὰ τῆς συγγενὲς φιλοζωίας τὰς διαδοχὰς εἰς
ἴδιον ἄγεσα διαμονῆς κύκλον.

Αἱ δὲ καλέμεναι καμηλοπαρδάλεις τὴν μὲν μίξιν Camelopardales.
ἀμφοτέρων ἔχεσι τῶν ἐν τῇ προσηγορίᾳ περιειλημμένων
ώων. τῷ μὲν γὰρ μεγέθει μικρότεραι τῶν καμήλων εἰ-
, καὶ βραχυτραχηλότεραι, τὴν δὲ κεφαλὴν καὶ τὴν τῶν
ιμάτων διάθεσιν παρδάλει παρεμφερῆ διατετύπωνται, τὸ
κατὰ τὴν ῥάχιν κύρτωμα παρεμφερὲς ἔχεσαι καμήλῳ,
ῷ χρώματι καὶ τῇ τριχώσει παρδάλεσιν ἐοίκασιν, ὁμοί-
ς δὲ καὶ τὴν ἐρὰν μακρὰν ἔχεσαι, τὴν τε θηρίε φύσιν
κοτυπενται. γίνονται δὲ καὶ τραγέλαφοι καὶ βέβαλοι, Tragelaphi & bubali.
καὶ ἄλλα πλείω γένη δίμορφα ζώων, καὶ τὴν σύνθεσιν
τῶν πλεῖϛον τῇ φύσει κεχωρισμένων ἔχοντα. περὶ
τὰ κατὰ μέρος μακρὸν ἂν εἴη γράφειν. δοκεῖ γὰρ ἡ
συνεγ-

συνεγγίζȣσα χώρα τῇ μεσημβρίᾳ τὴν ἀφ' ἡλίȣ δύναμιν ζωτικωτάτην ȣ̃σαν πολλὴν ἐμπνεῖσθαι, καὶ διὰ τȣ̃το πολλῶν καὶ ποικίλων, ἔτι δὲ καλῶν ζώων φύσεις γεννᾶν. διὰ δὲ τὰς αὐτὰς αἰτίας κατὰ μὲν τὴν Ἄιγυπτον τȣ́ς τε κροκοδείλȣς φύεσθαι καὶ τȣ̀ς ποταμίȣς ἵππȣς, κατὰ δὲ τὴν Ἀιθιοπίαν καὶ τὴν τῆς Λιβύης ἔρημον ἐλεφάντων τε πλῆθος, καὶ παντοδαπῶν ὄφεών τε καὶ τῶν ἄλλων θηρίων, καὶ δρακόντων ἐξηλλαγμένων τοῖς τε μεγέθεσι καὶ ταῖς ἀλκαῖς. ὁμοίως δὲ καὶ τȣ̀ς περὶ τὴν Ἰνδικὴν ἐλέφαντας, ὑπερβάλλοντας τοῖς τε ὄγκοις καὶ πλήθεσιν, ἔτι δὲ ταῖς ἀλκαῖς.

Lapides: Ὀυ μόνον δ' ἐν ταύταις ταῖς χώραις ζῶα γεννᾶται ταῖς ἰδέαις ἐξηλλαγμένα, διὰ τὴν ἀφ' ἡλίȣ συνεργίαν καὶ δύναμιν, ἀλλὰ καὶ λίθων παντοίων ἐκφύσεις, διάφοροι ταῖς χρόαις, καὶ ταῖς λαμπρότησι διαφανεῖς. τȣ̀ς

Crystallus. γὰρ κρυστάλλȣς λίθȣς ἔχειν τὴν σύστασιν ἐξ ὕδατος καθαρȣ̃ παγέντος, ȣ̓χ ὑπὸ ψύχȣς, ἀλλ' ὑπὸ θείȣ πυρὸς δυνάμεως, δι' ἣν ἀσήπτȣς μὲν αὐτȣ̀ς διαμένειν, βαφῆναι

Smaragdus. δὲ πολυμόρφως ἀναθυμιάσει πνεύματος. σμαράγδȣς γὰρ

Beryllia. καὶ τὰ καλȣ́μενα βηρύλλια, κατὰ τὰς ἐν τοῖς χαλκείοις μεταλλείας γινόμενα, διὰ τὴν ἀπὸ τῶν θείων βαφὴν καὶ σύνδεσιν συγχρώζεσθαι· τȣ̀ς δὲ χρυσολίθȣς, ὑπὸ

De generatione gemmarum in Arabia per solis calorem philosophumena. καπνώδȣς ἀναθυμιάσεως ἡλίȣ θερμότητι φυομένȣς, λέγουσι τυγχάνειν τȣ́τȣ τȣ̃ χρώματος. διὸ καὶ τȣ̀ς ὀνομαζομένȣς ψευδοχρύσȣς κατασκευάζεσθαι, διὰ τȣ̃ θνητȣ̃ καὶ ὑπ' ἀνθρώπων γεγονότος πυρὸς βαπτομένων τῶν κρυστάλλων. τὰς δὲ τῶν ἀνθράκων φύσεις φωτὸς δύναμιν ἐγκατειληθεῖσαν τῇ πήξει φασὶν ἀποτελεῖν τῷ μᾶλλον καὶ ἧττον τὰς ἐν αὐτῇ διαφοράς. παραπλησίως δὲ καὶ τὰς τῶν ὀρνέων μορφὰς ἐπιχρώζεσθαι, τὰς μὲν ὁλοπορφύρȣς φαινομένας, τὰς δὲ κατὰ μέρος παντοίαις χρόαις διειλημμένας. τὰ μὲν γὰρ φλόγινα, τὰ δὲ κροκώδη, τινὰ δὲ σμαραγδίζοντα, πολλὰ δὲ χρυσοειδῆ φαίνεσθαι κατὰ τὰς πρὸς τὸ φῶς ἐγκλίσεις αὐτῶν· καὶ καθόλȣ πολυειδεῖς καὶ δυσερμηνεύτȣς ἀποτελεῖσθαι χρόας. ὅπερ καὶ ἐπὶ τῆς κατ' ȣ̓ρανὸν ἴριδος ὁρᾶσθαι γινόμενον ὑπὸ τȣ̃ περὶ τὸν ἥλιον φωτός. ἐκ δὲ τȣ́των τȣ̀ς φυσιολόγȣς συλλογιζομένȣς ἀποφαίνεσθαι, διότι καὶ τὴν ἄνωθεν τῆς τῶν προειρημένων

ἐκφ-

κΦύσεως ποικιλίαν ἔβαψεν ἡ συγγενὴς θερμασία, συνεργήσαντος ἡλίε τε ζωοποιεντος τὰς ἑκάςων μορφάς. καθόλε δὲ καὶ τῆς περὶ τὰ ἄνθη διαφορᾶς τῆς χρόας καὶ τὰς τῆς γῆς ποικιλίας τετον ὑπάρχειν ἄιτιον καὶ δημιεργόν. ε τὴν Φυσικὴν ἐνέργειαν τὰς θνητὰς τέχνας μιμησαμένας, βάπτειν ἕκαςα καὶ ποικίλλειν, μαθητρίας γενομένας τῆς Φύσεως. τὰ μὲν γὰρ χρώματα τὸ Φῶς ἀπεργάζεσθαι, τὰς δὲ ὀσμὰς τῶν καρπῶν καὶ τὰς ἰδιότητας τῶν χυλῶν, ἔτι δὲ τὰ μεγέθη τῶν ζώων καὶ τὰς ἑκάςε διαθέσεις, πρὸς δὲ τέτοις τὰς τῆς γῆς ἰδιότητας γενῶν τὴν περὶ τὸν ἥλιον θερμασίαν, ἐις πολυτραφῆ χώραν καὶ γόνιμον ὕδωρ ἐνθάλπεσαν, καὶ δημιεργὸν γινομένην τῆς ἑκάςε Φύσεως. διόπερ ὅτε ἡ Παρία Λύγδος, ἴτ ἄλλη θαυμαζομένη πέτρα τοῖς Ἀραβίοις λίθοις ἐξισωθῆναι δύναται· ὧν λαμπροτάτη μὲν ἡ λευκότης, βαρύτατος δὲ ὁ ςαθμὸς, ἡ δέ γε λειότης ὑπερβολὴν ἑτέροις ἐκ ἀπολείπεσα. αἰτία δὲ τῆς χώρας τῆς κατὰ μέρος ἰδιότητος, καθάπερ προεῖπον, ἡ περὶ τὸν ἥλιον δύναμις, θερμασίᾳ μὲν πήξασα, ξηρότητι δὲ πιλήσασα, Φέγγει δὲ λαμπρύνασα.

Alias proprietates terrarum orientalium a majore solis calore.

Διὸ καὶ τὸ τῶν ὀρνέων γένος, πλείςης θερμασίας κεκοινωνηκὸς, ἐγένετο διὰ μὲν τὴν κεφότητα πτηνὸν, διὰ δὲ τὴν ἀφ' ἡλίε συνεργίαν ποικίλον, καὶ μάλιςα κατὰ τὰς προκειμένας ἡλίῳ χώρας. ἡ μὲν γὰρ Βαβυλωνία ταώνων ἐκτρέφει πλῆθος, παντοίαις χρόαις ἐπηνθισμένων. ἡ δὲ τῆς Συρίας ἐσχατιαὶ ψιττακὲς καὶ παρφυρίωνας καὶ μελεαγρίδας, καὶ ἄλλων ζώων ἰδίας Φύσεις τοῖς χρώμασι καὶ ποικίλας συγκρίσεις. ὁ δ' αὐτὸς λόγος καὶ κατὰ τὰς ἄλλας χώρας τῆς γῆς, τὰς κατὰ τὴν ὁμοίαν κρᾶσιν κειμένας. λέγω δ' Ἰνδικὴν, καὶ τὴν ἐρυθρὰν θάλατταν, ἔτι δὲ Ἀιθιοπίαν, καί τινα μέρη τῆς Λιβύης. ἀλλὰ τῆς μὲν πρὸς ἀνατολὰς κεκλιμένης πιοτέρας ὅσης, ἐυγενέςερα καὶ μείζονα Φύεται ζῶα· τῆς δ' ἄλλης ἀεὶ κατὰ τὸν τῆς ἀρετῆς λόγον ἕκαςα ταῖς διαθέσεσι γεννᾶται. ὁμοίως δὲ καὶ τῶν δένδρων οἱ Φοίνικες, κατὰ μὲν τὴν Λιβύην αὐχμηρὲς καὶ μικρὲς ἐκΦέρεσι καρπές· τῆς δὲ Συρίας κατὰ μὲν τὴν κοίλην οἱ καρυωτοὶ προσαγορευόμενοι γεννῶνται, διάΦοροι κατά τε τὴν γλυκύτητα καὶ τὸ μέγε-

μέγεθος, ἔτι δὲ τοὺς χυμούς. τούτων δὲ πολλῷ μείζους κατὰ τὴν Ἀραβίαν καὶ τὴν Βαβυλωνίαν ὁρᾶν ἐστι γινομένους, κατὰ μὲν τὸ μέγεθος ἓξ δακτύλων ὄντας, τῇ δὲ χρόᾳ τοὺς μὲν, μηλίνους, τοὺς δὲ, φοινικοῦς, ἐνίους δὲ πορφυρίζοντας. ὥσθ' ὑπ' αὐτῶν ἅμα καὶ τὴν ὄψιν τέρπεσθαι καὶ τὴν γεῦσιν ψυχαγωγεῖσθαι. τὰ δὲ στελέχη τῶν φοινίκων τὸ μὲν μῆκος ἀέριον ἔχει, τὴν δὲ περιφέρειαν, ψιλὴν πανταχόθεν μέχρι τῆς κορυφῆς. ἀκρόκομα δ' ὄντα, διαφόρους ἔχει τὰς ἀπὸ τῆς κόμης διαθέσεις. τὰ μὲν γὰρ πάντῃ τοὺς ῥάδικας ἔχει περικεχυμένους, καὶ κατὰ μέσον ἔκ τινος περιρραγέντος φλοιοῦ βοτρυώδη καρπὸν ἀνίησι· τὰ δὲ ἐφ' ἓν μέρος ἔχοντα κεκλιμένας τὰς ἐπὶ τῆς κορυφῆς κόμας, σχηματισμὸν ἀποτελεῖ λαμπάδος ἀπαιθυσσομένης. ἔνια δ' ἐπ' ἀμφότερα τὰ μέρη περικλάοντα, καὶ διπλῇ τῇ καταθέσει τῶν κλάδων ἀμφίχαιτα γινόμενα γραφικὴν ἀποτελεῖ τὴν πρόσοψιν.

Arabes Scenitæ s. pastores versus meridiem.

Τῆς δ' ὅλης Ἀραβίας τὴν μὲν ἐπὶ μεσημβρίαν νεύουσαν, εὐδαίμονα προσαγορεύουσι. τὴν δ' ἐνδοτέρω κειμένην νέμεται πλῆθος Ἀράβων νομάδων καὶ σκηνίτην βίον ᾑρημένων. οὗτοι δὲ θρεμματοτροφοῦντες ἀγέλας μεγάλας βοσκημάτων, ἐναυλίζονται πεδίοις ἀμετρήτοις. ἡ δ' ἀνὰ μέσον ταύτης τε καὶ τῆς εὐδαίμονος Ἀραβίας ἔρημος καὶ ἄνυδρός ἐστι, καθάπερ προείρηται. τὰ δὲ πρὸς δυσμὰς μέρη κεκλιμένα τῆς Ἀραβίας διείληπται πεδίοις ἀμμώδεσιν, ἀερίοις τὸ μέγεθος, δι' ὧν οἱ τὰς ὁδοιπορίας ποιούμενοι, καθάπερ οἱ ἐν τοῖς πελάγεσι, πρὸς τὰς ἀπὸ τῶν ἄρκτων σημασίας τὴν διέξοδον ποιοῦνται. τὸ δ' ὑπολειπόμενον μέρος τῆς Ἀραβίας, τὸ πρὸς τὴν Συρίαν κεκλιμένον, πληθύει γεωργῶν καὶ παντοδαπῶν ἐμπόρων, οἳ διὰ τὰς τῶν φορτίων εὐκαίρους ἀντιδόσεις, τὰ παρ' ἀμφοτέροις σπανίζοντα πρὸς δαψίλειαν τῶν χρησίμων διορθοῦνται. ἡ δὲ παρὰ τὸν Ὠκεανὸν Ἀραβία κεῖται μὲν ὑπεράνω τῆς εὐδαίμονος, ποταμοῖς δὲ πολλοῖς καὶ μεγάλοις διειλημμένη πολλοὺς ποιεῖ τόπους λιμνάζοντας, καὶ μεγάλων ἑλῶν περιμέτρους. τοῖς δ' ἐκ τῶν ποταμῶν ἐπακτοῖς ὕδασι καὶ τοῖς ἐκ τῶν θερινῶν ὄμβρων γινομένοις ἀρδεύοντες πολλὴν χώραν, καὶ διπλοῦς καρποὺς λαμβάνουσι. τρέφει δὲ ὁ τόπος οὗτος ἐλεφάντων ἀγέλας, καὶ ἄλλα ζῷα κητώδη,

Agricolæ & mercatores versus Syriam.

Animalium recensus; præsertim elephanti,

η, χερσαῖα θηρία καὶ δίμορφα, ταῖς ἰδέαις ἐξηλλαγμέ-
α. πρὸς δὲ τέτοις θρεμμάτων παντοδαπῶν πληθύει,
αὶ μάλιστα βοῶν καὶ προβάτων, τῶν τὰς μεγάλας καὶ
αχείας ἐρὰς ἐχόντων. πλεῖστα δὲ καὶ διαφορώτατα γέ-
η καμήλων τρέφει, τῶν τε ψιλῶν καὶ δασέων, καὶ
ιπλῶν ἀνατετακότων τὸ κατὰ τὴν ῥάχιν κύρτωμα, καὶ
ιὰ τῦτο διτύλων ὀνομαζομένων. ὧν αἱ μὲν γάλα πα-
ͅχόμεναι καὶ κρεοφαγέμεναι, πολλὴν παρέχονται τοῖς
γχωρίοις δαψίλειαν· αἱ δὲ πρὸς νωτοφορίαν ἠσκημέναι
υρῶν μὲν ἀνὰ δέκα μεδίμνες νωτοφορῦσιν, ἀνθρώπες
ὲ κατακειμένες ἐπὶ κλίνης πέντε βαστάζεσιν. αἱ δὲ ἀνά-
ωλοι καὶ λαγαραὶ ταῖς συστάσεσι δρομάδες εἰσὶ, καὶ δια-
είνεσι πλεῖστον ὁδῦ μῆκος, καὶ μάλιστα πρὸς τὰς διὰ τῆς
νύδρε καὶ ἐρήμε συντελεμένας ὁδοιπορίας. αἱ δ' αὐταὶ
αὶ κατὰ τὲς πολέμες εἰς τὲς μάχας ἔχεσαι τοξότας
γο[illegible]αι δύο, ἀντικαθημένες ἀλλήλοις ἀντινώτες. τέτων
ὲ ὁ μὲν τὲς κατὰ πρόσωπον ἀπαντῶντας, ὁ δὲ τὲς ἐπι-
ιώκοντας ἀμύνεται. περὶ μὲν ὖν τῆς Ἀραβίας καὶ τῶν
ν αὐτῇ φυομένων, εἰ καὶ πεπλεονάκαμεν, ἀλλ' ὖν πολ-
ὰ τοῖς φιλαναγνωςῦσι πρὸς φιληκοΐαν ἀπηγγέλκαμεν.

cameli varii generis.

Νῦν δὲ περὶ τῆς ἐρυθρᾶς θαλάσσης λέξομεν. Τῶν
ποδεδειγμένων ὅρμων τῆς Ἐρυθρᾶς θαλάσσης, καὶ τῶν
ερὶ αὐτὴν ἐμπορίων, πρῶτος ἐςὶ λιμὴν τῆς Αἰγύπτε,
Ἰυὸς ὅρμος. μετὰ δὲ αὐτὸν, εἰσπλεόντων ἀπὸ χιλίων
κτακοσίων ςαδίων, ἐν δεξιᾷ ἡ Βερενίκη. ἀμφοτέρων οἱ
ιμένες, ἐν τῷ ἐσχάτῳ τῆς Αἰγύπτε· κόλποι δὲ τῆς Ἐρυ-
ρᾶς θαλάσσης κεῖνται. τέτων ἐκ μὲν τῶν δεξιῶν ἀπὸ
ερενίκης συναφῆς ἡ Τισηβαρικὴ χώρα ἐςί. τὰ μὲν πα-
ὰ θάλασσαν, Ἰχθυοφάγων μάνδραις οἰκοδομημέναις ἐν
ςνάμασιν, καὶ σποράδην δὲ οἰκῦνται· τὰ δὲ μεσόγεια,
αρβάρων καὶ τῶν μετ' αὐτὲς Ἀγριοφάγων, καὶ Μοσχο-
άγων, κατὰ τυραννίδα νεμομένων· οἷς ἐπίκειται κατὰ
ὐτε μεσόγειος, ἀπὸ τῶν πρὸς δύσιν μερῶν, * * * σης
ικρόν. μετὰ δὲ τὲς Μοσχοφάγες, ἐπὶ θαλάσσης μικρὸν
μπόριον ἐςὶν, ἀπέχον τῶν πέρας τῆς ανακομιδῆς ςαδίες
ερὶ τετρακισχιλίες, Πτολεμαῒς ἡ τῶν θηρῶν λεγομένη,
φ' ἧς οἱ ἐπὶ Πτολεμαίῳ τῷ βασιλεῖ θηρευθέντες ἐνέ-
ησαν. ἔχει δὲ τὸ ἐμπόριον χελώνην ἀληθινὴν, καὶ

Arriani periplus maris Erythræi.

χερ-

χερσαίαν ὀλίγην, καὶ λευκὴν μικροτέραν τοῖς ὀςράκοις. ευρίσκεται δὲ ἐν αὐτῇ ποτὲ μὲν ἐλέφας ὀλίγος, ὅμοιος τῷ Ἀδελιτικῷ. ὁ δὲ τόπος ἀλίμενος, καὶ σκάφαις μόνου τὴν ἀποδρομὴν ἔχων. μετὰ δὲ τὴν Πτολεμαΐδα τὴν τῶν θηρῶν, ἀπὸ ςαδίων ὡς τριχιλίων, ἐμπόριον ἐςὶ νόμιμον ἡ Ἀδελεὶ κείμενον ἐν κόλπῳ βαθεῖ, κατ' αὐτὸν τὸν νότον. ᾧ πρόκειται νῆσος, Ὀρεινὴ λεγομένη, τῆ μὲν ἐσωτάτῃ κόλπῃ, ςαδίας ὡς εἰς πέλαγος ἔχουσα διακοσίας, ἐξ ἀμφοτέρων τῶν μερῶν παρακειμένην ἔχουσα τὴν ἤπειρον. ἐν ᾗ νῦν ὁρμεῖ τὰ καταγόμενα πλοῖα, διὰ τὰς ἀπὸ τῆς γῆς καταδρομάς. πρῶτον μὲν γὰρ ὥρμει κατ' αὐτὸν τὸν ἐσώτατον κόλπον ἐν τῇ Διοδώρῃ λεγομένῃ νήσῳ, παρ' αὐτὴν τὴν ἤπειρον ἐχούσῃ πεζῇ τὴν διάβασιν, δι' ἧς οἱ κατοικοῦντες βάρβαροι κατέτρεχον τὴν νῆσον. καὶ κατ' αὐτὴν τὴν ἐν τῇ Ὀρεινῇ ἤπειρον, ἀπὸ ςαδίων εἴκοσι τῆς θαλάσσης, ἐςὶν ἡ Ἀδελεὶ κώμη σύμμετρος. ἀφ' ἧς εἰς μὲν Κολόην μεσόγειον πόλιν, καὶ πρῶτον ἐμπόριον τοῦ ἐλέφαντος, ὁδός ἐςιν ἡμερῶν τριῶν. ἀπὸ δὲ ταύτης εἰς αὐτὴν τὴν μητρόπολιν τὸν Ἀξωμίτην λεγόμενον, ἄλλων ἡμερῶν πέντε· εἰς ὃν ὁ πᾶς ἐλέφας ἀπὸ τοῦ πέραν τοῦ Νείλου φέρεται, διὰ τοῦ λεγομένου Κυηνείου, ἐκεῖθεν δὲ εἰς Ἀδελεί. τὸ μὲν οὖν ὅλον πλῆθος τῶν φονευομένων ἐλεφάντων ἢ ῥινοκερώτων, περὶ τοὺς ἄνω νέμεται τόπους, σπανίως δέ ποτε καὶ ἐν τῷ παρὰ θάλασσαν, περὶ αὐτὴν τὴν Ἀδελεὶ θεωροῦνται. πρόκεινται δὲ τοῦ ἐμπορίου καὶ κατὰ πέλαγος, ἄλλαι νῆσοι μικραὶ ἐκ δεξιῶν ἄμμιναι πλείονες, Ἀλαλαίου λεγόμεναι, χελώνην ἔχουσαι τὴν εἰς τὸ ἐμπόριον φερομένην ἀπὸ τῶν Ἰχθυοφάγων. καὶ ἀπὸ ςαδίων ὡσεὶ ὀκτακοσίων, κόλπος ἕτερος βαθύτατος, οὗ κατὰ τὴν εἰσβολὴν ἐν δεξιοῖς ἄμμος ἐςὶν πολλὴ κεχυμένη, καθ' ἧς ἐν βάθει κεχωσμένος εὑρίσκεται ὁ ὀψιανὸς λίθος, ἐν ἐκείνῃ μόνῃ τοπικῶς γενώμενος. βασιλεύει δὲ τῶν τόπων τούτων, ἀπὸ τῶν Μοσχοφάγων μέχρι τῆς ἄλλης Βαρβαρίας, Ζωσκάλης ἀκριβὴς μὲν τοῦ βίου, καὶ τῶν πλειόνων ἐξερχόμενος, γενναῖος δὲ περὶ τὰ λοιπά, καὶ γραμμάτων Ἑλληνικῶν ἔμπειρος. προχωρεῖ δὲ εἰς τοὺς τόπους τούτους ἱμάτια βαρβαρικὰ ἄγναφα τὰ ἐν Αἰγύπτῳ γινόμενα, Ἀρσινοητικαὶ ςολαί, καὶ ἄβολοι νόθοι χρωμάτινοι, καὶ λέντια,

ια, καὶ δικρόσσια, καὶ λιθίας ὑαλῆς πλείονα γένη, καὶ
ἄλλης μυῤῥινῆς, τῆς γινομένης ἐν Διοσπόλει· καὶ ὀρεί-
χαλκος, ᾧ χρῶνται πρὸς κόσμον, καὶ εἰς συγκοπὴν ἀντὶ
νομίσματος· καὶ μελίεφθα χαλκᾶ, εἴς τε ἕψησιν καὶ εἰς
συγκοπὴν ψελλίων καὶ περισκελλίδων τισὶ τῶν γυναικῶν·
καὶ σίδηρος, ὁ δαπανώμενος εἴς τε λόγχας πρὸς τὰς ἐλέ-
φαντας καὶ τὰ ἄλλα θηρία, καὶ τὰς πολέμους. ὁμοίως
δὲ καὶ πελύκια προχωρεῖ, καὶ σκέπαρνα, καὶ μάχαιραι,
καὶ ποτήρια χαλκᾶ ϛρογγύλα μεγάλα, καὶ δηνάριον ὀλίγον
πρὸς τὰς ἐπιδημᾶντας, καὶ οἶνος Λαοδικηνὸς καὶ Ἰταλι-
κὸς ἃ πολὺς, καὶ ἔλαιον ἃ πολύ. τῷ δὲ βασιλεῖ ἀργυ-
ρώματα καὶ χρυσώματα τοπικῷ ῥυθμῷ κατεσκευασμένα,
καὶ ἱματίων ἀβόλλαι, καὶ καυνάκαι ἁπλοῖ· ἃ πολλᾶ δὲ
ταῦτα ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἔσω τόπων τῆς Ἀραβικῆς,
σίδηρος Ἰνδικὸς, καὶ ϛόμωμα, καὶ ὀθόνιον Ἰνδικὸν τὸ
πλατύτερον, ἡ λεγομένη μοναχὴ, καὶ σαγματογῆναι, καὶ
περιζώματα, καὶ καυνάκαι, καὶ μολόχινα, καὶ σινδόνες
ὀλίγαι, καὶ λάκκος χρωμάτινος. Φέρεται δὲ ἀπὸ τῶν
τόπων ἐλέφας, καὶ ῥινόκερως. τὰ δὲ πλεῖϛα ἐκ τῆς Αἰ-
γύπτα φέρεται εἰς τὸ ἐμπόριον τᾶτο, ἀπὸ μηνὸς Ἰανα-
ρία μέχρι τᾶ Σεπτεμβρία, ὅ ἐϛιν, ἀπὸ Τυβὶ ἕως Θὼθ.
εὐκαίρως δὲ ἀπὸ Αἰγύπτα ἀνάγονται περὶ τὸν Σεπτέμ-
βριον μῆνα. ἤδη ἐπ' ἀνατολὴν ὁ Ἀραβικὸς κόλπος δια-
τείνει, καὶ κατὰ τὴν Ἀβαλίτην μάλιϛα ϛενᾶται. μετὰ
δὲ ϛαδίας ὡσεὶ τετρακιχιλίας, κατὰ τὴν αὐτὴν ἤπειρον εἰς
ἀνατολὴν πλεόντων, ἐϛὶν ἄλλα ἐμπόρια βαρβαρικὰ, Τά-
ταρα λεγόμενα· κείμενα μὲν κατὰ τὸ ἑξῆς, ἀγκυροβο-
λίοις δὲ καὶ σάλοις ἔχοντα τὰς ὅρμας, κατὰ καιρὰς ἐπι-
τηδείας. πρῶτος μὲν ὁ λεγόμενος Ἀυαλείτης, καθ' ὃν
καὶ ϛενωτατός ἐϛιν ἀπὸ τῆς Ἀραβικῆς εἰς τὸ πέραν διά-
πλας. κατὰ τᾶτον τὸν τόπον, μικρὸν ἐμπόριον ἐϛὶν ὁ
Αυαλείτης, σχεδίαις καὶ σκάφαις εἰς τὸ αὐτὸ προσερχο-
μένων. προχωρεῖ δὲ εἰς αὐτὴν ὑαλὴ λιθία σύμμικτος,
καὶ Διοσπολιτικῆς ὄμφακος, καὶ ἱμάτια βαρβαρικὰ σύμ-
μικτα γεγναμμένα, καὶ σῖτος, καὶ οἶνος, καὶ κασσίτερος
ὀλίγος. Φέρεται δὲ ἐξ αὐτῆς ποτὲ ὑπὸ τῶν βαρβάρων
ἐπὶ χεδίαις διαφερόντων εἰς τὴν ἄντικρυς Κῆλις καὶ Μό-
ζα, ἀρώματα καὶ ἔλεφας ὀλίγος, καὶ χελώνη, καὶ σμύρ-
να

να ἐλαχίστη, διαφέρουσα δὲ τῆς ἄλλης· ἀτακτότεροι δὲ οἱ κατοικοῦντες τὸν τόπον βάρβαροι. μετὰ δὲ τὴν Ἀυαλείτην, ἕτερον ἐμπόριον ἐστὶν τούτου διαφέρον, ἡ λεγομένη Μαλαὼ, πλοῦν ἀπέχουσα σταδίων ὡς ὀκτακοσίων· ὁ δὲ ὅρμος ἐπίσαλος, σκεπόμενος ἀκρωτηρίῳ, τῷ ἐξ ἀνατολῆς ἀνατείνοντι· οἱ δὲ κατοικοῦντες εἰρηνικώτεροι. προχωρεῖ δὲ εἰς τοῦτον τὸν τόπον τὰ προειρημένα, καὶ πλείονες χιτῶνες, σάγοι Ἀρσινοητικοὶ, γεγναμμένοι καὶ βεβαμμένοι, καὶ ποτήρια, καὶ μελίεφθα ὀλίγα, καὶ σίδηρος, καὶ δηνάριον οὐ πολὺ, καὶ χρυσοῦν δὲ καὶ ἀργυροῦν. ἐκφέρεται δὲ ἀπὸ τῶν τόπων τούτων, καὶ σμύρνα, καὶ λίβανος ὁ περατικὸς ὀλίγος, καὶ κασσία σκληροτέρα, καὶ δούακα, καὶ κάγκαμον, καὶ μάκειρ, τὰ εἰς Ἀραβίαν προχωροῦντα, καὶ σώματα σπανίως. ἀπὸ δὲ Μαλαὼ δύο δρόμοις ἐστὶν ἐμπόριον ἡ Μούνδου· ἐν ᾧ καὶ ἀσφαλέστερον ὁρμεῖ τὰ πλοῖα, εἰς τὴν προκειμένην ἔγγιστα τῆς γῆς νῆσον. προχωρεῖ δὲ εἰς αὐτὴν τὰ προειρημένα καὶ ἐκεῖθεν ὁμοίως ἐκφέρεται τὰ προειρημένα φορτία· θυμίαμα, τὸ λεγόμενον Μοκρότου· οἱ δὲ κατοικοῦντες ἔμποροι σκληρότεροι. ἀπὸ δὲ τῆς Μούνδου, πλεόντων εἰς τὴν ἀνατολὴν ὁμοίως μετὰ δύο δρόμους ἢ τρεῖς, πλησίον κεῖται τὸ Μόσυλλον, ἐν αἰγιαλῷ δυσόρμῳ. προχωρεῖ δὲ εἰς αὐτὴν τὰ προειρημένα γένη, καὶ σκεύη ἀργυρᾶ. σιδηρᾶ δὲ ἐλάσσω, καὶ λιθία. ἐξάνεται δὲ ἀπὸ τῶν τόπων κασσίας χρῆμα πλεῖστον, ὃ καὶ μειζόνων πλοίων χρήζει τὸ ἐμπόριον, καὶ ἄλλα εὐόδια, καὶ ἀρώματα, καὶ χελωνάρια ὀλίγα, καὶ μοκρότου, ἧττον τοῦ Μουνδιτικοῦ, καὶ λίβανος ὁ περατικός· ἐλέφας δὲ καὶ σμύρνα σπανίως. ἀπὸ δὲ τοῦ Μοσύλλου παραπλεύσαντι μετὰ δύο δρόμους, τὸ λεγόμενον Νειλοπτολεμαίου, καὶ Ταπατηγὴ, καὶ Δαφνῶνα μικρὸν, καὶ ἀκρωτήριον Ἐλέφας, ἀπὸ Ὀπώνης εἰς νότον προχωρεῖ. εἶτα εἰς λίβα ἡ χώρα ποταμοὺς ἔχει, τὸν λεγόμενον ἐλέφαντα, καὶ Δαφνῶνα μέγαν, λεγόμενον Ἀκάνναι. ἐν ᾗ μονογενῶς λίβανος ὁ περατικὸς πλεῖστος καὶ διάφορος γίνεται. καὶ μετὰ ταύτην, τῆς γῆς ὑποχωρούσης εἰς τὸν νότον ἤδη, τὸ τῶν Ἀρωμάτων ἐμπόριον, καὶ ἀκρωτήριον τελευταῖον τῆς βαρβαρικῆς ἠπείρου πρὸς ἀνατολὴν Ἀποκόπων. ὁ δὲ ὅρμος ἐπίσαλος, κατὰ καιροὺς ἐπικίνδυνος, διὰ τὸ προσεχῆ τὸν τόπον εἶναι τοῦ

βορέου

ɜορέᾳ. σημεῖον δὲ τοῦ μέλλοντος χειμῶνος τόπικον, τὸ
·ὸν βυθὸν θολερώτερον γίνεσθαι, καὶ τὴν χρόαν ἀλλάσσειν.
·ούτου δὲ γενομένου, πάντες ἀποφεύγουσιν εἰς τὸ μέγα ἀκρω-
τήριον, τόπον καὶ σκέπην, τὸ λεγόμενον Τάβαι. προχω-
ρεῖ δ' εἰς τὸ ἐμπόριον, ὁμοίως τὰ προειρημένα· γίνεται δὲ
τὰ ἐν αὐτῷ κασσία καὶ γίζειρ, καὶ ἀσύφη, καὶ ἄρωμα, καὶ
μάγλα, καὶ μοτὼ, καὶ λίβανος. ἀπὸ δὲ Τάβαις μετὰ στα-
δίους τετρακοσίους παραπλεύσαντι χερσόνησον, καθ' ὃν τόπον
καὶ ὁ ῥοῦς ἕλκει, ἕτερόν ἐστιν ἐμπόριον Ὀπώνη. εἰς ἣν καὶ
αὐτὴν προχωρεῖ μὲν τὰ προειρημένα. τὸ δὲ πλεῖστον ἐν αὐ-
τῇ γεννᾶται κασσία, καὶ ἄρωμα, καὶ μοτὼ, καὶ δουλικὰ κρεί-
σσονα, καὶ εἰς Αἴγυπτον προχωρεῖ μᾶλλον, καὶ χελώνη πλεί-
στη, καὶ διαφορωτέρα τῆς ἄλλης· πλέεται δὲ εἰς πάντα ταῦτα
τὰ πέραν ἐμπόρια, ἀπὸ μὲν Αἰγύπτου περὶ τὸν Ἰούλιον
μῆνα, ὅ ἐστιν Ἐπιφί. ἐξαρτίζεται δὲ συνήθως, καὶ ἀπὸ
τῶν ἔσω τόπων τῆς Ἀριακῆς, καὶ Βαρυγάζων, εἰς τὰ αὐτὰ
τὰ πέραν ἐμπόρια, γένη προχωροῦντα ἀπὸ τῶν τόπων, σῖτος,
καὶ ὄρυζα, καὶ βούτυρον, καὶ ἔλαιον σησάμινον, καὶ ὀθόνιον
ἥ τε μοναχὴ, καὶ ἡ σαγματογήνη, καὶ περιζώματα, καὶ
μέλι τὸ καλάμινον, τὸ λεγόμενον σάκχαρι. καὶ οἱ μὲν
προηγουμένως εἰς ταῦτα τὰ ἐμπόρια πλέουσι, οἱ δὲ κατὰ
τὸν παράπλουν ἀντιφορτίζονται τὰ ἐμπεσόντα. οὐ βασι-
λεύεται δὲ ὁ τόπος, ἀλλὰ τυράννοις ἰδίοις καθ' ἕκαστον
ἐμπόριον διοικεῖται. ἀπὸ δὲ Ὀπώνης, τῆς ἀκτῆς εἰς τὸν
νότον ὑποχωρούσης ἐπὶ πλεῖον, πρῶτα μέν ἐστι τὰ λεγόμε-
να μικρὰ Ἀπόκοπα καὶ μεγάλα τῆς Ἀζανίας, διὰ ἀγκυ-
ροβολίων· ποταμὸς, ἐπὶ δρόμους ἕξ, παρ' αὐτὸν ἤδη τὸν
λίβα· εἶτα αἰγιαλὸς καὶ μικρὸς καὶ μέγας, ἐπ' ἄλλους
δρόμους ἕξ. καὶ μετ' αὐτὸν κατὰ τὸ ἑξῆς, οἱ τῆς Ἀζα-
νίας δρόμοι. πρῶτον μὲν, ὁ λεγόμενος Σεραπίωνος· εἶθ'
ὁ Νίκωνος· μεθ' ὃν, ποταμοὶ πλείονες, καὶ ἄλλοι συνε-
χεῖς ὅρμοι, διῃρημένοι κατὰ σταθμοὺς καὶ δρόμους ἡμερησίους
πλείους, τοὺς πάντας ἑπτὰ, μέχρι Πυραλάων νήσων, καὶ
τῆς λεγομένης διώρυχος. ἀφ' ἧς μικρὸν ἐπάνω τοῦ λι-
βὸς, μετὰ δύο δρόμους νυχθημέρους, παρ' αὐτὴν τὴν δύσιν
τενηδιωμμενουθεσίας ἀπαντᾷ νῆσος, σταδίων ἀπὸ τῆς γῆς
ποτεὶ τριακοσίων, ταπεινὴ καὶ κατάδενδρος. ἐν ᾗ καὶ πο-
ταμοὶ, καὶ ὀρνέων γένη πλεῖστα, καὶ χελώνη ὀρεινή. θη-

ρίων δὲ οὐδὲν ὅλως ἔχει, πλὴν κροκοδείλων· οὐδένα δὲ ἀνθρώπων ἀδικοῦσι. ἔστιν δὲ ἐν αὐτῇ πλοιάρια ῥαπτὰ καὶ μονόξυλα, οἷς χρῶνται πρὸς ἁλίαν καὶ ἄγραν χελώνης. ἐν δὲ ταύτῃ τῇ νήσῳ, καὶ γυργάθοις αὐτὰς ἰδίως λινεύουσιν, ἀντὶ δικτύων καθίεντες αὐτοὺς περὶ τὰ στόματα τῶν προραχῶν. ἀφ' ἧς μετὰ δύο δρόμους τῆς ἠπείρου τὸ τελευταιότατον τῆς Ἀζανίας ἐμπόριον κεῖται, τὰ Ῥαπτὰ λεγόμενα, ταύτην ἔχον τὴν προσωνυμίαν, ἀπὸ τῶν προειρημένων ῥαπτῶν πλοιαρίων, ἐν ᾧ πλεῖστός ἐστιν ἐλέφας καὶ χελώνη· μέγιστοι δὲ σώμασιν περὶ ταύτην τὴν χώραν ἄνθρωποι ὁρατοὶ κατοικοῦσιν. καὶ κατὰ τὸν τόπον ἕκαστον ὁμοίως τιθέμενοι τυράννους· νέμεται δὲ αὐτὴν κατά τι δίκαιον ἀρχαῖον, ὑποπίπτουσαν τῇ βασιλείᾳ τῆς πρώτης γινομένης Ἀραβίας, ὁ Μαφαρείτης τύραννος. παρὰ δὲ τοῦ βασιλέως, ὑπόφορον αὐτὴν ἔχουσιν οἱ ἀπὸ Μούζα. καὶ πέμπουσιν εἰς αὐτὴν ἐφόλκια, τὰ πλείονα κυβερνήταις καὶ χρειακοῖς Ἄραψιν, χρώμενοι τοῖς κατὰ συνήθειαν καὶ ἐπιγαμβρίαν ἔχουσιν, ἐμπείροις τε οὖσιν τῶν τόπων καὶ τῆς φωνῆς αὐτῶν. εἰσφέρεται δὲ εἰς τὰ ἐμπόρια ταῦτα προηγουμένως, ἡ τοπικῶς ἐν Μούζᾳ κατασκευαζομένη λόγχη καὶ πελύκια, καὶ μαχαίρια, καὶ ὀπήτια, καὶ λιθίας ὑάλης πλείονα γένη. εἰς δέ τινας τόπους οἶνός τε καὶ σῖτος οὐκ ὀλίγος, οὐ πρὸς ἐργασίαν, ἀλλὰ δαπάνης χάριν, ἐπὶ φιλανθρωπίαν τῶν βαρβάρων. ἐκφέρεται δὲ ἀπὸ τῶν τόπων ἐλέφας πλεῖστος, ἧσσον δὲ τοῦ Ἀδουλιτικοῦ, καὶ ῥινόκερως, καὶ χελώνη διάφορος μετὰ τὴν Ἰνδικὴν, καὶ ναύπλιος ὀλίγος. καὶ σχεδὸν τελευταιότατά ἐστι ταῦτα τὰ ἐμπόρια τῆς Ἀζανίας, τῆς ἐν δεξιοῖς ἀπὸ Βερενίκης ἠπείρου. ὁ γὰρ μετὰ τούτους τοὺς τόπους ὠκεανὸς ἀνερεύνητος ὢν, εἰς τὴν δύσιν ἀνακάμπτει, καὶ τοῖς ἀπεστραμμένοις μέρεσι τῆς Αἰθιοπίας, καὶ Λιβύης, καὶ Ἀφρικῆς, κατὰ τὸν νότον παρεκτείνων, εἰς τὴν ἑσπέριον συμμίσγει θάλασσαν. ἐκ δὲ τῶν εὐωνύμων Βερενίκης ἀπὸ Μυὸς ὅρμου, δυσὶ δρόμοις ἢ τρισὶν εἰς τὴν ἀνατολὴν, διαπλεύσαντι τὸν παρακείμενον κόλπον, ὅρμος ἐστὶν ἕτερος, καὶ φρούριον, ὃ λέγεται Λευκὴ κώμη, δι' ἧς ἐστιν εἰς Πέτραν πρὸς Μαλίχαν βασιλέα Ναβαταίων. ἔχει δὲ ἐμπορίου τινὰ καὶ αὐτὸ τάξιν, τοῖς ἀπὸ τῆς Ἀραβίας ἐξαρτιζομένοις εἰς αὐτὴν πλοι-

ης ȣ̓ μεγάλοις. διὸ καὶ παραφυλακῆς χάριν, εἰς αὐτὴν παραλήπτης τῆς τετάρτης τῶν εἰσφερομένων φορτίων, καὶ κατονταρχὴς μετὰ ϛρατεύματος ἀποϛέλλεται. μετὰ δὲ αὐτὴν εὐθέως ἐϛὶν συναφὴς Ἀραβικὴ χώρα, κατὰ μῆκος πὶ πολὺ παρατείνȣσα τῇ ἐρυθρᾷ θαλάσσῃ. διάφορα δὲ ἐν υτῇ ἔθνη κατοικεῖται· τινὰ μὲν ἐπὶ ποσὸν, τινὰ δὲ καὶ ελείως τῇ γλώσσῃ διαλάσσοντα. τȣ́των τὰ παρὰ θάλασσαν, ὁμοίως Ἰχθυοφάγων, μάνδραις διείληπται· τὰ δὲ πάνω κατὰ κώμας καὶ νομαδίας οἰκεῖται πονηροῖς ἀνθρώοις διφώνοις. ὅις παραπίπτοντες ἀπὸ τȣ͂ μέσȣ πλόȣ, μὲν διαρπάζονται, οἱ δὲ καὶ ἀπὸ ναυαγίων σωθέντες ν δραποδίζονται. διὸ καὶ συνεχῶς ἀπὸ τῶν τυράννων καὶ ασιλέων τῆς Ἀραβίας αἰχμαλωτίζονται. λέγονται δὲ ανραεῖται. καθόλȣ μὲν ȣ̓͂ν ἔτος ὁ τῆς Ἀραβικῆς χώρας πείρȣ παράπλȣς ἐϛὶν ἐπισφαλὴς· καὶ ἀλίμενος ἡ χώρα, αὶ δύσορμος, καὶ ἀκάθαρτος, ῥαχίαις καὶ σπίλοις ἀπρόιτος, καὶ κατὰ πάντα φαβερά. διὸ καὶ εἰσπλεόντων, ἔσον πλȣ͂ν κατέχομεν, καὶ εἰς τὴν Ἀραβικὴν χώραν ᾶλλον παροξύνομεν, ἄχρι τῆς κατακεκαυμένης νήσȣ. θ' ἣν εὐθέως ἡμέρων ἀνθρώπων, καὶ νομαδιαίων θρεμάτων, καὶ καμήλων συνεχεῖς χῶραι· καὶ μετὰ ταύτας, κόλπῳ τῷ τελευταιοτάτῳ τῶν εὐωνύμων τȣ́τȣ τȣ͂ πεγȣς, ἐμπόριον ἐϛὶν νόμιμον παραθαλάσσιον Μȣ́ζα, ϛαις ἀπέχον τȣ̀ς πάντας, ἀπὸ Βερενίκης παρ' αὐτὸν τὸν γον πλεόντων, ὡς εἰς μυρίȣς δισχιλίȣς. τὸ μὲν ὅλον ράβων, ναυκληρικῶν ἀνθρώπων καὶ ναυτικῶν. πλεοζον δὲ, καὶ τοῖς ἀπὸ ἐμπορίας πράγματα κινεῖται. συγῶνται γὰρ τῇ τῶν πέραν ἐργασίᾳ καὶ Βαρυγάζων, ἰδίοις ρτισμοῖς. ὑπέρκειται δὲ αὐτῆς ἀπὸ τριῶν ἡμερῶν πό Σαυὴ, τῆς περὶ αὐτὴν Μαφαρίτιδος λεγομένης χώρας· ν δὲ τύραννος, καὶ κατοικῶν αὐτὴν, Χόλαιβος. καὶ τ' ἄλλας ἐννέα ἡμέρας, Ἄφαρ μητρόπολις. ἐν ᾗ Χααὴλ, ἔνθεσμος βασιλεὺς ἐθνῶν δύο, τȣ͂ τε Ὁμηρίτȣ τȣ͂ παρακειμένȣ λεγομένȣ Σαβαείτȣ, συνεχέσι πρεσαις καὶ δώροις φίλος τῶν αὐτοκρατόρων. τὸ δὲ ἐμπόν ἡ Μȣ́ζα ἀλίμενον μὲν, εὔσαλον δὲ καὶ εὔορμον, διὰ περὶ αὐτὴν ἀμμόγεια ἀγκυροβόλια. φορτία δὲ εἰς αὐπροχωρεῖ, πορφύρα διάφορος καὶ χυδαία, καὶ ἱμα-

 τισμὸς

τισμὸς Ἀραβικὸς χειριδωτὸς, ὅ τε ἁπλοῦς καὶ ὁ κοινὸς, καὶ σκοτουλάτος, καὶ διάχρυσος, καὶ κρόκος, καὶ κύπερος, καὶ ὀθόνιον, καὶ ἀβόλλαι, καὶ λώδικες οὐ πολλαὶ, ἁπλοῖ τε καὶ ἐντόπιοι, ζῶναι σκιωταὶ, καὶ μύρον μέτριον, καὶ χρῆμα ἱκανὸν, οἶνός τε καὶ σῖτος οὐ πολύς. Φέρεται γὰρ καὶ ἡ χώρα πυρὸν μετρίως, καὶ οἶνον πλείονα. τῷ τε βασιλεῖ καὶ τῷ τυράννῳ δίδονται ἵπποι τε καὶ ἡμίονοι νωτηγοὶ, καὶ χρυσώματα, καὶ τορνευτὰ ἀργυρώματα, καὶ ἱματισμὸς πολυτελὴς, καὶ χαλκουργήματα. ἐξάγεται δὲ ἐξ αὐτῆς, ἐντόπια μὲν, σμύρνα ἐκλεκτὴ, καὶ στακτὴ ἀβειμιναία, λύγδος, καὶ τὰ ἀπὸ τοῦ πέραν Ἀδουλεὶ προειρημένα φορτία πάντα. πλέεται δὲ εἰς αὐτὴν εὐκαίρως περὶ τὸν Σεπτέμβριον μῆνα, ὅς ἐστι Θώθ. οὐδὲν δὲ κωλύει καὶ τάχιον. μετὰ δὲ ταύτην ὡσεὶ τριακοσίους παραπλεύσαντι σταδίους, ἤδη συνερχομένης τε τῆς Ἀραβικῆς ἠπείρου, καὶ τῆς πέραν κατὰ τὸν Ἀυαλίτην Βαρβαρικῆς χώρας, αὐλὼν ἐστιν οὐ μακρὸς, ὁ συνάγων καὶ εἰς στενὸν ἀποκλείων τὸ πέλαγος. οὗ τὸν μεταξὺ πόρον ἑξήκοντα σταδίων μεσολαβεῖ νῆσος ἡ Διοδώρου. διὸ καὶ ῥοώδης καταπνεόμενος ἀπὸ τῶν παρακειμένων ὀρῶν, ἐστὶν ὁ κατ' αὐτὴν διάπλους. κατὰ τοῦτον τὸν ἰσθμὸν παραθαλάσσιός ἐστιν Ἀράβων κώμη τῆς αὐτῆς τυραννίδος, Ὄκηλις· οὐχ οὕτως ἐμπόριον ὡς ὅρμος καὶ ὕδρευμα, καὶ πρώτη καταγωγὴ τοῖς ἔσω διαίρουσι. μετὰ δὲ Ὄκηλιν, ἀνοιγομένης πάλιν τῆς θαλάσσης εἰς ἀνατολὴν, καὶ κατὰ μικρὸν εἰς πέλαγος ἀποφαινομένης, ἀπὸ σταδίων ὡς χιλίων διακοσίων, ἐστὶν Εὐδαίμων Ἀραβία, κώμη παραθαλάσσιος βασιλείας τῆς αὐτῆς Χαριβαὴλ, τοὺς ὅρμους μὲν ἐπιτηδείους καὶ ὑδρεύματα γλυκύτερα καὶ κρείσσω τῆς Ὀκήλεως ἔχουσα. ἤδη δὲ ἐν ἀρχῇ κόλπου κειμένη τῷ τὴν χώραν ὑποφεύγειν. Εὐδαίμων δὲ ἐπεκλήθη, πρότερον οὖσα πόλις, ὅτε μήπω ἀπὸ τῆς Ἰνδικῆς εἰς τὴν Αἴγυπτον ἐρχομένων, μηδὲ ἀπὸ Αἰγύπτου τολμώντων εἰς τοὺς ἔσω τόπους διαίρειν, ἀλλ' ἄχρι ταύτης παραγινομένων, τοὺς παρὰ ἀμφοτέρων φόρτους ἀπεδέχετο, ὥσπερ Ἀλεξάνδρεια καὶ τῶν ἔξωθεν καὶ τῶν ἀπὸ τῆς Αἰγύπτου φερομένων ἀποδέχεται. νῦν δὲ οὐ πρὸ πολ[illegible] τῶν ἡμετέρων χρόνων Καῖσαρ αὐτὴν κατεστρέψατο. [illegible] δὲ τῆς Εὐδαίμονος Ἀραβικῆς ἐκδέχεται συναφὴς α[illegible]

ὸς ἐπιμήκης, καὶ κόλπος, ἐπὶ δισχιλίες ἢ πλείονας παρή-
ων σαδίες, Νομάδων τε καὶ Ἰχθυοφάγων κώμαις πα-
ικεμέναις. ὃ μετὰ τὴν προέχεσαν ἄκραν ἐμπόριόν ἐσιν
ἕτερον παραθαλάσσιον Κανὴ, βασιλείας Ἐλεάζε, χώρας
ιβανωτοφόρε, καὶ κατ' αὐτὴν ἔρημοι νῆσοι δύο, μία μὲν
τῶν Ὀρνέων, ἡ δ' ἑτέρα λεγομένη Τρέλλας, ἀπὸ σα-
ίων ἑκατὸν ἔικοσι τῆς Κανῆς. ὑπέρκειται δὲ αὐτῆς με-
όγειος ἡ μητρόπολις Σάββαθα, ἐν ᾗ καὶ ὁ βασιλεὺς κα-
οικεῖ. πᾶς δὲ ὁ γεννώμενος ἐν τῇ χώρᾳ λίβανος εις αὐ-
ὴν ὥσπερ ἐκδοχεῖον εισάγεται, καμήλοις τε καὶ σχεδίαις
ντοπίαις δερματίναις ἐξ ἀσκῶν, καὶ πλοίοις· ἔχει δὲ καὶ
υτὴ σύγχρησιν τῶν πέραν ἐμπορίων, Βαρυγάζων, καὶ
Σκυθίας, καὶ Ὁμάνων, καὶ τῆς παρακειμένης Περσίδος.
ισάγεται δὲ εις αὐτὴν, ἀπ' Αιγύπτε μὲν ὁμοίως πυρὸς
λίγος καὶ ὄινος, ὥσπερ καὶ εις Μέζα. ἱματισμὸς Ἀρα-
ικὸς ὁμοίως, καὶ κοινὸς, καὶ ἁπλε̃ς, καὶ ὁ νόθος, πε-
ισσότερος· καὶ χαλκὸς, καὶ κασσίτερος, καὶ κοράλιον, καὶ
ύραξ, καὶ τὰ λοιπὰ ὅσα εις Μέζα. τὰ πλέιονα δὲ ἀρ-
υρώματα τετορευμένα καὶ χρήματα τῷ βασιλεῖ, ἵπποι δὲ,
αὶ ἀνδριάντες, καὶ ἱματισμὸς διάφορος, ἁπλε̃ς. ἐξάγε-
αι δὲ ἐξ αὐτῆς ἐντόπια μὲν φορτία, λίβανος καὶ ἀλόη,
ὰ δὲ λοιπὰ κατὰ μετοχὴν τῶν ἄλλων ἐμπορίων. πλεῖ-
αι δὲ εις αὐτὴν περὶ τὸν αὐτὸν καιρὸν, ὃν καὶ εις Μέζα,
ρωϊμώτερον δέ. μετὰ δὲ Κανὴ, τῆς γῆς ἐπὶ πλεῖον ὑπο-
ωρέσης, ἄλλος ἐκδέχεται βαθύτατος κόλπος, ἐπὶ πολὺ
αρεκτείνων, ὁ λεγόμενος Σαχαλίτης· καὶ χώρα λιβανω-
οφόρος, ὀρεινή τε καὶ δύσβατος, ἀέρα παχὺν ἔχεσα καὶ
μιχλώδη, κατὰ τῶν δένδρων φερόμενον τὸν λίβανον. ἔσιν
ὲ τὰ δένδρα τὰ λιβανοφόρα, ἐ μεγάλα λίαν, εδὲ ὑψη-
ά· φέρει δὲ ἐπὶ τῷ φλοιῷ πησσόμενον τὸν λίβανον, ὥς
ινα καὶ τῶν παρ' ἡμῖν ἐν Αιγύπτῳ δένδρων δακρύει τὸ
όμμι. μεταχειρίζεται δὲ ὁ λίβανος ὑπὸ δέλων βασιλι-
ῶν, καὶ τῶν ἐπὶ τιμωρίᾳ πεμπομένων. ἐπίνοσοι δὲ δει-
ῶς ὁι τόποι, καὶ τοῖς μὲν παραπλέεσι λοιμικοὶ, τοῖς δὲ
ἐργαζομένοις πάντοτε θανατώδεις· ἔτι δὲ καὶ διὰ τὴν ἔν-
δειαν τῆς τροφῆς ἐυχερῶς ἀπολλύμενοι. τέτε δ' ἐσὶν ἀκρω-
τήριον τε̃ κόσμε μέγισον ἀποβλέπον εις ἀνατολὴν, ὁ κα-
λέμενος Σύαγρος, ἐφ' ὃ φρέριόν ἐσι τῆς χώρας, καὶ λι-
μὴν

μὴν, καὶ ἀποθήκη τοῦ συναγομένου λιβάνου. καὶ κατὰ τὸ
τον ἐν τῷ πελάγει νῆσος, ἀνὰ μέσον τούτου καὶ τοῦ πέρα
ἀκρωτηρίου τῶν Ἀρωμάτων, τῷ Συάγρῳ συνορίζουσα μᾶλ-
λον, ἡ Διοσκορίδα καλουμένη· μεγίστη μὲν, ἔρημος δὲ κα
κάθυγρος, ἔχουσα ποταμοὺς ἐν αὐτῇ, καὶ κροκοδείλους, κ
ἐχίδνας πλείστας, καὶ σαύρας ὑπερμεγέθεις, ὧν τὸ κρέα
ἐσθίουσι, τὸ δὲ λίπος τήκουσι, καὶ ἀντ' ἐλαίου χρῶνται. καρ-
πὸν δὲ οὔτε ἀμπέλου οὔτε σίτου ἡ νῆσος φέρει. οἱ δὲ ἐνοι-
κοῦντες αὐτὴν ὀλίγοι, κατὰ μίαν πλευρὰν τῆς νήσου τ
πρὸς ἀπαρκτίαν οἰκοῦσι, καθὸ μέρος ἀποβλέπει τὴν ἤπει-
ρον. εἰσὶν δὲ ἐπίξενοι καὶ ἐπίμικτοι, Ἀράβων τε καὶ Ἰ
δῶν, καὶ ἔτι Ἑλλήνων τῶν πρὸς ἐργασίαν ἐκπλεόντω
φέρει δὲ ἡ νῆσος χελώνην, τήν τε ἀληθινὴν καὶ χε
σαίαν καὶ τὴν λευκήν. πλείστην δὲ καὶ διάφορον, τ
τοῖς ὀστράκοις μείζοσιν· τήν τε ὀρεινὴν ὑπερμεγέθη, τ
παχύτατον ὄστρακον ἔχουσαν· οὗ τὰ παρὰ τὴν κοιλίαν μέρ
τὰ ἐγχρήζοντα, τομὴν οὐκ ἐπιδέχεται, καὶ πυῤῥότερα ὄ
τα. ὁλοτελῶς δὲ τὰ εἰς γλωσσόκομα καὶ πινακίδια κα
μαγίδια ἐγχρήζοντα, καὶ τοιαύτην τινὰ χρῆσιν κατατέμ
ται. γίνεται δὲ ἐν αὐτῇ καὶ κιννάβαρι τὸ λεγόμενον Ἰ
δικὸν, ἀπὸ τῶν δένδρων ὡς δάκρυ συναγόμενον. ὑπόκ
ται μὲν οὖν, ὥσπερ ἡ Ἀζανία Χαριβαὴλ, καὶ τῷ Μαφ
ρείτῃ τυράννῳ, καὶ ἡ νῆσος αὐτῷ τῷ βασιλεῖ τῆς λιβαν
τοφόρου. συνεχρήσαντο δὲ αὐτῇ καὶ ἀπὸ Μούζα τινὲ
καὶ τῶν ἐκπλεόντων διὰ Λιμυρικῆς καὶ Βαρυγάζων, ὅσ
κατὰ τύχην εἰς αὐτὰς ἐπιβάλλοντες, ὄρυζάν τε καὶ σῖ
καὶ ὀθόνην Ἰνδικὴν ἀντικαταλασσόμενοι, καὶ σώματα θη-
λυκὰ διὰ σπάνιν ἐκεῖ προχωροῦντα, χελώνην ἀντεφορτί-
ζοντο πλείστην. νῦν δὲ ὑπὸ τῶν βασιλέων ἡ νῆσος ἐκμε-
μίσθωται, καὶ παραφυλάσσεται. μετὰ δὲ τὸν Σύαγρ
κόλπος ἐστὶν συναφὴς, ἐπὶ βάθος ἐνδύνων εἰς τὴν ἤπειρ
Ὄμανα, σταδίους ἔχων ἑξακοσίους τὸ διαπέραμα· καὶ μ
αὐτὸν ὑψηλὰ ὄρη πετρώδη καὶ ἀπόκοπα ἀνθρώπων ἐν σπ
λαίοις κατοικούντων, ἐπὶ σταδίους ἄλλους πεντακοσίους. κ
μετ' αὐτοὺς ὅρμος ἀποδεδειγμένος, τοῦ Σαχαλίτου λιβα
πρὸς ἐμβολὴν, Μόσχα λιμὴν λεγόμενος. εἰς ὃν ἀπὸ Κα
νὴ συνήθως πλοῖα πέμπεταί τινα, καὶ παραπλέοντα ἀπ
Λιμυρικῆς ἢ Βαρυγάζων, ὀψινοῖς καιροῖς παραχειμάσα
τα

τα, παρὰ τῶν βασιλικῶν πρὸς ὀθόνιον καὶ σῖτον καὶ ἔλαιον, λίβανον ἀντιφορτίζουσιν. παρ᾽ ὅλον δὲ τὸν Σαχαλίτην χώματι κειμένῳ καὶ ἀφυλάκτῳ, δυνάμει θεῶν τινι, τοῦτον τὸν τόπον ἐπιτηρούντων. οὔτε γὰρ λάθρα, οὔτε φανερῶς, χωρὶς βασιλικῆς δώσεως εἰς πλοῖον ἐμβληθῆναι δύναται. κἂν χόνδρον τις ἄρῃ, οὐ δύναται πλεῦσαι τὸ πλοῖον ἀπὸ λιμένος, δίχα δαίμονος. ἐπ᾽ ἄλλους σταδίους ὡς χιλίους πεντακοσίους, ἕως Ἀσίχωνος ἄχρι τῆς γῆς παρατείνει· καὶ κατὰ τὸ ἀπολῆγον αὐτοῦ μέρος ἑπτὰ νῆσοι πρόκεινται κατὰ τὸ ἑξῆς, αἱ Ζηνοβίου λεγόμεναι. μεθ᾽ ἃς ἄλλη παράκειται χώρα βάρβαρος, οὐκ ἔτι τῆς αὐτῆς βασιλείας, ἀλλ᾽ ἤδη τῆς Περσίδος. ἣν ἀφ᾽ ὕψους παραπλέοντι ὡς σταδίους δισχιλίους ἀπὸ τῶν Ζηνοβίου, συναντᾷ νῆσος Σαράπιδος λεγομένη, ἀπὸ σταδίων τῆς γῆς ὡσεὶ ἑκατὸν εἴκοσι. ταύτης τὸ μὲν πλάτος ἐστὶν ὡσεὶ σταδίων διακοσίων, οἰκεῖται δὲ κώμαις τρισὶν, καὶ ἀνθρώποις ἱεροῖς Ἰχθυοφάγων. γλώσσῃ δὲ Ἀραβικῇ χρῶνται, καὶ περιζώμασι φύλλων κουκίνων. ἔχει δὲ ἡ νῆσος χελώνην ἱκανὴν καὶ διάφορον, ἐξαρτίζουσι δὲ εἰς αὐτὴν συνήθως οἱ ἀπὸ Κανῆς σκάφας καὶ ἐφόλκια. περικολπίζοντι δὲ τὴν ἐχομένην ἤπειρον, εἰς αὐτὴν τὴν ἄρκτον ἤδη περὶ τὴν εἰσβολὴν τῆς Περσικῆς θαλάσσης, κεῖνται νῆσοι πλεόμεναι, Καλαίου λεγόμεναι νῆσοι, σχεδὸν ἐπὶ σταδίους δισχιλίους παρεσταμέναι τῇ χώρᾳ. πονηροὶ δὲ οἱ κατοικοῦντες αὐτὴν ἄνθρωποι, καὶ ἡμέρας οὐ πολύ τι βλέποντες. περὶ δὲ τὴν ἐσχάτην κεφαλὴν τῶν Παπίου νήσων, καὶ τὸ λεγόμενον Καλὸν ὄρος, ἐκδέχεται μετ᾽ οὐ πολὺ τὸ στόμα τῆς Περσικῆς. καὶ πλεῖσται κολυμβήσεις εἰσὶν τοῦ πινικίου κόγχου. τούτου δὲ τοῦ στόματος ἐκ τῶν εὐωνύμων ἐστὶν ὄρη μέγιστα λεγόμενα Σαβώ. ἐκ δὲ τῶν δεξιῶν ἄντικρυς ἀφορώμενον ἄλλο στρογγύλον ὑψηλὸν, τὸ Σεμειράμεως λεγόμενον. καὶ μέσος αὐτὸς ὁ διάπλους τοῦ στόματος ὡς σταδίους ἑξακοσίους, δι᾽ οὗ μέγιστος καὶ πλατύτατος εἰς τοὺς ἐσωτάτους τόπους ὁ Περσικὸς κόλπος ἀναχεῖται. καθ᾽ ὃν ἐν τοῖς ἐσχάτοις αὐτοῦ μέρεσιν ἐμπόριόν ἐστιν νόμιμον, λεγόμενον ἡ Ἀπολόγου, κειμένη κατὰ Πασίνου χώραν, κατὰ ποταμὸν Εὐφράτην. παραπλεύσαντι δὲ τοῦτο τὸ στόμα τοῦ κόλπου, μετὰ δρόμους ἓξ, ἕτερον ἐμπόριόν ἐστιν τῆς Περσίδος,

σίδος, ἡ λεγομένη Ὄμανα. ἐξαρτίζεται δὲ εἰς αὐτὴν συνήθως. ἀπὸ μὲν Βαρυγάζων εἰς ἀμφότερα ταῦτα τῆς Περσίδος ἐμπόρια, πλοῖα μεγάλα χαλκοῦ καὶ ξύλων Σαγαλίνων καὶ δοκῶν καὶ κεράτων καὶ φαλάγγων σησαμίνων καὶ ἐβενίνων. εἰς δὲ τὴν Ὄμανα καὶ ἀπὸ Κανὴ λίβανος. καὶ ἀπὸ Ὀμάνων εἰς τὴν Ἀραβίαν ἐντόπια ῥαπτὰ πλοιάρια, τὰ λεγόμενα μαδαράτε. εἰσφέρεται δὲ ἀπὸ ἑκατέρων τῶν ἐμπορίων, εἴς τε Βαρύγαζαν καὶ εἰς Ἀραβίαν, πινικὸν πολὺ μὲν, χεῖρον δὲ τοῦ Ἰνδικοῦ, καὶ πορφύρα, καὶ ἱματισμὸς ἐντόπιος, καὶ οἶνος, καὶ φοῖνιξ πολὺς, καὶ χρυσὸς, καὶ σώματα. μετὰ δὲ τὴν Ὀμανιτικὴν χώραν ὁμοίως, ἡ παρ' ὁδὸν παράκειται βασιλείας ἑτέρας καὶ κόλπος τῶν Τεράβδων λεγόμενος, οὗ κατὰ μέσον εἰς τὸν κόλπον παρανατείνει. καὶ παρ' αὐτὸν ποταμός ἐστιν ἔχων εἰσαγωγὴν πλοίοις, καὶ μικρὸν ἐπὶ τοῦ στόματος ἐμπόριον Ὡραία λεγόμενον. καὶ κατ' αὐτὸν μεσόγειος πόλις, ἀπέχουσα ὁδὸν ἡμερῶν ἑπτὰ ἀπὸ θαλάσσης, ἐν ᾗ καὶ βασιλεία ἡ λεγομένη. φέρει δὲ ἡ χώρα σῖτον πολὺν, καὶ οἶνον, καὶ ὄρυζαν, καὶ φοίνικα· πρὸς δὲ τὴν ἤπειρον οὐδὲν ἕτερον ἢ βδέλλα. μετὰ δὲ ταύτην τὴν χώραν, ἤδη τῆς ἠπείρου διὰ τὸ βάθος τῶν κόλπων ἐκ τῆς ἀνατολῆς ὑπερκερώσης, ἐκδέχεται παραθαλάσσια μέρη τῆς Σκυθίας, παρ' αὐτὸν κείμενα τὸν βορέαν, ταπεινὰ λίαν. ἑξῆς ποταμὸς Σίνθος μέγιστος τῶν κατὰ τὴν Ἐρυθρὰν θάλασσαν ποταμῶν, καὶ πλεῖστον ὕδωρ εἰς θάλασσαν ἐκβάλλων. ὥστε ἄχρι πολλοῦ (καὶ πρὶν ἢ συμβάλῃ τῇ χώρᾳ) εἰς τὸ πέλαγος ἀπαντᾶν ἀπ' αὐτοῦ λευκὸν ὕδωρ. σημεῖον δὲ ἤδη τῆς περὶ αὐτὴν χώραν ἐπιβολῆς τοῖς ἐκ πελάγους ἐρχομένοις, οἱ προαπαντῶντες ὄφεις ἐκ τοῦ βάθους. τῶν γὰρ ἐπάνω καὶ περὶ τὴν Περσίδα τόπων σημεῖόν ἐστιν αἱ λεγόμεναι γράαι. ἑπτὰ δὲ οὗτος ὁ ποταμὸς ἔχει στόματα, λεπτὰ δὲ ταῦτα καὶ τεναγώδη, καὶ τὰ μὲν ἄλλα διάπλουν οὐκ ἔχει, μόνον δὲ τὸ μέσον, ἐφ' οὗ καὶ τὸ παραθαλάσσιον ἐμπόριόν ἐστιν Βαρβαρικόν. πρόκειται δὲ αὐτοῦ νησίον μικρόν· καὶ κατὰ νώτου μεσόγειος, ἡ μετρόπολις αὐτῆς τῆς Σκυθίας Μινναγάρ. βασιλεύεται δὲ ὑπὸ Πάρθων, συνεχῶς ἀλλήλους ἐκδιωκόντων. τὰ μὲν οὖν πλοῖα κατὰ τὴν Βαρβαρικὴν διορμίζονται, τὰ

δὲ

δὲ φόρτια πάντα εἰς τὴν μητρόπολιν ἀναφέρεται διὰ τοῦ ποταμοῦ τῷ βασιλεῖ. προχωρεῖ δὲ εἰς τὸ ἐμπόριον ἱματισμὸς ἁπλοῦς ἱκανὸς, καὶ νόθος οὐ πολὺς, πολύμιτα, καὶ χρυσόλιθον, καὶ κοράλλιον, καὶ στύραξ, καὶ λίβανος, καὶ ὑαλὰ σκεύη, καὶ ἀργυρώματα, καὶ χρῆμα, οἶνος δὲ οὐ πολύς. ἀντιφορτίζεται δὲ κόστος, βδέλλα, λύκιον, νάρδος, καὶ καλλαϊνὸς λίθος, καὶ σάπφειρος, καὶ σηρικὰ δέρματα, καὶ ὀθόνιον, καὶ νῆμα σηρικὸν, καὶ Ἰνδικὸν μέλαν. ἀνάγονται δὲ καὶ αὐτοὶ οἱ πλέοντες μετὰ τῶν Ἰνδικῶν περὶ τὸν Ἰούλιον μῆνα, ὅς ἐστιν Ἐπιφί. δυσεπίπλοος μὲν, ἐπιφορώτατος δὲ ἐκείνων καὶ συντομώτερος ὁ πλοῦς. μετὰ δὲ τὸν Σίνθον ποταμὸν ἕτερός ἐστιν κόλπος ἀθεώρητος παρὰ τὸν βορέαν. ὀνομάζεται δὲ Εἰρινόν. ἐπιλέγεται δὲ ὁ μὲν μικρὸν, ὁ δὲ μέγα. πελάγη δέ ἐστιν ἀμφότερα τεναγώδη, καὶ δίνας ἐλαφρὰς ἔχοντα καὶ συνεχεῖς καὶ μακρὰς ἀπὸ τῆς γῆς, ὡς πολλάκις, τῆς ἠπείρου μηδὲ βλεπομένης, ἀποκέλλειν τὰ πλοῖα· ἐνδοτέρω δὲ προληφθέντα, καὶ ἀπολλύμενα. τούτου δὲ ὑπερέχει τοῦ κόλπου ἀκρωτήριον ἐπικαμπὲς ἀπὸ τοῦ ὅρμου μετὰ τὴν ἀνατολὴν καὶ τὸν νότον ὡς εἰς τὴν δύσιν, ἐμπεριλαμβάνον αὐτὸν τὸν κόλπον λεγόμενον Βαράκης, νήσους ἑπτὰ ἐμπεριειλημμένος. οὗ περὶ μὲν τὰς ἀρχὰς οἱ περιπεσόντες, ὀλίγον ὀπίσω καὶ εἰς τὸ πέλαγος ἀναδραμόντες, ἐκφεύγουσιν· οἱ δὲ εἰς αὐτὴν κατακλεισθέντες τὴν τοῦ Βαράκου κοιλίαν, ἀπόλλυνται. τό, τε γὰρ κῦμα μέγα καὶ βαρὺ λίαν, ἡ δὲ θάλασσα ταραχώδης καὶ θολερὰ, καὶ δίνας ἔχουσα καὶ ῥοώδεις εἰλίγγους. ὁ δὲ βυθὸς ἔν τισι μὲν ἀπόκοπος, ἔν τισι δὲ πετρώδης, καὶ ἀπόξυρος, ὥστε τέμνεσθαι τὰς παρακειμένας ἀγκύρας, ἀντέχειν ἀποκοντουμένας, ἃς δὲ καὶ συντριβομένας ἐν τῷ βυθῷ. σημεῖον δ' αὐτῶν τοῖς ἀπὸ πελάγους ἐρχομένοις, οἱ προαπαντῶντες ὄφεις ὑπερμεγέθεις καὶ μέλανες. ἐν γὰρ τοῖς μετὰ ταῦτα τόποις, καὶ τοῖς περὶ Βαρύγαζαν, μικρότεροι καὶ τῷ χρώματι χλωροὶ καὶ χρυσίζοντες ὑπαντῶσι. μετὰ δὲ τὸν Βαράκην εὐθύς ἐστιν ὁ Βαρυγάζων κόλπος, καὶ ἡ πρὸς τῆς Ἀραβικῆς χώρας τῆς Μαμβάρου βασιλείας ἀρχὴ, καὶ τῆς ὅλης Ἰνδικῆς οὖσα. ταύτης τὰ μὲν μεσόγεια τῆς Σκυθίας συνορίζοντα Ἰβηρία, καλεῖται δὲ τὰ παραθαλάσσια Συραστρήνη. πολύφορος

ρίων δὲ ȣ̓δὲν ὅλως ἔχει, πλὴν κροκοδείλων· ȣ̓δένα δὲ ἀνθρώπων ἀδικȣ̃σι. ἔςιν δὲ ἐν αὐτῇ πλοιάρια ῥαπτὰ καὶ μονόξυλα, οἷς χρῶνται πρὸς ἁλίαν καὶ ἄγραν χελώνης. ἐν δὲ ταύτῃ τῇ νήσῳ, ϗ γυργάθοις αὐτὰς ἰδίως λινεύȣσιν, ἀντὶ δικτύων καθίεντες αὐτȣ̀ς περὶ τὰ ςόματα τῶν προράχων. ἀφʼ ἧς μετὰ δύο δρόμȣς τῆς ἠπείρȣ τὸ τελευταιότατον τῆς Ἀζανίας ἐμπόριον κεῖται, τὰ Ῥαπτὰ λεγόμενα, ταύτην ἔχον τὴν προσωνυμίαν, ἀπὸ τῶν προειρημένων ῥαπτῶν πλοιαρίων, ἐν ᾧ πλεῖςός ἐςιν ἐλέφας ϗ χελώνη· μέγιςοι δὲ σώμασιν περὶ ταύτην τὴν χώραν ἄνθρωποι ὁρατοὶ κατοικȣ̃σιν. ϗ κατὰ τὸν τόπον ἕκαςον ὁμοίως τιθέμενοι τυράννȣς· νέμεται δὲ αὐτὴν κατά τι δίκαιον ἀρχαῖον, ὑποπίπτȣσαν τῇ βασιλείᾳ τῆς πρώτης γινομένης Ἀραβίας, ὁ Μοφαρείτης τύραννος. παρὰ δὲ τȣ̃ βασιλέως, ὑπόφορον αὐτὴν ἔχȣσιν οἱ ἀπὸ Μȣ́ζα. ϗ πέμπȣσιν εἰς αὐτὴν ἐφόλκια, τὰ πλείονα κυβερνήταις ϗ χρειακοῖς Ἄραψιν, χρώμενοι τοῖς κατὰ συνήθειαν ϗ ἐπιγαμβρίαν ἔχȣσιν, ἐμπείροις τε ȣ̃σιν τῶν τόπων ϗ τῆς φωνῆς αὐτῶν. εἰσφέρεται δὲ εἰς τὰ ἐμπόρια ταῦτα προηγȣμένως, ἡ τοπικῶς ἐν Μȣ́ζᾳ κατασκευαζομένη λόγχη, ϗ πελύκια, ϗ μαχαίρια, ϗ ὀπήτια, ϗ λιθίας ὑαλῆς πλείονα γένη. εἰς δέ τινας τόπȣς οἶνός τε ϗ σῖτος ȣ̓κ ὀλίγος, ȣ̓ πρὸς ἐργασίαν, ἀλλὰ δαπάνης χάριν, εἰς φιλανθρωπίαν τῶν βαρβάρων. ἐκφέρεται δὲ ἀπὸ τῶν τόπων ἐλέφας πλεῖςος, ἧσσον δὲ τȣ̃ Ἀδȣλιτικȣ̃, ϗ ῥινόκερως, ϗ χελώνη διάφορος μετὰ τὴν Ἰνδικὴν, ϗ ναύπλιος ὀλίγος. ϗ σχεδὸν τελευταιότατά ἐςι ταῦτα τὰ ἐμπόρια τῆς Ἀζανίας, τῆς ἐν δεξιοῖς ἀπὸ Βερενίκης ἠπείρȣ. ὁ γὰρ μετὰ τȣ́τȣς τȣ̀ς τόπȣς ὠκεανὸς ἀνερεύνητος ὢν, εἰς τὴν δύσιν ἀνακάμπτει, ϗ τοῖς ἀπεςραμμένοις μέρεσιν τῆς Αἰθιοπίας, ϗ Λιβύης, ϗ Ἀφρικῆς, κατὰ τὸν νότον παρεκτείνων, εἰς τὴν ἑσπέριον συμμίσγει θάλασσαν. ἐκ δὲ τῶν εὐωνύμων Βερενίκης ἀπὸ Μυὸς ὅρμȣ, δυσὶν δρόμοις ἢ τρισὶν εἰς τὴν ἀνατολὴν, διαπλεύσαντι τὸν παρακείμενον κόλπον, ὅρμος ἐςὶν ἕτερος, ϗ φρȣ́ριον, ὃ λέγεται Λευκὴ κώμη, διʼ ἧς ἐςὶν εἰς Πέτραν πρὸς Μαλίχαν βασιλέα Ναβαταίων. ἔχει δὲ ἐμπορίȣ τινὰ ϗ αὐτὸ τάξιν, τοῖς ἀπὸ τῆς Ἀραβίας ἐξαρτιζομένοις εἰς αὐτὴν πλοί-

οις

οις ἐ μεγάλοις. διὸ καὶ παραφυλακῆς χάριν, εἰς αὐτὴν παραλήπτης τῆς τετάρτης τῶν εἰσφερομένων φορτίων, καὶ ἑκατοντάρχης μετὰ ςρατεύματος ἀποςέλλεται. μετὰ δὲ ταύτην εὐθέως ἐςὶν συναφὴς Ἀραβικὴ χώρα, κατὰ μῆκος ἐπὶ πολὺ παρατείνεσα τῇ ἐρυθρᾷ θαλάσσῃ. διάφορα δὲ ἐν αὐτῇ ἔθνη κατοικεῖται· τινὰ μὲν ἐπὶ ποσὸν, τινὰ δὲ καὶ τελείως τῇ γλώσσῃ διαλάσσοντα. τέτων τὰ παρὰ θάλασσαν, ὁμοίως Ἰχθυοφάγων, μάνδραις διείληπται· τὰ δὲ ἐπάνω κατὰ κώμας καὶ νομαδίας οἰκεῖται πονηροῖς ἀνθρώποις διφώνοις. οἷς παραπίπτοντες ἀπὸ τε μέσε πλόε, οἱ μὲν διαρπάζονται, οἱ δὲ καὶ ἀπὸ ναυαγίων σωθέντες ἀνδραποδίζονται. διὸ καὶ συνεχῶς ἀπὸ τῶν τυράννων καὶ βασιλέων τῆς Ἀραβίας αἰχμαλωτίζονται. λέγονται δὲ Κανραεῖται. καθόλε μὲν ἒν ἔτος ὁ τῆς Ἀραβικῆς χώρας ἠπείρε παράπλες ἐςὶν ἐπισφαλὴς· καὶ ἀλίμενος ἡ χώρα, καὶ δύσορμος, καὶ ἀκάθαρτος, ῥαχίαις καὶ σπίλοις ἀπρόσιτος, καὶ κατὰ πάντα φοβερά. διὸ καὶ εἰσπλεόντων, μέσον πλεῦν κατέχομεν, καὶ εἰς τὴν Ἀραβικὴν χώραν μᾶλλον παροξύνομεν, ἄχρι τῆς κατακεκαυμένης νήσε. μεθ' ἣν εὐθέως ἡμέρων ἀνθρώπων, καὶ νομαδιαίων θρεμμάτων, καὶ καμήλων συνεχεῖς χῶραι· καὶ μετὰ ταύτας, ἐν κόλπῳ τῷ τελευταιοτάτῳ τῶν εὐωνύμων τέτε τε πελάγες, ἐμπόριον ἐςὶν νόμιμον παραθαλάσσιον Μέζα, ςαδίες ἀπέχον τὲς πάντας, ἀπὸ Βερενίκης παρ' αὐτὸν τὸν νότον πλεόντων, ὡς εἰς μυρίες δισχιλίες. τὸ μὲν ὅλον Ἀράβων, ναυκληρικῶν ἀνθρώπων καὶ ναυτικῶν. πλεονάζον δὲ, καὶ τοῖς ἀπὸ ἐμπορίας πράγματα κινεῖται. συγχρῶνται γὰρ τῇ τῶν πέραν ἐργασίᾳ καὶ Βαρυγάζων, ἰδίοις ἐξαρτισμοῖς. ὑπέρκειται δὲ αὐτῆς ἀπὸ τριῶν ἡμερῶν πόλις Σαύη, τῆς περὶ αὐτὴν Μαφαρίτιδος λεγομένης χώρας· ἐςιν δὲ τύραννος, καὶ κατοικῶν αὐτὴν, Χόλαιβος. καὶ μετ' ἄλλας ἐννέα ἡμέρας, Ἄφαρ μητρόπολις. ἐν ᾗ Χαραβαὴλ, ἔνθεσμος βασιλεὺς ἐθνῶν δύο, τε τε Ὁμηρίτε καὶ τε παρακειμένε λεγομένε Σαβαείτε, συνεχέσι πρεσβείαις καὶ δώροις φίλος τῶν αὐτοκρατόρων. τὸ δὲ ἐμπόριον ἡ Μέζα ἀλίμενον μὲν, εὔσαλον δὲ καὶ εὔορμον, διὰ τὲ περὶ αὐτὴν ἀμμόγεια ἀγκυροβόλια. φορτία δὲ εἰς αὐτὴν προχωρεῖ, πορφύρα διάφορος καὶ χυδαία, καὶ ἱματισμὸς

τισμὸς Ἀραβικὸς χειριδωτὸς, ὅ τε ἁπλοῦς καὶ ὁ κοινὸς, καὶ σκοτουλάτος, καὶ διάχρυσος, καὶ κρόκος, καὶ κύπερος, καὶ ὀθόνιον, καὶ ἀβόλλαι, καὶ λώδικες οὐ πολλαὶ, ἁπλοῖ τε καὶ ἐντόπιοι, ζῶναι σκιωταὶ, καὶ μύρον μέτριον, καὶ χρῆμα ἱκανὸν, οἶνός τε καὶ σῖτος οὐ πολύς. Φέρεται γὰρ καὶ ἡ χώρα πυρὸν μετρίως, καὶ οἶνον πλείονα. τῷ τε βασιλεῖ καὶ τῷ τυράννῳ δίδονται ἵπποι τε καὶ ἡμίονοι νωτηγοὶ, καὶ χρυσώματα, καὶ τορνευτὰ ἀργυρώματα, καὶ ἱματισμὸς πολυτελὴς, καὶ χαλκουργήματα. ἐξάγεται δὲ ἐξ αὐτῆς, ἐντόπια μὲν, σμύρνα ἐκλεκτὴ, καὶ στακτὴ ἀβειρμιναία, λύγδος, καὶ τὰ ἀπὸ τοῦ πέραν Ἀδουλεὶ προειρημένα φορτία πάντα. πλέεται δὲ εἰς αὐτὴν εὐκαίρως περὶ τὸν Σεπτέμβριον μῆνα, ὅς ἐστι Θὼθ. οὐδὲν δὲ κωλύει καὶ τάχιον. μετὰ δὲ ταύτην ὡσεὶ τριακοσίους παραπλεύσαντες σταδίους, ἤδη συνερχομένης τε τῆς Ἀραβικῆς ἠπείρου, καὶ τῆς πέραν κατὰ τὸν Αὐαλίτην Βαρβαρικῆς χώρας, αὐλὼν ἐστιν οὐ μακρὸς, ὁ συνάγων καὶ εἰς στενὸν ἀποκλείων τὸ πέλαγος. οὗ τὸν μεταξὺ πόρον ἑξήκοντα σταδίων μεσολαβεῖ νῆσος ἡ Διοδώρου. διὸ καὶ ῥοώδης καταπνεόμενος ἀπὸ τῶν παρακειμένων ὀρῶν, ἐστὶν ὁ κατ' αὐτὴν διάπλους. κατὰ τοῦτον τὸν ἰσθμὸν παραθαλάσσιός ἐστιν Ἀράβων κώμη τῆς αὐτῆς τυραννίδος, Ὄκηλις· οὐχ οὕτως ἐμπόριον ὡς ὅρμος καὶ ὕδρευμα, καὶ πρώτη καταγωγὴ τοῖς ἔσω διαίρουσι. μετὰ δὲ Ὄκηλιν, ἀνοιγομένης πάλιν τῆς θαλάσσης εἰς ἀνατολὴν, καὶ κατὰ μικρὸν εἰς πέλαγος ἀποφαινομένης, ἀπὸ σταδίων ὡς χιλίων διακοσίων, ἐστὶν Εὐδαίμων Ἀραβία, κώμη παραθαλάσσιος βασιλείας τῆς αὐτῆς Χαριβαὴλ, τοὺς ὅρμους μὲν ἐπιτηδείους καὶ ὑδρεύματα γλυκύτερα καὶ κρείσσω τῆς Ὀκήλεως ἔχουσα. ἤδη δὲ ἐν ἀρχῇ κόλπου κειμένη τῷ τὴν χώραν ὑποφεύγειν. Εὐδαίμων δὲ ἐπεκλήθη, πρότερον οὖσα πόλις, ὅτε μήπω ἀπὸ τῆς Ἰνδικῆς εἰς τὴν Αἴγυπτον ἐρχομένων, μηδὲ ἀπὸ Αἰγύπτου τολμώντων εἰς τοὺς ἔσω τόπους διαίρειν, ἀλλ' ἄχρι ταύτης παραγινομένων, τοὺς παρὰ ἀμφοτέρων φόρτους ἀπεδέχετο ὥσπερ Ἀλεξάνδρεια καὶ τῶν ἔξωθεν καί τῶν ἀπὸ τῆς Αἰγύπτου φερομένων ἀποδέχεται. νῦν δὲ οὐ πρὸ πολλοῦ τῶν ἡμετέρων χρόνων Καῖσαρ αὐτὴν κατεστρέψατο. ἀπὸ δὲ τῆς Εὐδαίμονος Ἀραβικῆς ἐκδέχεται συναφὴς αἰγιαλὸς

λὸς ἐπιμήκης, καὶ κόλπος, ἐπὶ δισχιλίας ἢ πλείονας παρήκων σαδίας, Νομάδων τε καὶ Ἰχθυοφάγων κώμαις παροικεμέναις. ὃ μετὰ τὴν προέχεσαν ἄκραν ἐμπόριόν ἐσιν ἕτερον παραθαλάσσιον Κανὴ, βασιλείας Ἐλεάζε, χώρας λιβανωτοφόρε, καὶ κατ' αὐτὴν ἔρημοι νῆσοι δύο, μία μὲν ἡ τῶν Ὀρνέων, ἡ δ' ἑτέρα λεγομένη Τρέλλας, ἀπὸ σαδίων ἑκατὸν ἔικοσι τῆς Κανῆς. ὑπέρκειται δὲ αὐτῆς μεσόγειος ἡ μητρόπολις Σάββαθα, ἐν ῇ καὶ ὁ βασιλεὺς κατοικεῖ. πᾶς δὲ ὁ γεννώμενος ἐν τῇ χώρᾳ λίβανος εις αὐτὴν ὥσπερ ἐκδοχεῖον εισάγεται, καμήλοις τε καὶ σχεδίαις ἐντοπίαις δερματίναις ἐξ ἀσκῶν, καὶ πλοίοις· ἔχει δὲ καὶ αὐτὴ σύγχρησιν τῶν πέραν ἐμπορίων, Βαρυγάζων, καὶ Σκυθίας, καὶ Ὀμάνων, καὶ τῆς παρακειμένης Περσίδος. εισάγεται δὲ εις αὐτὴν, ἀπ' Αιγύπτε μὲν ὁμοίως πυρὸς ὀλίγος καὶ ὄινος, ὥσπερ καὶ εις Μέζα. ἱματισμὸς Ἀραβικὸς ὁμοίως, καὶ κοινὸς, καὶ ἁπλῦς, καὶ ὁ νόθος, περισσότερος· καὶ χαλκὸς, καὶ κασσίτερος, καὶ κοράλιον, καὶ σύραξ, καὶ τὰ λοιπὰ ὅσα εις Μέζα. τὰ πλείονα δὲ ἀργυρώματα τετορευμένα καὶ χρήματα τῷ βασιλεῖ, ἵπποι δὲ, καὶ ἀνδριάντες, καὶ ἱματισμὸς διάφορος, ἁπλῦς. ἐξάγεται δὲ ἐξ αὐτῆς ἐντόπια μὲν φορτία, λίβανος καὶ ἀλόη, τὰ δὲ λοιπὰ κατὰ μετοχὴν τῶν ἄλλων ἐμπορίων. πλεῖται δὲ εις αὐτὴν περὶ τὸν αὐτὸν καιρὸν, ὃν καὶ εις Μέζα, πρωϊμώτερον δὲ. μετὰ δὲ Κανὴ, τῆς γῆς ἐπὶ πλεῖον ὑποχωρέσης, ἄλλος ἐκδέχεται βαθύτατος κόλπος, ἐπὶ πολὺ παρεκτείνων, ὁ λεγόμενος Σαχαλίτης· καὶ χώρα λιβανωτοφόρος, ὀρεινή τε καὶ δύσβατος, ἀέρα παχὺν ἔχεσα καὶ ὀμιχλώδη, κατὰ τῶν δένδρων φερόμενον τὸν λίβανον. ἔσιν δὲ τὰ δένδρα τὰ λιβανοφόρα, ὲ μεγάλα λίαν, ὲδὲ ὑψηλά· φέρει δὲ ἐπὶ τῷ φλοιῷ πησσόμενον τὸν λίβανον, ὥς τινα καὶ τῶν παρ' ἡμῖν ἐν Αιγύπτῳ δένδρων δακρύει τὸ κόμμι. μεταχειρίζεται δὲ ὁ λίβανος ὑπὸ δέλων βασιλικῶν, καὶ τῶν ἐπὶ τιμωρίᾳ πεμπομένων. ἐπίνοσοι δὲ δεινῶς οἱ τόποι, καὶ τοῖς μὲν παραπλέεσι λοιμικοὶ, τοῖς δὲ ἐργαζομένοις πάντοτε θανατώδεις· ἔτι δὲ καὶ διὰ τὴν ἔνδειαν τῆς τροφῆς ευχερῶς ἀπολλύμενοι. τέτε δ' ἐσὶν ἀκρωτήριον τε κόσμε μέγισον ἀποβλέπον εις ἀνατολὴν, ὁ καλέμενος Σύαγρος, ἐφ' ὃ φρέριόν ἐσι τῆς χώρας, καὶ λιμὴν

μὴν, καὶ ἀποθήκη τῦ συναγομένυ λιβάνυ. καὶ κατὰ τῦτον ἐν τῷ πελάγει νῆσος, ἀνὰ μέσον τύτυ καὶ τῦ πέραν ἀκρωτηρίυ τῶν Ἀρωμάτων, τῷ Συάγρῳ συνορίζυσα μᾶλλον, ἡ Διοσκορίδα καλυμένη· μεγίςη μὲν, ἔρημος δὲ καὶ κάθυγρος, ἔχυσα ποταμὺς ἐν αὐτῇ, καὶ κροκοδείλυς, καὶ ἐχίδνας πλείςας, καὶ σαύρας ὑπερμεγέθεις, ὧν τὸ κρέας ἐσθίυσι, τὸ δὲ λίπος τήκυσι, καὶ ἀντ' ἐλαίυ χρῶνται. καρπὸν δὲ ὔτε ἀμπέλυ ὔτε σίτυ ἡ νῆσος φέρει. οἱ δὲ ἐνοικῦντες αὐτὴν ὀλίγοι, κατὰ μίαν πλυρὰν τῆς νήσυ τῆς πρὸς ἀπαρκτίαν οἰκῦσι, καθὸ μέρος ἀποβλέπει τὴν ἤπειρον. εἰσὶν δὲ ἐπίξενοι καὶ ἐπίμικτοι, Ἀράβων τε καὶ Ἰνδῶν, καὶ ἔτι Ἑλλήνων τῶν πρὸς ἐργασίαν ἐκπλεόντων. φέρει δὲ ἡ νῆσος χελώνην, τήν τε ἀληθινὴν καὶ χερσαίαν καὶ τὴν λευκήν. πλείςην δὲ καὶ διάφορον, καὶ τοῖς ὀςράκοις μείζοσιν· τήν τε ὀρεινὴν ὑπερμεγέθη, καὶ παχύτατον ὄςρακον ἔχυσαν· ὗ τὰ παρὰ τὴν κοιλίαν μέρη τὰ ἐγχρήζοντα, τομὴν ὐκ ἐπιδέχεται, καὶ πυῤῥότερα ὄντα. ὁλοτελῶς δὲ τὰ εἰς γλωσσόκομα καὶ πινακίδια καὶ μαγίδια ἐγχρήζοντα, καὶ τοιαύτην τινὰ χρῆσιν κατατέμνεται. γίνεται δὲ ἐν αὐτῇ καὶ κιννάβαρι τὸ λεγόμενον Ἰνδικὸν, ἀπὸ τῶν δένδρων ὡς δάκρυ συναγόμενον. ὑποπίπτει μὲν ὖν, ὥσπερ ἡ Ἀζανία Χαριβαὴλ, καὶ τῷ Μαφαρείτῃ τυράννῳ, καὶ ἡ νῆσος αὐτῷ τῷ βασιλεῖ τῆς λιβανατοφόρυ. συνεχρήσαντο δὲ αὐτῇ καὶ ἀπὸ Μύζα τινὲς καὶ τῶν ἐκπλεόντων διὰ Λιμυρικῆς καὶ Βαρυγάζων, ὅσοι κατὰ τύχην εἰς αὐτὰς ἐπιβάλλοντες, ὀρύζαν τε καὶ σῖτον καὶ ὀθόνην Ἰνδικὴν ἀντικαταλασσόμενοι, καὶ σώματα θηλυκὰ διὰ σπάνιν ἐκεῖ προχωρῦντα, χελώνην ἀντεφορτίζοντο πλείςην. νῦν δὲ ὑπὸ τῶν βασιλέων ἡ νῆσος ἐκμεμίθωται, καὶ παραφυλάσσεται. μετὰ δὲ τὸν Σύαγρον κόλπος ἐςὶν συναφής, ἐπὶ βάθος ἐνδύνων εἰς τὴν ἤπειρον Ὄμανα, ςαδίυς ἔχων ἑξακοσίυς τὸ διαπέραμα· καὶ μετ' αὐτὸν ὑψηλὰ ὄρη πετρώδη καὶ ἀπόκοπα ἀνθρώπων ἐν σπηλαίοις κατοικῦντων, ἐπὶ ςαδίυς ἄλλυς πεντακοσίυς. καὶ μετ' αὐτὺς ὅρμος ἀποδεδειγμένος, τῦ Σαχαλίτυ λιβάνυ πρὸς ἐμβολὴν, Μόσχα λιμὴν λεγόμενος. εἰς ὃν ἀπὸ Κανὴ συνήθως πλοῖα πέμπεταί τινα, καὶ παραπλέοντα ἀπὸ Λιμυρικῆς ἢ Βαρυγάζων, ὀψινοῖς καιροῖς παραχειμάσαντα,

τα, παρὰ τῶν βασιλικῶν πρὸς ὀθόνιον καὶ σῖτον καὶ ἔλαιον, λίβανον ἀντιφορτίζουσιν. παρ' ὅλον δὲ τὸν Σαχαλίτην χώματι κειμένῳ καὶ ἀφυλάκτῳ, δυνάμει θεῶν τινι, τοῦτον τὸν τόπον ἐπιτηρούντων. οὔτε γὰρ λάθρα, οὔτε φανερῶς, χωρὶς βασιλικῆς δώσεως εἰς πλοῖον ἐμβληθῆναι δύναται. κἂν χόνδρον τις ἄρῃ, οὐ δύναται πλεῦσαι τὸ πλοῖον ἀπὸ λιμένος, δίχα δαίμονος. ἐπ' ἄλλους ςαδίους ὡς χιλίους πεντακοσίους, ἕως Ἀσίχωνος ἄχρι τῆς γῆς παρατείνει· καὶ κατὰ τὸ ἀπολῆγον αὐτοῦ μέρος ἑπτὰ νῆσοι πρόκεινται κατὰ τὸ ἑξῆς, αἱ Ζηνοβίου λεγόμεναι. μεθ' ἃς ἄλλη παράκειται χώρα βάρβαρος, οὐκ ἔτι τῆς αὐτῆς βασιλείας, ἀλλ' ἤδη τῆς Περσίδος. ἣν ἀφ' ὕψους παραπλέοντι ὡς ςαδίους δισχιλίους ἀπὸ τῶν Ζηνοβίου, συναντῇ νῆσος Σαράπιδος λεγομένη, ἀπὸ ςαδίων τῆς γῆς ὡσεὶ ἑκατὸν εἴκοσι. ταύτης τὸ μὲν πλάτος ἐςὶν ὡσεὶ ςαδίων διακοσίων, οἰκεῖται δὲ κώμαις τρισὶν, καὶ ἀνθρώποις ἱεροῖς Ἰχθυοφάγων. γλώσσῃ δὲ Ἀραβικῇ χρῶνται, καὶ περιζώμασι φύλλων κουκίνων. ἔχει δὲ ἡ νῆσος χελώνην ἱκανὴν καὶ διάφορον, ἐξαρτίζουσι δὲ εἰς αὐτὴν συνήθως οἱ ἀπὸ Κανῆς σκάφας καὶ ἐφόλκια. περικολπίζοντι δὲ τὴν ἐχομένην ἤπειρον, εἰς αὐτὴν τὴν ἄρκτον ἤδη περὶ τὴν εἰσβολὴν τῆς Περσικῆς θαλάσσης, κεῖνται νῆσοι πλεόμεναι, Καλαίου λεγόμεναι νῆσοι, σχεδὸν ἐπὶ ςαδίους δισχιλίους παρεσαμέναι τῇ χώρᾳ. πονηροὶ δὲ οἱ κατοικοῦντες αὐτὴν ἄνθρωποι, καὶ ἡμέρας οὐ πολύ τι βλέποντες. περὶ δὲ τὴν ἐσχάτην κεφαλὴν τῶν Παπίου νήσων, καὶ τὸ λεγόμενον Καλὸν ὄρος, ἐκδέχεται μετ' οὐ πολὺ τὸ ςόμα τῆς Περσικῆς. καὶ πλεῖσαι κολυμβήσεις εἰσὶν τοῦ πινικίου κόγχου. τούτου δὲ τοῦ ςόματος ἐκ τῶν εὐωνύμων ἐςὶν ὄρη μέγιςα λεγόμενα Σαβώ. ἐκ δὲ τῶν δεξιῶν ἄντικρυς ἀφορώμενον ἄλλο ςρογγύλον ὑψηλὸν, τὸ Σεμειράμεως λεγόμενον. καὶ μέσος αὐτὸς ὁ διάπλους τοῦ ςόματος ὡς ςαδίους ἑξακοσίους, δι' οὗ μέγιςος καὶ πλατύτατος εἰς τοὺς ἐσωτάτους τόπους ὁ Περσικὸς κόλπος ἀναχεῖται. καθ' ὃν ἐν τοῖς ἐσχάτοις αὐτοῦ μέρεσιν ἐμπόριόν ἐςιν νόμιμον, λεγόμενον ἡ Ἀπολόγου, κειμένη κατὰ Πασίνου χώραν, κατὰ ποταμὸν Εὐφράτην. παραπλεύσαντι δὲ τοῦτο τὸ ςόμα τοῦ κόλπου, μετὰ δρόμους ἓξ, ἕτερον ἐμπόριόν ἐςιν τῆς Περσίδος,

σίδος, ἡ λεγομένη Ὄμανα. ἐξαρτίζεται δὲ εἰς αὐτὴν συνήθως. ἀπὸ μὲν Βαρυγάζων εἰς ἀμφότερα ταῦτα τῆς Περσίδος ἐμπόρια, πλοῖα μεγάλα χαλκοῦ καὶ ξύλων Σαγαλίνων καὶ δοκῶν καὶ κεράτων καὶ φαλάγγων σησαμίνων καὶ ἐβενίνων. εἰς δὲ τὴν Ὄμανα καὶ ἀπὸ Κανὴ λίβανος. καὶ ἀπὸ Ὀμάνων εἰς τὴν Ἀραβίαν ἐντόπια ῥαπτὰ πλοιάρια, τὰ λεγόμενα μαδαράτε. εἰσφέρεται δὲ ἀπὸ ἑκατέρων τῶν ἐμπορίων, εἴς τε Βαρύγαζαν καὶ εἰς Ἀραβίαν, πινικὸν πολὺ μὲν, χεῖρον δὲ τοῦ Ἰνδικοῦ, καὶ πορφύρα, καὶ ἱματισμὸς ἐντόπιος, καὶ οἶνος, καὶ φοῖνιξ πολὺς, καὶ χρυσὸς, καὶ σώματα. μετὰ δὲ τὴν Ὀμανιτικὴν χώραν ὁμοίως, ἣ παρ' ὁδὸν παράκειται βασιλείας ἑτέρας καὶ κόλπος τῶν Τεράβδων λεγόμενος, οὗ κατὰ μέσον εἰς τὸν κόλπον παρανατείνει. καὶ παρ' αὐτὸν ποταμός ἐστιν ἔχων εἰσαγωγὴν πλοίοις, καὶ μικρὸν ἐπὶ τοῦ στόματος ἐμπόριον Ὡραία λεγόμενον. καὶ κατ' αὐτὸν μεσόγειος πόλις, ἀπέχουσα ὁδὸν ἡμερῶν ἑπτὰ ἀπὸ θαλάσσης, ἐν ᾗ καὶ βασιλεία ἡ λεγομένη. φέρει δὲ ἡ χώρα σῖτον πολὺν, καὶ οἶνον, καὶ ὄρυζαν, καὶ φοίνικα· πρὸς δὲ τὴν ἤπειρον οὐδὲν ἕτερον ἢ βδέλλα. μετὰ δὲ ταύτην τὴν χώραν, ἤδη τῆς ἠπείρου διὰ τὸ βάθος τῶν κόλπων ἐκ τῆς ἀνατολῆς ὑπερκερώσης, ἐκδέχεται παραθαλάσσια μέρη τῆς Σκυθίας, παρ' αὐτὸν κείμενα τὸν βορέαν, ταπεινὰ λίαν. ἑξῆς ποταμὸς Σίνθος μέγιστος τῶν κατὰ τὴν Ἐρυθρὰν θάλασσαν ποταμῶν, καὶ πλεῖστον ὕδωρ εἰς θάλασσαν ἐκβάλλων. ὥστε ἄχρι πολλοῦ (καὶ πρὶν ἢ συμβάλῃ τῇ χώρᾳ) εἰς τὸ πέλαγος ἀπαντᾷν ἀπ' αὐτοῦ λευκὸν ὕδωρ. σημεῖον δὲ ἤδη τῆς περὶ αὐτὴν χώραν ἐπιβολῆς τοῖς ἐκ πελάγους ἐρχομένοις, οἱ προαπαντῶντες ὄφεις ἐκ τοῦ βάθους. τῶν γὰρ ἐπάνω καὶ περὶ τὴν Περσίδα τόπων σημεῖόν ἐστιν αἱ λεγόμεναι γράαι. ἑπτὰ δὲ οὗτος ὁ ποταμὸς ἔχει στόματα, λεπτὰ δὲ ταῦτα καὶ τεναγώδη. καὶ τὰ μὲν ἄλλα διάπλουν οὐκ ἔχει, μόνον δὲ τὸ μέσον, ἐφ' οὗ καὶ τὸ παραθαλάσσιον ἐμπόριόν ἐστιν Βαρβαρικόν. πρόκειται δὲ αὐτοῦ νησίον μικρόν· καὶ κατὰ νώτου μεσόγειος, ἡ μετρόπολις αὐτῆς τῆς Σκυθίας Μινναγάρ. βασιλεύεται δὲ ὑπὸ Πάρθων, συνεχῶς ἀλλήλους ἐκδιωκόντων. τὰ μὲν οὖν πλοῖα κατὰ τὴν Βαρβαρικὴν διορμίζονται, τὰ

δὲ

Φόρτια πάντα εἰς τὴν μητρόπολιν ἀναφέρεται διὰ τοῦ
οταμοῦ τῷ βασιλεῖ. προχωρεῖ δὲ εἰς τὸ ἐμπόριον ἱμα-
σμὸς ἁπλοῦς ἱκανὸς, καὶ νόθος οὐ πολὺς, πολύμιτα, καὶ
ρυσόλιθον, καὶ κοράλλιον, καὶ στύραξ, καὶ λίβανος,
αὶ ὕαλα σκεύη, καὶ ἀργυρώματα, καὶ χρῆμα, οἶνος δὲ
πολύς. ἀντιφορτίζεται δὲ κόστος, βδέλλα, λύκιον, νάρ-
ος, καὶ καλλαϊνὸς λίθος, καὶ σάπφειρος, καὶ σηρικὰ
έρματα, καὶ ὀθόνιον, καὶ νῆμα σηρικὸν, καὶ Ἰνδικὸν
έλαν. ἀνάγονται δὲ καὶ αὐτοὶ οἱ πλέοντες μετὰ τῶν
νδικῶν περὶ τὸν Ἰούλιον μῆνα, ὅς ἐστιν Ἐπιφί. δυσεπί-
ολος μὲν, ἐπιφορώτατος δὲ ἐκείνων καὶ συντομώτερος
πλοῦς. μετὰ δὲ τὸν Σίνθον ποταμὸν ἕτερός ἐστιν κόλ-
ος ἀθεώρητος παρὰ τὸν βορέαν. ὀνομάζεται δὲ Εἰρινόν.
πιλέγεται δὲ ὁ μὲν μικρὸν, ὁ δὲ μέγα. πελάγη δέ ἐστιν
μφότερα τεναγώδη, καὶ δίνας ἐλαφρὰς ἔχοντα καὶ συνε-
εῖς καὶ μακρὰς ἀπὸ τῆς γῆς, ὡς πολλάκις, τῆς ἠπείρου
ηδὲ βλεπομένης, ἀποκέλλειν τὰ πλοῖα· ἐνδοτέρῳ δὲ προ-
ηφθέντα, καὶ ἀπολλύμενα. τούτου δὲ ὑπερέχει τοῦ κόλ-
ου ἀκρωτήριον ἐπικαμπὲς ἀπὸ τοῦ ὅρμου μετὰ τὴν ἀνατο-
ὴν καὶ τὸν νότον ὡς εἰς τὴν δύσιν, ἐμπεριλαμβάνον αὐ-
ὸν τὸν κόλπον λεγόμενον Βαράκης, νήσους ἑπτὰ ἐμπεριει-
ημμένος. οὗ περὶ μὲν τὰς ἀρχὰς οἱ περιπεσόντες, ὀλί-
ον ὀπίσω καὶ εἰς τὸ πέλαγος ἀναδραμόντες, ἐκφεύγουσιν·
ι δὲ εἰς αὐτὴν κατακλεισθέντες τὴν τοῦ Βαράκου κοιλίαν,
πόλλυνται. τό, τε γὰρ κῦμα μέγα καὶ βαρὺ λίαν, ἡ
ὲ θάλασσα ταραχώδης καὶ θολερὰ, καὶ δίνας ἔχουσα καὶ
ιώδεις εἰλίγγους. ὁ δὲ βυθὸς ἔν τισι μὲν ἀπόκοπος, ἔν
ισι δὲ πετρώδης, καὶ ἀπόξυρος, ὥστε τέμνεσθαι τὰς πα-
ακειμένας ἀγκύρας, ἀντέχειν ἀποκοντουμένας, ἃς δὲ καὶ
υντριβομένας ἐν τῷ βυθῷ. σημεῖον δ' αὐτῶν τοῖς ἀπὸ
ελάγους ἐρχομένοις, οἱ προαπαντῶντες ὄφεις ὑπερμεγέθεις
καὶ μέλανες. ἐν γὰρ τοῖς μετὰ ταῦτα τόποις, καὶ τοῖς
ερὶ Βαρύγαζαν, μικρότεροι καὶ τῷ χρώματι χλωροὶ καὶ
χρυσίζοντες ὑπαντῶσι. μετὰ δὲ τὸν Βαράκην εὐθύς ἐστιν
ὁ Βαρυγάζων κόλπος, καὶ ἡ πρὸς τῆς Ἀραβικῆς χώρας
τῆς Μαμβάρου βασιλείας ἀρχὴ, καὶ τῆς ὅλης Ἰνδικῆς οὖσα.
ταύτης τὰ μὲν μεσόγεια τῆς Σκυθίας συνορίζοντα Ἰβη-
ρίᾳ, καλεῖται δὲ τὰ παραθαλάσσια Συραστρήνη. πολύ-

φορος

φορος δὲ ἡ χώρα σίτου, καὶ ὀρύζης, καὶ ἐλαίου σησαμίνου, καὶ βουτύρου, καὶ καρπάσου, καὶ τῶν ἐξ αὐτῆς Ἰνδικῶν ὀθονίων τῶν χυδαίων. βουκόλια δὲ ἐν αὐτῇ πλεῖστα, καὶ ἄνδρες ὑπερμεγέθεις τῷ σώματι, καὶ μέλανες τῇ χροιᾷ. μητρόπολις δὲ τῆς χώρας Μινναγάρα, ἀφ᾽ ἧς καὶ πλεῖστον ὀθόνιον εἰς Βαρύγαζαν κατάγεται. σώζεται δὲ ἔτι καὶ νῦν τῆς Ἀλεξάνδρου στρατιᾶς σημεῖα περὶ τοὺς τόπους, ἱερά τε ἀρχαῖα καὶ θεμέλιοι παρεμβολῶν καὶ φρέατα μέγιστα. ὁ δὲ παράπλους ταύτης τῆς χώρας ἀπὸ τῶν Βαρβαρικοῦ μέχρι τῶν κατὰ Ἄστα καὶ Τραπέραν ἀπέναντι Βαρυγάζων ἀκρωτηρίου τῆς λεγομένης Παπικῆς· ἔστιν δὲ σταδίων τρισχιλίων. μεθ᾽ ἧς ἕτερός ἐστι τόπος ἔσω κυμάτων, εἰς αὐτὸν ἐνδύνων τὸν βορέαν· οὗ κατὰ μὲν τὸ στόμα νῆσός ἐστιν ἡ λεγομένη Βαιώνης, ἐν δὲ τοῖς ἐσωτάτοις τόποις μέγιστος ποταμὸς ὁ λεγόμενος Μάϊς. τοῦτον τὸν κόλπον τὸ πέλαγος ὡς σταδίων τριακοσίων οἱ πλέοντες εἰς Βαρύγαζαν διαπερῶντες, ἐξ εὐωνύμων ἀκροφανῆ καταλιπόντες τὴν νῆσον, καὶ εἰς αὐτὴν ἀνατολὴν ἐπ᾽ αὐτὸ τὸ στόμα τοῦ ποταμοῦ Βαρυγάζων. λέγεται δὲ αὐτὸς ὁ ποταμὸς Λαμναῖος. ὅ τε κόλπος αὐτὸς ὁ κατὰ Βαρύγαζαν στενὸς ὤν, τοῖς ἐκ πελάγους ἐρχομένοις ἐστὶν δυσεπίβολος, ἢ γὰρ εἰς τὰ δεξιά, ἢ εἰς τὰ εὐώνυμα παραπίπτουσιν· ἥ τε ἐπιβολὴ κρείσσων ἐστὶν τῆς ἑτέρας. ἀλλ᾽ ἐκ μὲν τῶν δεξιῶν κατ᾽ αὐτὸ τὸ στόμα τοῦ κόλπου παράκειται ταινία τραχεῖα καὶ διάσπιλος, Ἡρώνη λεγομένη, κατὰ Καμμωνὶ κώμην. ἐκ δὲ τῶν εὐωνύμων ἀπέναντι ταύτης, τὸ πρὸς Ἀστακάμπρων ἀκρωτήριον, ἡ Παπικὴ λεγομένη, δύσορμος οὖσα, διά τε τὸν ῥοῦν τὸν περὶ αὐτὴν, καὶ διὰ τὸ ἀποκόπτειν τὰς ἀγκύρας, τραχὺν ὄντα καὶ πετρώδη τὸν βυθόν. κἂν κατ᾽ αὐτὸν δέ τις ἐπιβάλῃ τὸν κόλπον, αὐτὸ τὸ στόμα τοῦ κατὰ Βαρύγαζαν ποταμοῦ δυσεύρετόν ἐστιν, διὰ τὸ τὴν χώραν ταπεινὴν εἶναι, καὶ μηδὲν ἐγγύτερον ἐνεχύρως θεωρεῖσθαι. κἂν εὑρεθῇ, δυσείσβολός ἐστιν διὰ τὰ περὶ αὐτὸν τενάγη τοῦ ποταμοῦ. τούτου χάριν περὶ αὐτὸν τὸν εἴσπλουν βασιλικοὶ ἁλιεῖς ἐντόπιοι πληρώμασι μακρῶν πλοίων, ἃ λέγεται Τράππαγα καὶ Κότυμβα, πρὸς ἀπάντησιν ἐξέρχονται μέχρι τῆς Συραστρήνης, ἀφ᾽ ὧν ὁδηγεῖται τὰ πλοῖα μέχρι Βαρυγάζων. κλίνουσι γὰρ εὐθὺς ἀπὸ τοῦ στόματος τοῦ κόλπου διὰ τὰ τενάγη

τοῖς

τοῖς πληρώμασιν, καὶ ῥυμυλκῦσιν αὐτὰ ςαθμοῖς ἤδη τεταγμένοις· ἀρχομένης μὲν τῆς πλήμης ἄιροντες, ἑςημένης δὲ διορμίζοντες κατά τινας ὅρμυς καὶ κυθρίνυς. οἱ δὲ κυθρῖνοι τόποι ἐισὶν τῦ ποταμῦ βαθύτεροι μέχρι Βαρυγάζων. ἀπέχει γὰρ ἀπὸ τῦ ςόματος ἄνω παρὰ ποταμὸν κειμένη ὡς ςαδίων τριακοσίων. πᾶσα μὲν ἡ Ἰνδικὴ χώρα ποταμὺς ἔχει πλείςυς, ἀμπώτεις τε καὶ πλήμας μεγίςας, συναπτομένας ὑπὸ τὴν ἀνατολὴν καὶ τὴν πανσέληνον ἄχρι τριῶν ἡμερῶν, καὶ τοῖς μεταξὺ κατας ήμασιν τῆς σελήνης ἐλασσυμένας. πολὺ δὲ μᾶλλον ἡ κατὰ Βαρυγάζων, ὥςε ἀιφνίδιον τόν τε βυθὸν ὁρᾶσθαι, καί τινα μέρη τῆς ἠπείρυ, ποτὲ δὲ ξηρὰ, τὰ πρὸ μικρῦ πλωϊζόμενα. τὺς τε ποταμὺς, ὑπὸ τὴν ἐισβολὴν τῆς πλήμμης τῦ πελάγυς ὅλυ συνωθυμένυ, σφοδρότερον ἄνω φέρεσθαι τῦ κατὰ φύσιν ῥεύματος ἐπὶ πλείςυς ςαδίυς. διὸ καὶ κινδυνώδεις ἐισὶν ἁι τῶν πλοίων προσαγωγαὶ καὶ ἐξαγωγαὶ τοῖς ἀπείροις καὶ πρώτως ἐισάγυσιν ἐις τὸ ἐμπόριον. γινομένης γὰρ ὁρμῆς ἤδη περὶ τὴν πλήμην ὐδὲν παριεμένης, ἁι ἄγκυραι ὐ κατέχυσιν. διὸ καὶ τὰ προληφθέντα πλοῖα τῇ Ἰνδίᾳ, πλαγιαθέντα ὑπὸ τῆς ὀξύτητος τῦ ῥοὸς, ἐποκέλλει τοῖς τενάγεσι καὶ ἀνακλᾶται. τὰ δὲ μικρότερα καὶ περιτρέπεται· τινὰ δὲ καὶ περὶ τὰς διώρυχας ἀποκεκλικότα διὰ τὸ περὶ τὴν ἄμπωτιν, ὅτ᾽ ἂν μὴ διερίσῃ, τῆς πλήμης ἀιφνίδιον ἀπελθύσης, ὑπὸ τῆς πρώτης κεφαλῆς τῦ ῥοὸς ἐμπίμπλαται. τοσαῦται γὰρ περὶ τὴν ἐσβολὴν τῆς θαλάσσης γίνονται βίαι κατὰ τὰς συμμηνίας ὑπὸ τὴν νυκτερινὴν μάλισα πλήμην. ὥςε ἐρχομένης ἤδη τῆς ἐισαγωγῆς, ὅτ᾽ ἂν ἠρεμῇ τὸ πέλαγος, ὑπ᾽ αὐτῦ φέρεσθαι τοῖς ἀπὸ τῦ ςόματος, παραπλήσιον βοῆς ςρατοπέδυ μακρόθεν ἀκυομένης, καὶ μετ᾽ ὀλίγον αὐτὴν ἐπιτρέχειν τοῖς τενάγεσι ῥοίζῳ τὴν θάλασσαν. ἐπίκειται γὰρ κατὰ τὰ τῇ Βαρυγάζῃ μεσόγεια, πλείονα ἔθνη, τό τε τῶν Ἀρατρίων, καὶ Ῥαχύσων, καὶ Τανθαράγων, καὶ τῆς Προκλίδος. ἐν ὅις ἡ Βυκέφαλος Ἀλεξάνδρεια. καὶ τύτων ἐπ᾽ ἄνω μαχιμώτατον ἔθνος Βακτριανῶν, ὑπὸ βασιλέα ὄσαν ἴδιον τόπον. καὶ Ἀλέξανδρος ὁρμηθεὶς ἀπὸ τῶν μερῶν τύτων ἄχρι τῦ Γάγγυς διῆλθε, καταλιπὼν τήν τε Λιμυρικὴν καὶ τὰ νότια τῆς Ἰνδικῆς. ἀφ᾽ ὗ μέχρι νῦν ἐν Βαρυγάζοις παλαιαὶ προχωρῦσι δραχμαὶ, γράμμασιν Ἑλληνικοῖς ἐκ-

ἐγκεχαργμέναι, ἐπίσημα τῶν μετὰ Ἀλέξανδρον βεβασιλευκότων Ἀπολλοδότου καὶ Μενάνδρου. ἔνι δὲ αὐτῆς καὶ ἐξ ἀνατολῆς πόλις λεγομένη Ὀζήνη, ἐν ᾗ καὶ τὰ βασίλεια πρότερον ἦν. ἀφ' ἧς πάντα τὰ πρὸς εὐθηνίαν τῆς χώρας εἰς Βαρύγαζαν καταφέρεται, καὶ τὰ πρὸς ἐμπορίαν τὴν ἡμετέραν, ὀνυχίνη λιθία καὶ μουῤῥίνη, καὶ σινδόνες Ἰνδικαὶ, καὶ μολόχιναι, καὶ ἱκανὸν χυδαῖον ὀθόνιον. κατάγεται δὲ δι' αὐτῆς, καὶ ἀπὸ τῶν ἄνω τόπων, ἡ διὰ Προκλαΐδος καταφερομένη νάρδος, ἡ καττυβουρίνη, καὶ ἡ πατροπαπίγη, καὶ ἡ καβαλίτη, καὶ ἡ διὰ τῆς παρακειμένης Σκυθίας· ὅ τε κόστος καὶ ἡ βδέλλα. προχωρεῖ δὲ εἰς τὸ ἐμπόριον οἶνος προηγουμένως Ἰταλικὸς, καὶ Λαοδικηνὸς, καὶ Ἀραβικὸς, καὶ χαλκὸς, καὶ κασσίτερος, καὶ μόλυβδος, κοράλλιον, καὶ χρυσόλιθον, ἱματισμὸς ἁπλοῦς καὶ νόθος παντοῖος, πολύμιτοι ζῶναι πηχυαῖαι, στύραξ, μελίλωτον, ὕελος ἀργὴ, σανδαράκη, στῆμι, δηνάριον χρυσοῦν καὶ ἀργυροῦν, ἔχον ἀλλαγὴν καὶ ἐπικέρδειάν τινα πρὸς τὸ ἐντόπιον νόμισμα· μύρον οὐ βαρύτιμον, οὐδὲ πολύ. τῷ δὲ βασιλεῖ κατ' ἐκείνους τοὺς καιροὺς εἰσφερόμενα βαρύτιμα ἀργυρώματα, καὶ μουσικὰ, καὶ παρθένοι εὐειδεῖς πρὸς παλλακίαν, καὶ διάφορος οἶνος, καὶ ἱματισμὸς ἁπλοῦς πολυτελὴς, καὶ μύρον ἔξοχον. φέρεται δὲ ἀπὸ τῶν τόπων νάρδος, κόστος, βδέλλα, ἐλέφας, ὀνυχίνη λιθία, καὶ σμύρνα, καὶ λύκιον, καὶ ὀθόνιον παντοῖον, καὶ σηρικὸν, καὶ μολόχινον, καὶ νῆμα, καὶ πέπερι μακρὸν, καὶ τὰ ἀπὸ τῶν ἐμπορίων φερόμενα. ἀποπλέουσι δὲ κατὰ καιρὸν οἱ ἀπὸ τῆς Αἰγύπτου εἰς τὸ ἐμπόριον ἀναγόμενοι περὶ τὸν Ἰούλιον μῆνα, ὅς ἐστιν Ἐπιφί. μετὰ δὲ Βαρύγαζαν εὐθέως ἡ συναφὴς ἤπειρος ἐκ τοῦ βορέου εἰς τὸν νότον παρεκτείνει· διὸ καὶ Δαχιναβάδης καλεῖται ἡ χώρα· δάχανος γὰρ καλεῖται ὁ νότος τῇ αὐτῶν γλώσσῃ. ταύτης ἡ μὲν ὑπερκειμένη πρὸς ἀνατολὰς μεσόγειος ἐμπεριέχει χώρας τε πολλὰς καὶ ἐρήμους, καὶ ὄρη μεγάλα, καὶ θηρίων γένη παντοίων, παρδάλεις τε καὶ τίγρεις, καὶ ἐλέφαντας, καὶ δράκοντας ὑπερμεγέθεις, καὶ κροκόττας, καὶ κυνοκεφάλων πλεῖστα γένη· ἔθνη τε πλεῖστα καὶ πολυάνθρωπα, τὰ μέχρι τοῦ σύνεγγυς. τῶν δὲ ἐν αὐτῇ τῇ Δαχιναβάδει δύο ἐστὶν τὰ διασημότατα ἐμπόρια ἐπιφαινόμενα, ἀπὸ Βαρυγάζων ἔχοντα ὁδὸν ἡμερῶν εἴκοσι πρὸς νότον. ἀπὸ ταύτης ὡς ἡμερῶν

δέκα

ἔκαι πρὸς ἀνατολὴν, ἑτέρα πόλις Ταγάρα μεγίςη· κατάγεται δὲ ἐξ αὐτῶν πορείαις ἁμαξῶν καὶ ἀνοδίαις μεγίςαις εἰς τὴν Βαρύγαζαν. ἀπὸ μὲν Πλιθάνων ὀνυχίνη λιθία πλείςη· ἀπὸ δὲ Ταγάρων ὀθόνιον πολὺ χυδαῖον, καὶ σινδόνων παντοῖα, καὶ μολόχινα, καί τινα ἄλλα τοπικῶς ἐκεῖ προχωρᾶντα φορτία τῶν παραθαλασσίων μερῶν. ὁ δ' ὅλος παράπλȣς μέχρι τῆς Λιμυρικῆς ἐςὶν ςαδίων ἑπτακισχιλίων, πλεῖςοι δὲ εἰς αἰγιαλόν. τοπικὰ δὲ ἐμπόρια κατὰ τὸ ἑξῆς κείμενα, Ἀκαβάρȣς, Ὄυππαρα, Καλλίενα πόλις, ἡ ἐπὶ τῶν Σαραγάνȣ τȣ πρεσβυτέρȣ χρόνων ἐμπόριον ἔνθεσμον γενόμενον· μετὰ γὰρ τὸ κατασχεῖν αὐτὸν Σανδάνην, ἐκωλύθη ἐπὶ πολύ. καὶ γὰρ τὰ ἐκ τύχης εἰς τȣτȣς τȣς τόπȣς ἐσβάλλοντα πλοῖα Ἑλληνικὰ, μετὰ φυλακῆς εἰς Βαρύγαζαν εἰσάγεται. μετὰ δὲ Καλλίεναν ἄλλα ἐμπόρια τοπικὰ, Σήμυλλα, καὶ Μανδαγόρα, καὶ Παλαιπάτμαι, καὶ Μελιζειγάρα, καὶ Βυζαντίων Τοπαρὸν, καὶ Τυραννοσβόας. εἶτα Σησεκρείεναι λεγόμεναι νῆσοι, καὶ ἡ τῶν Αἰγιδίων, καὶ ἡ τῶν Καινειτῶν, κατὰ τὴν λεγομένην χερσόνησαν, καθ' ἃς τόπȣς εἰσὶν Πειραταί. καὶ μετὰ ταύτην Λευκὴ νῆσος. εἶτα Νάȣρα καὶ Τύνδις τὰ πρῶτα ἐμπόρια τῆς Λιμυρικῆς. καὶ μετὰ ταύτας Μȣζιρις, καὶ Νελκύνδα, αἱ νῦν πράσσȣσαι. βασιλείας δ' ἐςὶν ἡ μὲν Τύνδις Κηπροβότȣ, κώμη παραθαλάσσιος ἔνσημος· ἡ δὲ Μȣζιρις βασιλείας μὲν τῆς αὐτῆς, ἀκμάζȣσα δὲ τοῖς ἀπὸ τῆς Ἀριακῆς εἰς αὐτὴν ἐρχομένοις πλοίοις καὶ τοῖς Ἑλληνικοῖς. κεῖται δὲ παρὰ ποταμὸν, ἀπέχȣσα ἀπὸ μὲν Τύνδεως διὰ τȣ ποταμȣ καὶ διὰ θαλάσσης ςαδίȣς πεντακοσίȣς, ἀπὸ δὲ τȣ κατ' αὐτὴν εἴκοσι. ἡ δὲ Νελκύνδα ςαδίȣς μὲν ἀπὸ Μȣζίρεως ἀπέχει σχεδὸν πεντακοσίȣς ὁμοίως, διά τε ποταμȣ καὶ πεζῇ καὶ διὰ θαλάσσης. βασιλείας δέ ἐςιν ἑτέρας τῆς Πανδίονος· κεῖται δὲ καὶ αὐτὴ παρὰ ποταμὸν, ὡσεὶ ἀπὸ ςαδίων ἑκατὸν εἴκοσι τῆς θαλάσσης, ἑτέρα δὲ κατ' αὐτὸ τὸ ςόμα τȣ ποταμȣ πρόκειται κώμη Βαράκη, εἰς ἣν ἀπὸ Νελκύνδων ἐπὶ τῆς ἀναγωγῆς προκαταβαίνȣσι τὰ πλοῖα, καὶ ἐπὶ σάλȣ διορμίζεται, πρὸς ἀνάληψιν τῶν φορτίων. διὰ δὲ τὸν ποταμὸν ἄλματα καὶ διάπλȣς ἔχει ἐλαφρȣς. αὐτοὶ δὲ οἱ βασιλεῖς ἀμφοτέρων τῶν ἐμπορίων ἐν τῇ μεσογείᾳ κατοικȣσι.

σι. καὶ περὶ τέσδε τὲς τόπες, τοῖς ἐκ πελάγες σημείοις ἐπιβολῆς ἐισὶν ὁι προαπαντῶντες ὄφεις, μέλανες μὲν καὶ ἀυτοὶ τὴν χρόαν, βραχύτεροι δὲ, καὶ δρακοντοειδεῖς τὴν κεφαλὴν, καὶ τοῖς ὄμμασιν ἁιματώδεις. πλεῖ δὲ εις τὰ ἐμπόρια ταῦτα πολλὰ πλοῖα, διὰ τὸν ὄγκον καὶ τὸ πλῆθος τȣ̃ πεπέρεως καὶ τȣ̃ μαλαβάθρȣ. προχωρεῖ δὲ εἰς ἀυτὴν προηγȣμένως χρήματα πλεῖςα, χρυσόλιθα, ἱματισμὸς ἁπλȣ̃ς ȣ̓ πολὺς, πολύμιτα, ςίμη, κοράλλιον, ὕαλος ἀργὴ, χαλκὸς, κασσίτερος, μόλυβδος. ὄινος δὲ ȣ̓ πολὺς. σώζει δὲ τοσȣ̃τον, ὅσον ἐν Βαρυγάζοις. σανδαράκη, ἀρσενικόν· σῖτος δὲ, ὅσος ἀρκέσει τοῖς περὶ τὸ ναυκλήριον, διὰ τὸ μὴ τὲς ἐμπόρες ἀυτῷ χρῆθαι. Φέρεται δὲ πέπερι, μονογενῶς ἐν ἑνὶ τόπῳ τέτῳ τῶ ἐμπορίῳ γεννώμενον πολὺ, λεγόμενον Κοττοναρικόν. Φέρεται δὲ καὶ μαργαρίτης ἱκανὸς καὶ διάφορος, καὶ ἐλέφας, καὶ ὀθόνια σηρικὰ, καὶ νάρδος ἡ γαπανικὴ, καὶ μαλάβαθρον ἐκ τῶν ἔσω τόπων εις ἀυτὴν, καὶ λιθία διαφανὴς παντοῖα, καὶ ἀδάμας, καὶ ὑάκινθος, καὶ χελώνη ἥτε Χρυσονητιωτικὴ, καὶ ἡ περὶ τὰς νήσȣς θηρευομένη, τὰς προκειμένας ἀυτῆς τῆς Λιμυρικῆς. πλέȣσι δὲ εἰς ἀυτὴν ὁι κατὰ καιρὸν ἀναγόμενοι ἀπ' Αἰγύπτȣ περὶ τὸν Ἰέλιον μῆνα, ὅς ἐςιν Ἐπιφί. τȣ̃τον δὲ ὅλον τὸν ἐιρημένον περίπλȣν ἀπὸ Κανῆς καὶ Ἐυδαίμονος Ἀραβίας, ὁι μὲν μικροτέροις πλοίοις περικολπίζοντες ἔπλεον. πρῶτος δὲ Ἵππαλος κυβερνήτης, κατανοήσας τὴν θέσιν τῶν ἐμπορίων, καὶ τὸ σχῆμα τῆς θαλάσσης, τὸν διὰ πελάγȣς ἐξεῦρε πλȣ̃ν. ἀφ' ȣ̓̃ καὶ τοπικῶς ἐκ τȣ̃ ὠκεανȣ̃ φυσώντων τῶν κατὰ καιρὸν τῶν παρ' ἡμῖν ἐτησίων, ἐν τῷ Ἰνδικῷ πελάγει λιβόνοτος φαίνεται. προσονομάζεται ἀπὸ τῆς προσηγορίας τȣ̃ πρώτως ἐξευρηκότος τὸν διάπλȣν. ἀφ' ȣ̓̃ μέχρι καὶ νῦν τινὲς μὲν ἐυθὺς ἀπὸ Κανὴ, τινὲς δὲ ἀπὸ τῶν Ἀρωμάτων ἀφιέντες, ὁι μὲν εἰς Λιμυρικὴν πλέοντες, ἐπὶ πλεῖον τραχηλίζοντες, ὁι δὲ εἰς Βαρύγαζαν, ὁι δὲ εἰς Σκυθίαν, ȣ̓ πλεῖον ἢ τρεῖς ἡμέρας ἀντέχȣσι. καὶ τὸ λοιπὸν παρεπιφέρον πρὸς ἴδιον δρόμον, ἐκ τῆς χώρας ὑψηλοὶ διὰ τῆς ἔξωθεν γῆς παραπλέȣσι τȣ̀ς προειρημένȣς κόλπȣς. ἀπ' Ἐλαβακαρὴ τὸ λεγόμενον Πυῤῥὸν ὄρος, ἄλλη παρῆκε χώρα τη ** κης ἡ Παραλία λεγομένη, πρὸς ἀυτὸν τὸν νότον. ἐν ᾗ καὶ κολύμ-

ύμβησίς ἐςιν ὑπὸ τὸν βασιλέα Πανδίονα πινικȣ̃, καὶ πό-
ς ἡ λεγομένη Κόλχοι. πρῶτος τόπος Βαλίτα καλȣ́με-
ος, ὅρμον καλὸν ἔχων, καὶ κώμην παραθαλάσσιον. ἀπὸ
ταύτης ἐςὶν ἕτερος τόπος τὸ Κομὰρ λεγόμενον. ἐν ᾧ
ύπῳ Φρȣ́ριον ἐςὶν, καὶ λιμὴν. εἰς ὃν οἱ βȣλόμενοι τὸν
ιέλλοντα αὐτοῖς χρόνον ἱεροὶ γενέσθαι, χῆροι μένȣσιν αὐ-
ῖ, ἐκεῖ ἐρχόμενοι ἀπολȣ́ονται. τὸ δ' αὐτὸ καὶ γυναῖ-
ς. ἱςορεῖται γὰρ τὴν θεὸν ἐκεῖ ἐπὶ μῆνας κατά τινα
ρόνον ἐκεῖ ἀπολȣ́σθαι. ἀπὸ δὲ τȣ̃ Κομαρεὶ ἐκτείνȣσα
ύρα μέχρι Κόλχων, ἐν ᾗ κολύμβησις τȣ̃ πινικȣ̃ ἐςὶν,
ὸ δὲ καταδικασίμων κατεργάζεται. πρὸς τὸν νότον, ὑ-
τὸν βασιλέα Πανδίονά ἐςιν. μετὰ δὲ Κόλχȣς ἐκδέ-
ται πρότερος αἰγιαλὸς ἐν κόλπῳ κείμενος, ἔχων χώ-
ν μεσόγειον, λεγόμενος Ἀργάλȣ. ἐν ἑνὶ τόπῳ τεροῦνεῖ-
ι παρ' αὐτὴν τῆς Ἠπιοδώρȣ συλλεγόμενον πινικόν. Φέ-
νται γὰρ ἐξ αὐτῆς σινδόνες Ἐβαργαρείτιδες λεγόμεναι.
ν δὲ καὶ τȣ́των ἐμπορίων τε καὶ ὅρμων, ἐς ȣ̃ς οἵ τε
ὸ τῆς Λιμυρικῆς καὶ ἀπὸ ἄρκτȣ πλέοντες κατάγονται,
ισημότερα καὶ κατὰ τὸ ἑξῆς κείμενά ἐςιν ἐμπόρια,
αμάρα, καὶ Ποδȣ́κη, καὶ Σωπάτμα. ἐν οἷς τοπικὰ
ὲν ἐςιν πλοῖα μέχρι Λιμυρικῆς παραλεγόμενα τὴν γῆν.
ερα δ' ἐκ μονοξύλων πλοίων μεγίςων ὑφ' ἧς ἐζευγμέ-
ιν, λεγόμενα σάγγαρα. τὰ δὲ εἰς τὴν Χρυσῆν καὶ εἰς
ν Γάγγην διαίροντα κολανδιόφωντα τὰ μέγιςα. προ-
χρεῖ δὲ εἰς τȣ̀ς τόπȣς, πάντα τὰ εἰς τὴν Λιμυρικὴν
γάζομενα, καὶ σχεδὸν εἰς αὐτȣ̀ς καταντᾷ. τὸ δὲ χρῆμα
ἀπ' Αἰγύπτȣ Φερόμενον τῷ παντὶ χρόνῳ, κατὰ πλεῖ-
γένη πάντων τῶν ἀπὸ Λιμυρικῆς Φερομένων, διὰ
ύτης τῆς παραλίας ἐπιχορηγȣμένων. περὶ δὲ τῶν μετ'
ιτὴν χωρῶν ἤδη πρὸς ἀνατολὴν τȣ̃ πλοὸς ἀπονεύοντος,
πέλαγος ἔκκειται πρὸς αὐτὴν τὴν δύσιν, νῆσος λεγο-
ένη Παλαισιμȣ́νδȣ, παρὰ δὲ τοῖς ἀρχαίοις αὐτῶν Τα-
ιοβάνη. ταύτης τὰ μὲν πρὸς βορέαν ἐςὶν ἥμερα, καὶ
απλεῖται τοῖς ἱςιοπεποιημένοις νηυσὶ, καὶ σχεδὸν εἰς τὸ
ετ' αὐτῆς ἀντιπαρακείμενον Ἀζανίας παρήκει. γίνεται
ἐν αὐτῇ πινικὸν καὶ λιθία διαφανὴς καὶ σινδόνες,
αὶ χελῶναι. περὶ δὲ τȣ́τȣς τȣ̀ς τόπȣς, πολὺ τῆς με-
ογείȣ παρήκȣσα, Μασαλία παράκειται χώρα· γίνονται ἐν
αὐτῇ

αὐτῇ σινδόνες πλεῖςαι. ἀπὸ δὲ ταύτης, ἐις αὐτὴν τὴν ἀνατολὴν διαπεράσαντι τὸν παρακείμενον κόλπον, ἡ Δησαρήνη χώρα, φέρουσα ἐλέφαντα, τὸν λεγόμενον βωσαρή. καὶ μετ' αὐτὴν, ἐις τὸν βορέαν ἤδη ἀπονεύοντος τοῦ πλοὸς, βάρβαρα πολλὰ ἔθνη, ἐν οἷς οἱ Κιῤῥάδαι, γένος ἀνθρώπων, ἐκτεθλιμμένων τὴν ῥῖνα, ἀγρίων. καὶ Βαργύσων, ἕτερον ἔθνος. καὶ τὸ τῶν ἱπποπροσώπων, μακροπροσώπων, λεγόμενον ἀνθρωποφάγων ἐιναι. μετὰ δὲ ταῦτα, ἐις τὴν ἀνατολὴν καὶ ὠκεανὸν ἐν δεξιοῖς ἐχόντων, ἐυώνυμα δὲ τὰ λοιπὰ μέρη ἔξωθεν παραπλεόντων, ὁ Γάγγης ἀπαντᾷ, καὶ ἡ περὶ αὐτὸν ἐσχάτη τῆς ἀνατολῆς ἤπειρος ἡ Χρυσῆ. ποταμὸς δέ ἐςιν περὶ αὐτὴν, ὁ Γάγγης λεγόμενος, καὶ αὐτὸς μέγιςος τῶν κατὰ τὴν Ἰνδικὴν, ἀπόβασίν τε καὶ ἀνάβασιν τὴν αὐτὴν ἔχων τῷ Νείλῳ. καθ' ὃν καὶ ἐμπόριόν ἐςιν ὁμώνυμον τῷ ποταμῷ ὁ Γάγγης, δι' οὗ φέρεται τό τε μαλάβαθρον, καὶ ἡ Γαγγιτικὴ νάρδος, καὶ πινικὸν, καὶ σινδόνες αἱ διαφορώταται, αἱ Γαγγιτικαὶ λεγόμεναι. λέγεται δὲ καὶ χρυσωρύχια περὶ τοὺς τόπους ἐιναι, νόμισμά τε χρυσοῦ, ὁ λεγόμενος Κάλτις. κατ' αὐτὸν δὲ τὸν ποταμὸν νῆσος ἐςὶν Ὠκεάνιος, ἐσχάτη τῶν πρὸς ἀνατολὴν μερῶν τῆς οἰκουμένης, ὑπ' αὐτὸν ἀνέχοντα τὸν ἥλιον, καλουμένη Χρυσῆ, χελώνην ἔχουσα πάντων τῶν κατὰ τὴν Ἐρυθρὰν τόπων ἀρίςην. μετὰ δὲ ταύτην τὴν χώραν, ὑπ' αὐτὸν ἤδη τὸν βορέαν, ἔξωθεν ἐις Σινῶν τινα τόπον ἀποληγούσης τῆς θαλάσσης, παράκειται ἐν αὐτῇ πόλις μεσόγειος μεγίςη, λεγομένη Θῖνα, ἀφ' ἧς τό τε ἔριον, καὶ τὸ ὀθόνιον τὸ σηρικὸν, ἐις τὴν Βαρύγαζαν διὰ Βάκτρων πεζῇ φέρεται· καὶ ἐις τὴν Λιμυρικὴν πάλιν διὰ τοῦ Γάγγου ποταμοῦ. ἐις δὲ τὴν Θῖνα ταύτην οὐκ ἔςιν ἐυχερῶς ἀπελθεῖν. σπανίως γὰρ ἀπ' αὐτῆς τινες οὐ πολλοὶ ἔρχονται. κεῖται δὲ ὁ τόπος ἐπ' αὐτὴν τὴν μικρὰν ἄρκτον. λέγεται δὲ συνορίζειν ταῖς ἀπεςραμμένοις μέρεσι τοῦ Πόντου καὶ τῆς Κασπίας θαλάσσης, καθ' ἣν ἡ παρακειμένη λίμνη Μαιῶτις ἐις τὸν ὠκεανὸν συναναςομοῦσα. κατ' ἔτος δὲ παραγίνεται ἐπὶ τὴν συνορίαν τῆς Θίνας ἔθνος τι, τῷ μὲν σώματι κολοβοὶ καὶ σφόδρα πλατυπρόσωποι, σιμοὶ ἐις τέλος, αὐτοὺς δὲ λέγεθαι Σησάτας, παρομοίους ἀνημέροις. παραγίνονται σὺν γυναιξὶν καὶ τέκνοις,

Βασα-

ιςάζοντες φορτία μεγάλα ἐν ταρπόναις, ὡμαμπελίνων
ιραπλήσια. ἔπ' ἐνεπιμένουσιν ἐπί τινα τόπον τῆς συνο-
κς αὐτῶν, καὶ τῶν ὑπὸ τῆς Θίνας. καὶ ὀρτάζουσιν ἐπὶ
νας ἡμέρας, ὑποστρώσαντες ἑαυτοῖς τὰς ταρπόνας, καὶ
ταίρουσιν εἰς τὰ ἴδια εἰς τοὺς ἐσωτέρους τόπους. οἱ δὲ ταῦτα
κοῦντες τότε παραγίνονται ἐπὶ τοὺς τόπους, καὶ συλλέγουσι
: ἐκείνων ὑποστρώματα, καὶ ἐξινιάσαντες καλάμους τοὺς
γομένους πέτρους ἐπὶ λεπτὸν ἐπιδιπλώσαντες τὰ φύλλα
ὶ σφαιροειδῆ ποιοῦντες, διείρουσι ταῖς ἀπὸ τῶν καλάμων
αις. γίνεται δὲ γένη τρία. ἐκ μὲν τοῦ μείζονος φύλ-
ι, τὸ ἁδρόσφαιρον μαλάβαθρον λεγόμενον. ἐκ δὲ τοῦ
τοδεεςέρου, τὸ μεσόσφαιρον· ἐκ δὲ τοῦ μικροτέρου, τὸ μι-
όσφαιρον. ἔνθεν τὰ τρία μέρη τοῦ μαλαβάθρου γίνεται,
ὶ τότε φέρεται εἰς τὴν Ἰνδικὴν ὑπὸ τῶν κατεργαζομέ-
ων αὐτά. τὰ δὲ μετὰ τοὺς τόπους, διά τε ὑπερβολὰς
ειμώνων, καὶ πάγους μεγίςους δυσβάτων τε τόπων, εἶτα
ὶ θείᾳ τινὶ δυνάμει θεῶν, ἀνερεύνητά ἐςιν.

IX. DE REBUS EBRÆORUM,
qui inde ab anno 536 ante Christ. nat. Judæi dicti sunt.

Τῆς δ' Ἰουδαίας τὰ μὲν ἑσπέρια ἄκρα τὰ πρὸς τῷ Κασίῳ κατέχουσιν οἱ Ἰδουμαῖοί τε καὶ ἡ λίμνη. Ναβαταῖοι δ' εἰσιν οἱ Ἰδουμαῖοι· κατὰ ςάσιν δὲ ἐκπεσόντες ἐκεῖθεν προσεχώρησαν τοῖς Ἰουδαίοις, καὶ τῶν νομίμων τῶν αὐτῶν ἐκείνοις ἐκοινώνησαν· πρὸς θαλάττῃ δὲ ἡ Σερβωνὶς τὰ πολλὰ κατεῖχε καὶ ἡ συνεχὴς μέχρι Ἱεροσολύμων· καὶ γὰρ ταῦτα πρὸς θαλάττῃ ἐςίν· ἀπὸ δὲ τοῦ ἐπινείου τῆς Ἰόππης εἴρηται, ὅτι ἐςὶν ἐν ὄψει· ταῦτα μὲν προσάρκτια· τὰ πολλὰ δ' ὡς ἕκατα εἰσὶν ὑπὸ φύλων οἰκούμενα μικτῶν, ἔκ τε Αἰγυπτίων ἐθνῶν καὶ Ἀραβίων καὶ Φοινίκων· τοιοῦτοι γὰρ οἱ τὴν Γαλιλαίαν ἔχοντες, καὶ τὴν Ἱεριχοῦντα, καὶ τὴν Φιλαδέλφειαν καὶ Σαμάρειαν, ἣν Ἡρώδης Σεβαςὴν ἐπωνόμασεν. Οὕτω δ' ὄντων μιγάδων, ἡ κρατοῦσα μάλιςα φήμη τῶν περὶ τὸ ἱερὸν τὸ ἐν τοῖς Ἱεροσολύμοις πιςευομένων, Αἰγυπτίους ἀποφαίνει τοὺς προ- Strabo Lib. XVI.

προγόνους τῶν νῦν Ἰουδαίων λεγομένων. Μωσῆς γάρ τις τῶν Αἰγυπτίων ἱερέων ἔχων τι μέρος τῆς καλουμένης χώρας, ἀπῆρεν ἐκεῖσε ἐνθένδε δυσχεράνας τὰ καθεστῶτα, καὶ συνεξῆραν αὐτῷ πολλοὶ τιμῶντες τὸ θεῖον. Ἔφη γὰρ ἐκεῖνος καὶ ἐδίδασκεν, ὡς οὐκ ὀρθῶς φρονοῦσιν οἱ Αἰγύπτιοι θηρίοις εἰκάζοντες, καὶ βοσκήμασι τὸ θεῖον· οὐδ' οἱ Λίβυες· οὐκ εὖ δὲ οὐδ' οἱ Ἕλληνες, ἀνθρωπομόρφους τυποῦντες· εἴη γὰρ ἓν τοῦτο μόνον θεὸς τὸ περιέχον ἡμᾶς ἅπαντας καὶ γῆν καὶ θάλατταν, ὃ καλοῦμεν οὐρανὸν καὶ κόσμον, καὶ τὴν τῶν ὄντων φύσιν. Τούτου δὴ τίς ἂν εἰκόνα πλάττειν θαῤῥήσειε νοῦν ἔχων ὁμοίαν τινί τῶν παρ' ἡμῖν; ἀλλ' ἐᾶν δεῖ πᾶσαν ξοανοποιΐαν· τέμενος ἀφορίσαντας καὶ σηκὸν ἀξιόλογον τιμᾶν ἕδους χωρίς. Ἐγκοιμᾶσθαι δὲ καὶ αὐτοὺς ὑπὲρ ἑαυτῶν, καὶ ὑπὲρ τῶν ἄλλων ἄλλους τοὺς εὐονείρους· καὶ προσδοκᾶν δεῖν παρὰ τοῦ Θεοῦ, καὶ δῶρον ἀεί τι, καὶ σημεῖον τοὺς σωφρόνως ζῶντας καὶ μετὰ δικαιοσύνης, τοὺς δ' ἄλλους μὴ προσδοκᾶν. Ἐκεῖνος μὲν οὖν τοιαῦτα λέγων ἔπεισεν εὐγνώμονας ἄνδρας οὐκ ὀλίγους, καὶ ἀπήγαγεν εἰς τὸν τόπον τοῦτον, ὅπου νῦν ἐστὶ τὸ ἐν τοῖς Ἱεροσολύμοις κτίσμα. Κατέσχε δὲ ῥαδίως, οὐκ ἐπίφθονον ὂν τὸ χωρίον, οὐδ' ὑπὲρ οὗ ἄν τις ἐσπουδασμένως μαχέσαιτο· ἔστι γὰρ πετρῶδες, αὐτὸ μὲν εὔυδρον, τὴν δὲ κύκλῳ χώραν ἔχον λυπρὰν καὶ ἄνυδρον, τὴν δ' ἐντὸς ἑξήκοντα σταδίων καὶ ὑπόπετρον. Ἅμα δ' ἀντὶ τῶν ὅπλων τὰ ἱερὰ προυβάλλετο καὶ τὸ θεῖον, ἵδρυσιν τούτου ζητεῖν ἀξιῶν, καὶ παραδώσειν ὑπισχνούμενος τοιοῦτον σεβασμὸν, καὶ τοιαύτην ἱεροποιΐαν, ἥτις οὐδὲ δαπάναις ὀχλήσει τοὺς χρωμένους, οὔτε θεοφορίαις, οὔτε ἄλλαις πραγματείαις ἀτόποις. οὗτος μὲν οὖν εὐδοκιμήσας τούτοις συνεστήσατο ἀρχὴν οὐ τὴν τυχοῦσαν, ἁπάντων προσχωρησάντων ῥαδίως τῶν κύκλῳ διὰ τὴν ὁμιλίαν καὶ τὰ προτεινόμενα. οἱ δὲ διαδεξάμενοι, χρόνους μέν τινας ἐν τοῖς αὐτοῖς διέμεινον δικαιοπραγοῦντες καὶ θεοσεβεῖς ὡς ἀληθῶς ὄντες. ἔπειτ' ἐφισταμένων ἐπὶ τὴν ἱεροσύνην τὸ μὲν πρῶτον δεισιδαιμόνων, ἔπειτα τυραννικῶν ἀνθρώπων, ἐκ μὲν τῆς δεισιδαιμονίας αἱ τῶν βρωμάτων ἀποσχέσεις, ὧν περ καὶ νῦν ἔθος ἐστὶν αὐτοῖς ἀπέχεσθαι, καὶ περιτομαὶ, καὶ ἐκτομαί, καὶ εἴ τινα τοιαῦτα ἐνομίσθη· ἐκ δὲ τῶν τυραννίδων

λησήρια. Οἱ μὲν γὰρ ἀφισάμενοι τὴν χώραν ἐκά-
ν, καὶ αὐτὴν καὶ τὴν γειτνιῶσαν· οἱ δὲ συμπράττον-
ς τοῖς ἄρχεσι καθήρπαζον τὰ ἀλλότρια, καὶ τῆς Συ-
κς κατεςρέφοντο καὶ τῆς Φοινίκης πολλήν. Ἦν δ' ὅ-
υς εὐπρέπειά τις περὶ τὴν ἀκρόπολιν αὐτῶν, ἐχ ὡς τυ-
ννεῖον βδελυττομένων, ἀλλ' ὡς ἱερὸν σεμνύντων τὲ καὶ
βεμένων.

Ἤδη δ' ἐν φανερῶς τυραννεμένης τῆς Ἰεδαίας, πρῶ-
ς ἀνθ' ἱερέως ἀνέδειξεν ἑαυτὸν βασιλέα Ἀλέξανδρος·
ἴτε δ' ἦσαν υἱοὶ Ὑρκανός τε καὶ Ἀρισόβελος· διαφερο-
ένων δὲ περὶ τῆς ἀρχῆς, ἐπῆλθε Πομπήϊος, καὶ κατέ-
υσεν αὐτὲς, καὶ τὰ ἐρύματα αὐτῶν κατέσπασε, καὶ αὐ-
ὲ ἐν πρώτοις τὰ Ἱεροσόλυμα βίᾳ καταλαβών· ἦν γὰρ
ετρῶδες εὐερκὲς ἔρυμα, ἐντὸς μὲν εὔυδρον, ἐκτὸς δὲ
αντελῶς διψηρόν· τάφρον λατομητὴν ἔχον, βάθος μὲν
ξήκοντα ποδῶν, πλάτος δὲ πεντήκοντα καὶ διακοσίων· ἐκ
ὲ τε λίθε τε λατομηθέντος ἐπεπύργωτο τὸ τεῖχος τε
ρε. Κατελάβετο δ' ὥς φασι, τηρήσας τὴν τῆς νηςείας
μέραν, ἡνίκα ἀπείχοντο οἱ Ἰεδαῖοι παντὸς ἔργε, πλη-
ώσας τὴν τάφρον, καὶ ἐπιβαλὼν τὰς διαβάθρας· κατα-
πάσαι δ' ἐν ἐκέλευσε τὰ τείχη πάντα, καὶ ἀνεῖλεν εἰς
ύναμιν τὰ λησήρια, καὶ τὰ γαζοφυλάκια τῶν τυράννων.
Ην δὲ δύο μὲν τὰ ταῖς εἰσβολαῖς ἐπικείμενα τε Ἱερ-
εντος Θρὴξ τε καὶ Ταῦρος, ἄλλα δὲ Ἀλεξάνδριον τε
καὶ Ὑρκάνιον, καὶ Μαχαιρὲς, καὶ Λυσίας, καὶ τὰ πε-
ὶ τὴν Φιλαδελφίαν, καὶ ἡ περὶ Γαλιλαίαν Σκυθόπολις.
Ἱερικὲς δ' ἐςὶ πεδίον κύκλῳ περιεχόμενον ὀρεινῇ τινι,
αί πε καὶ θεατροειδῶς πρὸς αὐτῷ κεκλιμένῃ· ἐνταῦθα
' ἐςὶν ὁ Φοινικὼν, μεμιγμένην ἔχων καὶ ἄλλην ὕλην
ἥμερον καὶ εὔκαρπον, πλεονάζον δὲ τῷ φοίνικι, ἐπὶ μῆ-
ιος ςαδίων ἑκατὸν, διάῤῥυτος ἅπας καὶ μεςὸς κατοικιῶν·
ἔςι δ' αὐτε καὶ βασίλειον, καὶ ὁ τε βαλσάμε Παράδει-
σος· ἔςι δὲ τὸ φυτὸν θαμνῶδες, κυτίσῳ ἐοικὸς καὶ τερ-
μίνθῳ, ἀρωματίζον· ὃ τὸν φλοιὸν ἐπισχίσαντες, ὑπολαμ-
βάνεσιν ἀγγείοις τὸν ὀπὸν, γλίσχρῳ γάλακτι παραπλήσιον·
ἀναληφθεὶς δ' εἰς κογχάρια λαμβάνει πῆξιν. λύει δὲ κε-
φαλαλγίας θαυμασῶς, καὶ ὑποχύσεις ἀρχομένας, καὶ
ἀμβλυωπίας· τίμιος ἐν ἐςὶ, καὶ διότι ἐνταῦθα μόνον γεν-

νᾶται· καὶ ὁ φοινικὼν δὲ τοιοῦτος, ἔχων τὴν καρυωτὴ
φοίνικα ἐνταῦθα μόνον, πλὴν τοῦ Βαβυλωνίου, καὶ τὴ
ἐπέκεινα πρὸς τὴν ἕω. Μεγάλη οὖν ἀπ᾽ αὐτῶν ἡ πρό-
σοδος. Καὶ τῷ ξυλοβαλσάμῳ δὲ ὡς ἀρώματι χρῶνται.
Ἡ δὲ Σιρβωνὶς λίμνη πολλὴ μέν ἐστι· καὶ γὰρ χιλίων
σταδίων εἰρήκασί τινες τὸν κύκλον· τῇ μέντοι παραλίᾳ παρ-
εκτέταται μικρῷ τι πλέον τῶν διακοσίων σταδίων μῆκος
ἐπιλαμβάνουσα, ἀγχιβαθής, βαθύτατον ἔχουσα ὕδωρ, ὥ-
στε μὴ δεῖν κολύμβου, ἀλλὰ τὸν ἐμβάντα καὶ μέχρις ὀμ-
φαλοῦ προεμβάντα, εὐθὺς ἐξαίρεσθαι· μεστὴ δ᾽ ἐστιν ἀσφάλ-
του αὕτη· τοῦτον δὲ ἀναφυσᾶται κατὰ καιροὺς ἀτάκτους ἐκ
μέσου τοῦ βάθους μετὰ πομφολύγων, ὡς ἂν ζέοντος ὕδα-
τος· κυρτουμένη δὲ ἡ ἐπιφάνεια, λόφου φαντασίαν παρέ-
χει· συναναφέρεται δὲ καὶ ἄσβολος πολλὴ καπνώδης μὲν,
πρὸς δὲ τὴν ὄψιν ἄδηλος· ὑφ᾽ ἧς κατιοῦται καὶ χαλκὸς
καὶ ἄργυρος καὶ πᾶν τὸ στιλπνὸν μέχρι καὶ χρυσοῦ· ἀπὸ
δὲ τοῦ κατιοῦσθαι τὰ σκεύη γνωρίζουσιν οἱ περιοικοῦντες ἀρ-
χομένην τὴν ἀναβολὴν τοῦ ἀσφάλτου, καὶ παρασκευάζον-
ται πρὸς τὴν μεταλλείαν αὐτοῦ, ποιησάμενοι σχεδίας κα-
λαμίνας· ἔστι δ᾽ ἡ ἄσφαλτος γῆς βῶλος, ὑγραινομένη καὶ
διαχεομένη· πάλιν δὲ μεταβάλλουσα εἰς πάγον ἰσχυρὸν
ὑπὸ τοῦ ψυχροῦ ὕδατος, οἷόν ἐστι τὸ τῆς λίμνης ὕδωρ, ὥ-
στε τομῆς καὶ κοπῆς δεῖσθαι· εἶτ᾽ ἐπιπολάζουσα διὰ τὴν φύ-
σιν τοῦ ὕδατος ἣν ἔφαμεν, μηδὲ κολύμβου δεῖσθαι, μηδὲ
βαπτίζεσθαι τὸν ἐμβάντα, ἀλλ᾽ ἐξαίρεσθαι· προσπλεύσαν-
τες δὲ ταῖς σχεδίαις, κόπτουσι καὶ φέρουσι τῆς ἀσφάλτου
ὅσον ἕκαστος δύναται· τὸ μὲν οὖν συμβαῖνον τοιοῦτον. Γόη-
τας δὲ ὄντας, σκήπτεσθαι φησὶν ἐπῳδὰς ὁ Ποσειδώνιος
τοὺς ἀνθρώπους, καὶ οὖρα καὶ ἄλλα δυσώδη ὑγρὰ, ἃ περι-
καταχέαντας, καὶ ἐκπιάσαντας, πήττειν τὴν ἄσφαλτον,
εἶτα τέμνειν· εἰ μή τις ἐστιν ἐπιτηδειότης τῶν οὔρων τοι-
αύτη, καθάπερ καὶ ἐν ταῖς κύστεσι τῶν λιθιώντων, καὶ
ἐκ τῶν παιδικῶν οὔρων ἡ χρυσοκόλλα συνίσταται· ἐν μέσῃ
δὲ τῇ λίμνῃ τὸ πάθος συμβαίνειν εὔλογον, ὅτι καὶ ἡ
πηγὴ τοῦ πυρὸς καὶ τῆς ἀσφάλτου κατὰ μέσον ἐστὶ, καὶ τὸ
πλῆθος· ἄτακτος δὲ ἡ ἀναφύσησις, ὅτι καὶ ἡ τοῦ πυρὸς
κίνησις οὐκ ἔχει τάξιν ἡμῖν φανερὰν, ὥσπερ καὶ ἄλλων
πνευμάτων πολλῶν. Τοιαῦτα δὲ καὶ τὰ ἐν Ἀπολλωνί-

τῇ

ἡ Ἠπειρώτιδι. Τοῦ δ' ἔμπυρον τὴν χώραν εἶναι τὰ ἄλ-
ε τεκμήρια φέρουσι πολλά· καὶ γὰρ πέτρας τινας ἐπι-
καυμένας δεικνύουσι τραχείας περὶ Μοασάδα, καὶ σύραγ-
ας πολλαχοῦ, καὶ γῆν τεφρώδη· σταγόνας τε πίσσης ἐκ
λεισσάδων λειβομένας καὶ δυσώδεις πόῤῥωθεν ποταμοὺς
ζέοντας, κατοικίας δὲ ἀνατετραμμένας σποράδην· ὥς τε πι-
ύειν τοῖς θρυλλουμένοις ὑπὸ τῶν ἐγχωρίων, ὡς ἄρα ᾠ-
ῖντό ποτε τρισκαίδεκα πόλεις ἐνταῦθα, ὧν τῆς μητρο-
όλεως Σοδόμων, σώζοιτο κύκλος ἑξήκοντά που σταδίων·
τὸ σεισμῶν καὶ ἀναφυσημάτων πυρὸς καὶ θερμῶν ὑδά-
ων ἀσφαλτωδῶν τε καὶ θειωδῶν ἡ λίμνη προπέσοι, καὶ
έτραι περίληπτοι γένοιντο· ἅι τε πόλεις ἁι μὲν καταπο-
εῖεν, ἃς δ' ἐκλείποιεν ὁι δυνάμενοι φυγεῖν. Ἐρατο-
ένης δέ φησι τἀναντία· λιμναζούσης τῆς χώρας, ἐκρήγ-
κσιν ἀνακαλυφθῆναι τὴν πλείστην, καθάπερ τὴν θά-
ασσαν. Ἔστι δὲ καὶ ἐν τῇ Γαδαρίδι ὕδωρ μοχθηρὸν λι-
ναῖον, οὗ τὰ γευσάμενα κτήνη τρίχας καὶ ὁπλὰς καὶ
έρατα ἀποβάλλει. Ἐν δὲ ταῖς καλουμέναις Ταριχείαις
λίμνη μὲν ταριχείας ἰχθύων ἀστείας παρέχει, φύει δὲ
ένδρα καρποφόρα, μηλέαις ἐμφερῆ· χρῶνται δ' Αἰγύπτ-
οι τῇ ἀσφάλτῳ πρὸς τὰς ταριχείας τῶν νεκρῶν.

Διοδώρος δὲ μυθογραφεῖ· κατὰ τὴν Ἄιγυπτον τὸ
παλαιὸν λοιμικῆς περιστάσεως γενομένης, ἀνέπεμπον ὁι
πολλοὶ τὴν αἰτίαν τῶν κακῶν ἐπὶ τὸ δαιμόνιον. πολ-
λῶν γὰρ καὶ παντοδαπῶν κατοικούντων ξένων, καὶ διηλ-
λαγμένοις ἔθεσι χρωμένων περὶ τὸ ἱερὸν καὶ τὰς θυσίας,
καταλελύσθαι συνέβαινε παρ' αὐτοῖς τὰς πατρίους τῶν θεῶν
τιμάς. ὅπερ ὁι τῆς χώρας ἐγγενεῖς ὑπέλαβον, ἐὰν μὴ
τοὺς ἀλλοφύλους μεταστήσωνται, κρίσιν οὐκ ἔσεσθαι τῶν κα-
κῶν. εὐθὺς οὖν ξενηλατουμένων τῶν ἀλλοεθνῶν, ὁι μὲν
ἐπιφανέστατοι καὶ δραστικώτατοι συστραφέντες ἐξεῤῥίφησαν
(ὥς τινές φασιν) εἰς τὴν Ἑλλάδα, καί τινας ἑτέρους τό-
πους, ἔχοντες ἀξιολόγους ἡγεμόνας, ὧν ἡγοῦντο Δαναὸς καὶ
Κάδμος τῶν ἄλλων ἐπιφανέστατοι· ὁ δὲ πολὺς λεὼς ἐξέ-
πεσεν εἰς τὴν νῦν καλουμένην Ἰουδαίαν, οὐ πόῤῥω μὲν κει-
μένην τῆς Αἰγύπτου, παντελῶς δὲ ἔρημον οὖσαν κατ' ἐκεί-
νους τοὺς χρόνους. ἡγεῖτο δὲ τῆς ἀποικίας ὁ προσαγορευό-
μενος Μωσῆς, φρονήσει δὲ πολλῇ καὶ ἀνδρείᾳ πλεῖστον δια-
φέρων.

Diodor. Sic. Eclog. ex libr. XL. Ecl. I.

φέρων. οὗτος δὲ καταλαβόμενος τὴν χώραν, ἄλλας τε πόλεις ἔκτισε καὶ τὴν νῦν οὖσαν ἐπιφανεστάτην, ὀνομαζομένην Ἱεροσόλυμα. ἱδρύσατο δὲ καὶ τὸ μάλιστα παρ' αὐτοῖς τιμώμενον ἱερὸν, καὶ τὰς τιμὰς καὶ ἁγιστείας τοῦ θείου κατέδειξε, καὶ τὰ κατὰ τὴν πολιτείαν ἐνομοθέτησέ τε καὶ διέταξε. διεῖλε δὲ τὸ πλῆθος εἰς δώδεκα φυλὰς, διὰ τὸ τὸν ἀριθμὸν τοῦτον τελεώτατον νομίζεσθαι, καὶ σύμφωνον εἶναι τῷ πλήθει τῶν μηνῶν τῶν τὸν ἐνιαυτὸν συμπληρούντων. ἄγαλμα δὲ θεῶν τὸ σύνολον οὐ κατεσκεύασε, διὰ τὸ μὴ νομίζειν ἀνθρωπόμορφον εἶναι τὸν θεόν· ἀλλὰ τὸν περιέχοντα τὴν γῆν οὐρανὸν μόνον εἶναι θεὸν, καὶ τῶν ὅλων κύριον. τὰς δὲ θυσίας ἐξηλλαγμένας συνεστήσατο τῶν παρὰ τοῖς ἄλλοις ἔθνεσι, καὶ τὰς κατὰ τὸν βίον ἀγωγάς. διὰ γὰρ τὴν ἰδίαν ξενηλασίαν ἀπάνθρωπόν τινα καὶ μισόξενον βίον εἰσηγήσατο. ἐπιλέξας δὲ τῶν ἀνδρῶν τοὺς χαριεστάτους καὶ μάλιστα δυνησομένους τοῦ συμπαρόντος ἔθνους προΐστασθαι, τούτους ἱερεῖς ἀπέδειξε· τὴν δὲ τριβὴν ἔταξεν αὐτῶν γίνεσθαι περὶ τὸ ἱερὸν, καὶ τὰς τοῦ θεοῦ τιμάς τε καὶ θυσίας· τοὺς αὐτοὺς δὲ καὶ δικαστὰς ἀπέδειξε τῶν μεγίστων κρίσεων, καὶ τὴν τῶν νόμων καὶ τῶν ἐθῶν φυλακὴν τούτοις ἐπέτρεψε· διὸ καὶ βασιλέα μὲν μηδέποτε τῶν Ἰουδαίων [γενέσθαι φασι], τὴν δὲ τοῦ πλήθους προστασίαν δίδοσθαι διὰ παντὸς τῷ δοκοῦντι τῶν ἱερέων φρονήσει καὶ ἀρετῇ προέχειν. τοῦτον προσαγορεύουσιν ἀρχιερέα, καὶ νομίζουσιν αὐτοῖς ἄγγελον γίνεσθαι τῶν τοῦ θεοῦ προσταγμάτων. τοῦτον δὲ κατὰ τὰς ἐκκλησίας καὶ τὰς ἄλλας συνόδους φησὶν ἐκφέρειν τὰ παραγγελλόμενα· καὶ πρὸς τοῦτο τὸ μέρος οὕτως εὐπειθεῖς γενέσθαι τοὺς Ἰουδαίους, ὥστε παραχρῆμα πίπτοντας ἐπὶ τὴν γῆν, προσκυνεῖν τὸν τούτοις ἑρμηνεύοντα ἀρχιερέα. προσγέγραπται δὲ καὶ τοῖς νόμοις ἐπὶ τῆς τελευτῆς, ΟΤΙ ΜΩΣΗΣ ΑΚΟΥΣΑΣ ΤΟΥ ΘΕΟΥ, ΤΑΔΕ ΛΕΓΕΙ ΤΟΙΣ ΙΟΥΔΑΙΟΣ. ἐποιήσατο δ' ὁ νομοθέτης τῶν τε πολεμικῶν ἔργων πολλὴν πρόνοιαν, καὶ τοὺς νέους ἠνάγκαζε καρτερίαν τε καὶ ἀνδρείαν ἀσκεῖν, καὶ τὸ σύνολον πάσης ὑπομονὴν κακοπαθείας. ἐποιεῖτο δὲ καὶ στρατείας εἰς τὰ πλησιόχωρα τῶν ἐθνῶν· καὶ πολλὴν κατακτησάμενος χώραν, κατεκληρούχησε τοῖς μὲν ἰδιώταις ἴσους ποιήσας κλήρους, τοῖς δὲ ἱερεῦσι μείζονας

α λαμβάνοντες ἀξιολογώτέρας προσόδȣς, ἀπερίσπαςοι συ-χῶς προσεδρεύσωσι ταῖς τȣ̃ Θεȣ̃ τιμαῖς. ȣ̓κ ἐξῆν δὲ τοῖς ιώταις τȣ̀ς ἰδίȣς κλήρȣς πωλεῖν, ὅπως μή τινες διὰ πλεο-ξίαν ἀγοράζοντες τȣ̀ς κλήρȣς, ἐκθλίβωσι τȣ̀ς ἀπορωτέ-ȣς, καὶ κατασκευάζωσιν ὀλιγανδρίαν. τεκνοτροφεῖν τε νάγκαζε τȣ̀ς ἐπὶ τῆς χώρας· καὶ δι' ὀλίγης δαπάνης ἐκτρε-ομένων τῶν βρεφῶν, ἀεὶ τὸ γένος τῶν Ἰȣδαίων ὑπῆρχε ολυάνθρωπον. καὶ τὰ περὶ τȣ̀ς γάμȣς δὲ, καὶ τὰς τῶν ελευτώντων ταφὰς, πολὺ τὸ παρηλλαγμένον ἔχειν ἐποίη-ε νόμιμα πρὸς τὰ τῶν ἄλλων ἀνθρώπων. κατὰ δὲ τὰς ςερον γενομένας ἐπικρατείας ἐκ τῆς τῶν ἀλλοφύλων ἐπι-ιξίας, ἐπὶ τετάρτης τῶν Περσῶν ἡγεμονίας, καὶ τῶν ταύ-ην καταλυσάντων Μακεδόνων, πολλὰ τῶν πατρίων τοῖς Ιȣδαίοις νομίμων ἐκινήθη.

Πολλὰ μὲν μνήμης ἄξια συνέβη αὐτοῖς κατά τε τὴν Αιγυπτον καὶ Συρίαν καὶ Παλαιςίνην, δεινὰ δὲ ἔπασχον πὸ Ἀσσυρίων καὶ Βαβυλωνίων, ὅι τε Πέρσαι καὶ Μα-ιέδονες ἐτρύχωσαν αὐτȣ̀ς, καὶ μετ' ἐκείνȣς Ῥωμαῖοι. Πομπήϊος μὲν περικόψας τινα τῶν ἐξιδιαθέντων ὑπὸ τῶν Ιȣδαίων κατα βίαν, ἀπέδειξεν ... Ἡρώδη ... τὴν ἱε-ωσύνην· τῶν δ' ἀπὸ γένȣς τισὶν ὕςερον Ἡρώδης ἀνὴρ ἐπι-χώριος, παραδὺς εἰς τὴν ἱεροσύνην, τοσȣ̃τον διήνεγκε τῶν τρὸ αὐτȣ̃, καὶ μάλιςα τῇ πρὸς Ῥωμαίȣς ὁμιλίᾳ καὶ πο-ιτείᾳ, ὥς τε καὶ βασιλεὺς ἐχρημάτισε, δόντος τὸ μὲν τρῶτον Ἀντωνίȣ τὴν ἐξȣσίαν, ὕςερον δὲ καὶ Καίσαρος τȣ̃ Σεβαςȣ̃· τῶν δ' υἱῶν τȣ̀ς μὲν αὐτὸς ἀνεῖλεν, ὡς ἐπι-βȣλεύσαντας αὐτῷ· τȣ̀ς δὲ τελευτῶν διαδόχȣς ἀπέλιπε, μερίδας αὐτοῖς ἀποδȣ̀ς. Καῖσαρ δὲ καὶ τȣ̀ς υἱȣ̀ς ἐτίμησε τȣ̃ Ἡρώδȣ, καὶ τὴν ἀδελφὴν Σαλώμην, καὶ τὴν ταύτης θυγατέρα Βερενίκην· ȣ̓ μέν τοι ἐυτύχησαν ὁι παῖδες, ἀλλ' ἐν αἰτίαις ἐγένοντο· καὶ ὁ μὲν ἐν φυγῇ διετέλεσε, παρὰ τοῖς Ἀλλόβριξι Γαλάταις λαβὼν ὄικησιν· ὁι δὲ θε-ραπείᾳ πολλῇ μόλις ἕυροντο κάθοδον, τετραρχίας ἀποδο-θείσης ἑκατέρῳ. Strabo loc. cit.

Ὡς δὲ ὑπὸ τῶν Ἰȣδαίων κατὰ Ῥωμαίων ἐπανάςα-σις ἐγένετο, ὁ Τίτος, τῷ πρὸς αὐτȣ̀ς πολέμῳ ἐπιταχ-θεὶς, καθεῖλε τὰ Ἱεροσόλυμα. Ἀυτὸς μὲν ἐπεχείρησε τȣ̀ς Ἰȣδαίȣς λόγοις τισὶ καὶ ἐπαγγελίαις προσποιήσαθαι Dio Cassius lib. LXVI.

μὴ

μὴ πεισθεῖσι δὲ, ἐπολέμει. καὶ μάχαις μὲν πρώταις ἀγχώμαλα ἀγωνισάμενος, εἶτα κρατήσας, ἐπολιόρκει τὰ Ἱεροσόλυμα. ἦν δὲ τρία αὐτοῖς σὺν τῷ τοῦ νεὼ περιβόλῳ τείχη. οἵ τε οὖν Ῥωμαῖοι χώματά τε πρὸς τὸ τεῖχος ἐχώννυσαν, καὶ μηχανήματα προσῆγον, τούς τε ἐπεκθέοντας ὁμόσε ἰόντες ἀνέστελλον, καὶ τοὺς ἐπὶ τοῦ τείχους ὄντας σφενδόναις καὶ τοξεύμασιν ἀνεῖργον· συχνοὺς γὰρ καὶ παρὰ βαρβάρων τινῶν βασιλέων πεμφθέντας εἶχον· καὶ οἱ Ἰουδαῖοι, πολλοὶ μὲν αὐτόθεν, πολλοὶ δὲ καὶ παρὰ τῶν ὁμοήθων, οὐχ ὅτι ἐκ τῆς αὐτῆς τῶν Ῥωμαίων ἀρχῆς, ἀλλὰ καὶ ἐκ τῶν πέραν Εὐφράτου προσβεβοηθηκότες, βέλη τε καὶ αὐτοὶ καὶ λίθους, τοὺς μὲν ἐκ χειρὸς, τοὺς δὲ καὶ μηχαναῖς σφοδρότερον, ἅτε καὶ ἀφ' ὑψηλοῦ, ἔπεμπον. καὶ ἐπεξιόντες, ᾗ καιρὸς ἦν, νυκτός τε καὶ ἡμέρας, τὰς μηχανὰς ἐνεπίμπρασαν, συχνοὺς ἀπεκτείννυσαν, τόν τε χοῦν ὑπορύσσοντες ὑπὸ τὸ τεῖχος ὑφεῖλκον, καὶ τοὺς κριοὺς τοὺς μὲν βρόχοις ἀνεῖλκον, τοὺς δὲ ἁρπάγαις ἀνέσπων, ἑτέρων τὰς προσβολὰς σανίσι παχείαις, συμπεπηγμέναις τε καὶ σεσιδηρωμέναις, ἃς πρὸ τοῦ τείχους καθίεσαν, ἀπέστρεφον. τὸ δὲ δὴ πλεῖστον οἱ Ῥωμαῖοι τῇ ἀνυδρίᾳ ἐκακοπάθουν, καὶ φαῦλον καὶ πόρρωθεν ὕδωρ ἐπαγόμενοι· οἱ δὲ Ἰουδαῖοι διὰ τῶν ὑπονόμων ἴσχυον. ὀρωρυγμένους τε γὰρ αὐτοὺς ἔνδοθεν ὑπὸ τὰ τείχη μέχρι πόρρω τῆς χώρας εἶχον, καὶ δι' αὐτῶν διεξιόντες, τοῖς τε ὑδρευομένοις ἐπετίθεντο, καὶ τοὺς ἀποσκεδαννυμένους ἐλυμαίνοντο· οὓς ὁ Τίτος πάντας ἀνέφραξε.

cap. 5. Κἀν τοῖς ἔργοις τούτοις πολλοὶ ἐτιτρώσκοντο ἑκατέρων καὶ ἔθνησκον. καὶ ὁ Τίτος αὐτὸς λίθῳ τὸν ἀριστερὸν ὦμον ἐπλήγη, καὶ ἀπ' αὐτοῦ τὴν χεῖρα ἀσθενεστέραν ἔσχε. χρόνῳ δ' οὖν ποτε τοῦ ἔξω περιβόλου οἱ Ῥωμαῖοι ἐπέβησαν. ἐν μέσῳ δὲ τῶν δύο περιβόλων στρατοπεδευσάμενοι, πρὸς τὸ ἕτερον τεῖχος προσέβαλον. οὐ μέντοι καὶ ὁμοία ἡ πρόσμιξις σφίσιν ἐγίγνετο. ἀναχωρήσαντες γὰρ ἐς ἐκεῖνο πάντες, ῥᾷον (ἅτε καὶ ἐκ βραχυτέρας τῆς τοῦ κύκλου περιβολῆς) ἠμύνοντο. ὁ οὖν Τίτος κήρυγμα αὖθις, ἄδειαν αὐτοῖς διδοὺς, ἐποιήσατο. ἐκεῖνοί τε οὖν καὶ ὣς ἐκαρτέρουν. καὶ οἱ ἁλισκόμενοι, οἵ τε αὐτομολοῦντες σφῶν, τὸ ὕδωρ τῶν Ῥωμαίων λανθανόντως ἔφθειρον, καὶ τῶν ἀνθρώπων

οὓς

; πους μόνους ἀπολάβοιεν, ἔσφαζον. ὁ δὲ Τίτος οὐκέτ' ἕνα αὐτῶν ἐδέχετο. κἂν τούτῳ καὶ τῶν Ῥωμαίων τι-ς ἀδημονήσαντες, οἷα ἐν χρονίῳ πολιορκίᾳ, καὶ προσυ-οτοπήσαντες, ὅπερ ἐθρυλλεῖτο, ἀπόρθητον ὄντως τὴν πό-ιν εἶναι, μετέστησαν· καὶ αὐτοὺς ἐκεῖνοι, καίπερ σπανί-ιντες τῆς τροφῆς, περιεῖπον, ἐς ἐπίδειξιν τοῦ καὶ αὐτοὶ υτομόλους ἔχειν.

Διακοπέντος δὲ τοῦ τείχους μηχαναῖς, κατὰ μὲν τοῦτο cap. 6. δ' ὡς ἑάλωσαν, ἀλλὰ καὶ πάνυ πολλοὺς ἐσβιαζομένους πέκτειναν. ἐμπρήσαντες δέ τινα τῶν ἐγγὺς οἰκοδομημά-ων, ὡς καὶ ἐκ τούτου τοὺς Ῥωμαίους περαιτέρω, κἂν τοῦ ύκλου κρατήσωσι, προελθεῖν κωλύσοντες, τό, τε τεῖχος λυμήναντο, καὶ τὸν περίβολον τὸν περὶ τὸ τεμένισμα, κοντες συγκατέφλεξαν. καὶ ἀνεώχθη ἡ εἴσοδος ἡ ἐπὶ ὸν νεὼν τοῖς Ῥωμαίοις. οὐ μὴν καὶ παραχρῆμα, διὰ τὸ εισιδαιμονῆσαι, ἐσέδραμον· ἀλλ' ὀψέ ποτε, τοῦ Τίτου σφᾶς αταναγκάσαντος, εἴσω προεχώρησαν. καὶ αὐτοὺς οἱ Ἰου-αῖοι πολὺ προθυμότερον, ὥσπερ τι ἕρμαιον, τὸ πρός τε ῷ ναῷ, καὶ ὑπὲρ αὐτοῦ μαχόμενοι πεσεῖν, εὑρηκότες, ἠμύ-οντο· ὁ μὲν δῆμος κάτω ἐν τῷ προνάῳ, οἱ δὲ βουλευταὶ ν τοῖς ἀναβασμοῖς, οἱ θ' ἱερεῖς ἐν αὐτῷ τῷ μεγάρῳ τε-αγμένοι. καὶ οὐ πρότερόν γε ἐνικήθησαν, καίπερ ὀλίγοι ρὸς πολλῷ πλείους μαχόμενοι, πρὶν ὑποπρησθῆναί τι τοῦ εώ. τότε γὰρ ἐθελούσιοι, οἱ μὲν ξίφεσι σφᾶς τοῖς τῶν Ῥωμαίων περιέπειρον, οἱ δὲ ἀλλήλους ἐφόνευον, ἄλλοι ἑαυ-ὺς κατεχρῶντο, οἱ δὲ ἐς τὸ πῦρ ἐσεπήδων. καὶ ἐδόκει ᾶσι μὲν, μάλιστα δὲ ἐκείνοις, οὐχ ὅτι ὄλεθρος, ἀλλὰ καὶ ίκη καὶ σωτηρία, εὐδαιμονία τε εἶναι, ὅτι τῷ ναῷ συνα-όλλοιντο.

Ἑάλωσαν δ' οὖν καὶ ὡς ἄλλοι τε, καὶ ὁ Βαρπορᾶς cap. 7. ὁ ἄρχων αὐτῶν· καὶ μόνος γε οὗτος ἐν τοῖς ἐπινικίοις ἐκο-λάσθη. οὕτω μὲν τὰ Ἱεροσόλυμα ἐν αὐτῇ τῇ τοῦ Κρόνου ἡ-μέρᾳ, ἣν μάλιστα ἔτι καὶ νῦν Ἰουδαῖοι σέβουσιν, ἐξώλετο. καὶ ἀπ' ἐκείνου δίδραχμον ἐτάχθη, τοὺς τὰ πάτρια αὐτῶν ἔθη περιστέλλοντας τῷ Καπιτωλίῳ Διῒ κατ' ἔτος ἀποφέρειν. καὶ ἐπ' αὐτοῖς τὸ μὲν τοῦ αὐτοκράτορος ὄνομα ἀμφότεροι ἔλαβον, τὸ δὲ δὴ τοῦ Ἰουδαϊκοῦ οὐδ' ἕτερος ἔσχε, καίτοι τά τε ἄλλα αὐτοῖς, ὅσα ἐπὶ τηλικαύτῃ νίκῃ εἰκὸς ἦν, καὶ ἀ-ψῖδες τροπαιοφόροι ἐψηφίσθησαν.

Ἐις

Dio Cassius lib. LXIX. cap. 12. Ἐις δὲ τὰ Ἱεροσόλυμα πόλιν αὐτȣ̃ ἀντὶ τῆς κατασκαφείσης οἰκίσαντες, ἣν καὶ Αἰλίαν Καπιτωλίναν ὠνόμασε, καὶ ἐς τὸν τȣ̃ ναȣ̃ τȣ̃ Θεȣ̃ τόπον, ναὸν τῷ Διῒ ἕτερον ἀντεγείραντος, πόλεμος ȣ̓́τε μικρὸς ȣ̓́τ᾽ ὀλιγοχρόνιος ἐκινήθη. Ἰȣδαῖοι γὰρ, δεινόν τι ποιȣ́μενοι τὸ ἀλλοφύλȣς τινὰς ἐς τὴν πόλιν σφῶν οἰκισθῆναι, καὶ τὸ ἱερὰ ἀλλότρια ἐν αὐτῇ ἱδρυθῆναι, παρόντος μὲν ἔν τε τῇ Αἰγύπτῳ καὶ αὖθις ἐν τῇ Συρίᾳ τȣ̃ Ἀδριανȣ̃, ἡσύχαζον· πλὴν καθ᾽ ὅσον τὰ ὅπλα τὰ ἐπιταχθέντα σφίσιν ἧττον ἐπιτήδεια ἐξεπίτηδες κατεσκεύασαν, ὡς ἀποδοκιμασθεῖσιν αὐτοῖς ὑπ᾽ ἐκείνων χρήσασθαι. ἐπεὶ δὲ πόῤῥω ἐγένετο, φανερῶς ἀπέστησαν· καὶ παρατάξει μὲν φανερᾷ ȣ̓κ ἐτόλμων διακινδυνεῦσαι πρὸς τȣ̀ς Ῥωμαίȣς, τὰ δὲ τῆς χώρας ἐπίκαιρα κατελάμβανον, καὶ ὑπονόμοις καὶ τείχεσιν ἐκρατύνοντο, ὅπως ἀναφυγάς τε, ὁπόταν βιασθῶσιν, ἔχωσι, καὶ παρ᾽ ἀλλήλȣς ὑπὸ γῆν διαφοιτῶντες λανθάνωσι, διατιτράντες ἄνω τὰς ὑπογείȣς ὁδȣ̀ς, ἵνα καὶ ἄνεμον καὶ φέγγος εἰσδέχοιντο.

cap. 13. Καὶ τὸ μὲν πρῶτον ἐν ȣ̓δενὶ αὐτȣ̀ς λόγῳ οἱ Ῥωμαῖοι ἐποιȣ̃ντο· ἐπεὶ δ᾽ ἥ τε Ἰȣδαία πᾶσα κεκίνητο, καὶ οἱ ἀπανταχȣ̃ γῆς Ἰȣδαῖοι συνεταράττοντο καὶ συνῄεσαν, καὶ πολλὰ κακὰ ἐς τȣ̀ς Ῥωμαίȣς, τὰ μὲν λάθρα, τὰ δὲ καὶ φανερῶς ἐνεδείκνυντο, πολλοί τε ἄλλοι καὶ τῶν ἀλλοφύλων ἐπιθυμίᾳ κέρδȣς σφίσι συνελαμβάνοντο, καὶ πάσης, ὡς εἰπεῖν, κινȣμένης ἐπὶ τȣ́τῳ τῆς οἰκȣμένης· τότε δὴ τότε τȣ̀ς κρατίςȣς τῶν ςρατηγῶν ὁ Ἀδριανὸς ἐπ᾽ αὐτȣ̀ς ἔπεμψεν, ὧν πρῶτος Ἰȣ́λιος Σεβῆρος ὑπῆρχεν, ἀπὸ Βρετανίας, ἧς ἦρχεν, ἐπὶ τȣ̀ς Ἰȣδαίȣς ςαλείς. ὃς ἄντικρυς μὲν ȣ̓δαμόθεν ἐτόλμησε τοῖς ἐναντίοις συμβαλεῖν, τό, τε πλῆθος καὶ τὴν ἀπόγνωσιν αὐτῶν ὁρῶν· λαμβάνων δ᾽ ὡς ἑκάςȣς πλήθει τῶν ςρατιωτῶν καὶ τῶν ὑπάρχων, καὶ τροφῆς ἀπείργων καὶ κατακλείων, ἠδυνήθη βραδύτερον μὲν, ἀκινδυνώτερον δὲ κατατρίψαι καὶ ἐκτρυχῶσαι καὶ ἐκκόψαι αὐτȣ́ς.

cap. 14. Ὀλίγȣ δ᾽ ȣ̓̃ν κομιδῆ περιεγένοντο. καὶ φρȣ́ρια μὲν αὐτῶν πεντήκοντα τά γε ἀξιολογώτατα, κῶμαι δὲ ἐνακόσιαι καὶ ὀγδοήκοντα καὶ πέντε ὀνομαςόταται κατεσκάφησαν· ἄνδρες δὲ ὀκτὼ καὶ πεντήκοντα μυριάδες ἐσφάγησαν ἔν τε ταῖς καταδρομαῖς καὶ ταῖς μάχαις (τῶν τε γὰρ

ιὰ λιμῷ καὶ νόσῳ καὶ πυρὶ φθαρέντων τὸ πλῆθος ἀνεξερεύνητον ἦν·) ὥστε πᾶσαν ὀλίγου δεῖν τὴν Ἰουδαίαν ἐρημωθῆναι, καθάπερ που καὶ πρὸ τοῦ πολέμου αὐτοῖς προεδείχθη. τὸ γὰρ μνημεῖον τοῦ Σολομῶντος, ὃν ἐν τοῖς σεβασμίοις οὗτοι ἄγουσιν, ἀπὸ ταυτομάτου διελύθη τε καὶ συνέπεσε, καὶ λύκοι ὕαιναί τε πολλαὶ ἐς τὰς πόλεις αὐτῶν ἐσέπιπτον ὠρυόμεναι. πολλοὶ μέντοι ἐν τῷ πολέμῳ τούτῳ καὶ τῶν Ῥωμαίων ἀπώλοντο. διὸ καὶ ὁ Ἀδριανὸς γράφων πρὸς τὴν βουλὴν, οὐκ ἐχρήσατο τῷ προοιμίῳ τῷ συνήθει τοῖς αὐτοκράτορσιν, ὅτι, "Ει αὐτοί τε καὶ οἱ παῖδες ὑμῶν ὑγιαίνετε, εὖ ἂν ἔχοι· ἐγὼ καὶ τὰ στρατεύματα ὑγιαίνομεν."

X. DE REBUS PHOENICUM.

Ἡ μὲν ἀπὸ Ὀρθωσίας μέχρι Πελουσίου παραλία Φοινίκη καλεῖται, στενή τις καὶ ἁλιτενής. Ἐν τῇ Λαοδικείᾳ ἐστὶ ἤδη ἡ τῶν Ἀραδίων παλαιὰ Πάλτος, καὶ Κάρανος τὸ ἐπίνειον τῆς Ἀράδου, λιμένιον ἔχον, εἶτα Μάραδος, πόλις ἀρχαία Φοινίκων κατεσπασμένη. Τὴν δὲ χώραν Ἀράδιοι κατεκληρούχησαν, καὶ τὰ Σίμυρα τὸ ἐφεξῆς χωρίον· τούτοις δ' ἡ Ὀρθωσιὰς συνεχής ἐστι, καὶ ὁ Ἐλεύθερος ὁ πλησίον ποταμὸς, ὅν περ ὅριον ποιοῦνται τινὲς τῆς Σελευκίδος πρὸς τὴν Φοινίκην καὶ τὴν κοίλην Συρίαν. Πρόκειται δ' ἡ Ἄραδος ῥαχιώδους τινὸς καὶ ἀλιμένου παραλίας, μεταξὺ τοῦ τε ἐπινείου αὐτῆς μάλιστα, καὶ τῆς Μαράθου, διέχουσα τῆς γῆς σταδίους εἴκοσιν· ἐστι δὲ πέτρα περίκλυστος, ὅσον ἑπτὰ τὸν κύκλον σταδίων, πλήρης κατοικιῶν· τοσαύτῃ δ' εὐανδρίᾳ κέχρηται μέχρι καὶ νῦν, ὥστε πολυορόφους οἰκοῦσι τὰς οἰκίας· ἔκτισαν δ' αὐτὴν φυγάδες ὥς φασιν ἐκ Σιδῶνος· τὴν δ' ὑδρείαν τὴν μὲν ἐκ τῶν ὀμβρίων, καὶ λακκαίων ὑδάτων ἔχουσι, τὴν δ' ἐκ τῆς περαίας· ἐν δὲ τοῖς πολέμοις ἐκ τοῦ πόρου μικρὸν πρὸ τῆς πόλεως ὑδρεύονται, πηγὴν ἔχοντες ἀφθόνου ὕδατος· εἰς ἣν περικαταστρέφεται κλίβανος, καθεθεὶς ἀπὸ τοῦ ὑδρευομένου σκάφους μολυβοῦς, εὐρύστομος, εἰς πυθμένα συνηγμένος στενὸν, ἔχοντα τρῆμα μέτριον· τῷ δὲ (Strabo lib. XVI.)

δὲ πυθμένι περιέσφιγκται σωλὴν σκύτινος, εἴτε ἄσκωμα δεῖ λέγειν, ὁ δεχόμενος τὸ ἀναθλιβόμενον ἐκ τῆς πηγῆς διὰ τοῦ κλιβάνου ὕδωρ· τὸ μὲν οὖν πρῶτον ὕδωρ ἀναθλιβὲν τῆς θαλάττης ἐστί· περιμείναντες δὲ τὴν τοῦ καθαροῦ καὶ ποτίμου ὕδατος ῥύσιν, ὑπολαμβάνουσιν εἰς ἀγγεῖα παρασκευασμένα ὅσον ἂν δέῃ, καὶ πορθμεύουσιν εἰς τὴν πόλιν. Τὸ παλαιὸν μὲν οὖν οἱ Ἀράδιοι καθ' αὑτοὺς ἐβασιλεύοντο παραπλησίως, ὥσπερ καὶ τῶν ἄλλων ἑκάστη πόλεων τῶν Φοινικίδων· ἔπειτα τὰ μὲν οἱ Πέρσαι, τὰ δ' οἱ Μακεδόνες, τὰ δὲ νῦν Ῥωμαῖοι μετέθηκαν εἰς τὴν παροῦσαν τάξιν. Οἱ δ' οὖν Ἀράδιοι μετὰ τῶν ἄλλων Φοινίκων ὑπήκουον τῶν Συριακῶν βασιλέων ἅτε φίλων· ἔπειτα στασιασάντων ἀδελφῶν δυοῖν, τοῦ τε Καλλινίκου Σελεύκου, καὶ Ἀντιόχου τοῦ Ἱέρακος προσαγορευθέντος, προσθέμενοι τῷ Καλλινίκῳ, ποιοῦνται συμβάσεις, ὥστ' ἐξεῖναι δέχεσθαι τοὺς καταφεύγοντας ἐκ τῆς βασιλείας παρ' αὐτοὺς, καὶ μὴ ἐκδιδόναι ἄκοντας· μὴ μέντοι μηδ' ἐκπλεῖν ἐᾶν ἄνευ τοῦ ἐπιτρέψαι βασιλέα. Συνέβη δὲ ἐκ τούτου αὐτοῖς μεγάλα πλεονεκτήματα· οἱ γὰρ καταφεύγοντες ἐπ' αὐτοὺς οὐχ οἱ τυχόντες ἦσαν, ἀλλ' οἱ τὰ μέγιστα πεπιστευμένοι καὶ περὶ τῶν μεγίστων δεδιότες· ἐπιξενώμενοι δ' αὐτοῖς, εὐεργέτας ἡγοῦντο, καὶ σωτῆρας τοὺς ὑποδεξαμένους· ἀπεμνημόνευόν τε τὴν χάριν, καὶ μάλιστα ἐπανελθόντες εἰς τὴν οἰκείαν· ὥστ' ἐκ τούτου χώραν τε ἐκτήσαντο τῆς περαίας πολλὴν, ἧς τὴν πλείστην ἔχουσι καὶ νῦν, καὶ τἄλλα εὐθυνοῦν. Προσέθεσαν δὲ τῇ εὐτυχίᾳ ταύτῃ, καὶ πρόνοιαν καὶ φιλοπονίαν πρὸς τὴν θαλαττουργίαν· ὁρῶντες γε τοὺς γειτονεύοντας Κίλικας τὰ πειρατήρια συνισταμένους, οὐδ' ἅπαξ ἐκοινώνουν αὐτοῖς τῆς τοιαύτης ἐπιτηδεύσεως. Μετὰ δὲ Ὀρθωσίαν ἐστὶ καὶ τὸν Ἐλεύθερον Τρίπολις ἀπὸ τοῦ συμβεβηκότος τὴν ἐπίκλησιν εἰληφυῖα· τριῶν γάρ ἐστι πόλεων κτίσμα, Τύρου, Σιδῶνος, Ἀράδου· τῇ δὲ Τριπόλει συνεχές ἐστι τὸ τοῦ Θεοῦ πρόσωπον, εἰς ὃ τελευτᾷ ὁ Λίβανος τὸ ὄρος· μεταξὺ δὲ Τριήρης χωρίον τι· εἶτα Βύβλος.

Strabo. ibid. Ἡ μὲν οὖν Βύβλος τὸ τοῦ Κινύρου βασίλειον, ἱερά ἐστι τοῦ Ἀδώνιδος· ἣν τυραννουμένην ἠλευθέρωσε Πομπήϊος πελεκίσας ἐκεῖνον· κεῖται δ' ἐφ' ὕψους τινὸς μικρὸν ἄπωθεν τῆς θαλάττης. Εἶτα μετὰ ταύτην Ἄδωνις ποταμὸς

καὶ

ϗ ὄρος Κλίμαξ καὶ Βύβλος· εἶθ' ὁ Λύκος ποταμὸς ϗ Βηρυτός. αὕτη ἡ κατεσπάθη μὲν ὑπὸ Τρύφωνος, ἀνελήφθη δὲ νῦν ὑπὸ Ῥωμαίων, δεξαμένη δύο τάγματα, ἃ ἵδρυσεν Ἀγρίππας ἐνταῦθα, προσθεὶς ϗ τῆς Μαρσύου πολλήν, μέχρι ϗ τῶν τοῦ Ὀρόντου πηγῶν, αἳ πλησίον τοῦ τε Λιβάνου ϗ τοῦ Παραδείσου ϗ τοῦ Αἰγυπτίου τείχους περὶ τὴν Ἀπαμέων γῆν εἰσι. Μετὰ δὲ Βηρυτὸν ἔστι Σιδὼν ὅσον ἐν τετρακοσίοις σταδίοις· μεταξὺ δὲ ὁ Ταμύρας ποταμός, ϗ τὸ τοῦ Ἀσκληπιοῦ ἄλσος, ϗ Λεόντων πόλις. Μετὰ δὲ Σιδόνα μεγίστη τῶν Φοινίκων ϗ ἀρχαιοτάτη πόλις Τύρος ἐστίν, ἡ ἐνάμιλλος αὐτῇ κατά τε μέγεθος ϗ κατὰ τὴν ἐπιφάνειαν ϗ τὴν ἀρχαιότητα ἐκ πολλῶν μύθων παραδεδομένη. Οἱ μὲν οὖν ποιηταὶ τὴν Σιδόνα τεθρυλλήκασι μᾶλλον. Ὅμηρος δὲ οὐδὲ μέμνηται τῆς Τύρου. Αἱ δὲ εἰς Λιβύην ϗ τὴν Ἰβηρίαν ἀποικίαι, μέχρι ϗ ἔξω στηλῶν τὴν Τύρον πλέον ἐξυμνοῦσι μᾶλλον· ἀμφότεραι δ' οὖν ἔνδοξοι ϗ λαμπραὶ ϗ πάλαι ϗ νῦν· ὁποτέραν δ' ἄν τις εἴποι μητρόπολιν Φοινίκων, ἔρις ἐν ἀμφοτέραις ἐστίν. Ἡ μὲν οὖν Σιδὼν ἐπὶ εὐφυεῖ λιμένι γῆς ἠπείρου τὴν ἵδρυσιν ἔχει· Τύρος δ' ἐστὶν ὅλη νῆσος σχεδόν τι συνῳκισμένη παραπλησίως ὥσπερ ἡ Ἄραδος· συνῆπται δὲ χώματι πρὸς τὴν ἤπειρον, ὃ κατεσκεύασε πολιορκῶν Ἀλέξανδρος· δύο δ' ἔχει λιμένας, τὸν μὲν κλειστόν, τὸν δ' ἀνειμένον, ὃν Αἰγύπτιον καλοῦσιν· ἐνταῦθα δέ φασι πολυστέγους τὰς οἰκίας, ὥστε ϗ τῶν ἐν Ῥώμῃ μᾶλλον· διὸ ϗ σεισμοὺς γενομένους ἀπολιπεῖν μικρὸν τοῦ ἄρδην ἀφανίσαι τὴν πόλιν. Ἠτύχησε δὲ ϗ ὑπ' Ἀλεξάνδρου πολιορκίᾳ ληφθεῖσα· ἀλλὰ τῶν τοιούτων συμφορῶν κατέστη κρείττων, ϗ ἀνέλαβεν αὐτὴν τῇ τε ναυτιλίᾳ, καθ' ἣν ἁπάντων τῶν ἀεὶ κρείττους εἰσὶ κοινῇ Φοίνικες, ϗ τοῖς πορφυρίοις· πολὺ γὰρ ἐξήτασται πασῶν ἡ Τυρία καλλίστη πορφύρα· ϗ ἡ θήρα πλησίον, ϗ τἆλλα εὔπορα τὰ πρὸς βαφὴν ἐπιτήδεια· ϗ δυσδιάγωγον μὲν ποιεῖ τὴν πόλιν ἡ πολυπληθία τῶν βαφέων· πλουσίαν δὲ διὰ τὴν τοιαύτην ἀνδρίαν. Οὐχ ὑπὸ τῶν βασιλέων δ' ἐκρίθησαν αὐτόνομοι μόνον, ἀλλὰ ϗ ὑπὸ τῶν Ῥωμαίων, μικρὰ ἀναλώσαντες, βεβαιωσάντων τὴν ἐκείνων γνώμην. Τιμᾶται δὲ καθ' ὑπερβολὴν Ἡρακλῆς

ὑπ'

ὑπ' αὐτῶν. Τῆς δὲ περὶ τὰς ναυςολίας δυνάμεως, τὸ πλῆθος καὶ τὸ μέγεθος, τῶν ἀποικίδων ἐςὶ πόλεων τεκμήριον· ὗτοι μὲν ὖν τοιῦτοι. Σιδόνιοι δὲ πολύτεχνοί τινες παραδέδονται καὶ καλλίτεχνοι, καθάπερ καὶ ὁ ποιητὴς δηλοῖ· πρὸς δὲ καὶ φιλόσοφοι, περὶ τὴν ἀςρονομίαν καὶ τὴν ἀριθμητικήν, ἀπὸ τῆς λογιςικῆς ἀρξάμενοι, καὶ τῆς νυκτιπλοίας· ἐμπορικὸν γὰρ καὶ ναυκληρικὸν ἑκάτερον· καθάπερ καὶ τῶν Αἰγυπτίων εὕρημα γεωμετρίαν φασὶ, ἀπὸ τῆς χωρομετρίας, ἣν Νεῖλος ἀπεργάζεται, συγχέων τὰς ὅρυς κατὰ τὰς ἀναβάσεις. Τῦτο μὲν ὖν παρ' Αἰγυπτίων ἥκειν εἰς τὺς Ἕλληνας πεπιςεύκασιν· ἀςρονομίαν δὲ καὶ ἀριθμητικὴν παρὰ Φοινίκων· νυνὶ δὲ πάσης καὶ τῆς ἄλλης φιλοσοφίας εὐπορίαν, πολὺ πλείςην λαβεῖν ἐςιν ἐκ τύτων τῶν πόλεων. Ἐι δὲ δεῖ Ποσειδωνίῳ πιςεῦσαι, καὶ τὸ περὶ τῶν ἀτόμων δόγμα παλαιὸν ἐςὶν ἀνδρὸς Σιδονίυ, Μόσχυ, πρὸ τῶν Τρωικῶν χρόνων γεγονότος· τὰ μὲν ὖν παλαιὰ ἐάσθω. καθ' ἡμᾶς δὲ ἐκ Σιδόνος μὲν ἔνδοξοι φιλόσοφοι γεγόνασι, Βοηθός τε ᾧ συνεφιλοσοφήσαμεν ἡμεῖς τὰ Ἀριςοτέλεια, καὶ Διόδοτος ἀδελφὸς αὐτῦ· ἐκ Τύρυ δὲ Ἀντίπατρος, καὶ μικρὸν πρὸ ἡμῶν Ἀπολλώνιος ὁ τὸν πίνακα ἐκθεὶς τῶν ἀπὸ Ζήνωνος φιλοσόφων καὶ τῶν βιβλίων. Διέχει δὲ τῆς Σιδόνος ἡ Τύρος ὐ πλείυς τῶν διακοσίων ςαδίων. Ἐν δὲ τῷ μεταξὺ πολίχνιον, Ὀρνίθων πόλις λεγομένη· εἶτα πρὸς Τύρῳ ποταμὸς ἐξίησι. Μετὰ δὲ τὴν Τύρον ἡ Παλαίτυρος ἐν τριάκοντα ςαδίοις. Ἐιθ' ἡ Πτολεμαΐς ἐςι μεγάλη πόλις, ἣν Ἄκην ὠνόμαζον πρότερον· ᾗ ἐχρῶντο ὁρμητηρίῳ πρὸς τὴν Ἄιγυπτον οἱ Πέρσαι. Μεταξὺ δὲ τῆς Ἄκης καὶ Τύρυ, θινώδης αἰγιαλός ἐςιν ὁ φέρων τὴν ὑαλίτην ἄμμον· ἐνταῦθα μὲν ὖν μὴ χεῖσθαι· κομισθεῖσαν δὲ εἰς Σιδόνα τὴν χωνείαν διέχεσθαι· τινὲς δὲ καὶ τοῖς Σιδονίοις εἶναι τὴν ὑαλῖτιν ψάμμον ἐπιτηδείαν εἰς χύσιν· οἱ δὲ πᾶσαν πανταχῦ κινεῖσθαι φασίν. Ἤκυσα δ' ἐν τῇ Ἀλεξανδρείᾳ παρὰ τῶν ὑαλυργῶν, εἶναί τινα καὶ κατ' Ἄιγυπτον ὑαλίτην γῆν, ἧς χωρὶς ὐχ οἷόν τε τὰς πολυχρόυς καὶ πολυτελεῖς κατασκευὰς ἀποτελεσθῆναι· καθάπερ καὶ ἐν ἄλλοις ἄλλων μιγμάτων δεῖν· καὶ ἐν Ῥώμῃ δὲ πολλὰ παρευρίσκεσθαι φασὶ, καὶ πρὸς τὰς χρόας καὶ πρὸς ῥαςώνην τῆς κατασκευῆς, καθάπερ ἐπὶ τῶν κρυςαλλο-

φανῶν

νῶν· ὅπȣ γε καὶ τρυβλίον χαλκȣ̃ν πριάσθαι καὶ ἐκπωμά-
ν ἐςίν. Ἱςορεῖται δὲ παράδοξον πάθος τῶν πάνυ σπανίων,
τὰ τὸν αἰγιαλὸν τȣ̃τον τὸν μεταξὺ τῆς τε Τύρȣ καὶ τῆς
τολεμαΐδος. Καθ' ὃν γὰρ καιρὸν οἱ Πτολεμαεῖς μάχην
ἤψαν πρὸς Σαρπηδόνα τὸν ςρατηγὸν ἐν τῷ τόπῳ τȣ-
, τροπῆς γενομένης λαμπρᾶς, ἐπέκλυσεν ἐκ τȣ̃ πελά-
ς κῦμα τȣ̀ς Φεύγοντας ὅμοιον πλημμυρίδι· καὶ τȣ̀ς μὲν
τὸ πέλαγος ἀφήρπασε καὶ διέφθειρεν· οἱ δ' ἐν τοῖς
λοις τόποις ἔμειναν νεκροί· διαδεξαμένη δὲ ἡ ἄμπωτις
λιν ἀνεκάλυψε, καὶ ἔδειξε τὰ σώματα τῶν κειμένων
αμὶξ ἐν νεκροῖς ἰχθύσι. Τοιαῦτα δὲ καὶ περὶ τὸ Κά-
ν συμβαίνει τὸ πρὸς Αἰγύπτῳ· σπασμῷ τινὶ ὀξεῖ καὶ
λῷ περιπιπτȣ́σης τῆς γῆς, καὶ εἰς ἕτερον μεταβαλλο-
νης ἅπαξ· ὥςε τὸ μὲν μετεωρισθὲν αὐτῆς μέρος ἐπάγειν
ν θάλατταν, τὸ δὲ συνεζῆσαν δέξασθαι· τραπομένης δὲ
ν ἀρχαίαν πάλιν ἕδραν ἀπολαβεῖν τὸν τόπον· ποτὲ μὲν
καὶ ἐξαλλάξεώς τινος γενομένης, ποτὲ δ' ȣ̓· τάχα
ἐν περιόδοις τισὶν ἐνδεδεμένων τῶν τοιȣ́των παθῶν, ἀδή-
ως ἡμῖν, καθάπερ τȣ̃το καὶ ἐπὶ τῶν κατὰ τὸν Νεῖλον
ναβάσεων λέγεται διαφόρων γινομένων, ἄδηλον δὲ τὴν
άξιν ἐχȣσῶν. Μετὰ δὲ τὴν Ἄκην, Στράτωνος πύργος
ρόσορμον ἔχων. Μεταξὺ δὲ ὅ, τε Κάρμηλος τὸ ὄρος,
αὶ πολιχνίων ὀνόματα, πλέον δ' ȣ̓δὲν Συκαμίνων πόλις,
ȣκόλων καὶ Κροκοδείλων πόλις, καὶ ἄλλα τοιαῦτα· εἶτα
ρυμὸς μέγας τις. Εἶτα Ἰόππη, καθ' ἣν ἡ ἀπὸ τῆς
Αἰγύπτȣ παραλία σειμηνωδῶς ἐπὶ τὴν ἄρκτον κάμπτεται,
ρότερον ἐπὶ τὴν ἕω τεταμένη. Ἐνταῦθα δὲ μυθεύȣσί
ινες τὴν Ἀνδρομέδαν ἐκτεθῆναι τῷ κήτει· ἐν ὕψει γάρ
ςιν ἱκανῶς τὸ χωρίον, ὥς' ἀφορᾶσθαι Φασὶν ἀπ' αὐτȣ̃
ὰ Ἱεροσόλυμα τὴν τῶν Ἰȣδαίων μητρόπολιν· καὶ δὴ καὶ
πινείῳ τȣ́τῳ κέχρηνται, καταβάντες μέχρι θαλάττης οἱ
Ἰȣδαῖοι· τὰ δ' ἐπίνεια τῶν λῃςῶν λῃςήρια δηλονότι ἐςί.
Τȣ́των δὲ καὶ ὁ Κάρμηλος ὑπῆρξε, καὶ ὁ δρυμός· καὶ
ὴ καὶ εὐάνδρησεν ȣ̃τος ὁ τόπος, ὥς' ἐκ τῆς πλησίον κώ-
μης Ἰαμνείας, καὶ τῶν κατοικιῶν τῶν κύκλῳ τέτταρας
μυριάδας ὁπλίζεσθαι. Εἰσὶ δ' ἐντεῦθεν εἰς τὸ Κάσιον τὸ
πρὸς Πηλȣσίῳ μικρῷ πλείȣς ἢ μύριοι ςάδιοι· τριακόσιοι δ'
ἄλλοι πρὸς αὐτὸ τὸ Πηλȣ́σιον. Ἐν δὲ τῷ μεταξὺ, καὶ
ἡ

ἡ Γάδαρίς ἐςιν, ἣν καὶ ἀυτὴν ἐξιδιάσαντο ὁι Ἰȣδαῖοι· ἐιτ' Ἄζωτὸς καὶ Ἀσκάλων. Ἀπὸ δὲ Ἰαμνείας ἐις Ἄζωτὸν, καὶ Ἀσκάλωνα ἐισὶν ὅσον διακόσιοι ςάδιοι. Κρομμύων δ' ἀγαθός ἐςιν ἡ χώρα τῶν Ἀσκαλωνειτῶν, πόλισμα δὲ μικρόν. Ἐντεῦθεν ἦν Ἀντίοχος ὁ Φιλόσοφος, μικρὸν πρὸ ἡμῶν γεγονώς. Ἐκ δὲ τῶν Γαδάρων Φιλόδημός τε ὁ Ἐπικȣ́ρειος γεγονὼς, καὶ Μελέαγρος, καὶ Μένιππος ὁ σπȣδογελοῖος; καὶ Θεόδωρος ὁ καθ' ἡμᾶς ῥήτωρ· ἐιθ' ὁ τῶν Γαζαίων λιμὴν πλησίον· ὑπέρκειται δὲ καὶ ἡ πόλις ἐν ἑπτὰ ςαδίοις, ἔνδοξός ποτε γενομένη, κατεσπασμένη δὲ ὑπὸ Ἀλεξάνδρȣ, καὶ μένȣσα ἔρημος. Ἐντεῦθεν δ' ὑπέρβασις λέγεται χιλίων διακοσίων ἑξήκοντα ςαδίων ἐις Ἄειλαν πόλιν ἐπὶ τῷ μυχῷ τȣ̃ Ἀραβίȣ κόλπȣ κειμένην· διττὸς δ' ἐςίν· ὁ μὲν ἐις ἔχων τὸ πρὸς τῇ Ἀραβίᾳ, καὶ τῇ Γαζῇ μέρος ὃν Ἐλανίτην προσαγορέυȣσιν ἀπὸ τῆς ἐν ἀυτῷ πόλεως· δ' ἐις τὸ πρὸς Ἀιγύπτῳ κατὰ τὴν Ἡρώων πόλιν, ἐις ὃν ἐκ Πηλȣσίȣ ἡ ὑπέρθεσις ἐπιτομωτέρα, δι' ἐρήμων δὲ καὶ ἀμμωδῶν χωρίων ἀι ὑπερβάσεις ἐπὶ καμήλων· πολὺ δὲ καὶ τὸ τῶν ἑρπετῶν ἐν ἀυταῖς πλῆθος. Μετὰ δὲ Γάζαν, Ῥαφίȣ, ἐν ᾗ μάχη συνέβη Πτολεμαίῳ τε τῷ τετάρτῳ καὶ Ἀντιόχῳ τῷ μεγάλῳ. Ἐιτα Ῥινοκόλȣρα, ἀπὸ τῶν ἐισῳκισμένων τὰς ῥίνας ȣ̃τω καλȣμένη· τῶν γὰρ Ἀιθιόπων τὶς ἐπελθὼν ἐπὶ τὴν Ἄιγυπτον, ἀντὶ τȣ̃ ἀναιρεῖν τȣ̀ς κακȣ́ργȣς, ἀποτέμνων τὰς ῥίνας ἐνταῦθα κατῴκισεν, ὡς ȣ̓κ ἂν ἔτι τολμήσοντας ἀνελθεῖν, διὰ τὴν ἀισχύνην τῆς ὄψεως. Καὶ ἅυτη μὲν ȣ̃ν ἡ ἀπὸ Γάζης λυπρὰ πᾶσα καὶ ἀμμώδης· ἔτι δὲ μᾶλλον ἐφεξῆς τοιαύτην ὑπερκειμένην ἔχȣσα τὴν Σιρβωνίδα λίμνην παράλληλον πρὸς τῇ θαλάττῃ μικρὰν δίοδον ἀπολίπȣσαν μεταξὺ, μέχρι τȣ̃ Ἐκρήγματος καλȣμένȣ, μῆκος ὅσον διακοσίων ςαδίων· πλάτος δὲ τὸ μέγιςον πεντήκοντα· τὸ δ' Ἔκρηγμα συγκέχωσται. Ἐιτα συνεχὴς ἄλλη τοσαύτη ἡ ἐπὶ τὸ Κάσιον, κἀκεῖθεν ἐπὶ τὸ Πηλȣ́σιον. Ἔςι δὲ τὸ Κάσιον θινώδης τὶς λόφος ἀκρωτηριάζων, ἄνυδρος, ὅπȣ τȣ̃ Πομπηΐȣ τȣ̃ Μάγνȣ σῶμα κεῖται, καὶ Διός ἐςιν ἱερὸν Κασίȣ· πλησίον δὲ καὶ ἐσφάγη ὁ Μάγνος δολοφονηθεὶς ὑπὸ τῶν Ἀιγυπτίων. Ἐιτ' ἐπὶ Πηλȣ́σιον ὁδὸς, ἐν ᾗ τὰ Γέῤῥα, καὶ ὁ Χαβρίȣ λεγόμενος

νος χάραξ, καὶ τὰ πρὸς τῷ Πηλεσίῳ βάραθρα, ἅπαιεῖ
παρεκχεόμενος Νεῖλος, φύσει κοίλων καὶ ἑλωδῶν ὄντων
ν τόπων. Τοιαύτη μὲν ἡ Φοινίκη. [illegible]

Φοίνικας δὲ φασὶ ἀπὸ τῆς Ἐρυθρῆς καλεομένης θα- Herodotus, lib. I. cap. 1.
σσης ἀπικομένες ἐπὶ τήνδε τὴν θάλασσαν, καὶ οἰκήσαν-
ς τῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰκέουσι, αὐτίκα ναυτι-
ῃσι μακρῇσι ἐπιθέσθαι.

Ἄλλαι μὲν ἐν τῷ Περσικῷ κόλπῳ νῆσοι Τύρος καὶ Strabo, lib. XVI.
ραδός εἰσιν, ἱερὰ ἔχουσαι τοῖς Φοινικικοῖς ὅμοια· καί φα-
γε οἱ ἐν αὐταῖς οἰκῦντες τὰς ὁμωνύμους τῶν Φοινίκων
σας καὶ πόλεις ἀποίκους ἑαυτῶν.

Φοίνικες ἐκ παλαιῶν χρόνων συνεχῶς πλέοντες κατ' Diod. Sic. lib. V. cap. 20.
πορίαν, πολλὰς μὲν κατὰ τὴν Λιβύην ἀποικίας ἐκτίσαν-
, ὐκ ὀλίγας δὲ καὶ τῆς Εὐρώπης ἐν τοῖς πρὸς δύσιν
κλιμένοις μέρεσι. τῶν δ' ἐπιβολῶν αὐτοῖς κατὰ νῦν
σχωρυσῶν, πλύτυς μεγάλυς ἤθροισαν, καὶ τὴν ἐκτὸς
ρακλείων σηλῶν ἐπεβάλοντο πλεῖν, ἣν ὠκεανὸν ὀνομά-
σι. καὶ πρῶτον μὲν ἐπ' αὐτῷ τῷ κατὰ τὰς σήλας πόρῳ
ὀλιν ἔκτισαν ἐπὶ τῆς Εὐρώπης, ἣν οὖσαν χερρόνησον προση-
όρευσαν Γάδειρα· ἐν ᾗ τάτε ἄλλα κατεσκεύασαν οἰκεῖα
ῖς τόποις, καὶ ναὸν Ἡρακλέυς πολυτελῆ, καὶ θυσίας κα-
έδειξαν μεγαλοπρεπεῖς, τοῖς τῶν Φοινίκων ἔθεσι διοικυμέ-
ς. τὸ δὲ ἱερὸν συνέβη τῦτο καὶ τότε καὶ κατὰ τὰς νεω-
ὲρυς χρόνυς τιμᾶσθαι περιττότερον, μέχρι τῆς καθ' ἡμᾶς
λικίας. Πολλοὶ δὲ καὶ τῶν Ῥωμαίων ἐπιφανεῖς ἄνδρες,
αὶ μεγάλας πράξεις κατειργασμένοι, ἐποιήσαντο μὲν τῷ
ν τῷ Θεῷ εὐχὰς, συνετέλεσαν δ' αὐτὰς μετὰ τὴν συν-
έλειαν τῶν κατορθωμάτων. οἱ δ' ὖν Φοίνικες διὰ τὰς
οειρημένας αἰτίας ἐρευνῶντες τὴν ἐκτὸς τῶν σηλῶν πα-
αλίαν, καὶ παρὰ τὴν Λιβύην πλέοντες, ὑπ' ἀνέμων με-
άλων ἀπηνέχθησαν ἐπὶ πολὺν πλῦν δι' ὠκεανῦ. χειμα-
έντες δ' ἐπὶ πολλὰς ἡμέρας, προσηνέχθησαν τινὶ νήσῳ.
ἀπέχει δὲ πλῦν ἀπὸ τῆς Λιβύης ἡμερῶν πλειόνων, κεκλι- cap. 19.
ένη πρὸς τὴν δύσιν, ἔχει δὲ χώραν καρποφόρον, πολλὴν
ὲν ὀρεινὴν, ὐκ ὀλίγην δὲ πεδιάδα, κάλλει διαφέρυσαν.
αῤῥεομένη γὰρ ποταμοῖς πλωτοῖς, ἐκ τύτων ἀρδεύεται, καὶ
ολλὰς μὲν ἔχει παραδείσυς καταφύτυς παντοίοις δένδρεσι,
αμπληθεῖς δὲ κηπείας, διειλημμένας ὕδασι γλυκέσιν. ἐπαύ-

 λεις

λεις δὲ πολυτελεῖς ταῖς κατασκευαῖς ὑπάρχουσιν ἐν αὐτ
καὶ κατὰ τὰς κηπείας κατεσκευασμένα κωθωνιστήρια, τ
διάθεσιν ἀνθηρὰν ἔχοντα, ἐν οἷς οἱ κατοικοῦντες κατὰ τ
θερινὴν ὥραν ἐνδιατρίβουσι, δαψιλῶς τῆς χώρας χορηγού
τὰ πρὸς τὴν ἀπόλαυσιν καὶ τρυφήν. ἥ τε ὀρεινὴ δρυμ
ἔχει πυκνοὺς καὶ μεγάλους, καὶ δένδρα παντοδαπὰ καρπ
φόρα, καὶ πρὸς τὰς ἐν τοῖς ὄρεσι διαίτας ἔχοντα συνα
κείας καὶ πηγὰς πολλάς. καθόλου δὲ ἡ νῆσος αὕτη κ
τάρρυτός ἐστι ναματιαίοις καὶ γλυκέσιν ὕδασι, δι' ὧν οὐ μ
νον ἀπόλαυσις ἐπιτερπὴς γίνεται τοῖς ἐμβιοῦσιν ἐν αὐτ
ἀλλὰ καὶ πρὸς ὑγίειαν καὶ ῥώμην σωμάτων συμβάλλετ
κυνήγια τε δαψιλῆ παντοίων ζώων καὶ θηρίων ὑπάρχ
καὶ τούτων ἐν ταῖς εὐωχίαις εὐποροῦντες, οὐδὲν ἐλλιπ
ἔχουσι τῶν πρὸς τὴν τρυφὴν καὶ πολυτέλειαν ἀνηκόντ
καὶ γὰρ ἰχθύων ἔχει πλῆθος ἡ προσκλύζουσα τῇ νήσῳ θά
λασσα, διὰ τὸ φύσει τὸν ὠκεανὸν πανταχοῦ πληθύειν πα
τοδαπῶν ἰχθύων. καθόλου δὲ ἡ νῆσος αὕτη, τὸν περιε
μενον ἀέρα παντελῶς εὔκρατον ἔχουσα, τὸ πλεῖον μέρ
τοῦ ἐνιαυτοῦ φέρει πλῆθος ἀκροδρύων καὶ τῶν ἄλλων τῶ
ὡραίων· ὥστε δοκεῖν ταύτην ὡσεὶ θεῶν τινῶν, οὐκ ἀνθρώπ
ὑπάρχειν ἐμβιωτήριον, διὰ τὴν ὑπερβολὴν τῆς εὐδαιμο
Κατὰ μὲν οὖν τοὺς παλαιοὺς χρόνους ἀνεύρετος ἦν, διὰ τ
ἀπὸ τῆς ὅλης οἰκουμένης ἐκτοπισμόν. οἱ δὲ Φοίνικες τὴ
εὐδαιμονίαν αὐτῆς καὶ τὴν φύσιν κατοπτεύσαντες, ἅπασι
γνώριμον ἐποίησαν. διὸ καὶ Τυῤῥηνῶν θαλαττοκρατούντων,
καὶ πέμπειν εἰς αὐτὴν ἀποικίαν ἐπιβαλομένων, διεκώλυσαν
αὐτοὺς Καρχηδόνιοι, ἅμα μὲν εὐλαβούμενοι μὴ διὰ τὴν ἀρε-
τὴν τῆς νήσου πολλοὶ τῶν ἐκ τῆς Καρχηδόνος εἰς ἐκείνην
μεταστῶσιν, ἅμα δὲ πρὸς τὰ παράβολα τῆς τύχης κατασκε-
υαζόμενοι καταφυγήν, εἴ τι περὶ τὴν Καρχηδόνα ὁλοσχε-
ρὲς πταῖσμα συμβαίνοι. δυνήσεσθαι γὰρ αὐτοὺς θαλαττο-
κρατοῦντας ἀπᾶραι πανοικίους εἰς ἀγνοουμένην ὑπὸ τῶν ὑπερ-
εχόντων νῆσον.

Herodotus, lib. IV. c. 42.

Νεκῶς, ὡς φασί, ἀπέπεμψε Φοίνικας ἄνδρας πλοί-
οισι, ἐντειλάμενος ἐς τὸ ὀπίσω δι' Ἡρακληΐων στηλέων ἀπο-
πλέειν ἕως ἐς τὴν βορηΐην θάλασσαν, καὶ οὕτω ἐς Αἴγυ-
πτον ἀπικνέεσθαι. ὁρμηθέντες ὦν οἱ Φοίνικες ἐκ τῆς Ἐρυ-
θρῆς θαλάσσης, ἔπλεον τὴν νοτίην θάλασσαν· ὅκως δὲ
γένοιτο

νοιτο φθινόπωρον, προσχόντες ἂν σπείρεσκον τὴν γῆν, ἑκάστοτε τῆς Λιβύης πλέοντες γενοίατο, καὶ μένεσκον ἀμητόν· θερίσαντες δ' ἂν τὸν σῖτον, ἔπλεον· ὥστε δύο έων διεξελθόντων, τρίτῳ ἔτεϊ κάμψαντες Ἡρακληΐας λας, ἀπίκοντο ἐς Αἴγυπτον. καὶ ἔλεγον ἐμοὶ μὲν ἐ τὰ, ἄλλῳ δὲ δή τεῳ, ὡς περιπλώοντες τὴν Λιβύην, τὸν ιον ἔσχον ἐς τὰ δεξιά.

Καὶ συνεχῶς πλέοντες κατ' ἐμπορίαν προσώκειλον χηρῶς τῷ αἰγιαλῷ τῶν Καττιτερίδων· περὶ ὧν Ἡρόδοτος ἐδὲν ἀκριβὲς ἠδύνατο γινώσκειν. Φησὶ γὰρ· περὶ τῶν τῇ Εὐρώπῃ τῶν πρὸς ἑσπέρην ἐσχατιέων ἔχω μὲν ἐκ ρεκέως λέγειν· ἔτε γὰρ ἔγωγε ἐνδέκομαι Ἠριδανόν τινα λέεσθαι πρὸς βαρβάρων ποταμὸν, ἐκδιδόντα ἐς θάλασσαν πρὸς βορῆν ἄνεμον, ἀπ' ὅτευ τὸ ἤλεκτρον φοιτᾷν λόγος ἐστὶ, ἔτε νήσες οἶδα Κασσιτερίδας ἐέσας, ἐκ τῶν ὁ σσίτερος ἡμῖν φοιτᾷ. τῦτο μὲν γὰρ, ὁ Ἠρίδανος αὐτὸ κατηγορέει τὸ ἔνομα, ὡς ἐστι Ἑλληνικὸν, καὶ ἐ βαρβαρικὸν, ὑπὸ ποιητέω δέ τινος ποιηθέν· τῦτο δὲ, ἐδενὸς αὐτόπτεω γενομένε ἐ δύναμαι ἀκῦσαι τῦτο μελετῶν, ὅκως άλασσά ἐστι τὰ ἐπέκεινα τῆς Εὐρώπης. ἐξ ἐσχάτης δ' ὅ, τε κασσίτερος ἡμῖν φοιτᾷ καὶ τὸ ἤλεκτρον. *Herodotus, lib. III. c. 115.*

Στραβὼν δὲ λέγει περὶ τῶν Κασσιτερίδων· δέκα μέν σι νῆσοι, κεῖνται δ' ἐγγὺς ἀλλήλων, πρὸς ἄρκτον ἀπὸ τῦ ὢν Ἀρτάβρων λιμένος πελαγίαι· μία δ' αὐτῶν ἔρημός ἐστι· ὰς δ' ἄλλας οἰκῦσιν ἄνθρωποι μελάγχλαινοι, ποδήρεις ἐνεδηκότες τὰς χιτῶνας, ἐζωσμένοι περὶ τὰ στέρνα, μετὰ άβδων περιπατῦντες, ὅμοιοι ταῖς τραγικαῖς Ποιναῖς. ζῶ- ι δ' ἀπὸ βοσκημάτων νομαδικῶς τὸ πλέον· μέταλλα δὲ χοντες καττιτέρε καὶ μολύβδε, κέραμον ἀντὶ τέτων καὶ ῶν δερμάτων διαλλάττονται, καὶ ἅλας, καὶ χαλκώματα ρὸς τὰς ἐμπόρας. Πρότερον μὲν ἦν Φοίνικες μόνοι τὴν μπορίαν ἔστελλον ταύτην ἐκ τῶν Γαδείρων, κρύπτοντες ἅπασι τὸν πλῦν· τῶν δὲ Ῥωμαίων ἐπακολεθέντων ναυκλήρῳ τινὶ, ὅπως καὶ αὐτοὶ γνοῖεν τὰ ἐμπορεῖα, φθόνῳ ὁ ναύκληρος ἑκὼν εἰς τέναγος ἐξέβαλε τὴν ναῦν· ἐπαγαγὼν ' εἰς τὸν αὐτὸν ὄλεθρον καὶ τὰς ἑπομένας, αὐτὸς ἐσώθη ιὰ ναυαγίε, καὶ ἀπέλαβε δημοσίαν τὴν τιμὴν ὧν ἀπέβαλε φορτίων. Οἱ Ῥωμαῖοι δὲ ὅμως πειρώμενοι πολλάκις, ἐξέμαθον *Strabo, lib. III.*

μαθον τὸν πλȣ̃ν· ἐπειδὴ δὲ καὶ Πόπλιος Κράσσος διαβὰς ἐπ' αὐτȣ̀ς ἔγνω τὰ μέταλλα ἐκ μικρȣ̃ βάθȣς ὀρυττόμενα, καὶ τȣ̀ς ἄνδρας εἰρηναίȣς ἐκ περιȣσίας ἤδη τὴν θάλατταν ἐργάζεσθαι, ταύτην τοῖς ἐθέλȣσιν ἐπέδειξε· καίπερ ȣ̃σαν πλείω τῆς διεργȣ́σης εἰς τὴν Βρεταννικήν.

Ἐκτὸς τῶν κατὰ τὴν Ἀσίαν ἀποικιῶν ȣ̓κ ὀλίγας κατὰ τὴν Εὐρώπην καὶ τὴν Λιβύην ἐποιήσαντο οἱ Φοίνικες.

Herodotus, lib. I. cap. 1. Ἀπαγινέοντας δὲ Φορτία Αἰγύπτιά τε καὶ Ἀσσύρια, τῇ τε ἄλλῃ χώρῃ ἐσαπικνέεσθαι αὐτȣ̀ς καὶ δὴ καὶ ἐς Ἄργος, Φασὶν Ἡρόδοτος. (τὸ δὲ Ἄργος τȣ̃τον τὸν χρόνον προεῖχεν ἅπασι τῶν ἐν τῇ νῦν Ἑλλάδι καλεομένῃ χώρῃ.)

Idem lib. V. c. 58. Ἄλλοι δὲ σὺν Κάδμῳ ἐς γῆν τὴν νῦν Βοιωτίην καλεομένην ἀπικόμενοι, ἐσήγαγον διδασκάλια ἐς τȣ̀ς Ἕλληνας, καὶ δὴ καὶ γράμματα, ȣ̓κ ἐόντα πρὶν Ἕλλησι, ὡς ἐμοὶ δοκέειν πρῶτα μὲν, τοῖσι καὶ ἅπαντες χρέωνται Φοίνικες· μετὰ δὲ, χρόνȣ προβαίνοντος, ἅμα τῇ Φωνῇ μετέβαλον καὶ τὸν ῥυθμὸν τῶν γραμμάτων· περιοίκεον δέ σφεας τὰ πολλὰ τῶν χώρων τȣ̃τον τὸν χρόνον Ἑλλήνων Ἴωνες· οἱ παραλαβόντες διδαχῇ παρὰ τῶν Φοινίκων τὰ γράμματα, μεταῤῥυθμίσαντές σφεων ὀλίγα, ἐχρέωντο· χρεώμενοι δὲ ἐφάτισαν, ὥσπερ καὶ τὸ δίκαιον ἔφερε, ἐσαγαγόντων Φοινίκων ἐς τὴν Ἑλλάδα, Φοινικήϊα κεκλῆσθαι.

Strabo, lib. III. Καὶ τῆς Ἰβερίας καὶ τῆς Λιβύης τὴν ἀρίστην οἱ Φοίνικες κατέσχον πρὸ τῆς ἡλικίας τῆς Ὁμήρȣ. καὶ διετέλεσαν κύριοι τῶν τόπων ὄντες, μέχρις ȣ̃ Ῥωμαῖοι κατέλυσαν αὐτῶν τὴν ἡγεμονίαν.

Diodorus Sic. lib. V. c. 35. Πολλῶν δὲ ὄντων ἐν τοῖς κατὰ τὴν Ἰβηρίαν ὄρεσι, ἃ Πυρηναῖα καλεῖται, δρυμῶν καὶ πυκνῶν τοῖς δένδρεσι, Φασὶν ἐν τοῖς παλαιοῖς χρόνοις ὑπό τινων νομέων, ἀφέντων πῦρ, κατακαῆναι παντελῶς ἅπασαν τὴν ὀρεινὴν χώραν. διὸ καὶ συχνὰς ἡμέρας συνεχῶς πυρὸς ἐπιφλέγοντος, καῆναι τὴν ἐπιφάνειαν τῆς γῆς· καὶ τὰ μὲν ὄρη διὰ τὸ συμβεβηκὸς κληθῆναι Πυρηναῖα, τὴν δ' ἐπιφάνειαν τῆς κατακεκαυμένης χώρας ἀργύρῳ ῥυῆναι πολλῷ, καὶ χωνευθείσης τῆς φύσεως, ἐξ ἧς ὁ ἄργυρος κατασκευάζεται, ῥύακας γενέσθαι πολλȣ̀ς ἀργύρȣ καθαρȣ̃. τῆς δὲ τȣ́τȣ χρείας ἀγνοȣμένης παρὰ τοῖς ἐγχωρίοις, τȣ̀ς Φοίνικας ἐμπορίαις χρωμένȣς, καὶ τὸ γεγονὸς μαθόντας, ἀγοράζειν τὸν ἄργυρον μικρᾶς τινος ἀντιδόσεως ἄλλων φορ-

Φορτίων. διὸ δὴ τὲς Φοίνικας μετακομίζοντας ἔις τε τὴν Ἑλλάδα καὶ Ἀσίαν, καὶ τἄλλα πάντα ἔθνη, μεγάλες περιποιήσαθαι πλέτες. ἐπὶ τοσῦτο δὲ τὲς ἐμπόρες διατεῖναι τῆς Φιλοκερδίας, ὥςε ἐπιδὰν, καταγόμων ὄντων τῶν πλοίων, περιττέυῃ πολὺς ἄργυρος, ἐκκόπτειν τὸν ἐν ταῖς ἀγκύραις μόλιβδον, καὶ ἐκ τῦ ἀργύρε τὴν ἐκ τῦ μολίβδε χρείαν ἀλλάττεθαι. διόπερ ἐπὶ πολλὲς χρόνες οἱ Φοίνικες διὰ τῆς τοιαύτης ἐμπορίας ἐπὶ πολὺν λαβόντες χρόνον ἄυξησιν, ἀποικίας πολλὰς ἀπέςειλαν, τὰς μὲν εἰς Σικελίαν καὶ τὰς σύνεγγυς ταύτῃ νήσες, τὰς δὲ εἰς τὴν Λιβύην καὶ Σαρδόνα καὶ τὴν Ἰβηρίαν.

Ἐν δὲ τῇ Λιβύῃ Καρχηδὼν κτίσμα ἦν Διδῦς, ἀγαγέσης ἐκ Τύρε λαόν. Ὄυτω δ' ἐυτυχὴς ἡ ἀποικία τοῖς Φοίνιξιν ὑπῆρξε καὶ ἄυτη, καὶ ἡ μέχρι τῆς Ἰβηρίας τῆς τε ἄλλης καὶ τῆς ἔξω ςηλῶν, ὥςε καὶ τῆς Ἐυρώπης ἔτι νῦν τὴν ἀρίςην νέμονται οἱ Φοίνικες κατὰ τὴν ἤπειρον, καὶ τὰς προσεχεῖς νήσες· τήν τε Λιβύην κατεκτήσαντο πᾶσαν, ὅσην μὴ νομαδικῶς οἷον τ' ἦν οἰκεῖν. *Strabo*, lib. XVII.

Σαλμανασάρης δ' ὁ τῶν Ἀσσυρίων βασιλεὺς ἐπῆλθε πρῶτος πολεμεῖν τὴν Φοινίκην. τὸ δὲ ὄνομα τέτε τῦ βασιλέως ἐν τοῖς Τυρίων ἀρχείοις ἀναγέγραπται. ἐςράτευσε γὰρ ἐπὶ Τύρον βασιλέυοντος ἀυτοῖς Ἐλελαίε. μαρτυρεῖ δὲ τέτοις καὶ Μένανδρος, ὃς τῶν χρονικῶν ποιησάμενος τὴν ἀναγραφὴν, καὶ τὰ τῶν Τυρίων ἀρχεῖα μεταφράσας ἐις τὴν ἑλληνικὴν γλῶτταν, ἕτως ἐδήλωσε. καὶ Ἐλεσαῖος ὄνομα ἐβασίλευσεν ἔτη τριάκοντα ἕξ. ὗτος, ἀποςάντων Κιτταίων, ἀναπλεύσας, προσηγάγετο ἀυτὲς πάλιν. ἐπὶ τέτες πέμψας ὁ τῶν Ἀσσυρίων βασιλεὺς, ἐπῆλθε Φοινίκην πολεμῶν ἅπασαν. ὅς τις σπεισάμενος ἐιρήνην μετὰ πάντων ἀνεχώρησεν ὀπίσω. ἀπέςη δὲ Τυρίων Σιδὼν καὶ Ἄκη καὶ ἡ πάλαι Τύρος, καὶ πολλαὶ ἄλλαι πόλεις, ἃι τῷ τῶν Ἀσσυρίων ἑαυτὰς βασιλεῖ παρέδοσαν. διὸ Τυρίων ἐχ ὑποταγέντων πάλιν ὁ βασιλεὺς ἐπ' ἀυτὲς ὑπέςρεψε, Φοινίκων συμπληρωσάντων ἀυτῷ ναῦς ἑξήκοντα, καὶ ἐπικώπες ὀκτακοσίες. ἅις ἐπιπλεύσαντες οἱ Τύριοι ναυσὶ δεκαδύο, τῶν νεῶν τῶν ἀντιπάλων διασπαρεισῶν, λαμβάνεσιν αἰχμαλώτες ἄνδρας εἰς πεντακοσίες. ἐπετάθη δὴ πάντων ἐν Τύρῳ τιμὴ διὰ ταῦτα. 717 ante Christ. *Josephus*, Antiq. IX. 14. 2.

τα. ἀναζεύξας δ' ὁ τῶν Ἀσσυρίων βασιλεὺς κατέστησε φύλακας ἐπὶ τοῦ ποταμοῦ καὶ τῶν ὑδραγωγιῶν, οἳ διακωλύσουσι Τυρίους ἀρύσασθαι. καὶ τοῦτο ἔτεσι πέντε γενόμενον, ἐκαρτέρησαν πίνοντες ἐκ φρεάτων ὀρυκτῶν." καὶ τὰ μὲν ἐν τοῖς Τυρίων ἀρχείοις γεγραμμένα, καὶ κατὰ Σαλμανασάρου τοῦ Ἀσσυρίων βασιλέως ταῦτ' ἐστίν.

c. 572 ante Christ. *Josephus*, contra Apion. I. 21.

Ἐπὶ Εἰθωβάλου τοῦ βασιλέως ἐπολιόρκησε Ναβουχοδονόσορος τὴν Τύρον ἐπ' ἔτη δεκατρία. μετὰ τοῦτον ἐβασίλευσε Βαὰλ ἔτη δέκα. μετὰ τοῦτον δικασταὶ κατεστάθησαν καὶ ἐδίκασαν· Ἐκνίβαλος Βασλάχου μῆνας δύο, Χέλβης Ἀβδαίου μῆνας δέκα, Ἄββαρος ἀρχιερεὺς μῆνας τρεῖς, Μύτγονος καὶ Γεράστρατος τοῦ Ἀβδηλέμου δικασταὶ ἔτη ἕξ, ὧν μεταξὺ ἐβασίλευσε Βαλάτορος ἐνιαυτὸν ἕνα. τούτου τελευτήσαντος, ἀποστείλαντες μετεπέμψαντο Μέρβαλον ἐκ τῆς Βαβυλῶνος, καὶ ἐβασίλευσεν ἔτη τέσσαρα. τούτου τελευτήσαντος, μετεπέμψαντο τὸν ἀδελφὸν αὐτοῦ Εἴρωμον, ὃς ἐβασίλευσεν ἔτη εἴκοσιν. ἐπὶ τούτου Κῦρος Περσῶν ἐδυνάστευσεν.

Herodotus, VII. 96.

Ξερξέω δὲ στρατευομένου ἐπὶ τὴν Ἑλλάδα, νέας ἄριστα πλεούσας παρείχοντο Φοίνικες, καὶ Φοινίκων Σιδώνιοι.

Τῶν δὲ Φοινίκων ἀπὸ Περσῶν ἀποστάντων κατὰ τοὺς ἀνωτέρω χρόνους, Ἀρταξέρξης ὁ ἐπικληθεὶς Ὦχος, αὐτοὺς πάλιν ὅπλοις ἐχειρώσατο.

Arrianus, de expedit. Alexandri M. II. 13.

Ὡς οὖν Ἀλέξανδρος, μετὰ τὴν μάχην τὴν πρὸς Ἰσσῷ γενομένην, ἐπὶ Φοινίκης ἤει, ἀπαντᾷ αὐτῷ κατὰ τὴν ὁδὸν Στράτων ὁ Γηροστράτου παῖς, τοῦ Ἀραδίου τε καὶ τῶν Ἀράδῳ προσοίκων βασιλέως· ὁ δὲ Γηρόστρατος αὐτὸς μετ' Αὐτοφραδάτου ἔπλει ἐπὶ τῶν νεῶν, καὶ οἱ ἄλλοι οἵ τε τῶν Φοινίκων καὶ οἱ τῶν Κυπρίων βασιλεῖς καὶ αὐτοὶ Αὐτοφραδάτῃ ξυνέπλεον. Στράτων δὲ Ἀλεξάνδρῳ ἐντυχὼν, στεφανοῖ χρυσῷ στεφάνῳ αὐτὸν, καὶ τήν τε Ἄραδον αὐτῷ τὴν νῆσον καὶ τὴν Μάραθον τὴν καταντικρὺ τῆς Ἀράδου ἐν τῇ ἠπείρῳ κειμένην, πόλιν μεγάλην καὶ εὐδαίμονα, καὶ Σιγῶνα, καὶ Μαριάμμην πόλιν, καὶ τἆλλα ὅσα τῆς σφῶν ἐπικρατείας, ἐνδίδωσιν.

Idem II. 15.

Ἐκ Μαράθου δὲ ὁρμηθεὶς, Βύβλον τε λαμβάνει, ὁμολογίᾳ ἐνδοθεῖσαν, καὶ Σιδῶνα, αὐτῶν Σιδωνίων ἐπικαλεσαμένων, κατὰ ἔχθος τὸ Περσῶν καὶ Δαρείου. Ἐν-

τεῦθεν

ῦθεν δὲ προὐχώρει ὡς ἐπὶ Τύρον, καὶ ἐντυγχάνεσιν ιτῷ κατὰ τὴν ὁδὸν πρέσβεις Τυρίων ἀπὸ τῦ κοινῦ ἐςαλ-ένοι, ὡς ἐγνωκότων Τυρίων πράσσειν, ὅ, τι ἂν ἐπαγ-έλῃ Ἀλέξανδρος. Ὁ δὲ, τήν τε πόλιν ἐπαινέσας, καὶ ὲς πρέσβεις (καὶ γὰρ ἦσαν τῶν ἐπιφανῶν ἐν Τύρῳ οἵ ε ἄλλοι, καὶ ὁ τῦ βασιλέως τῶν Τυρίων παῖς· αὐτὸς ὁ βασιλεὺς Ἀζέμιλκος μετ᾽ Αὐτοφραδάτε ἔπλει) ἐκέ-ευσεν ἐπανελθόντας φράσαι Τυρίοις, ὅτι ἐθέλοι παρελ-ὼν ἐς τὴν πόλιν θύσαι τῷ Ἡρακλεῖ. Ὡς δὲ ἀπηγ-έλθη ταῦτα πρὸς τῶν πρέσβεων εἰς τὴν Τύρον, τὰ μὲν λλα ἔδοξε σφίσι ποιεῖν, ὅ, τιπερ ἐπαγγέλῃ Ἀλέξαν-ρος, εἰς δὲ τὴν πόλιν μήτε τινὰ Περσῶν μήτε Μακεδό-ων δέχεθαι· ὡς τῦτο ἔς τε τὰ παρόντα τῷ λόγῳ εὐ-ρεπέςατον, καὶ ἐς τῦ πολέμε τὴν κρίσιν (ἄδηλον ἔτι σαν) ἀσφαλέςατον σφίσι γνωσόμενοι. Ὡς δὲ ἐξηγγέλ-η Ἀλεξάνδρῳ τὰ ἐκ τῆς Τύρε, τὲς μὲν πρέσβεις πρὸς ργὴν ὀπίσω ἀπέπεμψεν.

Ἐπιχειρεῖν δὲ τῇ Τύρῳ τι θεῖον ἀπέπειθεν αὐτὸν, ὅτι ἐνύπνιον αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐδόκει αὐτὸς μὲν τῷ τείχει προσάγειν τῶν Τυρίων, τὸν δὲ Ἡρακλέα δεξιε-θαί τε αὐτὸν καὶ ἀνάγειν ἐς τὴν πόλιν. Καὶ τῦτο ἐξη-γεῖτο Ἀρίςανδρος, ὡς ξὺν πόνῳ ἁλωσομένην τὴν Τύρον, ὅτι καὶ τὰ τῦ Ἡρακλέες ἔργα ξὺν πόνῳ ἐγένοντο. Καὶ γὰρ καὶ μέγα ἔργον, τῆς Τύρε ἡ πολιορκία ἐφαίνετο. Νῆσός τε γὰρ αὐτοῖς ἡ πόλις ἦν, καὶ τείχεσιν ὑψηλοῖς πάντη ὠχύρωτο· καὶ τὰ ἀπὸ θαλάσσης πρὸς τῶν Τυρίων μᾶλλόν τι ἐν τῷ τότε ἐφαίνετο, τῶν τε Περσῶν ἔτι θαλασσοκρατέντων, καὶ αὐτοῖς τοῖς Τυρίοις νεῶν ἔτι πολ-λῶν περιεσῶν. Ὡς δὲ ταῦτα ὅμως ἐκράτησε, χῶμα ἔγνω χωννύναι ἐκ τῆς ἠπείρε ὡς ἐπὶ τὴν πόλιν. Ἔςι δὲ πορθμὸς τεναγώδης τὸ χωρίον, καὶ τὰ μὲν πρὸς τῇ ἠπείρῳ τῆς θαλάσσης βραχέα καὶ πηλώδη αὐτῦ· τὰ δὲ πρὸς αὐτῇ τῇ πόλει, ἵνα τὸ βαθύτατον τῦ διάπλε, τριῶν μάλιςα ὀργυιῶν τὸ βάθος. Ἀλλὰ λίθων τε πολλῶν ἀφθονία ἦν, καὶ ὕλης, ἥν τινα τοῖς λίθοις ἄνωθεν ἐπε-φόρεν. Χάρακές τε ἐ χαλεπῶς ἐν τῷ πηλῷ κατεπήγ-νυντο, καὶ αὐτὸς ὁ πηλὸς ξύνδεσμος τοῖς λίθοις ἐς τὸ ἐπιμένειν ἐγίγνετο. Καὶ προθυμία τῶν Μακεδόνων εἰς τὸ cap. 18.

ἔργον

ἔργον καὶ Ἀλεξάνδρου πολλὴ ἦν, παρόντος τε καὶ αὐτοῦ ἕκασα ἐξηγουμένου, καὶ τὰ μὲν λόγῳ ἐπαίροντος, τὰ δὲ καὶ χρήμασιν· τοὺς τε ἐκπρεπέσερον κατ' ἀρετὴν πονουμένους ἐπικουφίζοντος. Ἀλλ' ἔσε μὲν τὸ πρὸς τῇ ἠπείρῳ ἐχώννυτο, οὐ χαλεπῶς προὐχώρει τὸ ἔργον, ἐπὶ βάθος τε ὀλίγον χωννύμενον, καὶ οὐδενὸς ἐξείργοντος. Ὡς δὲ τῷ βαθυτέρῳ ἤδη ἐπέλαζον, καὶ ἅμα τῇ πόλει αὐτῇ ἐγγὺς ἐγίγνοντο, ἀπό τε τῶν τειχῶν, ὑψηλῶν ὄντων, βαλλόμενοι ἐκακοπάθουν, ἅ τε καὶ ἐπ' ἐργασίᾳ μᾶλλόν τι ἢ ὡς ἐς μάχην ἀκριβῶς ἐσαλμένοι· καὶ ταῖς τριήρεσιν ἄλλη καὶ ἄλλη τοῦ χώματος ἐπιπλέοντες οἱ Τύριοι, ἅ τε δὴ θαλασσοκρατοῦντες ἔτι, ἄπορον πολλαχῇ τὴν πρόσχωσιν τοῖς Μακεδόσιν ἐποίουν. Καὶ οἱ Μακεδόνες πύργους ἐπάνω τοῦ χώματος, ὅ, τι περ προκεχωρήκει αὐτοῖς ἐπὶ πολὺ τῆς θαλάσσης, ἐπέσησαν δύο, καὶ μηχανὰς ἐπὶ τοῖς πύργοις. Προκαλύμματα δὲ δέῤῥεις καὶ διφθέραι αὐτοῖς ἦσαν, ὡς μήτε πυρφόροις βέλεσιν ἀπὸ τοῦ τείχους βάλλεσθαι, τοῖς τε ἐργαζομένοις προβολὴν ἐν τῷ αὐτῷ εἶναι πρὸς τὰ τοξεύματα· ἅμα τε ὅσοι προσπλέοντες τῶν Τυρίων ἔβλαπτον τοὺς χωννύντας, ἀπὸ τῶν πύργων βαλλόμενοι οὐ χαλεπῶς ἀνασαλήσεσθαι ἔμελλον. Οἱ δὲ Τύριοι πρὸς ταῦτα ἀντιμηχανῶνται τοιόνδε.

cap. 19. Ναῦν ἱππαγωγὸν κλημάτων τε ξηρῶν καὶ ἄλλης ὕλης εὐφλέκτου ἐμπλήσαντες, δύο ἱσοὺς ἐπὶ τῇ πρώρᾳ καταπηγνύουσι, καὶ ἐν κύκλῳ περιφράσσουσιν ἐς ὅσον μακρότατον, ὡς φορυτόν τε ταύτῃ καὶ δᾷδας ὅσας πλείσας δέξασθαι. Πρὸς δὲ, πίσσαν τε καὶ θεῖον, καὶ ὅσα ἄλλα ἐς τὸ παρακαλέσαι μεγάλην φλόγα, ἐπὶ ταύτῃ ἐπεφόρησαν. Παρέτεινον δὲ καὶ κεραίαν διπλῆν ἐπὶ τοῖς ἱσοῖς ἀμφοτέροις, καὶ ἀπὸ ταύτης ἐξήρτησαν ἐν λέβησιν, ὅσα ἐπιχυθέντα ἢ ἐπιβληθέντα ἐπὶ μέγα τὴν φλόγα ἐξάψειν ἔμελλον· ἕρματά τε ἐς τὴν πρύμναν ἐνέθεσαν, τοῦ ἐξᾶραι εἰς ὕψος τὴν πρῶραν πιεζομένης κατὰ πρύμναν τῆς νεώς. Ἔπειτα ἄνεμον τηρήσαντες ὡς ἐπὶ τὸ χῶμα ἐπιφέροντα, ἐξάψαντες τριήρεσι τὴν ναῦν, κατ' οὖρον εἷλκον. Ὡς δὲ ἐπέλαζον ἤδη τῷ τε χώματι καὶ τοῖς πύργοις, πῦρ ἐμβαλόντες εἰς τὴν ὕλην, καὶ ὡς βιαιότατα ἅμα ταῖς τριήρεσιν ἐπανελκύσαντες τὴν ναῦν, ἐνσείουσιν ἄκρῳ τῷ χώματι.

Αὐτοὶ

υτοὶ δὲ οἱ ἐν τῇ νηὶ καιομένῃ ἤδη ἐξενήξαντο ἐ χαλε-
ῖς· καὶ ἐν τέτῳ ἥ τε Φλὸξ πολλὴ ἐνέπιπτε τοῖς πύρ-
ις, καὶ αἱ κεραῖαι περικλασθεῖσαι ἐξέχεαν ἐς τὸ πῦρ,
κ ἐς ἔξαψιν τῆς Φλογὸς παρεσκευασμένα ἦν. Οἱ δὲ
ὸ τῶν τριήρων πλησίον τῦ χώματος ἀνακωχεύοντες,
όξευον ἐς τὲς πύργες, ὡς μὴ ἀσφαλὲς ἔιναι πελάσαι ὅ-
σβεστήριον τῇ Φλογὶ ἐπέφερον. Καὶ ἐν τέτῳ κατεχο-
νων ἤδη ἐκ τῦ πυρὸς τῶν πύργων, ἐκδραμόντες ἐκ τῆς
λεως πολλοὶ, καὶ ἐς κελήτια ἐμβάντες, ἄλλη καὶ ἄλλη
οκείλαντες τῦ χώματος, τόν τε χάρακα ἐ χαλεπῶς διέ-
ασαν τὸν πρὸ αὐτῦ προβεβλημένον, καὶ τὰς μηχανὰς
μπάσας κατέφλεξαν, ὅσας μὴ τὸ ἀπὸ τῆς νεὼς πῦρ ἐπέ-
;εν. Ἀλέξανδρος δὲ τό, τε χῶμα ἀπὸ τῆς ἠπείρε ἀρξά-
ινος πλατύτερον χωννύναι, ὡς πλέονας δέξασθαι πύργες,
ὶ τὲς μηχανοποιὲς μηχανὰς ἄλλας κατασκευάζειν ἐκέλευ-
ν. Ὡς δὲ ταῦτα παρεσκευάζετο, αὐτὸς τές τε ὑπασπιςὰς
ταλαβὼν καὶ τὲς Ἀγριάνας ἐπὶ Σιδῶνος ἐςάλη, ὡς ἀθροί-
ον ἐκεῖ, ὅσαι ἤδη ἦσαν αὐτῷ τριήρεις, ὅτι ἀπορώτερα τὰ
ῆς πολιορκίας ἐφαίνετο, θαλασσοκρατέντων τῶν Τυρίων.

Ἐν τέτῳ δὲ Γηρόςρατός τε ὁ Ἀράδε βασιλεὺς, καὶ cap. 20.
Ἔνυλος ὁ Βύβλε, ὡς ἔμαθον τὰς πόλεις σφῶν ὑπ' Ἀλε-
ξάνδρε ἐχομένας ἀπολιπόντες Αὐτοφραδάτην τε καὶ τὰς
ὺν αὐτῷ νέας, παρ' Ἀλέξανδρον σὺν τῷ ναυτικῷ τῷ
σφετέρῳ ἀφίκοντο, καὶ αὐτῶν Σιδωνίων τριήρεις σὺν αὐ-
οῖς· ὥς τε Φοινίκων μὲν νῆες ὀγδοήκοντα μάλιςα αὐτῷ
αραγένοντο. Ἧκον δὲ ἐν ταῖς αὐταῖς ἡμέραις καὶ ἐκ
Ῥόδε τριήρεις, ἥ τε περίπολος καλεμένη, καὶ ξὺν ταύτῃ
ἄλλαι ἐννέα. Καὶ ἐκ Σόλων καὶ Μαλλῦ τρεῖς, καὶ Λυ-
κίας, δέκα. Ἐκ Μακεδονίας δὲ πεντηκόντορος, ἐφ' ἧς
Πρωτέας Ἀνδρονίκε ἐπέπλει. Οὐ πολλῷ δ' ὕςερον καὶ
οἱ τῆς Κύπρε βασιλεῖς ἐς τὴν Σιδῶνα κατέσχον ναυσὶν ἑ-
κατὸν μάλιςα καὶ ἔικοσιν, ἐπειδὴ τήν τε ἧσσαν τὴν κατ'
Ἰσσὸν Δαρείε ἐπύθοντο, καὶ ἡ Φοινίκη πᾶσα ἐχομένη ἤδη
ὑπ' Ἀλεξάνδρε ἐφόβει αὐτές. Καὶ τέτοις πᾶσιν ἔδωκεν
Ἀλέξανδρος ἄδειαν τῶν πρόσθεν, ὅτι ὑπ' ἀνάγκης μᾶλ-
λόν τι ἢ κατὰ γνώμην τὴν σφῶν ἐδόκεν ξυνταχθῆναι τοῖς
Πέρσαις ἐς τὸ ναυτικόν. Ἐν ᾧ δὲ ἅι τε μηχαναὶ αὐτῷ
ξυνεπήγνυντο, καὶ αἱ νῆες ὡς εἰς ἐπίπλευ τε καὶ ναυμα-
χίας

χίας ἀπόπειραν ἐξηρτύοντο, ἐν τέτῳ δὲ ἀναλαβὼν τῶν τε ἱππέων ἴλας ἐςὶν ἃς, καὶ τὲς ὑπασπιςὰς, καὶ τὲς Ἀγριάνας τε καὶ τὲς τοξότας, ἐπ' Ἀραβίας ςέλλεται εἰς τὸν Ἀντιλίβανον καλέμενον τὸ ὄρος. Καὶ τὰ μὲν βίᾳ τῶν ταύτῃ ἐξελὼν, τὰ δὲ ὁμολογίᾳ παραςησάμενος, ἕνδεκα ἡμέραις ἐπανῆγεν εἰς τὴν Σιδῶνα, καὶ καταλαμβάνει Κλέανδρον τὸν Πολεμοκράτες ἐκ Πελοποννήσε ἥκοντα, καὶ ξὺν αὐτῷ μισθοφόρες Ἕλληνας τετρακισχιλίες. Ὡς δὲ συνετέτακτο αὐτῷ τὸ ναυτικὸν, ἐπιβιβάσας τοῖς καταςρώμασι τῶν ὑπασπιςῶν ὅσοι ἱκανοὶ ἐδόκεν ἐς τὸ ἔργον, εἰ μὴ διέκπλοις μᾶλλόν τι ἢ ἐν χερσὶν ἡ ναυμαχία γίγνοιτο, ἄρας ἐκ τῆς Σιδῶνος ἐπέπλει τῇ Τύρῳ ξυντεταγμέναις ταῖς ναυσὶν, αὐτὸς μὲν κατὰ τὸ δεξιὸν κέρας, ὃ δὴ ἐς τὸ πέλαγος αὐτῷ ἀνεῖχε· καὶ ξὺν αὐτῷ οἱ τε Κυπρίων βασιλεῖς, καὶ ὅσοι Φοινίκων, πλὴν Πνυταγόρε. Οὗτος δὲ καὶ Κρατερὸς τὸ εὐώνυμον κέρας εἶχον τῆς πάσης τάξεως. Τοῖς δὲ Τυρίοις πρότερον μὲν ναυμαχεῖν ἐγνωσμένον ἦν, εἰ κατὰ θάλατταν ἐπιπλέοι σφίσιν Ἀλέξανδρος. Τότε δὲ πλῆθος νεῶν πολὺ ἀπροσδοκήτως κατιδόντες (ἒ γάρ πω πεπυσμένοι ἦσαν τάς τε Κυπρίων ναῦς καὶ τὰς Φοινίκων ξυμπάσας Ἀλέξανδρον ἔχοντα), καὶ ἅμα ξυντεταγμένως τε ἐπίπλε γιγνομένε, (ὀλίγον γὰρ πρὶν προσχεῖν τῇ πόλει, ἀνεκώχευσαν ἔτι πελάγιαι αἱ ξὺν Ἀλεξάνδρῳ νῆες ἔπειτα ὅτω ξυνταξάμενοι, ὡς ἐκ ἀντανήγοντο, πολλῷ τῷ ῥοθίῳ ἐπέπλεον.) ταῦτα ὁρῶντες οἱ Τύριοι, ναυμαχεῖν μὲν ἀπέγνωσαν· τριήρεσι δὲ, ὅσας τῶν λιμένων τὰ ςόματα ἐδέχοντο, βύζην τὸν ἔσπλεν φραξάμενοι ἐφύλασσον, ὡς μὴ ἐς τῶν λιμένων τινὰ ἐγκαθορμισθῆναι τῶν πολεμίων τὸν ςόλον. Ἀλέξανδρος δε, ὡς ἐκ ἀντανήγοντο οἱ Τύριοι, ἐπέπλει τῇ πόλει· καὶ ἐς μὲν τὸν λιμένα τὸν πρὸς Σιδῶνος βιάζεσθαι ἀπέγνω, διὰ ςενότητα τε ςόματος· καὶ ἅμα ἀντιπρώροις τριήρεσι πολλαῖς ὁρῶν πεφραγμένον τὸν ἔσπλεν· τρεῖς δὲ τὰς ἐξωτάτω ἐφορμέσας τῷ ςόματι τριήρεις προσπεσόντες οἱ Φοίνικες καὶ ἀντιπρώροις ἐμβαλόντες καταδύεσιν. Οἱ δὲ ἐν ταῖς ναυσὶν ἐ χαλεπῶς ἀπενήξαντο ἐς τὴν γῆν, φιλίαν ἔσαν. Τότε μὲν δὴ ἐ πόῤῥω τε ποιητε χώματος κατὰ τὸν αἰγιαλὸν, ἵνα σκέπη τῶν ἀνέμων ἐφαίνετο, οἱ σὺν Ἀλεξάνδρῳ ὡρμίσαντο. Τῇ δὲ ὑςε-

ςεραίᾳ, τὰς μὲν Κυπρίας ξὺν ταῖς σφετέραις ναυσὶ καὶ Ἀνδρομάχῳ τῷ ναυάρχῳ κατὰ τὸν λιμένα τὸν ἐκ Σιδῶνος φέροντα, ἐκέλευσεν ἐφορμεῖν τῇ πόλει. Τὰς δὲ Φοίνικας κατὰ τὸν ἐπέκεινα τᾶ χώματος, τὸν πρὸς Ἄιγυπτον ἀνέχοντα, ἵνα καὶ αὐτῷ ἡ σκηνὴ ἦν.

Ἤδη δὲ καὶ μηχανοποιῶν αὐτῷ πολλῶν ἔκ τε Κύπρα καὶ Φοινίκης ἁπάσης συλλελεγμένων, μηχαναὶ πολλαὶ συμπεπηγμέναι ἦσαν, ἁι μὲν ἐπὶ τᾶ χώματος, ἁι δὲ ἐπὶ τῶν ἱππαγωγῶν νεῶν, ἃς ἐκ Σιδῶνος ἅμα ὁι ἐκόμισεν· ἁι δὲ ἐπὶ τῶν τριήρων, ὅσαι αὐτῶν ἐ ταχυναυτᾶσαι ἦσαν. Ὡς δὲ παρεσκέυασο ἤδη ξύμπαντα, προσῆγον τὰς μηχανὰς κατά τε τὸ ποιητὸν χῶμα, καὶ ἀπὸ τῶν νεῶν ἄλλῃ καὶ ἄλλῃ τᾶ τείχας προσορμιζομένων τε καὶ ἀποπειρωμένων τᾶ τείχας. Ὁι δὲ Τύριοι ἐπί τε τῶν ἐπάλξεων τῶν κατὰ τὸ χῶμα πύργας ξυλίνας ἐπέστησαν, ὡς ἀπομάχεσθαι ἀπ᾽ αὐτῶν, καὶ εἴπη ἄλλῃ ἁι μηχαναὶ προσήγοντο, βέλεσί τε ἠμύνοντο, καὶ πυρφόροις ὀϊςοῖς ἔβαλλον αὐτὰς τὰς ναῦς· ὥστε φόβον παρέχειν τοῖς Μακεδόσι πελάζειν τῷ τείχει. Ἦν δὲ αὐτοῖς καὶ τὰ τείχη κατὰ τὸ χῶμα, τό, τε ὕψος εἰς πεντήκοντα καὶ ἑκατὸν μάλιςα πόδας, καὶ ἐς πλάτος ξύμμετρον, λίθοις μεγάλοις ἐν γύψῳ κειμένοις ξυμπεπηγότα. Ταῖς δὲ ἱππαγωγοῖς τε καὶ ταῖς τριήρεσι τῶν Μακεδόνων, ὅσαι τὰς μηχανὰς προσῆγον τῷ τείχει, καὶ ταύτῃ ἐκ εὔπορον ἐγίγνετο πελάζειν τῇ πόλει· ὅτι λίθοι πολλοὶ ἐς τὸ πέλαγος προβεβλημένοι ἐξεῖργον αὐτῶν τὴν ἐγγὺς προσβολήν. Καὶ τάτας Ἀλέξανδρος ἔγνω ἐξελκύσαι ἐκ τῆς θαλάσσης· ἠνύετο δὲ χαλεπῶς τᾶτο τὸ ἔργον, ὅια δὴ ἀπὸ νεῶν, καὶ ἐκ ἀπὸ γῆς βεβαίας, γινόμενον· ἄλλως τε καὶ ὁι Τύριοι ναῦς καταφράξαντες παρὰ τὰς ἀγκύρας ἐπῆγον τῶν τριήρων καὶ ὑποτέμνοντες τὰς σχοίνας τῶν ἀγκυρῶν, ἄπορον τὴν προσόρμισιν ταῖς πολεμίαις ναυσὶν ἐποίαν. Ἀλέξανδρος δὲ τριακοντόρας πολλὰς ἐς τὸν αὐτὸν τρόπον φράξας, ἐπέστησεν ἐγκαρσίας πρὸ τῶν ἀγκυρῶν, ὡς ὑπ᾽ αὐτῶν ἀνασέλλεθαι τὸν ἐπίπλαν τῶν νεῶν. Ἀλλὰ καὶ ὡς ὕφαλοι κολυμβηταὶ τὰς σχοίνας αὐτοῖς ὑπέτεμνον. Ὁι δὲ ἁλύσεσιν εἰς τὰς ἀγκύρας ἀντὶ σχοίνων χρώμενοι ὁι Μακεδόνες καθίεσαν, ὥς τε μηδὲν ἔτι πλέον τοῖς κολυμβηταῖς γίγνεθαι. Ἐξάπτοντες ἂν βρόχας τῶν λίθων, ἀπὸ cap. 21.

ἀπὸ τοῦ χώματος ἀνέσπων αὐτοὺς ἔξω τῆς θαλάσσης· ἔπειτα μηχαναῖς μετεωρίσαντες, κατὰ βάθους ἀφίεσαν, ἵνα οὐκέτι προβεβλημένοι βλάψειν ἔμελλον. Ὅπου δὲ καθαρὸν πεποίητο τῶν προβόλων τὸ τεῖχος, οὐ χαλεπῶς ἤδη ταύτῃ αἱ νῆες προσεῖχον. Οἱ δὲ Τύριοι, πάντη ἄποροι γιγνόμενοι, ἔγνωσαν ἐπίπλουν ποιήσασθαι ταῖς Κυπρίαις ναυσὶν, αἳ κατὰ τὸν λιμένα ἐφώρμουν τὸν ἐς Σιδῶνα τετραμμένον· ἐκ πολλοῦ δὴ καταπετάσαντες τοῦ λιμένος τὸ στόμα ἱστίοις, τοῦ μὴ καταφανῆ γενέσθαι τῶν τριήρων τὴν πλήρωσιν, ἀμφὶ μέσον ἡμέρας, ὁπότε οἵ τε ναῦται ἐπὶ τὰ ἀναγκαῖα ἐσκεδασμένοι ἦσαν, καὶ Ἀλέξανδρος ἐν τούτῳ μάλιστα ἀπὸ τοῦ ἐπὶ θάτερα τῆς πόλεως ναυτικοῦ ἐπὶ τὴν σκηνὴν ἐπεχώρει, πληρώσαντες πεντήρεις μὲν τρεῖς καὶ τετρήρεις ἴσας, τριήρεις δὲ ἑπτὰ, ὡς ἀκριβεστάτοις τε τοῖς πληρώμασι καὶ τοῖς ἀπὸ τῶν καταστρωμάτων μάχεσθαι μέλλουσιν εὐοπλοτάτοις, καὶ ἅμα εὐθαρσοτάτοις ἐς τοὺς ναυτικοὺς ἀγῶνας. Τὰ μὲν πρῶτα ἀτρέμα τῇ εἰρεσίᾳ ἐπὶ μιᾶς νεὼς ἐξέπλεον, ἄνευ κελευστῶν τὰς κώπας παραφέροντες· ὡς δὲ ἐπέστρεφον ἤδη ἐπὶ τοὺς Κυπρίους, καὶ ἐγγὺς τοῦ καθορᾶσθαι ἦσαν, τότε δὴ ξὺν βοῇ τε πολλῇ καὶ ἐγκελευσμῷ ἐς ἀλλήλους, καὶ ἅμα τῇ εἰρεσίᾳ ξυντόνῳ ἐπεφέροντο.

cap. 22. Ξυνέβη δὲ ἐκείνῃ μὲν τῇ ἡμέρᾳ Ἀλέξανδρον ἀποχωρῆσαι ἐπὶ τὴν σκηνὴν, οὐ διατρίψαντα δὲ κατὰ τὸ εἰωθὸς, δι' ὀλίγου ἐπὶ τὰς ναῦς ἐπανελθεῖν. Οἱ δὲ Τύριοι προσπεσόντες ἀπροσδοκήτως ταῖς ναυσὶν ὁρμούσαις, καὶ ταῖς μὲν πάντη κεναῖς ἐπιτυχόντες, τῶν δ' ὑπ' αὐτὴν τὴν βοὴν καὶ τὸν ἐπίπλουν χαλεπῶς ἐκ τῶν παρόντων πληρουμένων, τήν τε Πνυταγόρου τοῦ βασιλέως πεντήρη εὐθὺς ὑπὸ τῇ πρώτῃ ἐμβολῇ κατέδυσαν, καὶ τὴν Ἀνδροκλέους τοῦ Ἀμαθουσίου, καὶ τὴν Πασικράτους τοῦ Θουριέως· τὰς δὲ ἄλλας ἐς τὸν αἰγιαλὸν ἐξωθοῦντες ἔκοπτον. Ἀλέξανδρος δὲ ὡς ᾔσθετο τὸν ἔκπλουν τῶν Τυρίων τριήρων, τὰς μὲν πολλὰς τῶν ξὺν αὐτῷ νεῶν, ὅπως ἑκάστη πληρωθείη, ἐπὶ τῷ στόματι τοῦ λιμένος ἀνακωχεύειν ἔταξεν, ὡς μὴ καὶ ἄλλαι ἐκπλεύσειαν τῶν Τυρίων νῆες· αὐτὸς δὲ πεντήρεις τε τὰς ξὺν αὐτῷ ἀναλαβὼν, καὶ τῶν τριήρων ἐς πέντε μάλιστα, ὅσαι ἔφθησαν αὐτῷ κατὰ τάχος πληρωθεῖσαι, περιέπλει τὴν πόλιν ὡς ἐπὶ τοὺς ἐκπεπλευκότας τῶν Τυρίων. Οἱ δὲ

ἀπὸ τᾶ τείχας τόν τε ἐπίπλαν τῶν πολεμίων κατιδόν-
, καὶ Ἀλέξανδρον αὐτὸν ἐπὶ τῶν νεῶν, βοῇ τε ἐπανά-
ν ἐνεκελεύοντο τοῖς ἐκ τῶν σφετέρων νεῶν, καὶ ὡς ἐκ
κηκᾶσὸν ἦν ὑπὸ θορύβα ξυνεχομένων ἐν τῷ ἔργῳ, ση-
ίοις ἄλλοις καὶ ἄλλοις ἐπεκάλαν ἐς τὴν ἀναχώρησιν.
ι δὲ ὀψέ ποτε αἰσθόμενοι τὸν ἐπίπλαν τῶν ἀμφ' Ἀλέ-
νδρον, ὑποςρέψαντες εἰς τὸν λιμένα ἔφευγον· καὶ ὀλί-
ι μὲν τῶν νεῶν φθάνασιν ὑπεκφυγᾶσαι, ταῖς δὲ πλείο-
ι ἐμβαλᾶσαι αἱ ξὺν Ἀλεξάνδρῳ, τὰς μὲν αὐτῶν ἄπλας
οίησαν, πεντήρης δέ τις καὶ τετρήρεις αὐτῶν ἐπ' αὐτῷ
ι σόματι τᾶ λιμένος ἐλήφθησαν. Φόνος δὲ τῶν ἐπιβα-
ὶν ἀ πολὺς ἐγένετο. Ὡς γὰρ ᾔσθοντο ἐχομένας τὰς
ῦς, ἀπενήξαντο ἀ χαλεπῶς ἐς τὸν λιμένα. Ὡς δὲ
εμία ἔτι τοῖς Τυρίοις ἐκ τῶν νεῶν ὠφέλεια ἦν, ἐπῆγον
η οἱ Μακεδόνες τὰς μηχανὰς τῷ τείχει αὐτῶν. Κατὰ
ὲν δὴ τὸ χῶμα προσαγόμεναι, διὰ ἰσχὺν τᾶ τείχας,
ὲν ἤνυον ὅ, τι καὶ λόγα ἄξιον. Οἱ δὲ κατὰ τὸ πρὸς
ιδῶνα τετραμμένον τῆς πόλεως τῶν νεῶν τινὰς τῶν μη-
ανοφόρων προσῆγον. Ὡς δὲ ἀδὲ ταύτῃ ἤνυον, ἐς τὸ
ρὸς νότον ἄνεμον καὶ πρὸς Αἴγυπτον ἀνέχον τεῖχος με-
ῄει, πάντῃ ἀποπειρώμενος τᾶ ἔργα. Καὶ ἐνταῦθα πρῶ-
ὸν τε κατεσείσθη τὸ τεῖχος ἐπὶ μέγα, καί τι καὶ κατη-
ίφθη αὐτᾶ παραῤῥαγέν. Τότε μὲν δὴ ὅσον ἐπιβαλὼν
εφύρας, ᾗ ἐῤῥιπτο τᾶ τείχας, ἀπεπειράθη ἐς ὀλίγον
ῆς προσβολῆς· καὶ οἱ Τύριοι ἀ χαλεπῶς ἀπεκρύσαντο τὰς
Ιακεδόνας.

Τρίτῃ δὲ ἀπὸ ταύτης ἡμέρᾳ νηνεμίαν τε φυλάξας, cap. 23.
αὶ παρακαλέσας τὰς ἡγεμόνας τῶν τάξεων ἐς τὸ ἔργον,
πῆγε τῇ πόλει ἐπὶ τῶν νεῶν τὰς μηχανάς. Καὶ πρῶτα
ὲν κατέσεισε τᾶ τείχας ἐπὶ μέγα. Ὡς δὲ ἀποχρῶν εἰς
λάτος ἐφάνη τὸ παρεῤῥηγμένον, τὰς μὲν μηχανοφόρας
αῦς ἐπανάγειν ἐκέλευσεν· ὁ δὲ δύο ἄλλας ἐπῆγεν, αἱ
ὰς γεφύρας αὐτῷ ἔφερον, ἃς δὴ ἐπιβάλλειν ἐπενόει τῷ
ατεῤῥηγμένῳ τᾶ τείχας. Καὶ τὴν μὲν μίαν τῶν νεῶν οἱ
πασπιςαὶ ἔλαβον, ᾗ ἐπετέτακτο Ἄδμητος· τὴν ἑτέραν δὲ,
ἡ Κοίνα τάξις οἱ πεζέταιροι καλάμενοι, καὶ αὐτὸς ξὺν τοῖς
πασπιςαῖς ἐπιβήσεσθαι τᾶ τείχας, ᾗ παρείκοι, ἔμελλε.
Τὰς τριήρεις δὲ, τὰς μὲν ἐπιπλεῖν κατὰ τὰς λιμένας ἀμ-
φοτέ-

φοτέρους ἐκέλευσεν, εἴ πως πρὸς σφᾶς τετραμμένων τῶν Τυρίων βιάσαιντο τὸν ἔσπλουν· ὅσαι δὲ αὐτῶν βέλη ἀπὸ μηχανῶν βαλλόμενα εἶχον, ἢ ὅσαι τοξότας ἐπὶ τῶν καταστρωμάτων ἔφερον, ταύτας δὲ ἐκέλευσεν ἐν κύκλῳ περιπλεούσας τὸ τεῖχος, ἐποκέλλειν τε ὅποι παρείκοι, καὶ ἀνακωχεύειν ἐντὸς βέλους ἔς τε τὸ ἐποκεῖλαι ἄπορον γίγνοιτο· ὡς πανταχόθεν βαλλομένους τοὺς Τυρίους, ἐν τῷ δεινῷ ἀμφιβόλους γίγνεσθαι. Ὡς δὲ αἵ τε νῆες αἱ ξὺν Ἀλεξάνδρῳ προσέσχον τῇ πόλει, καὶ αἱ γέφυραι ἐπεβλήθησαν τῷ τείχει ἀπ' αὐτῶν, ἐνταῦθα οἱ ὑπασπισταὶ εὐρώστως κατὰ ταύτας ἀνέβαινον ἐπὶ τὸ τεῖχος, [ὅ, τε γὰρ Ἄδμητος ἀνὴρ ἀγαθὸς ἐν τῷ τότε ἐγένετο] καὶ ἅμα Ἀλέξανδρος εἵπετο αὐτοῖς, τοῦ τε ἔργου αὐτοῦ καρτερῶς ἁπτόμενος, καὶ θεατὴς τῶν ἄλλων, ὅτῳ τι λαμπρὸν καὶ ἀρετὴν ἐν τῷ κινδύνῳ ἐτολμᾶτο. Καὶ ταύτῃ πρῶτον, ᾗ ἐπετέτακτο Ἀλέξανδρος, ἐλήφθη τὸ τεῖχος, οὐ χαλεπῶς ἀποκρουσθέντων ἀπ' αὐτοῦ τῶν Τυρίων, ἐπειδὴ πρῶτον βεβαίῳ τε καὶ ἅμα οὐ πάντῃ ἀποτόμῳ τῇ προσβάσει ἐχρήσαντο οἱ Μακεδόνες. Καὶ Ἄδμητος μὲν, πρῶτος ἐπιβὰς τοῦ τείχους, καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευόμενος ἐπιβαίνειν, βληθεὶς λόγχῃ, ἀποθνήσκει αὐτοῦ. Ἐπὶ δὲ αὐτῷ Ἀλέξανδρος ἔσχε τὸ τεῖχος ξὺν τοῖς ἑταίροις. Ὡς δὲ εἴχοντο αὐτῷ πύργοι τε ἔστιν οἳ καὶ μεταπύργια, αὐτὸς μὲν παρῄει διὰ τῶν ἐπάλξεων ὡς ἐπὶ τὰ βασίλεια, ὅτι ταύτῃ εὐπορωτέρα ἐφαίνετο ἐς τὴν πόλιν ἡ κάθοδος.

cap. 24. Οἱ δὲ ἐπὶ τῶν νεῶν, οἵ τε Φοίνικες, κατὰ τὸν λιμένα τὸν πρὸς Αἴγυπτον (καθ' ὅνπερ καὶ ἐφορμοῦντες ἐτύγχανον) βιασάμενοι, καὶ τὰ κλεῖθρα διασπάσαντες, ἔκοπτον τὰς ναῦς ἐν τῷ λιμένι, ταῖς μὲν μετεώροις ἐμβάλλοντες, τὰς δὲ ἐς τὴν γῆν ἐξωθοῦντες. Καὶ οἱ Κύπριοι κατὰ τὸν ἄλλον λιμένα τὸν ἐκ Σιδῶνος φέροντα, οὐδὲ κλεῖθρόν γε τοῦτον ἔχοντα, εἰσπλεύσαντες, εἷλον εὐθὺς ταύτῃ τὴν πόλιν. Τὸ δὲ πλῆθος τῶν Τυρίων τὸ μὲν τεῖχος, ὡς ἐχόμενον εἶδον, ἐκλείπουσιν· ἀθροισθέντες δὲ κατὰ τὸ Ἀγηνόριον καλούμενον, ἐπέστρεψαν ταύτῃ ἐπὶ τοὺς Μακεδόνας. Καὶ Ἀλέξανδρος ξὺν τοῖς ὑπασπισταῖς ἐπὶ τούτους χωρήσας, τοὺς μὲν αὐτοῦ μαχομένους διέφθειρεν αὐτῶν, τοῖς δὲ φεύγουσιν ἐφείπετο. Καὶ φόνος ἦν πολὺς

ὺς, τῶν τε ἀπὸ τȣ̃ λιμένος ἐχόντων ἤδη τὴν πόλιν, αὶ τῆς Κοίνȣ τάξεως παρεληλυθυίας εἰς αὐτήν. Ὀργῆ ὰρ ἐχώρȣν ἐπίπαν οἱ Μακεδόνες, τῆς τε πολιορκίας τῆ ριβῆ ἀχθόμενοι, καὶ ὅτι λαβόντες τινὰς αὐτῶν οἱ Τύιοι πλέοντας ἐκ Σιδῶνος, ἐπὶ τὸ τεῖχος ἀναβιβάσαντες πως ἄποπτον εἴη ἀπὸ τȣ̃ ϛρατοπέδȣ, σφάξαντες ἐῤῥιψαν ͅς τὴν θάλασσαν. Ἀπέθανον δὲ τῶν μὲν Τυρίων ἐς κτακισχιλίȣς· τῶν δὲ Μακεδόνων, ἐν τῇ τότε προσβολῇ, Ἄδμητός τε, ὁ πρῶτος ἑλὼν τὸ τεῖχος, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ξὺν αὐτῷ εἴκοσι τῶν ὑπασπιϛῶν· ἐν δὲ τῇ άσῃ πολιορκίᾳ μάλιϛα ἐς τετρακοσίȣς. Τοῖς δὲ ἐς τὸ ἱρὸν τȣ̃ Ἡρακλέȣς καταφυγȣ̃σιν, (ἦσαν δὲ αὐτῶν τε τῶν Τυρίων οἱ μάλιϛα ἐν τέλει, καὶ ὁ βασιλεὺς Ἀζέμιλκος, αὶ Καρχηδονίων τινὲς θεωροὶ ἐς τιμὴν τȣ̃ Ἡρακλέȣς, ατὰ δή τι νόμιμον παλαιὸν, εἰς τὴν μητρόπολιν ἀφικόενοι) τȣ́τοις ξύμπασιν ἄδειαν δίδωσιν Ἀλέξανδρος, τȣ̀ς ὲ ἄλλȣς ἠνδραπόδισε. Καὶ ἐπράθησαν Τυρίων τε καὶ ῶν ξένων ὅσοι ἐγκατελήφθησαν, μάλιϛα ἐς τρισμυρίȣς. Ἀλέξανδρος δὲ τῷ Ἡρακλεῖ ἔθυσέ τε, καὶ πομπὴν ἔϛειε, ξὺν τῇ δυνάμει ὡπλισμένῃ καὶ αἱ νῆες ξυνεπόμπευκν τῷ Ἡρακλεῖ, καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ ἱερῷ καὶ αμπάδα ἐποίησε· καὶ τὴν μηχανὴν, ᾗ τὸ τεῖχος κατειίσθη, ἀνέθηκεν εἰς τὸν νεών· καὶ τὴν ναῦν τὴν Τυρίαν, ἣν ἱερὰν τȣ̃ Ἡρακλέος, ἥν τινα ἐν τῷ ἐπίπλῳ ἔλαβε, αὶ ταύτην τῷ Ἡρακλεῖ ἀνέθηκε, καὶ ἐπίγραμμα ἐπ' υτῇ, ἢ αὐτὸς ποιήσας, ἢ ὅτȣ δὴ ἄλλȣ ποιήσαντος ȣ̓κ ξιον μνήμης τὸ ἐπίγραμμα, διὰ τȣ̃το καὶ ἐγὼ αὐτὸ ἀναράψαι ἀπηξίωσα. Τύρος μὲν δὴ ȣ̃τως ἑάλω, ἐπὶ ἄροντος Ἀνικήτȣ Ἀθήνησι, μηνὸς Ἑκατομβαιῶνος.

XI. DE REBUS SYRORUM.

Ἡ δὲ Συρία πρὸς ἄρκτον μὲν ἀφώριϛαι τῇ Κιλιία, καὶ τῷ Ἀμάνῳ· ἀπὸ θαλάττης δ' ἐπὶ τὸ ζεῦγμα ȣ̃ Εὐφράτȣ ϛαδιοί εἰσιν ἀπὸ τȣ̃ Ἰσσικȣ̃ κόλπȣ μέχρι ȣ̃ ζεύγματος τȣ̃ κατὰ Κομμαγηνὴν, οἱ τὸ λεχθὲν πλευρὸν Strabo lib. XVI.

ρὸν ἀφορίζοντες, οὐκ ἐλάττους τῶν τετρακοσίων· πρὸς ἕω δὲ τῷ Εὐφράτῃ, καὶ τοῖς ἐντὸς τοῦ Εὐφράτου Σκηνίταις Ἄραψι· πρὸς δὲ νότον τῇ εὐδαίμονι Ἀραβίᾳ, καὶ τῇ Αἰγύπτῳ· πρὸς δύσιν δὲ τῷ Αἰγυπτιακῷ πελάγει μέχρι Ἰσσοῦ. Μέρη δ' αὐτῆς τίθεμεν, ἀπὸ τῆς Κιλικίας ἀρξάμενοι καὶ τοῦ Ἀμάνου, τήν τε Κομμαγηνὴν, καὶ τὴν Σελευκίδα καλουμένην τῆς Συρίας· ἔπειτα τὴν κοίλην Συρίαν· τελευταίαν δ' ἐν μὲν τῇ παραλίᾳ τὴν Φοινίκην, ἐν δὲ τῇ μεσογαίᾳ, τὴν Ἰουδαίαν. Ἔνιοι δὲ τὴν Συρίαν ὅλην εἴς τε Κοιλοσύρους, καὶ Φοίνικας διελόντες, τούτοις ἀναμεμίχθαι φασὶ τέτταρα ἔθνη, Ἰουδαίους, Ἰδουμαίους, Γαζαίους, Ἀζωτίους, γεωργικοὺς μὲν ὡς τοὺς Σύρους, καὶ Κοιλοσύρους, ἐμπορικοὺς δὲ ὡς τοὺς Φοίνικας· καθόλου μὲν οὖν. Καθέκαστα δὲ ἡ Κομμαγηνὴ μικρά τις ἐστίν· ἔχει δ' ἐρυμνὴν πόλιν Σαμόσατα, ἐν ᾗ τὸ βασίλειον ὑπῆρχε· νῦν δ' ἐπαρχία γέγονε· χώρα δὲ περίκειται σφόδρα εὐδαίμων ὀλίγη· ἐνταῦθα δὲ νῦν ἐστὶ τὸ ζεῦγμα τοῦ Εὐφράτου· κατὰ τοῦτο δὲ Σελεύκεια ἵδρυται φρούριον τῆς Μεσοποταμίας, προσωρισμένον ὑπὸ Πομπηΐου τῷ Κομμαγηνῷ· ἐν ᾧ τὴν Σελήνην ἐπικληθεῖσαν Κλεοπάτραν, Τιγράνης ἀνεῖλε καθείρξας χρόνον τινα, ἡνίκα τῆς Συρίας ἐξέπεσεν. Ἡ δὲ Σελευκὶς ἀρίστη μέν ἐστι τῶν λεχθεισῶν μερίδων· καλεῖται δὲ Τετράπολις, καὶ ἔστι, κατὰ τὰς ἐξεχούσας ἐν αὐτῇ πόλεις, ἐπεὶ πλείους γέ εἰσι· μέγισται δὲ τέτταρες· Ἀντιόχεια ἡ ἐπὶ Δάφνῃ, καὶ Σελεύκεια ἡ ἐν Πιερίᾳ· καὶ Ἀπάμεια δὲ καὶ Λαοδίκεια· αἵπερ καὶ ἐλέγοντο ἀλλήλων ἀδελφαὶ διὰ τὴν ὁμόνοιαν, Σελεύκου τοῦ Νικάτορος κτίσματα· ἡ μὲν οὖν μεγίστη, τοῦ πατρὸς αὐτοῦ ἐπώνυμος, ἡ δ' ἐρυμνοτάτη αὐτοῦ. αἱ δ' ἄλλαι, ἡ μὲν Ἀπάμεια τῆς γυναικὸς αὐτοῦ Ἀπάμας, ἡ δὲ Λαοδίκεια τῆς μητρός. Οἰκείως δὲ τῇ τετραπόλει, καὶ εἰς σατραπείας διῃρεῖτο τέτταρας. Ἡ δὲ Σελευκὶς, ὥς φησι Ποσειδώνιος, εἰς ὅσας καὶ ἡ Κοίλη Συρία, εἰς μίαν τὴν Μεσοποταμίαν· ἔστι δ' ἡ μὲν Ἀντιόχεια, καὶ αὐτὴ τετράπολις, ἐκ τεττάρων συνεστῶσα μερῶν· τετείχισται δὲ καὶ κοινῷ τείχει καὶ ἰδίῳ καθ' ἕκαστον τὸ κτίσμα. τὸ μὲν οὖν πρῶτον αὐτῶν ὁ Νικάτωρ συνῴκισε, μεταγαγὼν ἐκ τῆς Ἀντιγονίας τοὺς οἰκήτορας, ἣν πλησίον ἐτείχισεν Ἀντίγονος

ίγονος ὁ Φιλίππε μικρῷ πρότερον· τὸ δὲ δεύτερον, τε̃
τλήθες τῶν οἰκητόρων ἐςὶ κτίσμα· τὸ δὲ τρίτον Σελεύ-
ιε τε̃ Καλλινίκε· τὸ δὲ τέταρτον Ἀντιόχε τε̃ Ἐπιφα-
ε̃ς· Καὶ δὴ καὶ μητρόπολις ἐςὶν ἅυτη τῆς Συρίας, καὶ
ὸ βασίλειον ἐνταῦθα ἵδρυτο τοῖς ἄρχεσι τῆς χώρας· ε̉
τολύ τε λείπεται καὶ δυνάμει καὶ μεγέθει Σελευκείας
ῆς ἐπὶ τῷ Τίγρει, καὶ Ἀλεξανδρείας τῆς πρὸς Αἰγύ-
τῳ. Συνῴκισε δ᾽ ὁ Νικάτωρ ἐνταῦθα καὶ τὲς ἀπὸ γέ-
ες Τριπτολέμε, περὶ ε̃ μικρῷ πρόσθεν ἐμνήσθημεν· διό-
τερ Ἀντιοχεῖς ὡς ἥρωα τιμῶσι, καὶ ἄγεσιν ἑορτὴν ἐν
ῷ Κασσίῳ ὄρει τῷ περὶ Σελεύκειαν· Φασὶ δ᾽ αὐτὸν ὑπ᾽
Ἀργείων πεμφθέντα ἐπὶ τὴν τῆς Ἰε̃ς ζήτησιν, ἐν Τύρῳ
τρῶτον ἀφανε̃ς γενηθείσης πλανᾶσθαι κατὰ τὴν Κιλικίαν.
νταῦθα δὲ τῶν σὺν αὐτῷ τινὰς Ἀργείων κτίσαι τὴν
Ταρσὸν ἀπελθόντας παρ᾽ αὐτές· τὲς δ᾽ ἄλλες συνακολε-
ήσαντας εἰς τὴν ἑξῆς παραλίαν, ἀπογνόντας τῆς ζητή-
εως ἐν τῇ ποταμίᾳ τε̃ Ὀρόντε καταμεῖναι σὺν αὐτῷ.
Τὸν μὲν ε̃ν ὑιὸν τε̃ Τριπτολέμε Γόρδυν, ἔχοντά τινας
ῶν σὺν τῷ πατρὶ λαῶν, εἰς τὴν Γορδυαίαν ἀποικῆσαι·
ῶν δ᾽ ἄλλων τὲς ἀπογόνες συνοίκες γενέσθαι τοῖς Ἀν-
ιοχεῦσιν. Ὑπέρκειται δὲ τετταράκοντα ςαδίες ἡ Δάφνη,
ιατοικία μετρία· μέγα δὲ καὶ συνηρεφὲς ἄλσος, διαῤῥεό-
ιενον πηγαίοις ὕδασιν· ἐν μέσῳ δὲ ἄσυλον τέμενος, καὶ
εὼς Ἀπόλλωνος, καὶ Ἀρτέμιδος. Ἐνταῦθα δὲ πανη-
υρίζειν ἔθος τοῖς Ἀντιοχεῦσι, καὶ τοῖς ἀςυγείτοσι· κύκ-
ιος δὲ τε̃ ἄλσες ὀγδοήκοντα ςάδιοι. Ῥεῖ δὲ τῆς πόλεως
τλησίον Ὀρόντης ποταμός· ε̃τος δ᾽ ἐκ τῆς κοίλης Συρίας
ὰς ἀρχὰς ἔχων, εἶθ᾽ ὑπὸ γῆν ἐνεχθεὶς, ἀναδίδωσι πά-
ιιν τὸ ῥεῦμα, καὶ διὰ τῆς Ἀπαμέων εἰς τὴν Ἀντιό-
ζειαν προελθὼν, πλησιάσας τῇ πόλει, πρὸς τὴν θάλατ-
ταν καταφέρεται τὴν κατὰ Σελεύκειαν· τὸ δ᾽ ὄνομα ἀπὸ
ε̃ γεφυρώσαντος αὐτὸν Ὀρόντε μετέλαβε, καλέμενος
τρότερον Τυφών. Μυθεύεσι δ᾽ ἐνταῦθά πε τὰ περὶ τὴν
ιεραύνωσιν τε̃ Τυφῶνος, καὶ τὲς Ἀρίμες, περὶ ὧν εἴπο-
ιεν καὶ πρότερον· Φασὶ δὲ τυπτόμενον τοῖς κεραυνοῖς
(εἶναι δὲ δράκοντα) φεύγειν κατάδυσιν ζητε̃ντα· τοῖς μὲν
ὶν ὁλκοῖς ἐντεμεῖν τὴν γῆν, καὶ ποιῆσαι τὸ Ῥήξαιθρον
τηγήν· ἐκ δὲ τέτε γενέσθαι τε̃νομα τῷ ποταμῷ. Πρὸς

δύσιν

δύσιν μὲν ὖν θάλαττα ὑπόκειται τῇ Ἀντιοχείᾳ κατὰ Σελεύκειαν πρὸς ᾗ καὶ τὰς ἐκβολὰς ὁ Ὀρόντης ποιεῖται· διέχουσαι τῶν μὲν ἐκβολῶν, ςαδίους τετταράκοντα, τῆς δ' Ἀντιοχείας ἑκατὸν εἴκοσιν. Ἀνάπλους δ' ἐκ θαλάττης ἐςὶν εἰς τὴν Ἀντιόχειαν, αὐθημερόν. Πρὸς ἕω δ' ὁ Εὐφράτης ἐςὶ, καὶ ἡ Βαμβύκη καὶ ἡ Βέροια καὶ ἡ Ἡράκλεια τῇ Ἀντιοχείᾳ· πολίχνια τυραννούμενά ποτε ὑπὸ Διονυσίου τοῦ Ἡρακλέωνος. διέχει δ' ἡ Ἡράκλεια ςαδίους εἴκοσι τοῦ τῆς Ἀθηνᾶς ἱεροῦ τῆς Κυῤῥηςίδος· εἶτα ἡ Κυῤῥηςικὴ μέχρι τῆς Ἀντιοχίδος. Ἀπὸ δὲ τῶν ἀρκτῶν ἐςὶ τό, τε Ἀμανὸν πλησίον, καὶ ἡ Κομμαγηνή. Συνάπτει δὲ τούτοις ἡ Κυρηςικὴ μέχρι δεῦρο παρατείνουσα· Ἐνταῦθα δ' ἐςὶ πόλις Γίνδαρος, ἀκρόπολις τῆς Κυριςικῆς, καὶ λῃςήριον εὐφυὲς, καὶ Ἡράκλειόν τι καλούμενον πλησίον περὶ οὓς τόπους ὑπὸ Οὐεντιδίου Πάκορος διεφθάρη ὁ πρεσβύτατος τῶν τοῦ Παρθυαίου παίδων ἐπιςρατεύσας τῇ Συρίᾳ. Τῇ δὲ Γινδάρῳ συνάπτουσιν αἱ Πάγραι τῆς Ἀντιοχίδος, χωρίον ἐρυμνὸν κατὰ τὴν ὑπέρθεσιν τοῦ Ἀμανοῦ τὴν ἐκ τῶν Ἀμανίδων πυλῶν εἰς τὴν Συρίαν κείμενον. ὑποπίπτει μὲν οὖν ταῖς Πάγραις τὸ τῶν Ἀντιοχέων πεδίον, δι' οὗ ῥεῖ ὁ Ἄρκευθος ποταμὸς, καὶ ὁ Ὀρόντης, καὶ ὁ Λαβότας· ἐν δὲ τούτῳ ἐςὶ τῷ πεδίῳ καὶ ὁ Μελεάγρου χάραξ, καὶ ὁ Οἰνοπάρας ποταμός· ἐφ' ᾧ τὸν Βάλαν Ἀλεξάνδρου μάχῃ νικήσας ὁ Φιλομήτωρ Πτολεμαῖος ἐτελεύτησεν ἐκ τραύματος. Ὑπέρκειται δ' αὐτῶν λόφος Τραπεζὼν ἀπὸ τῆς ὁμοιότητος καλούμενος, ἐφ' ᾧ Οὐεντίδιος πρὸς Νικάτην τὸν Παρθυαίων ςρατηγὸν ἔσχε τὸν ἀγῶνα. Πρὸς θαλάττῃ δὲ τούτων ἐςὶν ἡ Σελεύκεια, καὶ ἡ Πιερία, ὄρος συνεχὲς τῷ Ἀμανῷ· καὶ ἡ Ῥωσσὸς μεταξὺ Ἰσσοῦ, καὶ Σελευκείας ἱδρυμένη. Ἐκαλεῖτο δ' ἡ Σελεύκεια πρότερον Ὕδατος ποταμοί· ἔρυμα δέ ἐςιν ἀξιόλογον καὶ κρείττων βίας ἡ πόλις, διόπερ καὶ ἐλευθέραν αὐτὴν ἔκρινε Πομπήϊος ἀποκλείσας Τιγράνην. Πρὸς νότον δ' ἐςὶ τοῖς μὲν Ἀντιοχεῦσιν, Ἀπάμεια ἐν μεσογαίᾳ κειμένη· τοῖς δὲ Σελευκεῦσι τὸ Κάσιον ὄρος καὶ τὸ Ἀντικάσιον· ἔτι δὲ πρότερον μετὰ τὴν Σελεύκειαν αἱ ἐκβολαὶ τοῦ Ὀρόντου· εἶτα τὸ Νυμφαῖον σπήλαιόν τι ἱερόν· εἶτα τὸ Κάσιον· ἐφεξῆς δὲ Ποσείδιον πολίχνη καὶ Ἡράκλεια·

κλεια· ἔιτα Λαοδίκεια, ἐπὶ τῇ θαλάττῃ κάλλιςα ἐκτισμένη, καὶ ἐυλίμενος πόλις, χῶρον τε ἔχεσα πολύοινον πρὸς τῇ ἄλλῃ ἐυκαρπίᾳ. Τοῖς μὲν ἒν Ἀλεξανδρεῦσιν ἄυτη παρέχει τὸ πλεῖςον τᾶ ὄινε, τὸ ὑπερκείμενον τῆς πόλεως ὄρος πᾶν κατάμπελον ἔχεσα, μέχρι σχεδόντι τῶν κορυφῶν· ἀι δὲ κορυφαὶ τῆς μὲν Λαοδικείας πολὺ ἄπωθεν ἐισὶν, ἠρέμα ἀπ' ἀυτῆς καὶ κατ' ὀλίγον ἀνακλινόμεναι· τῆς Ἀπαμείας δ' ὑπερκύπτεσιν ἐπ' ὄρθιον ὕψος ἀνατεταμέναι. Ἐλύπησε δ' ἐ μετρίως Δολοβέλας καταφυγὼν ἐις ἀυτὴν, καὶ ἐμπολιορκηθεὶς ὑπὸ Κασσίε μέχρι θανάτε, συνδιαφθείρας ἑαυτῷ καὶ τῆς πόλεως πολλὰ μέρη. Ἡ δ' Ἀπάμεια καὶ πόλιν ἔχει τοπλέον ἐυερκῆ· λόφος γάρ ἐςιν ἐν πεδίῳ κοίλῳ τετειχισμένος καλῶς, ὃν ποιεῖ χεῤῥονησίζοντα ὁ Ὀρόντης· καὶ λίμνη περικειμένη μεγάλη, καὶ ἕλη πλατέα, λειμῶνας τε βεβότες καὶ ἱπποβότες διαχεομένες ὑπερβάλλοντας τὸ μέγεθος· ἥτε δὴ πόλις ἕτως ἀσφαλῶς κεῖται· καὶ δὴ καὶ Χεῤῥόνησος ἐκλήθη, διὰ τὸ συμβεβηκὸς, καὶ χώρας ἐυπορεῖ παμπάλλης ἐυδαίμονος, δί ἧς ὁ Ὀρόντης ῥεῖ, καὶ περιπολεῖ συχνὰ ἐν ταύτῃ. Ἐνταῦθα δὲ καὶ ὁ Νικάτωρ Σέλευκος τὲς πεντακοσίες ἔτρεφεν ἐλέφαντας καὶ τὸ πλέον τῆς ςρατιᾶς, καὶ ὁι ὕςερον βασιλεῖς. Ἐκαλεῖτο δὲ καὶ Πέλλα ποτὲ ὑπὸ τῶν πρώτων Μακεδόνων, διὰ τὸ τὲς πλείςες τῶν Μακεδόνων ἐνταῦθα οἰκῆσαι τῶν ςρατευομένων· τὴν δὲ Πέλλαν ὥσπερ μητρόπολιν γεγονέναι τῶν Μακεδόνων τὴν Φιλίππε καὶ Ἀλεξάνδρε πατρίδα. Ἐνταῦθα δὲ καὶ τὸ λογιςήριον τὸ ςρατιωτικὸν, καὶ τὸ ἱπποτρόφιον· θήλειαι μὲν ἵπποι βασιλικαὶ πλείες τῶν τρισμυρίων, ὀχεῖα δὲ τέτων τριακόσια. ἐνταῦθα δὲ καὶ πωλοδάμναι καὶ ὁπλομάχοι, καὶ ὅσοι παιδευταὶ τῶν πολεμικῶν ἐμισθοδοτῆντο. Δηλοῖ δὲ τὴν δύναμιν ταύτην ἥτε τᾶ Τρύφωνος ἐπικληθέντος Διοδότε παραύξησις, καὶ ἐπίθεσις τῇ βασιλείᾳ τῶν Σύρων, ἐντεῦθεν ὁρμηθέντος. Ἐγεγένητο μὲν γὰρ ἐν Σηκοανοῖς, φρερίῳ τινι τῆς Ἀπαμέων γῆς· τραφεὶς δ' ἐν τῇ Ἀπαμείᾳ, καὶ συςαθεὶς τῷ βασιλεῖ, καὶ τοῖς περὶ ἀυτὸν, ἐπειδὴ νεωτερίζειν ὥρμησεν, ἐκ τῆς πόλεως ταύτης ἔσχε τὰς ἀφορμὰς τῶν περιοικίδων, Λαρίσσης τε καὶ τῶν Κασσιανῶν, καὶ Μεγάρων, καὶ Ἀπολλωνίας, καὶ ἄλλων τοιέτων,

των, αἱ συνετέλεν εἰς τὴν Ἀπάμειαν ἅπασαι· ἐκεῖνός τε δὴ βασιλεὺς τῆς δὲ τῆς χώρας ἀνεδείχθη, καὶ ἀντέσχε πολὺν χρόνον. Βάσσος δὲ Καικίλιος μετὰ δυοῖν ταγμάτων ἀποστήσας τὴν Ἀπάμειαν διεκαρτέρησε τοσῦτον χρόνον πολιορκούμενος ὑπὸ δυοῖν στρατοπέδων μεγάλων Ῥωμαικῶν, ὥστ' οὐ πρότερον εἰς τὴν ἐξουσίαν ἧκε, πρὶν ἑκὼν ἐνεχείρισεν ἑαυτὸν ἐφ' οἷς ἐβεβούλητο· καὶ γὰρ τὴν στρατιὰν ἀπέτρεφεν ἡ χώρα, καὶ συμμάχων εὐπόρει τῶν πλησίων φυλάρχων, ἐχόντων ἐρυμνὰ χωρία· ὧν ἐστι καὶ ἡ Λυσιάς, ὑπὲρ τῆς λίμνης κειμένη τῆς πρὸς Ἀπάμειαν, καὶ Ἀρέθουσα, καὶ ἡ Σαμψικεράμου, καὶ ἡ Ἰαμβλίχου τοῦ ἐκείνου παῖδος φυλάρχων τοῦ Ἐμεσηνῶν ἔθνους· οὐ πόῤῥω δ' οὐδ' Ἡλιούπολις καὶ Χαλκὶς ὑπὸ Πτολεμαίῳ τῷ Μενναίου, τῷ τὸν Μαρσύαν κατέχοντι, καὶ τῶν Ἰτουραίων ὀρεινήν. τῶν δὲ συμμαχούντων τῷ Βάσσῳ ἦν καὶ Ἀλχαίδαμος ὁ τῶν Ῥαμβαίων βασιλεὺς τῶν ἐντὸς τοῦ Εὐφράτου Νομάδων· ἦν δὲ φίλος Ῥωμαίων· ἀδικεῖσθαι δὲ νομίσας ὑπὸ τῶν ἡγεμόνων ἐκπεσὼν εἰς τὴν Μεσοποταμίαν, ἐμισθοφόρει τότε τῷ Βάσσῳ. Ἐντεῦθεν δ' ἐστὶ Ποσειδώνιος ὁ Στωϊκὸς, ἀνὴρ τῶν καθ' ἡμᾶς φιλοσόφων πολυμαθέστατος. Ὅμορος δ' ἐστὶ τῇ Ἀπαμέων, πρὸς ἕω μὲν ἡ τῶν φυλάρχων Ἀράβων καλουμένη Παραποταμία, καὶ ἡ Χαλκιδικὴ, ἀπὸ τοῦ Μαρσύου καθήκουσα, καὶ πᾶσα ἡ πρὸς νότον τοῖς Απαμεῦσιν, ἀνδρῶν Σκηνιτῶν τὸ πλέον· παραπλήσιοι δ' εἰσὶ τοῖς ἐν τῇ Μεσοποταμίᾳ νομάσιν· ἀεὶ δ' οἱ πλησιαίτεροι τοῖς Σύροις ἡμερώτεροι, καὶ ἧττον Ἄραβες, καὶ Σκηνῖται, ἡγεμονίας ἔχοντες συντεταγμένας μᾶλλον, καθάπερ ἡ Σαμψικεράμου Ἀρέθουσα, καὶ ἡ Γαμβάρου, καὶ ἡ Θέμελλα, καὶ ἄλλων τοιούτων. Τοιαύτη μὲν ἡ μεσόγαια τῆς Σελευκίδος. Ὁ δὲ Παράπλους ὁ λοιπὸς ἀπὸ τῆς Λαοδικείας ἐστὶ τοιοῦτος. Τῇ γὰρ Λαοδικείᾳ πλησιάζει πολίχνια, τό, τε Ποσείδιον, καὶ τὸ Ἡράκλειον, καὶ τὰ Γάβαλα· εἶτ' ἤδη ἡ τῶν Ἀραδίων παλαιὰ Πάλτος, καὶ Βαλαναία, καὶ Κάρανος τὸ ἐπίνειον τῆς Ἀράδου, λιμένιον ἔχον· εἶτ' Ἔνυδρα, καὶ Μάραθος πόλις ἀρχαία Φοινίκων κατεσκασμένη. Τὴν δὲ χώραν Ἀράδιοι κατεκληρούχησαν, καὶ Ταξύμιρα τὸ ἐφεξῆς χωρίον· τούτοις δ' ἡ Ὀρθωσιὰς συνεχής ἐστι, καὶ ὁ Ἐλεύθερος ὁ πλησίον ποταμὸς, ὅν περ ὅριον ποιοῦνταί

τινες

τινὲς τῆς Σελευκίδος πρὸς τὴν Φοινίκην καὶ τὴν κοίλην Συρίαν. Πρόκειται δ' ἡ Ἄραδος ῥαχιώδους τινὸς, καὶ ἀλιμένου παραλίας, μεταξὺ τοῦ τε ἐπινείου αὐτῆς μάλιστα, καὶ τῆς Μαράθου, διέχουσα τῆς γῆς σταδίους εἴκοσιν. Δύο δὲ ἐστὶν ὄρη τὰ ποιοῦντα τὴν Κοίλην καλουμένην Συρίαν, ὡς ἂν παράλληλα, ὅ, τε Λίβανος καὶ ὁ Ἀντιλίβανος, μικρὸν ὕπερθεν τῆς θαλάττης ἀρχόμενα ἄμφω· ὁ μὲν Λίβανος τῆς κατὰ Τρίπολιν καὶ τοῦ Θεοῦ πρόσωπον μάλιστα· ὁ δ' Ἀντιλίβανος τῆς κατὰ Σιδόνα· τελευτῶσι δ' ἐγγύς πως τῶν Ἀραβίων ὀρῶν, τῶν ὑπὲρ τῆς Δαμασκηνῆς, καὶ τῶν Τραχωνιτῶν ἐκεῖ λεγομένων εἰς ἄλλα ὄρη γεώλοφα, καὶ καλλίκαρπα. Ἀπολείπουσι δὲ μεταξὺ πεδίον κοῖλον· πλάτος μὲν τὸ ἐπὶ τῇ θαλάττῃ διακοσίων σταδίων, μῆκος δὲ τὸ ἀπὸ τῆς θαλάττης ἐς τὴν μεσόγαιαν ὁμοῦ τι διπλάσιον. Διαῤῥεῖται δὲ ποταμοῖς ἄρδουσι χώραν εὐδαίμονά τε, καὶ πάμφορον, μεγίστῳ δὲ τῷ Ἰορδάνῃ. Ἔχει δὲ καὶ λίμνην, ἣ φέρει τὴν ἀρωματῖτιν σχοῖνον, καὶ κάλαμον· ὡς δ' αὔτως, καὶ ἕλη· καλεῖται δ' ἡ λίμνη Γεννησαρῖτις, φέρει δὲ καὶ βάλσαμον. Τῶν δὲ ποταμῶν ὁ μὲν Χρυσοῤῥόας ἀρξάμενος ἀπὸ τῆς Δαμασκηνῶν πόλεως, καὶ χώρας εἰς τὰς ὀχετείας ἀναλίσκεται σχεδόν τι· πολλὴν γὰρ ἐπάρδει, καὶ βαθεῖαν σφόδρα· τὸν δὲ Λύκον, καὶ τὸν Ἰορδάνην ἀναπλέουσι φορτίοις, Ἀράδιοι δὲ μάλιστα. Τῶν δὲ πεδίων τὸ μὲν πρῶτον τὸ ἀπὸ τῆς θαλάττης, Μάκρας καλεῖται, καὶ Μάκρα πεδίον· ἐν τούτῳ δὲ Ποσειδώνιος ἱστορεῖ τὸν δράκοντα πεπτωκότα ὁραθῆναι νεκρὸν, μῆκος σχεδόν τι καὶ πλεθριαῖον, πάχος δ' ὥσθ' ἱππέας ἑκατέρωθεν παραστάντας ἀλλήλους μὴ καθορᾶν, χάσμα δὲ ὥστ' ἔφιππον δέξασθαι· τῆς δὲ φολίδος λεπίδα ἑκάστην ὑπεραίρουσαν θυρεοῦ. Μετὰ δὲ τὸν Μάκραν ἐστὶν ὁ Μαρσύας, ἔχων τινὰ καὶ ὀρεινὰ, ἐν οἷς ἡ Χαλκὶς, ὥσπερ ἀκρόπολις τοῦ Μαρσύου. ἀρχὴ δ' αὐτοῦ Λαοδίκεια ἡ πρὸς Λιβάνῳ· τὰ μὲν οὖν ὀρεινὰ ἔχουσι πάντα Ἰτουραῖοί τε καὶ Ἄραβες, κακοῦργοι πάντες· οἱ δ' ἐν τοῖς πεδίοις γεωργοὶ, κακούμενοι δ' ὑπ' ἐκείνων ἄλλοτε ἄλλης βοηθείας δέονται, ὁρμητηρίοις δ' ἐρυμνοῖς χρῶνται καθάπερ οἱ τὸν Λίβανον ἔχοντες, ἄνω μὲν ἐν τῷ ὄρει Σιννᾶν, καὶ Βόῤῥαμα, καὶ ἄλλα τινὰ τοιαῦτα ἔχουσι τείχη, κάτω δὲ Βόστρα,

στρα, καὶ Γίγαρτον, καὶ τὰ ἐπὶ τῆς θαλάττης σπήλαια, καὶ τὸ ἐπὶ τῷ Θεοῦ προσώπῳ φρούριον ἐπιτεθέν· ἃ κατέσπασε Πομπήϊος, ἀφ' ὧν τήν τε Βύβλον κατέτρεχε καὶ τὴν ἐφεξῆς ταύτῃ Βηρυτὸν, αἱ μεταξὺ κεῖνται Σιδόνος, καὶ τοῦ Θεοῦ προσώπου. Ταῦτα μὲν οὖν τὰ ἐπὶ θαλάττῃ. Ὑπὲρ δὲ τοῦ Μαρσύου ἐστὶν ὁ καλούμενος Αὐλὼν βασιλικός· καὶ ἡ Δαμασκηνὴ χώρα, διαφερόντως ἐπαινουμένη· ἔστι δὲ καὶ ἡ Δαμασκὸς πόλις ἀξιόλογος σχεδόν τι καὶ ἐπιφανεστάτη τῶν ταύτῃ κατὰ τὰ Περσικά· ὑπέρκεινται δ' αὐτῆς δύο λεγόμενοι Τραχῶνες· ἔπειτα πρὸς τὰ Ἀράβων μέρη καὶ (τῶν) Ἰτουραίων ἀναμὶξ, ὄρη δύσβατα, ἐν οἷς καὶ σπήλαια ἦν βαθύστομα, ὧν ἓν καὶ τετρακισχιλίους ἀνθρώπους δέξασθαι δυνάμενον ἐν καταδρομαῖς, αἳ τοῖς Δαμασκηνοῖς γίνονται πολλαχόθεν. Τὸ μέντοι πλέον τὸ ἀπὸ τῆς εὐδαίμονος Ἀραβίας, ἐμπόρους ληλατοῦσιν οἱ βάρβαροι· ἧττον δὲ συμβαίνει, καταλυθέντων νυνὶ τῶν περὶ Ζηνόδωρον τῶν λῃστῶν διὰ τὴν ἐκ τῶν Ῥωμαίων εὐνομίαν, καὶ διὰ τὴν ἐκ τῶν στρατιωτῶν ἀσφάλειαν τῶν ἐν τῇ Συρίᾳ τρεφομένων· ἅπασα μὲν οὖν ὑπὲρ τῆς Σελευκίδος, ὡς ἐπὶ τὴν Αἴγυπτον καὶ τὴν Ἀραβίαν ἀνίσχουσα χώρα, Κοιλησυρία καλεῖται· ἰδίως δ' ἡ τῷ Λιβάνῳ καὶ τῷ Ἀντιλιβάνῳ ἀφωρισμένη. Τῆς δὲ λοιπῆς ἡ μὲν ἀπὸ Ὀρθωσίας μέχρι Πηλουσίου παραλία Φοινίκη καλεῖται, στενή τις καὶ ἀλιτενής· ἡ δ' ὑπὲρ ταύτης μεσόγαια μέχρι τῶν Ἀράβων ἡ μεταξὺ Γάζης καὶ Ἀντιλιβάνου, Ἰουδαία λέγεται.

Appianus, de rebus Syriacis, cap. 52–66.

Ἀλέξανδρος μὲν δὴ βασιλεὺς ἦν ἐπὶ Πέρσαις Σύρων, ὁ καὶ πάντων βασιλεὺς ὅσων εἶδεν. Ἀλεξάνδρου δὲ ἀποθανόντος ἐπὶ παισὶ, τῷ μὲν, βραχεῖ πάνυ, τῷ δὲ, ἔτι κυϊσκομένῳ· οἱ μὲν Μακεδόνες, πόθῳ τοῦ Φιλίππου γένους, εἵλοντο σφῶν βασιλεύειν Ἀριδαῖον, τὸν ἀδελφὸν Ἀλεξάνδρου, καίπερ οὐκ ἔμφρονα νομιζόμενον εἶναι· μετονομάσαντες δὴ Φίλιππον ἀντὶ Ἀριδαίου· τρεφομένων ἔτι τῶν παίδων Ἀλεξάνδρου. ἐφύλαξαν γὰρ δὴ καὶ τὴν κύουσαν. Οἱ φίλοι δ' ἐς σατραπείας ἐνείμαντο τὰ ἔθνη, Περδίκκου διανέμοντος αὐτοῖς ὑπὸ τῷ βασιλεῖ Φιλίππῳ· καὶ οὐ πολὺ ὕστερον, τῶν βασιλέων ἀποθανόντων, βασιλεῖς ἐγένοντο οἱ σατράπαι. Σύρων δὴ πρῶτος γίγνεται

σατρά-

τατράπης Λαομέδων ὁ Μιτυληναῖος, ἔκ τε Περδίκκȣ, καὶ ἐξ Ἀντιπάτρȣ, τȣ͂ μετὰ τὸν Πεδίκκαν προστατεύσαντος τῶν βασιλέων. Λαομέδοντα δ' ἐπιπλεύσας Πτολεμαῖος, ὁ τῆς Αἰγύπτȣ σατράπης, ἔπειθε πολλοῖς χρήμασιν ἐγχειρίσαι οἱ τὴν Συρίαν, προβολήν τε ȣ͂σαν Αἰγύπτȣ, καὶ ἐπιχείρημα κατὰ Κύπρȣ. καὶ ȣ̓ πειθόμενον, συλλαμβάνει. ὁ δὲ, τȣ̀ς φύλακας διαφθείρας, πρὸς Ἀλκέταν ἔφυγεν ἐς Καρίαν. καί τινα χρόνον ὁ Πτολεμαῖος ἦρχε Συρίας, καὶ φρȣρὰς ἐν ταῖς πόλεσι καταλιπὼν, ἐς Αἴγυπτον ἀπέπλει. Ἀντίγονος δ' ἦν Φρυγίας μὲν καὶ Λυκίας καὶ Παμφυλίας σατράπης. ἐπίσκοπος δ' εἶναι τῆς ὅλης Ἀσίας ἐξ Ἀντιπάτρȣ περῶντος ἐς τὴν Εὐρώπην ἀπολελειμμένος, Εὐμενῆ τὸν Καππαδοκίας σατράπην, ψηφισαμένων εἶναι πολέμιον τῶν Μακεδόνων, ἐπολιόρκει. ὁ δὲ αὐτὸν ἐκφεύγει, καὶ τὴν Μηδικὴν ἐκρατύνετο ἑαυτῷ. ἀλλ' Εὐμενῆ μὲν κτείνει καταλαβὼν ὁ Ἀντίγονος. καὶ ἐπανιὼν ὑπεδέχθη λαμπρῶς ὑπὸ Σελεύκȣ σατραπεύοντος ἐν Βαβυλῶνι. ὑβρίσαντος δέ τινα τῶν ἡγεμόνων τȣ͂ Σελεύκȣ, καὶ ȣ̓ κοινώσαντος Ἀντιγόνῳ παρόντι, χαλεπήνας ὁ Ἀντίγονος ᾔτει λογισμȣ̀ς χρημάτων τε καὶ κτημάτων. Ὁ δὲ, ἀσθενέστερος ὢν Ἀντιγόνȣ, πρὸς Πτολεμαῖον ἐς Αἴγυπτον ὑπεχώρει. καὶ ὁ Ἀντίγονος εὐθὺς ἐπὶ τῇ φυγῇ τȣ͂ Σελεύκȣ, Βλίτορά τε, Μεσοποταμίας ἡγέμενον, παρέλυσε τῆς ἀρχῆς, ὅτι Σέλευκον μεθῆκεν ἀπιόντα· καὶ τὴν Βαβυλωνίαν, καὶ τὴν Μεσοποταμίαν, καὶ ὅσα ἄλλα ἐκ Μήδων ἐπὶ τὸν Ἑλλήσποντον ἔθνη, καθίστατο ἑαυτῷ, ἤδη καὶ Ἀντιπάτρȣ τεθνεῶτος. ἐπίφθονός τε εὐθὺς ἐκ τῶνδε τοῖς ἄλλοις σατράπαις ἐγίγνετο, γῆς ἄρχων τοσῆσδε. διὸ καὶ μάλιστα τῷ Σελεύκῳ παρακαλȣ͂ντι συνέθεντο Πτολεμαῖός τε, καὶ Λυσίμαχος ὁ Θρᾴκης σατράπης, καὶ Κάσσανδρος ὁ Ἀντιπάτρȣ, Μακεδόνων ἐπὶ τῷ πατρὶ ἡγέμενος· καὶ ὁμȣ͂ πρεσβευσάμενοι, τὸν Ἀντίγονον ἠξίȣν τὴν ἐπίκτητον αὐτῷ γενομένην γῆν τε καὶ χρήματα πρός τε σφᾶς νείμασθαι, καὶ πρὸς ἑτέρȣς Μακεδόνας, οἳ τῶν σατραπειῶν ἐκπεπτώκεσαν. ἐπιχλευάσαντος δὲ αὐτȣ̀ς τȣ͂ Ἀντιγόνȣ· οἱ μὲν ἐς πόλεμον καθίσαντο κοινόν. ὁ δὲ ἀντιπαρεσκευάζετο, καὶ ἐξέβαλλε τὰς φρȣρὰς ὅσαι ἔτι ἦσαν ἐν τῇ Συρίᾳ cap. 53.

Συρίᾳ Πτολεμαίῳ· Φοινίκης τε καὶ τῆς λεγομένης Κοίλης τὰ ἔτι ὑπήκοα τοῦ Πτολεμαίου πρὸς ἑαυτὸν ἀθρόας
cap. 54. περιέσπα· Χωρῶν δ' ὑπὲρ τὰς Κιλικίους πύλας, Δημήτριον τὸν υἱὸν, ἀμφὶ δύο καὶ εἴκοσιν ἔτι γεγονότα, ἐν Γάζῃ μετὰ τοῦ στρατοῦ καταλείπει, πρὸς τὰς ὁρμὰς Πτολεμαίου τὰς ἀπ' Αἰγύπτου. τοῦτον ὁ Πτολεμαῖος ἐνίκα περὶ τὴν Γάζαν μάχῃ λαμπρῶς, καὶ τὸ μειράκιον ἐς τὸν πατέρα ἐχώρει. Πτολεμαῖος δ' αὐτίκα τὸν Σέλευκον ἐς τὴν Βαβυλῶνα πέμπει, τὴν ἀρχὴν ἀναληψόμενον· καὶ πεζοὺς ἐς τοῦτο ἔδωκεν αὐτῷ χιλίους, καὶ τριακοσίους ἱππέας. καὶ σὺν οὕτως ὀλίγοις ὁ Σέλευκος τήν τε Βαβυλωνίαν, προθύμως αὐτὸν ἅμα τῶν ἀνδρῶν ἐκδεχομένων ἀνέλαβε, καὶ τὴν ἀρχὴν μετ' οὐ πολὺ εἰς μέγα προήγαγεν. ὁ δ' Ἀντίγονος Πτολεμαῖον ἠμύνετο, καὶ ναυμαχίᾳ περὶ Κύπρον ἐνίκα περιφανεῖ, Δημητρίου τοῦ παιδὸς στρατηγοῦντος. Ἐφ' ὅτῳ λαμπροτάτῳ γενομένῳ, ὁ στρατὸς ἀνεῖπεν ἄμφω βασιλέας, Ἀντίγονόν τε καὶ Δημήτριον, ἤδη καὶ τῶν βασιλέων τεθνεώτων, Ἀριδαίου τε τοῦ Φιλίππου, καὶ Ὀλυμπιάδος, καὶ τῶν υἱῶν Ἀλεξάνδρου. Ἀνεῖπε δὲ καὶ Πτολεμαῖον ὁ οἰκεῖος αὐτοῦ στρατὸς βασιλέα, ὡς μή τι διὰ τὴν ἧσσαν μειονεκτοίη τῶν νενικηκότων. τοῖσδε μὲν δὴ τυχεῖν ὁμοίων συνηνέχθη κατ' ἐναντίας αἰτίας. ἕσποντο δ' εὐθὺς αὐτοῖς οἱ λοιποὶ, καὶ
cap. 55. βασιλεῖς ἅπαντες ἐκ σατραπῶν ἐγίγνοντο. Οὕτω δὴ καὶ ὁ Σέλευκος ἐβασίλευσε τῆς Βαβυλωνίας. ἐβασίλευσε δὲ καὶ Μηδίας, Νικάτορα κτείνας αὐτὸς ἐν τῇ μάχῃ, τὸν ὑπ' Ἀντιγόνου Μηδίας σατραπεύειν ἀπολελειμμένον. πολέμους δ' ἐπολέμησε πολλοὺς Μακεδόσι καὶ βαρβάροις. καὶ τούτων Μακεδόσι μὲν δύο μεγίστους· τὸν μὲν ὕστερον, Λυσιμάχῳ βασιλεύοντι Θρᾴκης· τὸν δὲ πρότερον, Ἀντιγόνῳ περὶ Ἶψον τῆς Φρυγίας, αὐτῷ στρατηγοῦντι, καὶ αὐτῷ μαχομένῳ, καίπερ ὑπὲρ ὀγδοήκοντα ἔτη γεγονότι. πεσόντος δ' Ἀντιγόνου κατὰ τὴν μάχην, ὅσοι βασιλεῖς τὸν Ἀντίγονον ἅμα τῷ Σελεύκῳ καθῃρήκεσαν, τὴν Ἀντιγόνου γῆν διενέμοντο. καὶ ὁ Σέλευκος τότε τῆς μετ' Εὐφράτην Συρίας ἐπὶ θαλάσσῃ, καὶ Φρυγίας τῆς ἀνὰ τὸ μεσόγαιον, ἄρχειν διέλαχεν. ἐφεδρεύων δὲ αἰεὶ τοῖς ἐγγὺς ἔθνεσι, καὶ δυνατὸς ὢν βιάσασθαι, καὶ πιθανὸς προσαγα

αγαγέϑαι, ἦρξε Μεσοποταμίας, καὶ Ἀρμενίας καὶ Καππαδοκίας τῆς Σελευκίδος λεγομένης, καὶ Περσῶν, καὶ Παρϑυαίων, καὶ Βακτρίων, καὶ Ἀραβίων, καὶ Ταπύρων, καὶ τῆς Σȣγδιανῆς, καὶ Ἀραχωσίας, καὶ Ὑρκανίας, καὶ ὅσα ἄλλα ὅμορα ἔϑνη μέχρι Ἰνδȣ̃ ποταμȣ̃ Ἀλεξάνδρῳ γεγένητο δορίληπτα· ὡς ὡρίϑαι τῷδε μάλιςα μετ' Ἀλέξανδρον τῆς Ἀσίας τὸ πλέον. ἀπὸ γὰρ Φρυγίας ἐπὶ ποταμὸν Ἰνδὸν ἄνω, πάντα Σελεύκῳ κατήκȣε. καὶ τὸν Ἰνδὸν περάσας, ἐπολέμησεν Ἀνδροκόττῳ, βασιλεῖ τῶν περὶ αὐτὸν Ἰνδῶν· μέχρι Φιλίαν αὐτῷ καὶ κῆδος συνέϑετο. καὶ τῶνδε τὰ μὲν πρὸ τῆς Ἀντιγόνȣ τελευτῆς, τὰ δὲ μετ' Ἀντίγονον ἐποίησε. Λέγεται δ' αὐτῷ, ςρατιώτῃ βασιλέως ἔτι ὄντι, cap. 56. καὶ ἐπὶ Πέρσας ἑπομένῳ, χρησμὸν ἐν Διδυμέως γενέϑαι, πυνϑανομένῳ περὶ τῆς εἰς Μακεδονίαν ἐπανόδȣ·

Μὴ σπεῦδ' Εὐρώπην, Ἀσίη τοι πολλὸν ἀμείνων.

καὶ ἐν Μακεδονίᾳ τὴν ἑςίαν αὐτῷ τὴν πατρῴαν, ȣ̓δενὸς ἅψαντος, ἐκλάμψαι πῦρ μέγα. καὶ ὄναρ αὐτȣ̃ τὴν μητέρα ἰδεῖν, ὃν ἂν εὕροι δακτύλιον, δȣ̃ναι Φόρημα Σελεύκῳ· τὸν δὲ βασιλεύειν, ἔνϑα ἂν ὁ δακτύλιος ἐκπέσῃ. καὶ ἡ μὲν εὗρεν ἄγκυραν ἐν σιδήρῳ κεχαραγμένην· ὁ δὲ τὴν σΦραγῖδα τήνδε ἀπώλεσε κατὰ τὸν ΕὐΦράτην. Λέγεται καὶ ἐς τὴν Βαβυλωνίαν ἀπιόντα ὕςερον, προσκόψαι πρὸς λίϑῳ, καὶ τὸν λίϑον ἀνασκαΦέντα ἄγκυραν ὀΦϑῆναι. ϑορυβȣμένων δὲ τῶν μάντεων, ὡς ἐπὶ συμβόλῳ κατοχῆς, Πτολεμαῖον τὸν Λάγȣ παραπέμποντα εἰπεῖν, ἀσΦαλείας τὴν ἄγκυραν, ȣ̓ κατοχῆς, εἶναι σύμβολον. καὶ Σελεύκῳ μὲν διὰ τȣ̃το ἄρα καὶ βασιλεύσαντι ἡ σΦραγὶς ἄγκυρα ἦν. Δοκεῖ δέ τισι, καὶ περιόντος ἔτι Ἀλεξάνδρȣ, καὶ ἐΦορῶντος, ἕτερον τῷ Σελεύκῳ σημεῖον περὶ τῆς ἀρχῆς τοιόνδε γενέϑαι. Ἀλεξάνδρῳ γὰρ ἐξ Ἰνδῶν ἐς Βαβυλῶνα ἐπανελϑόντι, καὶ τὰς ἐν αὐτῇ τῇ Βαβυλῶνι λίμνας, ἐπὶ χρείᾳ τȣ̃ τὸν ΕὐΦράτην τὴν Ἀσσυρίδα γῆν ἀρδεύειν, περιπλέοντι, ἄνεμος ἐμπεσὼν ἥρπασε τὸ διάδημα· καὶ Φερόμενον ἐκρεμάϑη δόνακος, ἐν τάΦῳ τινὸς ἀρχαίȣ βασιλέως. καὶ ἐσήμαινε μὲν ἐς τὴν τελευτὴν τȣ̃ βασιλέως καὶ τόδε. ναύτην δέ Φασιν, ἐκκολυμβήσαντα, περιϑέϑαι τῇ κεΦαλῇ τὸ διάδημα, καὶ ἐνεγκεῖν ἄβροχον Ἀλεξάνδρῳ· καὶ λαβεῖν τῆς προϑυμίας αὐτίκα δωρεὰν παρὰ τȣ̃ βασιλέως, τάλαντον

τον ἀργυρίου. τῶν δὲ μάντεων αὐτὸν ἀναιρεῖν κελευόντων
οἱ μὲν, πειθῆναι τὸν Ἀλέξανδρον αὐτοῖς· οἱ δὲ, ἀντει-
πεῖν. εἰσὶ δὲ, οἳ τάδε πάντα ὑπερελθόντες, οὐ ναύτην
ὅλως, φασὶν, ἀλλὰ Σέλευκον ἐπὶ τὸ διάδημα τοῦ βασι-
λέως ἐκκολυμβῆσαι, καὶ περιθέσθαι Σέλευκον αὐτὸ τῇ κε-
φαλῇ, ἵνα ἄβροχον εἴη. καὶ τὰ σημεῖα ἐς τέλος ἀμφοῖν
ἀπαντῆσαι· Ἀλέξανδρόν τε γὰρ ἐν Βαβυλῶνι μεταστῆναι
τοῦ βίου, καὶ Σέλευκον τῆς Ἀλεξάνδρου γῆς, ὅτι πλείστης
cap. 57. μάλιστα τόνδε τῶν Ἀλεξάνδρου διαδόχων, βασιλεῦσαι. Το-
σαῦτα μὲν δὴ περὶ τῶν Σελεύκῳ προμαντευθέντων ἐπυθό-
μην. Γίγνεται δ' εὐθὺς Ἀλεξάνδρου μεταστάντος ἡγεμὼν
τῆς ἵππου τῆς ἑταιρικῆς· ἧς δὴ καὶ Ἡφαιστίων ἡγήσατο
Ἀλεξάνδρῳ, καὶ ἐπὶ Ἡφαιστίωνι Περδίκκας· μετὰ δὲ τὴν
ἵππον, σατράπης τε τῆς Βαβυλωνίας, καὶ βασιλεὺς ἐπὶ
τῇ σατραπείᾳ. Γενομένῳ δὲ αὐτῷ τὰ ἐς πολέμους ἐπιτυ-
χεστάτῳ, Νικάτωρ ἐπώνυμον γίγνεται· τῷδε γὰρ ἀρέσκομαι
μᾶλλον, τοῦ Νικάτορα κτεῖναι. Καὶ τὸ σῶμα ὄντι εὐρώ-
στῳ τε καὶ μεγάλῳ, καὶ ταῦρον ἄγριον, ἐν Ἀλεξάνδρου
θυσίᾳ ποτὲ ἐκθορόντα τῶν δεσμῶν ὑποστάντι μόνῳ, καὶ
ταῖς χερσὶ μόναις κατειργασμένῳ, προστιθέασιν ἐς τοὺς
ἀνδριάντας ἐπὶ τῷδε κέρατα. Πόλεις δὲ ᾤκισεν ἐπὶ τὸ
μῆκος τῆς ἀρχῆς ὅλης, ἑκκαίδεκα μεν Ἀντιοχείας, ἐπὶ
τῷ πατρί. πέντε δὲ ἐπὶ τῇ μητρὶ, Λαοδικείας· ἐννέα δ'
ἐπωνύμους ἑαυτοῦ· τέσσαρας δ' ἐπὶ ταῖς γυναιξὶ, τρεῖς Ἀ-
παμείας, καὶ Στρατονίκειαν μίαν. καί εἰσιν αὐτῶν ἐπι-
φανέσταται καὶ νῦν, Σελεύκειαι μὲν, ἥ τε ἐπὶ τῇ θαλάσ-
σῃ, καὶ ἡ ἐπὶ τοῦ Τίγρητος ποταμοῦ· Λαοδίκεια δὲ ἡ ἐν
τῇ Φοινίκῃ, καὶ Ἀντιόχεια ἡ ὑπὸ τῷ Λιβάνῳ ὄρει, καὶ
ἡ τῆς Συρίας Ἀπάμεια. τὰς δὲ ἄλλας ἐκ τῆς Ἑλλάδος
ἢ Μακεδονίας ὠνόμαζεν, ἢ ἐπὶ ἔργοις ἑαυτοῦ τισιν, ἢ ἐς
τιμὴν Ἀλεξάνδρου τοῦ βασιλέως. ὅθεν ἐστὶν ἐν τῇ Συρίᾳ,
καὶ τοῖς ὑπὲρ αὐτὴν ἄνω βαρβάροις, πολλὰ μὲν Ἑλλή-
νων, πολλὰ δὲ Μακεδονικῶν πολισμάτων ὀνόματα· Βέρροια,
Ἔδεσσα, Πέρινθος, Μαρώνεια, Καλλίπολις, Ἀχαΐα,
Πέλλα, Ὠρωπὸς, Ἀμφίπολις, Ἀρέθουσα, Ἀστακὸς, Τέ-
γεα, Χαλκὶς, Λάρισσα, Ἡραία, Ἀπολλωνία· ἐν δὲ τῇ
Παρθυήνῃ, Σώτειρα, Καλλιόπη, Χάρις, Ἑκατόμπυλος,
Ἀχαΐα· ἐν δὲ Ἰνδοῖς, Ἀλεξανδρόπολις· ἐν δὲ Σκύθαις,
Ἀλε-

Ἀλεξανδρέσχατα. καὶ ἐπὶ ταῖς αὐτοῦ Σελεύκου νίκαις ςὶ Νικηφόριόν τε ἐν τῇ Μεσοποταμίᾳ, καὶ Νικόπολις ν Ἀρμενίᾳ, τῇ ἀγχοτάτω μάλιστα Καππαδοκίας. Φασὶ ὲ αὐτῷ τὰς Σελευκείας οἰκίζοντι, τὴν μὲν ἐπὶ τῇ θα- άσσῃ, διοσημίαν ἡγήσασθαι κεραυνοῦ. καὶ διὰ τοῦτο θεὸν υτοῖς κεραυνὸν ἔθετο· καὶ θρησκεύουσι καὶ ὑμνοῦσι καὶ ῦν κεραυνόν. ἐς δὲ τὴν ἐπὶ τοῦ Τίγρητος, ἡμέραν ἐπι- έξασθαι τοὺς μάγους κελευομένους, καὶ τῆς ἡμέρας ὥραν, ῇ ῶν θεμελίων ἄρξασθαι τῆς ὀρυχῆς ἔδει, ψεύσασθαι τὴν ὥραν ὺς μάγους, οὐκ ἐθέλοντας ἐπιτείχισμα τοιόνδε σφίσι γε- έσθαι. καὶ Σέλευκος μὲν ἐν τῇ σκηνῇ τὴν δεδομένην ραν ἀνέμενεν· ὁ δὲ στρατὸς, ἐς τὸ ἔργον ἕτοιμος, ἀτρε- ῶν ἔς τε σημήνειεν ὁ Σέλευκος, ἄφνω κατὰ τὴν αἰ- ιωτέραν ὥραν δόξαντές τινα κελεύειν, ἐπὶ τὸ ἔργον ἀνε- ήδησαν, ὡς μηδὲ τῶν κηρύκων ἐρυκόντων ἔτι ἀνασχέσθαι, ὸ μὲν δὴ ἔργον ἐξετετέλεστο. Σελεύκῳ δὲ ἀθύμως ἔχον- ι, καὶ τοὺς μάγους αὖθις ἀνακρίνοντι περὶ τῆς πόλεως, δειαν αἰτήσαντες ἔλεγον οἱ μάγοι· Τὴν πεπρωμένην, βασιλεῦ, μοῖραν, χείρονά τε καὶ κρείσσονα, οὐκ ἔστιν τε ἀνδρὸς, οὔτε πόλεως ἐναλλάξαι. μοῖρα δέ τις καὶ όλεών ἐστιν, ὥσπερ ἀνδρῶν. καὶ τήνδε χρονιωτάτην μὲν δόκει τοῖς θεοῖς γενέσθαι, ἀρχομένην ἐκ τῆσδε τῆς ὥ- ας, ἧς ἐγένετο. δειμαίνοντες δ' ἡμεῖς, ὡς ἐπιτείχισμα μῖν ἐσομένην, παρεφέρομεν τὸ πεπρωμένον. τὸ δὲ, ρεῖσσον ἦν καὶ μάγων πανούργων, καὶ βασιλέως ἀγνο- ντος αὐτό. τοιγάρτοι τὸ δαιμόνιον τὰ αἰσιώτερα τῷ στρα- ῷ προσέταξε. καὶ τοῦτο ἔνι σοι καταμαθεῖν ὧδε, ἵνα ή τι καὶ νῦν ἡμᾶς ἔτι τεχνάζειν ὑπονοῇς· Αὐτός τε ὰρ ὁ βασιλεὺς σὺν τῷ στρατῷ παρεκάθησο, καὶ τὸ κέ- ευσμα αὐτὸς ἐδεδώκεις ἀναμένειν. καὶ ὁ εὐπειθέστατος ν σοι πρὸς κινδύνους καὶ πόνους, οὐκ ἠνέσχετο νῦν οὐδὲ ναπαύσεως ἐπιτάγματος, ἀλλ' ἀνέθορεν· οὐδὲ ἀνὰ μέρος, λλ' ἀθρόως, ἐπιστάταις αὐτοῖς· καὶ ἐνόμιζε κεκελεῦσθαι· αὶ κεκέλευστο δή. διόπερ οὐδὲ σοῦ κατερύκοντος αὐτοὺς τι ἐπείθοντο. τί ἂν οὖν βασιλέως ἐν ἀνθρώποις εἴη καρ- ερώτερον ἄλλο θεοῦ; ὃς τῆς σῆς γνώμης ἐπεκράτησε, αὶ ἡγεμόνευσέ σοι τῆς πόλεως ἀντὶ ἡμῶν, δυσμεναίνων μῖν τε καὶ γένει παντὶ τῷ περιοίκῳ; ποῦ γὰρ ἔτι τὰ ἡμέ-

cap. 58.

ἡμέτερα ἰσχύσει, δυνατωτέρου γένους παρῳκισμένου; Ἡ μὲν
δὴ πόλις σοι γέγονε σὺν τύχῃ, καὶ μεγιστεύσει, καὶ χρό-
νιος ἔσται. σὺ δὲ ἡμῖν ἐξαμαρτοῦσιν ὑπὸ δέους οἰκείων
ἀγαθῶν ἀφαιρέσεως, τὴν συγγνώμην βεβαίου. Ταῦτα τῶν
μάγων εἰπόντων, ὁ βασιλεὺς ἥσθη, καὶ συνέγνω. τοιάδε
cap. 59. μὲν ἐπυθόμην περὶ Σελευκείας. Ὁ δὲ Σέλευκος τὸν
υἱὸν Ἀντίοχον, περιὼν ἔτι, τῆς ἄνω γῆς βασιλεύειν ἀπέ-
φηνεν ἀνθ' ἑαυτοῦ. καὶ εἰ τῷ μεγαλόφρον εἶναι τόδε
φαίνεται καὶ βασιλικὸν, μεγαλοφρονέστερον ἔτι καὶ σοφώ-
τερον ἤνεγκε τὸν ἔρωτα τοῦ παιδὸς, καὶ τὴν ἐς τὸ πάθος
αὐτοῦ σωφροσύνην. ἤρα μὲν γὰρ ὁ Ἀντίοχος Στρατονίκης
τῆς αὐτοῦ Σελεύκου γυναικὸς, μητρυιᾶς οἱ γενομένης, καὶ
παῖδα ἤδη τῷ Σελεύκῳ πεποιημένης. συγγιγνώσκων δὲ
τὴν ἀθεμιστίαν τοῦ πάθους, οὔτε ἐπεχείρει τῷ κακῷ, οὔτε
προὔφερεν· ἀλλ' ἐνόσει, καὶ παρεῖτο, καὶ ἑκὼν ἐς τὸν
θάνατον συνήργει. οὐδ' ὁ περιώνυμος ἰατρὸς Ἐρασίστρατος,
ἐπὶ μεγίσταις συντάξεσι Σελεύκῳ συνὼν, εἶχε τεκμήρασθαι
τοῦ πάθους· μέχρι, φυλάξας καθαρὸν ἐκ πάντων τὸ σῶ-
μα, εἴκασεν, εἶναι τῆς ψυχῆς τὴν νόσον· ᾗ δὴ καὶ ἐῤῥω-
μένῃ καὶ νοσούσῃ τὸ σῶμα συναισθάνεσθαι. λύπας μὲν οὖν
καὶ ὀργὰς καὶ ἐπιμελείας ἄλλας ὁμολογεῖσθαι, ἔρωτα δ'
ἐπικρύπτεσθαι πρὸς τῶν σωφρόνων. οὐδὲν δὲ οὐδ' ὡς τοῦ
Ἀντιόχου φράζοντος αὐτῷ, λιπαροῦντι μαθεῖν ἐν ἀποῤῥήτῳ
παρεκαθέζετο, καὶ ἐφύλασσε τὰς τοῦ σώματος μεταβολάς,
ὅπως ἔχοι πρὸς ἕκαστον τῶν εἰσιόντων. ὡς δὲ εὗρεν, ἐπὶ
μὲν τῶν ἄλλων σβεννύμενον αἰεὶ τὸ σῶμα καὶ μαραινόμε-
νον ὁμαλῶς· ὅτε δὲ ἡ Στρατονίκη παρίοι πρὸς αὐτὸν ἐπι-
σκεψομένη, τὴν μὲν γνώμην ὑπ' αἰδοῦς καὶ συνειδότος τότε
μάλιστα αὐτὸν ἐνοχλούμενον καὶ σιωπῶντα, τὸ δὲ σῶμα καὶ
ἄκοντος αὐτοῦ θαλερώτερόν τε γιγνόμενον αὐτῷ καὶ ζωτι-
κώτερον, καὶ αὖθις ἀπιούσης ἀσθενέστερον· ἔφη τῷ Σελεύ-
κῳ, τὸν υἱὸν ἀνιάτως ἔχειν αὐτῷ. ὑπεραλγήσαντος δὲ
τοῦ βασιλέως, καὶ ἐκβοήσαντος, εἶπεν· Ἔρως ἐστὶ τὸ πά-
cap. 60. θος, καὶ ἔρως γυναικὸς, ἀλλ' ἀδύνατος. Σελεύκου δὲ
θαυμάσαντος, εἴ τινα μὴ δύναιτο πεῖσαι Σέλευκος, ὁ τῆς
Ἀσίας βασιλεὺς, ἐπὶ γάμῳ τοιοῦδε παιδὸς, ἱκεσίᾳ τε καὶ
χρήμασι καὶ δωρεαῖς, καὶ ὅλῃ τῇ τοσῇδε βασιλείᾳ, πε-
ριιούσῃ μὲν ἐς τόνδε τὸν κάμνοντα βασιλέα, δοθησομένῃ
δὲ

ὲ καὶ νῦν ἀντὶ τῆς σωτηρίας, ἐι ἤδη τις ἐθέλοι· καὶ μόνον ἀξιοῦντος μαθεῖν, τίς ἐστι τὸ γύναιον; ὁ Ἐρασίστρατος ἔφη· Τῆς ἐμῆς γυναικὸς ἐρᾷ. Καὶ ὁ Σέλευκος· Ἐιτ' ὦ γαθὲ, ἔφη, φιλίας μὲν οὕτω καὶ χαρίτων ἔχων ἐφ' ἡμῖν, ἀρετῆς δὲ καὶ σοφίας ἐν ὀλίγοις, οὐ σώσεις μοι νέον ἄνδρα καὶ βασιλικὸν, φίλου, καὶ βασιλέως υἱὸν, ἀτυχοῦντα καὶ σωφρονοῦντα, καὶ τὸ κακὸν ἐπικρύπτοντα, καὶ προτιώμενον αὐτῷ θανάτου; ἀλλ' ὑπερόψει μὲν οὕτως Ἀντίοχον, ὑπερόψει δ' ἐπ' αὐτῷ καὶ Σέλευκον; Ὁ δ' ἀπομαχόμενος, ἔιπε λόγον ὡς ἄφυκτον, ὅτι, Μηδ' ἂν σὺ, καίπερ ὢν πατὴρ, τῆς σῆς Ἀντίοχος ἐι ἤρα γυναικὸς, μεθῆκας ἂν αὐτῷ τὴν γυναῖκα. Ἔνθα δὴ πάντας ὤμνυ τοὺς βασιλείους θεοὺς ὁ Σέλευκος, ἦ μὲν ἑκὼν ἂν καὶ χαίρων μεθεῖναι, καὶ διήγημα γενέσθαι καλὸν ἐυνοίας ἀγαθοῦ πατρὸς ἐς παῖδα σώφρονα, καὶ ἐγκρατῆ τοῦ κακοῦ, καὶ ἀνάξιον τῆς συμφορᾶς. Πολλά τε ὅμοια ἐπενεγκὼν, ἤρξατο ἄχθεσθαι, ὅτι μὴ αὐτὸς αὐτῷ γίγνοιτο ἰατρὸς ἀτυχοῦντι, ἀλλὰ καὶ ἐς ταῦτα δέοιτο Ἐρασιστράτου. Ὁ δ' ἐπεὶ κα- cap. 61.
τεῖδε τὴν ὁρμὴν τοῦ βασιλέως, ἔργον ὑποφαίνουσαν, οὐχ ὑπόκρισιν· ἀνεκάλυπτε τὸ πάθος, καὶ, ὅπως αὐτὸ ἔυροι κρυπτόμενον, διηγεῖτο. Σελεύκῳ δὲ ἡσθέντι, ἔργον μὲν ἐγένετο πεῖσαι τὸν υἱὸν, ἔργον δ' ἐπ' ἐκείνῳ τὴν γυναῖκα. Ὡς δ' ἔπεισε· τὴν στρατιὰν συναγαγὼν, αἰσθομένην ἴσως ἤδη τι τούτων, κατελογίζετο μὲν αὐτοῖς τὰ ἔργα τὰ ἑαυτοῦ, καὶ τὴν ἀρχὴν, ὅτι δὴ μάλιστα τῶν Ἀλεξάνδρου διαδόχων ἐπὶ μήκιστον προαγάγοι· διὸ καὶ γηρῶντι ἤδη δυσκράτητον εἶναι, διὰ τὸ μέγεθος. Ἐθέλω δὲ (ἔφη) διελεῖν τὸ μέγεθος, ἐς τὴν ὑμετέραν τοῦ μέλλοντος ἀμεριμνίαν, καὶ τὸ μέρος ἤδη δοῦναι τοῖς ἐμοῖς φιλτάτοις. δίκαιοι δ' ἐστὲ μοι πάντες ἐς πάντα συνεργεῖν, οἳ ἐς τοσοῦτον ἀρχῆς καὶ δυνάμεως ηὐξήθητε ὑπ' ἐμοῦ μετ' Ἀλέξανδρον. Φίλτατοι δ' ἐισί μοι καὶ ἀρχῆς ἄξιοι, τῶν τε παίδων ὁ τέλειος ἤδη καὶ ἡ γυνή. ἤδη δ' αὐτοῖς καὶ παῖδες, ὡς νέοις, γένοιντο ταχέως, καὶ πλέονες φύλακες ὑμῖν τῆς ἡγεμονίας ἔιεν. Ἁρμόζω σφίσιν ἀλλήλους ἐφ' ὑμῶν· καὶ πέμπω, βασιλέας ἔιναι τῶν ἐθνῶν ἤδη τῶν ἄνω. καὶ οὐ Περσῶν ὑμῖν ἔθη καὶ ἑτέρων ἐθνῶν μᾶλλον, ἢ τόνδε τὸν κοινὸν ἅπασιν ἐπιθήσω νόμον· Ἀιεὶ δίκαιον ἔιναι, τὸ πρὸς

πρὸς βασιλέως ὁριζόμενον. Ὁ μὲν δὴ οὕτως εἶπεν. ἡ στρατιὰ δὲ ὡς βασιλέα τε τῶν ἐπὶ Ἀλεξάνδρῳ μέγιστον καὶ πατέρα ἄριστον, εὐφήμει. καὶ ὁ Σέλευκος, Στρατονίκῃ καὶ τῷ παιδί τὰ αὐτὰ προστάξας, ἐζεύγνυ τὸν γάμον, καὶ ἐπὶ τὴν βασιλείαν ἐξέπεμψεν· ἔργον ἀοίδιμον τόδε καὶ δυνατώτερον τῶν ἐν πολέμοις αὐτῷ γενομένων

cap. 62. ἐργασάμενος. Σατραπεῖαι δὲ ἦσαν ὑπ' αὐτῷ δύο καὶ ἑβδομήκοντα. Τοσαύτης ἐβασίλευσε· γῆς· καὶ τὴν πλείονα τῷ παιδὶ παραδοὺς, ἦρχε τῶν ἀπὸ θαλάσσης ἐπὶ Εὐφράτην μόνων. καὶ πόλεμον τελευταῖον Λυσιμάχῳ περὶ Φρυγίαν τὴν ἐφ' Ἑλλησπόντῳ πολεμῶν, Λυσιμάχου μὲν ἐκράτει, πεσόντος ἐν τῇ μάχῃ· αὐτὸς δὲ τὸν Ἑλλήσποντον ἐπέρα. καὶ ἐς Λυσιμάχειαν ἀναβαίνων, κτείνεται. Πτολεμαῖος δ' αὐτὸν ἑπόμενος ἔκτεινεν, ὅτῳ Κεραυνὸς ἐπίκλησις. υἱὸς δ' ἦν ὁ Κεραυνὸς ὅδε Πτολεμαίου τοῦ Σωτῆρος καὶ Εὐρυδίκης τῆς Ἀντιπάτρου. καὶ αὐτὸν ἐκπεσόντα Αἰγύπτου διὰ δέος, ὅτι νεωτάτῳ παιδὶ ὁ Πτολεμαῖος τὴν ἀρχὴν ἐπενόει δοῦναι, ὁ Σέλευκος, οἷα φίλου παῖδα ἀτυχοῦντα, ὑπεδέξατο, καὶ ἔφερβε, καὶ ἐπήγετο πάντη φο-

cap. 63. νέα ἑαυτοῦ. Καὶ Σέλευκος μὲν οὕτω τελευτᾷ, τρία καὶ ἑβδομήκοντα ἔτη βιώσας, καὶ βασιλεύσας αὐτῶν δύο καὶ τεσσαράκοντα. καί μοι δοκεῖ καὶ ἐς τοῦτο αὐτῷ συνεχθῆναι τὸ αὐτὸ λόγιον·

Μὴ σπεῦδ' Εὐρώπην, Ἀσίη τοι πολλὸν ἀμείνων.

Ἡ γὰρ Λυσιμάχεια τῆς Εὐρώπης ἐστί· καὶ τότε πρῶτον ἀπὸ τῆς Ἀλεξάνδρου στρατείας ἐς τὴν Εὐρώπην διεπέρα. Λέγεται δὲ καὶ περὶ αὐτοῦ τοῦ θανάτου ποτὲ αὐτῷ χρωμένῳ λόγιον προαγορευθῆναι·

Ἄργος ἀλευόμενος, τὸ πεπρωμένον εἰς ἔτος ἥξεις.
Εἰ δ' Ἄργει πελάσαις, τότε κεν παρὰ μοῖραν ὄλοιο.

Ὁ μὴν δὴ Ἄργος τὸ Πελοποννήσιον, καὶ Ἄργος τὸ Ἀμφιλοχικὸν, καὶ Ἄργος τὸ ἐν Ὀρεστείᾳ, (ὅθεν οἱ Ἀργεάδαι Μακεδόνες·) καὶ τὸ ἐν τῷ Ἰονίῳ λεγόμενον ὑπὸ Διομήδην ἀλώμενον, καὶ εἴ τι που γῆς ἄλλο Ἄργος ἐκαλεῖτο, πάντα ἀνεζήτει καὶ ἐφυλάσσετο. ἀναβαίνοντι δ' ἐς τὴν Λυσιμάχειαν αὐτῷ ἀπὸ τοῦ Ἑλλησπόντου, βωμὸς ἦν ἐν ὄψει μέγας τε καὶ περιφανής· καὶ πυθόμενος, αὐτὸν ἢ τοὺς Ἀργοναύτας στήσασθαι παραπλέοντας ἐς Κόλ-

χο-

χȣς, ἢ τȣ̀ς Ἀχαιȣ̀ς ἐπὶ Ἴλιον ϛρατέυοντας· καὶ διὰ τȣ̃το ἔτι τὸν βωμὸν τȣ̀ς περιχώρȣς Ἄργος καλεῖν, ἢ διὰ τὴν ναῦν διαφθείροντας τὸ ὄνομα, ἢ διὰ τὴν πατρίδα τῶν Ατρειδῶν· κτείνεται, ταῦτα ἔτι μανθάνων, ὑπὸ τȣ̃ Πτολεμαίȣ προσπεσόντος ὄπιθεν. Καὶ Σέλευκον μὲν ἔκαιε Φιλέταιρος, ὁ Περγάμȣ δυναϛεύσας, πολλῶν χρημάτων τὸ σῶμα τὸν Κεραυνὸν αἰτήσας· καὶ τὰ λείψανα ἔπεμπεν Αντιόχῳ, τῷ παιδὶ αὐτȣ̃. ὁ δ' ἐν Σελευκείᾳ τῇ πρὸς θαλάσσῃ ἀπέθετο, καὶ νεὼν αὐτῷ ἐπέϛησε, καὶ τέμενος περιέθηκε· καὶ τὸ τέμενος Νικατόρειον ἐπικληΐζεται. Λυσίμαχον δε, πυνθάνομαι, τῶν ὑπασπιϛῶν ὄντα τῶν Ἀλεξάνδρȣ, παρατροχάσαι ποτὲ ἐπιπλεῖϛον αὐτῷ, καὶ καμόντα, τῆς ȣ̓ρᾶς τȣ̃ βασιλέως ἵππȣ λαβόμενον, ἔτι συντρέχειν. πληγέντα δὲ ἐς τὸ μέτωπον ἐπὶ τὴν φλέβα, τῷ τέλει τȣ̃ βασιλείȣ δόρατος, αἱμοῤῥοεῖν· τὸν δὲ Ἀλέξανδρον, ἀπορίᾳ τελαμῶνος, τῷ διαδήματι αὐτȣ̃ τὸ τραῦμα περιδῆσαι. καὶ ἐμπλησθῆναι μὲν αἵματος τὸ διάδημα· τὸν δὲ Ἀλεξάνδρȣ μάντιν Ἀρίϛανδρον, φερομένῳ τῷ Λυσιμάχῳ, καὶ ὧδε ἔχοντι, ἐπειπεῖν· ὅτι, Βασιλεύσει μὲν ȣ̃τος ὁ ἀνὴρ, βασιλεύσει δ' ἐπιπόνως. Ὁ μὲν δὴ καὶ ἐβασίλευσε τεσσαράκοντα ἔτη μάλιϛα, σὺν οἷς ἐσατράπευσε· καὶ ἐπιπόνως ἐβασίλευσε. καὶ ἑβδομηκοντέτης ὢν, ϛρατευόμενος καὶ μαχόμενος ἔπεσεν. εὐθὺς δ' ἐπαναιρεθέντος αὐτῷ τȣ̃ Σελεύκȣ, κείμενον τὸ σῶμα τȣ̃ Λυσιμάχȣ κύων οἰκεῖος, ἐς πολὺ ὑπερμαχῶν, ἀλύμαντον ἐξ ὀρνέων καὶ θηρίων διεφύλασσε· μέχρι Θώραξ ὁ Φαρσάλιος, εὑρὼν, ἔθαψεν. οἱ δὲ Ἀλέξανδρον, φασὶ, θάψαι, τὸν αὐτȣ̃ Λυσιμάχȣ παῖδα, φυγόντα μὲν ὑπὸ δέȣς πρὸς Σέλευκον, ὅτε Λυσίμαχος Ἀγαθοκλέα τὸν ἕτερον αὐτȣ̃ παῖδα ἀνεῖλεν· ἐρευνησάμενον δὲ ἐν τῷ τότε τὸ σῶμα, καὶ ἐκ τȣ̃ κυνὸς μάλιϛα ἀνευρόντα, ἤδη διεφθαρμένον. τὰ δὲ ὀϛᾶ τȣ̀ς Λυσιμαχέας ἐνθέσθαι τῷ σφετέρῳ ἱερῷ, καὶ τὸ ἱερὸν Λυσιμάχειον προσαγορεῦσαι. Τοιόνδε μὲν δὴ τέλος ἑκατέρῳ τῶνδε τῶν βασιλέων συνηνέχθη, ἀνδρειοτάτων τε καὶ τὰ σώματα μεγίϛων γενομένων· τȣ̃ μὲν, ἐς ἑβδομήκοντα ἔτη, τȣ̃ δὲ, ἐς πλέονα τȣ́των ἔτι ἄλλα τρία, μεμαχημένων ἐκ χειρὸς οἰκείας αἰεὶ μέχρι τȣ̃ θανάτȣ. Σελέυκȣ δ' ἀποθανόντος, διάδοχοι, παῖς παρὰ πατρὸς ἐκδεχό-

cap. 64.

cap. 65.

δεχόμενοι τὴν Σύρων ἀρχὴν, ἐγένοντο ὅιδε· Ἀντίοχος μὲν πρῶτος ὅδε, ὁ τῆς μητρυιᾶς ἐραθείς· ὅς καὶ Σωτὴρ ἐπεκλήθη, Γαλάτας ἐκ τῆς Ἐυρώπης ἐς τὴν Ἀσίαν ἐμβαλόντας ἐξελάσας. δεύτερος δὲ, Ἀντίοχος ἕτερος, ἐκ τῶνδε τῶν γάμων γενόμενος, ὅτῳ Θεὸς ἐπώνυμον ὑπὸ Μιλησίων γίγνεται πρῶτον, ὅτι ἀυτοῖς Τίμαρχον τύραννον καθεῖλεν. ἀλλὰ τόνδε μὲν, τὸν Θεὸν, ἔκτεινεν ἡ γυνὴ Φαρμάκῳ. δύο δὲ εἶχε, Λαοδίκην καὶ Βερενίκην, ἐξ ἔρωτός τε καὶ ἐγγύης, ... Πτολεμαίȣ τȣ̃ Φιλαδέλφȣ θυγατέρα. καὶ ἀυτὸν ἔκτεινε Λαοδίκη, καὶ ἐπ' ἐκείνῳ Βερενίκην τε καὶ τὸ Βερενίκης βρέφος. καὶ Πτολεμαῖος ὁ τȣ̃ Φιλαδέλφȣ, ταῦτα τιννύμενος, Λαοδίκην τε ἔκτεινε, καὶ ἐς Συρίαν ἐνέβαλε, καὶ ἐς Βαβυλῶνα ἤλασε. Καὶ Παρθυαῖοι τῆς ἀποστάσεως τότε ἦρξαν, ὡς τεταραγμένης

cap. 66. τῆς τῶν Σελευκιδῶν ἀρχῆς. Ἐπὶ δὲ τῷ Θεῷ βασιλεὺς γίγνεται Συρίας Σέλευκος, ὑιὸς τȣ̃ Θεȣ̃ τε καὶ Λαοδίκης, ᾧ Καλλίνικος ἐπώνυμον. ἐπὶ δὲ Σελεύκῳ, δύο παῖδες ἀυτȣ̃ Σελεύκȣ, καθ' ἡλικίαν ἑκάτερος ἀυτῶν, Σέλευκός τε καὶ Ἀντίοχος. Σελεύκῳ μὲν δὴ, ἀσθενεῖ τε ὄντι, καὶ πενομένῳ, καὶ δυσπειθῆ τὸν στρατὸν ἔχοντι, ἐπεβȣλευσαν ὁι Φίλοι διὰ Φαρμάκων, καὶ ἐς ἔτη δύο μόνα ἐβασίλευσε.

Appianus, cap. 1-40. Ὁ δὲ Ἀντίοχος, ὁ Σελεύκȣ τȣ̃ Ἀντιόχȣ, Σύρων καὶ Βαβυλωνίων καὶ ἑτέρων ἐθνῶν βασιλεὺς, ἕκτος δὲ ἀπὸ Σελεύκȣ, τȣ̃ μετὰ Ἀλέξανδρον Ἀσίας τῆς περὶ Ἐυφράτην βεβασιλευκότος· ἐσβαλὼν ἐς Μηδίαν τε καὶ Παρθυηνὴν, καὶ ἕτερα ἔθνη, ἀφιστάμενα ἔτι πρὸ ἀυτȣ̃, καὶ πολλὰ καὶ μεγάλα δράσας, καὶ Μέγας Ἀντίοχος ἀπὸ τȣ̃δε κληθείς· ἐπαιρόμενος τοῖς γεγονόσι, καὶ τῇ δι' ἀυτὰ προσωνυμίᾳ, Συρίαν τε τὴν Κοίλην, καὶ Κιλικίας ἔστιν ἃ, Πτολεμαίȣ τȣ̃ Φιλοπάτορος, Ἀιγύπτȣ βασιλέως, ἔτι παιδὸς ὄντος, ἐπιδραμὼν περιέσπασε. καὶ μικρὸν ȣ̓δὲν ἐνθυμȣ́μενος, Ἑλλησποντίȣς ἐπῄει, καὶ Ἀιολέας καὶ Ἴωνας, ὥς ὁι προσήκοντας, ἄρχοντι τῆς Ἀσίας, ὅτι καὶ πάλαι τῶν τῆς Ἀσίας βασιλέων ὑπήκȣον. ἔς τε τὴν Ἐυρώπην διαπλεύσας, Θρᾴκην ὑπήγετο, καὶ τὰ ἀπειθȣ̃ντα ἐβιάζετο, χεῤῥόνησόν τε ὠχύρȣ, καὶ Λυσιμάχειαν ᾤκιζεν· ἣν Λυσίμαχος μὲν, ὁ Θρᾴκης ἐπὶ Ἀλεξάνδρῳ βασιλεύσας, ἔκτισεν ἐπιτείχισμα τοῖς Θρᾳξὶν εἶναι, ὁι Θρᾷκες δ' ἀποθανόντος

τος τῦ Λυσιμάχυ καθῃρήκεσαν. καὶ ὁ Ἀντίοχος συνῴκιζε, τὺς τε Φεύγοντας τῶν Λυσιμαχέων κατακαλῶν, καὶ, ἔι τινες αὐτῶν αἰχμάλωτοι γεγονότες ἐδύλευον, ὠνύμενος, καὶ ἑτέρυς προσκαταλέγων, καὶ βῦς καὶ πρόβατα καὶ σίδηρον ἐς γεωργίαν ἐπιδιδὺς, καὶ ὐδὲν ἐλλείπων ἐς ταχεῖαν ἐπιτειχίσματος ὁρμήν. πάνυ γὰρ αὐτῷ τὸ χωρίον ἐΦαίνετο λαμπρῶς ἔχειν ἐπὶ ὅλῃ Θράκῃ, καὶ ταμιεῖον εὔκαιρον ἐς τὰ λοιπὰ, ὧν ἐπενόει πάντων, ἔσεσθαι. Ταῦτα δ' αὐτῷ διαΦορᾶς Φανερᾶς καὶ πρὸς Ῥωμαίυς ἦρξεν. ὡς γὰρ ἐπῄει τὰς ταύτῃ Ἑλληνίδας πόλεις· οἱ μὲν πλέονες αὐτῷ προσετίθεντο, καὶ Φρυρὰς ἐσεδέχοντο, δέει τῆς δυνάμεως· Σμυρναῖοι δὲ, καὶ Λαμψακηνοὶ, καὶ ἕτεροι, ἔτι ἀντέχοντες, ἐπρεσβεύοντο ἐς Φλαμίνιον τὸν Ῥωμαίων στρατηγὸν, ἄρτι Φιλίππυ τῦ Μακεδόνος μεγάλῃ μάχῃ περὶ Θετταλίαν κεκρατηκότα. ἐγίγνετο γὰρ δὴ καὶ τὰ Μακεδόνων καὶ τὰ Ἑλλήνων ἐπίμικτα ἀλλήλοις ἀνὰ μέρη καὶ χρόνυς, ὥς μοι ἐν τῇ Ἑλληνικῇ γραΦῇ δεδήλωται. καὶ γίγνονταί τινες Ἀντιόχῳ καὶ Φλαμινίῳ διαπρέσβεύσεις ἐς ἀλλήλυς, καὶ ἀπόπειραι ἀτελεῖς. Ἐκ πολλῦ δέ οἱ Ῥωμαῖοι καὶ ὁ Ἀντίοχος ὑπόπτως εἶχον ἀλλήλοις· οἱ μὲν ὐκ ἀτρεμήσειν ὑπολαμβάνοντες Ἀντίοχον, ἐπαιρόμενον ἀρχῆς τε μεγέθει, καὶ εὐπραξίας ἀκμῇ· ὁ δὲ, Ῥωμαίυς μόνυς αὐξομένῳ μάλιστα ἐμποδὼν ἔσεσθαι, καὶ κωλύσειν τὴν Εὐρώπην περαιύμενον. Ὀυδενὸς δέ πω Φανερῦ γεγονότος αὐτοῖς εἰς ἔχθραν, ἀΦίκοντο πρέσβεις ἐς Ῥώμην παρὰ Πτολεμαίυ τῦ Φιλοπάτορος, αἰτιωμένυ, Συρίαν καὶ Κιλικίαν Ἀντίοχον αὐτὸν ἀΦελέσθαι. καὶ οἱ Ῥωμαῖοι τῆς ἀΦορμῆς ἐπέβαινον ἄσμενοι, κατὰ καιρὸν σφίσι γινομένης· καὶ πρέσβεις ἐς τὸν Ἀντίοχον ἔστελλον, τῷ λόγῳ μὲν ἔμελλον συναλλάξειν Πτολεμαῖον Ἀντιόχῳ, ἔργῳ δὲ κατασκέψεσθαι τὴν ὁρμὴν Ἀντιόχυ, καὶ κωλύσειν ὅσα δύναιντο. Τύτων δὴ τῶν πρέσβεων Γναῖος ἡγύμενος ἠξίυ τὸν Ἀντίοχον, Πτολεμαίῳ μὲν, ὄντι Ῥωμαίων Φίλῳ, συγχωρεῖν ἄρχειν ὅσων ὁ πατὴρ αὐτῷ κατέλιπε· τὰς δ' ἐν Ἀσίᾳ πόλεις, ὧν Φίλιππος ὁ Μακεδὼν ἦρχεν, αὐτονόμυς ἐᾶν. ὐ γὰρ εἶναι δίκαιον, Ἀντίοχον κρατεῖν ὧν Φίλιππον ἀΦείλοντο Ῥωμαῖοι. ὅλως δ' ἀπορεῖν, ἔΦη, τί τῦτον στόλον ὁ Ἀντίοχος καὶ τοσαύτην στρατιὰν ἄγων

cap. 2.

cap. 3.

ἀνω-

ἄνωθεν ἐκ Μήδων ἔλθοι τῆς Ἀσίας ἐπὶ θάλασσαν, ἔς τε
τὴν Εὐρώπην ἐσβάλοι, καὶ πόλεις ἐν αὐτῇ κατασκευάζοι-
το, καὶ Θρᾴκην ἐπάγοιτο· εἰ μὴ ταῦτά ἐστιν ἑτέρου πολέ-
μου θεμέλια. Ὁ δ' ἀπεκρίνατο, Θρᾴκην μὲν, τῶν προ-
γόνων αὐτοῦ γενομένην τε, καὶ δι' ἀσχολίας ἐκπεσοῦσαν,
αὐτὸς ἐπὶ σχολῆς ὢν ἀναλαμβάνειν· καὶ Λυσιμάχειαν
ἐγείρειν, οἰκητήριον Σελεύκῳ τῷ παιδὶ εἶναι. τὰς δ' ἐν
Ἀσίᾳ πόλεις αὐτονόμους ἐάσειν, εἰ χάριν οὐ Ῥωμαίοις ἀλλ'
ἑαυτῷ μέλλοιεν ἕξειν. Πτολεμαίῳ δ', ἔφη, καὶ συγγε-
νής εἰμι, καὶ ὅσον οὔπω καὶ κηδεστὴς ἔσομαι· καὶ χάριν
ὑμῖν αὐτὸν ὁμολογεῖν παρασκευάσω. ἀπορῶ δὲ κἀγὼ, τί-
νι Ῥωμαῖοι δικαίῳ τὴν Ἀσίαν πολυπραγμονοῦσιν, ἐμοῦ τὴν
Ἰταλίαν οὐ πολυπραγμονοῦντος. Οὕτω μὲν ἀπ' ἀλλήλων
ἄπρακτοι διεκρίθησαν, ἀποῤῥηγνύντες ἤδη τὰς ἀπειλὰς ἐς
cap. 4. τὸ φανερώτερον. Λόγου δὲ καὶ δόξης ἐμπεσούσης, ὅτι
Πτολεμαῖος ὁ Φιλοπάτωρ ἀποθάνοι, κατὰ σπουδὴν ὁ Ἀν-
τίοχος ἀπῄει, ὡς Αἴγυπτον ἔρημον ἄρχοντος ἁρπασόμενος.
καὶ αὐτῷ κατὰ Ἔφεσον Ἀννίβας ὁ Καρχηδόνιος συμβάλ-
λει, φεύγων τὴν πατρίδα, δι' ἐχθρῶν διαβολὰς, οἳ Ῥω-
μαίοις αὐτὸν ἔφασκον εἶναι δύσεριν τε καὶ φιλοπόλεμον,
καὶ οὔποτε εἰρηνεύειν δυνάμενον. τότε δ' ἦν, ὅτε Καρ-
χηδόνιοι Ῥωμαίοις ὑπήκοοι ἔνσπονδοι. Ἀννίβαν μὲν δὴ,
διώνυμον ἐπὶ στρατηγίαις ὄντα, ὁ Ἀντίοχος ὑπεδέχετο
λαμπρῶς, καὶ εἶχεν ἀμφ' αὐτόν. περὶ δὲ τὴν Λυκίαν
Πτολεμαῖον περιεῖναι μαθὼν, Αἰγύπτου μὲν ἀπέγνω, Κύ-
προν δ' ἐλπίσας αἱρήσειν ἀντὶ Αἰγύπτου, διέπλει κατὰ τά-
χος ἐπ' αὐτήν. χειμῶνι δ' ἀμφὶ τὸν Σάρον ποταμὸν συμ-
πεσὼν, καὶ πολλὰς τῶν νεῶν ἀποβαλὼν, ἐνίας δ' αὐτοῖς
ἀνδράσι καὶ φίλοις, ἐς Σελεύκειαν τῆς Συρίας κατέπλευ-
σε, καὶ τὸν στόλον κατεσκεύαζε πεπονημένον. γάμους τε
τῶν παίδων ἔθυεν, Ἀντιόχου καὶ Λαοδίκης, ἀλλήλοις
cap. 5. συναρμόζων. Ἤδη δὲ τὸν πρὸς Ῥωμαίους πόλεμον ἐγγυ-
κῶς ἀποκαλύπτειν, ἐπιγαμίαις τοὺς ἐγγὺς βασιλέας προκα-
τελάμβανε. καὶ Πτολεμαίῳ μὲν ἐς Αἴγυπτον ἔστελλε
Κλεοπάτραν, τὴν Σύραν ἐπίκλησιν, προῖκα Συρίαν τὴν
Κοίλην ἐπιδιδοὺς, ἣν αὐτὸς ἀφῄρητο τοῦ Πτολεμαίου· θερα-
πεύων ἤδη τὸ μειράκιον, ἵν' ἐν τῷ πολέμῳ τῷ πρὸς Ῥω-
μαίους ἀτρεμῇ. Ἀντιοχίδα δ' ἔπεμπεν Ἀριαράθῃ, τῷ Καπ-
παδο-

παδοκῶν βασιλεῖ, καὶ τὴν ἔτι λοιπὴν Εὐμενεῖ τῷ Περγάμȣ βασιλεῖ. ὁ δὲ (ἑώρα γὰρ αὐτὸν ἤδη Ῥωμαίοις τε πολεμησείοντα, καὶ πρὸς τήνδε τὴν χρείαν τὸ κῆδος αὐτῷ συναπτόμενον) ἠρνήσατο· καὶ τοῖς ἀδελφοῖς, Ἀττάλῳ τε καὶ Φιλεταίρῳ, θαυμάζȣσιν ὅτι κῆδος βασιλέως τοσȣ̃δε καὶ γείτονος, αὐτȣ̃ τε κατάρχοντος καὶ δεομένȣ, παραιτοῖτο ἐπεδείκνυ, τὸν ἐσόμενον πόλεμον ἐν μὲν ἀρχῇ τι παρ' ἀμφοῖν ἕξειν ἰσοπαλὲς, σὺν χρόνῳ δ' ὑπεροίσειν τὰ Ῥωμαίων, δι' εὐψυχίαν καὶ ταλαιπωρίαν. Ἐγὼ δ' ἔφη, Ῥωμαίων μὲν ἐπικρατȣ́ντων, βεβαίως τῆς ἀρχῆς τῆς ἐμῆς ἄρξω· Ἀντιόχȣ δὲ νικῶντος, ἐλπὶς μὲν ἀφαιρεθῆναι πάντα πρὸς γείτονος, ἐλπὶς δὲ καὶ ἔχοντα βασιλεύειν βασιλευόμενον ὑπ' ἐκείνȣ. Ὁ μὲν δὴ τοιοῖσδε λογισμοῖς τȣ̀ς γάμȣς ἀπεώσατο. Ὁ δ' Ἀντίοχος αὖθις ἐφ' Ἑλλησπόντȣ κατῄει, καὶ περιπλεύσας ἐς Χεῤῥόνησον, πολλὰ καὶ τότε τῆς Θρᾴκης ὑπήγετό τε καὶ κατεστρέφετο. Ἕλληνας δ', ὅσοι τοῖς Θραξὶν ὑπήκȣον, ἠλευθέρȣ· καὶ Βυζαντίοις ἐχαρίζετο πολλὰ, ὡς ἐπίκαιρον ἐπὶ τȣ̃ στόματος πόλιν ἔχȣσι. Γαλάτας τε δώροις καὶ καταπλήξει τῆς παρασκευῆς ἐς συμμαχίαν ὑπήγετο ἀξιομάχȣς ἡγȣ́μενος ἔσεσθαί οἱ, διὰ τὰ μεγέθη τῶν σωμάτων. Μετὰ δὲ τȣ̃το εἰς Ἔφεσον κατῆρε, καὶ πρέσβεις ἐς Ῥώμην ἔπεμπε, Λυσίαν τε καὶ Ἡγησιάνακτα καὶ Μένιππον. οἱ τῷ μὲν ἔργῳ, τῆς βȣλῆς ἀποπειράσειν ἔμελλον. τῷ λόγῳ δ' ὁ Μένιππος ἔφη· Τὸν βασιλέα, περὶ τὴν Ῥωμαίων φιλίαν ἐσπȣδακότα, καὶ βȣλόμενον καὶ σύμμαχον αὐτοῖς εἶναι, εἰ ἀξιȣ̃σι, θαυμάζειν, ὅτι κελεύȣσι τῶν ἐν Ἰωνίᾳ πόλεων ἀφίστασθαι, καὶ φόρȣς τισὶν ἀφιέναι, καὶ τῆς Ἀσίας ἔνια μὴ πολυπραγμονεῖν, καὶ Θρᾴκην ἐᾶν, ἀεὶ τῶν προγόνων αὐτȣ̃ γενομένην· ἅπερ ȣ̓ τοῖς φίλοις, ἀλλὰ τοῖς ἡττημένοις τȣ̀ς κεκρατηκότας ἐπικελεύειν. Οἱ δὲ, τῆς πρεσβείας συνιέντες ἐπὶ διαπείρᾳ σφῶν ἀφιγμένης, διὰ βραχέος ἀπεκρίναντο αὐτοῖς· ἐὰν Ἀντίοχος αὐτονόμȣς τȣ̀ς Ἕλληνας ἐᾷ τȣ̀ς ἐν Ἀσίᾳ, καὶ τῆς Εὐρώπης ἀπέχηται, Ῥωμαίοις αὐτὸν ἔσεσθαι φίλον, ἂν θέλῃ. Τοσάδε μὲν ἐπεκρίναντο Ῥωμαῖοι, καὶ τὰς αἰτίας ταῖς ἀποκρίσεσιν ȣ̓κ ἐπέθεσαν. Ὁ δ' Ἀντίοχος ἐς πρώτην ἐπινοῶν τὴν Ἑλλάδα ἐσβαλεῖν, κἀκεῖθεν ἄρξασθαι τȣ̃ πρὸς Ῥωμαίȣς πολέμȣ,

cap. 6.

cap. 7.

λέμυ, ὑπετίθετο τὴν γνώμην τῷ Καρχηδονίῳ Ἀννίβῳ. ὁ δ' ἔφη· Τὴν μὲν Ἑλλάδα, ἐκ πολλῦ τετριμμένην, ἔργον εὐχείρωτον εἶναι· τὰς δὲ πολέμυς ἅπασι χαλεπὰς μὲν οἴκοι, διὰ λιμὸν τὸν ἐπιγιγνόμενον, ἔξω δὲ, κυφοτέρυς. καὶ τὰ Ῥωμαίων ὖ ποτε Ἀντίοχον ἐν τῇ Ἑλλάδι καθαιρήσειν, ἀγορᾶς τε οἰκείας καὶ παρασκευῆς ἱκανῆς εὐπορῦντων. Ἐκέλευεν ὖν τι προλαβεῖν τῆς Ἰταλίας, καὶ πολεμεῖν ἐκεῖθεν ὁρμώμενον, ἵνα Ῥωμαίοις ἀθενέσερα ᾖ καὶ τὰ οἴκοι καὶ τὰ ἔξω. Ἔχω δ' ἐμπείρως, ἔφη, τῆς Ἰταλίας, καὶ μυρίοις ἀνδράσι δύναμαι καταλαβεῖν αὐτῆς τὰ ἐπίκαιρα· ἔς τε Καρχηδόνα τοῖς φίλοις ἐπισεῖλαι, τὸν δῆμον ἐς ἀπόςασιν ἐγεῖραι, δυσφορῦντα τέως ἐφ' ἑαυτῦ, καὶ πρὸς Ῥωμαίυς ἀπίςως ἔχοντα· τόλμης τε καὶ ἐλπίδος ἐμπλησόμενον, εἰ πύθοιτό με πορθῦντα τὴν Ἰταλίαν αὖθις. Ὁ δ', ἄσμενος ἀκύσας τῦ λόγυ, καὶ μέγα (ὥσπερ ἦν) εἰς τὸν πόλεμον ἡγύμενος Καρχηδόνα προσλαβεῖν, αὐ-
cap. 8. τίκα αὐτὸν ἐπισέλλειν τοῖς φίλοις ἐκέλευεν. Ὁ δὲ ὐκ ἐπέςειλε μέν· (ὐ γὰρ ἀσφαλὲς ἡγεῖτό πω, Ῥωμαίων τε πάντ' ἀνερευνωμένων, καὶ τῦ πολέμυ μή πω φανερῦ γεγονότος, καὶ πολλῶν οἱ διαφερομένων ἐν Καρχηδόνι, καὶ τῆς πολιτείας ὐδὲν βέβαιον ὐδ' εὐςαθὲς ἐχύσης· ἃ καὶ μετ' ὀλίγον ἀνέτρεψε τὴν Καρχηδόνα.) Ἀρίςωνα δ' ἔμπορον Τύριον, ἐπὶ προφάσει τῆς ἐμπορίας ἔπεμπε πρὸς τὰς φίλυς, ἀξιῶν, ὅταν αὐτὸς ἐς τὴν Ἰταλίαν ἐμβάλῃ, τότε ἐκείνυς τὴν Καρχηδόνα ἐς ἄμυναν ὧν ἐπεπόνθεσαν ἐγείρειν. Καὶ ὁ μὲν Ἀρίςων ὕτως ἔπραξεν. οἱ δὲ τῦ Ἀννίβυ ἐχθροὶ, αἰθόμενοι τῆς Ἀρίςωνος ἐπιδημίας, ἐθορύβυν, ὡς ἐπὶ νεωτέροις ἔργοις· καὶ τὸν Ἀρίςωνα ἐζήτυν περιϊόντες. ὁ δὲ, ἵνα τὴν διαβολὴν μὴ ἐξαίρετον ἔχοιεν οἱ Ἀννίβυ φίλοι, πρῦθηκε νυκτὸς λαθὼν γράμματα πρὸ τῦ βυλευτηρίυ, ὅτι πάντας ὁ Ἀννίβας τὰς βυλευτὰς παρακαλοίη τῇ πατρίδι συνάρασθαι μετ' Ἀντιόχυ. καὶ τῦτο πράξας ἀπέπλευσεν. ἅμα δ' ἡμέρᾳ, τὸ μὲν δέος ἐξήρητο τῶν Ἀννίβυ φίλων ἐκ τῆς Ἀρίςωνος ἐπινοίας, ὡς πρὸς ἅπασαν τὴν γερυσίαν ἀπεςαλμένυ· ἡ δὲ πόλις ἐπεπλήρωτο θορύβυ ποικίλυ, δυσμενῶς μὲν ἔχυσα Ῥωμαίοις, λήσεσθαι
cap. 9. δ' ὐ προσδοκῶσα. καὶ τὰ μὲν Καρχηδονίων ὧδε εἶχε. Ῥωμαίων δὲ πρέσβεις, ἕτεροί τε, καὶ Σκιπίων, ὁ Καρχηδόνιος

νίας ἀφελόμενος τὴν ἡγεμονίαν, ἐς ὁμοίαν πεμφθέντες Ἀντιόχου τῆς τε γνώμης ἀπόπειραν, καὶ τῆς παρασκευῆς κατάσκεψιν, ἐπεὶ τὸν βασιλέα εὗρον οἰχόμενον ἐς Πισίδας, ἐν Ἐφέσῳ περιέμενον· ἔνθα συνῄεσαν θαμινὰ ἐς λόγους τῷ Ἀννίβᾳ, Καρχηδόνος τε σφίσιν ἔτι οὔσης ἐνσπόνδου, καὶ οὔπω φανερῶς Ἀντιόχου πολεμίου· καταμεμφόμενοι τὸν Ἀννίβαν, ὅτι τὴν πατρίδα φύγοι, Ῥωμαίων οὐδὲν, εἴτε ἐς αὐτὸν, οὔτε ἐς τοὺς ἄλλους Καρχηδονίους, ἐπὶ ταῖς συνθήκαις ἁμαρτόντων. ἔπρασσον δὲ ταῦθ', ὕποπτον ἐργαζόμενοι γενέσθαι τῷ βασιλεῖ τὸν Ἀννίβαν, ἐκ τῆς συχνῆς σφῶν ὁμιλίας τε καὶ συνόδου. καὶ τοῦθ' ὁ μὲν στρατηγικώτατος Ἀννίβας οὐχ ὑπενόησεν· ὁ δὲ βασιλεὺς πυθόμενος ὑπώπτευσε, καὶ ἀμβλύτερος ἦν τὸ ἀπὸ τοῦδε πιστεύειν ἔτι τῷ Ἀννίβᾳ. καὶ γάρ τι καὶ ζήλου πρόσπην ἐς αὐτὸν ἤδη καὶ φθόνου, μὴ τῶν γιγνομένων τὸν ἔπαινον Ἀννίβας ἀποφέροιτο. Λέγεται δ' ἐν ταῖσδε ταῖς διατριβαῖς ἐν τῷ γυμνασίῳ λεσχηνεῦσαί ποτε πρὸς ἀλλήλους Σκιπίωνα καὶ Ἀννίβαν περὶ στρατηγίας, πολλῶν ἐφεστώτων· καὶ τοῦ Σκιπίωνος ἐρομένου, τίς δοκοίη οἱ στρατηγὸς ἄριστος γενέσθαι, τὸν Ἀννίβαν εἰπεῖν, ὁ Μακεδὼν Ἀλέξανδρος. Σκιπίωνα δ' ἡσυχάσαι μὲν ἐπὶ τῷδ', ἐξιστάμενον ἄρα Ἀλεξάνδρῳ· ἐπανερέσθαι δὲ, τίς εἴη δεύτερος μετ' Ἀλέξανδρον. καὶ τὸν φάναι, Πύῤῥος ὁ Ἠπειρώτης· τὴν ἀρετὴν ἄρα τὴν στρατηγικὴν ἐν τόλμῃ τιθέμενον. οὐ γάρ ἐστιν εὑρεῖν μεγαλοτολμοτέρους τῶνδε τῶν βασιλέων. δακνόμενον δ' ἤδη τὸν Σκιπίωνα, ὅμως ἐπανερέσθαι ἔτι, τίνι διδοίη τὰ τρίτα, ταχὺ γοῦν ἐλπίζοντα ἕξειν τὰ τρίτα. τὸν δὲ, ἐμαυτῷ, φάναι· νέος γὰρ ὢν ἔτι, Ἰβηρίας τε ἐκράτησα, καὶ μετὰ τῷ τὰ Ἄλπεια ὄρη μεθ' Ἡρακλέα πρῶτος ὑπερῆλθον. ἐς τε τὴν Ἰταλίαν, ὑμῶν οὐδενός πω θαῤῥοῦντος, ἐμβαλὼν, τετρακόσια ἀνέστησα ἄστη, καὶ περὶ τῇ πόλει τὸν ἀγῶνα πολλάκις ὑμῖν ἐπέστησα· οὔτε μοι χρημάτων, οὔτε στρατιᾶς ἐπιπεμπομένης ἐκ Καρχηδόνος. Ὡς δὲ αὐτὸν Σκιπίων εἶδεν ἀπομηκύνοντα τὴν σεμνολογίαν, ἔφη γελάσας· Ποῦ δ' ἂν ἑαυτὸν ἔταττες, ὦ Ἀννίβα, μὴ νενικημένος ὑπ' ἐμοῦ; Τὸν δὲ, φασὶν, αἰσθανόμενον ἤδη τῆς φιλοτιμίας, εἰπεῖν· ὅτι ἔγωγε ἔταξα ἂν ἐμαυτὸν πρὸ Ἀλεξάνδρου. οὕτω μὲν ὁ Ἀννίβας ἐπέμεινέ τε τῇ σεμνολο- cap. 10.

νολογίᾳ, καὶ τὸν Σκιπίωνα λαθὼν ἐθεράπευσεν, ὡς καθελόντα τὸν ἀμείνονα Ἀλεξάνδρε. Διαλυομένης δὲ τῆς
cap. 11. συνόδε, Σκιπίωνα μὲν ὁ Ἀννίβας ἐπὶ ξενίᾳ ἐκάλει· Σκιπίων δὲ, ἐλθεῖν ἂν, ἔφη, μάλα προθύμως, εἰ μὴ συνῆθα νῦν Ἀντιόχῳ, πρὸς Ῥωμαίες ὑπόπτως ἔχοντι. ὧδε μὲν ἐκεῖνοι, τῆς ϛρατηγίας ἀξίως, τὴν ἔχθραν ὡρίζοντο τοῖς πολέμοις. Φλαμίνιος δ' ἀνομοίως. ἡττηθέντος γὰρ ὕϛερον Ἀντιόχε, φεύγοντα τὸν Ἀννίβαν, καὶ ἀλώμενον περὶ Βιθυνίαν, πρεσβεύων ἐφ' ἕτερα πρὸς Πρεσίαν, ἔτε τι πρὸς τε Ἀννίβε προπαθὼν, ἔτε Ῥωμαίων ἐντειλαμένων, ἔτε φοβερὸν ἔτι αὐτοῖς γενέσθαι δυνάμενον, Καρχηδόνος κατεϛραμμένης, ἔκτεινε διὰ τε Πρεσίε φαρμάκῳ· λεγόμενον μὲν ἐσχηκέναι ποτὲ χρησμὸν, ὧδε ἔχοντα,

Λίβυσσα κρύψει βῶλος Ἀννίβε δέμας,

καὶ οἰόμενον ἐν Λιβύῃ τεθνήξεσθαι. ποταμὸς δ' ἐϛὶ Λίβυσσος ἐν τῇ Βιθυνίᾳ, καὶ πεδίον ἐκ τε ποταμε Λίβυσσα. Καὶ τάδε μὲν ἐς ὑπομνήματα τῆς Ἀννίβε καὶ Σκιπίωνος
cap. 12. μεγαλονοίας, καὶ Φλαμινίε σμικρότητος, παρεθέμην. Ὁ δ' Ἀντίοχος ἐκ Πισιδῶν ἐς τὴν Ἔφεσον ἐπανήει, καὶ χρηματίσας τοῖς Ῥωμαίοις πρέσβεσι, Ῥοδίες μὲν καὶ Βυζαντίες καὶ Κυζικηνὲς, καὶ ὅσοι ἄλλοι περὶ τὴν Ἀσίαν εἰσὶν Ἕλληνες, αὐτονόμες ἐπηγγείλατο ἐάσειν, εἰ γίγνοιτο αὐτῷ συνθῆκαι πρὸς Ῥωμαίες· Αἰολέας δὲ καὶ Ἴωνας ἐ συνεχώρει, ὡς ἐκ πολλε καὶ τοῖς βαρβάροις βασιλεῦσι τῆς Ἀσίας εἰθισμένες ὑπακέειν. οἱ μὲν δὴ Ῥωμαίων πρέσβεις, ἐς ἐδὲν αὐτῷ συμβαίνοντες, (ἐ γὰρ ἐπ' ἔργῳ συμβάσεων ἐληλύθεσαν, ἀλλ' ἐς ἀπόπειραν,) ᾤχοντο ἐς Ῥώμην. Ἀντιόχῳ δ' ἧκον Αἰτωλῶν πρέσβεις, ὧν Θόας ἦρχεν, αὐτοκράτορά τε ϛρατηγὸν Αἰτωλῶν Ἀντίοχον ἀποφαίνοντες, καὶ διαπλεῖν ἐς τὴν Ἑλλάδα ἤδη παρακαλοῦντες, ὡς ἐπὶ ἔργον ἕτοιμον. ἐδὲ εἴων ἀναμένειν τὴν ϛρατιὰν ἀπὸ τῆς Ἀσίας τῆς ἄνω κατιᾶσαν· ἀλλὰ τὰ Αἰτωλῶν ὑπερεπαίροντες, καὶ Λακεδαιμονίες ἐπαγγελλόμενοι σφίσι καὶ Φίλιππον ἐπὶ τοῖς Λακεδαιμονίοις τὸν Μακεδόνα, Ῥωμαίοις μηνίοντα, συμμαχήσειν, ἐπέσπερχον ἐς τὴν διάβασιν. ὁ δ' ἠρεθίζετο μάλα κεφόνως, καὶ, ἐδὲ τε παιδὸς αὐτῷ προσαγγελθέντος ἐν Συρίᾳ τεθνάναι, τῆς

ὁρμῆς

ὁρμῆς τι ἐνδὲς, διέπλει μετὰ μυρίων, ὧν τότε εἶχε μόνων, ἐς Εὔβοιαν. καὶ τήνδε μὲν αὐτὸς παρεςήσατο ἅπασαν, ἐνδῦσαν ὑπὸ ἐκπλήξεως· Μικυθίων δὲ, αὐτῦ ςρατηγὸς, τοῖς περὶ Δήλιον Ῥωμαίοις ἐπιπεσὼν, (ἱερὸν δ' ἐςὶ τὸ χωρίον Ἀπόλλωνος) τὺς μὲν αὐτῶν ἔκτεινε, τὺς δ' ἐζώγρησεν. Ἀμύνανδρός τε, ὁ Ἀθαμάνων βασιλεὺς, ἐς συμμαχίαν Ἀντιόχῳ συνῆλθε, διὰ ποιᾶσδε προφάσεως· cap. 13. τῶν τις Μακεδόνων Ἀλέξανδρος, ἐν Μεγάλῃ πόλει τραφεὶς, καὶ τῆς αὐτόθι πολιτείας ἀξιωθεὶς, ἐτερατέυετο γένος Ἀλεξάνδρῳ τῷ Φιλίππυ προσήκειν· γενομένυς τέ οἱ παῖδας ὠνόμασεν, ἐς πίςιν ὧν ἐλογοποίει, Φίλιππόν τε, καὶ Ἀλέξανδρον, καὶ Ἀπάμαν, ἣν Ἀμυνάνδρῳ πρὸς γάμον ἐνεγγύησεν. ἀγαγὼν δ' αὐτὴν Φίλιππος ὁ ἀδελφὸς ἐς τὸν γάμον, ἐπεὶ τὸν Ἀμύνανδρον εἶδεν ἀθενῆ καὶ πραγμάτων ἄπειρον, παρέμενε, τὴν ἀρχὴν διὰ τὸ κῆδος διοικῶν. τῦτον ὖν τὸν Φίλιππον ὁ Ἀντίοχος τότε ἐπελπίζων ἐς τὴν Μακεδόνων ἀρχὴν, ὡς οἰκείαν οἱ, κατάξειν, προσέλαβε τὺς Ἀθαμᾶνυς ἐς τὴν συμμαχίαν. ἐπὶ δ' αὐτοῖς, καὶ Θηβαίυς· αὐτὸς ἐς Θήβας παρελθών τε, καὶ δημηγορήσας. ὁ μὲν δὴ Θηβαίοις τε καὶ Ἀμυνάνδρῳ καὶ Αἰτωλοῖς ἐπὶ τοσῷδε πολέμῳ μάλα ματαίως ἐθάῤῥει· καὶ ἐς Θετταλίαν, ἐσκόπει, πότερον εὐθὺς, ἢ μετὰ χειμῶνα, δέοι ςρατέυειν. Ἀννίβαν δ' ἐπὶ τῇ σκέψει τῇδε ἡσυχάζοντα, ἐκέλευε γνώμην πρῶτον ἐσενεγκεῖν. Ὁ δ' ἔφη· cap. 14. Θεσσαλὺς μὲν ὐ δυσχερὲς, εἴτε νῦν, εἴτε μετὰ χειμῶνα ἐθέλοις, ὑπάγεθαι. τὸ γὰρ ἔθνος ἐκ πολλῦ πεπονηκὸς, ἐς τε σὲ νῦν, καὶ ἐς Ῥωμαίυς εἴ τι γίγνοιτο νεώτερον, μεταβαλεῖται. ἤλθομεν δ' ἄνευ τῆς οἰκείας δυνάμεως· Αἰτωλοῖς ἐπάγυσι πειθέντες, ὅτι καὶ Λακεδαιμόνιοι καὶ Φίλιππος ἡμῖν συμμαχήσυσιν. ὧν Λακεδαιμονίυς μὲν καὶ πολεμεῖν ἡμῖν ἀκύω μετὰ Ἀχαιῶν· Φίλιππον δὲ ὐχ ὁρῶ σοι παρόντα, δυνατὸν ἐν τῷδε τῷ πολέμῳ ῥοπὴν, ὁποτέρωσε προσθοῖτο, ποιῆσαι. Τῆς δὲ γνώμης ἔχομαι τῆς αὐτῆς, τὴν ςρατιὰν ἀπὸ τῆς Ἀσίας καλεῖν ὅτι τάχιςα, καὶ μὴ ἐν Ἀμυνάνδρῳ καὶ Αἰτωλοῖς τὰς ἐλπίδας ἔχειν. ὅταν δ' ἀφίκηται, τὴν Ἰταλίαν πορθεῖν· ἵνα τοῖς οἰκείοις κακοῖς περισπώμενοι, τὰ σὰ λυπῶσιν ἥκιςα, καὶ περὶ τῶν σφετέρων δεδιότες, μηδαμῦ προΐωσιν. ὁ δὲ τρόπος ἐκέθ'

ὅμοιος

ὅμοιος ὢν προὔλεγον. ἀλλὰ χρὴ τὸ μὲν ἥμισυ τῶν νεῶν τὰ παράλια τῆς Ἰταλίας πορθεῖν, τὸ δὲ ἥμισυ ναυλοχοῦν, ἐφεδρεύον ἐς τὰ συμφερόμενα· αὐτὸν δὲ σὲ τῷ πεζῷ παντὶ προκαθήμενον τῆς Ἑλλάδος, ἀγχοῦ τῆς Ἰταλίας, δόξαν ἐμποιεῖν ἐσβολῆς, καί, εἰ δύναιό ποτε, καὶ ἐσβαλεῖν. Φίλιππον δὲ πειρᾶσθαι μὲν προσάγεσθαι μηχανῇ πάσῃ, πλεῖστον ἐς ἑκατέρους ἐν τῷδε τῷ πολέμῳ δυνάμενον· ἢν δ' ἀπειθῇ, τὸν σὸν υἱὸν αὐτῷ Σέλευκον ἐπιπέμπειν διὰ Θρᾴκης, ἵνα καὶ ὅδε περισπώμενος οἰκείοις κακοῖς, μηδὲν ᾖ τοῖς πολεμίοις χρήσιμος. Τοσάδε μὲν ὁ Ἀννίβας εἶπε. καὶ ἦν ἄριστα πάντων· ὑπὸ δὲ φθόνου τῆς τε δόξης αὐτοῦ καὶ συνέσεως, οἵ τε ἄλλοι, καὶ αὐτὸς οὐχ ἧσσον ὁ βασιλεύς, ἵνα μὴ δοκοίη σφῶν ὁ Ἀννίβας τῇ στρατηγίᾳ προφέρειν, μηδὲ ἡ δόξα τῶν ἐσομένων ἐκείνου γένοιτο, μεθῆκαν ἅπαντα· πλὴν ὅτι Πολυξενίδας

cap. 15. ἐπὶ τὴν στρατιὰν ἐς τὴν Ἀσίαν ἐπέμφθη. Ῥωμαῖοι δ' ἐπὶ τῆς ἐσβολῆς τῆς ἐς τὴν Ἑλλάδα Ἀντιόχου, καὶ τῆς ἐπὶ Δηλίῳ Ῥωμαίων ἀναιρέσεώς τε καὶ αἰχμαλωσίας ἐπύθοντο, πολεμεῖν ἐψηφίσαντο. Οὕτω μὲν ὁ Ἀντιόχου τε καὶ Ῥωμαίων πόλεμος, ἐκ πολλοῦ δι' ὑπονοίας ἀλλήλοις γενόμενος, τότε πρῶτον ἀπερρήγνυτο ἐς ἔργον. Οἱ δ' Ἀντιόχου τῆς τε Ἀσίας τῆς ἄνω πολλῶν καὶ μεγάλων ἐθνῶν, καὶ τῆς ἐπὶ θαλάσσῃ, χωρὶς ὀλίγων, ὅλης ἐπικρατοῦντος, ἔς τε τὴν Εὐρώπην ἐπιβεβηκότος ἤδη, καὶ δόξαν ἐπίφοβον καὶ παρασκευὴν ἱκανὴν ἔχοντος, πολλά τε ἄλλα καθ' ἑτέρων ἐξειργασμένου λαμπρά, δι' ἃ καὶ Μέγας ἦν ἐπώνυμον αὐτῷ· τὸν πόλεμον οἱ Ῥωμαῖοι χρόνιον σφίσι καὶ μέγαν ἔσεσθαι προσεδόκων. Φίλιππόν τε τὸν Μακεδόνα δι' ὑποψίας εἶχον, ἄρτι ὑπὸ σφῶν κατεπεπολεμημένον, καὶ Καρχηδονίους, μὴ οὐ πιστοὶ σφίσιν ὦσιν ἐπὶ ταῖς συνθήκαις, Ἀννίβου συνόντος Ἀντιόχῳ. τούς τε ἄλλους σφῶν ὑπηκόους ὑπονοοῦντες, μὴ καὶ παρὰ τούτων τι νεώτερον ἐς τὴν Ἀντιόχου δόξαν γένοιτο· στρατιὰς ἐς ἅπαντας, ἐφεδρεύειν εἰρηνικῶς αὐτοῖς, καὶ στρατηγοὺς ἐπὶ τῇ στρατιᾷ, περιέπεμπον, οὓς αὐτοὶ καλοῦσιν ἑξαπελέκεας, ὅτι, τῶν ὑπάτων δυώδεκα πελέκεσι καὶ δυώδεκα ῥάβδοις, ὥσπερ οἱ πάλαι βασιλεῖς, χρωμένων, τὸ ἥμισυ τῆς ἀξιώσεώς ἐστι τοῖσδε τοῖς στρατηγοῖς, καὶ τὰ ἡμίσεα

παρα-

παράσημα. ὡς δ' ἐν μεγάλῳ φόβῳ, καὶ περὶ τῆς Ἰτα-
λίας ἐδείμαινον, μὴ ἐδ' αὐτὴ σφίσιν ᾖ πιςὴ ἢ βέβαιος
ἐπ' Ἀντιόχῳ. πεζὸν δὴ πολὺν ἐς Τάραντα διέπεμπον,
ἐφεδρεύειν τοῖς ἐπιῦσι· καὶ νεῶν ςόλος τὴν παράλιον πε-
ριέπλει. Τοσόσδε φόβος ἦν Ἀντιόχυ τὰ πρῶτα. Ὡς
δὲ αὐτοῖς τὰ ἐς τὴν ἀρχὴν συνετετάχατο πάντα, ἐπ' αὐ-
τὸν Ἀντίοχον ἤδη κατέλεγον· ἀπὸ μὲν σφῶν αὐτῶν, ἐς
δισμυρίυς ἄνδρας, ἀπὸ δὲ τῶν συμμάχων τὸ διπλάσιον,
ὡς ἅμα τῷ ἦρι τὸν Ἰόνιον διαβαλῦντες. καὶ οἱ μὲν τὸν
χειμῶνα ὅλον ἐν τύτῳ παρασκευῆς ἦσαν. Ὁ δ' Ἀντίο-
χος ἤλαυνεν ἐπὶ Θετταλὺς, καὶ γενόμενος ἐν Κυνὸς κε-
φαλαῖς, ἔνθα τὸ πταῖσμα τοῖς Μακεδόσιν ὑπὸ Ῥωμαίων
ἐγεγένητο, τὰ λείψανα τῶν τότε πεσόντων, ἄταφα ἔτι
ὄντα, μεγαλοπρεπῶς ἔθαπτε· δημοκοπῶν ἐς Μακεδόνας,
καὶ Φίλιππον αὐτοῖς διαβάλλων, ὡ θάψαντα τὺς ὑπὲρ
αὐτῦ πεσόντας. ὧν πυθόμενος ὁ Φίλιππος, ἐνδοιάζων
ἔτι καὶ περισκοπῶν ὁποτέρωσε προσθοῖτο, αὐτίκα εἵλετο
τὰ Ῥωμαίων· Βαίβιόν τε, ςρατηγὸν αὐτῶν, ἄρχοντά τι-
νος πλησίον ςρατῦ, καλέσας ἐλθεῖν ἔς τι χωρίον, πίςεις
αὖθις ἐδίδυ, Ῥωμαίοις ἀδόλως συμμαχήσειν κατ' Ἀντιό-
χυ. ἐφ' οἷς αὐτὸν ὁ Βαίβιος ἐπῄνει, καὶ θαῤῥήσας,
αὐτίκα ἔπεμπε διὰ τῆς Μακεδονίας Ἄππιον Κλαύδιον μετὰ
δισχιλίων πεζῶν ἐς Θεσσαλίαν· καὶ ὁ Ἄππιος, ἀπὸ
τῶν Τεμπῶν τὸν Ἀντίοχον Λαρίσσῃ παρακαθήμενον ἰδὼν,
πῦρ πολὺ ἤγειρεν, ἐπικρύπτων τὴν ὀλιγότητα. καὶ ὁ Ἀν-
τίοχος, ὡς Βαιβίυ καὶ Φιλίππυ παρόντων, διαταραχθεὶς,
ἔλιπε τὴν πολιορκίαν, πρόφασιν τὸν χειμῶνα ποιύμε-
νος, καὶ ἐς Χαλκίδα παρῆλθεν. ἔνθα κόρης εὐπρεπῦς
ἐρῶν τι ἁλὺς, ὑπὲρ ἔτη πεντήκοντα γεγονὼς, καὶ τοσόνδε
πόλεμον διαφέρων, ἔθυε γάμυς, καὶ πανηγύρεις ἦγε· καὶ
τὴν δύναμιν ἐς πᾶσαν ἀργίαν καὶ τρυφὴν ἐπὶ τὸν χει-
μῶνα ὅλον ἀνῆκεν. Ἀρχομένυ δ' ἔαρος, ἐμβαλὼν ἐς
Ἀκαρνανίαν, ᾔσθετο μὲν τῆς ἀργίας τῦ ςρατῦ, δυσέργυ
ἐς ἅπαντα ὄντος· καὶ τότε τῶν γάμων αὐτῷ καὶ τῆς
πανηγύρεως μετέμελεν. ὑπαγαγόμενος δ' ὅμως τινὰ τῆς
Ἀκαρνανίας, καὶ τὰ λοιπὰ πολιορκῶν· ἐπεὶ τάχιςα Ῥω-
μαίυς ἐπύθετο περῶν τὸν Ἰόνιον, ἐς Χαλκίδα ἀνεζεύγνυ.
Ῥωμαῖοι δ' ὑπὸ σπυδῆς, τοῖς τότε ἑτοίμοις ἱππεῦσι δισχι-
λίοις,

cap. 16.

cap. 17.

λίοις, καὶ πεζοῖς δισμυρίοις, καὶ ἐλέφασί τισιν, ἡγουμέν σφῶν Ἀκιλίου Μανίου Γλαβρίωνος, ἐς Ἀπολλωνίαν ἐ Βρεντεσίου διαβαλόντες, ἐπὶ Θετταλίας ἐβάδιζον, καὶ τὰ πόλεις ἐξέλυον τῶν πολιορκιῶν. ἐν ὅσαις δ' ἦσαν τῶ Ἀθαμάνων φρουραὶ, τὰς φρουρὰς ἐξέβαλλον· καὶ τὸν Με γαλοπολίτην Φίλιππον αἰχμάλωτον ἔλαβον, ἐλπίζοντα ἔτ τὴν Μακεδόνων ἀρχήν. εἷλον δὲ καὶ τῶν Ἀντιοχείων ἐ τρισχιλίους. ἅμα δὲ ταῦτα ὁ Μάνιος εἰργάζετο, καὶ ὁ Φί λιππος, ἐς Ἀθαμανίαν ἐμβαλὼν, πᾶσαν αὐτὴν ὑπηκ ἔλαβεν, Ἀμυνάνδρου φυγόντος εἰς Ἀμβρακίαν. Ὧν ὁ Ἀντίοχος αἰσθανόμενός τε, καὶ τὴν ὀξύτητα τῶν γιγνομέ νων καταπλαγεὶς, ἔδεισεν, ὡς ἐπὶ αἰφνιδίῳ καὶ ταχεί μεταβολῇ, καὶ τῆς εὐβουλίας Ἀννίβου τότε ᾔσθετο· ἐς τὴν Ἀσίαν ἄλλους ἐπ' ἄλλοις ἔπεμπεν, ἐπισπέρχειν Πολυ ξενίδαν ἐς τὴν διάβασιν· αὐτὸς δ', ὅσους εἶχε, πανταχ θεν συνεκάλει. γενομένων δ' αὐτῷ, τῶν μὲν οἰκεί πεζῶν μυρίων, καὶ ἱππέων πεντακοσίων, ἐπὶ δὲ τούτο καί τινων συμμάχων, Θερμοπύλας κατέλαβεν, ὡς τὴ δυσχωρίαν προβαλόμενος τοῖς πολεμίοις, καὶ τὸν στρατὸ τῆς Ἀσίας ἀναμενῶν. δίοδος δ' ἐστὶν αἱ Θερμοπύλαι στ καὶ ἐπιμήκης· καὶ αὐτὴν περιέχει, τῇ μὲν θάλασσα τρα χεῖα καὶ ἀλίμενος, τῇ δὲ ἕλος ἄβατόν τε καὶ βαραθ δες. κορυφαί τε εἰσὶν ἐν αὐτῇ δύο ὀρῶν ἀπόκρημνοι· κ τούτων τὴν μὲν, Τειχιοῦντα καλοῦσι, τὴν δὲ, Καλλίδρομ ἔχει δὲ ὁ τόπος θερμῶν ὑδάτων πηγὰς, καὶ Θερμοπύλ

cap. 18. ἀπὸ τοῦδ' ἐπικλήζονται. Τεῖχος οὖν ἐνταῦθα διπλο Ἀντίοχος ᾠκοδομήσατο, καὶ τὰς μηχανὰς ἐπὶ τὸ τεῖχ ἐπέθηκεν· ἔς τε τὰς κορυφὰς τῶν ὀρῶν Αἰτωλοὺς ἀνέπε ψε, μή τις λάθοι κατὰ τὴν λεγομένην Ἀτραπὸν περιε θών· ᾗ δὴ καὶ Λακεδαιμονίοις τοῖς ἀμφὶ Λεωνίδαν Ξέρξ ἐπέθετο, ἀφυλάκτων τότε τῶν ὀρῶν ὄντων. Αἰτωλοὶ χιλίους μὲν ἑκατέρῳ τῶνδε ἄκρων ἐπέστησαν· τοῖς δὲ λοιπ ἐστρατοπέδευον ἐφ' ἑαυτῶν, περὶ πόλιν Ἡράκλειαν. Ὁ Μάνιος, ἐπεὶ κατεῖδε τὴν τῶν πολεμίων παρασκευὴν, σ μεῖον ἔδωκεν ἐς ἕω μάχης· καὶ δύο τῶν χιλιάρχων, Μά κον Κάτωνα καὶ Λεύκιον Οὐαλέριον, ἐκέλευσε, νυκτὸ ἐπιλεξαμένους ἑκάτερον ὁπόσους ἐθέλοι, τὰ ὄρη περιελθε καὶ τοὺς Αἰτωλοὺς ἀπὸ τῶν ἄκρων, ὅπη δύναιντο, βιάσασ

ςων ὁ μὲν Λεύκιος ἀπεκρέσθη τῦ Τειχῦντος, ἀγαθῶν ἐνεῦθα τῶν Αἰτωλῶν γενομένων· ὁ δὲ Κάτων, τῷ Καλλιδρόμῳ παραςρατοπεδεύσας, κοιμωμένοις ἔτι τοῖς ἐχθροῖς ἐπέπεσε περὶ ἐσχάτην φυλακήν· καὶ πολὺς ἀμφ' αὐτὸν γίγνετο ἀγὼν, βιαζόμενον ἐς ὑψηλὰ καὶ ἀπόκρημνα, κωλυόντων τῶν πολεμίων. ἤδη δὲ καὶ Μάνιος ἐπῆγε τὴν ςρατιὰν Ἀντιόχῳ κατὰ μέτωπον, ἐς λόχυς ὀρθίυς διῃρημένην· ὧδε γὰρ μόνως ἐν ςενοῖς ἐδύνατο. καὶ ὁ βασιλεὺς τὺς μὲν ψιλὺς καὶ πελταςὰς προμάχεσθαι τῆς φάλαγγος ἐκέλευσε, αὐτὴν δ' ἔςησε πρὸ τῦ ςρατοπέδυ· ἐπὶ δεξιὰ δ' αὐτῆς τὺς σφενδονήτας καὶ τοξότας, ἐπὶ τῶν ὑπωρειῶν· τὺς δ' ἐλέφαντας, ἐν ἀριςερᾷ, καὶ τὸ ςῖφος ὃ μετ' αὐτῶν ἀιεὶ συνετάσσετο, παρὰ τῇ θαλάσσῃ. Γενομένης δ' ἐν χερσὶ τῆς μάχης, τὰ μὲν πρῶτα τὸν Μάνιον οἱ ψιλοὶ, πανταχόθεν περιτρέχοντες, ἐλύπυν. ἐπεὶ δὲ αὐτὺς φιλοπόνως δεχόμενός τε καὶ ἀναχωρῶν, καὶ αὖθις ἐπιὼν, ἐτρέψατο· τὺς μὲν ψιλὺς ἡ φάλαγξ ἡ τῶν Μακεδόνων διαςᾶσα, ἐς αὐτὴν ἐδέξατο, καὶ συνελθῦσα ἐκάλυψε, καὶ τὰς σαρίσας ἐν τάξει πυκνὰς πρῦβάλοντο· ᾧ δὴ μάλιςα οἱ Μακεδόνες ἐξ Ἀλεξάνδρυ καὶ Φιλίππυ κατεπλήσσοντο τὺς πολεμίυς, ἀντίοις δόρασι πολλοῖς καὶ μακροῖς ὐ τολμῶντας πελάζειν. αἰφνίδιον δ' ὤφθη τῶν Αἰτωλῶν ἐκ τῦ Καλλιδρόμυ φυγὴ καὶ βοὴ, καθαλλομένων ἐς τὸ Ἀντιόχυ ςρατόπεδον. τὸ μὲν δὴ πρῶτον ἑκατέροις ἄγνοιά τε τῦ γιγνομένυ, καὶ θόρυβος ἦν, ὡς ἐν ἀγνοίᾳ. ὡς δὲ ὁ Κάτων ἐπεφαίνετο, διώκων αὐτὺς μετὰ πολλῆς βοῆς, καὶ ὑπὲρ τὸ ςρατόπεδον ἐγίγνετο ἤδη τὸ Ἀντιόχυ· ἔδεισαν οἱ τῦ βασιλέως, περί τε τῆς Ῥωμαίων μάχης ἐπιφόβως ἐκ πολλῦ πυνθανόμενοι, καὶ σφᾶς εἰδότες ὑπὸ ἀργίας καὶ τρυφῆς δι' ὅλυ τῦ χειμῶνος ἐς δυσεργίαν διεφθαρμένυς. τὺς τε σὺν τῷ Κάτωνι σαφῶς μὲν ὐ καθορῶντες ὁπόσοι τινὲς εἶεν, ὑπὸ δὲ τῦ φόβυ πλείυς νομίζοντες εἶναι, καὶ περὶ τῷ ςρατοπέδῳ δείσαντες, ἀκόσμως ἐς αὐτὸ κατέφευγον, ὡς ἀπ' αὐτῦ τὺς πολεμίυς ἀμυνύμενοι. Ῥωμαῖοι δ' αὐτοῖς παραθέοντες, συνέπεσον ἐς τὸ ςρατόπεδον· καὶ ἦν ἄλλη φυγὴ τῶν Ἀντιοχείων ἐκεῖθεν ἄκοσμος. ὁ δὲ Μάνιος μέχρι μὲν ἐπὶ Σκάρφειαν ἐδίωκεν αὐτὺς, κτείνων τε καὶ ζωγρῶν. ἀπὸ δὲ τῆς Σκαρφείας ἐπάνιὼν, διήρ-

cap. 19.

διήρπαζε τὸ στρατόπεδον τοῦ βασιλέως· καὶ τοὺς Αἰτωλοὺς ἐπιδραμόντας τῷ Ῥωμαίων χάρακι παρὰ τὴν ἀπουσίαν αὐτῶν, ἐξήλασεν ἐπιφανείς.

cap. 20. Ἀπέθανον δ' ἐν τῇ μάχῃ καὶ τῇ διώξει, Ῥωμαίων μὲν, ἀμφὶ τοὺς διακοσίους· Ἀντιόχου δὲ, σὺν τοῖς ληφθεῖσιν, ἀμφὶ τοὺς μυρίους. αὐτὸς δ' ὁ βασιλεὺς ἀπὸ μὲν τῆς πρώτης τροπῆς μετὰ πεντακοσίων ἱππέων εἰς Ἐλάτειαν ἀμεταστρεπτὶ διέδραμεν. ἀπὸ δ' Ἐλατείας, ἐς Χαλκίδα, καὶ ἐς Ἔφεσον, μετ' Εὐβίας τῆς νεογάμου, (τοῦτο γὰρ αὐτὴν ὠνόμαζεν) ἐπὶ τῶν νεῶν ἔφευγεν, οὐδὲ τούτων ἁπασῶν. ἀγορὰν γάρ τινας αὐτῶν διαφερούσας ὁ Ῥωμαίων ναύαρχος ἐπαναχθεὶς διεφθάρκει. Οἱ δ' ἐν ἄστει Ῥωμαῖοι τῆς νίκης πυθόμενοι, ταχείας τε οὕτω καὶ εὐχεροῦς σφίσι φανείσης, ἔθυον, ἐκ φοβερᾶς τῆς Ἀντιόχου δόξης τὴν πρώτην πεῖραν ἀσπασάμενοι. Φίλιππόν τε τῆς συμμαχίας ἀμειβόμενοι, τὸν υἱὸν αὐτοῦ Δημήτριον, ὁ-

cap. 21. μηρεύοντα ἔτι παρὰ σφίσιν, ἔπεμψαν. Καὶ τάδε μὲν ἦν ἐν ἄστει. Μάνιος δὲ Φωκέας μὲν, καὶ Χαλκιδέας, καὶ ὅσοι ἄλλοι τῷ Ἀντιόχῳ συνεπεπράχεσαν, δεομένους, ἀπέλυσε τοῦ δέους. τὴν δ' Αἰτωλίαν αὐτός τε καὶ Φίλιππος ἐδῄουν, καὶ τὰς πόλεις ἐπολιόρκουν. Δαμόκριτόν τε, τὸν στρατηγὸν τῶν Αἰτωλῶν, ἐνταῦθα ὁ Μάνιος ἔλαβε κρυπτόμενον, ὃς Φλαμινίῳ παρὰ τὸν Τίβεριν ἠπείλει στρατοπεδεύειν. ὁ μὲν δὴ Μάνιος ἐπὶ Καλλιπόλεως διώδευε τὸ ὄρος, ὃ καλοῦσι Κόρακα, ὑψηλότατόν τε ὀρῶν, καὶ δυσόδευτον, καὶ ἀπόκρημνον, μετὰ στρατοῦ βαρυτάτου τε καὶ λαφύρων καταγόμου. πολλοὶ δ' ἐξέπιπτον ὑπὸ τῆς δυσοδίας ἐς τὰ ἀπόκρημνα, καὶ σκεύεσιν αὐτοῖς καὶ ὅπλοις κατεφέροντο. καὶ αὐτοὺς δυνηθέντες ἂν οἱ Αἰτωλοὶ συνταράξαι, οὐδὲ ὤφθησαν, ἀλλ' ἐς Ῥώμην περὶ εἰρήνης ἐπρέσβευον. Ἀντίοχος δὲ τὴν στρατιὰν ἀπὸ τῶν ἄνω σατραπειῶν κατὰ σπουδὴν ἐπὶ θάλασσαν ἐκάλει, καὶ τὰς ναῦς ἐπεσκεύαζε, ναυαρχοῦντος αὐτῷ Πολυξενίδου Ῥοδίου φυγάδος. ἔς τε Χερρόνησον διαπλεύσας, πάλιν αὐτὴν ὠχύρου, καὶ Σηστὸν καὶ Ἄβυδον ἐκρατύνετο, δι' ὧν ἔδει τὴν φάλαγγα τὴν Ῥωμαίων ἐς τὴν Ἀσίαν ὁδεῦσαί τε καὶ περάσαι. Λυσιμάχειαν δὲ ταμιεῖον τῷδε τῷ πολέμῳ ποιούμενος, ὅπλα καὶ σῖτον πολὺν ἐς αὐτὴν συνέφερεν· ἡγούμενος αὐτίκα οἱ Ῥωμαίους πεζῷ τε πολλῷ καὶ ναυσὶν ἐπι-

θήσε-

ήσεσθαι. Οἱ δὲ Μανίῳ μὲν αἱρȣ̃νται διάδοχον ἐπὶ τὴν ατηγίαν Λεύκιον Σκιπίωνα, ὃς τότε αὐτοῖς ὕπατος ἦν· ράκτῳ δ' ὄντι καὶ ἀπειροπολέμῳ σύμβȣλον αἱρȣ̃νται τὸν ελφὸν Πέπλιον Σκιπίωνα, τὸν Καρχηδονίȣς ἀφελόμενον ν ἡγεμονίαν, καὶ πρῶτον ὀνομαθέντα Ἀφρικανόν. Καὶ μὲν Σκιπίωνες ἔτι ἦσαν ἐν παρασκευῇ· Λίβιος δ', ὁ λαξ τῆς Ἰταλίας, ἐπὶ τὴν ναυαρχίαν αἱρεθεὶς Ἀτι- ν διάδοχος, αὐτίκα ταῖς τε ἰδίαις ναυσὶν, αἷς τὴν Ἰτα- ν περιέπλει, καὶ παρὰ Καρχηδονίων αὐτῷ τισι δοθεί- ς, καὶ συμμαχίσιν ἄλλαις, ἐς Πειραιᾶ κατήχθη. καὶ ὑπ' Ἀτιλίῳ ϛόλον παραλαβὼν, ἔπλει καταφράκτοις ήκοντα καὶ μιᾷ, ἑπομένȣ καὶ Εὐμενȣ̃ς πεντήκοντα ις· καὶ ἦν κατάφρακτον καὶ τῶνδε τὸ ἥμισυ. ἔς τε καιαν, ὑπήκοον μὲν Ἀντιόχȣ, ὑπὸ δ' ἐκπλήξεως αὐ- δεχομένην, κατήγοντο· καὶ τῆς ἐπιȣ́σης ἐς ναυμαχίαν ἔπλεον. ἀντανήγετο δ' αὐτοῖς ὁ ναύαρχος ὁ Ἀντιό- Πολυξενίδας διακοσίαις ναυσὶ, κȣφοτέραις τῶν πολε- ν παρὰ πολύ· ᾧ δὴ καὶ μάλιϛα πρȣ̃λαβε, τȣ̃ πελά- ἔτι Ῥωμαίων ἀναπειρωμένων. καὶ δύο τῶν Καρχη- ίων ναῦς ἰδὼν προπλεȣ́σας, τρεῖς τῶν ἰδίων ἐπιπέμ- , εἷλε τὰς δύο κενὰς, ἐξαλομένων τῶν Λιβύων ἐς πέλαγος. Λίβιος δ' ἐπὶ τὰς τρεῖς ἐφέρετο πρῶτος ὑ- ὀργῆς τῇ ϛρατηγίδι νηΐ, πολὺ πρȣ̃χων τȣ̃ ϛόλȣ. αἱ ὡς μιᾷ, σὺν καταφρονήσει, χεῖράς τε σιδηρᾶς ἐπέ- λον· καὶ συνεϛηκότων τῶν σκαφῶν, ὁ ἀγὼν ἦν ὥ- ρ ἐν γῇ. πολὺ δὲ κρείσσȣς ὄντες οἱ Ῥωμαῖοι ταῖς λμίαις, ἐπιβάντες ἐς τὰς ἀλλοτρίας ἐκράτȣν, καὶ νηῒ δύο ὁμȣ̃ φέροντες ἐπανήεσαν. καὶ τόδε μὲν τῆς αχίας προαγώνισμα ἦν. ἐπεὶ δὲ οἱ ϛόλοι συνέπεσον ήλοις, ἰσχύϊ μὲν καὶ προθυμίᾳ τὰ τῶν Ῥωμαίων ἐπε- ει· διὰ δὲ βαρύτητα τῶν σκαφῶν τȣ̀ς ἐχθρȣ̀ς ȣ̓κ ἐδύ- ο καταλαμβάνειν, κȣ́φαις ναυσὶν ὑποφεύγοντας. ἕως ἐν ἐς τὴν Ἔφεσον ὀξέως κατέφυγον, οἱ δ' ἐς Χίον ραν· ἔνθα αὐτοῖς Ῥοδίων νῆες συμμαχίδες ἦλθον ἑπ- καὶ εἴκοσιν. Ἀντίοχος δὲ, περὶ τῆσδε τῆς ναυμαχίας όμενος, Ἀννίβαν ἔϛελλεν ἐπὶ Συρίας εἰς νεῶν ἄλλων ε Φοινίκης καὶ Κιλικίας παρασκευήν. καὶ τόνδε μὲν ιόντα Ῥόδιοι κατέκλεισαν ἐς Παμφυλίαν, καί τινας αὐτȣ̃

cap. 22.

αὐτοῦ τῶν νεῶν εἷλον, καὶ τὰς λοιπὰς ἐφεδρεύοντες ἐφύ-
cap. 23. λασσον. Πόπλιος δὲ Σκιπίων, ἀφικόμενος ἐς Αἰτωλίαν μετὰ τοῦ ὑπάτου, καὶ τὸν Μανίου στρατὸν παραλαβὼν, τὰ μὲν ἐν Αἰτωλίᾳ πολιορκίας ὑπερεῖδεν, ὡς μικρὸν ἔργον καὶ τοῖς Αἰτωλοῖς δεομένοις ἐπέτρεψεν αὖθις ἐς Ῥώμην πρεσβεῦσαι περὶ σφῶν· ἐπὶ δὲ τὸν Ἀντίοχον ἠπείγετο, πρὶν ἐκβῆναι τῷ ἀδελφῷ τὴν στρατηγίαν. διὰ δὲ Μακεδόνων ὥδευε καὶ Θρᾳκῶν ἐπὶ τὸν Ἑλλήσποντον, δυσχερῆ καὶ χαλεπὴν ὁδὸν αὐτῷ γενομένην ἂν, εἰ μὴ Φίλιππος ὁ Μακεδὼν ὡδοποίει καὶ ὑπεδέχετο καὶ παρέπεμπεν, ἐζευγμένοις τε ποταμοῖς ἐκ πολλοῦ, καὶ ἀγοραῖς ἑτοίμοις. ᾧ δὴ αὐτὸν οἱ Σκιπίωνες αὐτίκα τῶν ὑπολοίπων χρημάτων ἀπέλυσαν, ἐπιτετραμμένοι τοῦθ' ὑπὸ τῆς βουλῆς, εἰ πρόθυμον εὕροιεν. ἐπέστελλον δὲ καὶ ἐς Προυσίαν, τὸν Βιθυνῶν βασιλέα· καταλέγοντες, ὅσοις βασιλεῦσι Ῥωμαῖοι συμμαχήσασι τὰς ἀρχὰς ἐπηύξησαν. Φίλιππον δὲ (φασὶ) τὸν Μακεδόνα καὶ πολέμῳ κρατήσαντες ἄρχειν ἐῶσι καὶ τὸν παῖδα αὐτῷ τῆς ὁμηρείας ἀπελύσαμεν, καὶ τὸ ἐπὶ ὄφλημα τῶν χρημάτων. Οἷς ὁ Προυσίας ἡσθεὶς, συνέθετο συμμαχήσειν ἐπ' Ἀντίοχον. Λίβιος δ' ὁ ναύαρχος ἐπεὶ τῆς ὁδοιπορίας τῶν Σκιπιώνων ἐπύθετο, Παυσίμαχον μὲν τὸν Ῥόδιον μετὰ τῶν Ῥοδίων νεῶν ἐν τῇ Αἰολίδι κατέλιπε, καὶ μέρος τι τοῦ ἰδίου στόλου· ταῖς δὲ πλείοσιν ἐς τὸν Ἑλλήσποντον ἔπλει, τὸν στρατὸν ὑποδεξόμενος. καὶ Σηστὸς μὲν αὐτῷ καὶ Ῥοίτειον, καὶ ὁ Ἀχαιῶν λιμὴν, καί τινα ἄλλα προσέθετο· Ἄβυδον δὲ ἀπειθοῦσαν ἐπολιόρκει.

cap. 24. Παυσίμαχος δ', οἰχομένου Λιβίου, πείρας τε πυκνὰς καὶ μελέτας τῶν ἰδίων ἐποιεῖτο, καὶ μηχανὰς ποικίλας συνεπήγνυτο, πυρφόρα τε ἀγγεῖα σιδήρεα ἐξῆπτε κοντῶν μακρῶν, αἰωρεῖσθαι τὸ πῦρ ἐς τὸ πέλαγος· ἵνα τῶν μὲν οἰκείων σκαφῶν πολὺ προύχῃ, τοῖς δὲ πολεμίοις προσιοῦσιν ἐμπίπτῃ. καὶ αὐτὸν τάδε φιλοπονούμενον Πολυξενίδας, ὁ Ἀντιόχου ναύαρχος, Ῥόδιός τε ὢν καὶ ὅδε, καί τισιν αἰτίαις ἐκπεσὼν τῆς πατρίδος, ἐνήδρευεν· ὑπισχνούμενος, τὸν Ἀντιόχου στόλον ἐγχειριεῖν, εἰ συνθοῖτο συμπράξειν ἐς κάθοδον αὐτῷ. ὁ δὲ ὑπώπτευε μὲν ἐπίκλοπον ἄνδρα καὶ πανοῦργον, καὶ ἐς πολὺ καλῶς ἐφυλάσσετο. γράψαντος δ' αὐτῷ τοῦ Πολυξενίδου περὶ τῆς προδοσίας ἐπιστολὴν αὐτόγραφον

ιον, καὶ ἐπ' αὐτῇ καὶ ἀναζεύξαντος ἀπὸ τῆς Ἐφέσε,
κὶ τὴν ϛρατιὰν ὑποκριθέντος ἐς χορτολογίαν περιπέμπειν·
Πανσίμαχος, τήν τε ἀνάζευξιν ὁρῶν, καὶ ἐκ ἐλπίσας
ι τινα περὶ προδοσίας ἐπιϛολὴν αὐτόγραφον ἐκ ἀληθεύον-
ι πέμψαι, πάγχυ πιϛεύσας, ἐξέλυσε τὰς φυλακὰς, καὶ
σιτολογίαν καὶ αὐτὸς περιέπεμπεν. ὁ δὲ Πολυξενίδας,
εὶ κατεῖδεν αὐτὸν ἐνηδρευμένον, αὐτίκα τὴν παρασκευὴν
νῆγε, καὶ Νίκανδρον τὸν πειρατὴν σὺν ὀλίγοις ἐς τὴν
ὰμον περιέπεμπε, κατὰ τὴν γῆν ὄπιθεν τῷ Πανσιμάχε
ρυβοποιεῖν. ἐκ δὲ μέσων νυκτῶν αὐτὸς ἐπέπλει, καὶ
ρὶ τὴν ἑωθινὴν φυλακὴν ἐπέπιπτεν ἔτι κοιμωμένῳ. ὁ
, ἐν αἰφνιδίῳ κακῷ καὶ ἀδοκήτῳ, τὲς ϛρατιώτας ἐκέ-
υε, τὰς ναῦς ἐκλιπόντας ἀπὸ τῆς γῆς ἀμύνεσθαι τὲς πο-
μίες. προσπεσόντος δ' ὄπιθεν αὐτῷ τῷ Νικάνδρε, νο-
σας καὶ τὴν γῆν προειλῆφθαι ἐχ ὑπὸ τῶν ἑωραμένων
ίνων, ἀλλ' ὡς νυκτὶ, πολὺ πλειόνων, πάλιν ἐς τὰς ναῦς
έβαινε θορυβέμενος· πρῶτός τε ἐς μάχην ἀνήγετο, καὶ
ῶτος ἔπιπτε, λαμπρῶς ἀγωνιζόμενος. τῶν δ' ἄλλων οἱ
ν ἐλήφθησαν, οἱ δ' ἀπώλοντο. καὶ τῶν νεῶν ἑπτὰ μὲν,
τὸ πῦρ ἔφερον, ἐδενὸς αὐταῖς διὰ τὴν φλόγα προσιόν-
ς, ἔφευγον· τὰς δὲ λοιπὰς εἴκοσιν ὁ Πολυξενίδας ἀνα-
τάμενος, ἐς τὴν Ἔφεσον κατήχθη. Καὶ ἐπὶ τῇδε τῇ cap. 25.
ιῃ Φώκαια αὖθις καὶ Σάμος καὶ Κύμη πρὸς Ἀντίοχον
τετίθετο. δείσας δ' ὁ Λίβιος περὶ τῶν σφετέρων νεῶν,
ἐν τῇ Αἰολίδι καταλελοίπει, κατὰ σπεδὴν ἐς αὐτὰς
χνήει. καὶ Εὐμενὴς πρὸς αὐτὸν ἠπείγετο· Ῥόδιοί τε
υμαίοις ναῦς ἑτέρας εἴκοσιν ἔπεμπον. μικρὸν δὲ δια-
όντες, ἅπαντες ἀνεθάῤῥησαν, καὶ ἐπὶ τὴν Ἔφεσον
λεον, ἐς ναυμαχίαν ἐσκευασμένοι. ἐδενὸς δ' αὐτοῖς ἀν-
ιπλέοντος, τὸ μὲν ἥμισυ τῶν νεῶν ἐς ἐπίδειξιν ἔϛησαν
μέσῃ τῇ θαλάσσῃ μέχρι πολλε· ταῖς δ' ὑπολοίποις ἐς
πολεμίαν καταχθέντες, ἐπόρθεν. μέχρι Νίκανδρος
τοῖς ἐκ τῆς μεσογαίας ἐπιπεσὼν, τήν τε λείαν ἀφείλε-
, καὶ ἐς τὰς ναῦς κατεδίωξεν. οἱ μὲν δὴ πάλιν ἐς
μον ἀνήγοντο, καὶ ὁ χρόνος ἔληγε Λιβίῳ τῆς ναυαρχίας.
δ' αὐτε χρόνε Σέλευκος, ὁ Ἀντιόχε, τὴν Εὐμενὲς cap. 26.
ἐδῄε, καὶ Περγάμῳ παρεκάθητο, τὲς ἄνδρας ἐς τὴν
ιν κατακλείσας. ὅθεν ὁ Εὐμενὴς ἐς Ἐλαίαν, τὸ
τῆς

τῆς ἀρχῆς ἐπίνειον, διέπλει κατὰ σπȣδὴν, καὶ σὺν αὐτῷ Λεύκιος Αἰμίλιος Ῥηγίλλος, ὁ Λιβίȣ τὴν ναυαρχίαν παραδεδεγμένος. ἧκον δὲ καὶ παρὰ τῶν Ἀχαιῶν Εὐμενεῖ σύμμαχοι χίλιοι πεζοὶ, καὶ ἱππεῖς ἑκατὸν ἐπίλεκτοι. ὧν Διοφάνης ὁ ϛρατηγὸς, ἀπὸ τȣ̃ τείχȣς ἰδὼν τȣ̀ς Σελευκείȣς παίζοντάς τε καὶ μεθύοντας ἐκ καταφρονήσεως, ἔπειθε τȣ̀ς Περγαμηνȣ̀ς ἑαυτῷ συνεκδραμεῖν ἐπὶ τȣ̀ς πολεμίȣς. οὐχ ὑφιϛαμένων δ' ἐκείνων, ὥπλισε τȣ̀ς ἰδίȣς χιλίȣς, καὶ τȣ̀ς ἑκατὸν ἱππέας, καὶ προαγαγὼν ὑπὸ τὸ τεῖχος ἔϛησεν ἀτρεμεῖν· ὑπερορώντων αὐτȣ̀ς ἐς πολὺ τῶν πολεμίων, ὡς ὀλίγȣς τε καὶ ȣ̓ τολμῶντας ἐς χεῖρας ἐλθεῖν. ὁ δ' ἀριϛοποιȣμένοις ἐπιδραμὼν, ἐθορύβησέ τε καὶ ἐτρέψατο τȣ̀ς προφύλακας. τῶν δ' ἄλλων ἐπὶ τὰ ὅπλα ἀναπηδώντων, καὶ τȣ̀ς ἵππȣς περιχαλινȣ́ντων, ἢ φεύγοντας διωκόντων, ἢ δυσχερῶς ἀναβαινόντων ȣ̓κ ἐνσταθέντας, ἐκράτει πάνυ λαμπρῶς· ἐπιβοώντων ἄνωθεν ἀπὸ τȣ̃ τείχȣς τῶν Περγαμηνῶν, καὶ ȣ̓δὲ τότε προελθεῖν ὑφιϛαμένων. κτείνας δ' ὅσȣς ἐδύνατο, ὡς ἐν ἐπιδείξει ταχεῖα, καί τινας αἰχμαλώτȣς ἑλὼν ἄνδρας τε καὶ ἵππȣς, ἐπανῄει κατὰ σπȣδήν. καὶ τῆς ἐπιȣ́σης αὖθις ἵϛη τȣ̀ς Ἀχαιȣ̀ς ὑπὸ τὸ τεῖχος, ȣ̓δὲ τότε τῶν Περγαμηνῶν αὐτῷ συνεξιόντων. Σέλευκος δ' ἱππεῦσι πολλοῖς αὐτῷ προσπέλαζε, προκαλȣ́μενος· ὁ δὲ τότε μὲν ȣ̓κ ἐπεξῄει, παρ' αὐτὸ τὸ τεῖχος ἑϛὼς, ἀλλ' ἐφυλάσσετο. ἐπεὶ δ' ὁ Σέλευκος, παραμείνας ἐς μεσημβρίαν, καμνόντων οἱ ἤδη τῶν ἱππέων, ἐπέϛρεφε καὶ ἐπανῄει, τοῖς τελευταίοις αὐτȣ̃ ὁ Διοφάνης ἐπιθέμενος καὶ θορυβοποιήσας, καὶ βλάψας ὅσα καὶ τότε δυνατὸς ἦν, εὐθὺς ἐπανῄει πάλιν ὑπὸ τὸ τεῖχος. καὶ τόνδε τὸν τρόπον συνεχῶς ἔν τε χορτολογίαις καὶ ξυλείαις ἐνεδρεύων ἀεί τι καὶ ἐνοχλῶν, ἀπό τε Περγάμȣ τὸν Σέλευκον ἀνέϛησε, καὶ ἀπὸ τῆς ἄλλης Εὐμενȣ̃ς χώρας ἐξήλασε. Πολυξενίδᾳ δὲ καὶ Ῥωμαίοις

cap. 27. μετ' ȣ̓ πολὺ γίγνεται ναυμαχία περὶ Μυόννησον· ἐς ἣν συνῄεσαν, Πολυξενίδας μὲν ναυσὶν ἐννενήκοντα καταφράκτοις, Λεύκιος δ' ὁ Ῥωμαίων ναύαρχος ὀγδοήκοντα καὶ τρισί. καὶ τȣ́των ἦσαν ἐκ Ῥόδȣ πέντε καὶ εἴκοσιν. ὧν ὁ ϛρατηγὸς Εὔδωρος ἐτέτακτο μὲν ἐπὶ τȣ̃ λαιȣ̃ κέρως· ἰδὼν δὲ ἐπὶ θάτερα Πολυξενίδαν πολὺ προȣ́χοντα Ῥωμαίων, ἔδει-

ἔδεισέ τε μὴ κυκλωθεῖεν, καὶ περιπλεύσας ὀξέως, ἅτε κέφαις ναυσὶ καὶ ἐρέταις ἐμπείροις θαλάσσης, τὰς ναῦς τὰς πυρφόρους τῷ Πολυξενίδα πρώτας ἐπῆγε, λαμπομένας τῷ πυρὶ πάντοθεν. οἱ δ' ἐμβαλεῖν μὲν αὐταῖς οὐκ ἐτόλμων, διὰ τὸ πῦρ· κύκλῳ δ' αὐτὰς περιπλέοντες ἐνέκλινόν τε καὶ θαλάσσης ἐπίμπλαντο, καὶ ἐς τὰς ἐπωτίδας ἐτύπτοντο. μέχρι Ῥοδίας νεὼς ἐς Σιδονίαν ἐμβαλούσης, καὶ τῆς πληγῆς εὐτόνου γενομένης, ἄγκυρα ἐκπίπτουσα τῆς Σιδονίας ἐς τὴν Ῥοδίαν ἐπάγη τε, καὶ συνέδησεν ἄμφω πρὸς ἀλλήλας. ὅθεν ἦν ὁ ἀγὼν ἀτρεμούντων τῶν σκαφῶν τοῖς ἐπιβάταις, ὥσπερ ἐν γῇ. καὶ προσιουσῶν ἄλλων ἐς ἐπικουρίαν ἑκατέρᾳ πολλῶν, φιλονεικία τε παρ' ἀμφοῖν ἐγίνετο λαμπρά, καὶ τὸ μέσον τῶν Ἀντιόχου νεῶν, ἔρημον ... τούτου γενόμενον, αἱ Ῥωμαίων νῆες διέπλεον, καὶ τοὺς πολεμίους ἀγνοοῦντας ἔτι ἐκύκλουν. ὡς δ' ἔμαθόν ποτε, γίγνεται φυγὴ καὶ τροπή· καὶ διεφθάρησαν Ἀντιόχου νῆες ... δέουσαι τριάκοντα, ὧν τρισκαίδεκα αὐτοῖς ἀνδράσιν ἐλήφθησαν· Ῥωμαίων δ' ἀπώλοντο μόναι δύο. καὶ ὁ Πολυξενίδας, τὴν Ῥοδίαν ναῦν ἐπαγόμενος, ἐς τὴν Ἔφεσον κατήχθη. Τοῦτο μὲν δὴ τῇ ναυμαχίᾳ τῇ περὶ τὴν Μυόννησον ἦν τέλος. οὔπω δ' αὐτῆς ὁ Ἀντίοχος αἰσθόμενος, Χερρόνησόν τε καὶ Λυσιμάχειαν ἐπιμελῶς ὠχύρου, ... ἔγα (ὥσπερ ἦν) τὸ ἔργον ἡγούμενος ἐπὶ Ῥωμαίοις· ὅπου ... καὶ τὴν ἄλλην Θρᾴκην διελθεῖν στρατοπέδῳ δυσόδευτον ... τοῖς ἂν ἐγένετο καὶ δύσβατον, εἰ μὴ Φίλιππος διέφερεν. ἀλλ' ὁ Ἀντίοχος, ὢν καὶ τὰ ἄλλα κοῦφος ἀεὶ, ... ταχὺς ἐς μεταβολὴν, ἐπεὶ τῆς ἥσσης ἐπύθετο τῆς περὶ Μυόννησον, πάμπαν ἐξεπλάγη. καὶ νομίσας, ... τὸ δαιμόνιον ἐπιβουλεύειν· (παρὰ γὰρ λόγον ἕκαστα χωρεῖν· Ῥωμαίων μὲν ἐν τῇ θαλάσσῃ κρατούντων, ἐν ᾗ πολὺ προὔχειν αὐτὸς ἐνόμιζε· Ῥοδίων δ' Ἀννίβαν ἐς Παμφυλίαν κατακεκλεικότων· Φιλίππου δὲ Ῥωμαίους παραπέμποντος ἀβάτους ὁδοὺς, ὃν μάλιστα μνησικακήσειν αὐτοῖς, ... ἔπαθεν, ὑπελάμβανεν·) ὑπὸ δὴ τῶνδε πάντων ἐκταρασσόμενός τε, καὶ θεοῦ βλάπτοντος ἤδη τοὺς λογισμοὺς, ... ὅπερ ἅπασι, προσιόντων ἀτυχημάτων, ἐπιγίγνεται,) ... ῥρόνησον ἐξέλιπεν ἀλογίστως, πρὶν καὶ ἐς ὄψιν ἐλθεῖν ... πολεμίοις· οὔτε μετενεγκὼν, ὅσος ἦν ἐν αὐτῇ σῖτος

cap. 28.

σεσωρευμένος πολὺς, ἢ ὅπλα, ἢ χρήματα, ἢ μηχαναί· οὔτε ἐμπρήσας· ἀλλ' ὑγιεῖς ἀφορμὰς τοσάσδε τοῖς πολεμίοις καταλιπών. Λυσιμαχέας τε, αὐτῷ καθάπερ ἐκ πολιορκίας συμφεύγοντας μετ' οἰμωγῆς, ἅμα γυναιξὶ καὶ παιδίοις, ὑπερεώρα· μόνου τοῦ διάπλου τοῦ περὶ Ἄβυδον εἶρξαι τοὺς πολεμίους ἐπινοῶν, καὶ τὴν λοιπὴν ἔτι ἐλπίδα τοῦ πολέμου πᾶσαν ἐν τούτῳ τιθέμενος. οὐ μὴν οὔτε τὸν διάπλουν ἐφύλαξεν, ὑπὸ θεοβλαβείας· ἀλλ' ἐς τὸ μεσόγαιον ἠπείχθη ἐπανελθεῖν, φθάσων τοὺς πολεμίους· οὐδέ τινα φυ-
cap. 29. λακὴν ἐν τῷ διάπλῳ κατέλιπεν. Οἱ δὲ Σκιπίωνες, ἐπεὶ τῆς ἀναχωρήσεως αὐτοῦ ἐπύθοντο, Λυσιμάχειάν τε δρόμῳ κατέλαβον, καὶ τῶν ἐν Χεῤῥονήσῳ θησαυρῶν τε καὶ ὅπλων κρατήσαντες, τὸν Ἑλλήσποντον, ἔρημον ὄντα φυλακῆς, εὐθὺς ἐπέρων μετὰ σπουδῆς, ἔφθασάν τε Ἀντίοχον ἔτι ἀγνοοῦντα ἐν Σάρδεσι γενόμενοι. Ὁ δ' ἐκπλαγεὶς ἐβαρυθύμει, καὶ τὰ ἴδια αὐτοῦ ἁμαρτήματα ἐς τὸ δαιμόνιον ἀνατιθεὶς, Ἡρακλείδην τὸν Βυζάντιον ἔπεμπε ἐς τοὺς Σκιπίωνας ἐπὶ διαλύσει τοῦ πολέμου· Σμύρναν τε καὶ Ἀλεξάνδρειαν αὐτοῖς διδοὺς τὴν ἐπὶ Γρανίκῳ, καὶ Λάμψακον, δι' ἃς ἦρξεν αὐτοῖς ὁ πόλεμος, καὶ τὸ ἥμισυ τῆς δαπάνης τοῦδε τοῦ πολέμου. ἐνετέλλετο δὲ, εἰ δέοι, καὶ τῶν Ἰάδων πόλεων δοῦναι καὶ τῶν Αἰολίδων, ὅσαι τὰ Ῥωμαίων ἐν τῷδε τῷ ἀγῶνι εἵλοντο, καὶ εἴ τι ἄλλο αἰτοῖεν οἱ Σκιπίωνες. Ταῦτα μὲν εἶχεν ἐς τὸ φανερὸν λέγειν ὁ Ἡρακλείδης· ἰδίᾳ δὲ πρὸς Πόπλιον Σκιπίωνα ἔφερε παρ' Ἀντιόχου χρημάτων τε πολλῶν ὑποσχέσεις, καὶ τοῦ παιδὸς ἀφέσεις. ᾑρήκει γὰρ αὐτὸν ἐν τῇ Ἑλλάδι ὁ Ἀντίοχος, ἐς Δημητριάδα ἐκ Χαλκίδος διαπλέοντα· καὶ ἦν ὁ παῖς Σκιπίων, ὁ Καρχηδόνα ὕστερον ἑλών τε καὶ κατασκάψας, καὶ δεύτερος ἐπὶ τῷδε τῷ Σκιπίωνι Ἀφρικανὸς ὀνομασθείς· Παύλου μὲν υἱὸς ὢν, τοῦ Περσέα τὸν Μακεδόνα ἑλόντος, Σκιπίωνος δὲ τῷ γένει θυγατριδοῦς, καὶ θέσει παῖς. Κοινῇ μὲν οὖν οἱ Σκιπίωνες τῷ Ἡρακλείδῃ τήνδε ἔδοσαν τὴν ἀπόκρισιν· Ἐὰν Ἀντίοχος εἰρήνης δέηται, μὴ τῶν Ἰάδων, μηδὲ τῶν Αἰολίδων αὐτὸν ἐκστῆναι πόλεων, ἀλλὰ πάσης τῆς ἐπὶ τάδε Ταύρου, καὶ τὴν δαπάνην τοῦ πολέμου πᾶσαν ἐσενεγκεῖν, δι' αὐτὸν γενομένου. Ἰδίᾳ δὲ ὁ Πόπλιος ἔφη τῷ Ἡρακλείδῃ

κλείδη· Ῥωμαίοις, εἰ μὲν ἔτι Χεῤῥονήσου καὶ Λυσιμαχείας κρατῶν ὁ Ἀντίοχος ταῦτα προὔτεινεν, ἀσμένως ἂν λαβεῖν· τάχα δ' εἰ καὶ μόνον ἔτι τοῦ Ἑλλησπόντου τὸν διάπλουν ἐφύλασσε. νῦν δ' αὐτοὺς ἤδη περάσαντάς τε καὶ ἐν ἀσφαλεῖ γενομένους, καὶ τὸν χαλινὸν (φασὶν) ἐνθέντας, καὶ ἐπὶ τῷ χαλινῷ τὸν ἵππον ἀναβάντας, οὐκ ἀνέξεσθαι διαλύσεων ἐπ' ὀλίγοις. αὐτὸς δὲ χάριν εἰδέναι τῷ βασιλεῖ τῆς προαιρέσεως, καὶ μᾶλλον εἴσεσθαι, λαβὼν τὸν υἱόν· ἀμείβεσθαι δ' αὐτὸν ἤδη, καὶ συμβουλεύειν, δέχεσθαι τὰ προτεινόμενα, πρὶν ἐς πεῖραν ἐλθεῖν μειζόνων ἐπιταγμάτων. Ὁ μὲν δὴ Πόπλιος, ταῦτα εἰπὼν, ἐς Ἐλαίαν νοσηλευόμενος ὑπεχώρει, σύμβουλον τῷ ἀδελφῷ Γναῖον Δομίτιον καταλιπών. ὁ δ' Ἀντίοχος, οἷόν τι καὶ Φίλιππος ὁ Μακεδὼν, οἰηθεὶς τῶνδε τῶν ἐπιταγμάτων πλέον οὐδὲν αὐτοῦ τὸν πόλεμον ἀφαιρήσεσθαι, συνέτασσε τὴν στρατιὰν περὶ τὸ πεδίον τὸ Θυατείρων, οὐ μακρὰν ἀπὸ τῶν πολεμίων· καὶ Σκιπίωνι τὸν υἱὸν ἀπέπεμπεν ἐς Ἐλαίαν. ὁ δὲ τοῖς ἄγουσι συνεβούλευε, μὴ μάχεσθαι τὸν Ἀντίοχον, ἕως αὐτὸς ἐπανέλθοι. καὶ τῷδε πεισθεὶς ὁ Ἀντίοχος, μετεστρατοπέδευσεν ἀμφὶ τὸ ὄρος τὸ Σίπυλον· τεῖχός τε καρτερὸν τῷ στρατοπέδῳ περιετείχιζε, καὶ τὸν Φρύγιον ποταμὸν ἐν προβολῇ τοῖς πολεμίοις ἐτίθετο, ἵνα μηδ' ἄκων ἀναγκάζοιτο πολεμεῖν. Δομίτιος δὲ, φιλοτιμούμενος τὸν πόλεμον ἐφ' ἑαυτοῦ κριθῆναι, τὸν ποταμὸν ἐπέρα μάλα θρασέως, καὶ σταδίους εἴκοσιν ἀπ' Ἀντιόχου διασχὼν ἐστρατοπέδευσε. τέτταρσί τε ἡμέραις ἐφεξῆς ἐξέτασσον ἑκάτεροι παρὰ τὸν χάρακα τὸν ἑαυτῶν, καὶ μάχης οὐ κατῆρχον. τῇ πέμπτῃ δὲ ὁ Δομίτιος ἐξέτασσεν αὖθις, καὶ ἐπέβαινε σοβαρῶς. οὐκ ἀντεπιόντος δὲ τοῦ Ἀντιόχου, τότε μὲν ἐγγυτέρω μετεστρατοπέδευε. μίαν δὲ ἄλλην διαλιπὼν, ἐκήρυσσεν ἐς ἐπήκοον τῶν πολεμίων, ἐς αὔριον Ἀντιόχῳ καὶ ἄκοντι πολεμήσειν. Ὁ δὲ, συνταραχθεὶς, αὖθις μεθίει τὰ δόξαντα· καὶ, δυνηθεὶς ἂν ἐστάναι μόνον ὑπὸ τὸ τεῖχος, ἢ καλῶς αὐτὸν ἀπὸ τοῦ τείχους ἀπομάχεσθαι, μέχρι ῥαΐσειεν ὁ Πόπλιος, αἰσχρὸν ἡγεῖτο, μετὰ πλειόνων φυγομαχεῖν· ὅθεν εἰς μάχην παρετάσσε. cap. 30.

Καὶ ἐξῆγον ἔτι νυκτὸς ἄμφω περὶ ἐσχάτην φυλακήν. cap. 31. διεκόσμει δ' αὐτῶν ἑκάτερος ὧδε· τὸ μὲν λοιπὸν εἶχον ὁπλίτας

 πλῖται

πλῖται Ῥωμαίων μύριοι, παρὰ τὸν ποταμὸν αὐτόν· καὶ μετ' ἐκείνους ἦσαν Ἰταλῶν ἕτεροι μύριοι· τρεῖς ἑκατέρων τάξεις ἐπὶ βάθος. ἐπὶ δὲ τοῖς Ἰταλοῖς ὁ Εὐμενοῦς στρατὸς ἐτάσσετο, καὶ Ἀχαιῶν πελτασταὶ περὶ τρισχιλίους. ὧδε μὲν εἶχε τὸ λαιόν. τὸ δεξιὸν δ' ἦν ἱππεῖς, οἵ τε Ῥωμαίων καὶ Ἰταλῶν καὶ Εὐμενοῦς, οὐ πλείους οὐδ' οὗτοι τρισχιλίων. ἀναμεμίχατο δ' ἅπασι ψιλοί τε καὶ τοξόται πολλοί. καὶ ἀμφὶ τὸν Δομίτιον αὐτὸν ἦσαν ἱππέων ἶλαι τέσσαρες. οὕτω μὲν ἐγίγνοντο πάντες ἐς τρισμυρίους. ἐπεστάτει δὲ τοῦ μὲν δεξιοῦ Δομίτιος αὐτὸς, καὶ ἐς τὸ μέσον αὐτοῦ ἵστη τὸν ὕπατον· τὸ δὲ λαιὸν ἔδωκεν Εὐμενεῖ. τῶν δ' ἐλεφάντων, οὓς εἶχεν ἐκ Λιβύης, οὐδένα νομίζων ἔσεσθαι χρήσιμον, ὀλιγωτέρων τε ὄντων, καὶ βραχυτέρων, οἷα Λιβύων· (δεδίασι δ' οἱ σμικρότεροι τοὺς μείζονας·) ἔστησεν
cap. 32. ὀπίσω πάντας. ὧδε μὲν δὴ διατετάχατο Ῥωμαῖοι. Ἀντιόχῳ δ' ἦν μὲν ὁ στρατὸς ἅπας ἑπτακισμύριοι, καὶ τούτων τὸ κράτιστον ἦν ἡ φάλαγξ ἡ Μακεδόνων, ἄνδρες ἑξακισχίλιοι καὶ μύριοι, ἐς τὸν Ἀλεξάνδρου καὶ Φιλίππου τρόπον ἐπικοσμούμενοι. ἵστη δ' αὐτοὺς ἐν μέσῳ, διελὼν, ἀνὰ χιλίους καὶ ἑξακοσίους, ἐς δέκα μέρη· καὶ τούτων ἑκάστου μέρους ἦσαν ἐπὶ μὲν τοῦ μετώπου πεντήκοντα ἄνδρες, ἐς δὲ τὸ βάθος δύο καὶ τριάκοντα, ἐς δὲ τὰ πλευρὰ ἑκάστου μέρους ἐλέφαντες δύο καὶ εἴκοσιν. ἡ δ' ὄψις ἦν τῆς μὲν φάλαγγος, οἷα τείχους· τῶν δ' ἐλεφάντων, οἷον πύργων. τοιοῦτον μὲν ἦν τὸ πεζὸν Ἀντιόχῳ. ἱππεῖς δ' ἑκατέρωθεν αὐτοῦ παρατετάχατο, Γαλάται τε κατάφρακτοι, καὶ τὸ λεγόμενον Ἄγημα τῶν Μακεδόνων. εἰσὶ δὲ καὶ οἵδε ἱππεῖς ἐπίλεκτοι, καὶ παρ' αὐτὸ ἄγημα λέγεται. τάδε μὲν ἐξ ἴσου τῆς φάλαγγος ἦν ἑκατέρωθεν. ἐπὶ δ' αὐτοῖς τὰ κέρατα κατεῖχον, ἐν μὲν δεξιᾷ, ψιλοί τε τινὲς, καὶ ἕτεροι ἱππεῖς ἀργυράσπιδες, καὶ ἱπποτοξόται διακόσιοι. τὸ δὲ λαιὸν, Γαλατῶν τ' ἔθνη, Τεκτοσάγαι τε καὶ Τρόκμοι καὶ Τολιστόβοιοι, καὶ Καππαδόκαι τινὲς, οὓς ἔπεμψεν Ἀριαράθης, καὶ μιγάδες ἄλλοι ξένοι. κατάφρακτός τε ἵππος ἐπὶ τοῖσδε ἑτέρα, καὶ ἣν ἐκάλουν ἵππον ἑταιρικὴν, ὡπλισμένη κούφως. Ὧδε μὲν καὶ ὁ Ἀντίοχος ἐξέτασσε. καὶ δοκεῖ τὴν ἐλπίδα λαβεῖν ἐν τοῖς ἱππεῦσιν, οὓς πολλοὺς ἔστησεν ἐπὶ τοῦ μετώπου· τὴν δὲ φάλαγγα πυκνὴν ἐν ὀλίγῳ

ὀλίγον συναγαγεῖν ἀπειροπολέμως, ᾗ δὴ καὶ μάλιϛα ἔδει θαῤῥεῖν, πάνυ ἠσκημένη. πολὺ δὲ καὶ ἄλλο πλῆθος ἦν λιθοβόλων τε καὶ τοξοτῶν, καὶ ἀκοντιϛῶν καὶ πελταϛῶν, Φρυγῶν τε καὶ Λυκίων, καὶ Παμφύλων, καὶ Πισιδῶν, Κρητῶν τε καὶ Τραλλιανῶν, καὶ Κιλίκων ἐς τὸν Κρητῶν τρόπον ἐσκευασμένων. ἱπποτοξόται τε ἐπὶ τȣ́τοις ἕτεροι, Δάαι, καὶ Μυσοὶ, καὶ Ἐλυμαῖοι, καὶ Ἄραβες, οἱ καμήλȣς ὀξυτάτας ἐπικαθήμενοι, τοξεύȣσί τε εὐμαρῶς ἀφ' ὑψηλȣ͂, καὶ μαχαίραις, ὅτε πλησιάζοιεν, ἐπιμήκεσι καὶ ϛεναῖς χρῶνται. δρεπανηφόρα τε ἅρματα ἐν τῷ μεταιχμίῳ, προπολεμεῖν τȣ͂ μετώπȣ, τετάχατο· καὶ εἴρητο αὐτοῖς, μετὰ τὴν πρώτην πεῖραν ὑποχωρεῖν. Ὄψις τε ἦν ὥσπερ δύο ϛρατῶν, τȣ͂ μὲν, ἀρχομένȣ πολεμεῖν, τȣ͂ δ' ἐφεδρεύοντος. ἑκάτερος δ' αὐτῶν ἐς κατάπληξιν ἐσκεύαϛο δεινῶς, πλήθει τε καὶ κόσμῳ. ἐφειϛήκει δὲ τοῖς μὲν δεξιοῖς ἱππεῦσιν Ἀντίοχος αὐτὸς, τοῖς δ' ἐπὶ θάτερα Σέλευκος ὁ υἱὸς Ἀντιόχȣ· τῇ δὲ φάλαγγι, Φίλιππος ὁ ἐλεφαντάρχης· καὶ τοῖς προμάχοις Μένδις τε καὶ Ζεῦξις. ἀχλυώδȣς δὲ καὶ ζοφερᾶς τῆς ἡμέρας γενομένης, ἥ τε ὄψις ἔϛβεϛο τῆς ἐπιδείξεως, καὶ τὰ τοξεύματα πάντα ἀμβλύτερα ἦν, ὡς ἐν ἀέρι ὑγρῷ καὶ σκοτεινῷ. ὅπερ ἐπεὶ κατεῖδεν Εὐμενὴς, τῶν μὲν ἄλλων κατεφρόνησε· τὴν δὲ ῥύμην τῶν ἁρμάτων, τεταγμένων ἐφ' ἑαυτὸν μάλιϛα, δείσας· ὅσοι ἦσαν αὐτῷ σφενδονῆται καὶ ἀκοντιϛαὶ καὶ ἕτεροι κȣ͂φοι, συναγαγὼν, προσέταξε, τὰ ἅρματα περιθέοντας, ἐς τȣ̀ς ἵππȣς ἀκοντίζειν ἀντὶ τῶν ἐπιβατῶν, ἵππȣ γὰρ ἐν ἅρματι ζυγομαχȣ͂ντος, ἀχρεῖον τὸ λοιπὸν ἅρμα γίγνεται, καὶ πολλὰ καὶ τῆς ἄλλης εὐταξίας παραλύεται, τὰ δρέπανα τῶν φιλίων δεδιότων. ὃ καὶ τότε συνηνέχθη γενέϑαι. πληγέντων γὰρ τῶν ἵππων ἀθρόως, καὶ τὰ ἅρματα ἐς τȣ̀ς φίλȣς περιφερόντων, ἅι τε κάμηλοι πρῶται τῆς ἀταξίας ᾐσθάνοντο, πλησίον τοῖς ἅρμασι παρατεταγμέναι. καὶ μετ' αὐτὰς ἡ κατάφρακτος ἵππος, ȣ̓ ῥᾳδίως ὑπὸ τȣ͂ βάρȣς τὰ δρέπανα ἐκφεύγειν δυναμένη. θόρυβός τε ἦν ἤδη πολὺς, καὶ τάραχος ποικίλος· ἀρξάμενος μὲν ἀπὸ τῶνδε μάλιϛα, χωρῶν δὲ ἐπὶ ὅλον τὸ μεταίχμιον· καὶ μείζων ὑπόνοια τȣ͂ ἀκριβȣ͂ς. ὡς γὰρ ἐν διαϛήματι μακρῷ, καὶ πλήθει πυκνῷ καὶ βοῇ ποικίλῃ, καὶ φόβῳ πολλῷ, τὸ μὲν ἀκριβὲς ȣ̓δὲ cap. 33.

οὐδὲ τοῖς ἀγχοῦ τῶν πασχόντων καταληπτὸν ἦν, τὴν δὲ ὑπόνοιαν μειζόνως ἐς τοὺς ἑξῆς ἕκαστοι μετέφερον. Ὁ δ'
cap. 34. Εὐμενὴς, ἐπεὶ τὰ πρῶτα καλῶς ἐπέπρακτο αὐτῷ, καὶ τὸ μεταίχμιον, ὅσον αἵ τε κάμηλοι καὶ τὰ ἅρματα ἐπεῖχεν, ἐγεγύμνωτο, τοὺς ἰδίους ἱππέας, καὶ ὅσοι Ῥωμαίων αὐτῷ καὶ Ἰταλῶν παρατετάχατο, ἐπῆγεν ἐπὶ τοὺς ἀντικρὺ Γαλάτας τε καὶ Καππαδόκας, καὶ τὴν ἄλλην σύνοδον τῶν ξένων, μέγα κεκραγὼς, καὶ παρακαλῶν ἐπὶ ἄνδρας ἀπείρους τε μάχης καὶ γεγυμνωμένους τῶν προπολεμούντων. οἱ δ' ἐπείθοντο· καὶ βαρείας σφῶν τῆς ἐμβολῆς γενομένης, τρέπονται τούτους τε, καὶ τοὺς παρεζευγμένους αὐτοῖς ἱππέας τε καὶ καταφράκτους, ἐκ πολλοῦ ταρασσομένους διὰ τὰ ἅρματα. οὓς δὴ καὶ μάλιστα, διὰ τὸ βάρος ὑποφεύγειν ἢ ἀναστρέφειν εὐμαρῶς οὐ δυναμένους, κατελάμβανόν τε καὶ συνέκοπτον. καὶ τάδε μὲν ἦν περὶ τὸ λαιὸν τῆς φάλαγγος τῶν Μακεδόνων. Ἐν δεξιᾷ δὲ, ἧπερ αὐτὸς ὁ Ἀντίοχος ἐτέτακτο, διακόψας τὸ σύνταγμα τῆς Ῥωμαίων φά-
cap. 35. λαγγος, ἀπέσπασεν, ἐπὶ πολὺ διώκων. Καὶ ἡ φάλαγξ ἡ τῶν Μακεδόνων, τεταγμένη μὲν, ὡς μεθ' ἱππέων, ἐπὶ στενοῦ τε καὶ τετραγώνου, γεγυμνωμένη δὲ τῶν ἱππέων ἑκατέρωθεν, τοὺς μὲν ψιλοὺς τοὺς ἐπὶ τοῦ μετώπου σφῶν ἔτι προπολεμοῦντας, διαστᾶσα, ἐς αὐτὴν ἐσεδέξατο, καὶ πάλιν συνήει. Δομιτίου δ' αὐτὴν ἱππεῦσι πολλοῖς καὶ ψιλοῖς εὐμαρῶς, οἷα πλινθίον πυκνὸν, κυκλώσαντος, οὔτ' ἐκδραμεῖν ἔτι ἔχουσα, οὔτε ἐξελίξαι βάθος οὕτω πολὺ, μάλα καρτερῶς ἐκακοπάθει. καὶ ἠγανάκτουν, αὐτοὶ μὲν ταῖς ἐμπειρίαις οὐδὲν ἔχοντες ἔτι χρῆσθαι, τοῖς δὲ πολεμίοις εὔβλητοι καὶ ἐπιτυχεῖς πανταχόθεν ὄντες. ὅμως δὲ τὰς σαρίσσας ἐκ τετραγώνου προβαλλόμενοι πυκνὰς, προὐκαλοῦντο Ῥωμαίους ἐς χεῖρας ἐλθεῖν, καὶ δόξαν ἐπιβαινόντων αἰεὶ παρεῖχον. οὐ μήν τι προεπήδων, πεζοί τε καὶ βαρεῖς ὄντες ὑπὸ τῶν ὅπλων. καὶ τοὺς πολεμίους ἐπὶ ἵππων ὁρῶντες· μάλιστα δὲ, ἵνα μὴ τὸ τῆς τάξεως πυκνὸν ἐκλύσειαν. μετατάξασθαι γὰρ ἑτέρως οὐκ ἔφθανον. Ῥωμαῖοι δ' αὐτοῖς οὐ προσεπέλαζον μὲν, οὐδ' ἐς χεῖρας ἤεσαν, δεδιότες ἀνδρῶν ἠσκημένων ἐμπειρίαν τε καὶ πυκνότητα, καὶ ἀπόγνωσιν. περιθέοντες δὲ ἐσηκόντιζόν τε καὶ ἐσετόξευον. καὶ οὐδὲν ἦν ἀχρεῖον, ὡς ἐν ὀλίγῳ πολλῶν συνεστώτων. οὐ γὰρ εἶχον

οὔτε

ὔτε ἐκκλῖναι τὰ βαλλόμενα, ὔτε Φερομένοις διαςῆναι. ὅθεν ἤδη πολλὰ κάμνοντες, ἐνεδίδοσαν ὑπὸ τῆς ἀπορίας, καὶ βάδην ὑπεχώρϐν σὺν ἀπειλῇ, πάνυ ἐυςαθῶς, καὶ Ρωμαίοις ἐπιΦόβως. ὔτε γὰρ τότε προσπελάζειν ἀυτοῖς ἐτόλμων, ἀλλὰ περιθέοντες ἔβλαπτον· μέχρι, τῶν ἐλεΦάντων ἐν τῇ Μακεδόνων Φάλαγγι συνταραχθέντων τε καὶ ὐχ ὑπακϐόντων ἔτι τοῖς ἐπιβάταις, ὁ κόσμος ὁ τῆς Φυγῆς συνεχεῖτο. Καὶ ταύτῃ μὲν ὁ Δομίτιος ἐκράτει, καὶ ἐπὶ τὸ ςρατόπεδον τϐ Ἀντιόχϐ Φθάσας, ἐβιάζετο τϐς ἐν ἀυτῷ Φυλάσσοντας. ὁ δὲ Ἀντίοχος, ἐς πολὺ διώκων παρ᾽ ὃς ἐκ τῆς Ῥωμαϊκῆς Φάλαγγος ἐτέτακτο, ὐδενὸς ὐδ᾽ ἐκείνοις ἱππέων, ἢ ψιλϐ, παρόντος ἐς ἐπικϐρίαν, (ὐ γὰρ παρετετάχει Δομίτιος, ἡγϐμενος ὐ δεήσεσθαι διὰ τὸν ποταμὸν) μέχρι τϐ Ῥωμαίων χάρακος ἦλθεν. Ἐπεὶ δὲ ἀυτὸν ὅ τε χιλίαρχος ὁ τϐ χάρακος Φύλαξ, ἀκμῆσι τοῖς Φύλαξιν ὑπαντιάσας, ἐπέσχε τῆς ὁρμῆς, καὶ οἱ Φεύγοντες τοῖς ἀναμιχθεῖσι θαῤῥϐντες ἐπεςρέΦοντο· ἐπανῄει σοβαρὸς ὁ Ἀντίοχος, ὡς ἐπὶ νίκῃ, ὐδενὸς τῶν ἐπὶ θάτερα πεπυσμένος. Ἄτταλος δ᾽ ἀυτὸν, ὁ Ἐυμενϐς ἀδελΦὸς, ἱππεῦσι πολλοῖς ὑπαντιάζει. καὶ τϐσδε μὲν ἐυμαρῶς ὁ Ἀντίοχος διακόψας διέδραμε, καὶ παρατρεχόντων ἔτι καὶ μικρὰ λυπϐντων ὐκ ἐΦρόντιζεν. ὡς δὲ κατεῖδε τὴν ἧτταν, καὶ τὸ πεδίον ἅπαν νεκρῶν ἰδίων πλῆρες, ἀνδρῶν τε καὶ ἵππων καὶ ἐλεΦάντων, τό τε ςρατόπεδον ἐιλημμένον ἤδη κατὰ κράτος· τότε δὴ καὶ ὁ Ἀντίοχος ἔΦευγεν ἀμεταςρεπτὶ, καὶ μέχρι μέσων νυκτῶν ἐς Σάρδεις παρῆλθε. παρῆλθε δὲ καὶ ἀπὸ Σάρδεων ἐς Κελαινὰς, ἣν Ἀπάμειαν καλϐσιν· οἷ τὸν ὑιὸν ἐπυνθάνετο συμΦεύγειν. τῆς δ᾽ ἐπιϐσης ἐς Συρίαν ἐκ Κελαινῶν ἀνεζεύγνυ, τϐς ςρατηγϐς ἐν Κελαιναῖς καταλιπὼν, ὑποδέχεσθαί τε καὶ ἀθροίζειν τϐς διαΦυγόντας. περί τε καταλύσεως τϐ πολέμϐ πρέσβεις ἔπεμπε πρὸς τὸν ὕπατον. Ὁ δὲ τὰ οἰκεῖα ἔθαπτε, καὶ ἐσκύλευε τϐς πολεμίϐς, καὶ τὰ αἰχμάλωτα συνῆγεν. ἐΦάνησαν δὲ νεκροὶ Ῥωμαίων μὲν τῶν ἐξ ἄςεος ἱππεῖς ἔικοσι καὶ τέσσαρες, καὶ πεζοὶ τριακόσιοι μάλιςα, ὃς ὁ Ἀντίοχος ἔκτεινεν· Ἐυμενϐς δὲ ἱππεῖς πεντεκαίδεκα μόνοι. Ἀντιόχϐ δὲ, σὺν τοῖς αἰχμαλώτοις, εἰκάζοντο ἀπολέσθαι περὶ πεντακισμυρίϐς. ὐ γὰρ ἐυμαρὲς ἦν ἀριθμῆσαι διὰ τὸ πλῆθος. καὶ τῶν

cap. 36.

τῶν ἐλεφάντων οἱ μὲν ἀνῄρηντο, πεντεκαίδεκα δ' αἰχμά-
cap. 37. λωτοι γεγένηντο. Ὡς δ' ἐπὶ νίκῃ λαμπροτάτῃ, καὶ πα-
ραλόγως τισὶ δοκέσῃ γενέσθαι, (ὐ γὰρ εἰκὸς ἐνόμιζον, ὀλι-
γωτέρους πολὺ πλειόνων ἐν ἀλλοτρίᾳ γῇ παρὰ τοσόνδε κρα-
τῆσαι, καὶ μάλιστα φάλαγγος Μακεδόνων, εὖ γεγυμνασ-
μένης καὶ εὐανδρέσης τότε μάλιστα, καὶ δόξαν ἄμαχόν τι
καὶ φοβερὰν ἐχέσης·) οἱ μὲν Ἀντιόχε φίλοι τὴν προ-
πέτειαν αὐτῦ τῆς ἐς Ῥωμαίους διαφορᾶς, καὶ τὴν ἐξ ἀρ-
χῆς ἀπειρίαν τε καὶ ἀβελίαν ἐπεμέμφοντο· Χεῤῥόνησόν
τε καὶ Λυσιμάχειαν αὐτοῖς ὅπλοις καὶ τοσῇδε παρασκε-
υῇ μεθέντος ἐκ χειρῶν, πρὶν καὶ ἐς πεῖραν ἐλθεῖν τοῖς
πολεμίοις, καὶ τὴν τῦ Ἑλλησπόντε φυλακὴν ἐκλιπόντος,
Ῥωμαίων ἐκ ἂν εὐμαρῶς ἐλπισθέντων βιάσασθαι τὴν διά-
βασιν. κατεμέμφοντο δ' αὐτῦ καὶ τὴν τελευταίαν ἀφρο-
σύνην, ἀχρεῖον ἐν στενῷ τὸ κράτιστον τῦ στρατῦ πεποιηκό-
τος, καὶ τὴν ἐλπίδα θεμένε ἐν πλήθει συγκλύδων ἀν-
δρῶν ἀρτιπολέμων, μᾶλλον, ἢ ἐν ἀνδράσι διὰ μελέτης
καὶ χρόνον ἐργάταις τε ὖσι πολέμε, καὶ ἐκ τοσῶνδε πο-
λέμων τὸ φρόνημα ἐς εὐτολμίαν καὶ θάρσος ἠσξημένοις.
Τοιαῦτα μὲν ἦν τὰ περὶ Ἀντιόχε λογοποιέμενα. Ῥω-
μαίοις δ' ἐπῆρτο τὰ φρονήματα, καὶ ὐδὲν ἔτι σφίσιν ἐ-
γῦντο εἶναι δυσεργές, ὑπό τε ἀρετῆς καὶ θεῶν ἐπικρατ-
καὶ γὰρ δὴ καὶ ἐς δόξαν εὐτυχίας ἔφερεν, ὅτι ὖτοι γε
ὀλίγοι τε πολλῶν, καὶ ἐξ ἐφόδε, καὶ ἐν πρώτῃ μάχῃ,
καὶ ἐν ἀλλοτρίᾳ γῇ, τοσῶνδε ἐθνῶν, καὶ παρασκευῆς
βασιλικῆς, καὶ μισθοφόρων ἀρετῆς, καὶ δόξης Μακεδόνων,
καὶ βασιλέως αὐτῦ, μεγίστην τε ἀρχὴν κεκτημένε, καὶ
ἐπίκλησιν Μεγάλε, κεκρατηκότες ἦσαν ἡμέρᾳ μιᾷ. τοιό
τε σφίσιν ἦν τὸ ἔπος ἐν τοῖς λόγοις· Ἦν βασιλεὺς Ἀν-
cap. 38. τίοχος ὁ Μέγας. Τοιάδε μὲν δὴ καὶ Ῥωμαῖοι περὶ σφῶν
ἐμεγαλαύχεν. Ὁ δὲ ὕπατος, ἐπεὶ αὐτῷ ῥαΐσας ὁ ἀδελ-
φὸς Πέπλιος ἦλθεν ἀπὸ τῆς Ἐλαίας, ἐχρημάτιζε τοῖς
Ἀντιόχε πρέσβεσιν. οἱ μὲν δὴ μαθεῖν ἠξίεν, ὅ τι ποιῶν
ὁ βασιλεὺς Ἀντίοχος ἔσαι Ῥωμαίοις φίλος. ὁ δὲ Πέπλιος
αὐτοῖς ὧδε ἀπεκρίνατο· Αἴτιος μὲν αὐτῷ, διὰ πλεονεξίαν
Ἀντίοχος καὶ τῶν νῦν καὶ τῶν πρότερον γεγονότων· ὃ
ἀρχὴν μεγίστην ἔχων τε, καὶ Ῥωμαίων αὐτὸν ἐῶντων
ἔχειν, Πτολεμαίε, συγγενῦς ἰδίε, καὶ Ῥωμαίοις φίλε

Σ

Συρίαν τὴν Κοίλην ἀφείλετο· καὶ ἐς τὴν Ἐυρώπην ὀυδὲν αὐτῷ προσήκουσαν ἐμβαλὼν, Θρᾴκην κατεστρέφετο, καὶ Χεῤῥόνησον ὠχύρου, καὶ Λυσιμάχειαν ἤγειρεν. ἔς τε τὴν Ἑλλάδα διελθὼν, ἐδούλουτο τοὺς Ἕλληνας, ὑπὸ Ῥωμαίων ἄρτι αὐτονόμους ἀφειμένους, μέχρι περὶ Θερμοπύλας ἡττήθη μάχῃ. καὶ φυγὼν, οὐδ᾽ ὣς ἔληξε τῆς πλεονεξίας, ἀλλὰ κἀν τῇ θαλάττῃ πολλάκις ἐλαττωθεὶς, σπονδῶν μὲν, ἄρτι τὸν Ἑλλήσποντον ἡμῶν πεπερακότων, ἐδεήθη· διὰ δὲ ὑπεροψίαν τὰ προτεινόμενα ὑπερεῖδε, καὶ στράτευμα αὖθις πολὺ καὶ παρασκευὴν ἄπειρον ἐφ᾽ ἡμᾶς συναγαγὼν ἐπολέμει, βιαζόμενος ἐς πεῖραν ἐλθεῖν τοῖς ἀμείνοσι· μέχρι συνηνέχθη μεγάλῳ κακῷ. Ἡμᾶς δὲ, εἰκὸς μὲν ἦν, αὐτῷ μείζονα τὴν ζημίαν ἐπιθεῖναι, βιασαμένῳ πολλάκις Ῥωμαίοις ἐς χεῖρας ἐλθεῖν· ἀλλ᾽ οὐχ ὑβρίζομεν ταῖς εὐπραξίαις, οὐδ᾽ ἐπιβαροῦμεν τοῖς ἑτέρων ἀτυχήμασι. Δίδομεν δὲ, ὅσα καὶ πρότερον αὐτῷ προὐτείνομεν· μικρὰ ἄττα προσθέντες, ὅσα καὶ ἡμῖν ἔσται χρήσιμα, καὶ αὐτῷ λυσιτελῆ πρὸς τὸ μέλλον ἐς ἀσφάλειαν· Ἀπέχεσθαι μὲν αὐτὸν τῆς Ἐυρώπης ὅλης, καὶ Ἀσίας τῶν ἐπὶ τάδε τοῦ Ταύρου· (καὶ τούτοις ὅροι τεθήσονται·) παραδοῦναι δ᾽ ἐλέφαντας ὅσους ἔχει, καὶ ναῦς ὅσας ἂν ἐπιτάξωμεν· ἔς τε λοιπὸν ἐλέφαντας μὲν οὐκ ἔχειν, ναῦς δὲ ὅσας ἂν ὁρίσωμεν· δοῦναι δὲ καὶ εἴκοσι ὅμηρα, ἃ ἂν ὁ στρατηγὸς ἐπιγράψῃ, καὶ χρήματα ἐς τὴν τοῦδε τοῦ πολέμου δαπάνην, δι᾽ αὐτὸν γενομένου, τάλαντα Ἐυβοεικὰ, αὐτίκα μὲν ἤδη πεντακόσια· καὶ, ὅταν αὖθις τὰς σπονδὰς ἡ σύγκλητος ἐπιψηφίσῃ, δισχίλια καὶ πεντακόσια· δώδεκα δ᾽ ἔτεσιν ἄλλοις ἕτερα μύρια καὶ δισχίλια, τὸ μέρος ἑκάστου ἔτους ἀναφέροντα ἐς Ῥώμην· ἀποδοῦναι δ᾽ ἡμῖν αἰχμάλωτα καὶ αὐτόμολα πάντα, καὶ Ἐυμενεῖ ὅσα λοιπὰ τῆς πρὸς Ἄτταλον τὸν Ἐυμενοῦς πατέρα συνθήκης ἔχει. Ταῦτα Ἀντιόχῳ πράττοντι ἀδόλως δίδομεν εἰρήνην τε καὶ φιλίαν, ὅταν ἡ σύγκλητος ἐπιψηφίσῃ. Τοσάδε προὔτεινεν ὁ Σκιπίων, καὶ πάντα ἐδέχοντο οἱ πρέσβεις. τό τε μέρος αὐτίκα τῶν χρημάτων, καὶ τὰ εἴκοσιν ὅμηρα ἐκομίζετο· καὶ ἦν αὐτῶν Ἀντίοχος, ὁ νεώτερος υἱὸς Ἀντιόχου. ἐς δὲ τὴν Ῥώμην οἵ τε Σκιπίωνες καὶ ὁ Ἀντίοχος πρέσβεις ἔπεμπον. καὶ ἡ βουλὴ τοῖς ἐγνωσμένοις συνετίθεντο. καὶ ἐγράφοντο συνθῆκαι, τοὺς Σκιπίωνος λόγους cap. 39.

λόγους βεβαιοῦσθαί τε, καὶ περὶ τῶν ἀορίστων ἐπιλέγεσθαι, καὶ βραχέα ἄττα προσεπιλαμβάνεσθαι· Ὅρον μὲν Ἀντιόχῳ τῆς ἀρχῆς εἶναι δύο ἄκρας, Καλύκαδνόν τε καὶ Σαρπηδόνιον, καὶ τάσδε μὴ παραπλεῖν Ἀντίοχον ἐπὶ πολέμῳ· ναῦς δὲ καταφράκτους ἔχειν δυώδεκα μόνας, αἷς ἐς τοὺς ὑπηκόους πολέμους κατάρχειν· πολεμούμενον δὲ, καὶ πλέοσι χρῆσθαι· μηδένα δ' ἐκ τῆς Ῥωμαίων ξενολογεῖν, μηδὲ φυγάδας ἐξ αὐτῆς ὑποδέχεσθαι· καὶ τὰ ὅμηρα διὰ τριετίας ἐναλλάσσειν, χωρίς γε τοῦ παιδὸς Ἀντιόχου. Ταῦτα συγγραψάμενοί τε, καὶ ἐς τὸ Καπιτώλιον ἐς δέλτους χαλκᾶς ἀναθέντες, (οὗ καὶ τὰς ἄλλας συνθήκας ἀνατιθέασιν,) ἔπεμπον ἀντίγραφα Μαλλίῳ Βούλσωνι, τῷ διαδεδεγμένῳ τὴν Σκιπίωνος στρατηγίαν. ὁ δ' ὤμνυ τοῖς Ἀντιόχου πρέσβεσι περὶ Ἀπάμειαν τῆς Φρυγίας, καὶ ὁ Ἀντίοχος ἐπὶ τούτῳ πεμφθέντι Θέρμῳ χιλιάρχῳ. Τοῦτο μὲν δὴ Ἀντιόχῳ τῷ Μεγάλῳ τοῦ πρὸς Ῥωμαίους πολέμου τέλος ἦν. καὶ ἐδόκει μέχρι τοῦδε προελθεῖν μόνου, διὰ χάριν τὴν ἐς τὸν

cap. 40. παῖδα τοῦ Σκιπίωνος Ἀντιόχῳ γενομένην. Καί τινες τὸν Σκιπίωνα ἐπανελθόντα διέβαλλον ἐπὶ τῷδε. καὶ δήμαρχοι δύο δωροδοκίας αὐτὸν ἐγράψαντο καὶ προδοσίας. Ὁ δὲ ἀδοξῶν, καὶ ὑπερορῶν τοῦ ἐγκλήματος, ἐπεὶ συνῆλθε τὸ δικαστήριον ἧς ἡμέρας ποτὲ Καρχηδόνα παρεστήσατο, θυσίαν προύπεμψεν ἐς τὸ Καπιτώλιον, καὶ ἐς τὸ δικαστήριον αὐτὸς παρῆλθεν ἐπὶ λαμπροῦ σχήματος, ἀντὶ οἰκτροῦ καὶ ταπεινοῦ τῶν ὑπευθύνων· ὡς εὐθὺς ἐπὶ τῷδε πάντας ἐκπλῆξαί τε, καὶ ἐς εὔνοιαν, ὡς ἐπὶ χρηστῷ δὴ συνειδότι μεγαλοφρονούμενον, προσάγεσθαι. λέγειν δὲ ἀρξάμενος, τῶν μὲν κατηγορίας οὐδ' ἐπεμνήσθη· τὸν δὲ βίον ἑαυτοῦ, καὶ ἐπιτηδεύματα. καὶ ἔργα πάντα ἐπεξῄει, καὶ πολέμους ὅσους ἐπολέμησεν ὑπὲρ τῆς πατρίδος· καὶ ἕκαστον αὐτῶν ὡς ἐπολέμησεν, ὁσάκις τε ἐνίκησεν. ὡς ἐγγενέσθαι τοῖς ἀκροωμένοις τι καὶ ἡδονῆς, διὰ τὴν ἱστορίαν τῆς σεμνολογίας. ἐπεὶ δέ ποτε προῆλθεν ἐπὶ Καρχηδόνα, ἐξάρας ἐς φαντασίαν τάδε μάλιστα, καὶ ὁρμῆς αὐτός τε ἐμπλησθεὶς, καὶ τὸ πλῆθος ἐμπλήσας, εἶπεν ὅτι, Τῆσδε τῆς ἡμέρας ἐγὼ τάδε ἐνίκων, καὶ Καρχηδόνα ὑμῖν, ὦ πολῖται, περιεποίησα τὴν τέως ὑμῖν ἐπιφοβωτάτην. ἄπειμι δὴ θύσων τῆς ἡμέρας ἐς τὸ Καπιτώλιον. καὶ ὑμῶν ὅσοι φιλοπόλιδες, τῆς θυ-

θυσίας μοι, γιγνομένης ὑπὲρ ὑμῶν, συνάψασθε. Ταῦτα ἔφη, καὶ ἐς τὸ Καπιτώλιον ἔβη, μηδὲν τῆς δίκης φροντίσας. εἵπετο δ' αὐτῷ τὸ πλῆθος καὶ οἱ πλέονες τῶν δικαστῶν, σὺν εὐφήμῳ βοῇ, καὶ θύοντι ὅμοια ἐπεφώνουν. οἱ κατήγοροι δὲ ἠπορῦντο, καὶ ὔτε αὐτῷ τὴν δίκην αὖθις, ὡς ἐτέλεσον, ἐτόλμησαν ἐπιγράψαι, ὔτε μέμψασθαι δημοκοπίας· δυνατώτερον αὐτῦ τὸν βίον εἰδότες ὑπονοίας τε καὶ διαβολῆς.

Μάλλιος δὲ, ὁ τῦ Σκιπίωνος διάδοχος, τὴν ἀφαιρεθεῖσαν Ἀντιόχυ γῆν ἐπιὼν καθίστατο. Καὶ Γαλατῶν τῶν Ἀντιόχῳ συμμαχησάντων Τολιστοβοίυς, ἀναφυγόντας ἐς τὸν Μύσιον Ὄλυμπον, ἐπιμόχθως τῦ ὄρυς ἐπιβὰς, ἐτρέψατο φεύγοντας· ἕως ἔκτεινε καὶ κατεκρήμνισεν ὅσυς ἀριθμήσασθαι διὰ τὸ πλῆθος ὐκ ἐγένετο· αἰχμαλώτυς δ' ἔλαβεν ἐς τετρακισμυρίυς, ὧν τὰ μὲν ὅπλα κατέκαυσε, τὰ δὲ σώματα (ὐ δυνάμενος τοσόνδε πλῆθος ἐν πολέμοις περιάγεσθαι) τοῖς ἐγγὺς βαρβάροις ἀπέδοτο. Ἐν δὲ Τεκτοσάγαις τε καὶ Τρόκμοις ἐκινδύνευσε μὲν ἐξ ἐνέδρας, καὶ ἔφυγεν. ἐπανελθὼν δὲ ἐς αὐλιζομένυς τε καὶ βεβυσμένυς ὑπὸ πλήθυς, περιέστησε τὺς ψιλὺς αὐτοῖς, καὶ περιτρέχων ἐκέλευσεν ἐσακοντίζειν, μήτε προσπλεκομένυς, μήτε πλησιάζοντας. ὐδενὸς δὲ βέλυς ἀτυχῦντος, διὰ τὴν πυκνότητα τῶν πολεμίων, ἔκτεινεν ἐς ὀκτακισχιλίυς, καὶ ἐδίωξε τὺς λοιπὺς ὑπὲρ Ἅλυν ποταμόν. Ἀριαράθυ δὲ, τῦ Καππαδοκῶν βασιλέως, καὶ τῦδε συμμάχυς πέμψαντος Ἀντιόχῳ, δεδιότος τε καὶ δεομένυ, καὶ διακόσια τάλαντα πέμψαντος ἐπὶ τῇ δεήσει, τὴν χώραν ὐκ ἐπέδραμεν. Ἀλλ' ἐς τὸν Ἑλλήσποντον ἐπανῆλθε, σὺν γάζῃ τε πολλῇ καὶ χρήμασιν ἀπείροις, καὶ λείᾳ βαρυτάτῃ, καὶ στρατῷ καταγόμῳ. Τάδε μὲν καλῶς ἐπέπρακτο τῷ Μαλλίῳ. τὸ δ' ἐντεῦθεν, ἀλόγως πάμπαν, ὥρᾳ θέρυς πλεῦσαι μὲν ὑπερεῖδεν, ὔτε τὸ βάρος ὧν ἐπήγετο ποιησάμενος ἐνθύμιον, ὔτ' ἐπειγόμενος διαπονεῖν ἢ γυμνάζειν ὁδοιπορίαις ἔτι τὸν στρατὸν, ὐκ ἐς πόλεμον ὁρμῶντα, ἀλλ' ἐς οἰκείαν μετὰ λαφύρων ἐπανιόντα. διὰ δὲ Θράκης ὥδευε, στενὴν καὶ μακρὰν καὶ δύσβατον ὁδὸν, πνίγυς ὥρᾳ· ὔτ' ἐς Μακεδονίαν Φιλίππῳ προεπιστείλας, ἀπαντᾶν, ἵνα παραπέμψειεν αὐτόν· ὔτε τὸν στρατὸν ἐς μέρη πολλὰ διε-

Appianus, cap. 42-45.

cap. 43.

διελὼν, ἵνα κȣφότερον βαδίζῃ, καὶ τὰ χρήσιμα εὐμαρέστερα ἔχῃ· ȣ̓́τε τὰ σκευοφόρα συντάξας ἐς λόχȣς ὀρθίȣς, ἵνα εὐφυλακτότερα ᾖ. ἀλλ' ἀθρόως ἦγεν ἅπαντας ἐπὶ μῆκος πολὺ, καὶ τὰ σκευοφόρα εἶχεν ἐν μέσῳ, μήτε τῶν πρόσθεν αὐτοῖς δυναμένων ἐπικȣρεῖν, μήτε τῶν ὄπισθεν, ὀξέως, διὰ μῆκος ὁμȣ̃ καὶ στενότητα τῆς ὁδȣ̃. ὅθεν αὐτῷ πανταχόθεν ἐς τὰ πλάγια τῶν Θρᾳκῶν ἐπικειμένων, πολὺ μέρος ἀπώλεσε τῆς τε λείας καὶ τῶν δημοσίων χρημάτων, καὶ αὐτȣ̃ δὴ τȣ̃ στρατȣ̃. μετὰ δὲ τῶν ὑπολοίπων ἐς Μακεδονίαν διεσώθη. ᾧ δὴ καὶ μάλιστα ἐγένετο καταφανὲς, ὅσον ὤνησε παραπέμπων τȣ̀ς Σκιπίωνας ὁ Φίλιππος, καὶ ὅσον ἥμαρτεν Ἀντίοχος ἐκλιπὼν τὴν Χεῤῥόνησον. Ὁ δὲ Μάλλιος, ἔκ τε Μακεδονίας ἐς Θεσσαλίαν διελθὼν καὶ ἐκ Θεσσαλίας ἐς Ἤπειρον, ἐς Βρεντέσιον ἐπέρα, καὶ τὴν λοιπὴν στρατιὰν ἐς τὰ οἰκεῖα ἀφεὶς, ἐπανῆλθεν ἐς Ῥώμην.

cap. 44. Ῥόδιοι δὲ καὶ Εὐμενὴς ὁ Περγάμȣ βασιλεὺς, μέγα φρονȣ̃ντες ἐπὶ τῇ κατ' Ἀντιόχȣ συμμαχίᾳ, Εὐμενὴς μὲν αὐτὸς ἐς Ῥώμην ἐστάλη, Ῥόδιοι δὲ πρέσβεις ἔπεμπον. ἡ δὲ βȣλὴ Ῥοδίοις μὲν ἔδωκε Λυκίȣς τε καὶ Κᾶρας· ȣ̓̀ς ȣ̓ πολὺ ὕστερον ἀπέστησεν αὐτῶν, ὡς Περσεῖ τῷ Μακεδόνι μᾶλλον, ἢ σφίσι τολμȣ̃σι τῷ Περσεῖ, προθυμοτέρων γενομένων. Εὐμενεῖ δὲ παρέσχον ὅσα λοιπὰ ἀφῄρηντο τὸν Ἀντίοχον, χωρὶς Ἑλλήνων τῶν ἐν αὐτοῖς. τȣ́των δὲ ὅσοι μὲν Ἀττάλῳ τῷ πατρὶ Εὐμενȣ̃ς ἐτέλȣν φόρȣς, ἐκέλευσαν Εὐμενεῖ συμφέρειν· ὅσοι δ' Ἀντιόχῳ πρῶτον ἐτέλȣν, ἀπέλυσαν τῶν φόρων, καὶ αὐτονόμȣς ἀφῆκαν. ὧδε μὲν Ῥωμαῖοι ἔθεντο τὰ δορίκτητα.

cap. 45. Ἀντιόχȣ δ' ὕστερον τȣ̃ Μεγάλȣ βασιλέως τελευτήσαντος, γίγνεται Σέλευκος ὁ υἱὸς διάδοχος, ἀπράκτως ἅμα καὶ ἀσθενῶς βασιλεύων, διὰ τὴν τȣ̃ πατρὸς συμφοράν· καὶ τὸν ἀδελφὸν ὅδε Ἀντίοχον ἐξέλυσε τῆς ὑπὸ Ῥωμαίοις ὁμηρείας, ἀντιδȣ̀ς τὸν ἑαυτȣ̃ παῖδα Δημήτριον. Ἀντιόχȣ δ' ἐπανιόντος ἐκ τῆς ὁμηρείας, καὶ ὄντος ἔτι περὶ Ἀθήνας, ὁ μὲν Σέλευκος ἐξ ἐπιβȣλῆς Ἡλιοδώρȣ τινὸς τῶν περὶ τὴν αὐλὴν ἀποθνήσκει. τὸν δ' Ἡλιόδωρον Εὐμενὴς καὶ Ἄτταλος, ἐς τὴν ἀρχὴν βιαζόμενον, ἐκβάλλȣσι, καὶ τὸν Ἀντίοχον ἐς αὐτὴν κατάγȣσιν, ἑταιριζόμενοι τὸν ἄνδρα. ἀπὸ γάρ τινων προσ-

προσ-

ȣμάτων ἤδη καὶ ὅιδε Ῥωμαίȣς ὑπεβλέποντο. Ὄυτω
ν Ἀντίοχος, ὁ Ἀντιόχȣ τȣ̃ Μεγάλȣ, Συρίας ἐπεκρά-
τεν· ὅτῳ παρὰ τῶν Σύρων ἐπώνυμον ἦν Ἐπιφανής,
ι, τῆς ἀρχῆς ἁρπαζομένης ὑπὸ ἀλλοτρίων, βασιλεὺς
ιεῖος ὤφθη. Συνθέμενος δὲ φιλίαν καὶ συμμαχίαν
υμενεῖ, Συρίας καὶ τῶν περὶ αὐτὴν ἐθνῶν ἐγκρατῶς
χε, σατράπην μὲν ἔχων ἐν Βαβυλῶνι Τίμαρχον, ἐπὶ
ταῖς προσόδοις Ἡρακλείδην, ἀδελφὼ μὲν ἀλλήλοιν,
φω δὲ αὐτȣ̃ γενομένω παιδικώ. ἐςράτευσε δὲ καὶ ἐπὶ
ρταξίαν, τὸν Ἀρμενίων βασιλέα, καὶ ἐς Ἄιγυπτον, *Appianus*, cap. 66.
ὶ ἕκτον Πτολεμαῖον, ὀρφανευόμενον μετὰ ἀδελφȣ̃. καὶ
τῷ, ςρατοπεδέυοντι περὶ τὴν Ἀλεξάνδρειαν, Ποπίλλιος
ρὰ Ῥωμαίων πρεσβευτὴς ἧκε, φέρων δέλτον, ἐν ᾗ τά-
ἐγέγραπτο· Μὴ πολεμεῖν Πτολεμαίοις Ἀντίοχον. Ἀνα-
όντι δὲ αὐτῷ, καὶ λέγοντι βȣλεύσεσθαι, κύκλον τῇ
βδῳ περιέγραψεν ὁ Ποπίλλιος, καὶ ἔιπεν· Ἐνταῦθα
λέυȣ. Ὁ μὲν δὴ καταπλαγεὶς ἀνέζευξε, καὶ τὸ τῆς
λυμαίας Ἀφροδίτης ἱερὸν ἐσύλησε· καὶ φθίνων ἐτελεύ- *Appianus*, cap. 46-48.
σε, παιδίον ἐνναετὲς ἀπολιπὼν, Ἀντίοχον, ᾧ προσέθη-
ν ὄνομα Ἐυπάτωρ ὁι Σύροι, διὰ τὴν τȣ̃ πατρὸς ἀρε-
ν. καὶ τὸ παιδίον ἔτρεφε Λυσίας. ἡ δὲ σύγκλητος
θη, φανέντος ἐν ὀλίγῳ τȣ̃ Ἀντιόχȣ γεννικȣ̃, καὶ τα-
ίως ἀποθανόντος. Δημήτριόν τε, τὸν Σελεύκȣ μὲν υἱὸν,
ντιόχȣ δὲ τȣ̃ Ἐπιφανȣ̃ς ἀδελφιδȣ̃ν, υἱωνὸν δὲ τȣ̃ Με-
λȣ Ἀντιόχȣ, ἀνεψιὸν ὄντα τῷδε τῷ παιδίῳ, ὁμηρέυον-
ἔτι ἐν Ῥώμῃ, καὶ ἔτος ἄγοντα τρίτον ἐπὶ τοῖς ἔικο-
ι, ἐς τὴν βασιλείαν καταχθῆναι παρακαλȣ̃ντα, ὡς αὐ-
μᾶλλον προσήκȣσαν, ȣ̓ κατῆγον· ȣ̓ συμφέρειν σφίσιν
ȣ́μενοι, τελειότερον ἄρχειν Σύρων ἀντὶ παιδὸς ἀτελȣ̃ς.
νθανόμενοι δ᾽, ἐν Συρίᾳ ςρατὸν τ᾽ ἐλεφάντων ἔιναι,
ὶ ναῦς πλείονας τῶν ὡρισμένων Ἀντιόχῳ, πρέσβεις
εμπον, ὃι τȣ̀ς ἐλέφαντας συγκόψειν ἔμελλον, καὶ τὰς
ῦς ἐμπρήσειν. ὀικτρὰ δὲ ἡ ὄψις ἦν ἀναιρȣμένων θη-
ων τε καὶ σπανίων, καὶ νεῶν ἐμπιπραμένων. καί τις
Λαοδικείᾳ, Λεπτίνης, τὴν ὄψιν ȣ̓κ ἐνεγκὼν, Γναῖον
κταȣ̃ϊον τὸν τῶνδε τῶν πρέσβεων ἡγεμόνα, ἀλειφόμε-
ἐν τῷ γυμνασίῳ, διεχρήσατο. καὶ τὸν μὲν Ὀκταȣ̃ϊον
απτεν ὁ Λυσίας. Δημήτριος δὲ, ἄυθις ἐς τὴν σύγ- cap. 47.
κλη-

κλητον ἐσελθὼν, ἐδεῖτο τῆς γοῦν ὁμηρείας μόνης ἀπολ
θῆναι, ὡς Ἀντιόχου μὲν ἀντιδοθεὶς, Ἀντιόχου δ' ἀποθα
νόντος. ἐπεὶ δ' οὐκ ἐτύγχανεν οὐδὲ τοῦδε, λαθὼν ἐξέπλευ
σε. καὶ δεξαμένων αὐτὸν ἀσμένως τῶν Σύρων, ἦρχε
τόν τε Λυσίαν καὶ τὸ παιδίον ἐπ' αὐτῷ διαφθείρας, κα
Ἡρακλείδην ἐκβαλὼν, καὶ Τίμαρχον ἐπανιςάμενον ἀν
λὼν, καὶ τἄλλα πονηρῶς τῆς Βαβυλῶνος ἡγούμενον ἐφ
ᾧ καὶ Σωτὴρ, ἀρξαμένων τῶν Βαβυλωνίων, ὠνομάσθη
κρατυνάμενος δὲ τὴν ἀρχὴν ὁ Δημήτριος, ςέφανόν τε
Ῥωμαίοις ἀπὸ χρυσῶν μυρίων, χαριςήριον τῆς ποτε τῶ
αὐτοῖς ὁμηρείας, ἔπεμψε, καὶ Λεπτίνην τὸν ἀνδροφόνο
Ὀκταουΐου. Οἱ δὲ τὸν μὲν ςέφανον ἐδέχοντο, Λεπτίνη
δὲ οὐκ ἔλαβον, ὡς δή τι τοῦτ' ἔγκλημα τοῖς Σύροις τ
μιευόμενοι. Δημήτριος δὲ, καὶ ἐκ τῆς Καππαδοκῶν ἀ
χῆς Ἀριαράθην ἐκβαλὼν, Ὀλοφέρνην ἐπὶ χιλίοις ταλάν
τοις ἀντ' αὐτοῦ κατήγαγεν, ἀδελφὸν εἶναι δοκοῦντα Ἀρι
ράθου. καὶ Ῥωμαίοις ἐδόκει μὲν, ὡς ἀδελφοὺς, Ἀριαράθη
cap. 48. καὶ Ὀλοφέρνην βασιλεύειν ὁμοῦ. Ἐκπεσόντων δὲ καὶ τῶ
δε, καὶ Ἀριοβαρζάνου μετ' αὐτοὺς οὐ πολὺ ὕςερον ὑπὸ Μιθρ
δάτου τοῦ Ποντικοῦ βασιλέως· ὁ Μιθριδάτειος πόλεμος ἐπ
τοῖσδε, καὶ ἐφ' ἑτέροις, ἤρξατο συνίςασθαι, μέγιςός τε κα
πολυτροπώτατος ἔθνεσι πολλοῖς γενόμενος, καὶ παρατε
Appianus, νας ἐς ἔτη μάλιςα τεσσαράκοντα. — Ἐπανίςαται δὲ τ
cap. 67-69. Δημητρίῳ τις Ἀλέξανδρος, ψευδόμενος εἶναι τοῦ Σελευ
κείου γένους· καὶ Πτολεμαῖος, ὁ τῆς Αἰγύπτου βασιλεὺ
κατὰ μῖσος Δημητρίου, συνέλαβεν Ἀλεξάνδρῳ. καὶ Δη
μήτριος μὲν διὰ Πτολεμαῖον ἐξέπεσε τῆς ἀρχῆς, καὶ ἐτε
λεύτησε. τὸν δὲ Ἀλέξανδρον ἐξέβαλε Δημήτριος, ὁ Δη
μητρίου τοῦδε τοῦ Σωτῆρος υἱός· καὶ ἐπὶ τῷδε, ὡς νόθ
τοῦ γένους ἄνδρα νικήσας, Νικάτωρ ὑπὸ τῶν Σύρων ἐπ
μάσθη, δεύτερος καὶ ὅδε μετὰ Σέλευκον. ἐπί τε Παρ
θυαίους καὶ ὅδε μετὰ Σέλευκον ἐςράτευσε. καὶ γενόμε
νος αἰχμάλωτος, δίαιταν εἶχεν ἐν Φραάτου βασιλέως κα
cap. 68. Ῥοδογύνην ἔζευξεν αὐτῷ τὴν ἀδελφὴν ὁ βασιλεύς. Πα
ρὰ δὲ τὴν ἀναρχίαν τήνδε δοῦλος τῶν βασιλέων, Διόδοτο
παιδίον Ἀλέξανδρον, ἐξ Ἀλεξάνδρου τοῦ νόθου καὶ τ
Πτολεμαΐου θυγατρὸς, ἐπὶ τὴν βασιλείαν ἤγαγε. καὶ τ
παιδίον κτείνας, αὐτὸς ἐπετόλμησε τῇ ἀρχῇ, Τρύφων ἀν
ἑαυτ

ἑαυτῦ μετονομαθείς. ἀλλὰ αὐτὸν Ἀντίοχος, ὁ ἀδελφὸς Δημητρίῳ τῦ αἰχμαλώτῳ, πυθόμενος ἐν Ῥόδῳ περὶ τῆς αἰχμαλωσίας, κτείνει κατιὼν ἐς τὰ πατρῷα σὺν πόνῳ πολλῷ καὶ στρατέυει καὶ ὅδε ἐπὶ τὸν Φραάτην, τὸν ἀδελφὸν αὐτῶν. Ὁ μὲν δὴ Φραάτης αὐτὸν ἔδεισε, καὶ τὸν Δημήτριον ἐξέπεμψεν. ὁ δ' Ἀντίοχος, καὶ ὥς συνέβαλλέ τε τοῖς Παρθυαίοις· καὶ ἡσσώμενος, ἑαυτὸν ἔκτεινεν. Εκτεινε δὲ καὶ Δημήτριον ἐς τὴν βασιλείαν ἐπανελθόντα ἡ γυνὴ Κλεοπάτρα, δολοφονήσασα, διὰ ζῆλον τῦ γάμῳ Ροδογύνης· δι' ὃν δὴ καὶ Ἀντιόχῳ τῷ ἀδελφῷ τῦ Δημητρίῳ προγεγάμητο. καὶ παῖδες ἦσαν αὐτῇ, δύο μὲν ἐκ Δημητρίῳ, Σέλευκός τε, καὶ Ἀντίοχος, ὅτῳ Γρυπὸς ἐπίκλησις· ἐκ δὲ Ἀντιόχῳ, Ἀντίοχος, ὅτῳ Κυζικηνὸς ἐπώνυμον. τύτων τὸν μὲν Γρυπὸν ἐς Ἀθήνας, τὸν δὲ Κυζικηνὸν ἐς Κύζικον, ἐπεπόμφει τρέφεσθαι. Σέλευκον ἐ, εὐθὺς ἐπὶ τῷ πατρὶ Δημητρίῳ τὸ διάδημα ἐπιθέμενον, κατοξεύσασα ἔκτεινεν· εἴτε δείσασα περὶ τῆς τῦ πατρὸς δολοφονήσεως, εἴτε καὶ μανιώδει πρὸς πάντας μίσει. Μετὰ δὲ Σέλευκον ὁ Γρυπὸς ἐγένετο βασιλεὺς, καὶ τὴν μητέρα οἱ φάρμακον κεράσασαν πιεῖν ἠνάγκασεν. ἡ μὲν δὴ δίκην ποτὲ ἔδωκεν. Ἄξιος δὲ ἄρα τῆς μητρὸς ἦν καὶ ὁ Γρυπός. ἐπεβύλευε γὰρ τῷ Κυζικηνῷ, καίπερ ὄντι ὁμοδημητρίῳ. ὁ δὲ μαθὼν, ἐπολέμησέ τε αὐτῷ, καὶ τῆς ἀρχῆς αὐτὸν ἐξήλασε· καὶ βασιλεὺς ἀντ' ἐκείνῳ τοῖς Σύροις ἐγένετο. Ἀλλὰ καὶ τόνδε Σέλευκος ὁ Ἀντιόχῳ τῦ Γρυπῦ παῖς, ἐπικρατεύσας, ὄντι περ θείῳ, παρείλετο τὴν ἀρχήν. βίαιος δὲ καὶ τυραννικώτατος ὢν, ἐν Ἑστίᾳ Μόψῳ τῆς Κιλικίας κατεπρήσθη κατὰ τὸ γυμνάσιον. Καὶ αὐτὸν διεδέξατο Ἀντίοχος, ὁ υἱὸς τῦ Κυζικηνῦ· ὃν, ἐπιβυλευόμενον ὑπὸ Σελεύκῳ τῦ ἀνεψιῦ, οἱ μὲν Σύροι νομίσι περισωθῆναι δι' εὐσέβειαν, καὶ διὰ τῦτο Εὐσεβῆ πανωνόμασαν. ἑταίρα δ' αὐτὸν ἔσωσεν, ἐραθεῖσα τῦ κάλλους. ἐμοὶ δὲ δοκῦσιν ἐπὶ γέλωτι αὐτῷ ποιήσασθαι τὸ ὄνομα οἱ Σύροι. ἔγημε γὰρ ὗτος ὁ Εὐσεβὴς Σελήνην, ᾗ καὶ τῷ πατρὶ αὐτῦ γεγάμητο τῷ Κυζικηνῷ, καὶ τῷ Γρυπῷ, θείῳ γενομένῳ. τοιγάρτοι αὐτὸν, θεῦ μετιόντος, ἐξήλασε τῆς ἀρχῆς Τιγράνης. Αὐτὸς γὰρ Τιγράνης, ὁ Τιγράνυς, βασιλεὺς Ἀρμενίας, ἔθνη τινὰ τῶν περιοίκων ἰδίοις

cap. 69.

Appianus, cap. 48–52.

ἰδίοις δυνάσαις χρώμενα ἑλὼν, Βασιλεὺς ἀπὸ τοῦδε Βασιλέων ἡγεῖτο ἔιναι, καὶ τοῖς Σελευκίδαις ἐπεςράτευεν, ὡς ἐθέλουσιν ὑπακούειν. οὐχ ὑποςάντος δ' ἀυτὸν Ἀντιόχου τοῦ Ἐυσεβοῦς, ὁ Τιγράνης ἦρχε Συρίας τῆς μετ' Εὐφράτην, ὅσα γένη Σύρων μέχρι Αἰγύπτου· ἦρχε δὲ ὁμοῦ καὶ Κιλικίας, (καὶ γὰρ ἥδε τοῖς Σελευκίδαις ὑπήκουε·) Μαγαδάτην

cap. 49. ςρατηγὸν ἐπιτάξας ἅπασαν, ἐπὶ ἔτη τεσσαρεσκαίδεκα. Λευκόλλου δὲ τοῦ Ῥωμαίων ςρατηγοῦ Μιθριδάτην διώκοντος, ἐς τὸν Τιγράνην ὑποφεύγοντα, ὁ Μαγαδάτης ᾔει μετὰ τοῦ ςρατοῦ Τιγράνῃ βοηθήσων. καὶ ἐν τῷδε παραδὺς ἐς τὴν Συρίαν Ἀντίοχος, ὁ Ἀντιόχου τοῦ Ἐυσεβοῦς, ἦρχε τῶν Σύρων ἑκόντων. καὶ ἀυτῷ Λεύκολλος μὲν, ὁ Τιγράνῃ πρῶτος τε πολεμήσας, καὶ τῆς ἐπικτήτου γῆς ἀυτὸν ἐξελάσας, οὐκ ἐφθόνησεν ἀρχῆς πατρῴας. Πομπήϊος δὲ, ὁ ἐπὶ Λευκόλλῳ Μιθριδάτην ἐξελὼν, Τιγράνῃ μὲν Ἀρμενίας συνεχώρησεν ἄρχειν, Ἀντίοχον δὲ ἐξέβαλε τῆς Σύρων ἀρχῆς, οὐδὲν ἐς Ῥωμαίους ἁμαρτόντα· ἔργῳ μὲν, ὅτι ἦν ἐύκολον ἀυτῷ, ςρατιὰν ἔχοντι, πολλὴν ἀρχὴν ἀνόπλου ἀφελέσθαι· λόγῳ δὲ, ὅτι τοὺς Σελευκίδας, ὑπὸ Τιγράνου ἐκπεσόντας, οὐκ ἐικὸς ἦν ἔτι Συρίας ἄρχειν μᾶλλον, ἢ

cap. 50. Ῥωμαίους Τιγράνην νενικηκότας. Οὕτω μὲν δὴ Κιλικίας τε, καὶ Συρίας, τῆς μεσογαίου καὶ Κοίλης καὶ Φοινίκης καὶ Παλαιςίνης, καὶ ὅσα ἄλλα Συρίας ἀπὸ Εὐφράτου μέχρι Αἰγύπτου καὶ μέχρι θαλάσσης ὀνόματα, ἀμαχὶ Ῥωμαῖοι κατέσχον. Ἓν δὲ γένος ἔτι τὸ Ἰουδαίων ἐνιςάμενον ὁ Πομπήϊος ἐξεῖλε κατακράτος, καὶ τὸν βασιλέα Ἀριςόβουλον ἔπεμψεν ἐς Ῥώμην, καὶ τὴν μεγίςην πόλιν Ἱεροσόλυμα, καὶ ἁγιωτάτην ἀυτοῖς, κατέσκαψεν· ἣν δὴ καὶ Πτολεμαῖος ὁ πρῶτος Αἰγύπτου βασιλεὺς καθῃρήκει καὶ Ὀυεσπασιανὸς ἄυθις οἰκισθεῖσαν κατέσκαψε, καὶ Ἀδριανὸς ἄυθις ἐπ' ἐμοῦ. Καὶ διὰ ταῦτ' ἐςὶν Ἰουδαίοις ἅπασιν ὁ φόρος τῶν σωμάτων βαρύτερος τῆς ἄλλης περιουσίας. ἔςι δὲ καὶ Σύροις καὶ Κίλιξιν ἐτήσιος, ἑκατοςὴ τοῦ τιμήματος ἑκάςῳ. Πομπήϊος μὲν οὖν τῶνδε τῶν ὑπὸ τοῖς Σελευκίδαις γενομένων ἐθνῶν τοῖς μὲν ἐπέςησεν οἰκείους βασιλέας, ἢ δυνάςας, καθὰ καὶ Γαλατῶν τῶν ἐν Ἀσίᾳ τοῖς τέσσαρσι δυνάςαις ἐβεβαίωσε τὰς τετραδαρχίας, συμμαχήσασίν οἱ κατὰ Μιθριδάτου. Καὶ οὐ πολὺ ὕςερον καὶ τάδε

περιῆλ-

εριῆλθεν ἐς Ῥωμαίȣς, ἐπὶ Καίσαρος μάλιϛα τȣ̃ Σεβαϛȣ̃, ετὰ μέρη. Συρίας δ' εὐθὺς ὁ Πομπήϊος Σκαῦρον, τὸν cap. 51. τοῖς πολέμοις ἑαυτῷ γενόμενον ταμίαν, ἔταξεν ἡγεῖ-αι· καὶ ἡ βȣλὴ Φίλιππον ἐπὶ Σκαύρῳ τὸν Μάρκιον, καὶ αρκελλῖνον Λέντλον ἐπὶ τῷ Φιλίππῳ, ἄμφω ϛρατηγικȣ̀ς τ' ἀξίωσιν. ἀλλὰ τῶνδε μὲν ἑκατέρῳ διετὴς ἐτρίφθη όνος, τȣ̀ς γείτονας ἐνοχλȣ̃ντας Ἄραβας ἀμυνομένῳ. ὶ τȣ̃δε χάριν ἐς τὸ ἔπειτα ἐγένοντο Συρίας ϛρατηγοὶ τῶν ἐπώνυμα ἀρξάντων ἐν ἄϛει· ἵνα ἔχοιεν ἐξȣσίαν κατα-γȣ τε ϛρατιᾶς καὶ πολέμȣ, οἷα ὕπατοι. καὶ πρῶτος ἐκ νδε ἐπέμφθη Γαβίνιος μετὰ ϛρατιᾶς. καὶ πολεμεῖν τὸν ὁρμῶντα, Μιθριδάτης μὲν ὁ Παρθυαίων βασιλεὺς, ελαυνόμενος τῆς ἀρχῆς ὑπὸ Ὀρώδȣ τȣ̃ ἀδελφȣ̃, μετῆ-ν ἐξ Ἀράβων ἐπὶ Παρθυαίȣς. Πτολεμαῖος δὲ αὐτὸν ἑνδέκατος, Αἰγύπτȣ βασιλεὺς, ἐκπεσὼν καὶ ὅδε τῆς ἀρ-ῆς, μετέπεισε χρήμασι πολλοῖς, ἀντὶ Παρθυαίων ἐπὶ λεξανδρέας ὁρμῆσαι. καὶ κατήγαγε μὲν τὸν Πτολεμαῖον ὶ τὴν ἀρχὴν ὁ Γαβίνιος, Ἀλεξανδρεῦσι πολεμήσας· ὑπὸ τῆς τῶν Ῥωμαίων βȣλῆς ἔφυγεν, ἐπὶ τῷ ἄνευ ψηφίσ-τος ἐς Αἴγυπτον ἐμβαλεῖν, ἐπὶ πολέμῳ Ῥωμαίοις ἀπαι-ν νομιζομένῳ· ἦν γάρ τι Σιβύλλειον αὐτοῖς ἀπαγορεῦον. ὶ δὲ Γαβινίῳ μοι δοκεῖ Κράσσος ἄρξαι Σύρων· ὅτῳ, πο-μȣ̃ντι Παρθυαίοις, ἡ μεγάλη συμφορὰ γίγνεται. καὶ ὶ Λευκίῳ Βύβλῳ, μετὰ Κράσσον ϛρατηγȣ̃ντι Συρίας, τὴν Συρίαν ἐσέβαλον οἱ Παρθυαῖοι. Σάξα δὲ μετὰ ίβλον ἡγȣμένȣ, καὶ τὰ μέχρι Ἰωνίας ἐπέδραμον, ἀσχο-μένων Ῥωμαίων ἐς τὰ ἐπ' ἀλλήλȣς ἐμφύλια, κ. τ. λ.

XII. DE REBUS ASIÆ MINORIS.

Τȣ̃το τῆς Ἀσίας μέρος ἐϛὶ ὥσπερ Χεῤῥονήσȣ μεγά- *Strabo, Lib. XII.* ς ἰσθμὸς, σφιγγόμενος θαλάτταις δυσὶ τῇ τε τȣ̃ Ἰσσικȣ̃ λπȣ μέχρι τῆς τραχείας Κιλικίας, καὶ τῇ τȣ̃ Εὐξείνȣ, ταξὺ Σινώπης τε καὶ τῆς τῶν Τιβαρηνῶν παραλίας· τὸς δὲ τȣ̃ ἰσθμȣ̃ λέγομεν Χεῤῥόνησον τὴν προσεσπέριον ῖς Καππαδόκιν ἅπασαν· ἣν Ἡρόδοτος μὲν ἐντὸς Ἅλυος

καλεῖ· ἅυτη γάρ ἐςιν ἧς ἦρξεν ἁπάσης Κροῖσος· λέγει
αὐτὸν ἐκεῖνος τύραννον ἐθνέων τῶν ἐντος Ἅλυος ποταμ
Οἱ δὲ νῦν τὴν ἐντὸς τȣ̃ Ταύρȣ καλȣ̃σιν Ἀσίαν, ὁμωνύμ
τῇ ὅλῃ ἠπείρῳ ταύτην Ἀσίαν προσαγορεύοντες. Περιέχ
ται δ' ἐν αὐτῇ πρῶτον μὲν ἔθνη τὰ ἀπὸ τῆς ἀνατολ
Παφλαγόνες τὲ, καὶ Φρύγες, καὶ Λυκάονες· ἔπειτα Βιθ
νοὶ καὶ Μυσοὶ καὶ ἡ Ἐπίκτητος· ἔτι δὲ Τρῳὰς, καὶ Ἑλ
λησποντία μετὰ δὲ τȣ́τȣς ἐπὶ θαλάττῃ μὲν Ἕλληναν,
τε Αἰολέες καὶ Ἴωνες, τῶν δ' ἄλλων Κᾶρες τὲ καὶ Λ
κιοι· ἐν δὲ τῇ μεσογαίᾳ Λυδοί· κ. τ. λ.

Strabo, Lib. XIV.

Φήσαντος δὲ τȣ̃ Ἐφόρȣ, διότι τὴν Χεῤῥόνησον κατ
κεῖ ταύτην ἑκκαίδεκα γένη, τρία μὲν Ἑλληνικὰ, τὰ
λοιπὰ βάρβαρα χωρὶς τῶν μιγάδων, ἐπὶ θαλάττῃ μὲν Κ
λικες καὶ Λύκιοι, καὶ Πάμφυλοι καὶ Βιθυνοὶ καὶ Παφλ
γόνες, καὶ Μαριανδυνοὶ, καὶ Τρῶες, καὶ Κᾶρες. Π
ἔαι δὲ καὶ Μυσοὶ, ἐν τῇ μεσογαίᾳ· διαιρῶν ταῦτα ὁ Ἀ
πολλόδωρος, ἑπτακαιδέκατον φησὶν ἔιναι, τὸ τῶν Γαλ
τῶν, ὅ νεώτερον ἐςὶ τȣ̃ Ἐφόρȣ. Τῶν δ' ἐιρημένων,
μὲν Ἑλληνικὰ μήπω, κατὰ τὰ Τρωϊκὰ κατωκίσθαι, τὰ
βάρβαρα πολλὴν ἔχει σύγχυσιν διὰ τὸν χρόνον. κατε
γεσθαι δ' ὑπὸ τȣ̃ Ὁμήρȣ τὸ, τε τῶν Τρωϊκῶν καὶ
νῦν ὀνομαζομένων Παφλαγόνων, καὶ Μυσῶν, καὶ Κα
καὶ Φρυγῶν, καὶ Κιλίκων, Μῄονας ἀντὶ Λυδῶν, καὶ
λȣς ἀγνῶτας, οἷον Ἀλιζῶνας καὶ Καύκωνας· ἐκτὸς δὲ
καταλόγȣ Κητείȣς τὲ καὶ Σολύμȣς, καὶ Κίλικας τȣ̀ς
Θήβης πεδίȣ, καὶ Λέλεγας. Παμφύλȣς δὲ καὶ Βιθυν
καὶ Μαριανδυνȣ̀ς, καὶ Πισίδας, καὶ Χάλυβας, καὶ Μ
λύας, καὶ Καππαδόκας μήδ' ὠνομάσθαι· τȣ̀ς μὲν, διὰ
μηδέ πω τȣ̀ς τόπȣς κατῳκηκέναι τȣ́τȣς· τȣ̀ς δὲ, διὰ
ἑτέροις γένεσι περιέχεσθαι, ὡς Ἰδριεῖς μὲν καὶ Τερμ
Καρσί· Δολίονες δὲ καὶ Βέβρυκες Φρυξί. Φαίνετα
ȣ̓́τε τȣ̃ Ἐφόρȣ τὴν ἀπόφασιν διαιτῶν ἱκανῶς, τά τε
ποιητȣ̃ ταράττων, καὶ καταψευδόμενος. Ἐφόρȣ τε
τȣ̃το πρῶτον ἀπαιτεῖν ἐχρῆν, τί δὴ τȣ̀ς Χάλυβας τ
σιν ἐντὸς τῆς Χεῤῥονήσȣ, τοσȣ̃τον ἀφεςῶτας καὶ Σιν
καὶ Ἀμισȣ̃ πρὸς ἕω; οἱ γὰρ λέγοντες τὸν ἰσθμὸν
Χεῤῥονήσȣ ταύτης, τὴν ἀπὸ Ἰσσȣ̃ γραμμὴν ἐπὶ τὸν Ε
ξεινον, ὡς ἂν μεσημβρινήν τινα τιθέασι ταύτην, οἱ μ

ιναι νομίζουσι τὴν ἐπὶ Σινώπης, οἱ δὲ τὴν ἐπ' Ἀμισȣ̃· πὶ δὲ τῶν Χαλύβων ȣ̓δείς· λοξὴ γάρ ἐςι τελείως. ὁ γὰρ ἡ διὰ Χαλύβων μεσημβρινὸς, διὰ τῆς μικρᾶς Ἀρμενίας ράφοιτ' ἂν, καὶ τȣ̃ Εὐφράτȣ, τὴν Καππαδοκίαν ὅλην ντὸς ἀπολαμβάνων, καὶ τὴν Κομμαγηνὴν, καὶ τὸν Ἀμα- ὸν καὶ τὸν Ἰσσικὸν κόλπον. Ἐι δ' ȣ̃ν καὶ τὴν λοξὴν ραμμὴν ὁρίζειν τὸν ἰσθμὸν συγχωρήσαιμεν, τὰ πλεῖςα γε ȣ́των, καὶ μάλιςα ἡ Καππαδοκία ἐντὸς ἀπολαμβάνοιτ' ν, καὶ ὁ νῦν ἰδίως λεγόμενος Πόντος τῆς Καππαδοκίας έρος ὢν τὸ πρὸς τῷ Εὐξείνῳ· ὥς' ἐι τȣ̀ς Χάλυβας τῆς Χεῤῥονήσȣ θετέον μέρη, πολὺ μᾶλλον τȣ̀ς Καταόνας, καὶ Καππαδόκας ἀμφοτέρȣς, καὶ Λυκάονας δὲ, ȣ̀ς καὶ αὐτȣ̀ς αρῆκε. Διὰ τί δ' ἐν τοῖς μεσογαίοις ἔταξε τȣ̀ς Χάλυ- ας, ȣ̀ς ὁ ποιητὴς Ἀλιζῶνας ἐκάλεσεν, ὥσπερ καὶ ἡμεῖς πεδείξαμεν; Ἄμεινον γὰρ ἦν διελεῖν, καὶ τȣ̀ς μὲν ἐπὶ ῇ θαλάττῃ φάναι, τȣ̀ς δὲ ἐν τῇ μεσογαίᾳ· ὅπερ καὶ ἐπὶ ῆς Καππαδοκίας ποιητέον, καὶ τῆς Κιλικίας. Ὁ δὲ τὴν ἐν ȣ̓δ' ὠνόμασε· τȣ̀ς Κίλικας δὲ τȣ̀ς ἐπὶ τῇ θαλάττῃ μό- ον ἐίρηκεν. Οἱ ȣ̃ν ἐπ' Ἀντιπάτρῳ τῷ Δερβήτῃ, καὶ οἱ Ὀμοναδεῖς, καὶ ἄλλοι πλείȣς οἱ συνάπτοντες τοῖς Πισί- αις,

— — — Οἱ ȣ̓κ ἴσασι θάλατταν

Ἀνέρες, ȣ̓δ' ἔθ' ἅλεσσι μεμιγμένον ἐ̃ιδαρ ἔδȣσι,

ίν' ἂν λάβωσι τάξιν; ἀλλ' ȣ̓δὲ Λυδȣ̀ς, ȣ̓δὲ Μήονας ἐι- ηκεν, ἔιτε δύο, ἔιθ' οἱ αὐτοί ἐισι· καὶ ἔιτε καθ' ἑαυτȣ̀ς, ιτ' ἐν ἑτέρῳ γένει περιεχομένȣς· ȣ̃τω γὰρ ἐπίσημον ἔθ- ος ȣ̓κ ἀποκρύψαι δυνατὸν, ȣ̓́τε μὴ λέγων περὶ αὐτȣ̃ μη- ὲν, ȣ̓κ ἂν δόξειε παραλιπεῖν τι τῶν κυριωτάτων. Τίνες ἐισὶν οἱ μιγάδες; ȣ̓ γὰρ ἂν ἔχοιμεν ἐιπεῖν παρὰ τȣ̀ς εχθέντας τόπȣς ἢ ὠνομάσθαι ὑπ' αὐτȣ̃ ἢ παραλελεῖφθαι ἄλλȣς ȣ̀ς ἀποδώσομεν τοῖς μιγάσιν, ȣ̓δέ γε αὐτῶν τινας ȣ́των, ὧν ἢ ἐ̃ιπεν, ἢ παρέλιπε, καὶ γὰρ ἐι κατεμίχθη- αν, ἀλλ' ἡ ἐπικράτεια πεποίηκεν, ἢ Ἕλληνας, ἢ βαρβά- ȣς· τρίτον δὲ γένος ȣ̓δὲν ἴσμεν τὸ μικτόν. Πῶς δὲ τρία ένη τῶν Ἑλλήνων ἐςὶ τὰ τὴν Χεῤῥόνησον οἰκȣ̃ντα; ἐι γὰρ τι τοπαλαιὸν οἱ αὐτοὶ ἦσαν Ἴωνες, καὶ Ἀθηναῖοι, λε- έθωσαν καὶ οἱ Δωριεῖς, καὶ οἱ Αἰολεῖς οἱ αὐτοὶ, ὥς τε ύο ἔθνη γένοιτ' ἄν· ἐι δὲ διαιρετέον κατὰ τὰ ὕςερα ἔθ- νη,

νη, καθάπερ καὶ τὰς διαλέκτους, τέτταρα ἂν εἴη καὶ τὰ ἔθνη, καθάπερ καὶ αἱ διάλεκτοι· οἰκοῦσι δὲ τὴν Χεῤῥόνησον ταύτην, καὶ μάλιστα κατὰ τὸν τοῦ Ἐφόρου διορισμὸν, οὐκ Ἴωνες μόνον, ἀλλὰ καὶ Ἀθηναῖοι, καθάπερ ἐν τοῖς καθέκαστα δεδήλωται. Τοιαῦτα μὲν δὴ πρὸς τὸν Ἔφορον διαπορεῖν ἄξιον. Ἀπολλόδωρος δὲ τούτων μὲν ἐφρόντισεν οὐδέν· τοῖς δὲ ἑκκαίδεκα ἔθνεσι, προστίθησιν ἑπτακαιδέκατον τὸ τῶν Γαλατῶν, ἄλλως μὲν χρήσιμον λεχθῆναι, πρὸς δὲ τὴν δίαιταν τῶν τοῦ Ἐφόρου λεγομένων, ἢ παραλειπομένων, οὐ δέον· εἴρηκε δὲ τὴν αἰτίαν αὐτὸς, ὅτι ταῦτα πάντα νεώτερα τῆς ἐκείνου ἡλικίας. Μεταβὰς δ' ἐπὶ τὸν ποιητὴν, τοῦτο μὲν ὀρθῶς λέγει, διότι πολλὴ σύγχυσις γεγένηται τῶν βαρβάρων ἐθνῶν ἀπὸ τῶν Τροϊκῶν ἐς τὰ νῦν διὰ τὰς μεταπτώσεις· καὶ γὰρ προσγέγονέ τινα, καὶ λέλοιπε, καὶ διέσπασαι, καὶ συνῆκται εἰς ἕν. Οὐκ εὖ δὲ τὴν αἰτίαν διττὴν ἀποφαίνει, δι' ἣν οὐ μέμνηταί τινων ὁ ποιητής· ἢ τῷ μήπω τότ' οἰκεῖσθαι ὑπὸ τοῦ ἔθνους τούτου ἢ τῷ ἐν ἑτέρῳ γένει περιέχεσθαι. Τὴν γὰρ Καππαδοκίαν οὐκ εἴρηκεν, οὐδὲ τὴν Καταονίαν, ὡς δ' αὔτως τὴν Λυκαονίαν, δι' οὐδέτερον τούτων· οὐ γὰρ ἔχομεν τοιαύτην ἱστορίαν ἐπ' αὐτῶν οὐδεμίαν. Γελοῖον τε τὸ τοὺς Καππαδόκας, καὶ Λυκάονας διατὶ μὲν Ὅμηρος παρέλιπε φροντίσαι, καὶ ἀπολογήσασθαι· διατί δ' Ἔφορος παρῆλθε, παρελθεῖν καὶ αὐτόν· καὶ ταῦτα παραθέμενον πρὸς αὐτὸ τοῦτο τὴν ἀπόφασιν τοῦ ἀνδρὸς, πρὸς τὸ ἐξετάσαι, καὶ διαιτῆσαι· καὶ διότι μὲν Μήονας ἀντὶ Λυδῶν Ὅμηρος εἶπε διδάξαι· ὅτι δ' οὔτε Λυδοὺς, οὔτε Μήονας εἴρηκεν Ἔφορος, μὴ ἐπισημήνασθαι. Φήσας δὲ ἀγνώτων τινῶν μεμνῆσθαι τὸν ποιητὴν, Καύκωνας μὲν ὀρθῶς λέγει, καὶ Σολύμους καὶ Κητείους, καὶ Λέλεγας, καὶ Κίλικας τοὺς ἐκ Θήβης πεδίου· τοὺς δ' Ἁλιζῶνας αὐτὸς πλάττει, μᾶλλον δ' οἱ πρῶτοι τοὺς Ἁλιζῶνας ἀγνοήσαντες τίνες εἰσὶ, καὶ μεταγράφοντες πλεοναχῶς, καὶ πλάττοντες τὴν τοῦ ἀργύρου γενέθλαν, καὶ ἄλλα πολλὰ μεγάλα, ἐκλελυμένα ἅπαντα· πρὸς ταύτην δὲ τὴν φιλοτιμίαν κἀκεῖνα συνήγαγον, τὰς ἱστορίας ἃς ὁ Σκήψιος τίθησι παρὰ Καλλισθένους λαβὼν, καὶ ἄλλων τινῶν, οὐ καθαρευόντων τῆς περὶ τῶν Ἁλιζώνων ψευδοδοξίας· ὡς ὁ μὲν Ταντάλου πλοῦτος, καὶ τῶν Πελοπιδῶν, ἀπὸ τῶν περὶ

Φρ-

Φρυγίαν, καὶ Σίπυλον μετάλλων ἐγένετο· ὁ δὲ Κάδμε, περὶ Θράκην, καὶ τὸ Πάγγαιον ὄρος· ὁ δὲ Πριάμε, ἐκ τῶν ἐν Ἀςύροις περὶ Ἄβυδον χρυσείων, ὧν καὶ νῦν ἔτι μικρὰ λείπεται· πολλὴ δ' ἐκβολὴ, καὶ τὰ ὀρύγματα σημεῖα τῆς πάλαι μεταλλείας· ὁ δὲ Μίδε ἐκ τῶν περὶ τὸ Βέρμιον ὄρος· ὁ δὲ Γύγε, καὶ Ἀλυάττε, καὶ Κροίσε, ἀπὸ τῶν ἐν Λυδίᾳ τῶν μεταξὺ Ἀταρνέως τε καὶ Περγάμε, πολίχνη ἐρήμη, ἐκμεταλλευόμενα ἔχεσα τὰ χωρία. Ἔτι καὶ ταῦτα μέμψαιτο ἄντις τε Ἀπολλοδώρε, ὅτι τῶν νεωτέρων καινοτομέντων πολλὰ παρὰ τὰς Ὁμηρικὰς ἀποφάσεις, εἰωθὼς ταῦτ' ἐλέγχειν ἐπιπλέον. ἐνταῦθα ἐκ ὠλιγώρηκε μόνον, ἀλλὰ καὶ τἀναντία εἰς ἓν συνάγει τὰ μὴ ὡσαύτως λεγόμενα. Ὁ μὲν γὰρ Ξάνθος ὁ Λυδὸς, μετὰ τὰ Τρωϊκὰ φησὶν ἐλθεῖν τὲς Φρύγας ἐκ τῆς Εὐρώπης, καὶ τῶν ἀριςερῶν τε Πόντε· ἀγαγεῖν δ' αὐτὲς Σκαμάνδριον ἐκ Βερεκύντων, καὶ Ἀσκανίας· ἐπιλέγει δὲ τέτοις ὁ Ἀπολλόδωρος, ὅτι τῆς Ἀσκανίας ταύτης μνημονεύει καὶ Ὅμηρος, ἧς ὁ Ξάνθος,

Φόρκυς δὲ Φρύγας ἦγε, καὶ Ἀσκάνιος θεοειδὴς,
Τῆλ' ἐξ Ἀσκανίης.

Ἀλλ' εἰ ἔτως ἔχει, ἡ μετανάςασις ὕςερον ἂν εἴη τῶν Τρωϊκῶν γεγονυῖα· ἐν δὲ τοῖς Τρωϊκοῖς τὸ λεγόμενον ὑπὸ τε ποιητε ἐπικερικὸν, ἧκεν ἐκ τῆς περαίας ἐκ τῶν Βερεκύντων, καὶ τῆς Ἀσκανίας· τίνες ἐν Φρύγες ἦσαν,

Οἳ ῥατότ' ἐςρατόωντο παρ' ὄχθας Σαγγαρίοιο,

τε Πρίαμος

— — ἐπίκερος ἐὼν μετὰ τοῖσιν ἐλέγμην

φησί; πῶς δὲ ἐκ μὲν Βερεκύντων μετεπέμπετο Φρύγας ὁ Πρίαμος, πρὸς ὃς ἐδὲν ἦν αὐτῷ συμβόλαιον; τὲς δ' ὁμόρες, καὶ οἷς αὐτὸς πρότερον ἐπεκέρησε παρέλιπεν; Οὕτω δὲ περὶ τῶν Φρυγῶν εἰπὼν, ἐπιφέρει καὶ τὰ περὶ τῶν Μυσῶν, ἐχ' ὁμολογέμενα τέτοις· λέγεσθαι γάρ φησι καὶ τῆς Μυσίας κώμην Ἀσκανίαν περὶ λίμνην ὁμώνυμον, ἐξ ἧς καὶ τὸν Ἀσκάνιον ποταμὸν ῥεῖν, ὃ μνημονεύει καὶ Εὐφορίων

— — — Μυσοῖο παρ' ὕδασιν Ἀσκανίοιο.

καὶ ὁ Αἰτωλὸς Ἀλέξανδρος·

Οἱ

Οἱ καὶ ἐπ' Ἀσκανίῳ δώματ' ἔχουσι ῥόῳ,
Λίμνης Ἀσκανίης ἐπὶ χείλεσι. ἔνθα Δολίων
Υἱὸς Σιληνοῦ νάσσατο καὶ Μελίης.

Καλοῦσι δέ φησι Δολιονίδα καὶ Μυσίαν τὴν περὶ Κύζικον ἰόντι εἰς Μιλητόπολιν. Εἰ οὖν οὕτως ἔχει ταῦτα, καὶ ἐπιμαρτυρεῖται ὑπὸ τῶν δεικνυμένων νῦν, καὶ ὑπὸ τῶν ποιητῶν, τί ἐκώλυε τὸν Ὅμηρον ταύτης μεμνῆσθαι τῆς Ἀσκανίας, ἀλλὰ μὴ τῆς ὑπὸ Ξάνθου λεγομένης;

Strabo Lib. XII. Μεγάλη δὲ σύγχυσις ἐγένετο τῶν ἐνταῦθα ἐθνῶν, διὰ τὴν εὐδαιμονίαν τῆς χώρας τῆς ἐντὸς Ἅλυος· μάλιστα δὲ τῆς παραλίας δι' ἣν ἐπιθέσεις ἐγένοντο αὐτῇ πολλαχόθεν καὶ διὰ παντὸς ἐκ τῆς περαίας, ἢ καὶ ἐπ' ἀλλήλους ἰόντων τῶν ἐγγύς. Μάλιστα μὲν οὖν κατὰ τὰ Τρωϊκά, καὶ μετὰ ταῦτα γενέσθαι τὰς ἐφόδους καὶ τὰς μεταναστάσεις συνέβη, τῶν τε βαρβάρων ἅμα, καὶ τῶν Ἑλλήνων ὁρμῇ τινι χρησαμένων πρὸς τὴν τῆς ἀλλοτρίας κατάσχεσιν· ἀλλὰ καὶ πρὸ τῶν Τρωϊκῶν ἦν ταῦτα. Τό, τε γὰρ Πελασγῶν ἦν φῦλον, καὶ τῶν Καυκώνων καὶ Λελέγων· εἴρηται δ' ὅτι πολλαχοῦ τῆς Εὐρώπης ἐτύγχανε τὸ παλαιὸν πλανώμενα, ἅπερ ποιεῖ τοῖς Τρωσὶ συμμαχοῦντα ὁ ποιητής, οὐκ ἐκ τῆς περαίας. Τά τε περὶ τῶν Φρυγῶν, καὶ τῶν Μυσῶν λεγόμενα (ὅτι ἑκάτερον τὸ ἔθνος διττόν ἐστι) πρεσβύτερα τῶν Τρωϊκῶν ἐστιν. Οἱ δὴ διττοὶ Λύκιοι τὸ αὐτοῦ γένους ὑπόνοιαν παρέχουσιν, ἢ τῶν Τρωϊκῶν, ἢ τῶν πρὸς Καρίαν τοὺς ἑτέρους ἀποικησάντων. Τάχα δὲ καὶ ἐπὶ τῶν Κιλίκων τὸ αὐτὸ συνέβη· διττοὶ γὰρ καὶ οὗτοι· οὐ μὴν ἔχομέν γε τοιαύτην λαβεῖν μαρτυρίαν, ὅτι καὶ πρὸ τῶν Τρωϊκῶν ἦσαν ἤδη οἱ νῦν Κίλικες· ὅ, τε Τήλεφος ἐκ τῆς Ἀρκαδίας ἀφῖχθαι νομίζοιτ' ἂν μετὰ τῆς μητρός· γάμῳ δὲ τῷ ταύτης ἐξοικειωσάμενος τὸν ὑποδεξάμενον αὐτὸν Τεύθραντα, ἐνομίσθη τε ἐκείνου, καὶ παρέλαβε τὴν Μυσῶν ἀρχήν. Καὶ οἱ Κᾶρες δὲ νησιῶται πρότερον ὄντες καὶ Λέλεγες ὥς φασιν, ἠπειρῶται γεγόνασι, προσλαβόντων Κρητῶν· οἱ καὶ τὴν Μίλητον ἔκτισαν, ἐκ τῆς Κρήτης λαβόντες Σαρπηδόνα κτίστην· καὶ τοὺς Τερμίλας κατῴκησαν ἐν τῇ νῦν Λυκίᾳ· τούτους δ' ἀγαγεῖν ἀποίκους ἐκ Κρήτης Σαρπηδόνα, Μίνω καὶ Ῥαδαμάνθυος ἀδελφὸν ὄντα, καὶ ὀνομάσαι Τέρμιλας τοὺς νῦν Μιλύας, ὥς φησιν Ἡρόδοτος. ἔτι δὲ

πρότε-

πρότερον Σολύμες· ἐπελθόντα δὲ τὸν Πανδίονος Λύκωνα, ἀφ' ἑαυτῦ προσαγορεῦσαι τὲς αὐτὲς Λυκίες. Οὗτος μὲν ὖν ὁ λόγος ἀποφαίνει τὲς αὐτὲς Σολύμες τὲ καὶ Λυκίες· ὁ δὲ ποιητὴς χωρίζει· Βελλεροφόντης γῦν ὡρμημένος ἐκ τῆς Λυκίας,

— — Σολύμοισι μαχέσσατο κυδαλίμοισι.

Πείσανδρόν τε ὡσαύτως ὑιὸν αὐτῦ,

Ἄρης, ὥς φησι, μαρνάμενον Σολύμοισι κατέκτανε·

καὶ τὸν Σαρπηδόνα δὲ ἐπιχώριον τινὰ λέγει· ἀλλὰ τό γε ἆθλον προκεῖσθαι κοινὸν τὴν ἀρετὴν τῆς χώρας ἧς λέγω τοῖς ἰχθύεσιν ἐκ πολλῶν βεβαιῦται· καὶ μετὰ τὰ Τρωϊκὰ ὅπε καὶ Ἀμαζόνες κατεθάῤῥησαν αὐτοῖς· ἐφ' ἃς ὅτε Πρίαμος ϛρατεῦσαι λέγεται, καὶ ὁ Βελλεροφόντης. Καὶ πόλεις τοπάλαι ὁμολογῦνται ἐπώνυμοι αὐτῶν. Ἐν δὲ τῷ Ἰλιακῷ πεδίῳ κολώνη τίς ἐϛιν.

Ἣν ἤτοι ἄνδρες Βατίειαν κικλήσκεσιν,

Ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο Μυρίνης·

ἣν ἱϛορῦσι μίαν ἔιναι τῶν Ἀμαζόνων, ἐκ τῦ ἐπιθέτε τεκμαιρόμενοι· ἐυσκάρθμες γὰρ ἵππες λέγεσθαι διὰ τὸ τάχος· κἀκείνην ὖν πολύσκαρθμον, διὰ τὸ ἀπὸ τῆς ἡνιοχείας τάχος· καὶ ἡ Μυρίνα ὖν ἐπώνυμος ταύτης λέγεται. Καὶ ἁι ἐγγὺς δὲ νῆσοι ταῦτ' ἔπαθον διὰ τὴν ἀρετήν· ὧν Ῥόδος καὶ Κῶς ὅτι πρὸ τῶν Τρωϊκῶν ἤδη ὑφ' Ἑλλήνων ᾠκῦντο, καὶ ὑφ' Ὁμήρε σαφῶς ἐκμαρτυρεῖται. Μετὰ δὲ τὰ Τρωϊκὰ ἅι τε τῶν Ἑλλήνων ἀποικίαι, καὶ ἁι Τρηρῶν, καὶ ἁι Κιμμερίων ἔφοδοι, καὶ Λυδῶν, καὶ μετὰ ταῦτα Περσῶν, καὶ Μακεδόνων, τετελευταῖον Γαλατῶν, ἐτάραξαν πάντα, καὶ συνέχεαν. Γέγονε δὲ ἡ ἀσάφεια, ἐ διὰ τὰς μεταβολὰς μόνον, ἀλλὰ καὶ διὰ τὰς τῶν συγγραφέων ἀνομολογίας, περὶ τῶν αὐτῶν ἐ τὰ αὐτὰ λεγόντων. τὲς μὲν Τρῶας καλέντων Φρύγας, καθάπερ ὁι τραγικοὶ, τὲς δὲ Λυκίες Κᾶρας, καὶ ἄλλες ὕτως. Οἱ δὲ Τρῶες ὕτως ἐκ μικρῶν αὐξηθέντες, ὥϛε καὶ βασιλεῖς βασιλέων ἔιναι, παρέσχον καὶ τῷ ποιητῇ λόγον, τίνα χρὴ καλεῖν Τροίαν, καὶ τοῖς ἐξηγεμένοις ἐκεῖνον. Λέγει γὰρ καὶ κοινῶς ἅπαντας Τρῶας τὲς συμπολεμήσαντας αὐτοῖς, ὥσπερ καὶ Δαναὲς, καὶ Ἀχαιὲς τὲς ἐναντίες· ἀλλ' ἐ δήπε Τροίαν ἐρῦμεν νὴ Δία, καὶ τὴν Παφλα-

Φλαγονίαν ἐδὲ τὴν Καρίαν, ἢ τὴν ὅμορον αὐτῇ Λυκί[αν·] λέγω δ' ὅταν φῇ,

Τρῶες μὲν κλαγγῇ ἐνοπῇ τ' ἴσαν· — —

ἐκ δὲ τῶν ἐναντίων,

Οἱ δ' ἄρ' ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί.

Καὶ ἄλλως δὲ λέγει πολλαχῶς. Ὅμως δὲ καίπερ τοι[ού]των ὄντων, πειρατέον διαιτᾷν ἕκαστα εἰς δύναμιν.

A) DE REBUS POPULORUM NON GRÆCORUM

a) DE REBUS TROJANORUM.

Descriptio terræ geographica.
Strabo, **Lib. XIII.**

Ἀπὸ τῆς Κυζικηνῆς καὶ τῶν περὶ Αἴσηπον τόπων, καὶ Γρανικὸν μέχρι Ἀβύδε, καὶ Σηστῦ τὴν τῆς Προποντίδος παραλίαν εἶναι συμβαίνει· ἀπὸ δὲ Ἀβύδε μέχρι Λεκτῦ, τὰ περὶ Ἴλιον, καὶ Τένεδον καὶ Ἀλεξάνδρειαν τὴν Τρωάδα· πάντων δὴ τέτων ὑπέρκειται ἡ Ἴδη τὸ ὄρος, μέχρι Λεκτῦ, καθήκεσα· ἀπὸ δὲ Λεκτῦ μέχρι Καΐκε ποταμῦ καὶ τῶν Κανῶν λεγομένων· ἐστι τὰ περὶ Ἄσσον καὶ Ἀτραμύττιον, καὶ Ἀταρνέα καὶ Πιτάνην, καὶ τὸν Ἐλαϊτικὸν κόλπον· οἷς πᾶσιν ἀντιπαρήκει ἡ τῶν Λεσβίων νῆσος· εἶθ' ἑξῆς τὰ περὶ Κύμην, μέχρις Ἕρμε καὶ Φωκαίας, ἥπερ ἀρχὴ μὲν τῆς Ἰωνίας ἐστὶ, πέρας δὲ τῆς Αἰολίδος. Τοιέτων δὲ τῶν τόπων ὄντων, ὁ μὲν ποιητὴς, ἀπὸ τῶν περὶ Αἴσηπον τόπων, καὶ τῶν περὶ τὴν νῦν Κυζικηνὴν χώραν, ὑπαγορεύει μάλιστα τὲς Τρῶας ἄρξαι, καὶ μέχρι τῦ Καΐκε ποταμῦ διῃρημένες κατὰ δυναστείας εἰς ὀκτὼ μερίδας, ἢ καὶ ἐννέα· τὸ δὲ τῶν ἄλλων ἐπικέρων πλῆθος, ἐν τοῖς συμμάχοις διαριθμεῖται. Οἱ δ' ὕστερον τὲς ὅρες αὐτὲς λέγεσι, καὶ τοῖς ὀνόμασι χρῶνται διηλλαγμένως, αἱρέσεις νέμοντες πλείες. Μάλιστα δ' αἱ τῶν Ἑλλήνων ἀποικίαι παρεσχήκασι λόγον· ἧττον μὲν ἡ Ἰωνική· πλείονι γὰρ διέστηκε τῆς Τρωάδος· ἡ δὲ τῶν Αἰολέων παντάπασι, καθ' ὅλην γὰρ ἐσκεδάσθη ἀπὸ τῆς Κυζικηνῆς μέχρι τῦ Καΐκε, καὶ ἐπέλαβεν ἔτι πλέον τὴν μεταξὺ τῦ Καΐκε καὶ τῦ Ἕρμε ποταμῦ. Τέτρασι γὰρ δὴ γενεαῖς πρεσβυτέραν φασὶ τὴν Αἰολικὴν ἀποικίαν τῆς

Ἰων-

[ανικῆς· διατριβὰς δὲ λαβεῖν καὶ χρόνες μακροτέρες. Ὀρέσην μὲν γὰρ ἄρξαι τȣ̃ σόλȣ· τȣ́τȣ δ' ἐν Ἀρκαδίᾳ τε-ευτήσαντος τὸν βίον, διαδέξαθαι τὸν ὑιὸν ἀυτȣ̃ Πένθι-ον, καὶ προελθεῖν μέχρι Θράκης, ἑξήκοντα ἔτεσι τῶν ῾ρωϊκῶν ὕσερον, ὑπ' ἀυτὴν τὴν τῶν Ἡρακλειδῶν ἐις Πε-οπόννησον κάθοδον· ἐιτ' Ἀρχέλαον ὑιὸν ἐκείνȣ περαιῶσαι ὶν Ἀιολικὸν σόλον, ἐις τὴν νῦν Κυζικηνὴν τὴν περὶ τὸ ασκύλειον. Γραῦν δὲ τὸν ὑιὸν τȣ́τȣ τὸν νεώτατον προελ-όντα μέχρι τȣ̃ Γρανίκȣ ποταμȣ̃, καὶ παρεσκευασμένον κεινον περαιῶσαι τὸ πλέον τῆς σρατιᾶς ἐις Λέσβον καὶ ιτασχεῖν ἀυτήν. Κλέυην δὲ τὸν Δώρȣ, καὶ Μαλαὸν, ιὶ ἀυτȣ̀ς ἀπογόνȣς ὄντας Ἀγαμέμνονος, συναγαγεῖν μὲν ὶν σρατιὰν κατὰ τὸν ἀυτὸν χρόνον καθ' ὃν καὶ Πέν-λος. ἀλλὰ τὸν μὲν τȣ̃ Πενθίλȣ σόλον φθῆναι περαιω-έντα ἐκ τῆς Θράκης ἐις τὴν Ἀσίαν· τȣ́τȣς δὲ περὶ τὴν οκρίδα, καὶ τὸ Φρίκιον ὄρος διατρίψαι πολὺν χρόνον· ερον δὲ διαβάντας κτίσαι τὴν Κύμην, τὴν Φρικωνίδα ηθεῖσαν ἀπὸ τȣ̃ Λοκρικȣ̃ ὄρȣς. Τῶν Ἀιολέων τοίνυν ιθ' ὅλην σκεδασθέντων τὴν χώραν, ἣν ἔφαμεν ὑπὸ τȣ̃ ιητȣ̃ λέγεσθαι Τρωϊκὴν, ὁι δ' ὕσερον ὁι μὲν, πᾶσαν ιολίδα προσαγορέυȣσιν, ὁι δὲ, μέρος. καὶ Τροίαν, ὁι ν ὅλην, ὁι δὲ, μέρος ἀυτῆς, ȣ̓δὲν ὅλως ἀλλήλοις ὁμο-γȣ̃ντες. Ἐυθὺς γὰρ ἐπὶ τῶν κατὰ τὴν Προποντίδα πων, ὁ μὲν Ὅμηρος ἀπὸ τȣ̃ Ἀισήπȣ τὴν ἀρχὴν ποιεῖ-ι τῆς Τρωάδος. Ἔυδοξος δὲ, ἀπὸ Πριάπȣ, καὶ Ἀρ-κης, τȣ̃ ἐν τῇ Κυζικηνῶν νήσῳ χωρίȣ ἀνταίροντος τῷ ιιάπῳ, συσέλλων ἐπ' ἔλαττον τȣ̀ς ὅρȣς. Δαμάσης δ' μᾶλλον συσέλλει ἀπὸ Παρίȣ. Καὶ γὰρ ȣ̃τος μὲν ἕως ικτȣ̃ προάγει· ἄλλοι δ' ἄλλως. Χάρων δ' ὁ Λαμψα-ὸς, τριακοσίȣς ἄλλȣς ἀφαιρεῖ σαδίȣς, ἀπὸ Πρακτίȣ χόμενος· τοσȣ̃τοι γάρ ἐισιν ἀπὸ Παρίȣ ἐις Πράκτιον· μέν τοι Ἀτραμυττίȣ πρόεισι. Σκύλαξ δὲ ὁ Καρυαν-ς ἀπὸ Ἀβύδȣ ἄρχεται. Ὁμοίως δὲ τὴν Ἀιολίδα, φορος μὲν λέγει ἀπὸ Ἀβύδȣ μέχρι Κύμης· ἄλλοι δ' ἄλ-ς· Τοπογραφεῖ δὲ μάλισα τὴν ὄντως λεγομένην Τροίαν, τῆς Ἴδης θέσις, ὄρȣς ὑψηλȣ̃, βλέποντος πρὸς δύσιν, τὴν ταύτῃ θάλατταν, μικρὰ δ' ἐπισραφέντος καὶ πρὸς ιτον, καὶ τὴν ταύτῃ παραλίαν· ἔσι δὲ ἅυτη μὲν τῆς Προπον-

Προποντίδος ἀπὸ τῶν περὶ Ἄβυδον ςενῶν ἐπὶ τὸν Ἀι-
σηπον, καὶ τὴν Κυζικηνήν· ἡ δ' ἑσπέρια θάλαττα, ἥ
τε Ἑλλήσποντός ἐςιν, ἐν ᾧ καὶ τὸ Αἰγαῖον πέλαγος.
Πολλοὺς δ' ἔχουσα πρόποδας ἡ Ἴδη καὶ σκολοπενδρώδης
οὖσα τὸ σχῆμα, ἐσχάτοις ἀφορίζεται τούτοις, τῷ τε περὶ
τὴν Ζέλειαν ἀκρωτηρίῳ, καὶ τῷ καλουμένῳ Λεκτῷ· τῷ
μὲν τελευτῶντι εἰς τὴν μεσόγαιαν μικρὸν ὑπὲρ τῆς Κυ-
ζικηνῆς· καὶ δὴ καὶ ἔςι νῦν ἡ Ζέλεια τῶν Κυζικηνῶν·
τὸ δὲ Λεκτὸν εἰς τὸ πέλαγος καθήκει τὸ Αἰγαῖον, ἐν
παράπλῳ κείμενον τοῖς ἐκ Τενέδου πλέουσιν εἰς Λέσβον.

Ἴδην δ' ἱκέσθην πολυπίδακα μητέρα θηρῶν,
Λεκτὸν, ὅθι πρῶτον λιπέτην ἅλα — — —

Ὕπνος καὶ ἡ Ἥρα. οἰκείως τοῦ ποιητοῦ φράζοντος τὸ
Λεκτόν. καὶ γὰρ ὅτι τῆς Ἴδης ἐςὶ τὸ Λεκτὸν, καὶ ὅ-
τι πρώτη ἀπόβασις ἐκ θαλάττης αὕτη τοῖς ἐπὶ τὴν Ἴδην
ἀνιοῦσιν, εἴρηκεν ὀρθῶς· καὶ τὸ πολυπίδακα· εὐυδρότατον
γὰρ κατὰ ταῦτα μάλιςα τὸ ὄρος· δηλοῖ δὲ τὸ πλῆθος τῶν
ποταμῶν

Ὅσσοι ἀπ' Ἰδαίων ὀρέων ἅλαδε προρέουσι,
Ῥῆσος Ἑπτάπορός τε — — —

καὶ οἱ ἑξῆς, οὓς ἐκεῖνος εἴρηκε, καὶ ἡμῖν νυνὶ πάρεςι ὁ-
ρᾷν· τοὺς δὴ πρόποδας τοὺς ἐσχάτους ἐφ' ἑκατέρα, ὥστε τὸ
Λεκτὸν καὶ τὴν Ζέλειαν, οἰκείως τούτων καὶ τὴν ἀκρώρειαν
ἀφορίζει Γάργαρον ἀκρότερον· καὶ γὰρ νῦν Γάργαρον ἐν τοῖς
ἄνω μέρεσι τῆς Ἴδης δείκνυται τόπος, ἐν ᾧ τὰ νῦν Γάρ-
γαρα πόλις Αἰολική. Ἐντὸς μὲν γὰρ τῆς Ζελείας καὶ τοῦ
Λεκτοῦ, πρῶτα ἐςὶν ἀπὸ τῆς Προποντίδος ἀρξαμένοις μέ-
χρι τῶν κατ' Ἄβυδον ςενῶν· εἶτ' ἔξω τῆς Προποντίδος
τὰ μέχρι Λεκτοῦ. Κάμψαντι δὲ τὸ Λεκτὸν ἀναχεῖται
κόλπος μέγας, ὃν ἡ Ἴδη ποιεῖ πρὸς τὴν ἤπειρον ἀποχω-
ροῦσα ἀπὸ τοῦ Λεκτοῦ, καὶ αἱ Κάναι τὸ ἐκ θατέρου μέρους
ἀντικείμενον ἀκρωτήριον τῷ Λεκτῷ· καλοῦσι δ' οἱ μὲν Ἰδαῖον
κόλπον, οἱ δ' Ἀδραμυττηνόν. Ἐν τούτῳ δὲ αἱ τῶν Αἰο-
λέων πόλεις μέχρι τῶν ἐκβολῶν τοῦ Ἕρμου, καθάπερ εἰ-
ρήκαμεν. Εἴρηται δὲ ἐν τοῖς ἔμπροσθεν, ὅτι τοῖς ἐκ Βυ-
ζαντίου πλέουσι πρὸς νότον, ἐπ' εὐθείας ἐςὶν ὁ πλοῦς, πρῶ-
τον ἐπὶ Σηςὸν, καὶ Ἄβυδον διὰ μέσης τῆς Προποντίδος.
Ἔπειτα τῆς παραλίας τῆς Ἀσίας μέχρι Καρίας. Ταύτην

ή Φυλάττοντας χρὴ τὴν ὑπόθεσιν ἀκȣ́ειν τῶν ἑξῆς, κἂν ̣έγωμεν κόλπȣς τινὰς ἐν αὐτῇ τῇ παραλίᾳ, τάς τε ἄκρας εῖ νοεῖν τὰς ποιȣ́σας αὐτȣ̀ς ἐπὶ τῆς αὐτῆς γραμμῆς κειμέ-ȣς ὥσπέρ τινος μεσημβρινῆς. Ἐκ δὴ τῶν ὑπὸ τȣ̃ ποιη-ȣ̃ λεγομένων, εἰκάζȣσιν ὁ Φροντίσαντες περὶ τȣ́τȣ πλέον ι πᾶσαν τὴν παραλίαν ταύτην ὑπὸ τοῖς Τρωσὶ γεγονέναι, ηρημένην μὲν εἰς δυναςείας ἐννέα, ὑπὸ δὲ τῷ Πριάμῳ ̣ταγμένην κατὰ τὸν Ἰλιακὸν πόλεμον, καὶ λεγομένην ῥοίαν· δῆλον δ' ἐκ τῶν κατὰ μέρος· Οἱ γὰρ περὶ τὸν ̣χιλλέα τειχήρεις ὁρῶντες τȣ̀ς Ἰλιέας καταρχὰς, ἔξω ̣ιεῖσθαι τὸν πόλεμον ἐπεχείρησαν, καὶ περιϊόντες ἀφαι-̣ῖσθαι τὰ κύκλῳ.

Δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ ἀνθρώπων.
Πεζὸς δ' ἕνδεκά Φημι κατὰ Τροίην ἐρίβωλον.

ροίαν γὰρ λέγει τὴν πεπορθημένην ἤπειρον· πεπόρθηται ἐν ἄλλοις τόποις καὶ τὰ ἀντικείμενα τῇ Λέσβῳ, τὰ ̣ρὶ Θήβην, καὶ Λυρνησσὸν, καὶ Πήδασον τὴν τῶν Λε-̣γων, καὶ ἔτι ἡ τȣ̃ Εὐρυπύλȣ τȣ̃ ΤηλέΦȣ παιδός.

Ἀλλ' οἷον τὸν ΤηλεΦίδην κατενήρατο χαλκῷ
Νεοπτόλεμος
Ἥρω' Εὐρύπυλον.

ȣ̃τα δὴ πεπορθῆσθαι λέγει· καὶ αὐτὴν τὴν Λέσβον

— — — ὅτε Λέσβον ἐϋκτιμένην ἕλες αὐτός. Καὶ
Πέρσε δὲ καὶ Λυρνησσὸν καὶ Πήδασον. Καὶ
Λυρνησσὸν διαπορθήσας, καὶ τείχεα Θήβης.
μὲν Λυρνησσȣ̃ ἡ Βρισηΐς ἑάλω.
. Τὴν ἐκ Λυρνησσȣ̃ ἐξείλετο.

ἐν τῇ ἁλώσει τὸν Μύνητα καὶ τὸν Ἐπίςροφον πεσεῖν ̣σίν, ὡς ἡ Βρισηῒς θρηνȣ̃σα τὸν Πάτροκλον δηλοῖ.

Ου δὲ μὲν ȣ̓δέμ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς
Ἀχιλλεὺς
Ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
Κλαίειν.

̣Φαίνει γὰρ τὴν Λυρνησσὸν λέγων πόλιν θείοιο Μύνη-̣, ὡς ἂν δυναςευομένην ὑπ' αὐτȣ̃, καὶ ἐνταῦθα πεσεῖν ̣ὸν μαχόμενον· ἐκ δὲ τῆς Θήβης ἡ Χρυσηΐς ἐλήΦθη.

Ὠχόμεθ' ἐς Θήβην ἱερὴν πόλιν Ἠετίωνος.

ἐκ

ἐκ δὲ τῶν ἀχθέντων ἐκεῖθεν φησὶν εἶναι τὴν Χρυσηΐδα· ἐκ ὄιονται δὲ δεῖν ἐξ εὐθείας ἀκȣ́ειν.

-- -- -- Σὺ μὲν ἐν Τροίῃ. -- -- --
Αὐτὰρ ἐγὼ Θήβησιν (ἢ Θήβηθεν)
Ἀνδρομάχη θυγάτηρ μεγαλήτορος Ἠετίωνος.
Ἠετίων ὃς ἔναιεν ὑποπλάκῳ ὑληέσσῃ.
Θήβῃ ὑποπλακίῃ, Κιλίκεσσ' ἄνδρεσσιν ἀνάσσων.

Δευτέρα ἦν ἄυτη δυναςεία Τρωϊκὴ μετὰ τὴν ὑπὸ Μύνητι. Ὀικείως δὲ τȣ́τοις, καὶ τὸ ὑπὸ τῆς Ἀνδρομάχης λεχθὲν ȣ̓́τως.

Ἕκτορ, ἐγὼ δύςηνος· ἰῇ ἄρα γεινόμεθ' ἄισῃ
Ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμȣ ἐνὶ ὄικῳ
Αὐτὰρ ἐγὼ Θήβῃσιν.

ἀλλὰ καθ' ὑπερβατὸν, Ἀμφότεροι ἐκ Τροίης, σὺ μὲν Πριάμȣ ἐνὶ ὄικῳ. Αὐτὰρ ἐγὼ Θήβησι. Τρίτη δ' ἐςὶν ἡ τῶν Λελέγων, καὶ ἄυτη Τρωϊκή.

Ἀλτέω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει.

Οὗ τῇ θυγατρὶ συνελθὼν Πρίαμος γεννᾷ τὸν Λυκάονα, καὶ Πολύδωρον· καὶ μὴν ὄι γε ὑπὸ τῷ Ἕκτορι ἐν τῷ καταλόγῳ ταττόμενοι, λέγονται Τρῶες.

Τρωσὶ μὲν ἡγεμόνευε μέγας κορυθαίολος Ἕκτωρ

εἶθ' ὑπὸ τῷ Ἀινείᾳ.

Δαρδανίων ἆυτ' ἦρχεν ἐῢς πάϊς Ἀγχίσαο

καὶ ȣ̓͂τοι Τρῶες· φησὶ γȣ̃ν.

Ἀινεῖα Τρώων βȣληφόρε.

Εἶθ' ὑπὸ Πανδάρῳ Λύκιοι, ȣ̓̀ς καὶ αὐτȣ̀ς καλεῖ Τρῶας.

Ὁι δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδης.
Ἀφνειοὶ πίνοντες ὕδωρ μέλαν Αἰσήποιο
Τρῶες, τῶν ἆυθ' ἦρχε Λυκάονος ἀγλαὸς υἱὸς, Πάνδαρος·

Ἕκτη δ' ἄυτη δυναςεία. Καὶ μὲν ὄι γε μεταξὺ τȣ̃ Αἰσήπȣ καὶ Ἀβύδȣ, Τρῶες· ὑπὸ μὲν γὰρ τῷ Ἀσίῳ ἐςὶ τὰ περὶ Ἄβυδον.

Ὁι δ' ἄρα Περκώτην καὶ Πράκτιον ἀμφενέμοντο.
Καὶ Σηςὸν καὶ Ἄβυδον ἔχον, καὶ δίαν Ἀρίσβην,
Τῶν ἆυθ' Ὑρτακίδης ἦρχ' Ἄσιος. -- -- --

ἀλλ' ἐν Ἀβύδῳ μὲν υἱὸς τȣ̃ Πριάμȣ διέτριβεν, ἵππȣς νέμων, πατρῴας δηλονότι.

Ἀλλ'

'Αλλ' υἱὸν Πριάμοιο νόθον βάλε Δημοκόωντα·
"Ος οἱ 'Αβυδόθεν ἦλθε παρ' ἵππων ὠκειάων.

ἐν δὲ Περκώτῃ υἱὸς 'Ικετάονος ἐβυνόμει, ἐκ ἀλλοτρίας δ' ἔτος βῦς.

— — — πρῶτον δ' 'Ικεταονίδην ἐνένισπεν
"Ιφθιμον Μελάνιππον, ὁ δ' ὄφρα μὲν εἰλίποδας βῦς,
Βόσκ' ἐν Περκώτῃ.

; τε καὶ αὕτη ἂν εἴη Τρωὰς καὶ ἡ ἐφεξῆς ἕως 'Αδραςείας· χον γὰρ αὐτῆς

Υἱε δύο Μέροπος Περκωσίε. — — —

οἰκέντες μὲν δὴ Τρῶες οἱ ἀπὸ 'Αβύδε μέχρι 'Αδραςείας· ζα μέντοι διῃρημένοι, οἱ μὲν, ὑπὸ τῷ 'Ασίῳ, οἱ δ' ὑπὸ ις Μεροπίδαις· καθάπερ καὶ ἡ τῶν Κιλίκων διττή, ἡ ν Θηβαϊκή, ἡ δὲ Λυρνησσίς. ἐν αὐτῇ δ' ἂν λεχθείη ὑπὸ 'Ευρυπύλε ἐφεξῆς ὅσα τῇ Λυρνησσίδι. "Οτι δὲ των ἁπάντων ἦρχεν ὁ Πρίαμος, οἱ τῦ 'Αχιλλέως λόγοι ὸς τὸν Πρίαμον σαφῶς ἐμφανίζυσι.

Καί σε γέρον τὸ πρὶν μὲν ἀκέομεν ὄλβιον εἶναι,
"Οσσον Λέσβος ἄνω Μάκαρος ἕδος ἐντὸς ἐέργει,
Καὶ Φρυγίη καθύπερθε, καὶ 'Ελλήσποντος ἀπείρων.

ότε μὲν ὖν τοιαῦτα ὑπῆρχεν· ὕςερον δὲ ἠκολέθησαν μεβολαὶ παντοῖαι· τὰ μὲν γὰρ περὶ Κύζικον, Φρύγες ἐπῴκησαν ἕως Πρακτίε· τὰ δὲ περὶ "Αβυδον Θρᾴκες· ἔτι δὲ ότερον τέτων ἀμφοῖν Βέβρυκες καὶ Δρύοπες. τὰ δ' ῆς Τρῆρες, καὶ ἔτοι Θρᾴκες· τὸ δὲ Θήβης πεδίον Λυδοὶ τότε Μήονες. καὶ Μυσῶν οἱ περιγενόμενοι τῶν ὸ Τηλέφῳ πρότερον καὶ Τεύθραντι.

Τῆς Τρωάδος χώρας πρῶτος ἐβασίλευσε Τεῦκρος, ς ὢν Σκαμάνδρε τῦ ποταμῦ καὶ 'Ιδαίας Νύμφης, ἀνὴρ φανής, καὶ τὺς λαὺς ἀφ' ἑαυτῦ Τεύκρυς προσηγόρευσε. ύκρυ δ' ἐγένετο θυγάτηρ Βατεία· ταύτην δὲ Δάρδανος Διὸς γήμας, καὶ τὴν βασιλείαν διαδεξάμενος, τὺς μὲν ὺς ἀφ' ἑαυτῦ ὠνόμασε Δαρδάνυς, πόλιν δὲ οἰκίσας ἐπὶ λάσσης, ὠνόμασεν ἀφ' ἑαυτῦ Δάρδανον. τέτε δ' 'Εριχιος υἱὸς γενόμενος εὐδαιμονίᾳ καὶ πλέτῳ πολὺ διήνεγ- περὶ ὖ καὶ ὁ ποιητὴς "Ομηρος φησὶ, Diodorus Sic. Lib. IV. cap. 75.

"Ος δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων,
Τῦ τρισχίλιαι ἵπποι ἕλος κατὰ βυκολεόντο.

'Εριχ-

Ἐριχθονίε δ' ὑιὸς γενόμενος Τρὼς, τὲς λαὲς ὠνόμασ
ἀφ' ἑαυτε Τρῶας· τέτε δ' ἐγένοντο τρεῖς ὑιοὶ, Ἶλος,
Ἀσσάρακος, Γανυμήδης. Ἶλος μὲν ἒν ᾤκισεν ἐν πεδ
πόλιν ἐπιφανεςάτην τῶν ἐν τῇ Τρωάδι, Ἴλιον ἀφ' ἑαυτ
θέμενος τὴν προσηγορίαν. Ἴλε δὲ γενόμενος ὑιὸς Λαο-
μέδων Τιθωνὸν καὶ Πρίαμον ἐγέννησεν, ὧν Τιθωνὸς μὲν
ςρατεύσας εἰς τὰ πρὸς ἕω μέρη τῆς Ἀσίας, καὶ διατείνας
ἕως Αἰθιοπίας, ἐμυθολογήθη μὲν ἐξ Ἠὲς τεκνῶσαι Μέμ-
νονα τὸν τοῖς Τρωσὶ βοηθήσαντα, καὶ ὑπὸ Ἀχιλλέως
ἀναιρεθέντα. Πρίαμος δ' Ἑκάβην γήμας, σὺν ἄλλοις
πλείοσιν ὑιοῖς ἐγέννησεν Ἕκτορα, τὸν ἐπισημότατον γενό-
μενον ἐν τῷ Τροϊκῷ πολέμῳ. Ἀσσάρακος δὲ Δαρδάνων
βασιλεὺς, Κάπυν ἐγέννησεν. ἐξ ὃ τεκνωθεὶς Ἀγχίσης ἐξ
Ἀφροδίτης Αἰνείαν ἐγέννησε, τὸν ἐπιφανέςατον τῶν Τρώ-
ων. Γανυμήδης δὲ τῶν ἁπάντων εὐπρεπείᾳ διαφέρων
ὑπὸ τῶν θεῶν ἀνηρπάγη τῷ Διῒ οἰνοχοεῖν.

Excidium Trojanum. *Herodotus,* **Lib. II. cap. 113–120.**

Περὶ δὲ Ἑλένης καὶ Ἰλίε ἁλώσεως ταῦτα ἔχει Ἡ-
ρόδοτος. Ἔλεγον δέ μοι οἱ ἱρέες ἱςορέοντι τὰ περὶ Ἑ-
λένην, γενέσθαι ὧδε· Ἀλέξανδρον ἁρπάσαντα Ἑλένην ἐκ
Σπάρτης, ἀποπλέειν ἐς τὴν ἑωϋτε· καί μιν ὡς ἐγένετο ἐν
τῷ Αἰγαίῳ, ἐξῶσαι ἄνεμοι ἐκβάλλεσι ἐς τὸ Αἰγύπτιον
πέλαγος· ἐνθεῦτεν δὲ (ὁ γὰρ ἀνίει τὰ πνεύματα) ἀπικνέε-
ται ἐς Αἴγυπτον, καὶ Αἰγύπτε ἐς τὸ νῦν Κανωβικὸν κα-
λεύμενον ςόμα τε Νείλε, καὶ ἐς Ταριχείας. ἦν δὲ ἐπὶ
τῆς ἠϊόνος, ὃ καὶ νῦν ἐςὶ, Ἡρακλέος ἱρόν· ἐς τὸ ἢν κα-
ταφυγὼν οἰκέτης ὅτεῳ ἀνθρώπων ἐπιβάληται ςίγματα ἱρὰ,
ἑωϋτὸν διδὲς τῷ θεῷ, ὀκ ἔξεσι τέτε ἅψασθαι. ὁ νόμος
ἔτος διατελέει ἐὼν ὅμοιος μέχρις ἐμεῦ τῷ ἀπαρχῆς. Τε
ὦν δὴ Ἀλεξάνδρε ἀπιςέαται θεράποντες, πυθόμενοι τὸν
περὶ τὸ ἱρὸν ἔχοντα νόμον· ἱκέται δὲ ἱζόμενοι τε θεε,
κατηγόρεον τε Ἀλεξάνδρε, βελόμενοι βλάπτειν, πάν-
τα λόγον ἐξηγεύμενοι ὡς εἶχε περὶ τὴν Ἑλένην τε καὶ
τὴν ἐς Μενέλεων ἀδικίην· κατηγόρεον δὲ ταῦτα πρός
τε τὲς ἱρέας καὶ τὸν τε ςόματος τέτε φύλακον, τῷ οὔνομα

cap. 114. ἦν Θῶνις. Ἀκέσας δὲ τέτων ὁ Θῶνις, πέμπει τὴν τα-
χίςην ἐς Μέμφιν παρὰ Πρωτέα ἀγγελίην, λέγεσαν τάδε·
"Ἥκει ξεῖνος, γένος μὲν Τεῦκρος, ἔργον δὲ ἀνόσιον ἐν
"τῇ Ἑλλάδι ἐξεργασμένος· ξείνε γὰρ τε ἑωϋτε ἐξαπατ

σας τὴν γυναῖκα, αὐτήν τε ταύτην ἄγων ἥκει, καὶ πολλὰ κάρτα χρήματα ὑπὸ ἀνέμων ἐς γῆν ταύτην ἀπενεχθείς· κότερα δῆτα τοῦτον ἐῶμεν ἀσινέα ἐκπλέειν, ἢ ἀφελώμεθα τὰ ἔχων ἦλθε;" Ἀντιπέμπει πρὸς ταῦτα ὁ Πρωτεὺς λέγοντα τάδε, "Ἄνδρα τοῦτον, ὅστις κοτέ ἐστι ἀνόσια ἐργασμένος ξεῖνον τὸν ἑωϋτοῦ, συλλαβόντες, ἀπάγετε παρ' ἐμὲ, ἵνα εἰδῶ ὅ, τι κοτὲ καὶ λέξει." Ἀκούσας δὲ ταῦτα ὁ Θῶνις, συλλαμβάνει τὸν Ἀλέξανδρον, καὶ τὰς νέας αὐτοῦ κατίσχει· μετὰ δὲ, αὐτόν τε τοῦτον ἀνήγαγε ἐς Μέμφιν, καὶ τὴν Ἑλένην τε καὶ τὰ χρήματα· πρὸς δὲ, καὶ τοὺς ἱκέτας. ἀνακομιθέντων δὲ πάντων, εἰρώτα τὸν Ἀλέξανδρον ὁ Πρωτεὺς, τίς εἴη, καὶ ὁκόθεν πλέοι. ὁ δέ οἱ καὶ τὸ γένος κατέλεξε, καὶ τῆς πάτρης εἶπε τοὔνομα· καὶ δὴ καὶ τὸν πλόον ἀπηγήσατο ὁκόθεν πλέοι. μετὰ δὲ, ὁ Πρωτεὺς εἰρώτα αὐτὸν ὁκόθεν τὴν Ἑλένην λάβοι· πλανωμένου δὲ τοῦ Ἀλεξάνδρου ἐν τῷ λόγῳ, καὶ οὐ λέγοντος τὴν ἀληθηΐην, ἤλεγχον οἱ γενόμενοι ἱκέται, ἐξηγεύμενοι πάντα λόγον τοῦ ἀδικήματος· τέλος δὲ δή σφι λόγον τόνδε ἐκφαίνει ὁ Πρωτεὺς, λέγων ὅτι "Ἐγὼ εἰ μὴ περὶ πολλοῦ ἡγεύμην μηδένα ξείνων κτείνειν, ὅσοι ὑπ' ἀνέμων ἤδη ἀπολαμφθέντες ἦλθον ἐς χώρην τὴν ἐμὴν, ἐγὼ ἄν σε ὑπὲρ τοῦ Ἕλληνος ἐτισάμην· ὅς, ὦ κάκιστε ἀνδρῶν, ξεινίων τυχὼν, ἔργον ἀνοσιώτατον ἐργάσαο· παρὰ τοῦ σεωϋτοῦ ξείνου τὴν γυναῖκα ἦλθες· καὶ μάλα ταῦτά τοι οὐκ ἤρκεσε, ἀλλ' ἀναπτερώσας αὐτὴν, οἴχεαι ἔχων ἐκκλέψας. καὶ οὐδὲ ταῦτά τοι μοῦνα ἤρκεσε, ἀλλὰ καὶ τὰ οἰκία τοῦ ξείνου κεραΐσας ἥκεις. νῦν ὦν ἐπειδὴ περὶ πολλοῦ ἥγημαι μὴ ξεινοκτονέειν, γυναῖκα μὲν ταύτην καὶ τὰ χρήματα οὔ τοι προήσω ἀπάγεσθαι, ἀλλ' αὐτὰ ἐγὼ τῷ Ἕλληνι ξείνῳ φυλάξω, ἐς ὃ ἂν αὐτὸς ἐλθὼν ἐκεῖνος ἀπαγαγέσθαι ἐθέλῃ· αὐτὸν δέ σε καὶ τοὺς σοὺς συμπλόους τριῶν ἡμερέων προαγορεύω ἐκ τῆς ἐμῆς γῆς ἐς ἄλλην τινὰ μετορμίζεσθαι· εἰ δὲ μὴ, ἅτε πολεμίους περιέψεσθαι." Ἑλένης μὲν ταύτην ἄπιξιν παρὰ Πρωτέα ἔλεγον οἱ ἱρέες γενέσθαι· δοκέει δέ μοι καὶ Ὅμηρος τὸν λόγον τοῦτον πυθέσθαι· ἀλλ' οὐ γὰρ ὁμοίως ἐς τὴν ἐποποιΐην εὐπρεπὴς ἦν τῷ ἑτέρῳ τῷπερ ἐχρήσατο· ἐς ὃ μετῆκε αὐτὸν, δηλώσας ὡς καὶ τοῦτον ἐπίσταιτο τὸν λόγον.

cap. 115.

cap. 116.

δῆλον

δῆλον δὲ, κατάπερ ἐποίησε ἐν Ἰλιάδι (καὶ ὐδαμῇ ἄλλῃ ἀνεπόδισε ἑωϋτὸν) πλάνην τὴν Ἀλεξάνδρȣ, ὡς ἀπηνείχθη ἄγων Ἑλένην, τῇ τε δὴ ἄλλῃ πλαζόμενος, καὶ ὡς ἐς Σιδῶνα τῆς Φοινίκης ἀπίκετο. ἐπιμέμνηται δὲ αὐτȣ̃ ἐν Διομήδεος ἀριστείῃ· λέγει δὲ τὰ ἔπεα ὧτω,

Ἔνθ' ἔσάν οἱ πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν
Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
Ἤγαγε Σιδονίηθεν, ἐπιπλὼς εὐρέα πόντον,
Τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν.

Ἐπιμέμνηται δὲ καὶ ἐν Ὀδυσσείῃ, ἐν τοῖσίδε τοῖσι ἔπεσι,

Τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
Ἐσθλὰ, τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις
Αἰγυπτίη· τῇ πλεῖστα φέρει ζείδωρος ἄρȣρα
Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.

καὶ τάδε ἕτερα πρὸς Τηλέμαχον Μενέλεως λέγει,

Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
Ἔσχον, ἐπεὶ ȣ̓ σφιν ἔρεξα τεληέσσας ἑκατόμβας.

ἐν τȣ́τοισι τοῖσι ἔπεσι δηλοῖ, ὅτι ἠπίστατο τὴν ἐς Αἴγυπτον Ἀλεξάνδρȣ πλάνην· ὁμȣρέει γὰρ ἡ Συρίη Αἰγύπτῳ· οἱ δὲ Φοίνικες τῶν ἐστὶ ἡ Σιδὼν, ἐν τῇ Συρίῃ οἰκέȣσι.

cap. 117. Κατὰ ταῦτα δὲ τὰ ἔπεα καὶ τόδε τὸ χωρίον ȣ̓κ ἥκιστα, ἀλλὰ μάλιστα δῆλον, ὅτι ȣ̓κ Ὁμήρȣ τὰ Κύπρια ἔπεά ἐστι, ἀλλ' ἄλλȣ τινός. ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται ὡς τριταῖος ἐκ Σπάρτης Ἀλέξανδρος ἀπίκετο ἐς τὸ Ἴλιον ἄγων τὴν Ἑλένην, εὐαέϊ τε πνεύματι χρησάμενος καὶ θαλάσσῃ λείῃ· ἐν δὲ Ἰλιάδι λέγει ὡς ἐπλάζετο ἄγων αὐτήν. Ὅμηρος μέν νυν καὶ τὰ Κύπρια ἔπεα χαιρέτω.

cap. 118. Εἰρομένȣ δέ μευ τȣ̀ς ἱρέας, εἰ μάταιον λόγον λέγȣσι οἱ Ἕλληνες τὰ περὶ Ἴλιον γενέσθαι, ἢ ȣ̓· ἔφασαν πρὸς ταῦτα τάδε, ἱστορίῃσι φάμενοι εἰδέναι παρ' αὐτȣ̃ Μενέλεω· ἐλθεῖν μὲν γὰρ, μετὰ τὴν Ἑλένης ἁρπαγὴν, ἐς τὴν Τευκρίδα γῆν Ἑλλήνων στρατιὴν πολλὴν βοηθεῦσαν Μενέλεῳ· ἐκβᾶσαν δὲ ἐς γῆν καὶ ἱδρυθεῖσαν τὴν στρατιὴν, πέμπειν ἐς τὸ Ἴλιον ἀγγέλȣς· σὺν δέ σφι ἰέναι καὶ αὐτὸν Μενέλεων· τȣ̀ς δ' ἐπεί τε ἐσελθεῖν ἐς τὸ τεῖχος, ἀπαιτέειν Ἑλένην τε καὶ τὰ χρήματα τά οἱ οἴχετο κλέψας Ἀλέξανδρος, τῶν τε ἀδικημάτων δίκας αἰτέειν· τȣ̀ς δὲ Τεύκρȣς τὸν αὐτὸν λόγον

γον λέγειν τότε καὶ μετέπειτα, καὶ ὀμνύντας καὶ ἀνωμο-
ὶ, μὴ μὲν ἔχειν Ἑλένην, μηδὲ τὰ ἐπικαλεύμενα χρήμα-
α, ἀλλ' ἔιναι αὐτὰ πάντα ἐν Αἰγύπτῳ· καὶ ἐκ ἂν δι-
αίως αὐτοὶ δίκας ὑπέχειν, ἃ Πρωτεὺς ὁ Αἰγύπτιος βα-
ιλεὺς ἔχει. οἱ δὲ Ἕλληνες καταγελᾶσθαι δοκέοντες ὑπ'
υτῶν, ἕτω δὴ ἐπολιόρκεον, ἐς ὃ ἐξεῖλον· ἑλᾶσι δὲ τὸ
εῖχος ὡς ἐκ ἐφαίνετο ἡ Ἑλένη, ἀλλὰ τὸν αὐτὸν λόγον
ῷ προτέρῳ ἐπυνθάνοντο, ἕτω δὴ πιςεύσαντες τῷ λόγῳ τῷ
ρώτῳ οἱ Ἕλληνες, αὐτὸν Μενέλεων ἀποςέλλεσι παρὰ
Ἰρωτέα. Ἀπικόμενος δὲ ὁ Μενέλεως ἐς τὴν Αἴγυπτον, cap. 119.
ὶ ἀναπλώσας ἐς τὴν Μέμφιν, ἔιπας τὴν ἀληθηΐην τῶν
ηγμάτων, καὶ ξεινίων ἤντησε μεγάλων, καὶ Ἑλένην
παθέα κακῶν ἀπέλαβε· πρὸς δὲ, καὶ τὰ ἑωϋτε χρήματα
ἀντα. τυχὼν μέντοι τέτων, ἐγένετο Μενέλεως ἀνὴρ
ικος ἐς Αἰγυπτίες· ἀποπλέειν γὰρ ὡρμημένον αὐτὸν
χον ἄπλοιαι· ἐπειδὴ δὲ τῦτο ἐπὶ πολλὸν τοιῦτο ἦν, ἐπι-
χνᾶται πρῆγμα ἐκ ὅσιον· λαβὼν γὰρ δύο παιδία ἀνδρῶν
ιχωρίων, ἔντομά σφεα ἐποίησε· μετὰ δὲ, ὡς ἐπάϊςος
ένετο τῦτο ἐργασμένος, μισηθείς τε καὶ διωκόμενος,
χετο φεύγων τῇσι νηυσὶ ἰθὺ Λιβύης. τὸ ἐνθεῦτεν δὲ
ε ἔτι ἐτράπετο, ἐκ εἶχον ἐιπεῖν Αἰγύπτιοι. τέτων δὲ
μὲν ἱςορίῃσι ἔφασαν ἐπίςασθαι, τὰ δὲ, παρ' ἑωϋτοῖσι
νόμενα, ἀτρεκέως ἐπιςάμενοι λέγειν. Ταῦτα μὲν Αἰ- cap. 120.
πτίων οἱ ἱρέες ἔλεγον· ἐγὼ δὲ τῷ λόγῳ τῷ περὶ Ἑλέ-
ς λεχθέντι καὶ αὐτὸς προστίθεμαι, τάδε ἐπιλεγόμενος·
ἦν Ἑλένη ἐν Ἰλίῳ, ἀποδοθῆναι ἂν αὐτὴν τοῖσι Ἕλλη-
, ἤτοι ἑκόντος γε ἢ ἄκοντος Ἀλεξάνδρε. ἐ γὰρ δὴ ἕτω
φρενοβλαβὴς ἦν ὁ Πρίαμος, ἐδὲ οἱ ἄλλοι προσήκοντες
ῷ, ὥςε τοῖσι σφετέροισι σώμασι καὶ τοῖσι τέκνοισι καὶ
πόλει κινδυνέυειν ἐβέλοντο, ὅκως Ἀλέξανδρος Ἑλένῃ
οικέῃ. ἐι δέ τοι καὶ ἐν τοῖσι πρώτοισι χρόνοισι ταῦτα
νωσκον· ἐπεὶ πολλοὶ μὲν τῶν ἄλλων Τρώων ὁκότε συμ-
γοιεν τοῖσι Ἕλλησι, ἀπώλλυντο, αὐτε δὲ Πριάμε ἐκ
ὅτε ἐ δύο, ἢ τρεῖς, ἢ καὶ ἔτι πλέιες τῶν παίδων
χης γινομένης ἀπέθνησκον, ἐι χρή τι τοῖσι ἐποποιοῖσι
ώμενον λέγειν· τέτων δὲ τοιέτων συμβαινόντων, ἐγὼ
, ἔλπομαι, ἐι καὶ αὐτὸς Πρίαμος συνοίκεε Ἑλένῃ, ἀπο-
αι ἂν αὐτὴν τοῖσι Ἀχαιοῖσι, μέλλοντά γε δὴ τῶν πα-

 ρεόν-

ρεόντων κακῶν ἀπαλλαγήσεσθαι. ἐ μὲν ἐδὲ ἡ βασιληΐη ἐς Ἀλέξανδρον περιήϊε, ὥςε γέροντος Πριάμε ἐόντος, ἐπ' ἐκείνῳ τὰ πρήγματα εἶναι· ἀλλὰ Ἕκτωρ, καὶ πρεσβύτερος καὶ ἀνὴρ ἐκείνε μᾶλλόν γ' ἐών, ἔμελλε αὐτὴν Πριάμε ἀποθανόντος παραλάμψεσθαι· τὸν ἐ προσῆκε ἀδικέοντι τῷ ἀδελφεῷ ἐπιτρέπειν, καὶ ταῦτα, μεγάλων κακῶν δι' αὐτὸν συμβαινόντων, ἰδίῃ τε καὶ αὐτῷ, καὶ τοῖσι ἄλλοισι πᾶσι Τρωσί. ἀλλ' ἐ γὰρ εἶχον Ἑλένην ἀποδῦναι, ἐδὲ λέγεσι αὐτοῖσι τὴν ἀληθηΐην ἐπίςευον οἱ Ἕλληνες· ὡς μὲν ἐγὼ γνώμην ἀποφαίνομαι, τε δαιμονίε παρασκευάζοντος, ὅκως πανωλεθρίῃ ἀπολόμενοι, καταφανὲς τῦτο τοῖσι ἀνθρώποισι ποιήσωσι, ὡς τῶν μεγάλων ἀδικημάτων μεγάλαι εἰσὶ καὶ αἱ τιμωρίαι παρὰ τῶν θεῶν. καὶ ταῦτα μὲν, τῇ ἐμοὶ δοκέει, εἴρηται.

Populorum post excidium Trojanum dispersio. *Strabo*, Lib. I.

Ἀινείας δὲ καὶ Ἀντήνωρ καὶ Ἑνετοὶ καὶ ἁπλῶς οἱ ἐκ τε Τρωϊκε πολέμε πλανηθέντες εἰς πᾶσαν τὴν οἰκεμένην πολλὰς ἔκτισαν πόλεις. Συνέβη γὰρ δὴ τοῖς τότε Ἕλλησιν ὁμοίως καὶ τοῖς βαρβάροις διὰ τὸν τῆς ςρατείας χρόνον, ἀποβαλεῖν τά τε ἐν οἴκῳ, καὶ τῇ ςρατείᾳ πορισθέντα· ὥςε μετὰ τὴν τε Ἰλίε καταςροφὴν, τές τε νικήσαντας ἐπὶ λῃςείαν τραπέσθαι διὰ τὰς ἀπορίας, καὶ πολὺ μᾶλλον τὲς ἡττηθέντας, καὶ περιγενομένες ἐκ τε πολέμε· καὶ δὴ καὶ πόλεις ὑπὸ τέτων πλεῖςαι κτισθῆναι λέγονται κατὰ πᾶσαν τὴν ἔξω τῆς Ἑλλάδος παραλίαν, ἔςι δ' ὅπε καὶ τὴν μεσόγαιαν.

---

b) DE REBUS PHRYGUM.

Descriptio Phrygiæ. *Strabo*, Lib. XII.

Τοῖς Βιθυνοῖς ὁμορεσι πρὸς νότον οἱ περὶ τὸν Ὄλυμπον τὸν Μύσιον προσαγορευόμενοι Μυσοί τε καὶ Φρύγες· ἑκάτερον δὲ τὸ ἔθνος διττόν ἐςι. Φρυγία τε γὰρ ἡ μὲν καλεῖται μεγάλη, ἧς ὁ Μίδας ἐβασίλευσε, καὶ ἧς μέρος οἱ Γαλάται κατέσχον· ἡ δὲ μικρὰ, ἡ ἐφ' Ἑλλησπόντῳ καὶ ἡ περὶ τὸν Ὄλυμπον, ἡ καὶ Ἐπίκτητος λεγομένη. Μυσία τε ὁμοίως, ἥτε Ὀλυμπινὴ συνεχὴς ἐσα τῇ Βιθυνίᾳ, καὶ τῇ Ἐπικτήτῳ ἣν ἔφη Ἀρτεμίδωρος ἀπὸ τε πέραν Ἴςρε Μυσῶν ἀπῳκεῖσθαι. καὶ ἡ περὶ τὸν Κάϊκον καὶ τὴν Περγαμηνὴν μέχρι Τευθρανίας, καὶ τῶν ἐκβο-

τȣ̃ ποταμȣ̃. Ὅυτω δ' ἐνήλλακται ταῦτα ἐν ἄλλοις, ὡς πολλάκις λέγομεν, ὥςε καὶ τὴν περὶ τὸ Σίπυλον, Φρυγίαν ὁι παλαιοὶ καλȣ̃σιν, ἄδηλον ἔιτε τῆς μεγάλης, ἔιτε τῆς μικρᾶς μέρος ȣ̃σαν· ἢ καὶ τὸν Τάνταλον Φρύγα καὶ τὸν Πέλοπα, καὶ τὴν Νιόβην.

Τῆς δ' Ἐπικτήτȣ Φρυγίας Ἀζανοί τε ἐισὶ, καὶ Νακόλεια, καὶ Κοτυάεῖον, καὶ Μιδάϊον, καὶ Δορυλάϊον πόλεις, καὶ Κάδοι· τȣ̀ς δὲ Κάδȣς ἔνιοι τῆς Μυσίας Φασίν. Ὑπὲρ δὲ τῆς Ἐπικτήτȣ πρὸς νότον ἐςὶν ἡ μεγάλη Φρυγία, λιπȣ̃σα ἐν ἀριςερᾷ τὴν Πεσσινȣ̃ντα, καὶ τὰ περὶ Ὀρκαορυκȣ̀ς καὶ Λυκαονίαν· ἐν δεξιᾷ δὲ Μαίονας, καὶ Λυδȣ̀ς καὶ Κάρας· ἐν ᾗ ἐςιν ἥτε παρώρειος λεγομένη Φρυγία, καὶ ἡ πρὸς Πισιδίαν, καὶ τὰ περὶ Ἀμόριον καὶ Ευμενίαν, καὶ Σύνναδα· ἔιτα Ἀπάμεια ἡ Κιβωτὸς λεγομένη, καὶ Λαοδίκεια, ἅιπερ ἐισὶ μέγιςαι τῶν κατὰ τὴν Φρυγίαν πόλεων· περίκειται δὲ ταύταις καὶ πολίσματα, Αφροδισιὰς, Κολοσσαὶ, Θεμισώνιον, Σαναὸς, μητρόπολις Απολλωνίας· ἔτι δὲ ἀπωτέρω τȣ́των Πέλται, Ταβέαι, Ευκαρπία, Λυσιάς. Ἡ μὲν ȣ̃ν παρωρία, ὀρεινήν τινα ἔχει ῥᾶχιν, ἀπὸ τῆς ἀνατολῆς ἐκτεινομένην ἐπὶ δύσιν· αὐτῃ δ' ἑκατέρωθεν ὑποπέπτωκέ τι πεδίον μέγα, καὶ πόλις πλησίον αὐτῆς, πρὸς ἄρκτον μὲν Φιλομήλιον, ἐκ ἑκατέρȣ δὲ μέρȣς Ἀντιόχεια ἡ πρὸς Πισιδίᾳ καλȣμένη· μὲν, ἐν πεδίῳ κειμένη, ἡ δ' ἐπὶ λόφȣ, ἔχȣσα ἀποικίαν Ῥωμαίων. Ταύτην δ' ᾤκισαν Μάγνητες ὁι πρὸς Μαιάνδρῳ. Ῥωμαῖοι δ' ἠλευθέρωσαν τῶν βασιλέων, ἡνίκα τὴν ἄλλην Ἀσίαν Ἐυμένει παρέδοσαν τὴν ἐντὸς τȣ̃ Ταύρȣ· ἦν δὲ ἐνταῦθα καὶ ἱερωσύνη τὶς Μηνὸς Ἀρκαίȣ, πλῆθος ἔχȣσα ἱεροδȣ́λων, καὶ χωρίων ἱερῶν· κατελύθη δὲ μετὰ τὴν Ἀμύντȣ τελευτὴν ὑπὸ τῶν πεμφθέντων ἐπὶ τὴν ἐκείνȣ κληρονομίαν. Σύνναδα δ' ἔςιν ȣ̓ μεγάλη πόλις· πρόκειται δ' αὐτῇ ἐλαιόφυτον πεδίον, ὅσον ἑξήκοντα σταδίων· ἐπέκεινα δ' ἐςὶ Δοκιμία κώμη, καὶ τὸ λατόμιον τȣ̃ Συνναδικȣ̃ λίθȣ· ȣ̃τω μὲν Ῥωμαῖοι καλȣ̃σιν· ὁι δ' ἐπιχώριοι Δοκιμίτην, καὶ Δοκιμαίαν· καταρχὰς μὲν μικρὰς βώλȣς ἐκδιδόντος τȣ̃ μετάλλȣ· διὰ δὲ τὴν νυνὶ πολυτέλειαν τῶν Ῥωμαίων κίονες ἐξαιρȣ̃νται μονόλιθοι μεγάλοι, πλησιάζοντες τῷ ἀλαβαςρίτῃ λίθῳ κατὰ τὴν ποικιλίαν· ὥς τε

Strabo, Lib. XII.

τε καίπερ πολλῆς ἔσης τῆς ἐπὶ θάλατταν ἀγωγῆς τῶν τηλικέτων Φορτίων, ὅμως καὶ κίονες καὶ πλάκες εἰς Ῥώμην κομίζονται θαυμασαὶ κατὰ τὸ μέγεθος, καὶ κάλλος. Ἀπάμεια δ' ἐςὶν ἐμπορεῖον μέγα τῆς ἰδίως λεγομένης Ἀσίας, δευτερεῦον μετὰ τὴν Ἔφεσον. αὕτη γὰρ καὶ τῶν ἀπὸ τῆς Ἰταλίας, καὶ τῆς Ἑλλάδος ὑποδοχεῖον κοινόν ἐςιν· ἵδρυται δὲ ἡ Ἀπάμεια ἐπὶ ταῖς ἐκβολαῖς τε Μαρσύε ποταμε· καὶ ῥεῖ διὰ μέσης τῆς πόλεως ὁ ποταμὸς, τὰς ἀρχὰς ἀπὸ τῆς πόλεως ἔχων· κατενεχθεὶς δ' ἐπὶ τὸ προάςειον σφοδρῷ καὶ κατωφερεῖ τῷ ῥεύματι, συμβάλλει πρὸς τὸν Μαίανδρον, προσειληφότα καὶ ἄλλον ποταμὸν Ὀργᾶν, δι' ὁμαλε φερόμενον πρᾶον, καὶ μαλακόν· ἐντεῦθεν δ' ἤδη μέγας γενόμενος Μαίανδρος, τέως μὲν διὰ τῆς Φρυγίας φέρεται· ἔπειτα διορίζει τὴν Καρίαν, καὶ τὴν Λυδίαν, κατὰ τὸ Μαιάνδρε καλέμενον πεδίον, σκολιὸς ὢν εἰς ὑπερβολήν· ὥς τε ἐξ ἐκείνε τὰς σκολιότητας ἁπάσας μαιάνδρες καλεῖσθαι· τελευτῶν δὲ κατὰ Καρίαν αὐτὴν διαιρεῖ τὴν ὑπὸ τῶν Ἰώνων νῦν κατεχομένην, καὶ μεταξὺ Μιλήτε, καὶ Πριήνης, ποιεῖται τὰς ἐκβολάς. Ἄρχεται δὲ ἀπὸ Κελαινῶν λόφε τινὸς ἐν ᾧ πόλις ἦν ὁμώνυμος τῷ λόφῳ· ἐντεῦθεν δ' ἀναςήσας τὰς ἀνθρώπες ὁ Σωτὴρ Ἀντίοχος εἰς τὴν νῦν Ἀπάμειαν τῆς μητρὸς ἐπώνυμον τὴν πόλιν ἐπέδειξεν Ἀπάμας· ἣ θυγάτηρ μὲν ἦν Ἀρταβάζε· δεδομένη δ' ἐτύγχανε πρὸς γάμον Σελεύκῳ τῷ Νικάτορι. Ἐνταῦθα δὴ μυθεύεται τὰ περὶ τὸν Ὄλυμπον, καὶ τὸν Μαρσύαν, καὶ τὴν ἔριν ἣν ἔρισεν ὁ Μαρσύας πρὸς Ἀπόλλωνα. Ὑπέρκειται δὲ καὶ λίμνη φύεσα κάλαμον, τὸν εἰς τὰς γλώττας τῶν αὐλῶν ἐπιτήδειον· ἐξ ἧς ὑπολείβεσθαι φασὶ τὰς πηγὰς ἀμφοτέρας· τήν τε τε Μαρσύε, καὶ τὴν τε Μαιάνδρε. Ἡ δὲ Λαοδίκεια μικρὰ πρότερον ἔσα, αὔξησιν ἔλαβεν ἐφ' ἡμῶν, καὶ τῶν ἡμετέρων πατέρων· καί τοι κακωθεῖσα ἐκ πολιορκίας ἐπὶ Μιθριδάτε τε Εὐπάτορος· ἀλλ' ἡ τῆς χώρας ἀρετὴ, καὶ τῶν πολιτῶν τινες εὐτυχήσαντες, μεγάλην ἐποίησαν αὐτήν. Ἱέρων μὲν πρότερον, ὃς πλείονα, ἢ δισχιλίων ταλάντων κληρονομίαν κατέλιπε τῷ δήμῳ, πολλοῖς τ' ἀναθήμασιν ἐκόσμησε τὴν πόλιν. Ζήνων δὲ ὁ ῥήτωρ ὕςερον, καὶ ὁ υἱὸς αὐτε Πολέμων, ὃς καὶ βασιλείας

λείας ἠξιώθη διὰ τὰς ἀνδραγαθίας· ὑπ' Ἀντωνίȣ μὲν πρότερον, ὑπὸ Καίσαρος δὲ τȣ̃ Σεβαςȣ̃ μετὰ ταῦτα· Φέρει δ' ὁ περὶ τὴν Λαοδικείαν τόπος προβάτων ἀρετὰς, ȣ̓κ εἰς μαλακότητας μόνον τῶν ἐρίων, ᾗ καὶ τῶν Μιλησίων διαφέρει, ἀλλὰ καὶ εἰς τὴν κοραξὶν χρόαν, ὥσπερ καὶ προσοδεύονται λαμπρῶς ἀπ' αὐτῶν· ὥσπερ καὶ οἱ Κολοσσηνοὶ ἀπὸ τȣ̃ ὁμωνύμȣ χρώματος πλησίον οἰκȣ̃ντες. Ἐνταῦθα δὲ καὶ ὁ Κάπρος, καὶ ὁ Λύκος συμβάλλει τῷ Μαιάνδρῳ ποταμῷ, ποταμὸς εὐμεγέθης· ἀφ' ȣ̃ καὶ ἡ πρὸς τῷ Λύκῳ Λαοδίκεια λέγεται. Ὑπέρκειται δὲ τῆς πόλεως ὄρος Κάδμος, ἐξ ȣ̃ καὶ ὁ Λύκος ῥεῖ· καὶ ἄλλος ὁμώνυμος τῷ ὄρει. Τὸ πλέον δ' ȣ̃τος ὑπὸ γῆς ῥυεὶς, εἶτ' ἀνακύψας συνέπεσεν εἰς ταυτὸ τοῖς ἄλλοις ποταμοῖς, ἐμφαίνων ἅμα τὸ πολύτρητον τῆς χώρας, καὶ τὸ εὔσειςον· εἰ γάρ τι ἄλλο, καὶ ἡ Λαοδίκεια εὔσειςος, καὶ τῆς πλησιοχώρȣ. Κάρȣρα δὲ ὅριον ἐςὶ τῆς Φρυγίας καὶ τῆς Καρίας· κώμη δ' ἐςὶν αὕτη πανδοχεῖα ἔχȣσα καὶ ζεςῶν ὑδάτων ἐκβολάς· τὰς μὲν, ἐν τῷ ποταμῷ Μαιάνδρῳ, τὰς δ' ὑπὲρ τȣ̃ χείλȣς· Καὶ δή ποτε φασὶ πορνοβοσκὸν αὐλισθέντα ἐν τοῖς πανδοχείοις σὺν πολλῷ πλήθει γυναικῶν, νύκτωρ γενομένȣ σεισμȣ̃ συναφανισθῆναι πάσας. Σχεδὸν δέ τοι εὔσειςος ἐςὶ καὶ πᾶσα ἡ περὶ τὸν Μαίανδρον χώρα, καὶ ὑπόνομος πυρί τε καὶ ὕδατι μέχρι τῆς μεσογαίας. Διατέταται γὰρ ἀπὸ τῶν πεδίων ἀρξαμένη πᾶσα ἡ τοιαύτη κατασκευὴ τῆς χώρας εἰς τὰ Χαρώνεια, τό τε ἐν Ἱερᾷ πόλει, καὶ τὰ ἐν Ἀχαράκοις τῆς Νησαΐδος καὶ τὸ περὶ Μαγνησίαν καὶ Μυȣ̃ντα. Εὔθρυπτός τε γὰρ ἐςιν ἡ γῆ, καὶ ψαθυρὰ πλήρης δὲ ἁλμυρίδων, καὶ εὐεκπύρωτός ἐςι. Τάχα δὲ καὶ ὁ Μαίανδρος διὰ τȣ̃το σκολιὸς, ὅτι πολλὰς μεταπτώσεις λαμβάνει τὸ ῥεῖθρον· καὶ πολὺν χȣ̃ν κατάγων, ἄλλοτ' ἄλλῳ φέρει τῶν αἰγιαλῶν προστίθησι· τὸ δὲ πρὸς τὸ πέλαγος βιασάμενος ἐξωθεῖ· καὶ δὴ καὶ τὴν Πριήνην πρότερον ἐπὶ θαλάττῃ ȣ̃σαν, μεσόγαιαν πεποίηκε τετταράκοντα ςαδίων προσχώματι. Καὶ ἡ Κατακεκαυμένη δὲ ἥπερ ὑπὸ Λυδῶν καὶ Μυσῶν κατέχεται, διὰ τοιαῦτά τινα τῆς προσηγορίας ἔτυχηκε ταύτης· ἥ τε Φιλαδέλφεια ἡ πρὸς αὐτῇ πόλις, ȣ̓δὲ τȣ̀ς τοίχȣς ἔχει πιςȣ̀ς, ἀλλὰ καθ' ἡμέραν τρόπον τινὰ σαλεύονται, καὶ διΐςανται· διατελȣ̃σι δὲ προσέχοντες τῆς

γῆς

γῆς τοῖς πάθεσι, καὶ ἀρχιτεκτονοῦντες πρὸς αὐτήν. Καὶ τῶν ἄλλων δὲ πόλεων, Ἀπάμεια μὲν καὶ πρὸ τῆς Μιθριδάτου στρατείας ἐσείσθη πολλάκις· καὶ ἔδωκεν ἐπελθὼν ὁ βασιλεὺς ἑκατὸν τάλαντα εἰς ἐπανόρθωσιν, ὁρῶν ἀνατετραμμένην τὴν πόλιν. Λέγεται δὲ καὶ ἐπ' Ἀλεξάνδρου παραπλήσια συμβῆναι· διόπερ εἰκός ἐστι καὶ τὸν Ποσειδῶνα τιμᾶσθαι παρ' αὐτοῖς, καίπερ μεσογαίοις οὖσι· καὶ ἀπὸ Κελαινοῦ τοῦ Ποσειδῶνος, ἐκ Κελαινῆς μιᾶς τῶν Δαναΐδων γενομένου κεκλῆσθαι τὴν πόλιν ἐπώνυμον· ἢ διὰ τῶν λίθων καὶ τὴν ἀπὸ τῶν ἐκπυρώσεων μελανίαν. Καὶ τὰ περὶ Σίπυλον δὲ τὴν ἀνατροπὴν αὐτοῦ, μῦθον οὐ δεῖ τίθεσθαι. Καὶ γὰρ νῦν τὴν Μαγνησίαν τὴν ὑπ' αὐτῷ κατέβαλον σεισμοί, ἡνίκα καὶ Σάρδεις καὶ τῶν ἄλλων τὰς ἐπιφανεστάτας κατὰ πολλὰ μέρη διελυμήνατο· ἐπηνώρθωσε δὲ ὁ ἡγεμὼν χρήματα ἐπιδοὺς καθάπερ καὶ πρότερον ἐπὶ τῆς γενομένης συμφορᾶς Τραλλιανοῖς (ἡνίκα τὸ γυμνάσιον καὶ ἄλλα μέρη συνέπεσεν) ὁ πατὴρ αὐτοῦ καὶ τούτοις καὶ Λαοδικεῦσιν. Ἀκούειν δ' ἐστὶ καὶ τῶν παλαιῶν συγγραφέων· οἷα φησὶν ὁ τὰ Λύδια συγγράψας Ξάνθος, διηγούμενος οἷαι μεταβολαὶ κατέσχον πολλάκις τὴν χώραν ταύτην, ὧν ἐμνήσθημέν που καὶ ἐν τοῖς πρόσθεν. Καὶ δὴ καὶ τὰ περὶ τὸν Τυφῶνα πάθη ἐνταῦθα μυθεύουσι, καὶ τοὺς Ἀρίμους, καὶ τὴν Κατακεκαυμένην ταύτην εἶναί φασιν· οὐκ ὀκνοῦσι δὲ καὶ τὰ μεταξὺ Μαιάνδρου καὶ Λυδῶν ἅπανθ' ὑπονοεῖν τοιαῦτα καὶ διὰ τὸ πλῆθος τῶν λιμνῶν καὶ ποταμῶν, καὶ τοὺς πολλαχοῦ κευθμῶνας τῆς γῆς. Ἡ δὲ μεταξὺ Λαοδικείας καὶ Ἀπαμείας λίμνη, καὶ βορβορώδη καὶ ὑπόνομον τὴν ἀποφορὰν ἔχει πελαγία οὖσα· φασὶ δὲ καὶ δίκας εἶναι τῷ Μαιάνδρῳ μεταφέροντι τὰς χώρας, ὅταν περικρουσθῶσιν οἱ ἀγκῶνες· ἁλόντος δὲ τὰς ζημίας ἐκ τῶν πορθμικῶν διαλύεσθαι τελῶν. Μεταξὺ δὲ τῆς Λαοδικείας καὶ τῶν Καρούρων ἱερόν ἐστι Μηνὸς Κάρου καλούμενον, τιμώμενον ἀξιολόγως· συνέστηκε δὲ καθ' ἡμᾶς διδασκαλεῖον Ἡροφίλειον ἰατρῶν μέγα ὑπὸ Ζεύξιδος· καὶ μετὰ ταῦτα Ἀλεξάνδρου τοῦ Φιλαλήθους· καθάπερ ἐπὶ τῶν πατέρων τῶν ἡμετέρων ἐν Σμύρνῃ τὸ τῶν Ἐρασιστρατείων ὑπὸ Ἱκεσίου· νῦν δ' οὐχ ὁμοίως τι συμβαίνει. Τὸ λοιπὸν τὰ ἐπὶ τὰ νότια μέρη τῆς

Strabo, Lib. XIII.

Κατακεκαυμένης χώρας ἐμπλοκὴν ἔχει μέχρι πρὸς τὸν Ταῦρον

ν, ὡς τὰ καὶ τὰ Φρύγια, καὶ τὰ Λύδια, καὶ τὰ Καρικὰ, καὶ ἔτι τὰ τῶν Μυσῶν, δυσδιάκριτα εἶναι παραπίπτοντα εἰς ἄλληλα· εἰς δὲ τὴν σύγχυσιν ταύτην ἐ μικρὰ συλλαμβάνει τὸ τὲς Ῥωμαίες μὴ κατὰ Φῦλα διελεῖν ιτὲς, ἀλλὰ ἕτερον τρόπον διατάξαι τὰς διοικήσεις, ἐν ἄις ὶς ἀγοραίες ποιῦνται, καὶ τὰς δικαιοδοσίας. Ὁ μέν γε μῶλος ἱκανῶς συνῆπται, καὶ περιγραφὴν ἔχει μετρίαν, αὐτοῖς ἀφοριζόμενος τοῖς Λυδίοις μέρεσιν· ἡ δὲ μεσόιος εἰς τὸ ἀντικείμενον μέρος διατείνει μέχρι Μυκάλης, τὸ Κελαινῶν ἀρξάμενον, ὥς φησι Θεόπομπος· ὥς τε τὰ ἐν αὐτῇ Φρύγες κατέχεσι, τὰ πρὸς ταῖς Κελαιναῖς, καὶ ἡ Ἀπαμείᾳ· τὰ δὲ Μυσοὶ καὶ Λυδοὶ, τὰ δὲ Κάρες καὶ ωνες· ἔτω δὲ καὶ οἱ ποταμοὶ, καὶ μάλιστα ὁ Μαίανδρος, ὶ μὲν διορίζοντες τῶν ἐθνῶν, δι' ὧν δὲ μέσοι φερόμενοι, ύσληπτον ποιῦσι τ' ἀκριβές· καὶ περὶ τῶν πεδίων δὲ τῶν φ' ἑκατέρα τῆς τε ὀρεινῆς καὶ τῆς ποταμίας ὁ αὐτὸς όγος· ἐδ' ἡμῖν ἴσως ἐπὶ τοσῦτον φροντιςέον, ὡς ἄρα κεῇ χωρομετρῦσιν, ἀλλὰ τοσῦτον μόνον ὑπογραπτέον, ὅσον αὶ οἱ πρὸ ἡμῶν παραδεδώκασι. Τῷ δὴ Καϋςριανῷ πεδίῳ εταξὺ πίπτοντι τῆς τε μεσογειότητος, καὶ τῦ Τμώλε, υνεχές ἐςι πρὸς ἕω, τὸ Κιλβιανὸν πεδίον, πολύ τε καὶ υνοικέμενον εὖ, καὶ χώραν ἔχον σπεδαίαν. Εἶτα τὸ Γρκάνιον πεδίον, Περσῶν ἐπονομασάντων καὶ ἐποίκες ·γαγόντων ἐκεῖθεν· ὁμοίως δὲ καὶ τὸ Κύρε πεδίον, ὃ Ιέρσαι κατωνόμασαν· εἶτα τὸ Πελτινὸν πεδίον, ἤδη Φρύιον, καὶ τὸ Κιλλάνιον, καὶ τὸ Ταβηνὸν, ἔχον τὰς πολίχνας μιξοφρυγίες, ἐχέσας τὶ καὶ Πισιδικὸν, ἀφ' ὧν υτὰ κατωνομάσθη· ὑπερβάλλεσι δὲ τὴν μεσογίδα τὴν μεαξὺ Καρῶν τε, καὶ τῆς Νυσαΐδος, ἥ ἐςι χώρα κατὰ ὖ Μαιάνδρε πέραν μέχρι τῆς Κιβυράτιδος, καὶ τῆς Καβαλίδος. Πόλεις δ' εἰσὶ πρὸς μὲν τῇ μεσογαίᾳ κατανικρὺ Λαοδικείας Ἱεράπολις, ὅπε τὰ θερμὰ ὕδατα, καὶ ὸ Πλετώνιον, ἄμφω παραδοξολογίαν τινὰ ἔχοντα. Τὸ ὲν γὰρ ὕδωρ εἰς πῶρον ἕτω ῥαδίως μεταβάλλει πηττόενον, ὥς' ὀχετὲς ἐπάγοντες, φραγμὲς ἀπεργάζονται μοολίθες· τὸ δὲ Πλετώνιον ὑπ' ὀφρύϊ μικρᾷ τῆς ὑπερκειένης ὀρεινῆς, ςόμιόν ἐςι σύμμετρον, ὅσον ἄνθρωπον δέασθαι δυνάμενον, βεβάθυνται δ' ἐπιπολύ· πρόκειται δὲ

τέτε

τέτε δρυφράκτωμα, τετράγωνον, ὅσον ἡμιπλέθρε τὴν περίμετρον· τῦτο δὲ πλῆρες ἐςὶν ὁμιχλώδες παχείας ἀχλύος, ὥςε μόγις τὔδαφος καθορᾶν· τοῖς μὲν ὖν κύκλῳ πλησιάζεσι πρὸς τὸν δρύφρακτον, ἄλυπός ἐςιν ὁ ἀὴρ, καθαρεύων ἐκείνης τῆς ἀχλύος ἐν ταῖς νηνεμίαις· συμμένει γὰρ ἐντὸς τῦ περιβόλε. τῷ δ' εἴσω παριόντι ζώῳ, θάνατος παραχρῆμα ἀπαντᾷ· ταῦροι γῦν εἰσαχθέντες, πίπτεσι, καὶ ἐξέλκονται νεκροί· ἡμεῖς δὲ ςρεθία ἐπέμψαμεν, καὶ ἔπεσον εὐθὺς ἐκπνεύσαντα· οἱ δ' ἀπόκοποι Γάλλοι παρίασιν ἀπαθεῖς, ὥς τε καὶ μέχρι τῦ ςομίε πλησιάζειν, καὶ ἐγκύπτειν καὶ καταδύνειν μέχρι ποσῦ συνέχοντα, ὡς ἐπὶ τὸ πολὺ τὸ πνεῦμα· ἑωρῶμεν γὰρ ἐκ τῆς ὄψεως, ὡς ἂν πνιγώδες τινὸς πάθες ἔμφασιν, εἴτε πάντων ὖτω πεπηρωμένων τῦτο, εἴτε μόνον τῶν περὶ τὸ ἱερὸν, καὶ εἴτε θείᾳ προνοίᾳ καθάπερ ἐπὶ τῶν ἐνθεσιασμῶν εἰκὸς, εἴτε ἀντιπάτοις τισὶ δυνάμεσι τέτε συμβαίνοντος· τὸ δὲ τῆς ἀπολιθώσεως, καὶ ἐπὶ τῶν ἐν Λαοδικείᾳ ποταμῶν φασὶ συμβαίνειν· καίπερ ὄντων ποτίμων· ἔςι δὲ καὶ πρὸς βαφὴν ἐρίων θαυμαςῶς σύμμετρον τὸ κατὰ τὴν Ἱεράπολιν ὕδωρ, ὥς τε τὰ ἐκ τῶν ῥιζῶν βαπτόμενα ἐνάμιλλα εἶναι τοῖς ἐκ τῆς κόκκε καὶ ταῖς ἁλεργέσιν· ὖτω δ' ἐςὶν ἄφθονον τὸ πλῆθος τῦ ὕδατος, ὥς τε ἡ πόλις μεςὴ τῶν αὐτομάτων βαλανείων ἐςί. Μετὰ δὲ τὴν Ἱεράπολιν τὰ πέραν τῦ Μαιάνδρε, τὰ μὲν περὶ Λαοδίκειαν, καὶ Ἀφροδισιάδα, καὶ τὰ μέχρι Καρέρων, εἴρηται. Τὰ δ' ἑξῆς ἐςὶ τὰ πρὸς δύσιν, ἡ τῶν Ἀντιοχέων πόλις τῶν ἐπὶ Μαιάνδρῳ τῆς Καρίας ἤδη· τὰ δὲ πρὸς νότον ἡ Κίβυρά ἐςιν ἡ μεγάλη, καὶ ἡ Σίνδη, καὶ ἡ Καβαλαῒς, μέχρι τῦ Ταύρε καὶ τῆς Λυκίας. Ἡ μὲν ὖν Ἀντιόχεια μετρία πόλις ἐςὶν, ἐπ' αὐτῷ κειμένη τῷ Μαιάνδρῳ κατὰ τὸ πρὸς τῇ Φρυγίᾳ μέρος· ἐπέζευκται δὲ γέφυρα· χώραν δ' ἔχει πολλὴν ἐφ' ἑκατέρα τῦ ποταμῦ πᾶσαν εὐδαίμονα· πλείςην δὲ φέρει τὴν καλεμένην Ἀντιοχικὴν ἰσχάδα· τὴν δὲ αὐτὴν καὶ τρίφυλλον ὀνομάζεσιν· εὔσεισος δὲ καὶ ὖτος ἐςὶν ὁ τόπος· σοφιςὴς δὲ παρὰ τέτοις ἔνδοξος γεγένηται Διοτρεφῆς, ὖ διήκεσεν Ὑβρέας ὁ καθ' ἡμᾶς γενόμενος μέγιςος ῥήτωρ. Σολύμες δ' εἶναι φασὶ τὲς Καβαλλεῖς· τῆς γῦν Τερμήσσεως ἄκρας ὁ ὑπερκείμενος λόφος καλεῖται

Σόλυ-

Σόλυμος· καὶ αὐτοὶ δὲ οἱ Τερμησσεῖς Σόλυμοι καλȣ̃νται· πλησίον δὲ ἐςὶ καὶ ὁ τȣ̃ ΒελλεροΦόντȣ χάραξ, καὶ ὁ Πεισάνδρȣ τάΦος τȣ̃ υἱȣ̃ πεσόντος ἐν τῇ πρὸς Σολύμȣς μάχῃ. Ταῦτα δ' ἑκάςοις ὑπὸ τȣ̃ ποιητȣ̃ λεγομένοις ὁμολογεῖται· περὶ μὲν γὰρ τȣ̃ ΒελλεροΦόντȣ Φησὶν ȣ̃τω·

Δεύτερον αὖ Σολύμοισι μαχέσσατο κυδαλίμοισι.

περὶ δὲ τȣ̃ παιδὸς αὐτȣ̃.

Πείσανδρον δὲ οἱ υἱὸν Ἄρης ἆτος πολέμοιο
Μαρνάμενον Σολύμοισι κατέκτανεν.

Η δὲ Τερμησσός ἐςι Πισιδικὴ πόλις, ἡ μάλιςα καὶ ἔγγυσα ὑπερκειμένη τῆς Κιβύρας. Λέγονται δὲ ἀπόγονοι Λυδῶν οἱ Κιβυριάται τῶν κατασχόντων τὴν Καβαλλίδων· ὕςερον δὲ Πισίδων τῶν ὁμόρων οἰκισάντων καὶ μετακτισάντων εἰς ἕτερον τόπον εὐερκέςατον ἐν κύκλῳ ςαδίων περὶ ἑκατόν. Ηὐξήθη δὲ διὰ τὴν εὐνομίαν· καὶ αἱ κῶμαι παρεξέτειναν ἀπὸ Πισιδίας, καὶ τῆς ὁμόρȣ Μυλιάδος ἕως Λυκίας, καὶ τῆς Ῥόδων περαίας· προσγενομένων δὲ τριῶν πόλεων ὁμόρων, Βȣβώνων, Βαλβȣ́ρων, Οἰνοάνδρȣ, τετράπολις τὸ σύςημα ἐκλήθη, μίαν ἑκάςης ψῆΦον ἐχȣ́σης, δύο δὲ τῆς Κιβύρας· ἔςελλε γὰρ αὕτη πεζῶν μὲν τρεῖς μυριάδας, ἱππέας δὲ δισχιλίȣς· ἐτυραννεῖτο δ' ἀεί· σωΦρόνως δ' ὅμως· ἐπὶ Μοαγέτȣ δ' ἡ τυραννὶς τέλος ἔσχε, καταλύσαντος αὐτὴν Μουρηνᾶ, καὶ Λυκίοις προσορίσαντος τὴν Βαλβȣ́ραν, καὶ τὴν Βȣβῶνα· ȣ̓δὲν δ' ἧττον ἐν ταῖς μεγίςαις ἐξετάζεται διοικήσεσι τῆς Ἀσίας ἡ Κιβυρατική· Τέτταρσι δὲ γλώτταις ἐχρῶντο οἱ Κιβυρᾶται, τῇ Πισιδικῇ, τῇ Σολύμων, τῇ Ἑλληνίδι, τῇ Λυδῶν· ταύτης δὲ ȣ̓δ' ἴχνος ἐςὶν ἐν Λυδίᾳ· ἴδιον δ' ἐςὶν Κιβύρᾳ, τὸ τὸν σίδηρον τορεύεσθαι ῥᾳδίως. Μιλύα δ' ἐςὶν ἡ ἀπὸ τῶν κατὰ Τερμησσὸν ςενῶν, καὶ τῆς εἰς τὸ ἐντὸς τȣ̃ Ταύρȣ ὑπερθέσεως δι' αὐτῶν ἐπὶ Σίνδα παρατείνȣσα ὀρεινὴ μέχρι Σαγαλασσȣ̃, καὶ τῆς Ἀπαμέων χώρας.

Arrianus, de expedit. Alexand. M. Lib. II. c. 3. Midas regnat ab a. 736-697 ante Chr.

Λόγος δὲ περὶ τῆς ἁμάξης τȣ̃ Γορδίȣ παρὰ τοῖς ἀρχαίοις πολὺς κατεῖχε, Γόρδιον εἶναι τῶν πάλαι Φρυγῶν ἄνδρα πένητα, καὶ ὀλίγην εἶναι αὐτῷ γῆν ἐργάζεσθαι, καὶ ζεύγη βοῶν δύο· καὶ τῷ μὲν ἀροτριᾷν, τῷ δὲ ἁμαξεύειν τὸν Γόρδιον. Καί ποτε ἀρȣ̃ντος αὐτȣ̃ ἐπιςῆναι ἐπὶ τὸν ζυγὸν ἀετὸν, καὶ ἐπιμεῖναι ἔς τε ἐπὶ βȣλυτὸν

τὸν καθήμενον· τὸν δὲ ἐκπλαγέντα τῇ ὄψει, ἰέναι κοινώσοντα ὑπὲρ τοῦ θείου παρὰ τοὺς Τελμισσέας τοὺς μάντεις· εἶναι γὰρ τοὺς Τελμισσέας σοφοὺς τὰ θεῖα ἐξηγεῖσθαι, καὶ σφίσιν ἀπὸ γένους δεδόσθαι αὐτοῖς καὶ γυναιξὶ καὶ παισὶ τὴν μαντείαν· προσάγοντα δὲ κώμῃ τινὶ τῶν Τελμισσέων, ἐντυχεῖν παρθένῳ ὑδρευομένῃ, καὶ πρὸς ταύτην εἰπεῖν ὅπως οἱ τὸ τοῦ ἀετοῦ ἔσχε. Τὴν δὲ (εἶναι γὰρ καὶ αὐτὴν τοῦ μαντικοῦ γένους) θύειν κελεῦσαι τῷ Διῒ τῷ βασιλεῖ, ἐπανελθόντα εἰς τὸν τόπον αὐτόν. Καὶ δεηθῆναι γὰρ αὐτῆς Γόρδιον, τὴν θυσίαν ξυνεπισπομένην οἱ αὐτὴν ἐξηγήσασθαι, θῦσαί τε, ὅπως ἐκείνη ὑπετίθετο, τὸν Γόρδιον, καὶ ξυγγενέσθαι ἐπὶ γάμῳ τῇ παιδὶ, καὶ γενέσθαι αὐτοῖν παῖδα Μίδαν ὄνομα. Ἤδη τε ἄνδρα εἶναι τὸν Μίδαν καλὸν καὶ γενναῖον· καὶ ἐν τούτῳ στάσει πιέζεσθαι ἐν σφίσι τοὺς Φρύγας, καὶ γενέσθαι αὐτοῖς χρησμὸν, ὅτι ἅμαξα ἄξει αὐτοῖς βασιλέα, καὶ ὅτι οὗτος αὐτοῖς καταπαύσει τὴν στάσιν. Ἔτι δὲ περὶ αὐτῶν τούτων βουλευομένοις ἐλθεῖν τὸν Μίδαν ὁμοῦ τῷ πατρὶ καὶ τῇ μητρὶ, καὶ ἐπιστῆναι τῇ ἐκκλησίᾳ αὐτῇ ἁμάξῃ. Τοὺς δὲ ξυμβαλόντας τὸ μαντεῖον, τοῦτον ἐκεῖνον γνῶναι ὄντα, ὅντινα ὁ θεὸς αὐτοῖς ἔφραζεν ὅτι ἄξει ἡ ἅμαξα· καὶ καταστῆσαι μὲν αὐτοὺς βασιλέα τὸν Μίδαν. Μίδαν δὲ αὐτοῖς τὴν στάσιν καταπαῦσαι, καὶ τὴν ἅμαξαν τοῦ πατρὸς ἐν τῇ ἄκρᾳ ἀναθεῖναι χαριστήρια τῷ Διῒ τῷ βασιλεῖ, ἐπὶ τῇ τοῦ ἀετοῦ πομπῇ· πρὸς δὲ δὴ τούτοις, καὶ τόδε περὶ τῆς ἁμάξης ἐμυθεύετο· ὅς τις λύσειε τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμὸν, τοῦτον χρῆναι ἄρξαι τῆς Ἀσίας. Ἦν δὲ ὁ δεσμὸς ἐκ φλοιοῦ κρανέας· καὶ τούτου οὔτε τέλος οὔτε
334 ante Chr. ἀρχὴ ἐφαίνετο· ὁ οὖν Ἀλέξανδρος, ὡς εἰ Γόρδιον παρῆλθε, πόθος λαμβάνει αὐτὸν ἀνελθόντα ἐς τὴν ἄκραν (ἵνα καὶ τὰ βασίλεια ἦν τοῦ Γορδίου καὶ τοῦ παιδὸς αὐτοῦ Μίδου) τὴν ἅμαξαν ἰδεῖν τοῦ Γορδίου καὶ τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμὸν, καὶ πειρᾶσθαι τὴν αὐτοῦ λύσιν. ὡς δὲ ἀπόρως μὲν εἶχεν ἐξευρεῖν λύσιν τοῦ δεσμοῦ, ἄλυτον δὲ περιϊδεῖν οὐκ ἤθελε, μή τινα καὶ τοῦτο ἐς τοὺς πολλοὺς κίνησιν ἐργάσηται, οἱ μὲν λέγουσιν ὅτι παίσας τῷ ξίφει διέκοψε τὸν δεσμὸν, καὶ λελύσθαι ἔφη. Ἀριστόβουλος δὲ λέγει, ἐξελόντα τὸν ἕστορα τοῦ ῥυμοῦ, ὃς ἦν τύλος διαβεβλη-

ιεβλημένος διὰ τȣ̃ ῥυμȣ̃ διαμπὰξ, ξυνέχων τὸν δεσμὸν, ξελκῦσαι ἔξω τȣ̃ ῥυμȣ̃ τὸν ζυγόν. Ὅπως μὲν δὴ ἐπράχ-'η τὰ ἀμφὶ τῷ δεσμῷ τȣ́τῳ Ἀλεξάνδρῳ, ȣ̓κ ἔχω ἰσχυ-ίσαϑαι. Ἀπηλλάγη δ' ȣ̃ν ἀπὸ τῆς ἁμάξης αὐτός τε καὶ ι ἀμφ' αὐτὸν, ὡς τȣ̃ λογίȣ τȣ̃ ἐπὶ τῇ λύσει τȣ̃ δεσμȣ̃ ʋμβεβηκότος. Καὶ γὰρ καὶ τῆς νυκτὸς ἐκείνης βρονκί τε καὶ σέλας ἐξ ȣ̓ρανȣ̃ ἐπεσήμηναν· καὶ ἐπὶ τȣ́τοις ϑυε τῇ ὑςεραίᾳ Ἀλέξανδρος τοῖς φήνασι ϑεοῖς τά τε ημεῖα, καὶ τȣ̃ δεσμȣ̃ τὴν λύσιν.

---

c) DE REBUS CARUM.

De Caribus traditiones. Herodot. Lib. I. cap. 171–176.

Περὶ δὲ Καρῶν ȣ̃τως ἱςορεῖ Ἡρόδοτος· Ἅρπαγος, ὁ ὶ Κύρȣ ςρατηγὸς, καταςρεψάμενος Ἰωνίην, ἐποιέετο ςρα-ίην ἐπὶ Κᾶρας καὶ Καυνίȣς καὶ Λυκίȣς, ἅμα ἀγόμενος ὶ Ἴωνας καὶ Αἰολέας. εἰσὶ δὲ τȣ́των Κᾶρες μὲν ἀπιγ-ένοι ἐς τὴν ἤπειρον ἐκ τῶν νήσων. τὸ γὰρ παλαιὸν ἐόν-ς Μίνω τε κατήκοοι, καὶ καλεόμενοι Λέλεγες, εἶχον ὶς νήσȣς, φόρον μὲν ȣ̓δένα ὑποτελέοντες, ὅσον καὶ ἐγὼ νατός εἰμι μακρότατον ἐξικέσϑαι ἀκοῇ· οἱ δὲ, ὅκως Μί-ως δέοιτο, ἐπλήρȣν οἱ τὰς νέας. ἅτε δὴ Μίνω κατεςραμ-ένȣ γῆν πολλὴν, καὶ εὐτυχέοντος τῷ πολέμῳ, τὸ Καρι-ν ἦν ἔϑνος λογιμώτατον τῶν ἐϑνέων ἁπάντων κατὰ τȣ̃-ν ἅμα τὸν χρόνον μακρῷ μάλιςα, καί σφι τριξὰ ἐξευ-ματα ἐγένετο, τοῖσι οἱ Ἕλληνες ἐχρήσαντο. καὶ γὰρ ὶ τὰ κράνεα λόφȣς ἐπιδέεσϑαι Κᾶρές εἰσι οἱ καταδέξαν-;, καὶ ἐπὶ τὰς ἀσπίδας τὰ σημήϊα ποιέεσϑαι· καὶ ὄχανα πίσι ȣ̃τοί εἰσι οἱ ποιησάμενοι πρῶτοι· τέως δὲ ἄνευ ὀχά-ν ἐφόρεον τὰς ἀσπίδας πάντες ὅιπερ ἐώϑεισαν ἀσπίσι έεσϑαι, τελαμῶσι σκυτίνοισι οἰηκίζοντες, περὶ τοῖσι αὐ-σι τε καὶ τοῖσι ἀριςεροῖσι ὤμοισι περικείμενοι. μετὰ τȣ̀ς Κᾶρας χρόνῳ ὕςερον πολλῷ Δωριέες τε καὶ Ἴωνες ενέςησαν ἐκ τῶν νήσων· καὶ ȣ̃τω ἐς τὴν ἤπειρον ἀπίκον-

κατὰ μὲν δὴ Κᾶρας ȣ̃τω Κρῆτες λέγȣσι γενέσϑαι· μέν τοι αὐτοί γε ὁμολογέȣσι τȣ́τοισι οἱ Κᾶρες· ἀλλὰ νο-ȣσι αὐτοὶ ἑωϋτȣ̀ς εἶναι αὐτόχϑονας ἠπειρώτας, καὶ τῷ ματι τῷ αὐτῷ αἰεὶ διαχρεωμένȣς τῷπερ νῦν. ἀποδεικ-ι δὲ ἐν Μυλάσσοισι Διὸς Καρίȣ ἱρὸν ἀρχαῖον, τȣ̃ Μυ-

σοῖσι

σοῖσι μὲν καὶ Λυδοῖσι μέτεσι, ὡς κασιγνήτοισι ἐῦσι τοῖσι Καρσί. τὸν γὰρ Λυδὸν καὶ τὸν Μυσὸν λέγεσι ἔιναι Καρὸς ἀδελφεὺς. τὺτοισι μὲν δὴ μέτεσι· ὅσοι δὲ ἐόντες ἄλλε ἔθνεος, ὁμόγλωσσοι τοῖσι Καρσὶ ἐγένοντο, τὺτοισι δὲ ὲ μέτα.

cap. 172. Ὁι δὲ Καύνιοι, αὐτόχθονες, δοκέειν ἐμοὶ, εἰσί· αὐτοὶ μέντοι ἐκ Κρήτης φασὶ ἔιναι. προσκεχωρήκασι δὲ γλῶσσαν μὲν πρὸς τὸ Καρικὸν ἔθνος, ἢ ὁι Κᾶρες πρὸς τὸ Καυνικόν· τῦτο γὰρ ὲκ ἔχω ἀτρεκέως διακρῖναι. νόμοισι δὲ χρέωνται κεχωρισμένοισι πολλὸν τῶν τε ἄλλων ἀνθρώπων καὶ Καρῶν. τοῖσι γὰρ κάλλισόν ἐσι κατ' ἡλικίην τε καὶ φιλότητα ἐιλαδὸν συγγίνεσθαι ἐς πόσιν, καὶ ἀνδράσι καὶ γυναιξὶ καὶ παισί. ἱδρυνθέντων δέ σφι ἱρῶν ξεινικῶν, μετέπειτα ὥς σφι ἀπέδοξε, (ἔδοξε δὲ τοῖσι πατρίοισι μῦνον χρᾶσθαι θεοῖσι,) ἐνδύντες τὰ ὅπλα ἅπαντες Καύνιοι ἡβηδὸν, τύπτοντες δὺρασι τὸν ἠέρα, μέχρι ὅρων τῶν Καλυνδικῶν ἕποντο, καὶ ἔφασαν ἐκβάλλειν τὺς ξεινικὺς θεὺς. καὶ ὗτοι μὲν τρόποισι τοιὺτοισι χρέωνται.

cap. 173. Ὁι δὲ Λύκιοι ἐκ Κρήτης τὠρχαῖον γεγόνασι· τὴν γὰρ Κρήτην ἔιχον τοπαλαιὸν πᾶσαν βὰρβαροι· διενειχθέντων δὲ ἐν Κρήτῃ περὶ τῆς βασιληΐης τῶν Ἐυρώπης παίδων, Σαρπηδόνος τε καὶ Μίνω, ὡς ἐπεκράτησε τῇ σάσει Μίνως, ἐξήλασε αὐτόν τε Σαρπηδόνα καὶ τὺς σασιώτας αὐτῦ· ὁι δὲ ἀπωσθέντες, ἀπίκοντο τῆς Ἀσίης ἐς γῆν τὴν Μιλυάδα. τὴν γὰρ νῦν Λύκιοι νέμονται, ἄυτη τοπαλαιὸν ἦν Μιλυάς. ὁι δὲ Μιλύαι, τότε Σόλυμοι ἐκαλέοντο. τέως μὲν δὴ αὐτέων Σαρπηδὼν ἦρχε· ὁι δὲ ἐκαλέοντο τόπερ τε ἠνείκαντο ὔνομα, καὶ νῦν ἔτι καλέονται ὑπὸ τῶν περιοίκων ὁι Λύκιοι, Τερμίλαι. ὡς δὲ ἐξ Ἀθηνέων Λύκος ὁ Πανδίονος, ἐξελαθεὶς καὶ ὗτος ὑπὸ τῦ ἀδελφεῦ Ἀιγέως, ἀπίκετο ἐς τὺς Τερμίλας παρὰ Σαρπηδόνα, ὕτω δὴ κατὰ τὸ Λύκε τὴν ἐπωνυμίην Λύκιοι ἀνὰ χρόνον ἐκλήθησαν. νόμοισι δὲ, τὰ μὲν Κρητικοῖσι, τὰ δὲ Καρικοῖσι χρέωνται. ἓν δὲ τόδε ἴδιον νενομίκασι, καὶ ὐδαμοῖσι ἄλλοισι συμφέρονται ἀνθρώπων· καλέυσι ἀπὸ τῶν μητέρων ἑωϋτὺς, καὶ ὐκὶ ἀπὸ τῶν πατέρων. ἐιρομένυ δὲ ἑτέρυ τὸν πλησίον, τίς ἔιη, καταλέξει ἑωϋτὸν μητρόθεν, καὶ τῆς μητρὸς ἀνανεμέεται τὰς μητέρας. καὶ ἢν μέν γε γυνὴ ἀσὴ δύλῳ συνοικήσῃ, γενναῖα τὰ τέκνα νενόμισαι· ἢν δὲ ἀνὴρ ἀσὸς, καὶ

ῃ ὁ πρῶτος αὐτέων, γυναῖκα ξείνην ἢ παλλακὴν ἔχῃ,
ιμα τὰ τέκνα γίνεται. Οἱ μέν νυν Κᾶρες ὐδὲν λαμ- cap. 174.
ὸν ἔργον ἀποδεξάμενοι, ἐδυλώθησαν ὑπὸ Ἁρπάγυ· ὔτε
τοὶ οἱ Κᾶρες ἀποδεξάμενοι ὐδὲν, ὔτε ὅσοι Ἑλλήνων
ύτην τὴν χώρην οἰκέυσι. οἰκέυσι δὲ καὶ ἄλλοι, καὶ
κεδαιμονίων ἄποικοι Κνίδιοι, τῆς χώρης τῆς σφετέρης
ραμμένης ἐς πόντον, τὸ δὴ Τριόπιον καλέεται· ἀργμέ-
; δὲ ἐκ τῆς Χερσονήσυ τῆς Βυβασσίης, ἐύσης τε πάσης
; Κνιδίης, πλὴν ὀλίγης, περιῤῥόυ· (τὰ μὲν γὰρ αὐτῆς
ὸς βορῆν ἄνεμον ὁ Κεραμεικὸς κόλπος ἀπειργει· τὰ δὲ
ὸς νότον, ἡ κατὰ Σύμην τε καὶ Ῥόδον θάλασσα·) τὸ
δὴ ὀλίγον τῦτο, ἐὸν ὅσον τε ἐπὶ πέντε ςάδια, ὤρυσσον
Κνίδιοι, ἐν ὅσῳ Ἅρπαγος τὴν Ἰωνίην κατεςρέφετο,
λόμενοι νῆσον τὴν χώρην ποιῆσαι. ἐντὸς δὲ πᾶσά σφι
ίνετο· τῇ γὰρ ἡ Κνιδίη χώρη ἐς τὴν ἤπειρον τελευτᾷ,
ίτῃ ὁ ἰσθμός ἐςι τὸν ὤρυσσον. καὶ δὴ πολλῇ χειρὶ ἐρ-
ζομένων τῶν Κνιδίων· μᾶλλον γάρ τι καὶ θειότερον
αίνοντο τιτρώσκεσθαι οἱ ἐργαζόμενοι τῦ οἰκότος τά τε
λα τῦ σώματος, καὶ μάλιςα τὰ περὶ τὺς ὀφθαλμὺς,
χυομένης τῆς πέτρης· ἔπεμπον ἐς Δελφὺς θεοπρόπυς
ρησομένυς τὸ ἀντίξοον. ἡ δὲ Πυθίη σφι, (ὡς αὐτοὶ
ίδιοι λέγυσι,) χρᾷ ἐν τριμέτρῳ τόνῳ τάδε,

Ἰσθμὸν δὲ μὴ πυργῦτε, μήδ' ὀρύσσετε·
Ζεὺς γάρ κ' ἔθηκε νῆσον, ἔι κ' ἐβύλετο.

ίδιοι μὲν, ταῦτα τῆς Πυθίης χρησάσης, τῦ τε ὀρύγμα-
ἐπαύσαντο, καὶ Ἁρπάγῳ ἐπιόντι σὺν τῷ ςρατῷ ἀμα-
ὶ σφέας αὐτὺς παρέδοσαν. Ἦσαν δὲ Πηδασέες οἱ- cap. 175.
τες ὑπὲρ Ἁλικαρνασσῦ μεσόγαιαν· τοῖσι ὅκως τι μέλ-
ἀνεπιτήδεον ἔσεσθαι, αὐτοῖσί τε καὶ τοῖσι περιοίκοισι,
ερείῃ τῆς Ἀθηναίης πώγωνα μέγαν ἴσχει. τρίς σφι
ο ἐγένετο. ὗτοι τῶν περὶ Καρίην ἀνδρῶν μῦνοί τε
έσχον χρόνον Ἁρπάγῳ, καὶ πρήγματα παρέσχον πλεῖ-
ὄρος τειχίσαντες, τῷ ὔνομά ἐςι Λίδη. Πηδασέες μὲν cap. 176.
χρόνῳ ἐξαιρέθησαν· Λύκιοι δὲ, ὡς ἐς τὸ Ξάνθιον
ίον ἤλασε ὁ Ἅρπαγος τὸν ςρατὸν, ὑπεξιόντες, καὶ
ςόμενοι ὀλίγοι πρὸς πολλὺς, ἀρετὰς ἀπεδείκνυντο· ἑσ-
ἐντες δὲ, καὶ κατειληθέντες ἐς τὸ ἄςυ, συνήλισαν ἐς
ἀκρόπολιν τάςτε γυναῖκας καὶ τὰ τέκνα καὶ τὰ χρή-
ματα,

ματα, καὶ τοὺς οἰκέτας· καὶ ἔπειτα ὑπῆψαν τὴν ἀκρόπο-λιν πᾶσαν ταύτην καίεσθαι. ταῦτα δὲ ποιήσαντες καὶ συνο-μόσαντες ὅρκους δεινούς, ὑπεξελθόντες ἀπέθανον πάντες Ξάνθιοι μαχόμενοι. τῶν δὲ νῦν Λυκίων φαμένων Ξαν-θίων εἶναι, οἱ πολλοὶ, πλὴν ὀγδώκοντα ἱστιέων, εἰσὶ ἐπή-λυδες· αἱ δὲ ὀγδώκοντα ἱστίαι αὗται ἔτυχον τηνικαῦτα ἐκ-δημέουσαι, καὶ οὕτω περιεγένοντο. τὴν μὲν δὴ Ξάνθον οὕ-τως ἔσχε ὁ Ἅρπαγος. παραπλησίως δὲ καὶ τὴν Καῦνον ἔσχε. καὶ γὰρ οἱ Καύνιοι τοὺς Λυκίους ἐμιμήσαντο τὰ πλέω.

---

d) DE REBUS LYDORUM.

Herodot. Lib. I. c. 6. Κροῖσος ἦν Λυδὸς μὲν τὸ γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσαμβρίης μεταξὺ Σύρων καὶ Παφλαγόνων, ἐξίει πρὸς βορῆν ἄνεμον ἐς τὸν Εὔξεινον καλεόμενον πόντον.

cap. 7. Ἡ δὲ ἡγεμονίη οὕτω περιῆλθεν, ἐοῦσα Ἡρακλειδέων, ἐς τὸ γένος τοῦ Κροίσου, καλεομένους δὲ Μερμνάδας· ἦν Καν-δαύλης, τὸν οἱ Ἕλληνες Μυρσίλον καλέουσι, τύραννος Σαρ-δίων, ἀπόγονος δὲ Ἀλκαίου τοῦ Ἡρακλέος. Ἄγρων μὲν γὰρ ὁ Νίνου, τοῦ Βήλου, τοῦ Ἀλκαίου, πρῶτος Ἡρακλειδέων βασιλεὺς ἐγένετο Σαρδίων· Κανδαύλης δὲ ὁ Μύρσου, ὕ-στατος· οἱ δὲ πρότερον Ἄγρωνος βασιλεύσαντες ταύτης τῆς

Atyadæ. χώρης, ἦσαν ἀπόγονοι Λυδοῦ τοῦ Ἄτυος· ἀπ' ὅτευ ὁ δῆμος Λύδιος ἐκλήθη ὁ πᾶς οὗτος, πρότερον Μήων καλεόμενος.

Heraclidæ. παρὰ τούτων δὲ Ἡρακλεῖδαι ἐπιτραφθέντες, ἔσχον τὴν ἀρ-χὴν ἐκ θεοπροπίου, ἐκ δούλης τε τῆς Ἰαρδάνου γεγονότες καὶ Ἡρακλέος. ἄρξαντες μὲν ἐπὶ δύο τε καὶ εἴκοσι γε-νεὰς ἀνδρῶν, ἔτεα πέντε τε καὶ πεντακόσια, παῖς παρὰ πατρὸς ἐκδεκόμενος τὴν ἀρχὴν, μέχρι Κανδαύλεω τοῦ Μύρ-

cap. 8. σου. Οὗτος δὴ ὦν ὁ Κανδαύλης ἠράσθη τῆς ἑωυτοῦ γυναι-κός· ἐρασθεὶς δὲ, ἐνόμιζέ οἱ εἶναι γυναῖκα πολλὸν πασέων καλλίστην. ὥστε δὲ ταῦτα νομίζων· ἦν γάρ οἱ τῶν αἰχ-μοφόρων Γύγης ὁ Δασκύλου ἀρεσκόμενος μάλιστα· τούτῳ τῷ Γύγῃ καὶ τὰ σπουδαιέστερα τῶν πρηγμάτων ὑπερετίθετο ὁ Κανδαύλης, καὶ δὴ καὶ τὸ εἶδος τῆς γυναικὸς ὑπερεπαι-νέων. χρόνου δὲ οὐ πολλοῦ διελθόντος ἐκείνην ἐπεξ- γυμν-

γμνὴν τῷ Γύγῃ· Μαθᾶσα δὲ τὸ ποιηθὲν ἐκ τᾶ ἀνδρὸς,
ιεγε τῷ Γύγῃ τάδε, "Νῦν τοι δυοῖν ὁδοῖν παρεᾶσέων, cap. 11.
Γύγη, δίδωμι αἵρεσιν, ὁκοτέρην βᾶλεαι τραπέσθαι. ἢ
γὰρ Κανδαύλεα ἀποκτείνας, ἐμέ τε καὶ τὴν βασιληΐην
ἔχε τὴν Λυδῶν, ἢ αὐτόν σε αὐτίκα ᾶτω ἀποθνήσκειν
δεῖ. ὡς ἂν μὴ πάντα πειθόμενος Κανδαύλῃ, τᾶ λοιπᾶ
ἴδῃς τὰ μή σε δεῖ. ἀλλ' ἤτοι κεῖνόν γε τὸν ταῦτα βᾶ-
λεύσαντα δεῖ ἀπόλλυσθαι, ἢ σὲ τὸν ἐμὲ γυμνὴν θηησά-
μενον, καὶ ποιήσαντα ᾶ νομιζόμενα." Ὁ δὲ Γύγης τέως
ἐν ἀπεθώϋμαζε τὰ λεγόμενα· μετὰ δὲ ἱκέτευε μή μιν
ἀγκαίῃ ἐνδεῖν παρακρῖναι τοιαύτην αἵρεσιν. ᾶκων δὴ
ειθεν, ἀλλ' ὥρα ἀναγκαίην ἀληθέως προκειμένην, ἢ τὸν
σπότεα ἀπολλῦναι, ἢ αὐτὸν ὑπ' ἄλλων ἀπόλλυσθαι· αἱ-
εται αὐτὸς περιεῖναι· καὶ μετὰ ταῦτα ἀναπαυομένᾶ Καν- cap. 12.
ύλεω ὑπεισδύς τε καὶ ἀποκτείνας αὐτὸν, ἔσχε καὶ τὴν
ναῖκα καὶ τὴν βασιληΐην Γύγης· [τᾶ καὶ Ἀρχίλοχος ὁ
άριος, κατὰ τὸν αὐτὸν χρόνον γενόμενος, ἐν ἰάμβῳ τρι-
τρῳ ἐπεμνήσθη.] Ἔσχε δὲ τὴν βασιληΐην καὶ ἐκρατύν- cap. 13.
ἐκ τᾶ ἐν Δελφοῖσι χρηςηρίᾶ. ὡς γὰρ δὴ οἱ Λυδοὶ δει-
ν ἐποιεῦντο τὸ Κανδαύλεω πάθος, καὶ ἐν ὅπλοισι ἦσαν,
νέβησαν ἐς τὠυτὸ ὅι τε τᾶ Γύγεω ςασιῶται καὶ οἱ λοι-
ὶ Λυδοὶ, ἢν μὲν δὴ τὸ χρηςήριον ἀνέλῃ μιν βασιλέα ᾶἶ-
ι Λυδῶν, τόνδε βασιλεύειν· ἢν δὲ μὴ, ἀποδᾶναι ὀπίσω
Ἡρακλείδας τὴν ἀρχήν. ἀνεῖλέ τε δὴ τὸ χρηςήριον,
ὶ ἐβασίλευσεν ᾶτω Γύγης. τοσόνδε μέντοι ᾶἶπεν ἡ Πυ-
ή, ὡς Ἡρακλείδῃσι τίσις ἥξει ἐς τὸν πέμπτον ἀπόγονον
γεω. τᾶτᾶ τᾶ ἔπεος Λυδοί τε καὶ οἱ βασιλέες ἀυ-
ὶν λόγον ᾶδένα ἐποιεῦντο, πρὶν δὴ ἐπετελέσθη. Τὴν cap. 14.
ν δὴ τυραννίδα ᾶτως ἔσχον οἱ Μερμνάδαι, τᾶς Ἡρα- Memnadæ.
είδας ἀπελόμενοι. Γύγης δὲ τυραννεύσας ἀπέπεμψεν Gyges.
αθήματα ἐς Δελφᾶς ᾶκ ὀλίγα· ἀλλ' ὅσα μὲν ἀργύρᾶ
αθήματά ἐςίν οἱ πλεῖςα ἐν Δελφοῖσι· πάρεξ δὲ ἀργύ-
, χρυσὸν ἄπλετον ἀνέθηκεν, ἄλλον τε καὶ τᾶ μάλι-
μνήμην ἄξιον ἔχειν ἐςὶ, κρητῆρές οἱ ἀριθμὸν ᾶξ χρύ-
οι ἀνακέαται. ἑςᾶσι δὲ ᾶτοι ἐν τῷ Κορινθίων θησαυ-
, ςαθμὸν ἔχοντες τριήκοντα τάλαντα· ἀληθέϊ δὲ λόγῳ
εωμένῳ, ᾶ Κορινθίων τᾶ δημοσίᾶ ἐςὶν ὁ θησαυρὸς,
λὰ Κυψέλᾶ τᾶ Ἠετίωνος. ᾶτος δὲ ὁ Γύγης, πρῶτος
βαρ-

βαρβάρων τῶν ἡμεῖς ἴδμεν, ἐς Δελφὰς ἀνέθηκεν ἀναθή-
ματα, μετὰ Μίδην τὸν Γορδίεω, Φρυγίης βασιλῆα. ἀνέ-
θηκε γὰρ δὴ καὶ Μίδης τὸν βασιλήϊον θρόνον, ἐς τὸν
προκατίζων ἐδίκαζεν, ἐόντα ἀξιοθέητον. κεῖται δὲ ὁ θρό-
νος ὗτος ἔνθαπερ οἱ τῦ Γύγεω κρητῆρες. ὁ δὲ χρυσὸς
ὗτος καὶ ὁ ἄργυρος τὸν ὁ Γύγης ἀνέθηκεν, ὑπὸ Δελ-
φῶν καλέεται Γυγάδας ἐπὶ τῦ ἀναθέντος ἐπωνυμίην.
ἐσέβαλε μέν νυν στρατιὴν καὶ ὗτος, ἐπεί τε ἦρξεν, ἔς
τε Μίλητον καὶ ἐς Σμύρνην, καὶ Κολοφῶνος τὸ ἄστυ
εἷλεν. ἀλλ' ὐδὲν γὰρ μέγα ἔργον ἀπ' αὐτῦ ἄλλο ἐγέ-
νετο, βασιλεύσαντος δυῶν δέοντα τεσσεράκοντα ἔτεα. τῦ-
cap. 15. Ardys. τον μὲν παρήσομεν, τοσαῦτα ἐπιμνησθέντες. Ἄρδυος δὲ
τῦ Γύγεω μετὰ Γύγην βασιλεύσαντος μνήμην ποιήσομαι.
ὗτος δὲ Πριηνέας τε εἷλεν, ἐς Μίλητόν τε ἐσέβαλε.
ἐπὶ τύτυ τε τυραννεύοντος Σαρδίων, Κιμμέριοι ἐξ ἠθέων
ὑπὸ Σκυθέων τῶν Νομάδων ἐξαναστάντες, ἀπικέατο ἐς
τὴν Ἀσίην, καὶ Σάρδις πλὴν τῆς ἀκροπόλιος εἷλον.
cap. 16. Ἄρδυος δὲ βασιλεύσαντος ἑνὸς δέοντα πεντήκοντα ἔτεα,
Sadyattes. ἐξεδέξατο Σαδυάττης ὁ Ἄρδυος, καὶ ἐβασίλευσεν ἔτεα
Alyattes. δυώδεκα· Σαδυάττεω δὲ, Ἀλυάττης. ὗτος δὲ Κυαξάρῃ
τε τῷ Δηϊόκεω ἀπογόνῳ ἐπολέμησε, καὶ Μήδοισι· Κιμ-
μερίυς τε ἐκ τῆς Ἀσίης ἐξήλασε· Σμύρνην τε τὴν ἀπὸ
Κολοφῶνος κτισθεῖσαν εἷλεν, ἐς Κλαζομενάς τε ἐσέβα-
λεν· ἀπὸ μέν νυν τύτων ὐκ ὡς ἤθελεν ἀπήλλαξεν, ἀλ-
λὰ προσπταίσας μεγάλως. ἄλλα δὲ ἔργα ἀπεδέξατο ἐὼν
cap. 17. ἐν τῇ ἀρχῇ ἀξιαπηγητότατα τάδε. Ἐπολέμησε Μιλη-
σίοισι, παραδεξάμενος τὸν πόλεμον παρὰ τῦ πατρός. ἐπε-
λαύνων γὰρ ἐπολιόρκεε τὴν Μίλητον τρόπῳ τοιῷδε· ὅκως
μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἁδρὸς, τηνικαῦτα ἐσέβαλλε τὴν
στρατιήν. ἐστρατεύετο δὲ ὑπὸ συρίγγων τε καὶ πηκτίδων,
καὶ αὐλῦ γυναικηΐυ τε καὶ ἀνδρηΐυ. ὡς δὲ ἐς τὴν Μι-
λησίην ἀπίκοιτο, οἰκήματα μὲν τὰ ἐπὶ τῶν ἀγρῶν ὔτε
κατέβαλλεν, ὔτε ἐνεπίμπρη, ὔτε θύρας ἀπέσπα, ἔα δὲ
κατὰ χώρην ἑστάναι· ὁ δὲ τά τε δένδρεα καὶ τὸν καρ-
πὸν τὸν ἐν τῇ γῇ ὅκως παραφθείρειεν, ἀπαλλάσσετο ὀπί-
σω. τῆς γὰρ θαλάσσης οἱ Μιλήσιοι ἐπεκράτεον, ὥστε ἐπέ-
δρης μὴ εἶναι ἔργον τῇ στρατιῇ. τὰς δὲ οἰκίας ὐ κατέ-
βαλλεν ὁ Λυδὸς, τῶνδε εἵνεκα, ὅκως ἔχοιεν ἐνθεῦτεν ὁρ-

με-

:ώμενοι τὴν γῆν σπείρειν τε καὶ ἐργάζεσθαι οἱ Μιλή-
οι, αὐτὸς δὲ, ἐκείνων ἐργαζομένων, ἔχοι τι καὶ σίνε-
ει ἐσβάλλων. Ταῦτα ποιέων, ἐπολέμεε ἔτεα ἕνδεκα· cap. 18.
τοῖσι τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένετο, ἔν
Λιμενηΐῳ χώρης τῆς σφετέρης μαχεσαμένων, καὶ ἐν
αιάνδρε πεδίῳ. τὰ μέν νυν ἓξ ἔτεα τῶν ἕνδεκα Σα-
ἀττης ὁ Ἄρδυος ἔτι Λυδῶν ἦρχε, ὁ καὶ ἐσβαλὼν τη-
ιαῦτα ἐς τὴν Μιλησίην τὴν στρατιήν· (Σαδυάττης οὗτος
ρ καὶ ὁ τὸν πόλεμον ἦν συνάψας·) τὰ δὲ πέντε τῶν
έων τὰ ἑπόμενα τοῖσιν ἓξ Ἀλυάττης ὁ Σαδυάττεω ἐπο-
μεε, ὃς παραδεξάμενος (ὡς καὶ πρότερόν μοι δεδήλω-
ι) παρὰ τοῦ πατρὸς τὸν πόλεμον, προσεῖχε ἐντεταμέ-
ς. τοῖσι δὲ Μιλησίοισι οὐδαμοὶ Ἰώνων τὸν πόλεμον τοῦ-
ν συνεπελάφρυνον, ὅτι μὴ Χῖοι μοῦνοι. οὗτοι δὲ τὸ ὅ-
ιον ἀνταποδιδόντες ἐτιμώρεον· καὶ γὰρ δὴ πρότερον οἱ
ιλήσιοι τοῖσι Χίοισι τὸν πρὸς Ἐρυθραίους πόλεμον συν-
ήνεικαν. Τῷ δὲ δυωδεκάτῳ ἔτεϊ λήΐου ἐμπιπραμένου ὑπὸ cap. 19.
ς στρατιῆς, συνηνείχθη τι τοιόνδε γενέσθαι πρῆγμα· ὡς
:θη τάχιστα τὸ λήϊον ἀνέμῳ βιώμενον, ἅψατο νηοῦ Ἀθη-
ίης, ἐπίκλησιν Ἀσσησίης. ἀφθεὶς δὲ ὁ νηὸς, κατε-
ύθη. καὶ τοπαραυτίκα μὲν λόγος οὐδεὶς ἐγένετο· μετὰ
, τῆς στρατιῆς ἀπικομένης ἐς Σάρδις, ἐνόσησεν ὁ Ἀλυ-
της. μακροτέρης δέ οἱ γενομένης τῆς νούσου, πέμπει ἐς
:λφοὺς θεοπρόπους, εἴτε δὴ συμβουλεύσαντός τευ, εἴτε καὶ
τῷ ἔδοξε πέμψαντα τὸν θεὸν ἐπείρεσθαι περὶ τῆς νούσου.
ῖσι δὲ ἡ Πυθίη ἀπικομένοισι ἐς Δελφοὺς οὐκ ἔφη χρήσειν,
ὶν ἢ τὸν νηὸν τῆς Ἀθηναίης ἀνορθώσωσι, τὸν ἐνέπρη-
ν χώρης τῆς Μιλησίης ἐν Ἀσσησῷ. Δελφῶν οἶδα ἐγὼ cap. 20.
ω ἀκούσας γενέσθαι· Μιλήσιοι δὲ τάδε προστιθεῖσι τούτοισι,
ερίανδρον τὸν Κυψέλου, ἐόντα Θρασυβούλῳ τῷ τότε Μι-
του τυραννεύοντι ξεῖνον ἐς ταμάλιστα, πυθόμενον τὸ χρη-
ριον τὸ τῷ Ἀλυάττῃ γενόμενον, πέμψαντα ἄγγελον
τειπεῖν, ὅκως ἄν τι προειδὼς πρὸς τὸ παρεὸν βουλεύη-
ι. Μιλήσιοι μέν νυν οὕτω λέγουσι γενέσθαι. Ἀλυάττης cap. 21.
, ὥς οἱ ταῦτα ἐξηγγέλθη, αὐτίκα ἔπεμπε κήρυκα ἐς
ίλητον, βουλόμενος σπονδὰς ποιήσασθαι Θρασυβούλῳ τε
ὶ Μιλησίοισι χρόνου ὅσον ἂν τὸν νηὸν οἰκοδομῇ. ὁ μὲν
ἀπόστολος ἐς τὴν Μίλητον ἦν· Θρασύβουλος δὲ σαφέως

 προ-

προπεπυσμένος πάντα λόγον, καὶ εἰδὼς τὰ Ἀλυάττης μέλλοι ποιήσειν, μηχανᾶται τοιάδε· ὅσος ἦν ἐν τῷ ἄστεϊ σῖτος καὶ ἑωϋτοῦ καὶ ἰδιωτικὸς, τοῦτον πάντα συγκομίσας ἐς τὴν ἀγορὴν, προεῖπε Μιλησίοισι, ἐπεὰν αὐτὸς σημήνῃ, τότε πίνειν τε πάντας καὶ κώμῳ χρέεσθαι ἐς ἀλλήλους.

cap. 22. Ταῦτα δὲ ἐποίεέ τε καὶ προηγόρευε Θρασύβουλος, τῶνδε εἵνεκεν, ὅκως ἂν δὴ ὁ κῆρυξ ὁ Σαρδιηνὸς, ἰδών τε σωρὸν μέγαν σίτου κεχυμένον, καὶ τοὺς ἀνθρώπους ἐν εὐπαθείῃσι ἐόντας, ἀγγείλῃ Ἀλυάττῃ. τὰ δὴ καὶ ἐγένετο. ὡς γὰρ δὴ ἰδών τε ἐκεῖνα ὁ κῆρυξ, καὶ εἴπας πρὸς Θρασύβουλον τὰς ἐντολὰς τοῦ Λυδοῦ, ἀπῆλθεν ἐς τὰς Σάρδις, ὡς ἐγὼ πυνθάνομαι, δι' οὐδὲν ἄλλο ἐγένετο ἡ διαλλαγή. ἐλπίζων γὰρ ὁ Ἀλυάττης σιτοδηΐην τε εἶναι ἰσχυρὴν ἐν τῇ Μιλήτῳ, καὶ τὸν λεὼν τετρῦσθαι ἐς τὸ ἔσχατον κακοῦ, ἤκουε τοῦ κήρυκος νοστήσαντος ἐκ τῆς Μιλήτου τοὺς ἐναντίους λόγους ἢ ὡς αὐτὸς κατεδόκεε. μετὰ δὲ, ἥ τε διαλλαγή σφι ἐγένετο, ἐπ' ᾧ τε ξείνους ἀλλήλοισι εἶναι καὶ ξυμμάχους· καὶ δύο τε ἀντὶ ἑνὸς νηοὺς τῇ Ἀθηναίῃ ᾠκοδόμησε ὁ Ἀλυάττης ἐν τῇ Ἀσσησῷ, αὐτός τε ἐκ τῆς νούσου ἀνέστη.

Herodotus, Lib. I. cap. 25-34. Ἀλυάττης δὲ ὁ Λυδὸς τὸν πρὸς Μιλησίους πόλεμον διενείκας, μετέπειτα τελευτᾷ, βασιλεύσας ἔτεα ἑπτὰ καὶ πεντήκοντα. ἀνέθηκε δὲ ἐκφυγὼν τὴν νοῦσον, δεύτερος οὗτος τῆς οἰκίης ταύτης, ἐς Δελφοὺς κρητῆρά τε ἀργύρεον μέγαν, καὶ ὑποκρητηρίδιον σιδήρεον κολλητὸν, θέης ἄξιον διὰ πάντων τῶν ἐν Δελφοῖσι ἀναθημάτων· Γλαύκου τοῦ Χίου ποίημα, ὃς μοῦνος δὴ πάντων ἀνθρώπων σιδήρου κόλλησιν ἐξεῦρε.

cap. 26. Croesus. Τελευτήσαντος δὲ Ἀλυάττεω, ἐξεδέξατο τὴν βασιληΐην Κροῖσος ὁ Ἀλυάττεω, ἐτέων ἐὼν ἡλικίην πέντε καὶ τριήκοντα· ὃς δὴ Ἑλλήνων πρώτοισι ἐπεθήκατο Ἐφεσίοισι. ἔνθα δὴ οἱ Ἐφέσιοι πολιορκεόμενοι ὑπ' αὐτοῦ, ἀνέθεσαν τὴν πόλιν τῇ Ἀρτέμιδι, ἐξάψαντες ἐκ τοῦ νηοῦ σχοινίον ἐς τὸ τεῖχος. ἔστι δὲ μεταξὺ τῆς τε παλαιῆς πόλιος, ἣ τότε ἐπολιορκέετο, καὶ τοῦ νηοῦ, ἑπτὰ στάδιοι. πρώτοισι μὲν δὴ τούτοισι ἐπεχείρησε ὁ Κροῖσος· μετὰ δὲ, ἐν μέρει ἑκάστοισι Ἰώνων τε καὶ Αἰολέων, ἄλλοισι ἄλλας αἰτίας ἐπιφέρων, τῶν μὲν ἐδύνατο μέζονας παρευρίσκειν, μέζονα ἐπαιτιώμενος, τοῖσι δὲ αὐτέων καὶ φαῦλα ἐπιφέρων.

cap. 27. Ὡς δὲ ἄρα οἱ ἐν τῇ Ἀσίῃ Ἕλληνες κατεστράφατο

Φόρυ ἀπαγωγὴν, τὸ ἐνθεῦτεν ἐπενόεε, νέας ποιησάμε-
ς, ἐπιχειρέειν τοῖσι νησιώτησι. ἐόντων δέ οἱ πάντων
οίμων ἐς τὴν ναυπηγίην, οἱ μὲν Βίαντα λέγυσι τὸν Πρι-
έα ἀπικόμενον ἐς Σάρδις, οἱ δὲ Πιττακὸν τὸν Μιτυλη-
ῖον, εἰρομένυ Κροίσυ εἴ τι εἴη νεώτερον περὶ τὴν Ἑλ-
ίδα, εἰπόντα τάδε, καταπαῦσαι τὴν ναυπηγίην· "Ὦ βα-
σιλεῦ, νησιῶται ἵππον συνωνέονται μυρίην, ἐς Σάρδις τε
αὶ ἐπὶ σὲ ἔχοντες ἐν νῷ στρατεύεσθαι." Κροῖσον δὲ,
πίσαντα λέγειν ἐκεῖνον ἀληθέα, εἰπεῖν, "Αἰ γὰρ τῦτο
θεοὶ ποιήσειαν ἐπὶ νόον νησιώτησι, ἐλθεῖν ἐπὶ Λυδῶν
παῖδας σὺν ἵπποισι." Τὸν δὲ, ὑπολαβόντα φάναι, "Ὦ
βασιλεῦ, προθύμως μοι φαίνεαι εὔξασθαι νησιώτας ἱπ-
πευομένυς λαβεῖν ἐν ἠπείρῳ, οἰκότα ἐλπίζων· νησιώτας
δὲ τί δοκέεις εὔχεσθαι ἄλλο, ἢ ἐπεί τε τάχιστα ἐπύθον-
τό σε μέλλοντα ἐπὶ σφίσι ναυπηγέεσθαι νέας, λαβεῖν
ἀρώμενοι Λυδὺς ἐν θαλάσσῃ, ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπεί-
ρῳ οἰκημένων Ἑλλήνων τίσωνταί σε, τὺς σὺ δυλώσας
ἔχεις;" Κάρτα τε ἡσθῆναι Κροῖσον τῷ ἐπιλόγῳ· καί οἱ
(προσφυέως γὰρ δόξαι λέγειν) πειθόμενον, παύσασθαι τῆς
ναυπηγίης. καὶ οὕτω τοῖσι τὰς νήσυς οἰκημένοισι Ἴωσι
ξεινίην συνεθήκατο. Χρόνυ δὲ ἐπιγινομένυ, καὶ κατεστραμ-
μένων σχεδὸν πάντων τῶν ἐντὸς Ἅλυος ποταμῦ οἰκημέ-
νων· πλὴν γὰρ Κιλίκων καὶ Λυκίων, τὺς ἄλλυς πάντας
ὑπ' ἑωϋτῷ εἶχε καταστρεψάμενος ὁ Κροῖσος· εἰσὶ δὲ οἵδε,
[Λυδοὶ] Φρύγες, Μυσοὶ, Μαριανδυνοὶ, Χάλυβες, Πα-
φλαγόνες, Θρῆκες, οἱ Θυνοί τε καὶ Βιθυνοὶ, Κᾶρες, Ἴω-
νες, Δωριέες, Αἰολέες, Πάμφυλοι· κατεστραμμένων δὲ cap. 28.
τύτων, καὶ προσεπικτωμένυ Κροίσυ Λυδοῖσι, ἀπικνέονται
ἐς Σάρδις ἀκμαζύσας πλύτῳ ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλ-
λάδος σοφισταὶ, οἳ τῦτον τὸν χρόνον ἐτύγχανον ἐόντες,
ὡς ἕκαστος αὐτέων ἀπικνέοιτο· καὶ δὴ καὶ Σόλων, ἀνὴρ
Ἀθηναῖος, ὃς Ἀθηναίοισι νόμυς κελεύσασι ποιήσας, ἀπε- cap. 29.
δήμησε ἔτεα δέκα, κατὰ θεωρίης πρόφασιν ἐκπλώσας, ἵνα
μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν ἔθετο. αὐ-
τοὶ γὰρ ὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι· ὁρκίοισι
γὰρ μεγάλοισι κατείχοντο, δέκα ἔτεα χρήσεσθαι νόμοισι τὺς
ἄν σφισι Σόλων θῆται. Αὐτῶν δὴ ὦν τύτων καὶ τῆς cap. 30.
θεωρίης ἐκδημήσας ὁ Σόλων εἵνεκεν, ἐς Αἴγυπτον ἀπίκετο

 παρὰ

παρὰ Ἄμασιν, καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον. ἀπι-
κόμενος δὲ, ἐξεινίζετο ἐν τοῖσι βασιληΐοισι ὑπὸ τοῦ Κροί-
σου· μετὰ δὲ, ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ, κελεύσαντος Κροίσου,
τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυροὺς, καὶ
ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. θεη-
σάμενον δέ μιν τὰ πάντα, καὶ σκεψάμενον ὥς οἱ κατὰ
καιρὸν ἦν, ἔιρετο ὁ Κροῖσος τάδε· "Ξεῖνε Ἀθηναῖε, παρ'
"ἡμέας γὰρ περὶ σέο λόγος ἀπῖκται πολλὸς, καὶ σοφίης
"ἕινεκεν τῆς σῆς καὶ πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν
"θεωρίης ἕινεκεν ἐπελήλυθας· νῦν ὦν ἵμερος ἐπείρεσθαι
"μὲ ἐπῆλθε σὲ, ἔι τινα ἤδη πάντων ἔιδες ὀλβιώτατον;"
Ὁ μὲν, ἐλπίζων ἔιναι ἀνθρώπων ὀλβιώτατος, ταῦτα
ἐπηρώτα· Σόλων δὲ, οὐδὲν ὑποθωπεύσας, ἀλλὰ τῷ ἐόντι
χρησάμενος, λέγει, "Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον."
Ἀποθωϋμάσας δὲ Κροῖσος τὸ λεχθὲν, ἔιρετο ἐπιστρεφέως,
"Κοίῃ δὴ κρίνεις Τέλλον ἔιναι ὀλβιώτατον;" Ὁ δὲ ἔιπε,
"Τέλλῳ, τοῦτο μὲν τῆς πόλιος ἔυ ἡκούσης, παῖδες ἦσαν
"καλοί τε κἀγαθοὶ, καί σφι ἔιδε ἅπασι τέκνα ἐκγενόμε-
"να, καὶ πάντα παραμείναντα· τοῦτο δὲ τοῦ βίου ἔυ ἥκον-
"τι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπε-
"γένετο. γενομένης γὰρ Ἀθηναίοισι μάχης πρὸς τοὺς ἀστυ-
"γείτονας ἐν Ἐλευσῖνι, βοηθήσας, καὶ τροπὴν ποιήσας
"τῶν πολεμίων, ἀπέθανε κάλλιστα. καί μιν Ἀθηναῖοι
"δημοσίῃ τε ἔθαψαν αὐτοῦ τῇπερ ἔπεσε, καὶ ἐτίμησαν
cap. 31. "μεγάλως." Ὡς δὲ τὰ κατὰ τὸν Τέλλον προετρέψατο
ὁ Σόλων τὸν Κροῖσον, ἔιπας πολλά τε καὶ ὄλβια, ἐπει-
ρώτα τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι, δοκέων πάγχυ δευ-
τερεῖα γῶν ὄισεσθαι. ὁ δὲ ἔιπε, "Κλέοβίν τε καὶ Βί-
"τωνα. τούτοισι γὰρ ἐοῦσι γένος Ἀργείοισι βίος τε ἀρ-
"κέων ὑπῆν, καὶ πρὸς τούτῳ, ῥώμη σώματος τοιήδε· ἀε-
"θλοφόροι τε ἀμφότεροι ὁμοίως ἔσαν, καὶ δὴ καὶ λέγε-
"ται ὅδε ὁ λόγος· ἐούσης ὁρτῆς τῇ Ἥρῃ τοῖσι Ἀργείοισι,
"ἔδεε πάντως τὴν μητέρα αὐτῶν ζεύγει κομισθῆναι ἐς
"τὸ ἱρόν· οἱ δέ σφι βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίνοντο ἐν
"ὥρῃ· ἐκκληϊζόμενοι δὲ τῇ ὥρῃ οἱ νεηνίαι, ὑποδύντες αὐ-
"τοὶ ὑπὸ τὴν ζεύγλην, ἔιλκον τὴν ἅμαξαν. ἐπὶ τῆς ἁ-
"μάξης δέ σφι ὀχέετο ἡ μήτηρ. σταδίους δὲ πέντε καὶ
"τεσσαράκοντα διακομίσαντες, ἀπίκοντο ἐς τὸ ἱρόν. ταῦ-
"τα

τα δέ σφι ποιήσασι, καὶ ὀφθεῖσι ὑπὸ τῆς πανηγύριος,
τελευτὴ τοῦ βίου ἀρίστη ἐπεγένετο. διέδεξέ τε ἐν τούτοι-
σι ὁ θεὸς ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον
ἢ ζώειν. Ἀργεῖοι μὲν γὰρ περιστάντες ἐμακάριζον τῶν
νεηνιέων τὴν ῥώμην· αἱ δὲ Ἀργεῖαι, τὴν μητέρα αὐ-
τῶν, οἵων τέκνων ἐκύρησε. ἡ δὲ μήτηρ περιχαρὴς ἐοῦ-
σα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα ἀντίον τοῦ ἀγάλ-
ματος, εὔχετο, Κλέοβί τε καὶ Βίτωνι, τοῖσι ἑωϋτῆς
τέκνοισι, οἵ μιν ἐτίμησαν μεγάλως, δοῦναι τὴν θεὸν τὸ
ἀνθρώπῳ τυχεῖν ἄριστόν ἐστι. μετὰ ταύτην δὲ τὴν εὐ-
χὴν, ὡς ἔθυσάν τε καὶ εὐωχήθησαν, κατακοιμηθέν-
τες ἐν αὐτῷ τῷ ἱρῷ οἱ νεηνίαι, οὐκέτι ἀνέστησαν, ἀλλ'
ἐν τέλει τούτῳ ἔσχοντο. Ἀργεῖοι δέ σφεων εἰκόνας
ποιησάμενοι, ἀνέθεσαν ἐς Δελφοὺς, ὡς ἀνδρῶν ἀρίστων
γενομένων·" Σόλων μὲν δὴ εὐδαιμονίης δευτερεῖα ἔνε-
με τούτοισι. Κροῖσος δὲ σπερχθεὶς, εἶπε, "Ὦ ξεῖνε cap. 32.
Ἀθηναῖε, ἡ δὲ ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέρριπται
ἐς τὸ μηδὲν, ὥστε οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας
ἐποίησας;" Ὁ δὲ εἶπε, "Ὦ Κροῖσε, ἐπιστάμενόν με
τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες, ἐπειρω-
τᾷς ἀνθρωπηίων πρηγμάτων πέρι; ἐν γὰρ τῷ μακρῷ
χρόνῳ πολλὰ μέν ἐστιν ἰδέειν τὰ μή τις ἐθέλει, πολλὰ
δὲ καὶ παθέειν. ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς
ζόης ἀνθρώπῳ προτίθημι. οὗτοι ἐόντες ἐνιαυτοὶ ἑβδομή-
κοντα, παρέχονται ἡμέρας διηκοσίας καὶ πεντακισχιλίας
καὶ δισμυρίας, ἐμβολίμου μηνὸς μὴ γενομένου. εἰ δὲ δὴ
ἐθελήσει τοὔτερον τῶν ἐτέων μηνὶ μακρότερον γίνεσθαι,
ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγινόμεναι ἐς τὸ δέον,
μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι γί-
νονται τριήκοντα πέντε· ἡμέραι δὲ ἐκ τῶν μηνῶν τούτων,
χίλιαι πεντήκοντα. τουτέων τῶν ἁπασέων ἡμερέων τῶν
ἐς τὰ ἑβδομήκοντα ἔτεα, ἐουσέων πεντήκοντα καὶ διηκοσίων
καὶ ἑξακισχιλιέων καὶ δισμυριέων, ἡ ἑτέρη αὐτέων τῇ
ἑτέρῃ ἡμέρῃ τοπαράπαν οὐδὲν ὅμοιον προσάγει πρῆγμα.
οὕτω ὦν, ὦ Κροῖσε, πᾶν ἐστι ἄνθρωπος συμφορή. ἐμοὶ
δέ συ καὶ πλουτέειν μὲν μέγα φαίνεαι, καὶ βασιλεὺς εἶ-
ναι πολλῶν ἀνθρώπων· ἐκεῖνο δὲ τὸ εἴρεό με, οὔκω σε
ἐγὼ λέγω, πρὶν ἂν τελευτήσαντα καλῶς τὸν αἰῶνα
"πύθω-

"πύθωμαι. οὐ γάρ τοι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ'
"ἡμέρην ἔχοντος, ὀλβιώτερός ἐστι· εἰ μή οἱ τύχη ἐπί-
"ποιτο, πάντα καλὰ ἔχοντα τελευτῆσαι εὖ τὸν βίον.
"πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων, ἀνόλβιοί εἰσι·
"πολλοὶ δὲ μετρίως ἔχοντες βίου, εὐτυχέες. ὁ μὲν δὴ
"μέγα πλούσιος, ἀνόλβιος δὲ, δυοῖσι προέχει τοῦ εὐτυ-
"χέος μοῦνοισι· οὗτος δὲ, τοῦ πλουσίου καὶ ἀνολβίου πολλοῖ-
"σι. ὁ μὲν, ἐπιθυμίην ἐκτελέσαι, καὶ ἄτην μεγάλην
"προσπεσοῦσαν ἐνεῖκαι δυνατώτερος· ὁ δὲ, τοῖσι δὴ προέ-
"χει ἐκείνου, ἄτην μὲν καὶ ἐπιθυμίην οὐκ ὁμοίως δυνα-
"τὸς ἐκείνῳ ἐνεῖκαι, ταῦτα δὲ ἡ εὐτυχίη οἱ ἀπερύκει.
"ἄπηρος δέ ἐστι, ἄνουσος, ἀπαθὴς κακῶν, εὔπαις, εὐει-
"δής. εἰ δὲ πρὸς τούτοισι ἔτι τελευτήσει τὸν βίον εὖ,
"οὗτος ἐκεῖνος, τὸν σὺ ζητεῖς, ὄλβιος κεκλῆσθαι ἄξιός ἐστι.
"πρὶν δ' ἂν τελευτήσῃ, ἐπισχέειν, μηδὲ καλέειν κω ὄλ-
"βιον, ἀλλ' εὐτυχέα. τὰ πάντα μέν νυν ταῦτα συλλα-
"βεῖν ἄνθρωπον ἐόντα, ἀδύνατον· ὥσπερ χώρη οὐδεμία
"καταρκέει πάντα ἑωυτῇ παρέχουσα, ἀλλὰ ἄλλο μὲν
"ἔχει, ἑτέρου δὲ ἐπιδέεται· ἣ δὲ ἂν τὰ πλεῖστα ἔχῃ,
"ἀρίστη αὕτη. ὡς δὲ καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν αὐ-
"ταρκές ἐστι· τὸ μὲν γὰρ ἔχει, ἄλλου δὲ ἐνδεές ἐστι. ὃς
"δ' ἂν αὐτέων πλεῖστα ἔχων διατελέῃ, καὶ ἔπειτα τελευ-
"τήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ' ἐμοὶ τὸ οὔνομα τοῦ-
"το, ὦ βασιλεῦ, δίκαιός ἐστι φέρεσθαι. σκοπέειν δὲ χρὴ
"παντὸς χρήματος τὴν τελευτὴν κῇ ἀποβήσεται. πολ-
"λοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς, προῤῥίζους ἀνέ-
cap. 33. "τρεψε." Ταῦτα λέγων τῷ Κροίσῳ οὔκως οὔτε ἐχαρίζετο,
οὔτε λόγου μιν ποιησάμενος οὐδενὸς, ἀποπέμπεται· κάρτα
δόξας ἀμαθὴς εἶναι, ὃς τὰ παρεόντα ἀγαθὰ μετεὶς, τὴν
cap. 34. τελευτὴν παντὸς χρήματος ὁρᾷν ἐκέλευε. Μετὰ δὲ Σό-
λωνα οἰχόμενον, ἔλαβε ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον,
ὡς εἰκάσαι, ὅτι ἐνόμισε ἑωυτὸν εἶναι ἀνθρώπων ἁπάντων
ὀλβιώτατον. αὐτίκα δέ οἱ εὕδοντι ἐπέστη ὄνειρος, ὅς οἱ
τὴν ἀληθηΐην ἔφαινε τῶν μελλόντων γενέσθαι κακῶν κατὰ
τὸν παῖδα. ἦσαν δὲ τῷ Κροίσῳ δύο παῖδες· τῶν οὗτερος
μὲν διέφθαρτο· ἦν γὰρ δὴ κωφός· ὁ δὲ ἕτερος, τῶν ἡ-
λίκων μακρῷ τὰ πάντα πρῶτος· οὔνομα δέ οἱ ἦν Ἄτυς.
τοῦτον δὴ ὦν τὸν Ἄτυν σημαίνει τῷ Κροίσῳ ὁ ὄνειρος, ὡς
ἀπ-

'ολέει μιν αἰχμῇ σιδηρέῃ βληθέντα. Ξεῖνος δέ τις, cap. 35.
ὺξ μὲν γενεῇ, γένεος δὲ τῦ βασιλη̃ίϋ, ὑπὸ Κροίσϋ κα-
ρθεὶς τὸν Φόνον, καλεόμενος δὲ Ἄδρηϛος, ἀκοντίζων
ν σῦν, τῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ ἀέκων τῦ Κροί-
παιδός· ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ ἐξέπλησε τῦ ὀνεί- cap. 43.
τὴν Φήμην· Κροῖσος δὲ ἐπὶ δύο ἔτεα ἐν πένθεϊ μεγά- cap. 46.
ι καθῆϛο, τῦ παιδὸς ἐϛερημένος. μετὰ δὲ ἡ Ἀϛυάγεος
Κυαξάρεω ἡγεμονίη καταιρεθεῖσα ὑπὸ Κύρϋ τῦ Καμ-
ίσεω, καὶ τὰ τῶν Περσέων πρήγματα αὐξανόμενα, πέν-
ϵος μὲν Κροῖσον ἀπέπαυσε· ἐνέβησε δὲ ἐς Φροντίδα, ἔι
ως δύναιτο, πρὶν μεγάλϋς γενέθαι τῢς Πέρσας, καταλα-
ϊν αὐτῶν αὐξανομένην τὴν δύναμιν. μετὰ ὦν τὴν διά-
ιαν ταύτην αὐτίκα ἀπεπειρᾶτο τῶν μαντηΐων τῶν τε ἐν
Ἕλλησι, καὶ τῦ ἐν Λιβύῃ· διαπέμψας ἄλλϋς ἄλλῃ, τῢς
ὲν ἐς ΔελΦῢς ἰέναι, τῢς δὲ ἐς Ἄβας τὰς Φωκέων, τῢς
ἐς Δωδώνην· οἱ δέ τινες ἐπέμποντο παρά τε ἈμΦιά-
ων καὶ παρὰ ΤροΦώνιον· οἱ δὲ, τῆς Μιλησίης ἐς Βραγ-
ίδας. ταῦτα μέν νυν τὰ Ἑλληνικὰ μαντήϊα, ἐς τὰ
πέπεμψε μαντευσόμενος Κροῖσος· Λιβύης δὲ παρὰ Ἄμ-
ωνα ἀπέϛειλε ἄλλϋς χρησομένϋς. διέπεμπε δὲ πειρεώ-
ενος τῶν μαντηΐων ὅ, τι Φρονέοιεν· ὡς ἐι Φρονέοντα τὴν
ληθηΐην εὑρεθείη, ἐπείρηται σΦεα δεύτερα πέμπων, ἐι
πιχειρέοι ἐπὶ Πέρσας ϛρατέυεσθαι. ὡς δὲ ἀπικόμενοι ἐς cap. 53.
ὰ ἀπεπέμΦθησαν οἱ Λυδοὶ, ἀνέθεσαν τὰ ἀναθήματα,
χρέωντο τοῖσι χρηϛηρίοισι, λέγοντες· "Κροῖσος ὁ Λυδῶν
τε καὶ ἄλλων ἐθνέων βασιλεὺς, νομίσας τάδε μαντήϊα
ἔιναι μῦνα ἐν ἀνθρώποισι, ὑμῖν τε ἄξια δῶρα ἔδωκε τῶν
ἐξευρημάτων, καὶ νῦν ὑμέας ἐπειρωτᾷ, ἐι ϛρατέυηται
ἐπὶ Πέρσας, καὶ ἔι τινα ϛρατὸν ἀνδρῶν προσθέοιτο
σύμμαχον;" Οἱ μὲν ταῦτα ἐπειρώτεον. τῶν δὲ μαν-
ηΐων ἀμΦοτέρων ἐς τὠϋτὸ αἱ γνῶμαι συνέδραμον, προ-
έγϋσαι Κροίσῳ, ἢν ϛρατεύηται ἐπὶ Πέρσας, μεγάλην ἀρ-
ὴν μιν καταλῦσαι. τῢς δὲ Ἑλλήνων δυνατωτάτϋς συνε-
έλευόν οἱ ἐξευρόντα Φίλϋς προσθέσθαι. Πάντα ὦν τὰ cap. 69.
ατὰ τῢς Ἕλληνας πυνθανόμενος ὁ Κροῖσος, ἔπεμπε ἐς
Σπάρτην ἀγγέλϋς δῶρά τε Φέροντας, καὶ δεησομένϋς συμ-
αχίης, ἐντειλάμενός τε τὰ λέγειν χρῆν. οἱ δὲ ἐλ-
θόντες ἔλεγον, "Ἔπεμψε ἡμέας Κροῖσος ὁ Λυδῶν τε καὶ
" ἄλλων

"ἄλλων ἐθνέων βασιλεύς, λέγων τάδε. Ὦ Λακεδαι-
"μόνιοι, χρήσαντος τοῦ θεοῦ τὸν Ἕλληνα φίλον προσθέσ-
"(ὑμέας γὰρ πυνθάνομαι προεστάναι τῆς Ἑλλάδος,) ὑμέ-
"ὦν κατὰ τὸ χρηστήριον προσκαλέομαι, φίλος τε θέλ-
"γενέσθαι καὶ σύμμαχος ἄνευ τε δόλου καὶ ἀπάτης.
Κροῖσος μὲν δὴ ταῦτα δι' ἀγγέλων ἐπεκηρυκεύετο. Λα-
κεδαιμόνιοι δέ, ἀκηκοότες καὶ αὐτοὶ τὸ θεοπρόπιον τὸ
Κροίσῳ γενόμενον, ἥσθησάν τε τῇ ἀφίξει τῶν Λυδῶν
καὶ ἐποιήσαντο ὅρκια ξεινίης πέρι καὶ ξυμμαχίης· καὶ γὰρ
τινες αὐτοὺς εὐεργεσίαι εἶχον ἐκ Κροίσου πρότερον ἔτι γεγο-
νυῖαι. πέμψαντες γὰρ οἱ Λακεδαιμόνιοι ἐς Σάρδις, χρυ-
σὸν ὠνέοντο, ἐς ἄγαλμα βουλόμενοι χρήσασθαι τούτῳ, τὸ
νῦν τῆς Λακωνικῆς ἐν Θόρνακι ἵδρυται Ἀπόλλωνος· Κροῖ-
cap. 70. σος δέ σφι ὠνεομένοισι ἔδωκε δωτίνην. Τούτων τε ὦν εἵ-
νεκεν οἱ Λακεδαιμόνιοι τὴν συμμαχίην ἐδέξαντο, καὶ ὅτι
ἐκ πάντων σφέας προκρίνας Ἑλλήνων, αἱρέετο φίλους.
καὶ τοῦτο μέν, αὐτοὶ ἔσαν ἕτοιμοι ἐπαγγείλαντι.

Herodot. Lib. I. cap. 73. 74.

Ἐστρατεύετο δὲ ὁ Κροῖσος ἐπὶ τὴν Καππαδοκίην τῶν-
δε εἵνεκα, καὶ γῆς ἱμέρῳ προσκτήσασθαι πρὸς τὴν ἑωυ-
τοῦ μοίρην βουλόμενος, καὶ μάλιστα τῷ χρηστηρίῳ πίσυνος
ἐών, καὶ τίσασθαι θέλων ὑπὲρ Ἀστυάγεος Κῦρον. Ἀστυά-
γεα γὰρ τὸν Κυαξάρεω, ἐόντα Κροίσου μὲν γαμβρόν, Μή-
δων δὲ βασιλῆα, Κῦρος ὁ Καμβύσεω καταστρεψάμενος
εἶχε, γενόμενον γαμβρὸν Κροίσῳ ὧδε. Σκυθέων τῶν
νομάδων εἴλη ἀνδρῶν στασιάσασα ὑπεξῆλθε ἐς γῆν τὴν
Μηδικήν· ἐτυράννευε δὲ τὸν χρόνον τοῦτον Μήδων Κυα-
ξάρης ὁ Φραόρτεω τοῦ Δηϊόκεω, ὃς τοὺς Σκύθας τούτους τὸ
μὲν πρῶτον περιεῖπε εὖ, ὡς ἐόντας ἱκέτας· ὥς τε δὲ
περὶ πολλοῦ ποιεόμενος αὐτούς, παῖδάς σφι παρέδωκε τὴν
γλῶσσάν τε ἐκμαθέειν, καὶ τὴν τέχνην τῶν τόξων. χρό-
νου δὲ γενομένου, καὶ αἰεὶ φοιτεόντων τῶν Σκυθέων ἐπ'
ἄγρην, καὶ αἰεί τι φερόντων, καί κοτε συνήνεικε ἑλεῖν
σφεας μηδέν· νοστήσαντας δὲ αὐτοὺς κεινῇσι χερσί, ὁ Κυα-
ξάρης (ἦν γάρ, ὡς διέδεξε, ὀργὴν οὐκ ἄκρος) τρηχέως
κάρτα περιέσπε ἀεικείῃ. οἱ δέ, ταῦτα πρὸς Κυαξάρεω
παθόντες, ὥς τε ἀνάξια σφέων αὐτῶν πεπονθότες, ἐβου-
λεύσαντο τῶν παρὰ σφίσι διδασκομένων παίδων ἕνα κα-
τακόψαι· σκευάσαντες δὲ αὐτόν, ὥσπερ ἐώθεσαν καὶ τὰ
θηρ-

ρία σκευάζειν, Κυαξάρεϊ δοῦναι φέροντες, ὡς ἄγρην δῆ-
ν· δόντες δὲ, τὴν ταχίστην κομίζεσθαι παρὰ Ἀλυάττεα
ν Σαδυάττεω ἐς Σάρδις. ταῦτα καὶ δὴ ἐγένετο. καὶ
ρ Κυαξάρης καὶ οἱ παρεόντες δαιτύμονες τῶν κρεῶν
τέων ἐπάσαντο· καὶ οἱ Σκύθαι ταῦτα ποιήσαντες, Ἀ-
άττεω ἱκέται ἐγένοντο. Μετὰ δὲ ταῦτα (οὐ γὰρ δὴ
Ἀλυάττης ἐξεδίδου τοὺς Σκύθας ἐξαιτέοντι Κυαξάρεϊ)
λεμος τοῖσι Λυδοῖσι καὶ τοῖσι Μήδοισι ἐγογόνεε ἐπ'
εα πέντε· ἐν τοῖσι πολλάκις μὲν οἱ Μῆδοι τοὺς Λυδοὺς
ίκησαν, πολλάκις δὲ οἱ Λυδοὶ τοὺς Μήδους· ἐν δὲ, καὶ
κτομαχίην τινὰ ἐποιήσαντο. διαφέρουσι δέ σφι ἐπὶ ἴσης
ν πόλεμον, τῷ ἕκτῳ ἔτεϊ συμβολῆς γενομένης, συνή-
ικε ὥς τε τῆς μάχης συνεστεώσης, τὴν ἡμέρην ἐξαπίνης
κτα γενέσθαι· τὴν δὲ μεταλλαγὴν ταύτην τῆς ἡμέρης
ιλῆς ὁ Μιλήσιος τοῖσι Ἴωσι προηγόρευσε ἔσεσθαι, οὖρον
οθέμενος ἐνιαυτὸν τοῦτον, ἐν ᾧ δὴ καὶ ἐγένετο ἡ με-
βολή. οἱ δὲ Λυδοί τε καὶ οἱ Μῆδοι ἐπεί τε εἶδον
κτα ἀντὶ ἡμέρης γινομένην, τῆς μάχης τε ἐπαύσαντο,
ῳ μᾶλλόν τι ἔσπευσαν καὶ ἀμφότεροι εἰρήνην ἑωϋτοῖσι
νέσθαι· οἱ δὲ συμβιβάσαντες αὐτοὺς, ἔσαν οἵδε, Συέν-
τίς τε ὁ Κίλιξ, καὶ Λαβύνητος ὁ Βαβυλώνιος· οὗτοί
οι καὶ τὸ ὅρκιον οἱ σπεύσαντες γενέσθαι ἔσαν, καὶ γά-
ον ἐπαλλαγὴν ἐποίησαν· Ἀλυάττεα γὰρ ἔγνωσαν δοῦναι
ν θυγατέρα Ἀρύηνιν Ἀστυάγεϊ τῷ Κυαξάρεω παιδί.
ευ γὰρ ἀναγκαίης ἰσχυρῆς συμβάσιες ἰσχυραὶ οὐκ ἐθέ-
ουσι συμμένειν. ὅρκια δὲ ποιέεται ταῦτα τὰ ἔθνεα τά
ρ τε Ἕλληνες, καὶ πρὸς τούτοισι, ἐπεὰν τοὺς βραχίονας
ιτάμωνται ἐς τὴν ὁμοχροΐην, τὸ αἷμα ἀναλείχουσι ἀλ-
λων. Κροῖσος δὲ, ἐπεί τε διαβὰς τὸν Ἅλυν ποταμὸν cap. 76.
ν τῷ στρατῷ ἀπίκετο τῆς Καππαδοκίης ἐς τὴν Πτερίην
ιλεομένην· (ἡ δὲ Πτερίη ἐστὶ τῆς χώρης ταύτης τὸ ἰσχυ-
τατον, κατὰ Σινώπην πόλιν τὴν ἐν Εὐξείνῳ πόντῳ μά-
στά κη κειμένη·) ἐνθαῦτα ἐστρατοπεδεύετο, φθείρων τῶν
υρίων τοὺς κλήρους. καὶ εἷλε μὲν τῶν Πτερίων τὴν πό-
ν, καὶ ἠνδραποδίσατο, εἷλε δὲ τὰς περιοικίδας αὐτῆς
χσας, Συρίους τε οὐδὲν ἐόντας αἰτίους, ἀναστάτους ἐποίησε.
ῦρος δὲ ἀγείρας τὸν ἑωυτοῦ στρατὸν, καὶ παραλαβὼν τοὺς
εταξὺ οἰκέοντας πάντας, ἠντιοῦτο Κροίσῳ· πρὶν δὲ ἐξε-

λαύνειν

λαύνειν ὁρμῆσαι τὸν στρατὸν, πέμψας κήρυκας ἐς τοὺς Ἴωνας, ἐπειρᾶτό σφεας ἀπὸ Κροίσου ἀπιστάναι. Ἴωνες μέν νυν οὐκ ἐπείθοντο. Κῦρος δὲ ὡς ἀπίκετο, καὶ ἀντεστρατοπεδεύσατο Κροίσῳ, ἐνθαῦτα ἐν τῇ Πτερίῃ χώρῃ ἐπειρῶντο κατὰ τὸ ἰσχυρὸν ἀλλήλων. μάχης δὲ καρτερῆς γενομένης, καὶ πεσόντων ἀμφοτέρων πολλῶν, τέλος οὐδέτεροι νικήσαντες διέστησαν, νυκτὸς ἐπελθούσης. καὶ τὰ μὲν

cap. 77. στρατόπεδα ἀμφότερα οὕτως ἠγωνίσατο. Κροῖσος δὲ, μεμφθεὶς κατὰ τὸ πλῆθος τὸ ἑωϋτοῦ στράτευμα· ἦν γάρ οἱ ὁ συμβαλὼν στρατὸς πολλὸν ἐλάσσων ἢ ὁ Κύρου· τοῦτο μεμφθεὶς, ὡς τῇ ὑστεραίῃ οὐκ ἐπειρᾶτο ἐπιὼν ὁ Κῦρος, ἀπήλαυνε ἐς τὰς Σάρδις, ἐν νόῳ ἔχων, παρακαλέσας μὲν Αἰγυπτίους κατὰ τὸ ὅρκιον (ἐποιήσατο γὰρ καὶ πρὸς Ἄμασιν βασιλεύοντα Αἰγύπτου συμμαχίην πρότερον ἤπερ πρὸς Λακεδαιμονίους,) μεταπεμψάμενος δὲ καὶ Βαβυλωνίους, (καὶ γὰρ πρὸς τούτους αὐτῷ ἐπεποίητο συμμαχίη· ἐτυράννευε δὲ τῶν Βαβυλωνίων τὸν χρόνον τοῦτον Λαβύνητος) ἐπαγγείλας δὲ καὶ Λακεδαιμονίους παρεῖναι ἐς χρόνον ῥητόν· ἁλίσας τε δὴ τούτους, καὶ τὴν ἑωϋτοῦ συλλέξας στρατιὴν, ἐνένωτο, τὸν χειμῶνα παρεὶς, ἅμα τῷ ἦρι στρατεύειν ἐπὶ τοὺς Πέρσας. καὶ ὁ μὲν, ταῦτα φρονέων, ὡς ἀπίκετο ἐς τὰς Σάρδις, ἔπεμπε κήρυκας κατὰ τὰς συμμαχίας, προερέοντας ἐς πέμπτον μῆνα συλλέγεσθαι ἐς Σάρδις. τὸν δὲ παρεόντα καὶ μαχεσάμενον στρατὸν Πέρσῃσι, ὃς ἦν αὐτοῦ ξεινικὸς, πάντα ἀφεὶς, διεσκέδασε· οὐδαμὰ ἐλπίσας μή κοτε ἄρα ἀγωνισάμενος οὕτω παραπλησίως Κῦρος ἐλάσῃ ἐπὶ Σάρδις.

cap. 78. Ταῦτα ἐπιλεγομένῳ Κροίσῳ τὸ προάστειον πᾶν ὀφίων ἀνεπλήσθη. φανέντων δὲ αὐτέων, οἱ ἵπποι μετιέντες τὰς νομὰς νέμεσθαι, φοιτέοντες κατήσθιον. ἰδόντι δὲ τοῦτο Κροίσῳ, ὥσπερ καὶ ἦν, ἔδοξε τέρας εἶναι. αὐτίκα δὲ ἔπεμπε θεοπρόπους ἐς τοὺς ἐξηγητέας Τελμησσέων. ἀπικομένοισι δὲ τοῖσι θεοπρόποισι, καὶ μαθοῦσι πρὸς Τελμησσέων τὸ θέλει σημαίνειν τὸ τέρας, οὐκ ἐξεγένετο Κροίσῳ ἀπαγγεῖλαι. πρὶν γὰρ ἢ ὀπίσω σφέας ἀναπλῶσαι ἐς τὰς Σάρδις, ἥλω ὁ Κροῖσος. Τελμησσέες μέντοι τάδε ἔγνωσαν, στρατὸν ἀλλόθροον προσδόκιμον εἶναι Κροίσῳ ἐπὶ τὴν χώρην· ἀπικόμενον δὲ τοῦτον, καταστρέψεσθαι τοὺς ἐπιχωρίους· λέγοντες ὄφιν εἶναι γῆς παῖδα, ἵππον δὲ,

πολέμιόν τε καὶ ἐπήλυδα. Τελμησσέες μέν νυν ταῦ-
ὑπεκρίναντο Κροίσῳ ἤδη ἡλωκότι, ἐδέν κω εἰδότες τῶν
περὶ Σάρδις τε καὶ αὐτὸν Κροῖσον. Κῦρος δὲ, αὐτί- cap. 79.
ἀπελαύνοντος Κροίσε μετὰ τὴν μάχην τὴν γενομένην
τῇ Πτερίῃ, μαθὼν ὡς ἀπελάσας μέλλοι Κροῖσος διασ-
ᾷν τὸν ϛρατὸν, βελευόμενος εὕρισκε πρῆγμά οἱ εἶναι
:ύνειν ὡς δύναιτο τάχιϛα ἐπὶ τὰς Σάρδις, πρὶν ἢ το-
τερον ἁλισθῆναι τῶν Λυδῶν τὴν δύναμιν. ὡς δέ οἱ
ῖτα ἔδοξε, καὶ ἐποίεε κατὰ τάχος· ἐλάσας γὰρ τὸν
:τὸν ἐς τὴν Λυδίην, αὐτὸς ἄγγελος Κροίσῳ ἐληλύθεε.
Ἰαῦτα Κροῖσος ἐς ἀπορίην πολλὴν ἀπιγμένος, ὥς οἱ πα-
δόξαν ἔσχε τὰ πρήγματα ἢ ὡς αὐτὸς κατεδόκεε, ὅμως
: Λυδὲς ἐξῆγε ἐς μάχην. ἦν δὲ τῦτον τὸν χρόνον ἔθ-
ἐδὲν ἐν τῇ Ἀσίῃ ἔτε ἀνδρειότερον, ἔτε ἀλκιμώτερον
Λυδίε. ἡ δὲ μάχη σφέων ἦν ἀπ' ἵππων. δόρατά τε
όρεον μεγάλα, καὶ αὐτοὶ ἔσαν ἱππέυεσθαι ἀγαθοί. Ἐς cap. 80.
πεδίον δὲ συνελθόντων τῦτο τὸ πρὸ τῦ ἄϛεός ἐϛι τῦ
:ρδιηνῦ, ἐὸν μέγα τε καὶ ψιλὸν, (διὰ δὲ αὐτῦ ποτα-
ῥέοντες καὶ ἄλλοι, καὶ Ὕλλος συῤῥήγνυσι ἐς τὸν μέ-
ον, καλεόμενον δὲ Ἕρμον, ὃς ἐξ ὄρεος ἱρῦ μητρὸς Διν-
ιήνης ῥέων, ἐκδιδοῖ ἐς θάλασσαν κατὰ Φωκαίην πόλιν,)
ἰαῦτα ὁ Κῦρος ὡς εἶδε τὺς Λυδὺς ἐς μάχην τασσομέ-
:, καταῤῥωδήσας τὴν ἵππον, ἐποίησε, Ἁρπάγε ὑποθέ-
νε ἀνδρὸς Μήδε, τοιόνδε· ὅσαι τῷ ϛρατῷ τῷ ἑωϋτῦ εἵ-
ντο σιτοφόροι τε καὶ σκευοφόροι κάμηλοι, ταύτας πάσας
ίσας, καὶ ἀπελὼν τὰ ἄχθεα, ἄνδρας ἐπ' αὐτὰς ἀνέβη-
ἱππάδα ϛολὴν ἐνεϛαλμένυς. σκευάσας δὲ αὐτὺς, προσ-
ιξε τῆς ἄλλης ϛρατιῆς προϊέναι πρὸς τὴν Κροίσε ἵππον·
δὲ καμήλῳ ἕπεσθαι τὸν πεζὸν ϛρατὸν ἐκέλευε. ὄπισθε
τῦ πεζῦ ἐπέταξε τὴν πᾶσαν ἵππον. ὡς δέ οἱ πάντες
τετάχατο, παραίνεσε τῶν μὲν ἄλλων Λυδῶν μὴ φειδο-
νυς, κτείνειν πάντα τὸν ἐμποδὼν γενόμενον, Κροῖσον
αὐτὸν μὴ κτείνειν, μηδ' ἢν συλλαμβανόμενος ἀμύνηται.
ῦτα μὲν παραίνεσε. τὰς δὲ καμήλυς ἔταξε ἀντία τῆς
πυ, τῶνδε εἵνεκεν· κάμηλον ἵππος φοβέεται, καὶ ἐκ
ἔχεται ἔτε τὴν ἰδέην αὐτῆς ὁρέων, ἔτε τὴν ὀδμὴν
φραινόμενος. αὐτῦ δὴ ὦν τύτυ εἵνεκε ἐσεσόφιϛο, ἵνα
ἱ Κροίσῳ ἄχρηϛον ᾖ τὸ ἱππικὸν, τῷ δή τι καὶ ἐπεῖχε
ἐλλάμ-

ἐλλάμψεσθαι ὁ Λυδός. ὡς δὲ καὶ συνήεσαν ἐς τὴν μάχην, ἐνθαῦτα ὡς ὤσφραντο τάχιστα τῶν καμήλων οἱ ἵπποι, καὶ εἶδον αὐτὰς, ὀπίσω ἀνέστρεφον, διέφθαρτό τε τῷ Κροίσῳ ἡ ἐλπίς. οὐ μέντοι οἵ γε Λυδοὶ τὸ ἐνθεῦτεν δειλοὶ ἦσαν· ἀλλ' ὡς ἔμαθον τὸ γινόμενον, ἀποθορόντες ἀπὸ τῶν ἵππων, πεζοὶ τοῖσι Πέρσῃσι συνέβαλλον. χρόνῳ δὲ, πεσόντων ἀμφοτέρων πολλῶν, ἐτράποντο οἱ Λυδοί. κατειληθέντες δὲ ἐς τὸ τεῖχος, ἐπολιορκέοντο ὑπὸ τῶν Περσέων.
cap. 81. Τοῖσι μὲν δὴ κατεστήκεε πολιορκίη. Κροῖσος δὲ δοκέων οἱ χρόνον ἐπὶ μακρὸν ἔσεσθαι τὴν πολιορκίην, ἔπεμπε ἐκ τοῦ τείχεος ἄλλους ἀγγέλους ἐς τὰς συμμαχίας. οἱ μὲν γὰρ πρότερον διεπέμποντο ἐς πέμπτον μῆνα προερέοντες συλλέγεσθαι ἐς Σάρδις· τούτους δὲ ἐξέπεμπε τὴν ταχίστην δέεσθαι βοηθέειν, ὡς πολιορκεομένου Κροίσου.
cap. 82. Ἔς τε δὴ ὦν τὰς ἄλλας ἔπεμπε συμμαχίας, καὶ δὴ καὶ ἐς Λακεδαίμονα.
cap. 83. Καὶ τοῖς Σπαρτιήτῃσι ἤδη παρεσκευασμένοισι καὶ νεῶν ἐουσέων ἑτοίμων, ἦλθε ἄλλη ἀγγελίη, ὡς ἡλώκοι τὸ τεῖχος τῶν Λυδῶν, καὶ ἔχοιτο Κροῖσος ζωγρηθείς.
cap. 85. Ἁλισκομένου δὲ τοῦ τείχεος ἤϊε γὰρ τῶν τις Περσέων ἀλλογνώσας Κροῖσον ὡς ἀποκτενέων. Κροῖσος μέν νυν ὁρέων ἐπιόντα, ὑπὸ τῆς παρεούσης συμφορῆς παρημελήκεε, οὐδέ τί οἱ διέφερε πληγέντι ἀποθανέειν. ὁ δὲ παῖς οὗτος ὁ ἄφωνος, ὡς εἶδε ἐπιόντα τὸν Πέρσην, ὑπὸ δέους τε καὶ κακοῦ ἔῤῥηξε φωνήν· εἶπε δὲ, "Ἄνθρωπε, μὴ κτεῖνε Κροῖσον." οὗτος μὲν δὴ τοῦτο πρῶτον ἐφθέγξατο· μετὰ δὲ τοῦτο ἤδη
cap. 86. ἐφώνεε τὸν πάντα χρόνον τῆς ζόης. Οἱ δὲ Πέρσαι τάς τε δὴ Σάρδις ἔσχον, καὶ αὐτὸν Κροῖσον ἐζώγρησαν, ἄρξαντα ἔτεα τεσσερεσκαίδεκα, καὶ τεσσερεσκαίδεκα ἡμέρας πολιορκηθέντα, κατὰ τὸ χρηστήριόν τε καταπαύσαντα τὴν ἑωυτοῦ μεγάλην ἀρχήν. λαβόντες δὲ αὐτὸν οἱ Πέρσαι ἤγαγον παρὰ Κῦρον. ὁ δὲ, συννήσας πυρὴν μεγάλην, ἀνεβίβασεν ἐπ' αὐτὴν τὸν Κροῖσόν τε ἐν πέδῃσι δεδεμένον, καὶ δὶς ἑπτὰ Λυδῶν παρ' αὐτὸν παῖδας, ἐν νόῳ ἔχων εἴτε δὴ ἀκροθίνια ταῦτα καταγιεῖν θεῶν ὀτεῳδὴ, εἴτε καὶ εὐχὴν ἐπιτελέσαι θέλων, εἴτε καὶ πυθόμενος τὸν Κροῖσον εἶναι θεοσεβέα, τοῦδε εἵνεκεν ἀνεβίβασε ἐπὶ τὴν πυρὴν, βουλόμενος εἰδέναι εἴ τίς μιν δαιμόνων ῥύσεται τοῦ μὴ ζῶντα κατακαυθῆναι· τὸν μὲν δὴ ποιέειν ταῦτα· τῷ δὲ Κροί-

σῳ

ἑςεῶτι ἐπὶ τῆς πυρῆς, ἐσελθεῖν, καίπερ ἐν κακῷ ἐόν-
τοσῦτῳ, τὸ τῦ Σόλωνος, ὥς οἱ εἴη σὺν θεῷ εἰρημέ-
, τὸ Μηδένα εἶναι τῶν ζώντων ὄλβιον. ὡς δὲ ἄρα μιν
ττῆναι τῦτο, ἀνενεικάμενόν τε καὶ ἀνασενάξαντα ἐκ
λῆς ἡσυχίης, ἐς τρὶς ὀνομάσαι, ΣΟΛΩΝ. καὶ τὸν
ον ἀκύσαντα, κελεῦσαι τὺς ἑρμηνέας ἐπείρεσθαι τὸν
ῖσον, τίνα τῦτον ἐπικαλέοιτο. καὶ τὺς, προσελθόν-
, ἐπειρωτᾷν. Κροῖσον δὲ τέως μὲν σιγὴν ἔχειν ἐρω-
μενον· μετὰ δὲ, ὡς ἠναγκάζετο, εἰπεῖν, "Τὸν ἂν ἐγὼ
ῖσι τυράννοισι προετίμησα μεγάλων χρημάτων ἐς λό-
ς ἐλθεῖν." Ὡς δέ σφι ἄσημα ἔφραζε, πάλιν ἐπει-
τον τὰ λεγόμενα. λιπαρεόντων δὲ αὐτῶν, καὶ ὄχλον
εχόντων, ἔλεγε δὴ, ὡς ἦλθε ἀρχὴν ὁ Σόλων ἐὼν Ἀ-
κῖος, καὶ θεησάμενος πάντα τὸν ἑωϋτῦ ὄλβον, ἀπο-
υρίσειε· οἷα δὴ εἴπας, τὰ αὐτῷ πάντα ἀποβεβήκεέ οἱ,
ερ ἐκεῖνος εἶπε· ὐδέν τι μᾶλλον ἐς ἑωϋτὸν λέγων, ἢ
ίπαν τὸ ἀνθρώπινον, καὶ μάλισα τὺς παρὰ σφίσι αὐ-
ι δοκέοντας ὀλβίυς εἶναι. τὸν μὲν Κροῖσον ταῦτα
γέεσθαι· τῆς δὲ πυρῆς ἤδη ἁμμένης, καίεσθαι τὰ περιέ-
τα. καὶ τὸν Κῦρον ἀκύσαντα τῶν ἑρμηνέων τὰ εἶπε
ῖσος, μεταγνόντά τε καὶ ἐννώσαντα ὅτι καὶ αὐτὸς ἄν-
πος ἐὼν, ἄλλον ἄνθρωπον, γενόμενον ἑωϋτῦ εὐδαιμο-
ὐκ ἐλάσσω, ζῶντα πυρὶ διδοίη· πρός τε τύτοισι, δεί-
α τὴν τίσιν, καὶ ἐπιλεξάμενον ὡς ὐδὲν εἴη τῶν ἐν
ρώποισι ἀσφαλέως ἔχον, κελέυει σβεννύναι τὴν ταχί-
τὸ καιόμενον πῦρ, καὶ καταβιβάζειν Κροῖσόν τε καὶ
μετὰ Κροίσυ. Μετὰ ταῦτα ἐπιτρέψας τὰς μὲν Σάρ- cap. 153.
Ταβάλῳ ἀνδρὶ Πέρσῃ, τὸν δὲ χρυσὸν τόν τε Κροίσυ
τὸν τῶν ἄλλων Λυδῶν Πακτύῃ ἀνδρὶ Λυδῷ κομίζειν,
λαυνε αὐτὸς ἐς Ἐγβάτανα, Κροῖσόν τε ἅμα ἀγόμε-
Ὡς δὲ ἀπήλασε ὁ Κῦρος ἐκ τῶν Σαρδίων, τὺς cap. 154.
ὺς ἀπέσησε ὁ Πακτύης ἀπό τε Ταβάλυ καὶ Κύρυ·
ιβὰς δὲ ἐπὶ θάλασσαν, ἅτε τὸν χρυσὸν ἔχων πάντα
ἐκ τῶν Σαρδίων, ἐπικύρυς τε ἐμισθῦτο, καὶ τὺς ἐπι-
ασσίυς ἀνθρώπυς ἔπειθε σὺν ἑωϋτῷ ςρατέυεσθαι. ἐλά-
δὲ ἐπὶ τὰς Σάρδις, ἐπολιόρκεε Τάβαλον, ἀπεργμένον
ῃ ἀκροπόλει. Πυθόμενος δὲ κατ' ὁδὸν ταῦτα ὁ Κῦρος, cap. 155.
πρὸς Κροῖσον τάδε· "Κροῖσε, τί ἔσαι τὸ τέλος τῶν γι-
νομέ-

“νομένων τούτων ἐμοί; οὐ παύσονται Λυδοί, ὡς οἰκάσι
“πρήγματα παρέχοντες, καὶ αὐτοὶ ἔχοντες. Φροντίζω, μ
“ἄριστον ᾖ ἐξανδραποδίσασθαί σφεας. ὁμοίως γάρ μοι νῦν γ
“φαίνομαι πεποιηκέναι, ὡς εἴ τις πατέρα ἀποκτείνας, τῶ
“παίδων αὐτοῦ φείσαιτο. ὡς δὲ καὶ ἐγὼ Λυδῶν τὸν μὲ
“πλέον τι ἢ πατέρα ἐόντα σὲ λαβὼν ἄγω, αὐτοῖσι δ
“Λυδοῖσι τὴν πόλιν παρέδωκα· καὶ ἔπειτα θωυμάζω ε
“μοι ἀπεστᾶσι;” Ὁ μὲν δὴ τάπερ νόεε, ἔλεγε· ὁ δ᾽ ἀμεί
βετο τοῖσδε, δείσας μὴ ἀναστάτους ποιήσῃ τὰς Σάρδις, “Ὦ
“βασιλεῦ, τὰ μὲν οἰκότα εἴρηκας· σὺ μέντοι μὴ πάντ
“θυμῷ χρέω, μηδὲ πόλιν ἀρχαίην ἐξαναστήσῃς, ἀναμάρ
“τητον ἐοῦσαν καὶ τῶν πρότερον, καὶ τῶν νῦν ἑστεώτω
“τὰ μὲν γὰρ πρότερον ἐγώ τε ἔπρηξα, καὶ ἐγὼ ἐμῇ κε
“φαλῇ ἀναμάξας φέρω· τὰ δὲ νῦν παρεόντα, Πακτύη
“γάρ ἐστι ὁ ἀδικέων τῷ σὺ ἐπέτρεψας Σάρδις, οὗτος δότ
“τοι δίκην· Λυδοῖσι δὲ συγγνώμην ἔχων, τάδε αὐτοῖσι ἐπί
“ταξον, ὡς μήτε ἀποστέωσι, μήτε δεινοί τοι ἔωσι. ἄπει
“πε μέν σφι πέμψας, ὅπλα ἀρήϊα μὴ ἐκτῆσθαι· κέλευ
“δέ σφεας κιθῶνάς τε ὑποδύνειν τοῖσι εἵμασι, καὶ κοθό
“νους ὑποδέεσθαι· πρόειπε δ᾽ αὐτοῖσι κιθαρίζειν τε κα
“ψάλλειν καὶ καπηλεύειν παιδεύειν τοὺς παῖδας. καὶ τα
“χέως σφέας, ὦ βασιλεῦ, γυναῖκας ἀντ᾽ ἀνδρῶν ὄψεα
“γεγονότας, ὥστε οὐδὲν δεινοί τοι ἔσονται μὴ ἀποστέω
cap. 156. Κροῖσος μὲν δὴ ταῦτά τέ οἱ ὑπετίθετο, αἱρετώτερα ταῦ
εὑρίσκων Λυδοῖσι, ἢ ἀνδραποδισθέντας πρηθῆναι σφέα
ἐπιστάμενος ὅτι ἢν μὴ ἀξιόχρεων πρόφασιν προτείνῃ, ο
ἀναπείσει μιν μεταβουλεύσασθαι· ἀρρωδέων δὲ μὴ καὶ ὕστε
κοτε οἱ Λυδοί, ἢν τὸ παρεὸν ὑπεκδράμωσι, ἀποστάντες ἀ
τῶν Περσέων ἀπόλωνται. Κῦρος δὲ ἡσθεὶς τῇ ὑποθή
καὶ ὑπεὶς τῆς ὀργῆς, ἔφη οἱ πείθεσθαι. καλέσας δὲ Μα
ζάρεα ἄνδρα Μῆδον, ταῦτά οἱ ἐνετείλατο προειπεῖν Λυ
δοῖσι, τὰ ὁ Κροῖσος ὑπετίθετο· καὶ πρὸς, ἐξανδραποδίσα
σθαι τοὺς ἄλλους πάντας, οἳ μετὰ Λυδῶν ἐπὶ Σάρδις ἐστρα
τεύσαντο, αὐτὸν δὲ Πακτύην πάντως ζῶντα ἀγαγεῖν πα
cap. 157. ἑωυτόν. Ὁ μὲν δὴ ταῦτα ἐκ τῆς ὁδοῦ ἐντειλάμενος, ἀπ
λαυνε ἐς ἤθεα τὰ Περσέων. Πακτύης δὲ πυθόμενος ἀγ
χοῦ εἶναι στρατὸν ἐπ᾽ ἑωυτὸν ἰόντα, δείσας ᾤχετο φεύ
ἐς Κύμην. Μαζάρης δὲ ὁ Μῆδος ἐλάσας ἐπὶ τὰς Σάρ

ζύρυ στρατοῦ μοίραν ὁσηνδήκοτε ἔχων, ὡς οὐκ εὗρε ἔτι
ας τοὺς ἀμφὶ Πακτύην ἐν Σάρδισι, πρῶτα μὲν τοὺς
ὺς ἠνάγκασε τὰς Κύρου ἐντολὰς ἐπιτελέειν· ἐκ τούτου
ελευσμοσύνης Λυδοὶ τὴν πᾶσαν δίαιταν τῆς ζόης
βαλον. ὁ δὲ Πακτύης ἐξεδόθη ὑπὸ Χίων, πρὸς οὓς
εχώρηκε. Ἀποθανόντος δὲ τοῦ Μαζάρου, Ἅρπαγος cap. 161. 162.
βη διάδοχος τῆς στρατηγίης, γένος καὶ αὐτὸς ἐὼν
ος.

Ὁ δὲ Κῦρος ἤπιος ἦν καὶ ἀγαθὰ τοῖσι ἔθνεσι πάν- *Herodot.* Lib. III. cap. 89. 90.
ἐμηχανήσατο. καὶ ἐπὶ Κύρου ἄρχοντος, καὶ αὖτις
βύσεω ἦν κατεστηκὸς οὐδὲν Φόρου περὶ ἀλλὰ δῶρα ἀγί-
ὁ δὲ Δαρεῖος ἐτάξατο Φόρους οἱ προσιέναι κατὰ
α, ὡς πρότερον ἤδη εἴρηται.

Οἱ δὲ Πέρσαι τῶν τῆς ἐντὸς Ἅλυος ποταμοῦ Ἀσίας *Herodian.* VI. 2.
ον ἦρξαν μέχρι Δαρείου τοῦ ὑπ' Ἀλεξάνδρου τοῦ Μακε-
ς τῆς ἀρχῆς παραλυθέντος, καὶ τῶν μὲν Λυδῶν,
ῶν, Κάρων, Φρύγων καὶ Καππαδόκων αὐτοκρατορι-
, τῶν Λυκίων, Κιλίκων, Βιθυνῶν, Παφλαγόνων,
τῶν τοῦ Πόντου ἠπιωτέρως.

Ὁ δὲ Ἀλέξανδρος μετὰ τὴν ἐπὶ τῷ Γρανίκῳ πέραν *Arrianus.* de expedit. Alexand. M. Lib. I. c. 17.
μένην μάχην εἰς τὴν αὐτῶν ἀρχὴν παρῆλθε. καὶ
τον μὲν καταστήσας Κάλαν σατραπεύειν Φρυγίαν, καὶ
Φόρους τοὺς αὐτοὺς ἀποφέρειν τάξας, οὕσπερ Δαρείῳ
ρον οἱ Φρύγες, ὅσοι μὲν τῶν βαρβάρων κατιόντες ἐκ
ὀρῶν ἐνεχείριζον σφᾶς, τούτους μὲν ἀπαλλάττεσθαι ἐπὶ
αὐτῶν ἑκάστους ἐκέλευε. Ζελείτας δὲ ἀφῆκε τῆς αἰ-
, ὅτι πρὸς βίαν ἔγνω συστρατεῦσαι τοῖς βαρβάροις.
κύλιον δὲ παραληψόμενον Παρμενίωνα ἐκπέμπει· καὶ
λαμβάνει Δασκύλιον, Παρμενίων ἐκλιπόντων τῶν Φρου-
. Αὐτὸς δὲ ἐπὶ Σάρδεων προὐχώρει, καὶ ἀπέχοντος
οὐ ὅσον ἑβδομήκοντα σταδίους Σάρδεων, ἧκον παρ' αὐ-
Μιθρίνης τε ὁ Φρούραρχος τῆς ἀκροπόλεως τῆς ἐν
δεσι, καὶ Σαρδιανῶν οἱ δυνατώτατοι· ἐνδιδόντες οἱ μὲν
πόλιν, ὁ δὲ Μιθρίνης τὴν ἄκραν καὶ τὰ χρήματα.
έξανδρος δὲ κατέλιπε τῆς μὲν ἄκρας τῆς Σάρδεων ἐπι-
ητὴν Παυσανίαν τῶν ἑταίρων· τῶν δὲ Φόρων τῆς συν-
εως τε καὶ ἀποφορᾶς Νικίαν· Ἄσανδρον δὲ τὸν Φιλώ-
Λυδίας καὶ τῆς ἄλλης τῆς Σπιθριδάτου ἀρχῆς, δοὺς αὐτῷ
ἱπ-

ἱππέας τε καὶ ψιλοὺς ὅσοι ἱκανοὶ πρὸς τὰ παρόντα ἐδόκει. Κάλαν δὲ καὶ Ἀλέξανδρον τὸν Ἀερόπου, ἐπὶ τὴν χώραν τὴν Μέμνονος ἐκπέμπει, ἄγοντας τούς τε Πελοποννησίους καὶ τῶν ἄλλων ξυμμάχων τοὺς πολλοὺς πλὴν Ἀργείων. Οὗτοι δὲ ἐν Σάρδεσι κατελείφθησαν τὴν ἄκραν φυλάσσειν. Μετὰ ταῦτα τὰ ἐπιτήδεια ἐν Ἐφέσῳ τε καὶ Μιλήτῳ διαπραξάμενος, ὁ Ἀλέξανδρος ἐπὶ Καρίας ἐστέλλετο, ὅτι ἐν Ἁλικαρνασσῷ συνεστηκέναι οὐ φαύλην δύναμιν τῶν τε βαρβάρων καὶ ξένων ἐξηγγέλλετο. Ὅσαι δὲ ἐν μέσῳ πόλεις Μιλήτου τε καὶ Ἁλικαρνασσοῦ, ταύτας δὲ ἐξ ἐφόδου λαβὼν, καταστρατοπεδεύει πρὸς Ἁλικαρνασσῷ, ἀπέχων τῆς πόλεως ἐς πέντε μάλιστα σταδίους, ὡς ἐπὶ χρονίῳ πολιορκίᾳ. Ἥ τε γὰρ φύσις τοῦ χωρίου ὀχυρὸν ἐποίει αὐτὸ, καὶ ὅπῃ τι ἐνδεῖν ὡς πρὸς ἀσφάλειαν ἐφαίνετο, ξύμπαντα ταῦτα Μέμνων τε αὐτὸς παρὼν, ἤδη ἀποδεδειγμένος πρὸς Δαρείου τῆς τε κάτω Ἀσίας καὶ τοῦ ναυτικοῦ παντὸς ἡγεμὼν, ἐκ πολλοῦ παρασκευάκει· καὶ στρατιῶται πολλοὶ μὲν ξένοι μισθοφόροι τῇ πόλει ἐγκατελείφθησαν, πολλοὶ δὲ καὶ Περσῶν αὐτῶν· αἵ τε τριήρεις ἐφώρμουν τῷ λιμένι, ὡς καὶ ἀπὸ τῶν ναυτῶν πολλὴν ὠφέλειαν γίγνεσθαι ἐς τὰ ἔργα. καὶ οἱ μὲν ἐκ τῆς Ἁλικαρνασσοῦ νυκτὸς τρὶς ἐξέδραμον μετὰ πολλῆς ζημίας· ἔνθα δὴ ξυνελθόντες οἱ ἡγεμόνες τῶν Περσῶν, Ὀροντοβάτης τε καὶ Μέμνων, καὶ ἐκ τῶν παρόντων γνόντες σφᾶς τε οὐ δυναμένους ἐπιπολὺ ἀντέχειν τῇ πολιορκίᾳ, τοῦ τείχους τὸ μέν τι καταπεπτωκὸς ἤδη ὁρῶντες, τὸ δὲ κατασεσεισμένον· πολλοὺς δὲ τῶν στρατιωτῶν ἐν ταῖς ἐκδρομαῖς, τοὺς μὲν διεφθαρμένους, τοὺς δὲ καὶ ὑπὸ τοῦ τετρῶσθαι ἀπομάχους ὄντας· ταῦτα ἐν νῷ λαβόντες, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς τόν τε ξύλινον πύργον, ὃν αὐτοὶ ἀντῳκοδόμησαν ταῖς μηχαναῖς τῶν πολεμίων ἐμπιπρᾶσι, καὶ τὰς στοὰς, ἐν αἷς τὰ βέλη αὐτοῖς ἀπέκειτο. Ἐνέβαλον δὲ καὶ ταῖς οἰκίαις πῦρ ταῖς πλησίον τοῦ τείχους· ταῖς δὲ καὶ προσήψατο ἡ φλὸξ, ἀπό τε τῶν στοῶν καὶ τοῦ πύργου πολλὴ ἐπενεχθεῖσα, καί τι καὶ τοῦ ἀνέμου ταύτῃ ἐπιφέροντος· αὐτῶν δὲ οἱ μὲν ἐς τὴν Ἀρκόννησον ἀπεχώρησαν, οἱ δὲ ἐς τὴν Σαλμακίδα ἄκραν οὕτω καλουμένην. Ἀλεξάνδρῳ δὲ ὡς ἀπηγγέλθη ταῦτα ἐκ τινῶν αὐτομολησάντων

τοῦ ἔργου, καὶ τὸ πῦρ πολὺ καθεώρα αὐτὸς, καί τοι ἀμ-
μέσας που νύκτας ἦν τὸ γιγνόμενον· ὁ δὲ καὶ ὡς ἐξα-
ὼν τοὺς Μακεδόνας, τοὺς μὲν ἔτι ἐμπιπράντας τὴν πό-
ἔκτεινεν, ὅσοι δὲ ἐν ταῖς οἰκίαις καταλαμβάνοιντο τῶν
ικαρνασσέων, τούτους δὲ σώζειν παρήγγειλεν. Ἤδη τε
ὑπέφαινε, καὶ κατιδὼν τὰς ἄκρας, ἃς ὅι τε Πέρσαι
ὁι μισθοφόροι κατειλήφεσαν, ταύτας μὲν ἀπέγνω πο-
κεῖν, τριβήν τε ἐπινοῶν οὐκ ὀλίγην ἔσεσθαι ὁι ἀμφ'
ὰς τῇ φύσει τῶν χωρίων, καὶ οὐ παρὰ μέγα εἶναι ἐξε-
τι ὁι τὴν πόλιν ἤδη πᾶσαν. Θάψας δὲ τοὺς ἀποθανόν-
ἐν τῇ νυκτὶ, τὰς μὲν μηχανὰς ἐς Τράλλεις ἀπαγα-
ἐκέλευσε τοὺς ἐπ' αὐταῖς τεταγμένους. Αὐτὸς δὲ τὴν
ιν ἐις ἔδαφος κατασκάψας, αὐτῆς τε ταύτης καὶ τῆς
ης Καρίας φυλακὴν ἐγκαταλιπὼν, ξένους μὲν πεζοὺς τρι-
λίους, ἱππεῖς δὲ ἐς διακοσίους, καὶ Πτολεμαῖον ἡγεμόνα
ῶν, ἐπὶ Φρυγίας ἐσέλλετο· τῆς δὲ Καρίας ξυμπάσης
ραπέυειν ἔταξεν Ἄδαν, θυγατέρα μὲν Ἑκατόμνου, γυ-
α δὲ Ἰδριέως, ὃς καὶ ἀδελφὸς αὐτῇ ὢν, κατὰ νόμον
Καρῶν ξυνῴκει. Καὶ ὁ μὲν Ἰδριεὺς τελευτῶν ταύτῃ
τρεψε τὰ πράγματα, νενομισμένον ἐν τῇ Ἀσίᾳ ἔτι ἀπὸ
ιράμεως καὶ γυναῖκας ἄρχειν ἀνδρῶν. Πιξώδαρος δὲ
μὲν ἐκβάλλει τῆς ἀρχῆς, αὐτὸς δὲ κατεῖχε τὰ πράγ-
α. Τελευτήσαντος δὲ Πιξοδάρου Ὀροντοβάτης τὴν
ῶν ἀρχὴν ἐκ βασιλέως πεμφθεὶς εἶχε γαμβρὸς ὢν
ιοδάρου. Ἄδα δὲ Ἄλινδα μόνον κατεῖχε, χωρίον τῆς
ίας ἐν τοῖς ὀχυρώτατον, καὶ ἐσβαλόντι Ἀλεξάνδρῳ
Καρίαν, ἀπήντα, τά τε Ἄλινδα ἐνδιδοῦσα, καὶ παῖδα
ιθεμένη Ἀλέξανδρον. Καὶ Ἀλέξανδρος τά τε Ἄλιν-
αὐτῇ ἐπέτρεψε, καὶ τὸ ὄνομα τοῦ παιδὸς οὐκ ἀπηξίω-
καὶ ἐπειδὴ Ἁλικαρνασσόν τε ἐξεῖλε, καὶ τῆς ἄλλης
ίας ἐπεκράτησεν, αὐτῇ ἄρχειν ἁπάσης ἔδωκε. Αὐ-
δὲ ἐπὶ Λυκίας τε καὶ Παμφυλίας ᾔει, ὡς τῆς πα-
ίου κρατήσας, ἀχρεῖον καταστῆσαι τοῖς πολεμίοις τὸ ναυ-
ν. Καὶ πρῶτον μὲν ἐν παρόδῳ Ὕπαρνα χωρίον ὀχυ-
φυλακὴν ἔχον ξένους μισθοφόρους ἐξ ἐφόδου ἔλαβεν·
δ' ἐκ τῆς ἄκρας ξένοι ὑπόσπονδοι ἐξῆλθον. Ἔπειτα
αλὼν ἐς Λυκίαν, Τελμισσεῖς μὲν ὁμολογίᾳ προσηγά-
· περάσας δὲ τὸν Ξάνθον ποταμὸν, Πίναρα καὶ Ξάν- cap. 24.

 θον

θον τὴν πόλιν καὶ Πάταρα ἐνδοθέντα ἔλαβεν, καὶ ἄλ-
λα ἐλάττω πολίσματα ἐς τριάκοντα. Ταῦτα καταπράξα[ς]
ἐν ἀκμῇ ἤδη τοῦ χειμῶνος ἐς τὴν Μιλυάδα καλουμέν[ην]
χώραν ἐσβάλλει, ἣ ἐστι μὲν τῆς μεγάλης Φρυγίας, ξυν-
τέλει δὲ ἐς τὴν Λυκίαν, τότε οὕτως ἐκ βασιλέως μεγάλ[ου]
τεταγμένον. Καὶ ἐνταῦθα Φασηλιτῶν πρέσβεις ἧκον πε-
ρὶ φιλίας τε καὶ χρυσῷ στεφάνῳ στεφανῶσαι Ἀλέξανδρ[ον]
καὶ ὑπὲρ τῶν αὐτῶν ἐπικηρυκευόμενοι ἐπρέσβευον Λυκί[ων]
τῶν κάτω οἱ πολλοί. Ἀλέξανδρος δὲ Φασηλίτας τε κα[ὶ]
Λυκίους παραδοῦναι τὰς πόλεις τοῖς ἐπὶ τούτῳ στελλομέν[οις]
ἐκέλευσε, καὶ παρεδόθησαν ξύμπασαι. Αὐτὸς δὲ ὀλίγ[ον]
ὕστερον ἐς τὴν Φασηλίδα παραγενόμενος, συνεξαίρει αὐτο[ῖς]
φρούριον ὀχυρὸν ἐπιτετειχισμένον τῇ χώρᾳ πρὸς Πισιδῶ[ν]
ὅθεν ὁρμώμενοι οἱ βάρβαροι πολλὰ ἔβλαπτον τῶν Φασ[η]-
λιτῶν τοὺς τὴν γῆν ἐργαζομένους.

cap. 26. Ἀλέξανδρος δὲ ἄρας ἐκ Φασηλίδος, μέρος μέν τ[ι]
τῆς στρατιᾶς διὰ τῶν ὀρῶν πέμπει ἐπὶ Πέργης, ᾗ ὡδοπε-
ποιήκεσαν αὐτῷ οἱ Θρᾷκες, χαλεπὴν ἄλλως καὶ μακρ[ὰν]
οὖσαν τὴν πάροδον· αὐτὸς δὲ παρὰ τὴν θάλασσαν διὰ τ[οῦ]
αἰγιαλοῦ ἦγε τοὺς ἀμφ᾽ αὐτόν. Ἔστι δὲ ταύτῃ ἡ ὁδὸ[ς οὐκ]
ἄλλως, ὅτι μὴ τῶν ἀπ᾽ ἄρκτου ἀνέμων πνεόντων· εἰ [δὲ]
νότοι κατέχοιεν, ἀπόρως ἔχει διὰ τοῦ αἰγιαλοῦ ὁδοιπο[ρεῖν].
Τότε δ᾽ ἐκ νότων σκληρῶν, βορέαι ἐπιπνεύσαντες, οὐκ ἄ[νευ]
τοῦ θείου (ὡς αὐτός τε καὶ οἱ ἀμφ᾽ αὐτὸν ἐξηγοῦντο) εὐμα-
ρῆ καὶ ταχεῖαν τὴν πάροδον παρέσχον. Ἐκ Πέργης δ᾽
ὡς προῄει, ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν ὁδὸν πρέσβ[εις]
Ἀσπενδίων αὐτοκράτορες, τὴν μὲν πόλιν ἐνδιδόντες, φ[ρου]-
ρὰν δὲ μὴ εἰσάγειν δεόμενοι. Καὶ περὶ μὲν τῆς φρο[υρᾶς]
πράξαντες ἀπῆλθον ὅσα ἠξίουν· πεντήκοντα δὲ τάλα[ντα]
κελεύει τῇ στρατιᾷ δοῦναι αὐτοῖς ἐς μισθὸν, καὶ τοὺς ἵππ[ους]
οὓς δασμὸν βασιλεῖ ἔτρεφον. Οἱ δὲ, ὑπέρ τε τοῦ ἀργ[υρίου]
καὶ τοὺς ἵππους παραδώσειν ξυνθέμενοι, ἀπῆλθον. Ἀλέ-
ξανδρος δὲ ἐπὶ Σίδης ᾔει, εἰσὶ δὲ οἱ Σιδῆται Κυμαῖοι [ἐκ]
Κύμης τῆς Αἰολίδος· καὶ οὗτοι λέγουσιν ὑπὲρ σφῶν τ[όν]-
τον λόγον· ὅτι ὡς κατῆράν τε ἐς τὴν γῆν ἐκείνην οἱ π[ρῶ]-
τοι ἐκ Κύμης σταλέντες, καὶ ἐπὶ οἰκισμῷ ἐξέβησαν, [αὐ]-
τίκα τὴν μὲν Ἑλλάδα γλῶσσαν ἐξελάθοντο, εὐθὺς [δὲ]
βάρβαρον φωνὴν ἵεσαν, οὐδὲ τῶν προσχώρων βαρβάρ[ων]

ἀλλὰ ἰδίαν σφῶν, οὔπω πρόσθεν οὖσαν τὴν φωνήν· καὶ ἐκ τότε οὐ κατὰ τοὺς ἄλλους προσχώρους Σιδῖται ἐβαρβάριζον. Καταλιπὼν δὲ φρουρὰν ἐν τῇ Σίδῃ, προήει ἐπὶ Σύλλιον, χωρίον ὀχυρὸν καὶ φρουρὰν ἔχον ξένων μισθοφόρων καὶ αὐτῶν τῶν ἐπιχωρίων βαρβάρων. Ἀλλ' οὔτε τὸ Σύλλιον ἐξ ἐφόδου αὐτοσχεδίου ἠδυνήθη λαβεῖν. Ἔπειτα καὶ ἠγγέλθη αὐτῷ κατὰ τὴν ὁδὸν, τοὺς Ἀσπενδίους, ὅτι οὐδὲν τῶν συγκειμένων πρᾶξαι ἐθέλοιεν· οὔτε τοὺς ἵππους παραδοῦναι τοῖς πεμφθεῖσιν, οὔτε ἀπαριθμῆσαι τὰ χρήματα, καὶ τὰ ἐκ τῆς χώρας ὅτι ἀνασκευασάμενοι ἐς τὴν πόλιν, τάς τε πύλας ἀποκεκλείκασι τοῖς παρ' Ἀλεξάνδρου, καὶ τὰ τείχη, ὅποι πεπονηκότα ἦν, ἐπισκευάζουσι. Ταῦτα πυθόμενος, ἐπὶ Ἀσπένδου ἀνεζεύγνυεν. Ὤικισαι δὲ τῆς Ἀσπένδου τὰ cap. 27.
μὲν πολλὰ ἐπὶ ἄκρᾳ ὀχυρᾷ καὶ ἀποτόμῳ· καὶ παρ' αὐτὴν τὴν ἄκραν ὁ Εὐρυμέδων ποταμὸς ῥεῖ. Ἦσαν δὲ αὐτῆς καὶ περὶ τῇ ἄκρᾳ ἐν τῷ χθαμαλῷ οὐκ ὀλίγαι οἰκήσεις, καὶ τεῖχος περιεβέβλητο αὐταῖς οὐ μέγα. Τὸ μὲν δὴ τεῖχος, ὡς προσάγοντα Ἀλέξανδρον ἔγνωσαν, ἐκλείπουσιν ὅσοι ἐπῴκουν, καὶ τὰς οἰκίας, ὅσας ἐν τῷ χθαμαλῷ ᾠκισμένας οὐκ ἐδόκουν διαφυλάξαι ἂν δύνασθαι· αὐτοὶ δὲ ἐς τὴν ἄκραν ξυμφεύγουσιν. Ἀλέξανδρος δὲ, ὡς ἀφίκετο ξὺν τῇ δυνάμει, εἴσω τοῦ ἐρήμου τείχους παρελθὼν, κατεστρατοπέδευσεν ἐν ταῖς οἰκίαις ταῖς καταλελειμμέναις πρὸς τῶν Ἀσπενδίων· οἱ δὲ Ἀσπένδιοι, ὡς εἶδον αὐτόν τε Ἀλέξανδρον παρ' ἐλπίδα ἥκοντα, καὶ τὸ στρατόπεδον ἐν κύκλῳ σφῶν πάντῃ, πέμψαντες πρέσβεις ἐδέοντο ἐφ' οἷσπερ τὸ πρότερον ξυμβῆναι. Καὶ Ἀλέξανδρος τό, τε χωρίον ὀχυρὸν ἰδὼν, καὶ αὐτὸς οὐκ ἐπὶ χρόνιον πολιορκίαν παρεσκευασμένος, ἐπὶ τοῖς αὐτοῖς μὲν οὐδὲ ὣς ξυνέβη πρὸς αὐτούς· ὁμήρους δὲ δοῦναι σφῶν τοὺς δυνατωτάτους ἐκέλευσε καὶ τοὺς ἵππους, οὓς πρόσθεν ὡμολόγησαν· καὶ ἑκατὸν τάλαντα, ἀντὶ τῶν πεντήκοντα· καὶ πείθεσθαι τῷ σατράπῃ τῷ τοῦ Ἀλεξάνδρου, καὶ φόρους ἀποφέρειν ὅσα ἔτη Μακεδόσι, καὶ ὑπὲρ τῆς χώρας διακριθῆναι, ἣν τῶν προσχώρων οὖσαν βίᾳ κατέχειν ἐν αἰτίᾳ ἦσαν. Ὡς δὲ πάντα οἱ ἐπεχώρησαν, ἀνέζευξεν ἐς Πέργην, κἀκεῖθεν ἐς Φρυγίαν ὥρμητο· ἦν δὲ αὐτῷ ἡ πορεία παρὰ Τελμισσὸν πόλιν. Οἱ δὲ ἄνθρωποι οὗτοι, τὸ μὲν γένος Πισίδαι εἰσὶ, βάρ-

βαροι. Χωρίον δὲ οἰκοῦσιν ὑπερύψηλον, καὶ πάντη ἀ
τομον· καὶ ἡ ὁδὸς παρὰ τὴν πόλιν, χαλεπή. Καθ
γὰρ ἐκ τῆς πόλεως ὄρος ἔς τε ἐπὶ τὴν ὁδόν· καὶ
μὲν αὐτοῦ ἐν τῇ ὁδῷ ἀποπαύεται. Ἀντίπορον δὲ
ὄρος ἄλλο ἐστὶν, οὐ μεῖον ἀπότομον· καὶ ταῦτα τὰ
ὥσπερ πύλας ποιεῖ ἐπὶ τῇ ὁδῷ, καί ἐστιν ὀλίγῃ φυλ
κατέχοντας τὰ ὄρη ταῦτα, ἄπορον ποιεῖν τὴν πάρ
Καὶ τότε οἱ Τελμισσεῖς πανδημεὶ ἐκβεβοηθηκότες,
φότερα τὰ ὄρη κατεῖχον. Ταῦτα δὴ ἰδὼν Ἀλέξαν
στρατοπεδεύεσθαι αὐτοῦ ὅπως εἶχον, ἐκέλευε τοὺς Μα
νας, γνοὺς ὅτι οὐ μενοῦσι πανδημεὶ οἱ Τελμισσεῖς,
ζομένους σφᾶς ἰδόντες, ἀλλ' ἀποχωρήσουσιν εἰς τὴν
πλησίον οὖσαν οἱ πολλοὶ αὐτῶν, ὅσον φυλακὴν κατα
τες ἐπὶ τοῖς ὄρεσι. Καὶ ξυνέβη, ὅπως εἴκαζεν· οἱ
γὰρ πολλοὶ αὐτῶν ἀπῆλθον, αἱ φυλακαὶ δὲ ἐγκατε
ναν. Καὶ ἐπὶ τούτους εὐθὺς ἀναλαβὼν τούς τε τοξ
καὶ τὰς τῶν ἀκοντιστῶν τάξεις, καὶ τῶν ὁπλιτῶν
κουφότεροι, ἐπήγαγεν. Οἱ δὲ οὐκ ἔμειναν βαλλόμ
ἀλλὰ ἔλιπον τὸ χωρίον. Καὶ Ἀλέξανδρος ὑπερβαλ
cap. 28. στενὰ, πρὸς τῇ πόλει κατεστρατοπέδευσε. Καὶ ἐν
ἀφικνοῦνται παρ' αὐτὸν Σελγέων πρέσβεις. Οἱ
καὶ αὐτοὶ Πισίδαι βάρβαροι, καὶ πόλιν μεγάλην
καὶ αὐτοὶ μάχιμοί εἰσιν· ὅτι δὲ πολέμιοι τοῖς Τελ
σιν ἐκ παλαιοῦ ἐτύγχανον, ὑπὲρ φιλίας πρὸς Ἀλ
δρον πεπρεσβευμένοι ἦσαν. Καὶ πρὸς τούτους σπέ
Ἀλέξανδρος, καὶ ἐκ τούτου πιστοῖς ἐς ἅπαντα ἐχρ
Τὴν Τελμισσὸν δὲ ἀπέγνω ἑλεῖν ἂν ἐν ὀλίγῳ χ
ἀλλ' ἐπὶ Σαλαγασσοῦ ἐστέλλετο. Ἦν δὲ καὶ αὕτη οὐ
κρὰ πόλις. Πισίδαι καὶ ταύτην ᾤκουν· καὶ ἐδόκουν,
των Πισιδῶν μαχίμων ὄντων, αὐτοὶ εἶναι οἱ μαχι
τοι, καὶ τότε τὸν λόφον τὸν πρὸ τῆς πόλεως, ὅτι
οὗτος οὐ μεῖον τοῦ τείχους ὀχυρὸς ἐς τὸ ἀπομάχεσθαι
κατειληφότες προσέμενον. Ἀλέξανδρος δὲ τὴν μὲν
λαγγα τῶν Μακεδόνων τάττει ὧδε. Ἐπὶ μὲν τοῦ δε
κέρως, ἵνα αὐτὸς ἐπετέτακτο, τοὺς ὑπασπιστὰς εἶχεν
μένους δὲ τούτων, τοὺς πεζεταίρους ἔς τε ἐπὶ τὸ εὐώνυ
παρατείνας· ὡς ἑκάστοις τῶν στρατηγῶν ἡγεμονία τῆς
ξεως ἐν τῇ τότε ἡμέρᾳ ἦν. Ἐπὶ δὲ τῷ εὐωνύμῳ
τα·

ξεν ἡγεμόνα Ἀμύνταν τὸν Ἀῤῥαβαίε. Προετάχθησαν αὐτῷ, τε μὲν δεξιε κέρως, ὅι τε τοξόται καὶ ὁι Ἀγριᾶνες· τε δὲ εὐωνύμε, ὁι ἀκοντιςαὶ ὁι Θρᾶκες, ὧν ἡγεῖτο Σιτάλκης. Ὁι γὰρ ἱππεῖς αὐτῷ ἐκ ὠφέλιμοι ἐν τῇ δυσχωρίᾳ ἦσαν· τοῖς Πισίδαις δὲ καὶ Τελμισσεῖς προσβοηθηκότες ξυνετάξαντο. Ἤδη δὲ ὁι ἀμφ' Ἀλέξανδρον προσβεβληκότες τῷ ὄρει, ὅπερ κατεῖχον ὁι Πισίδαι, ἐπ' αὐτὸ τὸ ἀποτομώτατον τῆς ἀνόδε ἦσαν. Καὶ ἐν τέτῳ ἐπιτίθενται αὐτοῖς ὁι βάρβαροι λόχοις κατὰ κέρας ἑκάτερον, ᾗ σφίσι μὲν εὐπροσοδώτατον ἦν, τοῖς πολεμίοις δὲ χαλεπωτάτη ἡ πρόσβασις· καὶ τὰς μὲν τοξότας, ὅια δὴ ὅυτε ἀκριβῶς ὡπλισμένες καὶ πρώτες πελάσαντας, ἐτρέψαντο. Ὁι δὲ Ἀγριᾶνες ἔμειναν. Ἐγγὺς γὰρ ἤδη καὶ ἡ φάλαγξ τῶν Μακεδόνων προσῆγε, καὶ πρὸ αὐτῆς Ἀλέξανδρος ἐφαίνετο. Ὡς δὲ ἐν χερσὶν ἡ μάχη ἐγένετο, γυμνοί τε ὁι βάρβαροι ὄντες ὁπλίταις προσεφέροντο, καὶ πάντη κατατιτρωσκόμενοι ἔπιπτον, ἐνταῦθα δὴ ἐγκλίνεσι· καὶ ἀπέθανον μὲν αὐτῶν ἐς πεντακοσίες. Κεφοι γὰρ ὄντες καὶ ἔμπειροι τῶν χωρίων, ἐ χαλεπῶς ἀπεχώρεν· καὶ ὁι Μακεδόνες, διὰ βαρύτητα τῶν ὅπλων, καὶ ἀπειρίαν τῶν ὁδῶν, ἐ θαῤῥαλέοι ἐς τὸ διώκειν ἦσαν. Ἀλέξανδρος δὲ ἐχόμενος τῶν φευγόντων, τὴν πόλιν αὐτῶν αἱρεῖ κατὰ κράτος· τῶν δὲ ξὺν αὐτῷ Κλέανδρός τε ὁ ςρατηγὸς τῶν τοξοτῶν ἀποθνήσκει, καὶ τῶν ἄλλων ἀμφὶ τὰς ἔικοσιν. Ἀλέξανδρος δὲ ἐπὶ τὰς ἄλλας Πισίδας ἦγε, καὶ τὰ μέν τινα τῶν φρερίων βίᾳ ἐξεῖλε, τὰ δὲ ὁμολογίᾳ προσηγάγετο. Ἐντεῦθεν δὲ ἤει ἐπὶ Φρυγίας παρὰ τὴν λίμνην, ᾗ ὄνομα Ἀσκανία, ἐν ᾗ ἅλες πήγνυνται αὐτόματοι· καὶ τέτοις χρῶνται ὁι ἐπιχώριοι, ἐδὲ θαλάσσης τι ἐπὶ τέτῳ δέονται. Καὶ ἀφικνεῖται ἐς Κελαινὰς πεμπταῖος. Ἐν δὲ ταῖς Κελαιναῖς ἄκρα ἦν πάντη ἀπότομος. Καὶ ταύτην φυλακῇ κατεῖχον ἐκ τε σατράπε τῆς Φρυγίας, Κᾶρες μὲν χίλιοι, Ἕλληνες δὲ μισθοφόροι ἑκατόν. Καὶ ἕτοι πρεσβεύονται παρ' Ἀλέξανδρον, ἐπαγγελλόμενοι, ἐι μὴ ἀφίκοιτο σφίσι βοήθεια ἐν ἡμέρᾳ, ᾗ ξυνέκειτο (φράσαντες τὴν ἡμέραν) ὅτι παραδώσεσι τὸ χωρίον. Καὶ ἔδοξε ταῦτα Ἀλεξάνδρῳ ὠφελιμώτερα, ἢ πολιορκεῖν, ἄπορον πάντη προσφέρεσθαι, τὴν ἄκραν. Πρὸς μὲν δὴ ταῖς Κελαι- cap. 29.

λαιναῖς φυλακὴν καταλείπει στρατιώτας ἐς χιλίους, καὶ πεντακοσίους. Μείνας δὲ αὐτοῦ ἡμέρας δέκα, καὶ σατράπην ἀποδείξας Φρυγίας Ἀντίγονον τὸν Φιλίππου, ἐπὶ δὲ τοῖς συμμάχους ἀντ' ἐκείνου στρατηγὸν Βάλακρον τὸν Ἀμύντου ἐπιτάξας, αὐτὸς ἐπὶ Γορδίου ἐστέλλετο· καὶ Παρμενίωνι ἐπέστειλεν, ἄγοντα ἅμα οἱ τὴν δύναμιν ἐκεῖσε ἀπαντᾷν. Καὶ ἀπήντα ξὺν τῇ δυνάμει Παρμενίων. Καὶ οἱ νεόγαμοι δὲ οἱ ἐπὶ Μακεδονίας σταλέντες, εἰς Γόρδιον ἧκον, καὶ ξὺν αὐτοῖς ἄλλη στρατιὰ καταλεχθεῖσα, ἣν ἦγε Πτολεμαῖός τε ὁ Σελεύκου, καὶ Κοῖνος ὁ Πολεμοκράτους, καὶ Μελέαγρος ὁ Νεοπτολέμου, πεζοὶ μὲν Μακεδόνες τρισχίλιοι, ἱππεῖς δὲ ἐς τριακοσίους, καὶ Θεσσαλῶν ἱππεῖς διακόσιοι, Ἠλείων δὲ, ἑκατὸν καὶ πεντήκοντα, ὧν ἡγεῖτο Ἀλκίας ὁ Ἠλεῖος. Τὸ δὲ Γόρδιόν ἐστι μὲν τῆς Φρυγίας τῆς ἐφ' Ἑλλησπόντου, κεῖται δὲ ἐπὶ τοῦ Σαγγαρίου ποταμοῦ· τοῦ δὲ Σαγγαρίου αἱ μὲν πηγαὶ ἐκ Φρυγίας εἰσίν· αὐτὸς δὲ διὰ τῆς Θρᾳκῶν τῶν Βιθυνῶν χώρας ἐξίησιν εἰς τὸν Εὔξεινον πόντον· ἐνταῦθα καὶ Ἀθηναίων πρεσβεία παρ' Ἀλέξανδρον ἀφίκετο, δεόμενοι Ἀλεξάνδρου, ἀφεῖναι σφίσι τοὺς αἰχμαλώτους, οἱ ἐπὶ Γρανικῷ ποταμῷ ἐλήφθησαν Ἀθηναίων, ξυστρατευόμενοι τοῖς Πέρσαις· καὶ τότε ἐν Μακεδονίᾳ ξὺν τοῖς δισχιλίοις δεδεμένοι ἦσαν. Καὶ ὑπὲρ αὐτῶν ἄπρακτοι ἐν τῷ τότε ἀπῆλθον. Οὐ γὰρ ἐδόκει ἀσφαλὲς εἶναι Ἀλεξάνδρῳ, ἔτι συνεστῶτος τοῦ πρὸς τὸν Πέρσην πολέμου ἀνεῖναί τι τοῦ φόβου τοῖς Ἕλλησιν, ὅσοι ἐναντία τῇ Ἑλλάδι στρατεύεσθαι ὑπὲρ τῶν βαρβάρων οὐκ ἀπηξίωσαν. Ἀλλ' ἀποκρίνεται, ἐπειδὰν τὰ παρόντα καλῶς γένηται, τότε ἥκειν ὑπὲρ τῶν αὐτῶν πρεσβευομένους.

Lib. II. cap. 4-8. Ἀλέξανδρος δὲ, ὡς ἐς Γόρδιον παρῆλθε, τὸν τοῦ Γορδίου δεσμὸν ἔλυσε, ὡς πρότερον εἴρηται. ἔπειτα ἐπ' Ἀγκύρας τῆς Γαλατικῆς ἐστέλλετο, κἀκεῖ αὐτῷ πρεσβεία ἀφικνεῖται Παφλαγόνων, τό τε ἔθνος ἐνδιδόντων, καὶ ἐς ὁμολογίαν ξυμβαινόντων. ἐς δὲ τὴν χώραν ξὺν τῇ δυνάμει μὴ ἐσβαλεῖν ἐδέοντο. Τούτοις μὲν δὴ προστάσσει Ἀλέξανδρος ὑπακούειν Κάλᾳ τῷ σατράπῃ τῆς Φρυγίας. Αὐτὸς δὲ ἐπὶ τῆς Καππαδοκίας ἐλάσας, ξύμπασαν τὴν ἐντὸς Ἅλυος ποταμοῦ προσηγάγετο, καὶ ἔτι ὑπὲρ τὸν Ἅλυν πολλήν· καταστήσας δὲ Καππαδοκῶν Σαβίκταν σατρά-

σατράπην, αὐτὸς προῆγεν ἐπὶ τὰς πύλας τῆς Κιλικίας. Καὶ ἀφικόμενος ἐπὶ τὸ Κύρȣ τȣ̃ ξὺν Ξενοφῶντι ϛρατόπεδον ὡς κατεχομένας τὰς πύλας φυλακαῖς ἰσχυραῖς εἶδε, Παρμενίωνα μὲν αὐτȣ̃ καταλείπει σὺν ταῖς τάξεσι τῶν πεζῶν, ὅσοι βαρύτερον ὡπλισμένοι ἦσαν· αὐτὸς δὲ ἀμφὶ πρώτην φυλακὴν ἀναλαβὼν τȣ̀ς τε ὑπασπιϛὰς καὶ τȣ̀ς τοξότας καὶ τȣ̀ς Ἀγριᾶνας, προῆγε τῆς νυκτὸς ἐπὶ τὰς πύλας, ὡς ȣ̓ προσδεχομένοις τοῖς φύλαξιν ἐπιπεσεῖν. Καὶ προσάγων μὲν ȣ̓κ ἔλαθεν, ἐς ἴσον δὲ αὐτῷ κατέϛη ἡ τόλμα. Οἱ γὰρ φύλακες αἰσθόμενοι Ἀλέξανδρον αὐτὸν προσάγοντα, λιπόντες τὴν φυλακὴν, ᾤχοντο φεύγοντες. τῇ δ' ὑϛεραίᾳ ἅμα τῇ ἕῳ ξὺν τῇ δυνάμει πάσῃ ὑπερβαλὼν τὰς πύλας, κατέβαινεν ἐς τὴν Κιλικίαν. Καὶ ἐνταῦθα ἀγγέλλεται αὐτῷ Ἀρσάμης, ὅτι πρόσθεν μὲν ἐπενόει διασώζειν Πέρσαις τὴν Ταρσὸν, ὡς δὲ ὑπερβεβληκότα ἤδη τὰς πύλας ἐπύθετο Ἀλέξανδρον, ἐκλιπεῖν ἐν νῷ εἶχε τὴν πόλιν. Δεδιέναι ȣ̓ν τȣ̀ς Ταρσεῖς, μὴ ἐφ' ἁρπαγὴν τραπεὶς, ȣ̆τω τὴν ἀπόλειψιν τῆς Ταρσȣ̃ ποιήσηται. Ταῦτα ἀκȣ́σας, δρόμῳ ἦγεν ἐπὶ τὴν Ταρσὸν τȣ́ς τε ἱππέας καὶ τῶν ψιλῶν ὅσοι κȣφότατοι, ὥς τε ὁ Ἀρσάμης μαθὼν αὐτȣ̃ τὴν ὁρμὴν σπȣδῇ φεύγει ἐκ τῆς Ταρσȣ̃ παρὰ βασιλέα Δαρεῖον, ȣ̓δὲν βλάψας τὴν πόλιν. Ἀλέξανδρος δὲ (ὡς μὲν Ἀριϛοβȣ́λῳ λέλεκται) ὑπὸ καμάτȣ ἐνόσησεν· οἱ δὲ εἰς τὸν Κύδνον ποταμὸν λέγȣσι ῥίψαντα νήξασθαι ἐπιθυμήσαντα τȣ̃ ὕδατος ἱδρȣ̃ντα καὶ καύματι ἐχόμενον. Ὁ δὲ Κύδνος ῥεῖ διὰ μέσης τῆς πόλεως· οἷα δὲ ἐκ τȣ̃ Ταύρȣ ὄρȣς τῶν πηγῶν οἱ ἀνισχȣσῶν, καὶ διὰ χώρȣ καθαρȣ̃ ῥέων, ψυχρός τέ ἐϛι, καὶ τὸ ὕδωρ καθαρός· σπασμῷ τε ȣ̓ν ἔχεσθαι Ἀλέξανδρον, καὶ θέρμαις ἰσχυραῖς καὶ ἀγρυπνίᾳ ξυνεχεῖ. Καὶ τȣ̀ς μὲν ἄλλȣς ἰατρȣ̀ς ȣ̓κ οἴεσθαι εἶναι βιώσιμον. Φίλιππον δὲ Ἀκαρνᾶνα ἰατρὸν ξυνόντα Ἀλεξάνδρῳ, καὶ τά τε ἀμφὶ ἰατρικὴν ἐς τὰ μάλιϛα πιϛευόμενον, καὶ τὰ ἄλλα ȣ̓κ ἀδόκιμον ἐν τῷ ϛρατῷ ὄντα, καθῆραι ἐθέλειν Ἀλέξανδρον φαρμάκῳ, καὶ τὸν κελεύειν καθῆραι, τὸν μὲν δὴ παρασκευάζειν τὴν κύλικα· ἐν τȣ́τῳ δὲ Ἀλεξάνδρῳ δοθῆναι ἐπιϛολὴν παρὰ Παρμενίωνος, φυλάξασθαι Φίλιππον· ἀκȣ́ειν γὰρ διεφθάρθαι ὑπὸ Δαρείȣ χρήμασιν, ὥς τε φαρ-

μάκῳ

μάκῳ ἀποκτεῖναι Ἀλέξανδρον. Τὸν δὲ, ἀναγνόντα τὴ ἐπιςολὴν, καὶ ἔτι μετὰ χεῖρας ἔχοντα, αὐτὸν μὲν λα βεῖν τὴν κύλικα, ἐν ᾗ ἦν τὸ φάρμακον· τὴν ἐπιςολ δὲ τῷ Φιλίππῳ δοῦναι ἀναγνῶναι. Καὶ ὁμοῦ τόν τε Ἀ λέξανδρον πίνειν, καὶ τὸν Φίλιππον ἀναγινώσκειν τὰ πα ρὰ τοῦ Παρμενίωνος. Φίλιππον δὲ εὐθὺς ἔνδηλον γεν σθαι ὅτι καλῶς οἱ ἔχει τὰ τοῦ φαρμάκου· οὐ γὰρ ἐκπλα γῆναι πρὸς τὴν ἐπιςολὴν, ἀλλὰ τοσόνδε μόνον παρακαλ σαι Ἀλέξανδρον, καὶ ἐς τὰ ἄλλα οἱ πείθεσθαι ὅσα ἐπαγ γέλλοιτο· σωθήσεσθαι γὰρ πειθόμενον. Καὶ τὸν μὲν κα θαρθῆναί τε καὶ ῥαῖσαι αὐτῷ τὸ νόσημα. Φιλίππῳ δὲ ἐπιδεῖξαι ὅτι πιςός ἐςιν αὐτῷ φίλος, καὶ τοῖς ἄλλοις δὲ τοῖς ἀμφ᾽ αὐτὸν, ὅτι αὐτοῖς τε τοῖς φίλοις βέβαιος εἰς τὸ ἀνύποπτον τυγχάνει ὢν, καὶ πρὸς τὸ ἀποθανεῖν

cap. 5. ἐῤῥωμένος. Ἐκ δὲ τούτου, Παρμενίωνα μὲν πέμπει ἐπὶ τὰς ἄλλας πύλας, αἳ δὴ ὁρίζουσι τὴν Κιλίκων τε καὶ Ἀσ συρίων χώραν, προκαταλαβεῖν καὶ φυλάσσειν τὴν πάρ οδον, δοὺς αὐτῷ τῶν τε ξυμμάχων τοὺς πεζοὺς, καὶ τοὺς Ἕλληνας τοὺς μισθοφόρους, καὶ τοὺς Θρᾶκας ὧν Σιτάλ κης ἡγεῖτο, καὶ τοὺς ἱππέας δὲ τοὺς Θετταλούς. Αὐτὸς δὲ ὕςερον ἄρας ἐκ Ταρσοῦ, τῇ μὲν πρώτῃ εἰς Ἀγχίαλον πόλιν ἀφικνεῖται. Ταύτην δὲ Σαρδανάπαλον κτίσαι τὸν Ἀσσύριον λόγος. Καὶ τῷ περιβόλῳ δὲ καὶ τοῖς θεμε λίοις τῶν τειχῶν δήλη ἐςὶ μεγάλη τε πόλις κτισθεῖσα, καὶ ἐπὶ μέγα ἐλθοῦσα δυνάμεως. Καὶ τὸ μνῆμα τοῦ Σαρ δαναπάλου ἐγγὺς ἦν τῶν τειχῶν τῆς Ἀγχιάλου, καὶ αὐ τὸς ἐφειςήκει ἐπ᾽ αὐτῷ Σαρδανάπαλος, συμβεβληκὼς τὰς χεῖρας ἀλλήλαις, ὡς μάλιςα ἐς κρότον συμβάλλονται. Καὶ ἐπίγραμμα ἐπεγέγραπτο αὐτῷ, Ἀσσύρια γράμματα. Οἱ μὲν Ἀσσύριοι καὶ μέτρον ἔφασκον ἐπεῖναι τῷ ἐπι γράμματι. Ὁ δὲ νοῦς ἦν αὐτῷ, ὃν ἔφραζε τὰ ἔπη, ὅτι ΣΑΡΔΑΝΑΠΑΛΟΣ Ο ἈΝΑΚΥΝΔΑΡΑ ΞΟΥ ΠΑΙΣ, ΑΓΧΙΑΛΟΝ ΚΑΙ ΤΑΡΣΟΝ ἘΝ ἩΜΕΡΑι ΜΙΑι ἘΔΕΙΜΑΤΟ. ΣΥ ΔΕ, ὮΩ ΞΕΝΕ, ἜΣΘΙΕ, ΚΑΙ ΠΙΝΕ, ΚΑΙ ΠΑΙΖΕ, ὩΣ Τ᾽ ἌΛΛΑ ΤΑ ἈΝ ΘΡΩΠΙΝΑ ΟΥΚ ὌΝΤΑ ΤΟΥΤΟΥ ἈΞΙΑ· τὸν ψόφον αἰνισσόμενος, ὅνπερ αἱ χεῖρες ἐπὶ τῷ κρότῳ ποιοῦσι.

ποιῦσι. Καὶ τὸ ΠΑΊΖΕ, ῥαδιυργότερον ἐγγεγράφθαι ἔφασαν τῷ Ἀσσυρίῳ ὀνόματι. Ἐκ δὲ τῆς Ἀγχιάλυ ἐς Σόλυς ἀφίκετο, καὶ φρυρὰν ἐπήγαγεν ἐς Σόλυς, καὶ ἐπέβαλεν αὐτοῖς τάλαντα διακόσια ἀργυρίυ ζημίαν, ὅτι πρὸς τὺς Πέρσας μᾶλλόν τι τὸν νῦν εἶχον. Ἔνθεν δὲ ἀναλαβὼν τῶν μὲν πεζῶν τῶν Μακεδόνων τρεῖς τάξεις, τὺς τοξότας δὲ πάντας καὶ τὺς Ἀγριᾶνας ἐξελαύνει ἐπὶ τὺς τὰ ὄρη κατέχοντας Κίλικας· καὶ ἐν ἑπτὰ ταῖς πάσαις ἡμέραις τὺς μὲν βίᾳ ἐξελὼν, τὺς δὲ ὁμολογίᾳ παραστησάμενος, ἐπανῆκεν ἐς τὺς Σόλυς· καὶ ἐνθαῦτα μανθάνει Πτολεμαῖον καὶ Ἄσανδρον, ὅτι ἐκράτησαν Ὀροντοβάτυ τῦ Πέρσυ, ὃς τήν τε ἄκραν τῆς Ἁλικαρνασσῦ ἐφύλασσε, καὶ Μύνδον, καὶ Καῦνον, καὶ Θήραν, καὶ Καλλίπολιν κατεῖχε. Προσῆκτο δὲ καὶ Κῶ, καὶ Τριόπιον. Τῦτον ἡττῆσθαι ἔγραφον μάχῃ μεγάλῃ· καὶ ἀποθανεῖν μὲν τῶν ἀμφ' αὐτὸν, πεζὺς ἐς ἑπτακοσίυς, καὶ ἱππέας ἐς πεντήκοντα, ἁλῶναι δὲ ὐκ ἐλάττυς τῶν χιλίων. Ἀλέξανδρος δὲ ἐν Σόλοις θύσας τε τῷ Ἀσκληπιῷ, καὶ πομπεύσας αὐτός τε καὶ ἡ στρατιὰ πᾶσα καὶ λαμπάδα ἐπιτελέσας, καὶ ἀγῶνα διαθεὶς γυμνικὸν καὶ μυσικὸν, Σολεῦσι μὲν δημοκρατεῖσθαι ἔδωκεν, αὐτὸς δὲ ἀναζεύξας εἰς Ταρσὸν, τὺς μὲν ἱππέας ἀπέστειλε, Φιλώτᾳ δὺς ἄγειν διὰ τῦ Ἀληΐυ πεδίυ ἐπὶ τὸν ποταμὸν τὸν Πύραμον· αὐτὸς δὲ σὺν τοῖς πεζοῖς καὶ τῇ ἴλῃ τῇ βασιλικῇ ἐς Μαγαρσὸν ἧκε, καὶ τῇ Ἀθηνᾷ τῇ Μαγαρσίδι ἔθυσεν. Ἐντεῦθεν δὲ ἐς Μαλλὸν ἀφίκετο, καὶ Ἀμφιλόχῳ ὅσα ἥρωϊ ἐνήγισε· καὶ στασιάζοντας καταλαβὼν, τὴν στάσιν αὐτοῖς κατέπαυσε· καὶ τὺς φόρυς, ὓς βασιλεῖ Δαρείῳ ἀπέφερον, ἀνῆκεν, ὅτι Ἀργείων μὲν Μαλλωτοὶ ἄποικοι ἦσαν, αὐτὸς δὲ ἀπ' Ἄργυς τῶν Ἡρακλειδῶν εἶναι ἠξίυ. Ὄντι δὲ ἐν Μαλλῷ ὄντι αὐτῷ ἀγγέλλεται Δαρεῖον ἐν Σώχοις ξὺν τῇ πάσῃ δυνάμει στρατοπεδεύειν. Ὁ δὲ χῶρος οὗτος ἐστὶ μὲν τῆς Ἀσσυρίας γῆς, ἀπέχει δὲ τῶν πυλῶν τῶν Ἀσσυρίων ἐς δύο μάλιστα σταθμύς. Ἔνθα δὴ ξυναγαγὼν τὺς ἑταίρυς, φράζει αὐτοῖς τὰ ἐξηγγελμένα ὑπὲρ Δαρείυ τε καὶ τῆς στρατιᾶς τῆς Δαρείυ. Οἱ δὲ αὐτόθεν, ὡς εἶχον, ἄγειν ἐκέλευον. Ὁ δὲ τότε μὲν ἐπαινέσας αὐτὺς, διέλυσε τὸν ξύλλογον, τῇ δὲ ὑστεραίᾳ προσῆγεν, cap. 6.

ἦγεν, ὡς ἐπὶ Δαρεῖόν τε καὶ τοὺς Πέρσας. Δευτεραῖος δὲ ὑπερβαλὼν τὰς πύλας, ἐστρατοπέδευσε πρὸς Μυριάνδρῳ πόλει· καὶ τῆς νυκτὸς χειμὼν ἐπιγίγνεται σκληρὸς, καὶ ὕδωρ τε ἐξ οὐρανοῦ καὶ πνεῦμα βίαιον. Τοῦτο κατέσχεν ἐν τῷ στρατοπέδῳ Ἀλέξανδρον. Δαρεῖος δὲ τέως μὲν ξὺν τῇ στρατιᾷ διέτριβεν, ἐπιλεξάμενος τῆς Ἀσσυρίας γῆς πεδίον πάντη ἀναπεπταμένον, καὶ τῷ τε πλήθει τῆς στρατιᾶς ἐπιτήδειον, καὶ ἐνιππάσασθαι τῇ ἵππῳ ξύμφορον. Καὶ τοῦτο τὸ χωρίον ξυνεβούλευεν αὐτῷ μὴ ἀπολείπειν Ἀμύντας ὁ Ἀντιόχου, ὁ παρ' Ἀλεξάνδρου αὐτόμολος. Εἶναι γὰρ τὴν εὐρυχωρίαν πρὸς τοῦ πλήθους τε καὶ τῆς ἐπισκευῆς τῶν Περσῶν. Καὶ ἔμενε Δαρεῖος. Ὡς δὲ Ἀλεξάνδρῳ πολλὴ μὲν ἐν Ταρσῷ τριβὴ ἐπὶ τῇ νόσῳ ἐγίγνετο, οὐκ ὀλίγη δὲ ἐν Σόλοις, ἵνα ἔθυέ τε καὶ ἐπόμπευε, καὶ ἐπὶ τοὺς ὀρεινοὺς Κίλικας διέτρεψεν ἐξελάσας, τοῦτο ἔσφηλε Δαρεῖον τῆς γνώμης· καὶ αὐτός τε ὅ, τι περ ἥδιστον ἦν δοξασθὲν, ἐς τοῦτο οὐκ ἀκουσίως ὑπήχθη· καὶ ὑπὸ τῶν καθ' ἡδονὴν ξυνόντων τε καὶ ξυνεσομένων ἐπὶ κακῷ τοῖς ἀεὶ βασιλεύουσιν ἐπαιρόμενος, ἔγνω μηκέτι Ἀλέξανδρον ἐθέλειν προϊέναι τοῦ πρόσω, ἀλλ' ὀκνεῖν γὰρ, πυνθανόμενον ὅτι αὐτὸς προσάγοι· καταπατήσειν τε τῇ ἵππῳ τῶν Μακεδόνων τὴν στρατιὰν, ἄλλος ἄλλοθεν αὐτῷ ἐπαίροντες ἐπέλεγον· καίτοι γε Ἀμύντας ἥξειν τε Ἀλέξανδρον ἰσχυρίζετο, ὅπου ἂν πύθηται Δαρεῖον ὄντα, καὶ αὐτοῦ προσμένειν ἐκέλευεν. Ἀλλὰ τὰ χείρω μᾶλλον, ὅτι καὶ ἐν τῷ παραυτίκα ἡδίω ἀκοῦσαι ἦν, ἔπειθε· καί τι καὶ δαιμόνιον τυχὸν ἦγεν αὐτὸν εἰς ἐκεῖνον τὸν χῶρον, οὗ μήτε ἐκ τῆς ἵππου πολλὴ ὠφέλεια αὐτῷ ἐγένετο, μήτε ἐκ τοῦ πλήθους αὐτοῦ τῶν τε ἀνθρώπων καὶ τῶν ἀκοντίων τε καὶ τοξευμάτων· μηδὲ τὴν λαμπρότητα αὐτῆς τῆς στρατιᾶς ἐπιδεῖξαι ἐδυνήθη· ἀλλὰ Ἀλεξάνδρῳ τε καὶ τοῖς ἀμφ' αὐτὸν εὐμαρῶς τὴν νίκην παρέδωκεν. Ἔχρην γὰρ ἤδη καὶ Πέρσας πρὸς Μακεδόνων ἀφαιρεθῆναι τῆς Ἀσίας τὴν ἀρχὴν, καθάπερ οὖν Μῆδοι μὲν πρὸς Περσῶν ἀφῃρέθησαν, πρὸς Μήδων δὲ ἔτι πρόσθεν Ἀσσύριοι.

cap. 7. Ὑπερβαλὼν δὴ τὸ ὄρος Δαρεῖος τὸ κατὰ τὰς πύλας τὰς Ἀμανικὰς καλουμένας, ὡς ἐπὶ Ἰσσὸν προῆγε, καὶ ἐγένετο κατόπιν Ἀλεξάνδρου λαθών. Τὴν δὲ Ἰσσὸν κατασχὼν, ὅσους διὰ νόσον ὑπολελειμμένους αὐτοῦ τῶν

Μακε-

Μακεδόνων κατέλαβε, τούτους χαλεπῶς αἰκισάμενος ἀπέκτεινεν· ἐς δὲ τὴν ὑστεραίαν προὐχώρει ἐπὶ τὸν ποταμὸν τὸν Πίναρον. Καὶ Ἀλέξανδρος ὡς ἤκουσεν ἐν τῷ ὄπισθεν αὐτοῦ ὄντα τὸν Δαρεῖον, ἐπεὶ οὐ πιστὸς αὐτῷ ὁ λόγος ἐφαίνετο, ἀναβιβάσας εἰς τριακόντορον τῶν ἑταίρων τινὰς ἀποπέμπει ὀπίσω ἐπὶ Ἰσσὸν κατασκεψομένους εἰ τὰ ὄντα ἐξαγγέλλεται. Οἱ δὲ, ἀναπλεύσαντες τῇ τριακοντόρῳ, ὅτι κολπώδης ἦν ἡ ταύτῃ θάλασσα, μᾶλλόν τι εὐπετῶς κατέμαθον αὐτοῦ στρατοπεδεύοντας τοὺς Πέρσας· καὶ ἀπαγγέλλουσιν Ἀλεξάνδρῳ ἐν χερσὶν εἶναι Δαρεῖον. Ὁ δὲ συγκαλέσας στρατηγούς τε καὶ ἰλάρχας, καὶ τῶν ξυμμάχων τοὺς ἡγεμόνας, παρεκάλει θαῤῥεῖν μὲν ἐκ τῶν ἤδη σφίσι καλῶς κεκινδυνευμένων, καὶ ὅτι πρὸς νενικημένους ὁ ἀγὼν νενικηκόσιν αὐτοῖς ἔσται· καὶ ὅτι ὁ θεὸς ὑπὲρ σφῶν στρατηγεῖ ἄμεινον, ἐπὶ νοῦν Δαρείῳ ἀγαγὼν, καθεῖρξαι τὴν δύναμιν ἐκ τῆς εὐρυχωρίας ἐς τὰ στενόπορα· ἵνα σφίσι μὲν ξύμμετρον τὸ χωρίον ἀναπτύξαι τὴν φάλαγγα, τοῖς δὲ ἀχρεῖον τὸ πλῆθος ὅτι ἔσται τῇ μάχῃ, οὔτε τὰ σώματα, οὔτε τὰς γνώμας παραπλησίοις. Μακεδόνας τε καὶ Πέρσαις καὶ Μήδοις, ἐκ πάνυ πολλοῦ τρυφῶσιν, αὐτοὺς ἐν τοῖς πόνοις τοῖς πολεμικοῖς πάλαι ἤδη μετὰ κινδύνων ἀσκουμένους, ἄλλως τε καὶ δούλοις ἀνθρώποις ἐλευθέρους ἐς χεῖρας ἥξειν. Ὅσοι τε Ἕλληνες Ἕλλησιν, οὐχ ὑπὲρ τῶν αὐτῶν μαχεῖσθαι, ἀλλὰ τοὺς μὲν ξὺν Δαρείῳ, ἐπὶ μισθῷ, καὶ οὐδὲ τούτῳ πολλῷ, κινδυνεύοντας. Τοὺς δὲ ξὺν σφίσιν, ὑπὲρ τῆς Ἑλλάδος ἑκόντας ἀμυνομένους· βαρβάρων τε αὖ Θρᾶκας, καὶ Παίονας, καὶ Ἰλλυριοὺς, καὶ Ἀγριᾶνας, τοὺς εὐρωστοτάτους τε τῶν κατὰ τὴν Εὐρώπην καὶ μαχιμωτάτους, πρὸς τὰ ἀπονώτατά τε καὶ μαλακώτατα τῆς Ἀσίας γένη ἀντιτάξασθαι· ἐπὶ δὲ Ἀλέξανδρον ἀντιστρατηγεῖν Δαρείῳ. Ταῦτα μὲν οὖν ἐς πλεονεξίαν τοῦ ἀγῶνος ἐπεξῄει. Τὰ δὲ ἆθλα ὅτι μεγάλα ἔσται σφίσι τοῦ κινδύνου ἐπεδείκνυεν. Οὐ γὰρ τοὺς σατράπας τοὺς Δαρείου ἐν τῷ τότε κρατήσειν, οὐδὲ τὴν ἵππον τὴν ἐπὶ Γρανικῷ ταχθεῖσαν, οὐδὲ τοὺς δισμυρίους ξένους τοὺς μισθοφόρους, ἀλλὰ Περσῶν τε ὅ, τι περ ὄφελος καὶ Μήδων, καὶ ὅσα ἄλλα ἔθνη Πέρσαις καὶ Μήδοις ὑπήκοα ἐποικεῖ τὴν Ἀσίαν, καὶ αὐτὸν μέγαν βασιλέα παρόντα, καὶ ὡς οὐδὲν ὑπολειφθήσεται σφίσιν ἐπὶ

τῷδε

τῷδε τῷ ἀγῶνι, ὅτι μὴ κρατεῖν τῆς Ἀσίας ξυμπάσης, καὶ πέρας τοῖς πολλοῖς πόνοις ἐπιθεῖναι. Ἐπὶ τούτοις δὲ τῶν τε εἰς τὸ κοινὸν ξὺν λαμπρότητι ἤδη πεπραγμένων ὑπεμίμνησκε. Καὶ εἰ δή τῳ ἰδίᾳ τὶ διαπρεπὲς ἐς κάλλος τετολμημένον, ὀνομαστὶ ἕκαστον ἐπὶ τῷ ἔργῳ ἀνακαλῶν, καὶ τὸ αὐτοῦ οὐκ ἀκίνδυνον ἐν ταῖς μάχαις ὡς ἀνεπαχθέστατα ἐπεξῄει. Λέγεται δὲ καὶ Ξενοφῶντος καὶ τῶν ἅμα Ξενοφῶντι μυρίων ἐς μνήμην ἐλθεῖν, ὡς οὐδέν τι οὔτε κατὰ πλῆθος οὔτε κατὰ τὴν ἄλλην ἀξίωσιν σφίσιν ἐπεοικότες· οὐδὲ ἱππέων αὐτοῖς παρόντων Θεσσαλῶν, οὐδὲ Βοιωτῶν, ἢ Πελοποννησίων, οὐδὲ Μακεδόνων, ἢ Θρακῶν, οὐδ' ὅση ἄλλη σφίσιν ἵππος ξυντέτακται· οὐδὲ τοξοτῶν, ἢ σφενδονητῶν, ὅτι μὴ Κρητῶν, ἢ Ῥοδίων ὀλίγων· καὶ τούτων ἐν τῷ κινδύνῳ ὑπὸ Ξενοφῶντος αὐτοσχεδιασθέντων. Οἱ δὲ βασιλέα τε ξὺν πάσῃ τῇ δυνάμει πρὸς Βαβυλῶνι αὐτῇ ἐτρέψαντο, καὶ ἔθνη ὅσα ἄλλα κατιόντων εἰς τὸν Εὔξεινον πόντον καθ' ὁδὸν σφίσιν ἐπεγένετο, νικῶντες ἐπῆλθον· ὅσα τε ἄλλα ἐν τῷ τοιῷδε πρὸ τῶν κινδύνων ἐς παράκλησιν, ἀνδράσιν ἀγαθοῖς ἐξ ἀγαθοῦ ἡγεμόνος παραινεῖσθαι εἰκός. Οἱ δὲ ἄλλος ἄλλοθεν δεξιούμενοί τε τὸν βασιλέα,
cap. 8. καὶ τῷ λόγῳ ἐπαίροντες, ἄγειν ἤδη ἐκέλευον. Ὁ δὲ τότε μὲν δειπνοποιεῖσθαι παραγγέλλει, προπέμπει δὲ [ὡς ἐπὶ τὰς πύλας,] τῶν ἱππέων ὀλίγους καὶ τῶν τοξοτῶν τινὰς κατασκεψομένους τὴν ὁδὸν τὴν ὀπίσω, ὡς ἐπὶ τὰς πύλας· καὶ αὐτὸς τῆς νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν πᾶσαν ᾔει, ὡς κατασχεῖν αὖθις τὰς πύλας. Ὡς δὲ ἀμφὶ μέσας νύκτας ἐκράτησεν αὖθις τῶν παρόδων, ἀνέπαυε τὴν στρατιὰν τὸ λοιπὸν τῆς νυκτὸς, αὐτοῦ ἐπὶ τῶν πετρῶν προφυλακὰς ἀκριβεῖς κατασησάμενος· ὑπὸ δὲ τὴν ἕω κατῄει κατὰ τῶν πυλῶν κατὰ τὴν ὁδόν· καὶ ἕως μὲν πάντη στενόπορα ἦν τὰ χωρία, ἐπὶ κέρως ἦγεν· ὡς δὲ διεχώρει ἐς πλάτος, ἀνέπτυσσεν ἀεὶ τὸ κέρας ἐς φάλαγγα, ἄλλην καὶ ἄλλην τῶν ὁπλιτῶν τάξιν παράγων, τῇ μὲν, ὡς ἐπὶ τὸ ὄρος, ἐν ἀριστερᾷ δὲ, ὡς ἐπὶ τὴν θάλασσαν. Οἱ δὲ ἱππεῖς αὐτέως μὲν κατόπιν τῶν πεζῶν τεταγμένοι ἦσαν· ὡς δὲ ἐς τὴν εὐρυχωρίαν προῄεσαν, συνέτασσεν ἤδη τὴν στρατιὰν ἐς μάχην· ὁ δὲ Ἀλέξανδρος ἐνίκησε, ὁ δὲ Δαρεῖος σὺν τοῖς πρώτοις ἔφευγε. καὶ ἕς τε μὲν ὁμαλοῖς χωρίοις ἐν

τῇ φυγῇ ἐτύγχανεν, ἐπὶ τοῦ ἅρματος διεσώζετο. Ὡς δὲ φάραγξί τε καὶ ἄλλαις δυσχωρίαις ἐνέκυρσε, τὸ μὲν ἅρμα ἀπολείπει αὐτοῦ, καὶ τὴν ἀσπίδα, καὶ τὸν κάνδυν ἐκδύς· ὁ δὲ καὶ τὸ τόξον ἀπολείπει ἐπὶ τοῦ ἅρματος· αὐτὸς δὲ ἵππου ἐπιβὰς ἔφευγε. Καὶ ἡ νὺξ οὐ διὰ μακροῦ ἐπιγινομένη ἀφείλετο αὐτὸν, τὸ πρὸς Ἀλέξανδρον ἁλῶναι. Ἀλέξανδρος γὰρ ἔς τε μὲν φάος ἦν, ἀνὰ κράτος ἐδίωκεν. ὡς δὲ συνεσκόταζέ τε ἤδη, καὶ τὰ πρὸ ποδῶν ἀφανῆ ἦν, ἐς τὸ ἔμπαλιν ἐτράπετο ὡς ἐπὶ τὸ στρατόπεδον, τὸ μέν τοι ἅρμα τὸ Δαρείου ἀπολαβὼν, καὶ τὴν ἀσπίδα ἐπ' αὐτῷ, καὶ τὸν κάνδυν, καὶ τὸ τόξον· τό τε στρατόπεδον τοῦ Δαρείου εὐθὺς ἐξ ἐφόδου ἑάλω, καὶ ἡ μήτηρ, καὶ ἡ γυνὴ, αὐτὴ δε καὶ ἀδελφὴ Δαρείου, καὶ υἱὸς Δαρείου νήπιος. Καὶ θυγατέρες δύο ἑάλωσαν, καὶ ἄλλαι ἀμφ' αὐτὰς Περσῶν τῶν ὁμοτίμων γυναῖκες οὐ πολλαί. Οἱ γὰρ ἄλλοι Πέρσαι τὰς γυναῖκας σφῶν ξὺν τῇ ἄλλῃ κατασκευῇ ἐς Δαμασκὸν ἔτυχον ἐσταλκότες· ἐπεὶ καὶ Δαρεῖος τῶν τε χρημάτων τὰ πολλὰ, καὶ ὅσα ἄλλα μεγάλῳ βασιλεῖ ἐς πολυτελῆ δίαιταν καὶ στρατευομένῳ ὅμως συνέπεται, πεπόμφει ἐς Δαμασκόν· ὥς τε ἐν τῷ στρατεύματι οὐ πλείονα ἢ τρισχίλια τάλαντα ἑάλω. Ἀλλὰ καὶ τὰ ἐν Δαμασκῷ χρήματα ὀλίγον ὕστερον ἑάλω ὑπὸ Παρμενίωνος ἐπ' αὐτὸ τοῦτο σταλέντος. Τοῦτο τὸ τέλος τῇ μάχῃ ἐκείνῃ ἐγένετο, ἐπὶ ἄρχοντος Ἀθηναίοις Νικοστράτου, μηνὸς Μαιμακτηριῶνος. Ταῦτα μὲν ὁ Ἀλέξανδρος ἐν ταύτῃ τῇ χώρᾳ ἔπραττε.

Μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν Περδίκκας ἔχων μεθ' ἑαυτοῦ τὸν βασιλέα Φίλιππον καὶ τὴν βασιλικὴν δύναμιν, ἐστράτευσεν ἐπὶ Ἀριαράθην τὸν Καππαδοκίας δυνάστην. οὗτος γὰρ οὐ προσέχων τοῖς Μακεδόσιν, ὑπὸ μὲν Ἀλεξάνδρου παρεωράθη, διὰ τοὺς περὶ Δαρεῖον ἀγῶνας καὶ περισπασμοὺς, ἀναστροφὴν δὲ πολυχρόνιον ἔσχε, κυριεύων τῆς Καππαδοκίας. διὸ καὶ πολλὰ μὲν ἐκ τῶν προσόδων χρήματα ἤθροισε, δυνάμεις δ' ἐγχωρίους καὶ ξενικὰς μεγάλας συνεστήσατο. διὸ καὶ βασιλείας ἀντιποιούμενος, ἕτοιμος ἦν πρὸς τὸν Περδίκκαν διαγωνίζεσθαι, πεζοὺς μὲν ἔχων τρισμυρίους, ἱππεῖς δὲ μυρίους πεντακισχιλίους. ὁ δὲ Περδίκκας, συνάψας αὐτῷ μάχην, καὶ τῇ παρατάξει νικήσας, ἀνεῖλε μὲν εἰς τετρακισχιλίους, ἐζώγρησε δὲ ὑπὲρ τοὺς πεν-

Diodorus Sic. Lib. XVIII. cap. 16.

τακι-

τακισχιλίες, ἐν οἷς ἦν καὶ αὐτὸς ὁ Ἀριαράθης. τοῦτον μὲν οὖν καὶ τοὺς συγγενεῖς αὐτοῦ πάντας αἰκισάμενος ἀνεσταύρωσε· τοῖς δ᾽ ἡττηθεῖσι συγχωρήσας τὴν ἀσφάλειαν, καὶ καταστήσας τὰ κατὰ τὴν Καππαδοκίαν, παρέδωκε τὴν σατραπείαν Εὐμένει τῷ Καρδιανῷ, καθάπερ ἐξ ἀρχῆς ἦν μεμερισμένος· μετὰ δὲ ταῦτα ἐχωρίσθησαν ὁ μὲν Περδίκκας καὶ ὁ βασιλεὺς Φίλιππος ἐκ τῆς Καππαδοκίας· καταντήσαντες δὲ εἰς τὴν Πισιδικὴν, ἀναστάτους ἐποίησαν δύο πόλεις, τήν τε τῶν Λαρανδέων καὶ τὴν τῶν Ἰσαυρέων· αὗται γὰρ ἔτι ζῶντος Ἀλεξάνδρου Βάλακρον τὸν Νικάνορος ἀπέκτειναν, ἀποδεδειγμένον στρατηγὸν ἅμα καὶ σατράπην.

cap. 39. Ὡς δὲ ὁ Ἀντίπατρος τὰς σατραπείας ἐξ ἀρχῆς ἐμερίσατο, Φιλοξένῳ μὲν τὴν Κιλικίαν ἔδωκε, Καππαδοκίαν δὲ Νικάνορι, Φρυγίαν τὴν μεγάλην καὶ Λυκίαν Ἀντιγόνῳ καθάπερ πρότερον ἔσχε, Καρίαν δὲ Κασσάνδρῳ, Λυδίαν δὲ Κλείτῳ, Φρυγίαν δὲ τὴν ἐφ᾽ Ἑλλησπόντῳ Ἀῤῥιδαίῳ.

Lib. XVIII. cap. 1. Ἐν ᾧ δὲ οἱ ἐπιφανέστατοι τῶν Ἀλεξάνδρου φίλων ὑπὲρ τοῦ πρωτείου διενεχθέντες, πολλοὺς πολέμους καὶ μεγάλους ἀγῶνας συνεστήσαντο, καὶ ἐν ταύτῃ τῇ χώρᾳ πλείονες βασιλεῖαι ἐκ σατραπειῶν ἐγίγνοντο.

---

e) DE REBUS PERGAMENORUM.

Pergamum. *Strabo*, Lib. XIII. Τὸ Πέργαμον. Ἦν μὲν δὴ τὸ Πέργαμον Λυσιμάχου γαζοφυλάκιον τοῦ Ἀγαθοκλέους ἑνὸς τῶν Ἀλεξάνδρου διαδόχων, αὐτὴν τὴν ἄκραν τοῦ ὄρους συνῳκημένην ἔχον· ἔστι δὲ στροβυλοειδὲς τὸ ὄρος εἰς ὀξεῖαν κορυφὴν ἀπολῆγον, ἐπεπίστευτο δὲ τὴν φυλακὴν τοῦ ἐρύματος τούτου

Philetærus 283 ante Chr. καὶ τῶν χρημάτων (ἦν δὲ τάλαντα ἐννακισχίλια) Φιλέταιρος ἀνὴρ Τιανὸς θλιβίας ἐκ παιδός· συνέβη γὰρ ἔν τινι ταφῇ θέας οὔσης, καὶ πολλῶν παρόντων, ἀπολειφθεῖσαν ἐν τῷ ὄχλῳ τὴν κομίζουσαν τροφὸν τὸν Φιλέταιρον ἔτι νήπιον, συνθλιβῆναι μέχρι τοσοῦδε, ὥστε πηρωθῆναι τὸν παῖδα· ἦν μὲν δὴ εὐνοῦχος, τραφεὶς δὲ καλῶς ἐφάνη τῆς πίστεως ταύτης ἄξιος· τέως μὲν οὖν εὔνους διέμεινεν τῷ Λυσιμάχῳ· διενεχθεὶς δὲ πρὸς Ἀρσινόην τὴν γυναῖκα αὐτοῦ διαβάλλουσαν αὐτὸν, ἀπέστησε τὸ χωρίον, καὶ

καὶ πρὸς τοὺς καιροὺς ἐπολιτεύετο, ὁρῶν ἐπιτηδείους πρὸς νεωτερισμόν· ὅ, τε γὰρ Λυσίμαχος κακοῖς οἰκείοις περιπεσὼν, ἠναγκάσθη τὸν υἱὸν ἀνελεῖν Ἀγαθοκλέα· Σέλευκός τε ἐπελθὼν ὁ Νικάτωρ, ἐκεῖνόν τε κατέλυσε, καὶ αὐτὸς κατελύθη δολοφονηθεὶς ὑπὸ Πτολεμαίου τοῦ Κεραυνοῦ. Τοιούτων δὲ θορύβων ὄντων, διεγένετο μένων ἐπὶ τοῦ ἐρύματος ὁ εὐνοῦχος, καὶ πολιτευόμενος δι' ὑποσχέσεων καὶ τῆς ἄλλης θεραπείας ἀεὶ, πρὸς τὸν ἰσχύοντα, καὶ ἐγγὺς παρόντα· διετέλεσε γοῦν ἔτη εἴκοσι κύριος ὢν τοῦ Φρουρίου, καὶ τῶν χρημάτων. Ἦσαν δὲ αὐτῷ δύο ἀδελφοὶ, πρεσβύτερος μὲν Εὐμένης, νεώτερος δὲ Ἄτταλος· ἐκ μὲν οὖν τοῦ Εὐμένους ἐγένετο τῷ πατρὶ ὁμώνυμος Εὐμένης, ὅς περ καὶ διεδέξατο τὸ Πέργαμον, καὶ ἦν ἤδη δυνάστης τῶν κύκλῳ χωρίων· ὥστε καὶ περὶ Σάρδεις ἐνίκησε συμβαλὼν Ἀντίοχον τὸν Σελεύκου. δύο δὲ καὶ εἴκοσιν ἄρξας ἔτη, τελευτᾷ τὸν βίον. Ἐκ δὲ Ἀττάλου καὶ Ἀντιοχίδος τῆς Ἀχαιοῦ γεγονὼς Ἄτταλος διεδέξατο τὴν ἀρχὴν, καὶ ἀνηγορεύθη βασιλεὺς πρῶτος, νικήσας Γαλάτας μάχῃ μεγάλῃ. Οὗτος δὲ καὶ Ῥωμαίοις κατέστη φίλος, καὶ συνεπολέμησε πρὸς Φίλιππον μετὰ τοῦ Ῥοδίων ναυτικοῦ· γηραιὸς δὲ ἐτελεύτα βασιλεύσας ἔτη τρία καὶ τετταράκοντα, υἱοὺς ἐξ Ἀπολλωνίδος Κυζικηνῆς γυναικὸς, Εὐμενῆ, Ἄτταλον, Φιλέταιρον, Ἀθήναιον. Οἱ μὲν οὖν νεώτεροι διετέλεσαν ἰδιῶται· τῶν δ' ἄλλων ὁ πρεσβύτερος Εὐμένης ἐβασίλευσε· συνεπολέμησε δὲ καὶ οὗτος Ῥωμαίοις πρός τε Ἀντίοχον τὸν μέγαν, καὶ πρὸς Περσέα· καὶ ἔλαβεν ὑπὸ τῶν Ῥωμαίων ἅπασαν τὴν ὑπ' Ἀντιόχῳ τῆς ἐντὸς τοῦ Ταύρου. Πρότερον δ' ἦν τὰ περὶ Πέργαμον οὐ πολλὰ χωρία μέχρι τῆς θαλάττης τῆς κατὰ τὸν Ἐλαΐτην κόλπον, καὶ τὸν Ἀδραμυττηνόν. Κατεσκεύασε δ' οὗτος τὴν πόλιν, καὶ τὸ Νικηφόριον ἄλσος κατεφύτευσε, καὶ ἀναθήματα, καὶ βιβλιοθήκας, καὶ τὴν ἐπὶ τοσόνδε κατοικίαν τοῦ Περγάμου τὴν νῦν οὖσαν ἐκεῖνος προσεφιλοκάλησε· βασιλεύσας ἔτη τετταράκοντα καὶ ἐννέα, ἀπέλιπε τῷ υἱῷ τὴν ἀρχὴν Ἀττάλῳ, γεγονότι ἐκ Στρατονίκης τῆς Ἀριαράθου θυγατρὸς τοῦ Καππαδόκων βασιλέως· ἐπίτροπον δὲ κατέστησε καὶ τοῦ παιδὸς νέου τελέως ὄντος, καὶ τῆς ἀρχῆς τὸν ἀδελφὸν Ἄτ-

Eumemes 263 ante Chr.

Attalus 241 ante Chr.

Eumenes II. 197 ante Chr.

Attalus II. 159 ante Chr. Ἄτταλον· ἓν δὲ καὶ εἴκοσιν ἔτη βασιλεύσας γέρων ὢν τελευτᾷ, κατορθώσας πολλά· καὶ γὰρ Δημήτριον τὸν Σελεύκου συγκατεπολέμησεν Ἀλεξάνδρῳ τῷ Ἀντιόχου· καὶ συνεμάχησε Ῥωμαίοις ἐπὶ τὸν ΨευδοΦίλιππον· ἐχειρώσατο δὲ καὶ Διήγυλιν τὸν ἐκείνων βασιλέα στρατεύσας ἐς τὴν Θράκην· ἀνεῖλε δὲ καὶ Προυσίαν, ἐπισυστήσας αὐτῷ Νικομήδη τὸν υἱόν· κατέλιπε δὲ καὶ τὴν ἀρχὴν τῷ ἐπιτροπευομένῳ Ἀττάλῳ· (Attalus III. 138 ante Chr.) βασιλεύσας δὲ ἔτος ἔτη πέντε, καὶ κληθεὶς Φιλομήτωρ, ἐτελεύτα νόσῳ τὸν βίον· (132 ante Chr.) κατέλιπε δὲ κληρονόμους Ῥωμαίους· οἱ δ' ἐπαρχίαν ἀπέδειξαν τὴν χώραν, Ἀσίαν προσαγορεύσαντες ὁμώνυμον τῇ ἠπείρῳ.

---

f) DE REBUS BITHYNORUM.

Bithynia. *Appianus*, de bello Mithrid. cap. 1.

Ἡ Βιθυνία. Θρᾶκας, Ἕλληνες ἡγοῦνται, τοὺς ἐς Ἴλιον μετὰ Ῥήσου στρατεύσαντας, Ῥήσου νυκτὸς ὑπὸ Διομήδους ἀναιρεθέντος, ὃν τρόπον Ὅμηρος ἐν τοῖς ἔπεσι Φράζει, Φεύγοντας ἐπὶ τοῦ Πόντου τὸ στόμα, ᾗ στενότατός ἐστιν ἐς Θρᾴκην ὁ διάπλους· οἱ μὲν, οὐκ ἐπιτυχόντας πλοίων, τῇδε καταμεῖναι, καὶ τῆς γῆς κρατῆσαι Βεβρυκίας λεγομένης· οἱ δὲ, περάσαντας ὑπὲρ τὸ Βυζάντιον ἐς τὴν Θρᾳκῶν τῶν Βιθυνῶν λεγομένων, παρὰ Βιθύαν ποταμὸν, οἰκῆσαι· καὶ λιμῷ πιεσθέντας ἐς Βεβρυκίαν αὖθις ἐπανελθεῖν, καὶ Βιθυνίαν ἀντὶ Βεβρυκίας, ἀπὸ τοῦ ποταμοῦ παρ' ὃν ᾤκουν, ὀνομάσαι· ἢ καὶ τὸ ὄνομα αὐτοῖς ἀλόγως σὺν χρόνῳ παρατραπῆναι, οὐκ ἐς πολὺ τῆς Βιθυνίας παρὰ τὴν Βεβρυκίαν διαφερούσης. ὧδε μὲν ἔνιοι νομίζουσιν. ἕτεροι δὲ, Βίθυν ἄρξαι πρῶτον αὐτῶν, παῖδα Διός τε καὶ Θρᾴκης, οὓς ἐπωνύμους ἑκατέρᾳ γῇ γενέσθαι. τάδε μὲν οὖν μοι

cap. 2. προλελέχθω περὶ Βιθυνίας. Τῶν δὲ πρὸ Ῥωμαίων αὐτῆς βασιλέων, ἐννέα καὶ τεσσαράκοντα ἐφεξῆς γενομένων, ὁ

Bas 323 ante Chr. *Memnon* ap. *Photium*.

μὲν Βᾶς Κάλαντον τὸν Ἀλεξάνδρου στρατηγὸν, καὶ πάνυ καλῶς παρεσκευασμένον πρὸς τὴν μάχην, κατηγωνίσατο, καὶ τῆς Βιθυνίας παρεσκεύασε τοὺς Μακεδόνας ἀποσχέσθαι. Τούτου βίος μὲν ἐγεγόνει (ἐτῶν) ά καὶ ό. ὧν ἐβασίλευσε ν'. οὗ παῖς, τῆς ἀρχῆς διάδοχος, Ζιποίτης, λαμπρὸς ὁ πολέμοις γεγονὼς, καὶ, τοὺς Λυσιμάχου στρατηγοὺς, τὸν μὲν ἀνελὼν, τὸν δὲ ἐπὶ μήκιστον τῆς οἰκείας ἀπελάσας ἀρχῆς
ἀλλ

ἀλλὰ καὶ αὐτȣ̃ Λυσιμάχȣ· ἐ̃ιτα καὶ Ἀντιόχȣ τȣ̃ παιδὸς Σελεύκȣ ἐπικρατέςερος γεγονὼς, τȣ̃ τε τῆς Ἀσίας βασιλεύοντος καὶ τȣ̃ Μακεδόνων· κτίζει πόλιν ὑπὸ τῷ Λυπέρῳ ὄρει, τῇ αὐτȣ̃ κλήσει ἐπώνυμον ἐ̃τος βιȣ̀ς μὲν ἔτη ς' καὶ ὀ, κρατήσας δὲ τῆς ἀρχῆς ή καὶ μ'. καταλείπει παῖδας δ'. τȣ̃τον ὁ πρεσβύτερος τῶν παίδων Νικομήδης διαδέχεται, τοῖς ἀδελφοῖς ȣ̀κ ἀδελφὸς, ἀλλὰ δήμιος γεγονώς. ἐκρατύνατο μέν τοι καὶ ἐ̃τος τὴν Βιθυνῶν ἀρχὴν· μάλιςά γε τȣ̀ς Γαλάτας ἐπὶ τὴν Ἀσίαν διαπεραιωθῆναι συναράμενος.

Nicomedes I. 278 ante Chr.

Ὁ δὲ ἐνδοξότατος ἦν Πρȣσίας, ὁ Κυνηγὸς ἐπίκλησιν, ᾧ Περσεὺς, ὁ Μακεδόνων βασιλεὺς, τὴν ἀδελφὴν ἐνηγγύησε. καὶ ȣ̀ πολὺ ὕςερον Περσέως καὶ Ῥωμαίων ἐς χεῖρας ἐπ' ἀλλήλȣς ἰόντων, ὁ Πρȣσίας ȣ̀δετέροις συνεμάχει. Περσέως δ' ἁλόντος, ἀπήντησε τοῖς Ῥωμαίων ςρατηγοῖς, ἐ̃ιμά τε Ῥωμαϊκὸν ἀμπεχόμενος, ὃ καλȣ̃σι τήβεννον, καὶ ὑποδήματα ἔχων Ἰταλικὰ, τὴν κεφαλὴν ἐξυρημένος, καὶ πῖλον ἐπικείμενος· (ᾧ τρόπῳ τινὲς προΐασι τῶν ἐν διαθήκαις ἐλευθερωθέντων·) αἰσχρὸς ὢν καὶ τἄλλα ὀφθῆναι, καὶ βραχύς. ἐντυχὼν δ' αὐτοῖς, ἔφη Ῥωμαϊκῷ τῷ ῥήματι· Ῥωμαίων εἰμὶ λίβερτος· ὅπερ ἐςὶν ἀπελεύθερος. γέλωτα δὲ παρασχὼν, ἐς Ῥώμην ἐπέμφθη· καὶ φανεὶς κἀνταῦθα γελοῖος, ἔτυχε συγγνώμης. Χρόνῳ δ' ὕςερον Ἀττάλῳ τι χαλεπήνας, τῷ βασιλεῖ τῆς Ἀσίας τῆς περὶ τὸ Πέργαμον, τὴν γῆν ἐδῄȣ τὴν Ἀσιάδα. μαθȣ̃σα δ' ἡ Ῥωμαίων βȣλὴ, προσέπεμπε τῷ Πρȣσίᾳ, μὴ πολεμεῖν Ἀττάλῳ, φίλῳ Ῥωμαίων ὄντι καὶ συμμάχῳ. καὶ δυσπειθῶς ἔτι ἔχοντι οἱ πρέσβεις μετ' ἀνατάσεως προσέταssον, πείθεσθαι τοῖς ὑπὸ τῆς συγκλήτȣ λεγομένοις, καὶ ἥκειν μετὰ χιλίων ἱππέων ἔς τι μεθόριον ἐπὶ συνθήκαις· ἔνθα καὶ τὸν Ἄτταλον ἔφασαν περιμένειν μετὰ τοσῶνδε ἑτέρων. Ὁ δ', ὡς ὀλίγων, τῶν σὺν Ἀττάλῳ καταφρονήσας, καὶ ἐλπίσας αὐτὸν ἐνεδρεύσειν, προὔπεμπε τȣ̀ς πρέσβεις, ὡς μετὰ χιλίων ἑπόμενος· πάντα δ' ἀναςήσας τὸν ςρατὸν, ἦγεν ὡς ἐς μάχην. Ἀττάλȣ δὲ καὶ τῶν πρέσβεων αἰσθομένων τε, καὶ διαφυγόντων ᾗ δυνατὸς αὐτῶν ἐγίγνετο ἕκαςος· ὅδε καὶ τῶν σκευοφόρων τῶν Ῥωμαϊκῶν ὑπολειφθέντων ἥπτετο, καὶ χωρίον τι Νικηφόριον

Prusias 221 ante Chr. *Appianus*, de bello Mithrid. cap. 2-7.

cap. 8.

ριον ἐξελιὸν κατέσκαπτε, καὶ τοὺς ἐν αὐτῷ νεὼς ἐνεπίμπρη· Ἄτταλόν τε, ἐς τὸ Πέργαμον συμφυγόντα, ἐπολιόρκει. μέχρι καὶ τῶνδε οἱ Ῥωμαῖοι πυθόμενοι, πρέσβεις ἑτέρους ἔπεμπον, οἳ τὸν Προυσίαν ἐκέλευον Ἀττάλῳ τὰς βλάβας ἀποτῖσαι. τότε οὖν καταπλαγεὶς ὁ Προυσίας ὑπήκουσε, καὶ ἀνεχώρει. κοινὴν δὲ τῶν πρέσβεων ὁρισάντων αὐτὸν ἐσενεγκεῖν Ἀττάλῳ, ναῦς καταφράκτους εἴκοσιν αὐτίκα, καὶ ἀργυρίου σὺν χρόνῳ τάλαντα πεντακόσια, τάς τε ναῦς ἔδωκε, καὶ τὰ χρήματα ἐν τῷ χρόνῳ συνέφερεν. Ὄντι δ'

cap. 4. NicomedesII. 149–90 ante Chr. αὐτῷ διὰ μίσους τοῖς ὑπηκόοις ἐπὶ ὠμότητι χαλεπῇ, Νικομήδης υἱὸς ἦν, πάνυ τοῖς Βιθυνοῖς ἀρέσκων. ὅπερ ὁ Προυσίας ὑφορώμενος, ἐς Ῥώμην αὐτὸν βιοῦν μετεστήσατο. Καὶ μαθὼν εὐδοκιμοῦντα κἀκεῖ, προσέταξε τῆς βουλῆς δεηθῆναι, τῶν ἔτι ὀφειλομένων Ἀττάλῳ χρημάτων αὐτὸν ἀπολῦσαι. Μηνᾶν τε αὐτῷ συμπρεσβεύσοντα ἔπεμπε καὶ εἴρητο τῷ Μηνᾷ, εἰ μὲν ἐπιτύχοι τῆς ἀφέσεως τῶν χρημάτων, ἔτι φείδεσθαι τοῦ Νικομήδους· εἰ δὲ ἀποτύχοι, κτείνειν αὐτὸν ἐν Ῥώμῃ. κερκούρους τέ τινας ἐς τοῦτο συνέπεμψεν αὐτῷ καὶ δισχιλίους στρατιώτας. Ὁ δὲ, τῆς μὲν ζημίας οὐκ ἀφεθείσης τῷ Προυσίᾳ, (Ἀνδρόνικος γὰρ ἐπιπεμφθεὶς ἐς ἀντιλογίαν ὑπὸ Ἀττάλου, τὴν ζημίαν ἀπέφαινεν ἐλάττονα τῆς ἁρπαγῆς·) τὸν δὲ Νικομήδη λόγου καὶ σπουδῆς ἄξιον ὁρῶν, ἠπόρητο, καὶ οὔτε κτείνειν αὐτὸν ὑφίστατο, οὔτε αὐτὸς ἐς Βιθυνίαν ἐπανιέναι διὰ δέος. ὅμως δ' αὐτῷ βραδύνοντι, συνεὶς ὁ νεανίσκος, ἐς λόγους ἦλθεν, ἐθέλοντι κἀκείνῳ. συνθέμενοι δ' ἐπιβουλεῦσαι τῷ Προυσίᾳ, τὸν Ἀττάλου πρεσβευτὴν Ἀνδρόνικον ἐς τὸ ἔργον προσέλαβον, ἵνα τὸν Ἄτταλον πείσειε τὸν Νικομήδη καταγαγεῖν ἐς Βιθυνίαν. Ἀναμείναντες δ' ἀλλήλους ἐν τῇ Βερνίκῃ, πολισματίῳ τινὶ τῆς Ἠπείρου, νυκτὸς ἐσβάντες ἐς ναῦν, ἅ τε δέοι ποιεῖν συνετίθεντο, καὶ διελύθησαν ἔτι

cap. 5. νυκτός. Ἅμα δ' ἡμέρᾳ, Νικομήδης μὲν ἐξέβαινε τῆς νεὼς πορφύραν τε βασιλικὴν ἠμφιεσμένος, καὶ διάδημα ἐπικείμενος· Ἀνδρόνικος δ' αὐτὸν ὑπαντιάσας τε καὶ βασιλέα προσειπὼν, παρέπεμπε μετὰ στρατιωτῶν ὧν εἶχε πεντακοσίων. Μηνᾶς δὲ, ὑποκρινάμενος τότε πρῶτον ᾐσθῆσθαι Νικομήδους παρόντος, ἐς τοὺς δισχιλίους διαδραμὼν ἐδυσφόρει. προϊὼν δὲ τῷ λόγῳ· Δύο, ἔφη, βασιλεῖς

τῦ μὲν ὄντος ἐν τῇ χώρᾳ, τῦ δ' ἐπιόντος, ἀναγκαῖον ἡμῖν τὸ σφέτερον ἓυ διατίθεσθαι, καὶ τῦ γενησομένυ καλῶς τεκμαίρεσθαι· ὡς ἐν τῷδε τῆς ἡμετέρας σωτηρίας βεβαιυμένης, ἣν καλῶς προϊδώμεθα, πότερος αὐτῶν ἐπικρατήσει. ὁ μὲν δὴ γέρων ἐςὶν, ὁ δὲ νέος· καὶ Βιθυνοὶ τὸν μὲν ἀποςρέφονται, τὸν δὲ αἱρῦνται. Ῥωμαίων τε οἱ δυνατοὶ τὸν νεανίαν ἀγαπῶσι· καὶ Ἀνδρόνικος, αὐτὸν ἤδη δορυφορῶν, ὑποδείκνυσι τὴν Ἀττάλυ συμμαχίαν, ἀρχήν τε μεγάλην ἔχοντος καὶ Βιθυνοῖς γειτονεύοντος, καὶ ἐκ πολλῦ τῷ Πρυσίᾳ πεπολεμωμένυ. Λέγων δὲ ταῦθ', ἅμα καὶ τὴν ὠμότητα τῦ Πρυσίυ παρεγύμνυ, καὶ ὅσα πονηρὰ πράξειεν ἐς ἅπαντας, καὶ τὸ κοινὸν ἐπὶ τοῖςδε Βιθυνῶν ἐς αὐτὸν ἔχθος. Ὡς δὲ κἀκείνυς εἶδε τὴν Πρυσίυ μοχθηρίαν ἀποςρεφομένυς, ἦγεν αὐτὺς ἐς τὸν Νικομήδην αὐτίκα, καὶ προσειπὼν καὶ ὧδε βασιλέα δεύτερος ἐπὶ Ἀνδρονίκῳ, μετὰ τῶν δισχιλίων ἐδορυφόρει. Ἄτταλός τε τὸν νεανίαν προθύμως ὑπεδέχετο, καὶ τὸν Πρυσίαν ἐκέλευσε, τῷ παιδὶ πόλεις τέ τινας ἐς ἐνοίκησιν, καὶ χώραν ἐς ἐφόδια, δῦναι. Ὁ δ', αὐτίκα δώσειν, ἔφη, τὴν Ἀττάλυ βασιλείαν ἅπασαν· ἣ δὴ καὶ πρότερον Νικομήδῃ περιποιῶν, ἐς Ἀσίαν ἐσβαλεῖν. Ταῦτα δ' εἰπὼν, ἔπεμπεν ἐς Ῥώμην τὺς Νικομήδυς καὶ Ἀττάλυ κατηγορήσοντάς τε, καὶ προκαλεσομένυς ἐς κρίσιν. Οἱ δ' ἀμφὶ τὸν Ἄτταλον εὐθὺς ἐχώρυν ἐς τὴν Βιθυνίαν, καὶ προσιῦσιν αὐτοῖς οἱ Βιθυνοὶ κατ' ὀλίγυς προσετίθεντο. Πρυσίας δ' ἅπασιν ἀπιςῶν, καὶ Ῥωμαίυς ἐλπίζων αὐτὸν ἐξαιρήσεσθαι τῆς ἐπιβυλῆς, Διήγυλιν τὸν Θρᾷκα, κηδεςὴν ὄντα οἱ, πεντακοσίυς Θρᾷκας αἰτήσας καὶ λαβὼν, τοῖςδε μόνοις τὸ σῶμα ἐπέτρεψεν, ἐς τὴν ἀκρόπολιν τὴν ἐν Νικαίᾳ καταφυγών. Ὁ δὲ Ῥωμαίων ςρατηγὸς ἐν ἄςει ὔτε αὐτίκα ἐπῆγεν ἐπὶ τὴν βυλὴν τὺς τῦ Πρυσίυ πρέσβεις, χαριζόμενος Ἀττάλῳ· ἐπαγαγών τε ποτὲ, ψηφισαμένης τῆς βυλῆς, τὸν ςρατηγὸν αὐτὸν ἑλέσθαι τε καὶ πέμψαι πρέσβεις, οἳ διαλύσυσι τὸν πόλεμον, εἵλετο τρεῖς ἄνδρας, ὧν ὁ μὲν τὴν κεφαλὴν ποτε λίθῳ πληγεὶς, ἀσχήμονας ἐπέκειτο ὠτειλάς· ὁ δὲ τὺς πόδας διέφθαρτο ὑπὸ ῥεύματος· ὁ δ' ἠλιθιώτατος ἐνομίζετο εἶναι. ὥςε Κάτωνα, τὴν πρεσβείαν ἐπισκώπτοντα, εἰπεῖν· τὴν πρεσβείαν ταύτην μήτε νῦν ἔχειν, μήτε πόδας,

cap. 6.

cap. 7. μήτε κεφαλήν. Ὁι μὲν δὴ πρέσβεις ἐς Βιθυνίαν ἀφίκοντο, καὶ προσέτασσον ἀυτοῖς, τὸν πόλεμον ἐκλῦσαι. Νικομήδες δὲ καὶ Ἀττάλε συγχωρεῖν ὑποκρινομένων· ὁι Βιθυνοὶ, διδαχθέντες, ἔλεγον· ἐκ ἔιναι δυνατοὶ φέρειν ἔτι τὴν ὠμότητα τὴν Πρεσίε, φανεροὶ μάλιστα ἀυτῷ γενόμενοι δυσχεραίνοντες. Ὁι μὲν δὴ πρέσβεις, ὡς ἔπω Ῥωμαίων τάδε πυθομένων, ἐπανῆεσαν ἄπρακτοι. Πρεσίας δ', ἐπεὶ καὶ τὰ Ῥωμαίων ἀπέγνω, ὅις μάλιστα πιστεύων ἐδενὸς ἐς ἄμυναν ἐπεφροντίκει, μετῆλθεν ἐς Νικομήδειαν, ὡς κρατυνέμενος τὴν πόλιν, καὶ τοῖς ἐπιῦσι πολεμήσων. ὁι δὲ προδιδόντες ἀυτὸν, τὰς πύλας ἀνέῳξαν· καὶ ὁ μὲν Νικομήδης ἐσήει μετὰ τε στρατε. τὸν δὲ Πρεσίαν ἐς ἱερὸν Διὸς καταφυγόντα συνεκέντησάν τινες ἐπιπεμφθέντες ἐκ τε Νικομήδες. Ὅυτω Νικομήδης ἀντὶ Πρεσίε Βιθυνῶν ἐβασίλευε. Καὶ ἀυτὸν, χρόνῳ τελευτήσαντα, Νικομήδης, ὁ υἱὸς, ᾧ Φιλοπάτωρ ἐπίκλησις ἦν, διεδέξατο· Ῥωμαίων ἀυτῷ τὴν ἀρχὴν ὡς πατρῴαν ψηφισαμένων. Τὰ μὲν δὴ Βιθυνῶν ὧδε εἶχε. υἱωνὸς δὲ τεδε ἕτερος Νικομήδης Ῥωμαίοις τὴν ἀρχὴν ἐν διαθήκαις ἀπέλιπε.

Nicomedes III. 90-75 ante Chr.

---

g) DE REBUS GALATARUM.

Galatæ. *Strabo*, Lib. XII.

Ἡ Γαλλογραικία. Πρὸς νότον εἰσὶ τοῖς Παφλαγόσι Γαλάται· τέτων δ' ἐστὶν ἔθνη τρία· δύο μὲν τῶν ἡγεμόνων ἐπώνυμα Τρόκμοι, καὶ Τολιστοβῶγοι· τὸ τρίτον δ' ἀπὸ τε ἐν Κελτικῇ ἔθνες Τεκτοσάγες· κατέσχον δὲ τὴν χώραν ταύτην ὁι Γαλάται πλανηθέντες πολὺν χρόνον, καὶ καταδραμόντες τὴν ὑπὸ τοῖς Ἀτταλικοῖς βασιλεῦσι χώραν, καὶ τοῖς Βιθυνοῖς, ἕως παρ' ἑκόντων ἔλαβον τὴν νῦν Βιθυνίαν, καὶ Γαλλογραικίαν λεγομένην. Ἀρχηγὸς δὲ μάλιστα δοκεῖ τῆς περαιώσεως τῆς εἰς τὴν Ἀσίαν γενέσθαι Λεονόριος.

Transitus in Asiam c. 278 ante Chr. *Memnon* ap. *Photium*.

Ἐπεὶ δὴ Γαλάται πρὸς τὸ Βυζάντιον ἧκον καὶ τὴν πλείστην ἀυτῆς ἐδῄωσαν· τῷ πολέμῳ ταπεινωθέντες ὁι ἐν Βυζαντίῳ, πέμπεσι πρὸς τὲς συμμάχες, δεόμενοι ὠφελείας. καὶ παρέσχον μὲν πάντες, ὡς εἶχον ἰσχύος, παρέσχον δὲ καὶ ὁι τῆς Ἡρακλείας. τοσῦτον γὰρ ἡ πρεσβεία ᾔτει, χρυσες τετρακισχιλίες. μετ' ὀ πολὺ δὲ

Νικο-

Νικομήδης τὰς Γαλάτας, ὃς ἡ καταδρομὴ τῶν Βυζαντίων ἐγεγένητο, πολλάκις μὲν ἐπιχειρήσαντας τὴν Ἀσίαν περαιωθῆναι, τοσαυτάκις δὲ ἀποτυχόντας, ἐκ ἀνεχομένων τὴν πρᾶξιν Βυζαντίων, ἐπὶ συνθήκαις ὅμως παρασκευάζει περαιωθῆναι. αἱ δὲ συνθῆκαι, Νικομήδει μὲν καὶ τοῖς ἐκγόνοις ἀεὶ φίλα φρονεῖν τὰς βαρβάρας, καὶ τῆς γνώμης τῆ Νικομήδας χωρὶς, μηδενὶ συμμαχεῖν τῶν πρὸς αὐτὰς διαπρεσβευομένων· ἀλλ' εἶναι φίλας μὲν τοῖς φίλοις, πολεμίας δὲ τοῖς ἐ φίλοισι· συμμαχεῖν δὲ καὶ Βυζαντίοις, εἴ πε δεήσοι· καὶ Τιανοῖς δὲ καὶ Ἡρακλειόταις, καὶ Καλχηδονίοις, καὶ Κιερανοῖς, καί τισιν ἑτέροις ἐθνῶν ἄρχεσιν. ἐπὶ ταύταις μὲν ταῖς συνθήκαις Νικομήδης τὸ Γαλατικὸν πλῆθος εἰς Ἀσίαν διαβιβάζει· ὧν περιφανεῖς μὲν ἐπὶ τὸ ἄρχειν, ἑπτακαίδεκα τὸν ἀριθμὸν ἦσαν· οἱ δὲ καὶ αὐτῶν τέτων προκεκριμένοι καὶ κορυφαῖοι Λεωννώριος ἦτην καὶ Λεταριος.

Αὕτη τοίνυν τῶν Γαλατῶν ἡ ἐπὶ τὴν Ἀσίαν διάβασις, κατ' ἀρχὰς μὲν ἐπὶ κακῷ τῶν οἰκητόρων προελθεῖν ἐνομίσθη, τὸ δὲ τέλος ἔδειξεν ἀποκριθὲν πρὸς τὸ συμφέρον. τῶν γὰρ βασιλέων τὴν τῶν πόλεων δημοκρατείαν ἀφελεῖν σπεδαζόντων, αὐτοὶ μᾶλλον αὐτὴν ἐβεβαίεν, ἀντικαθισάμενοι τοῖς ἐπιτιθεμένοις. *Ibid.* Νικομήδης δὲ κατὰ Βιθυνῶν (πρῶτον συμμαχέντων αὐτῷ) καὶ τῶν ἐξ Ἡρακλείας τὰς βαρβάρας ἐξοπλίσας, τῆς τε χώρας ἐκράτησε, καὶ τὰς ἐνοικᾶντας κατέκοψε, τὴν ἄλλην λείαν τῶν Γαλατῶν ἑαυτοῖς διανειμαμένων. ἔτοι δὲ πολλὴν ἐπελθόντες χώραν, αὖθις ἀνεχώρησαν, καὶ τῆς αἱρεθείσης αὐτοῖς ἀπετέμοντο, τὴν νῦν Γαλατίαν καλεμένην, εἰς τρεῖς μοίρας ταύτην διανείμαντες. καὶ τὰς μὲν, Τρογμὰς ὀνομάσαντες, τὰς δὲ, Τολοσοβογίας, τὰς δὲ, Τεκτόσαγας· ἐδείμαντο δὲ πόλεις, Τρωγμοὶ μὲν Ἄγκυραν· Τολοσοβόγιοι δὲ, Ταβίαν· Τεκτόσαγες δὲ, Πισινᾶντα.

Τριῶν δὲ ὄντων ἐθνῶν ὁμογλώττων, καὶ κατ' ἄλλο ἐδὲν ἐξηλλαγμένων, ἕκαστα διελόντες εἰς τέτταρας μερίδας, τετραρχίαν ἑκάστην ἐκάλεσαν, τετράρχην ἔχεσαν ἴδιον, καὶ δικαστὴν ἕνα, καὶ στρατοφύλακα ἕνα, ὑπὸ τῷ τετράρχῃ τεταγμένας, ὑποστρατοφύλακας δὲ δύο. Ἡ δὲ τῶν δώδεκα τετραρχῶν βελὴ, ἄνδρες ἦσαν τριακόσιοι· συνήγοντο *Strabo. Lib. XII.*

δὲ

δὲ εἰς τὸν καλούμενον Δρυναίμετον. Τὰ μὲν οὖν φονικὰ, ἡ βουλὴ ἔκρινε· τὰ δὲ ἄλλα οἱ τετράρχαι, καὶ οἱ δικασταί. Πάλαι μὲν οὖν ἦν τοιαύτη τὶς ἡ διάταξις· καθ᾽ ἡμᾶς δὲ εἰς τρεῖς, εἶτ᾽ εἰς δύο ἡγεμόνας, εἶτα εἰς ἕνα ἧκεν ἡ δυναστεία, εἰς Δηϊόταρον, εἶτα ἐκεῖνον διεδέξατο Ἀμύντας· νῦν δ᾽ ἔχουσι Ῥωμαῖοι, καὶ ταύτην καὶ τὴν ὑπὸ τῷ Ἀμύντᾳ γενομένην ἐπαρχίαν. Ἔχουσι δὲ οἱ μὲν Τρόκμοι τὰ πρὸς τῷ Πόντῳ καὶ τῇ Καππαδοκίᾳ· ταῦτα δ᾽ ἐστὶ τὰ κράτιστα ὧν νέμονται Γαλάται· φρούρια δ᾽ αὐτοῖς τετείχισται τρία, Ταούιον ἐμπορεῖον τῶν ταύτῃ, ὅπου ὁ τοῦ Διὸς κολοσσὸς χαλκοῦς, καὶ τέμενος ἄσυλον· καὶ Μιθριδάτιον ὃ ἔδωκε Πομπήϊος Βογοδιατάρῳ, τῆς Ποντικῆς βασιλείας ἀφορίσας· τρίτον δέ πως Δανάλα, ὅπου τὸν σύλλογον ἐποιήσαντο Πομπήϊός τε καὶ Λεύκουλλος· ὁ μὲν ἥκων ἐπὶ τὴν τοῦ πολέμου διαδοχὴν, ὁ δὲ, παραδιδοὺς τὴν ἐξουσίαν, καὶ ἀπαίρων ἐπὶ τὸν θρίαμβον. Τρόκμοι μὲν δὴ ταῦτ᾽ ἔχουσι τὰ μέρη. Τεκτόσαγες δὲ τὰ πρὸς τῇ μεγάλῃ Φρυγίᾳ, τῇ κατὰ τὴν Πεσσινοῦντα καὶ Ὀρκαορίκους· τούτων δ᾽ ἦν φρούριον Ἄγκυρα, ὁμώνυμος τῇ πρὸς Λυδίαν περὶ Βλαῦδον πολίχνῃ Φρυγιακῇ. Τολιστοβώγιοι δὲ ὅμοροι Βιθυνοῖς εἰσὶ, καὶ τῇ Ἐπικτήτῳ καλουμένῃ Φρυγίᾳ· φρούρια δ᾽ αὐτῶν ἐστι τό, τε Βλούκιον, καὶ τὸ Πήϊον· ὧν τὸ μὲν ἦν βασίλειον Δηϊοτάρου, τὸ δὲ γαζοφυλάκιον. Πεσσινοῦς δ᾽ ἐστὶν ἐμπορεῖον τῶν ταύτῃ μέγιστον, ἱερὸν ἔχον τῆς μητρὸς τῶν θεῶν, σεβασμοῦ μεγάλου τυγχάνον· καλοῦσι δ᾽ αὐτὴν Ἀγγιδίστιν. Οἱ δ᾽ ἱερεῖς τοπαλαιὸν μὲν δυνάσται τινὲς ἦσαν, ἱερωσύνην καρπούμενοι μεγάλην· νυνὶ δὲ τούτων μὲν αἱ τιμαὶ πολὺ μεμείωνται, τὸ δ᾽ ἐμπορεῖον συμμένει· κατεσκεύασται δ᾽ ὑπὸ τῶν Ἀτταλικῶν βασιλέων ἱεροπρεπῶς τὸ τέμενος, ναῷ τε καὶ στοαῖς λευκολίθοις· ἐπιφανὲς δ᾽ ἐποίησαν Ῥωμαῖοι τὸ ἱερὸν, ἀφίδρυμα ἐνθένδε τῆς θεοῦ μεταπεμψάμενοι κατὰ τοὺς τῆς Σιβύλλης χρησμοὺς· καθάπερ καὶ τοῦ Ἀσκληπιοῦ τοῦ ἐν Ἐπιδαύρῳ. Ἔστι δὲ καὶ ὄρος ὑπερκείμενον τῆς πόλεως, τὸ Δίνδυμον, ἀφ᾽ οὗ ἡ Δινδυμηνὴ, καθάπερ ἀπὸ τῶν Κυβέλων ἡ Κυβέλη. Πλησίον δὲ καὶ ὁ Σαγγάριος ποταμὸς ποιεῖται τὴν ῥύσιν· ἐπὶ δὲ τούτῳ τὰ παλαιὰ τῶν Φρυγῶν οἰκητήρια Μίδου, καὶ ἔτι πρότερον Γορδίου, καὶ ἄλλων τινῶν, οὐδ᾽ ἴχνη σώζοντα πόλεων, ἀλλὰ κῶμαι, μι-

Deiotarus 52–48 ante Chr. Amyntas.

κρῷ

κρῶ μείζες τῶν ἄλλων· οἷον ἐςὶ τῷ Γόρδιον καὶ Γορβειῦς τὸ τῦ Κάςορος βασίλειον τῦ Σαωκονδαρίυ, ἐν ᾧ γαμβρὸν ὄντα τῦτον ἀπέσφαξε Δηϊόταρος, καὶ τὴν θυγατέρα τὴν ἑαυτῦ· τὸ δὲ φρύριον ἀνέσπασε, καὶ διελυμήνατο τὸ πλεῖςον τῆς κατοικίας.

h) DE REBUS PAPHLAGONUM.

Ἡ Παφλαγονία. Πρὸς ἕω ὁ Ἅλυς ὅριον τῶν Παφλαγόνων· πρὸς νότον δὲ Φρύγες, καὶ οἱ ἐποικήσαντες Γαλάται· πρὸς δύσιν δὲ Βιθυνοὶ, καὶ Μαριανδυνοί· τὸ γὰρ τῶν Καυκώνων γένος ἐξέφθαρται τελέως πάντοθεν· πρὸς ἄρκτον δὲ ὁ Εὔξεινός ἐςι. Τῆς δὲ χώρας ταύτης διῃρημένης εἴς τε τὴν μεσόγαιαν, καὶ τὴν ἐπὶ θαλάττῃ διατείνυσαν ἀπὸ τῦ Ἅλυος μέχρι Βιθυνίας ἑκατέραν, τὴν μὲν παραλίαν ἕως Ἡρακλείας, εἶχεν ὁ Εὐπάτωρ· τῆς δὲ μεσογαίας, τὴν μὲν ἐγγυτάτω ἔσχεν, ἧς τινα καὶ πέραν τῦ Ἅλυος διέτεινε· καὶ μέχρι δεῦρο τοῖς Ῥωμαίοις ἡ Ποντικὴ ἐπαρχία ἀφώριςαι. Τὰ λοιπὰ δ' ἦν ὑπὸ δυνάςαις, καὶ μετὰ τὴν Μιθριδάτυ κατάλυσιν. Μετὰ δὲ τὴν Πομπηϊύπολιν ἡ λοιπὴ τῆς Παφλαγονίας ἐςὶ τῆς μεσογαίας μέχρι Βιθυνίας ἰῦσι πρὸς δύσιν. Ταύτης δὲ καίπερ ὀλίγης ὔσης, μικρὸν μὲν πρὸ ἡμῶν ἦρχον πλείυς· νῦν δ' ἔχυσι Ῥωμαῖοι, τῦ γένυς τῶν βασιλέων ἐκλιπόντος. Ὀνομάζυσι δ' ὖν τὴν ὅμορον τῇ Βιθυνίᾳ Τιμωνίτην, καὶ τὴν Γεζατόριγος, καὶ Μαρμολίτυ τε καὶ Κινιςηνὴ, ἐν ᾗ τὰ Κινίατα φρύριον ἐρυμνὸν, ὑποκείμενον τῆς τῦ Ὀλγάσσυος ὀρεινῆς, ᾧ χρησάμενος ὁρμητηρίῳ Μιθριδάτης ὁ Κτίςης προσαγορευθεὶς, κατέςη τῦ Πόντυ κύριος· καὶ οἱ ἀπ' αὐτῦ τὴν διαδοχὴν ἐφύλαξαν μέχρι τῦ Εὐπάτορος. Ὕςατος δὲ τῆς Παφλαγονίας ἦρξε Δηϊόταρος Καςόρυς υἱὸς ὁ προσαγορευθεὶς Φιλάδελφος, τὸ Μορζέυς βασίλειον ἔχων τὰ Γάγγρα, πολισμάτιον ἅμα καὶ φρύριον. Εὔδοξος δ' ὀρυκτὺς ἰχθῦς ἐν τῇ Παφλαγονίᾳ λέγων ἐν ξηροῖς τόποις, ὐ διορίζει τὸν τόπον· ἐν ὑγροῖς δὲ περὶ τὴν Ἀσκανίαν λίμνην φησὶ τὴν ὑπὸ Κίῳ, λέγων ὐδὲν σαφές.

Paphlagonia. *Strabo*, Lib. XII.

Ibid.

Dejotarus.

i) DE

i) DE REBUS CAPPADOCUM.

Cappadocia. *Strabo*, Lib. XII.

Ἡ Καππαδοκία. Ἡ Καππαδοκία ἐςὶ πολυμερής τε, καὶ συχνὰς δεδεγμένη τὰς μεταβολάς· οἱ δ' ὖν ὁμόγλωττοι μαλιςά εἰσιν οἱ ἀφοριζόμενοι πρὸς νότον μὲν τῷ Κιλικίῳ λεγομένῳ Ταύρῳ, πρὸς ἕω δὲ τῇ Ἀρμενίᾳ, καὶ τῇ Κολχίδι, καὶ τοῖς μεταξὺ ἑτερογλώττοις ἔθνεσι· πρὸς ἄρκτου δὲ τῷ Εὐξείνῳ μέχρι τῶν ἐκβολῶν τῦ Ἅλυος· πρὸς δύσιν δὲ τῷ τε τῶν Παφλαγόνων ἔθνει, καὶ Γαλατῶν τῶν τὴν Φρυγίαν μετοικησάντων, μέχρι Λυκαόνων, καὶ Κιλίκων, τῶν τὴν τραχεῖαν Κιλικίαν νεμομένων. Καὶ αὐτῶν δὲ τῶν ὁμογλώττων οἱ παλαιοὶ τὺς Καταόνας καθ' αὑτὺς ἔταττον, ἀντιδιαιρῦντες τοῖς Καππάδοξιν, ὡς ἑτεροέθνεσι· καὶ ἐν τῇ διαριθμήσει τῶν ἐθνῶν μετὰ τὴν Καππαδοκίαν ἐτίθεσαν τὴν Καταονίαν· εἶτα τὸν Εὐφράτην, καὶ τὰ πέραν ἔθνη, ὥςε, καὶ τὴν Μελιτηνὴν ὑπὸ τῇ Καταονίᾳ τάττειν, ἣ μεταξὺ κεῖται ταύτης τὲ καὶ τῦ Εὐφράτε, συνάπτυσα τῇ Κομμαγηνῇ· μέρος τὲ τῆς Καππαδοκίας ἐςὶ δέκατον, κατὰ τὴν εἰς δέκα ςρατηγίας διαίρεσιν τῆς χώρας. Οὕτω γὰρ δὴ οἱ καθ' ἡμᾶς βασιλεῖς οἱ πρὸ Ἀρχελάυ, διατεταγμένην εἶχον τὴν ἡγεμονίαν τῆς Καππαδοκίας. δέκατον δ' ἐςὶ μέρος καὶ ἡ Καταονία, καθ' ἡμᾶς δὲ εἶχε ςρατηγὸν ἑκατέρα ἴδιον· ὥτε δ' ἐκ τῆς διαλέκτυ διαφορᾶς τινος ἐν τύτοις πρὸς τὺς ἄλλυς Καππάδοκας ἐμφαινομένης, ὥτε ἐκ τῆς τῶν ἄλλων ἐθνῶν, θαυμαςὸν πῶς ἠφάνιςαι τελέως τὰ σημεῖα τῆς ἀλλοεθνίας. Ἦσαν δ' ὖν διωρισμένοι· προσεκτήσατο δ' αὐτὺς Ἀριαράθης ὁ πρῶτος προσαγορευθεὶς Καππαδοκῶν βασιλεύς.

Ibid. Τὴν δὲ Καππαδοκίαν εἰς δύο σατραπείας μερισθεῖσαν ὑπὸ τῶν Περσῶν παραλαβόντες Μακεδόνες, περιεῖδον, τὰ μὲν ἑκόντες. τὰ δ' ἄκοντες, εἰς βασιλείας ἀντὶ σατραπιῶν περιςᾶσαν· ὧν τὴν μὲν ἰδίως Καππαδοκίαν ὠνόμασαν, καὶ πρὸς τῷ Ταύρῳ, καὶ νὴ δία μεγάλην Καππαδοκίαν· τὴν δὲ, Πόντον, οἱ δὲ τὴν πρὸς τῷ Πόντῳ Καππαδοκίαν. Τῆς δὲ μεγαλης Καππαδοκίας νῦν μὲν ὐκ ἴσμεν πρώτην διάταξιν· τελευτήσαντος γὰρ τὸν βίον Ἀρχελάυ τῦ βασιλεύσαντος ἔγνω Καῖσαρ τε καὶ ἡ σύγκλητος

λητος ἐπαρχίαν ἔιναι Ῥωμαίων αὐτήν· ἐπ' ἐκείνε δὲ καὶ ῶν πρὸ αὐτε βασιλέων, ἐις δέκα ϛρατηγίας διῃρημένης ῆς χώρας, πέντε μὲν ἐξητάζοντο ἀι πρὸς τῷ Ταύρῳ, Ιελιτηνὴ καὶ Καταονία καὶ Κιλικία, Τυανῖτις τὲ καὶ σαυρῖτις· πέντε δὲ λοιπαὶ, Λαουϊνασηνὴ, Σαργασηνὴ, Σαργαυηνὴ, Καμανηνὴ, Μοραμηνή. Προσεγένετο δ' ὕϛερον παρὰ Ῥωμαίων ἐκ τῆς Κιλικίας τῆς πρὸ Ἀρχελάε, καὶ ἑνδεκάτη ϛρατηγία, ἡ περὶ Καϛάβαλά τε καὶ Κύϊϛρα μέχρι τῆς Ἀντιπάτρε Δέρβης τε λῃϛε. Τῷ δὲ Ἀρχελάῳ καὶ ἡ τραχεῖα περὶ Ἐλαιεσσαν Κιλικία καὶ ᾶσα ἡ τὰ πειρατήρια συϛησαμένη.

Ὁι δὲ τῆς Καππαδοκίας βασιλεῖς (Φησὶν ὁ Διόδωρος) ἐις Κύρον ἀναΦέρεσι τὸ γένος, τὸν ἐν Πέρσαις. ιαβεβαιεῦνται δὲ καὶ τῶν ἑπτὰ Περσῶν τῶν τὸν μάγον πανελομένων ἑνὸς ὑπάρχειν ἀπόγονοι. καὶ τὴν μὲν ἀπὸ Κύρε συγγένειαν ὅτω καταριθμεῦνται. Καμβύσε τε Κύρε πατρὸς ἀδελΦὴν ὑπάρξαι γνησίαν Ἀτόσσαν, ταύτης δὲ καὶ Φαρνάκε τε Καππαδοκίας βασιλέως γενέθαι παῖδα Γάλλον, καὶ τέτε γενέθαι Σμέρδιν, ὃ Ἀρτάμνην· τε δὲ ΑναΦάν· ὃν καὶ διενεγκεῖν μὲν ἀνδρείᾳ καὶ τόλμῃ, γενέθαι δ' ἕνα τῶν ἑπτὰ Περσῶν. τὴν μὲν ὅν ἐις Κύρον συγγένειαν ὅτω γενεαλογεῦσι, καὶ τὴν ἐις ἈναΦᾶν· ὅν Φασι δι' ἀνδρείαν συγχωρηθῆναι τὴν Καππαδοκίας δυναϛείαν, ὥϛε μὴ τελεῖν Φόρες Πέρσαις. ὃ τελευτήσαντος, ὁμώνυμος ὑιὸς ἄρχει. μετὰ δὲ τὴν τέτε τελευτὴν, ἀπολειΦθέντων δυεῖν ὑιοῖν Δατάμε καὶ Ἀριμναίε, διαδέξαθαι τὴν ἀρχὴν Δατάμην, ἄνδρα κατὰ πόλεμον καὶ κατ' ἄλλα μέρη τῆς βασιλείας ἐπαινέμενον. ὃς Πέρσαις διὰ μάχης ἐλθὼν, καὶ λαμπρῶς κατὰ τὴν μάχην ἀγωνισάμενος, ἐν αὐτῇ τελευτᾷ. διεδέξατο δὲ τὴν βασιλείαν ὁ ὑιὸς Ἀριάμνης· ὃ γίνονται παῖδες Ἀριαράθης καὶ ὈλοΦέρνης. ὅτος δὲ ἔτη πεντήκοντα δυναϛεύσας, καὶ μηδὲν ἔργον ἄξιον μνήμης πράξας, τελευτᾷ· τὴν δὲ ἀρχὴν διεδέξατο ὁ πρεσβύτερος τῶν ὑιῶν Ἀριαράθης, ὃς Φιλοστοργῆσαι διαΦερόντως λέγεται τὸν ἀδελΦὸν, καὶ προάγειν αὐτὸν ἐις τὰς ἐπιΦανεϛάτας τάξεις· ὃν καὶ Πέρσαις κατ' Ἀιγυπτίων ἀποϛαλέντα συμμαχῆσαι, καὶ μετὰ μεγάλων τιμῶν ἐπανελθεῖν, ἃς Ὦχος ὁ Περσῶν βασιλεὺς ὑπὲρ ἀνδρείας ἐδίδε·

Diodor. Sic. Lib. XXXI. cap. 12. Reges ante Alexand. M.

δε· καὶ τὸν βίον ἐν τῇ πατρίδι λιπεῖν, υἱοὺς ἐγκαταλιπόντα Ἀριαράθην καὶ Ἀρύσην. ὁ δὲ ἀδελφὸς καὶ τῆς Καππαδοκίας ἔχων τὴν ἀρχὴν (οὐ γὰρ ἦν αὐτῷ γονὴ γνησία) τὸν πρεσβύτερον τῶν παίδων τἀδελφοῦ Ἀριαράθην υἱοποιεῖται. κατὰ δὲ τούτους τοὺς χρόνους Ἀλέξανδρος ὁ Μακεδὼν καταπολεμεῖ μὲν Πέρσας, εἶτα καὶ τελευτᾷ. καὶ Περδίκκας, ὁ τῶν ὅλων τότε ἡγούμενος, Εὐμένη πέμπει Καππαδοκίας στρατηγόν. καὶ καταπολεμηθέντος Ἀριαράθου, πεσόντος τε ἐν τῇ μάχῃ, αὐτή τε ἡ Καππαδοκία καὶ τὰ πλησιόχωρα αὐτῆς, ἔπεσεν ὑπὸ Μακεδόνας. Ἀριαράθης δὲ, ὁ τοῦ προβεβασιλευκότος υἱὸς, ἀπελπίσας κατὰ τὸ παρὸν, ἀποχωρεῖ μετ' ὀλίγων πρὸς τὴν Ἀρμενίαν. μετ' οὐ πολὺν δὲ χρόνον τῶν περὶ τὸν Εὐμένη καὶ Περδίκκαν τελευτησάντων, Ἀντιγόνου δὲ καὶ Σελεύκου περισπωμένων, λαβὼν δύναμιν παρὰ τοῦ βασιλέως τῶν Ἀρμενίων Ἀρδοάτου, τὸν μὲν τῶν Μακεδόνων στρατηγὸν Ἀμύνταν ἀπέκτεινεν, ἐξέβαλε δὲ καὶ Μακεδόνας ταχέως τῆς χώρας, καὶ τὴν οἰκείαν ἀρχὴν ἀνεκτήσατο. τούτῳ δὲ τριῶν παίδων γενομένων, παρέλαβε τὴν βασιλείαν ὁ πρεσβύτατος, Ἀριάμνης· ὃς ἐπιγαμίαν πρὸς Ἀντίοχον ποιησάμενος, τὸν ἐπονομασθέντα θεὸν, τὴν τούτου θυγατέρα Στρατονίκην συνῴκισε τῷ πρεσβυτέρῳ τῶν υἱῶν Ἀριαράθῃ· ὑπάρχων δὲ φιλότεκνος διαφερόντως, περιέθετο τῷ παιδὶ διάδημα, καὶ συνάρχειν πάντων τῶν τῆς βασιλείας προτερημάτων ἐπίσης μεταδίδωσι. τοῦ δὲ πατρὸς τελευτήσαντος, Ἀριαράθης βασιλεύει καθ' ἑαυτόν. καὶ μεταλάσσων τὸν βίον, κατέλιπε τὴν βασιλείαν Ἀριαράθῃ τῷ υἱῷ, νηπίῳ παντελῶς ὄντι τὴν ἡλικίαν. οὗτος δὲ ἔγημε θυγατέρα τοῦ μεγάλου κληθέντος Ἀντιόχου, ὀνομαζομένην Ἀντιοχίδα, πανοῦργον μάλιστα. ταύτην δὲ, μὴ γενομένων τέκνων, ὑποβάλλεσθαι δύο παῖδας, ἀγνοοῦντος τοῦ ἀνδρὸς, Ἀριαράθην καὶ Ὀλοφέρνην. μετὰ δέ τινα χρόνον τῆς φύσεως ἐπιδεξαμένης, ἀνελπίστως τεκεῖν αὐτὴν δύο μὲν θυγατέρας, υἱὸν δὲ ἕνα τὸν ὀνομασθέντα Μιθριδάτην. ἐξ οὗ τοὺς ὑποβολιμαίους ἀναδιδαξαμένην τἀνδρὶ, τὸν μὲν πρεσβύτερον μετὰ συμμέτρου χρείας εἰς Ῥώμην ἀποσταλῆναι παρασκευάσαι· τὸν δὲ νεώτερον εἰς τὴν Ἰωνίαν· χάριν τοῦ μὴ διαμφισβητεῖν ὑπὲρ τῆς βασιλείας τῷ γνησίῳ. τοῦτον δὲ

νδρωθέντα καὶ Ἀριαράθην Φασὶ μετονομασθῆναι, παι- τε Ἑλληνικῆς μετασχεῖν, καὶ κατὰ τὴν ἄλλην ἐπαι- κι ἀρετήν. καὶ ὁ μὲν πατὴρ, Φιλοπάτορι ὄντι τῷ ἔσπευδεν ἀποδοῦναι τὴν τῆς Φιλοτέκνου σπουδήν· καὶ ἐπὶ τον αὐτοῖς προέβη τὰ τῆς πρὸς ἀλλήλους εὐνοίας, ὥστε ν πατὴρ ἐξίσασθαι τῆς ὅλης ἀρχῆς ἠγωνίζετο τῷ παι- ὁ δὲ ἀδύνατον ἐδείκνυ δέξασθαι αὐτὸν παρὰ γονέων ζώντων τὴν τοιαύτην χάριτα. οὗτος, τὸν πατέρα τοῦ ωμένου καταλαβόντος, διεδέξατο τὴν βασιλείαν, τὴν λλην ἀγωγὴν τοῦ βίου ἀξιολογωτάτην ἐνδεικνύμενος, Φιλοσοφίᾳ προσανέχων. ἐξ οὗ καὶ ἡ παρὰ τοῖς Ἑλ- ἀγνοουμένη πάλαι Καππαδοκία, τότε τοῖς πεπαιδευ- ις ἐμβιωτήριον ὑπῆρχεν. ἀνενεώσατο δ' οὗτος καὶ τὴν Ῥωμαίους Φιλίαν τε καὶ συμμαχίαν. ἀλλὰ τὰ μὲν τῆς εἰς Κῦρον ἀναφορᾶς τῶν μέχρι τοῦδε τῆς Καπ- κίας βασιλευσάντων ἐν τούτοις.

Ὁ δὲ Ἀππιανός Φησι· Καππαδοκίας δὲ πρὸ μὲν κεδόνων οἵτινες ἦρχον, οὐκ ἔχω σαφῶς εἰπεῖν, εἴ τε ἀρχὴν, εἴ τε Δαρείου κατήκουον. Ἀλέξανδρος δέ δοκεῖ τοὺς ἄρχοντας τῶνδε τῶν ἐθνῶν ἐπὶ Φόρῳ κα- πεῖν, ἐπειγόμενος ἐπὶ Δαρεῖον. Φαίνεται γὰρ καὶ ισὸν, ἐν Πόντῳ πόλιν Ἀττικοῦ γένους, ἐπὶ δημοκρα- , ὡς πάτριον σΦίσι πολιτείαν, ἀγαγών. Ἱερώνυμος οὐδ' ἐπιψαῦσαι τῶν ἐθνῶν ὅλως, ἀλλ' ἀνὰ τὴν παρά- τῆς ΠαμΦυλίας καὶ Κιλικίας ἑτέραν ὁδὸν ἐπὶ τὸν ρεῖον τραπέσθαι. Περδίκκας δὲ, ὃς ἐπὶ Ἀλεξάνδρῳ Μακεδόνων ἦρχεν, Ἀριαράθην, Καππαδοκίας ἡγέμε- , εἴτε ἀΦιστάμενον, εἴτε τὴν ἀρχὴν αὐτοῦ περιποιούμε- Μακεδόσιν, εἷλε καὶ ἐκρέμασε· καὶ ἐπέστησε τοῖς ἔθ- ιν Εὐμενῆ τὸν Καρδιανόν. Εὐμενοῦς δὲ ἀναιρεθέν- , ὅτε αὐτὸν οἱ Μακεδόνες εἵλοντο εἶναι πολέμιον, τίπατρος, ἐπὶ τῷ Περδίκκᾳ τῆς ὑπὸ Ἀλεξάνδρῳ γε- ένης γῆς ἐπιτροπεύων, Νικάνορα ἔπεμψεν Καππαδο- σατραπεύειν. Μακεδόνων δὲ οὐ πολὺ ὕστερον ἐς ἀλ- λους στασιασάντων, Ἀντίγονος μὲν ἦρχε Συρίας, Λαο- δοντα ἐκβαλών· Μιθριδάτης δ' αὐτῷ συνῆν, ἀνὴρ γέ- βασιλείου Περσικοῦ. καὶ ὁ Ἀντίγονος ἐνύπνιον ἔδοξε δίον σπεῖραι χρυσίῳ, καὶ τὸ χρυσίον ἐκθερίσαντα τὸν Μιθρι-

Appianus, de bello Mithrid. cap. 8-11. Tempore Alexandri M.

Post Alexandrum M. Ariarathes.

cap. 9.

Μιθριδάτην, ἐς τὸν Πόντον οἴχεσθαι. καὶ ὁ μὲν αὐτὸν ἐπὶ τῷδε συλλαβὼν, ἐβϐλευε ἀποκτεῖναι. Ὁ δ᾽ ἐξέφυγε σὺν ἱππεῦσιν ἓξ, καὶ φραξάμενός τι χωρίον τῆς Καππαδοκίας, πολλῶν οἱ προσιόντων ἐν τῇδε τῇ Μακεδόνων ἀσχολίᾳ, Καππαδοκίας τε αὐτῆς καὶ τῶν ὁμόρων περὶ τὸν Πόντον ἐθνῶν κατέσχεν. ἐπί τε μέγα τὴν ἀρχὴν προαγαγὼν, παισὶ παρέδωκεν. Οἱ δ᾽ ἦρχον, ἕτερος μεθ᾽ ἕτερον, ἕως ἐπὶ τὸν ἕκτον ἀπὸ τϐ πρώτϐ Μιθριδάτην, ὃς Ῥωμαίοις ἐπολέμησε. τϐτϐ δὲ τϐ γένϐς ὄντες οἱ Καππαδοκίας τε καὶ Πόντϐ βασιλεῖς, ἔσθ᾽ ὅτε μοι δοκϐσι διελεῖν τὴν ἀρχὴν, καὶ οἱ μὲν τϐ Πόντϐ κατασχεῖν,
cap. 10. οἱ δὲ Καππαδοκίας. Ὁ γέ τοι Ῥωμαίοις πρῶτος ἐν φιλίᾳ γενόμενος, καὶ ναῦς τινας ἐπὶ Καρχηδονίϐς καὶ συμ-
Mithridates μαχίαν ὀλίγην παρασχὼν, βασιλεὺς Πόντϐ, Μιθριδάτης,
Evergetes. ὁ Εὐεργέτης ἐπίκλησιν, ὡς ἀλλοτρίαν τὴν Καππαδοκίαν
Mithridates ἐπέδραμε. Καὶ διαδέχεται Μιθριδάτης υἱὸς, ᾧ Διόνυσος
Eupator. καὶ Εὐπάτωρ ἐπώνυμα ἦν. Ῥωμαῖοι δ᾽ αὐτὸν ἐκστῆναι
Ariobarzanes Καππαδοκίας ἐκέλευσαν Ἀριοβαρζάνῃ, καταφυγόντι τε ἐς
92 ante Chr. αὐτϐς, καὶ δόξαντι ἄρα γνησιωτέρῳ τϐ Μιθριδάτϐ πρὸς τὴν Καππαδοκῶν ἀρχήν· ἢ καὶ τὸ μέγεθος τῆς ἀρχῆς τϐ Μιθριδάτϐ, πολλῆς ϐσης, ὑφορώμενοί τε καὶ ἐς πλέονα
90 ante Chr. διαιρϐντες ἀφανῶς. Ὁ δὲ τϐτο μὲν ἤνεγκε· Νικομήδει δὲ, τῷ Νικομήδϐς τϐ Πρϐσίϐ, Βιθυνίας ὡς πατρῴας ὑπὸ Ῥωμαίων ἀποδειχθέντι βασιλεύειν, Σωκράτη, τὸν ἀδελφὸν αὐτϐ Νικομήδϐς, ὅτῳ Χρηστὸς ἐπώνυμον ἦν, μετὰ στρατιᾶς ἐπέπεμψε. καὶ τὴν Βιθυνῶν ἀρχὴν ὁ Σωκράτης ἐς αὐτὸν περιέσπασε. Τϐ δ᾽ αὐτϐ χρόνϐ, Μιθράας καὶ Βαγώας Ἀριοβαρζάνη τόνδε τὸν ὑπὸ Ῥωμαίων κατηγμένον ἐς τὴν Καππαδοκίαν ἐκβαλόντες, Ἀριαράθην κατήγαγον
cap. 11. ἐς αὐτήν. Ῥωμαῖοι δὲ Νικομήδην ὁμϐ καὶ Ἀριοβαρζάνην ἐπανῆγον ἐς τὴν οἰκείαν ἑκάτερον· πρέσβεις τέ τινας αὐτοῖς ἐς τϐτο συνέπεμψαν, ὧν Μάνιος Ἀκύλιος ἡγεῖτο· καὶ συλλαβεῖν ἐς τὴν κάθοδον ἐπέστειλαν Λϐκίῳ τε Κασσίῳ, τῆς περὶ τὸ Πέργαμον Ἀσίας ἡγϐμένῳ, στρατιὰν ἔχοντι ὀλίγην, καὶ τῷδε τῷ Εὐπάτορι Μιθριδάτῃ. Ἀλλ᾽ ὁ μὲν, αὐτῆς τε Καππαδοκίας ἕνεκα Ῥωμαίοις ἐπιμεμφόμενος, καὶ Φρυγίαν ἔναγχος ὑπ᾽ αὐτῶν ἀφῃρημένος, (ὡς διὰ τῆς Ἑλληνικῆς γραφῆς δεδήλωται) ϐ συνέπραττε. Κάσσιος

δὲ καὶ Μάνιος, τῷ τε Κασσίȣ ςρατῷ, καὶ πολὺν
ιν ἀγείραντες Γαλατῶν καὶ Φρυγῶν, Νικομήδη τε
ήγαγον ἐς Βιθυνίαν, καὶ Ἀριοβαρζάνην ἐς Καππαδο-
. εὐθύς τε ἀνέπειθον ἄμφω, γείτονας ὄντας Μι-
άτȣ τὴν γῆν τὴν Μιθριδάτȣ κατατρέχειν, καὶ ἐς
εμον ἐρεθίζειν, ὡς Ῥωμαίων αὐτοῖς πολεμȣ̃σι συμμα-
όντων. Ὁ δὲ Πομπήϊος, ἐπεὶ ἐνίκα Μιθριδάτην, ιοβαρζάνῃ ἀπεδίδȣ βασιλεύειν Καππαδοκίας· καὶ προσε-ωκε Σωφηνὴν καὶ Γορδυηνὴν, ἃ τῷ παιδὶ μεμέριστο Τιγράνȣς, καὶ ςρατηγεῖται νῦν ἅμα τῇ Καππαδοκίᾳ ὶ τάδε. ἔδωκε δὲ καὶ τῆς Κιλικίας πόλιν Κας άβα-, καὶ ἄλλας. Ἀριοβαρζάνης μὲν ȣ̃ν τὴν βασιλείαν ην τῷ παιδὶ περιὼν ἐνεχείρισε. καὶ πολλαὶ μεταβο-λ μέχρι Καίσαρος ἐγένοντο τȣ̃ Σεβαςȣ̃. ἐφ' ȣ̃, κα-ίπερ τὰ λοιπὰ, καὶ ἥδε ἡ βασιλεία περιῆλθεν ἐς ςρα-γίαν.

Appianus, l. c. cap. 105. 66 ante Chr.

Ἱςόρησε δὲ Διων ὁ Κάσσιος τȣ̃το· τὸν δὲ δὴ Ἀρ-έλαον τὸν τῆς Καππαδοκίας βασιλέα δι' ὀργῆς σχὼν, ι πρότερόν οἱ ὑποπεπτωκὼς, ὥςε καὶ συνηγόρῳ, ὅτε πὶ τȣ̃ Ἀυγȣ́ςȣ ὑπὸ τῶν ἐπιχωρίων κατηγορήθη, χρή-σθαι, μετὰ τȣ̃το αὐτȣ̃ μὲν ἐς τὴν Ῥόδον ἐλθόντος ἠμέ-λησε, τὸν δὲ δὴ Γάϊον ἐς τὴν Ἀσίαν ἐλθόντα ἐθερά-πευσε· μετεπέμψατο, ὡς καὶ νεωτερίζοντά τι, καὶ τῇ ῆς γερȣσίας ψήφῳ παρέδωκεν, ȣ̓ μόνον ὑπέργηρων ὄν-τα, ἀλλὰ καὶ δεινῶς ποδαγρῶντα, καὶ προσέτι καὶ πα-ραφρονεῖν δοκȣ̃ντα. ἔπαθε μὲν γάρ ποτε τȣ̃το ὄντως, ὥςε καὶ ἐπίτροπον παρὰ τȣ̃ Ἀυγȣ́ςȣ τῆς ἀρχῆς λαβεῖν· ȣ̓ μέντοι καὶ τότε ἔτι παρελήρει, ἀλλ' ἐπλάσσετο, ἔι πως ἔκ γε τȣ́τȣ σωθείη. κἂν ἐθανατώθη, ἐι μὴ κατα-μαρτυρῶν τις αὐτȣ̃, ἔφη ποτὲ αὐτὸν εἰρηκέναι, ὅτι, "Ἐπειδὰν ὄικαδε ἐπανέλθω, δείξω αὐτῷ ὅια νεῦρα ἔχω." Γέλωτος γὰρ ἐπὶ τȣ́τῳ, διὰ τὸ τὸν ἄνθρωπον μὴ ὅτι ςῆναι, ἀλλὰ μηδὲ καθίζεσθαι δύνασθαι, πολλȣ̃ γενομένȣ, ȣ̓κέτ' αὐτὸν ὁ Τιβέριος ἀπέκτεινεν. ȣ̃τω γάρ τοι κακῶς διέκειτο, ὥςε ἐν σκιμποδίῳ κατας έγῳ ἐς τὸ συνέδριον ἐσκομισθῆναι. νομιζόμενον γάρ πȣ καὶ τοῖς ἀνδράσιν, ἤν ποτέ τις αὐτῶν ἀσθενῶς ἔχων ἐκεῖσε ἐσίοι, κατα-κείμενον αὐτὸν ἐσφέρεσθαι, καὶ τȣ̃το καὶ ὁ Τιβέριος τό-

Dio Cassius, Lib. VII. cap. 17.

τε

τε ἐποίησε. καὶ διελέχθη γέ τινα ἐκ τȣ̃ σκιμποδίȣ προκύψας. τότε μὲν ȣ̃τως ὁ Ἀρχέλαος ἐσώθη, ἄλλως δ' ȣ̉ πολλῷ ὕστερον ἀπέθανε. κἀκ τȣ́τȣ καὶ ἡ Καππαδοκία τῶν τε Ῥωμαίων ἐγένετο, καὶ ἱππεῖ ἐπετράπη.

---

k) DE REBUS PONTICORUM.

Pontus. *Strabo*, Lib. XII.

Ὁ Πόντος. Ὅριον δ' ἐςὶ τȣ̃ Πόντȣ, καὶ τῆς Καππαδοκίας ὀρεινή τις παράλληλος τῷ Ταύρῳ, τὴν ἀρχὴν ἔχȣσα ἀπὸ τῶν ἑσπερίων ἄκρων τῆς Κομμαγηνῆς· Τȣ̃ δὲ Πόντȣ καθίςατο μὲν Μιθριδάτης ὁ Ἐυπάτωρ βασιλεὺς, ἔιχε δὲ τὴν ἀφοριζομένην τῷ Ἅλυϊ μέχρι Τιβαρηνῶν, καὶ Ἀρμενίων, καὶ τὴν ἐντὸς Ἅλυος τὰ μέχρι Ἀμάςρεως, καί τινων τῆς Παφλαγωνίας μερῶν· προσεκτήσατο δ' ȣ̃τος καὶ τὴν μέχρι Ἡρακλείας παραλίαν, ἐπὶ τὰ δυσμικὰ μέρη, τῆς Ἡρακλείδȣ τȣ̃ Πλατωνικȣ̃ πατρίδος· ἐπὶ δὲ τἀναντία, μέχρι Κολχίδος, καὶ τῆς μικρᾶς Ἀρμενίας, ἃ δὴ καὶ προσέθηκε τῷ Πόντῳ. Καὶ δὴ καὶ Πομπήϊος καταλύσας ἐκεῖνον, ἐν τȣ́τοις τοῖς ὅροις ȣ̉σαν τὴν χώραν ταύτην παρέλαβε. τὰ μὲν πρὸς Ἀρμενίαν, καὶ τὰ περὶ τὴν Κολχίδα τοῖς συναγωνισαμένοις δυνάςαις κατένειμε, τὰ δὲ λοιπὰ ἐις ἕνδεκα πολιτείας διεῖλε, καὶ τῇ Βιθυνίᾳ προσέθηκεν, ὥς' ἐξ ἀμφοῖν ἐπαρχίαν γενέθαι μίαν· μεταξὺ τῶν μεσογαίων τινὰς βασιλέυεθαι παρέδωκε τοῖς ἀπὸ Πυλαιμένȣς, καθάπερ καὶ τȣ̀ς Γαλάτας τοῖς ἀπὸ γένȣς τετράρχαις. Ὕςερον δ' ὁι τῶν Ῥωμαίων ἡγεμόνες, ἄλλȣς καὶ ἄλλȣς ἐποιήσαντο μερισμȣ̀ς, βασιλέας τὲ καὶ δυνάςας καθιςάντες· καὶ πόλεις τὰς μὲν ἐλευθερȣ̃ντες, τὰς δὲ ἐγχειρίζοντες τοῖς δυνάςαις, τὰς δ' ὑπὸ τῷ δήμῳ τῶν Ῥωμαίων ἐῶντες.

Mithridates II. obiit 302 ante Chr. *Appianus*, de bello Mith. cap. 9.

Ὡς δὲ Μιθριδάτης, ἀνὴρ γένȣς βασιλέȣ Περσικȣ̃, Καππαδοκίας καὶ τῶν ὁμόρων περὶ τὸν Πόντον ἐθνῶν κατέσχεν, ἐπί τε μέγα τὴν ἀρχὴν προαγαγὼν παισὶ παρέδωκεν, ὁι ἕτερος μεθ' ἕτερον ἦρχον ἕως ἐπὶ τὸν ἕκτον ἀπὸ τȣ̃ πρώτȣ Μιθριδάτην, ὃς Ῥωμαίοις ἐπολέμησε, ἤδη πρότερον ἔιρηται· Ἔπειτα διελόντες τὴν ἀρχὴν ὁι μὲν τȣ̃ Πόντȣ ἦρχον, ὁι δὲ Καππαδοκίας. Ἐνδοξότατος δὲ τȣ́των ἦν ὄγδοος ἀπὸ Μιθριδάτȣ, τȣ̃ Μακεδόνων ἀποςάντος

Mithridates VIII. *Appianus*, l. c. cap. 112.

τȣ

καὶ κτησαμένε τὴν Ποντικὴν ἀρχήν. Ἐβίω δ᾽ ὀκτὼ ἐννέα ἐπὶ τοῖς ἑξήκοντα ἔτεσι. καὶ τέτων ἑπτὰ καὶ ντήκοντα ἔτεσιν ἐβασίλευσε· ἐς γὰρ ὀρφανὸν ὄντα περιθεν ἡ ἀρχή. Ἐχειρώσατο δὲ τὰ περίοικα τῶν βαρβάν, καὶ Σκυθῶν ὑπηγάγετο πολλές. καὶ Ῥωμαίοις τεσσαρακοντέτη πόλεμον ἐγκρατῶς ἐπολέμησεν· ἐν ᾧ Βιθυας ἐκράτησε πολλάκις καὶ Καππαδοκίας· Ἀσίαν τε ἐπέραμε, καὶ Φρυγίαν καὶ Παφλαγονίαν καὶ Γαλατίαν καὶ Ιακεδόνας· ἔς τε τὴν Ἑλλάδα ἐμβαλὼν, πολλὰ καὶ μεάλα ἔδρασε, καὶ τῆς θαλάσσης ἀπὸ Κιλικίας ἐπὶ τὸν όνιον ἦρξε· μέχρι Σύλλας αὐτὸν αὖθις ἐς τὴν πατρώαν ρχὴν συνέκλεισεν, ἑκκαίδεκα στρατῦ μυριάδας ἀποβαλόνα. καὶ τοσῷδε πταίσματι συμπεσὼν, ὅμως ἀνεκίνησε τὸν πόλεμον εὐμαρῶς. στρατηγοῖς τε συνενεχθεὶς ἐς μάχας τοῖς ἀρίστοις, Σύλλα μὲν ἡττᾶτο καὶ Λευκόλλε καὶ Πομπηΐε, πολλὰ καὶ τῶνδε πλεονεκτήσας πολλάκις· Λεύκιον δὲ Κάσσιον, καὶ Ὄππιον Κόϊντον, καὶ Μάνιον Ἀκύλιον, αἰχμαλώτες ἑλὼν, περιήγετο· μέχρι τὸν μὲν ἔκτεινεν, αἴτιον τῦ πολέμε γενόμενον, τὲς δὲ ἀπέδωκε τῷ Σύλλᾳ. ἐνίκα δὲ καὶ Φιμβρίαν, καὶ Μερήναν, καὶ Κότταν ὕπατον, καὶ Φάβιον, καὶ Τριάριον. Τὸ Φρόνημα δ᾽ ἦν ἀεὶ, κἀν ταῖς συμφοραῖς, μέγας καὶ φερέπονος. ἐδεμίαν γέ τοι κατὰ Ῥωμαίων ὁδὸν ἐς ἐπιχείρησιν, ἐδ᾽ ἡττώμενος, παρέλιπεν· ὃς καὶ Σαυνίταις καὶ Κελτοῖς συνετίθετο, καὶ ἐς Σερτώριον ἔπεμπεν ἐς Ἰβηρίαν. τρωθείς τε τὸ σῶμα πολλάκις ὑπὸ πολεμίων, καὶ ἑτέρων κατ᾽ ἐπιβελὰς, ἐκ ἀπέστη τινὸς ἐδὲ ὥς, καίπερ ὢν πρεσβύτης. ἐ μὴν ἐδὲ τῶν ἐπιβελῶν τις αὐτὸν ἔλαθεν, ἐδ᾽ ἡ τελευταία· ἀλλ᾽ ἑκὼν ταύτην ὑπεριδὼν, ἀπώλετο δι᾽ αὐτήν. ἕτως ἀχάριστον ἡ πονηρία, συγγνώμης τυγχάνεσα. Φονικὸς δὲ καὶ ὠμὸς ἐς πάντας ἦν, καὶ τὴν μητέρα ἔκτεινε, καὶ τὸν ἀδελφὸν, καὶ τῶν παίδων τρεῖς υἱὲς καὶ τρεῖς θυγατέρας. Τὸ σῶμα δ᾽ ἦν μέγας μὲν, ὡς ὑποδεικνύεσιν ὅσα ὅπλα αὐτὸς ἔπεμψεν ἐς Νεμέαν τε καὶ Δελφές· εὔρωστος δὲ, ὡς μέχρι τέλες ἱππεῦσαί τε καὶ ἀκοντίσαι, καὶ χίλια στάδια τῆς ἡμέρας, περιμενόντων αὐτὸν ἐκ διαστημάτων ἵππων, δραμεῖν. καὶ ἅρμα ἤλαυνεν ἑκκαίδεκα ἵππων ὁμῦ. καὶ παιδείας ἐπεμέλετο Ἑλληνικῆς, διὸ καὶ τῶν ἱερῶν

inde ab an. 89 ante Chr.

ρῶν ἥσθετο τῶν Ἑλληνικῶν, καὶ μουσικὴν ἠγάπα. Καὶ σώφρων ἐς πολλὰ καὶ φερέπονος ὤν, περὶ μόνας ἡττᾶτο τὰς τῶν γυναικῶν ἡδονάς. Ὡς δὲ Φαρνάκης, ὁ τῶν παίδων αὐτῷ τιμιώτατός τε, καὶ πολλάκις ὑπ' αὐτοῦ τῆς ἀρ-
63 ante Chr. χῆς ἀποδεδειγμένος ἔσεσθαι διάδοχος, ἐπεβούλευε τῷ πατρὶ καὶ διάδημα ἑαυτῷ περιέθηκε, αὐτὸς παραλύσας, ὃ περὶ τῷ
Appianus, l. c. cap. 111. ξίφει φάρμακον ἀεὶ περιέκειτο, ἐκίρνη. αὐτοῦ δὲ, καί τοι συντόνως ἐξεπίτηδες βαδίζοντος, οὐκ ἐφικνεῖτο, διὰ ἔθος καὶ συντροφίαν ἑτέρων φαρμάκων, οἷς ἐς ἄμυναν δηλητηρίων ἐχρῆτο συνεχῶς· καὶ νῦν ἔτι φάρμακα Μιθριδάτεια λέγεται. Βίτοιτον οὖν τινα ἰδὼν, ἡγεμόνα Κελτῶν· Πολλὰ μὲν ἐκ τῆς σῆς, ἔφη, δεξιᾶς, ἐς πολεμίους ὠνάμην· ὀνήσομαι δὲ μέγιστον, εἰ νῦν με κατεργάσαιο, κινδυνεύοντα ἐς πομπὴν ἀπαχθῆναι θριάμβου, τὸν μέχρι πολλοῦ τοσῆσδε ἀρχῆς αὐτοκράτορα καὶ βασιλέα· ἀδυνατοῦντα ἐκ φαρμάκων ἀποθανεῖν, δι' εὐήθη προφυλακὴν ἑτέρων φαρμάκων. τὸ γὰρ δὴ χαλεπώτατον καὶ σύνοικον ἀεὶ βασιλεῦσι φάρμακον, ἀπιστίαν στρατοῦ καὶ παίδων καὶ φίλων, οὐ προειδόμην, ὁ τὰ ἐπὶ τῇ διαίτῃ πάντα προϊδὼν καὶ φυλαξάμενος. Ὁ μὲν δὴ Βίτοιτος, ἐπικλασθεὶς, ἐπεκούρησε χρῄζοντι τῷ βασιλεῖ.

Appianus, l. c. cap. 113. Ὁ μὲν δὴ Εὐπάτωρ τε καὶ Διόνυσος ἐπικληθεὶς Μιθριδάτης ὧδε ἐτελεύτα. καὶ Ῥωμαῖοι μαθόντες ἑώρταζον, ὡς ἐχθροῦ δυσχεροῦς ἀπηλλαγμένοι. Φαρνάκης δὲ Πομπηΐῳ τὸν νέκυν τοῦ πατρὸς ἐς Σινώπην ἐπὶ τριήρους ἔπεμπε, καὶ τοὺς Μάνιον ἑλόντας· ὅμηρά τε πολλὰ ὅσα ἦν Ἑλληνικά τε καὶ βαρβαρικά· δεόμενος, ἢ τῆς πατρῴας ἀρχῆς ἢ Βοσπόρου γε βασιλεύειν μόνου, ἥν τινα καὶ Μαχάρης ὁ ἀδελφὸς αὐτοῦ βασιλείαν παρὰ Μιθριδάτου παρειλήφει. Πομπήϊος δ' ἐς μὲν τὸ σῶμα τοῦ Μιθριδάτου χορηγίαν ἔδωκε, καὶ θάψαι βασιλείῳ ταφῇ τοῖς θεραπευτῆρσιν αὐτοῦ προσέταξε, καὶ ἐν Σινώπῃ τοῖς βασιλείοις ἐνθέσθαι τάφοις· ἀγάμενος αὐτὸν τῆς μεγαλουργίας, ὡς τῶν καθ' αὐτὸν βασιλέων ἄριστον. Φαρνάκην δὲ, ἀπαλλάξαντα πόνου πολλοῦ τὴν Ἰταλίαν, φίλον καὶ σύμμαχον Ῥωμαίοις ἐποιήσατο. καὶ βασιλεύειν ἔδωκεν αὐτῷ Βοσπόρου, χωρὶς Φαναγορέων· οὓς ἐλευθέρους καὶ αὐτονόμους ἀφῆκεν, ὅτι πρῶτοι μάλιστα οἵδε ἀναῤῥωννυμένῳ τῷ Μιθριδάτῃ, καὶ ναῦς καὶ στρατὸν ἄλλον καὶ ὁρμητήρια ἔχοντι, ἐπι-

χείρη-

ησαν, ἡγεμόνες τε τοῖς ἄλλοις ἀποςάσεως ἐγένοντο, Μιθριδάτῃ καταλύσεως ἄιτιοι.

Ὁ ὖν Πομπήϊος βασιλέα καθελὼν μέγιςον, τῶν δὲ μμένων ἐθνῶν τὰ μὲν ἀυτόνομα ἠφίει, συμμαχίας α· τὰ δὲ ὑπὸ Ῥωμαίοις ἐυθὺς ἐγίγνετο· τὰ δ᾽ ἐις βαια διεδίδε, Τιγράνῃ μὲν Ἀρμενίαν, καὶ Φαρνάκῃ Βόον, καὶ Ἀριοβαρζάνῃ Καππαδοκίαν, καὶ ὅσα προεῖ-ἔτερα. Ἐποίει δὲ καὶ τετράρχας, Γαλλογραικῶν μὲν, ὖν ἐισι Γαλάται Καππαδόκαις ὅμοροι, Δηϊόταρον, καὶ ες· Παφλαγονίας δὲ Ἄτταλον, καὶ Κόλχων Ἀρίςαρ-, δυνάςην. ἀπέφηνε δὲ καὶ τῆς ἐν Κομάναις θεᾶς ;έλαον ἱερέα, ὅπερ ἐςὶ δυναςεία βασιλικὴ· καὶ τὸν αγορέα Κάςορα, Ῥωμαίων φίλον. πολλὴν δὲ καὶ οις χώραν τε καὶ χρήματα ἔδωκε. Καὶ πόλεις ᾤκισεν· μὲν Πόντῳ Ἐυπατορίαν, ἣν ἀυτὸς μὲν ὁ Ἐυπάτωρ ριδάτης ἔκτισε, καὶ Ἐυπατορίαν ὠνόμασεν ἀφ᾽ ἑαυτῦ, εξαμένην δὲ Ῥωμαίυς καθῃρήκει· καὶ ὁ Πομπήϊος ἐγεί-Μαγνόπολιν ἐκάλει. ἐν δὲ Καππαδοκίᾳ, Μάζακα, τῦ πολέμυ λελυμασμένην ἐς τέλος, ἤγειρεν ἄυθις. ἑτέρας πολλαχῦ κατενεχθείσας ἢ βεβλαμμένας διωρ-, περί τε τὸν Πόντον καὶ Κιλικίαν, ἐν ᾗ δὴ καὶ μάτὺς λῃςὰς συνῴκιζε, καὶ ἡ πόλις ἡ πάλαι Σόλοι Πομπηϊύπολίς ἐςιν. Ἐν δὲ Ταλαύροις, ἣν τινα πόλιν ιθριδάτης ἔιχε ταμιεῖον τῆς κατασκευῆς, δισχίλια μὲν ματα λίθυ τῆς ὀνυχίτιδος λεγομένης ευρέθη χρυσοητα, καὶ φιάλαι καὶ ψυκτῆρες πολλοὶ, καὶ ῥυτὰ, κλίναι, καὶ θρόνοι κατάκοσμοι, καὶ ἵππων χαλινοὶ καὶ τερνίδια καὶ ἐπωμίδια, πάντα ὁμοίως διάλιθα καὶ καυσα· ὧν ἡ παράδοσις διὰ τὸ πλῆθος ἐς τριάκοντα ἡς παρέτεινε. καὶ ἦν τὰ μὲν ἐκ Δαρείυ τῦ Ὑςάσπυ, δὲ ἐκ τῆς Πτολεμαίων ἀρχῆς, ὅσα Κλεοπάτρα Κῴοις θετο, καὶ Κῷοι Μιθριδάτῃ δεδώκεσαν· τὰ δὲ καὶ ὑπ᾽ Μιθριδάτυ κατεσκέυαστο καὶ συνείλεκτο, φιλοκάλυ περὶ κατασκευὴν γενομένυ.

Appianus, l. c. cap. 114.

cap. 115.

Ὧδε μὲν Ῥωμαῖοι Βιθυνὰς καὶ Καππάδοκας, ὅσα υτοῖς ὅμορα ἔθνη ἐπὶ τὸν Πόντον κατοικεῖ τὸν Ἔυν, βασιλέα Μιθριδάτην τεσσαράκοντα δύο ἔτεσι μάλιαθελόντες, ὑπηγάγοντο σφίσιν ὑπήκοα ἔιναι. Τῷ δὲ

Appianus, l. c. cap. 118. 62 ante Chr.

 ἀυτῷ

αὐτῷ πολέμῳ καὶ Κιλικίας τὰ μήπω σφίσι κατήκοα, καὶ Συρίας τήν τε Φοινίκην καὶ Κοίλην καὶ Παλαιςίνην, καὶ τὴν ἐς τὸ μεσόγαιον ἐπὶ ποταμὸν Εὐφράτην, ὐδὲν ἔτι τῷ Μιθριδάτῃ προσήκοντα, ῥύμῃ τῆσδε τῆς νίκης προσέλαβον. καὶ φόρυς τοῖς μὲν αὐτίκα, τοῖς δὲ ὕςερον, ἔταξαν. Παφλαγονίαν τε καὶ Γαλατίαν, καὶ Φρυγίαν, καὶ τὴν ὅμορον τῇ Φρυγίᾳ Μυσίαν, καὶ ἐπὶ τοῖσδε Λυδίαν καὶ Καρίαν καὶ Ἰωνίαν, καὶ ὅσα ἄλλα Ἀσίας τῆς περὶ τὸ Πέργαμόν ἐςι, καὶ τὴν ἀρχαίαν Ἑλλάδα, καὶ Μακεδονίαν, Μιθριδάτε περισπάσαντος, ὀξέως ἀνελάβοντο· καὶ τοῖς πολλοῖς αὐτῶν, ὔπω σφίσιν ὑποτελέσιν ὖσιν, ἐπέθηκαν φόρυς. Δι' ἃ μοι καὶ μάλιςα δοκῦσι τόνδε τὸν πόλεμον ἡγεῖσθαι μέγαν, καὶ τὴν ἐπ' αὐτῷ νίκην Μεγάλην Νίκην καλεῖν, καὶ τὸν ςρατηγήσαντα Πομπήϊον, Μέγαν, τῇ ἰδίᾳ φωνῇ μέχρι νῦν ἐπονομάζειν· ἐθνῶν τε πλήθυς ἕνεκα, ὧν ἀνέλαβον ἢ προσέλαβον· καὶ χρόνυ μήκυς, τεσσαρακονταετῦς γενομένυ· τόλμης τε αὐτῦ Μιθριδάτυ, καὶ φερεπονίας, δυνατῦ σφίσιν

cap. 119. ἐς ἅπαντα ὀφθέντος. Αἱ νῆες μὲν ἦσαν οἰκεῖαι πολλάκις πλείυς τετρακοσίων, ἱππεῖς δ' ἔςιν ὅτε πεντακισμύριοι, καὶ πεζῶν μυριάδες πέντε καὶ εἴκοσι, καὶ μηχαναὶ καὶ βέλη κατὰ λόγον. συνεμάχυν δὲ βασιλεῖς καὶ δυνάςαι, ὅ τε Ἀρμένιος, καὶ Σκυθῶν τῶν περὶ τὸν Πόντον, ἐπί τε Μαιώτιδα λίμνην καὶ ἀπ' ἐκείνης ἐπὶ τὸν Θρᾴκιον Βόσπορον περιπλέοντι. ἔς τε τὺς Ῥωμαίων δυνατὺς, ςασιάζοντας ἀλλήλοις τότε μάλιςα, καὶ Ἰβηρίαν ἀνιςάντας ἐπὶ Ῥωμαίυς, περιέπεμπε· καὶ Κελτοῖς φιλίαν ἐτίθετο, ὡς καὶ τῇδε ἐσβαλῶν ἐς τὴν Ἰταλίαν· λῃςῶν τε ἐνεπίμπλη τὴν θάλασσαν ἀπὸ Κιλικίας ἐπὶ ςήλας Ἡρακλείυς, ὃ πάντα ἄμικτα καὶ ἄπλωτα ταῖς πόλεσιν ἐς ἀλλήλυς ἐποίυν, καὶ λιμὸν ἐπίπονον ἐξειργάσαντο ἐπιπλεῖςον· ὅλως τε ὐδὲν ἀνδρὶ δυνατὸν ἐξέλιπεν, ἢ πράττων, ἢ διανούμενος, ὡς μέγιςον δὴ τόδε τὸ κίνημα ἐξ ἀνατολῆς ἐπὶ δύσιν γενόμενον ἐνοχλῆσαι πᾶσιν, ὡς ἔπος εἰπεῖν, ἢ πολεμυμένοις, ἢ συμμαχῦσιν, ἢ λῃςευομένοις, ἢ γειτονεύυσι. Τοσόςδε εἷς ὗτος πόλεμος καὶ ποικίλος ἐγένετο. Καὶ ἐς τὰ μέγιςα λήγων συνήνεγκε Ῥωμαίοις. ὡρίσαντο γὰρ ἐπὶ τῷδε τὴν ἡγεμονίαν ἐκ δύσεως ἐπὶ ποταμὸν Εὐφράτην.

Φαρ-

Φαρνάκης δ' ἐπολιόρκει Φαναγορέας καὶ τὰ περίοικα τοῦ Βοσπόρου, μέχρι τῶν Φαναγορέων διὰ λιμὸν ἐς μάχην προελθόντων ἐκράτει τῇ μάχῃ· καὶ βλάψας οὐδὲν, ἀλλὰ φίλους ποιησάμενος, καὶ λαβὼν ὅμηρα, ἀνεχώρει. Μετ' οὐ πολὺ δὲ καὶ Σινώπην εἷλε, καὶ Ἀμισὸν ἐνθυμιζόμενος, καὶ Καλουίνῳ στρατηγοῦντι ἐπολέμησεν, ᾧ χρόνῳ Πομπήϊος καὶ Καῖσαρ ἐς ἀλλήλους ᾖεσαν· ἕως αὐτὸν Ἄσανδρος ἐχθρὸς ἴδιος, Ῥωμαίων οὐ σχολαζόντων ἐξήλασε τῆς Ἀσίας. ἐπολέμησε δὲ καὶ αὐτῷ Καίσαρι, καθελόντι Πομπήϊον, ἐπανιόντι ἀπ' Αἰγύπτου, περὶ τὸ Σκότιον ὄρος, ἔνθα ὁ πατὴρ αὐτοῦ Ῥωμαίων τῶν ἀμφὶ Τριάριον ἐκεκρατήκει· καὶ ἡττηθεὶς, ἔφευγε σὺν χιλίοις ἱππεῦσιν ἐς Σινώπην. Καίσαρος δ' αὐτὸν ὑπ' ἀσχολίας οὐ διώξαντος, ἀλλ' ἐπιπέμψαντος αὐτῷ Δομίτιον, παραδοὺς τὴν Σινώπην Δομιτίῳ, ὑπόσπονδος ἀφείθη μετὰ τῶν ἱππέων. καὶ τοὺς ἵππους ἔκτεινε, πολλὰ δυσχεραινόντων τῶν ἱππέων· ναυσὶ δ' ἐπιβὰς ἐς τὸν Πόντον ἔφυγε, καὶ Σκυθῶν τινας καὶ Σαυροματῶν συναγαγὼν, Θεοδοσίαν καὶ Παντικάπαιον κατέλαβεν. ἐπιθεμένου δ' αὖθις αὐτῷ κατὰ τὸ ἔχθος Ἀσάνδρου, οἱ μὲν ἱππεῖς, ἀπορίᾳ τε ἵππων, καὶ ἀμαθίᾳ πεζομαχίας, ἐνικῶντο. αὐτὸς δὲ ὁ Φαρνάκης μόνος ἠγωνίζετο καλῶς, μέχρι κατατρωθεὶς ἀπέθανε, πεντηκοντέτης ὢν, καὶ βασιλεὺς Βοσπόρου πεντεκαίδεκα ἔτεσιν. Ὧδε μὲν δὴ καὶ Φαρνάκης ἐξέπεσε τῆς ἀρχῆς· καὶ αὐτοῦ τὴν βασιλείαν Γάϊος μὲν Καῖσαρ ἔδωκε Μιθριδάτῃ τῷ Περγαμηνῷ, συμμαχήσαντί οἱ προθύμως ἐν Αἰγύπτῳ. νῦν δ' εἰσὶν οἰκεῖοι. Πόντου δὲ καὶ Βιθυνίας πέμπεταί τις ἀπὸ τῆς βουλῆς στρατηγὸς ἐτήσιος. Τὰ δ' ἑτέροις ὑπὸ τοῦ Πομπηΐου δεδομένα ὁ μὲν Γάϊος, ἐπικεμψάμενος τοῖς ἔχουσιν, ὅτι Πομπηΐῳ καὶ αὐτοῦ συνεμάχουν, ὅμως ἐφύλαξε· πλὴν τῆς ἐν Κομάνοις ἱερωσύνης, ἣν ἐς Λυκομήδην μετήνεγκεν ἀπὸ Ἀρχελάου. πάντα δὲ οὐ πολὺ ὕστερον, καὶ τάδε, καὶ ὅσα Γάϊος Καῖσαρ ἢ Μάρκος Ἀντώνιος ἔχειν ἑτέροις ἐδεδώκεσαν, ἐς στρατηγίας Ῥωμαίων περιῆλθεν, ὑπὸ τοῦ Σεβαστοῦ Καίσαρος, ἑλόντος Αἴγυπτον, ὀλίγης ἔτι Ῥωμαίων προφάσεως ἐς ἕκαστα δεομένων.

cap. 120. — 47 ante Chr. — cap. 121.

Dio Cassius, Lib. IV. cap. 24. Ἐπ' Αὐγέϛȣ ἐν τῷ Βοσπόρῳ τῷ Κιμμερίῳ νεοχμώσαντα συνέβαινε· Σκριβώνιος γάρ τις, τȣ͂ τε Μιθριδάτȣ ἔγγονος εἶναι, καὶ παρὰ τȣ͂ Αὐγέϛȣ τὴν βασιλείαν, ἐπειδήπερ ὁ Ἄσανδρος ἐτεθνήκει, λέγων εἰληφέναι, τὴν γυναῖκα αὐτȣ͂ Δύναμίν τε καλȣμένην, καὶ τὴν ἀρχὴν παρὰ τȣ͂ ἀνδρὸς ἐπιτετραμμένην, ἣ τȣ͂ τε Φαρνάκȣ θυγάτηρ καὶ τȣ͂ Μιθριδάτȣ ἔγγονος ἦν, ἠγάγετο, καὶ τὸν Βόσπορον διὰ χειρὸς ἐποίει. πυθόμενος ȣ͂ν ταῦτα ὁ Ἀγρίππας, τὸν Πολέμωνα ἐπ' αὐτὸν, τὸν τȣ͂ Πόντȣ τȣ͂ πρὸς τῇ Καππαδοκίᾳ ὄντος βασιλεύοντα, ἔπεμψε· καὶ ὃς Σκριβώνιον μὲν ȣ̓κέτι περιόντα κατέλαβε, (μαθόντες γὰρ οἱ Βοσπόριοι τὴν ἐπιβȣλὴν αὐτȣ͂, προαπέκτειναν αὐτὸν) ἀντιϛάντων δὲ οἱ ἐκείνων, δέει τȣ͂ μὴ βασιλεύεσθαι αὐτῷ δοθῆναι, ἐς χεῖρας σφίσιν ἦλθε. καὶ ἐνίκησε μὲν, ȣ̓ μὴν καὶ παρεϛήσατο σφᾶς, πρὶν τὸν Ἀγρίππαν ἐς Σινώπην ἐλθεῖν, ὡς καὶ ἐπ' αὐτȣ̀ς ϛρατεύσοντα. ȣ῞τω δὲ τά τε ὅπλα κατέθεντο, καὶ τῷ Πολέμωνι παρεδόθησαν· ἥ τε γυνὴ ἡ Δύναμις συνῴκησεν αὐτῷ, τȣ͂ Αὐγέϛȣ δηλονότι ταῦτα δικαιώσαντος. ὁ δὲ Γάϊος Πολέμωνι τῷ τȣ͂ Πολέμωνος υἱεῖ τὴν πατρῴαν ἀρχὴν, ψηφισαμένης δὴ τῆς βȣλῆς, ἐχαρίσατο. μετ' αὐτὸν δὲ περιῆλθεν εἰς ϛρατηγίαν.

B) DE REBUS POPULORUM GRÆCORUM.

1124–907. Descriptio terræ. *Herodotus,* Lib. I. cap. 142–151. Οἱ μὲν Ἴωνες, Αἰολέες καὶ Δοριέες ἐκ Ἑλλάδος ἐς τὴν Ἀσίην διέβησαν. Οἱ δὲ Ἴωνες τȣ͂ μὲν ȣ̓ρανȣ͂ καὶ τῶν ὡρέων ἐν τῷ καλλίϛῳ ἐτύγχανον ἱδρυσάμενοι πόλιας πάντων ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν. ȣ̓́τε γὰρ τὰ ἄνω αὐτῆς χωρία τὠυτὸ ποιέει τῇ Ἰωνίῃ, ȣ̓́τε τὰ κάτω, ȣ̓́τε τὰ πρὸς τὴν ἠῶ, ȣ̓́τε τὰ πρὸς τὴν ἑσπέρην· τὰ μὲν, ὑπὸ τȣ͂ ψυχρȣ͂ τε καὶ ὑγρȣ͂ πιεζόμενα· τὰ δὲ, ὑπὸ τȣ͂ θερμȣ͂ τε καὶ αὐχμώδεος. γλῶσσαν δὲ ȣ̓ τὴν αὐτὴν ȣ̓́τοι νενομίκασι, ἀλλὰ τρόπȣς τέσσερας παραγωγέων. Μίλητος μὲν αὐτέων πρώτη κέεται πόλις πρὸς μεσαμβρίην· μετὰ δὲ, Μυȣ̂ς τε καὶ Πριήνη· αὗται μὲν ἐν τῇ Καρίῃ κατοί-

κατοίκηνται, κατὰ ταυτὰ διαλεγόμεναί σφι. αἱ δὲ ἐν
τῇ Λυδίῃ· Ἔφεσος, Κολοφὼν, Λέβεδος, Τέως, Κλα-
ζομεναὶ, Φώκαια. αὗται δὲ αἱ πόλιες τῇσι πρότερον λεχ-
θείσῃσι ὁμολογέουσι κατὰ γλῶσσαν οὐδὲν, σφὶ δὲ ὁμοφω-
νέουσι. ἔτι δὲ τρεῖς ὑπόλοιποι Ἰάδες πόλιες, τῶν αἱ δύο
μὲν νήσους οἰκέαται, Σάμον τε καὶ Χίον· ἡ δὲ μία ἐν
τῇ ἠπείρῳ ἵδρυται, Ἐρυθραί. Χῖοι μέν νυν καὶ Ἐρυ-
θραῖοι κατὰ τωὐτὸ διαλέγονται, Σάμιοι δὲ ἐπ' ἑωυτῶν
μοῦνοι. οὗτοι χαρακτῆρες γλώσσης τέσσερες γίνονται. Τού- cap. 143.
των δὴ ὧν τῶν Ἰώνων οἱ Μιλήσιοι μὲν ἦσαν ἐν σκέπῃ
τοῦ φόβου, ὅρκιον ποιησάμενοι· τοῖσι δὲ αὐτέων νησιώτῃσι
ἦν δεινὸν οὐδέν. οὔτε γὰρ Φοίνικες ἦσάν κω Περσέων κα-
τήκοοι, οὔτε αὐτοὶ οἱ Πέρσαι ναυβάται. ἀπεσχίσθησαν
δὲ ἀπὸ τῶν ἄλλων Ἰώνων οὗτοι κατ' ἄλλο μὲν οὐδὲν,
ἀσθενέος δὲ ἐόντος τοῦ παντὸς τότε Ἑλληνικοῦ γένεος,
πολλῷ δὲ ἦν ἀσθενέστατον τῶν ἐθνέων τὸ Ἰωνικὸν, καὶ
λόγου ἐλαχίστου. ὅτι γὰρ μὴ Ἀθῆναι, ἦν οὐδὲν ἄλλο πό-
λισμα λόγιμον. οἱ μέν νυν ἄλλοι Ἴωνες καὶ Ἀθηναῖοι
ἔφυγον τοὔνομα, οὐ βουλόμενοι Ἴωνες κεκλῆσθαι. ἀλλὰ καὶ
νῦν φαίνονταί μοι οἱ πολλοὶ αὐτέων ἐπαισχύνεσθαι τῷ
οὐνόματι. αἱ δὲ δυώδεκα πόλιες αὗται τῷ τε οὐνόματι
ἠγάλλοντο, καὶ ἱρὸν ἱδρύσαντο ἐπὶ τε σφέων αὐτέων, τῷ
οὔνομα ἔθεντο Πανιώνιον· ἐβουλεύσαντο δὲ αὐτοῦ μεταδοῦναι
μηδαμοῖσι ἄλλοισι Ἰώνων. οὐδ' ἐδεήθησαν δὲ οὐδαμοὶ με-
τασχεῖν, ὅτι μὴ Σμυρναῖοι. Κατάπερ οἱ ἐκ τῆς Πεν- cap. 144.
ταπόλιος νῦν χώρης Δωριέες, πρότερον δὲ Ἑξαπόλιος τῆς
αὐτῆς ταύτης καλεομένης, φυλάσσονται ὦν μηδαμοὺς ἐσ-
δέξασθαι τῶν προσοίκων Δωριέων ἐς τὸ Τριοπικὸν ἱρὸν·
ἀλλὰ καὶ σφέων αὐτέων τοὺς περὶ τὸ ἱρὸν ἀνομήσαντας
ἐξεκλήϊσαν τῆς μετοχῆς. ἐν γὰρ τῷ ἀγῶνι τοῦ Τριοπίου
Ἀπόλλωνος ἐτίθεσαν τοπάλαι τρίποδας χαλκέους τοῖσι νι-
κῶσι· καὶ τούτους χρῆν τοὺς λαμβάνοντας ἐκ τοῦ ἱροῦ μὴ
ἐκφέρειν, ἀλλ' αὐτοῦ ἀνατιθέναι τῷ θεῷ. ἀνὴρ ὦν Ἁ-
λικαρνησεὺς, τῷ οὔνομα ἦν Ἀγασικλέης, νικήσας, τὸν
νόμον κατηλόγησε· φέρων δὲ πρὸς τὰ ἑωυτοῦ οἰκία προσε-
πασσάλευσε τὸν τρίποδα. διὰ ταύτην τὴν αἰτίην αἱ πέν-
τε πόλιες, Λίνδος, καὶ Ἰηλυσσός τε καὶ Κάμειρος, καὶ
Κῶς τε καὶ Κνίδος, ἐξεκλήϊσαν τῆς μετοχῆς τὴν ἕκτην
πόλιν

πόλιν Ἁλικαρνησσόν. τοῦτοισι μέν νυν ταύτην τὴν ζημίην οὗτοι ἐπέθηκαν.
cap. 145. Δοκέουσι δέ μοι δυώδεκα πόλιας ποιήσασθαι οἱ Ἴωνες, καὶ οὐκ ἐθελῆσαι πλεῦνας ἐσδέξασθαι, τοῦδε εἵνεκα, ὅτι καὶ ὅτε ἐν Πελοποννήσῳ οἴκεον, δυώδεκα ἦν αὐτῶν μέρεα, κατάπερ νῦν Ἀχαιῶν, τῶν ἐξελασάντων Ἴωνας, δυώδεκά ἐστι μέρεα. Πελλήνη μέν γε πρώτη πρὸς Σικυῶνος· μετὰ δὲ, Αἴγειρα, καὶ Αἰγαί· ἐν τῇ Κρᾶθις ποταμὸς ἀέναός ἐστι, ἀπὸ τοῦ ὁ ἐν Ἰταλίῃ ποταμὸς τὸ οὔνομα ἔσχε· καὶ Βοῦρα, καὶ Ἑλίκη, (ἐς τὴν κατέφυγον Ἴωνες ὑπὸ Ἀχαιῶν μάχῃ ἑσσωθέντες,) καὶ Αἴγιον, καὶ Ῥύπες, καὶ Πατρέες, καὶ Φαρέες, καὶ Ὤλενος, ἐν τῷ Πεῖρος ποταμὸς μέγας ἐστί· καὶ Δύμη,
cap. 146. καὶ Τριταιέες, οἱ μοῦνοι τουτέων μεσόγαιοι οἰκέουσι. Ταῦτα δυώδεκα μέρεα νῦν Ἀχαιῶν ἐστι, καὶ τότε γε Ἰώνων ἦν. τουτέων δὴ εἵνεκα καὶ οἱ Ἴωνες δυώδεκα πόλιας ἐποιήσαντο· ἐπεὶ ὥς γέ τι μᾶλλον οὗτοι Ἰωνές εἰσι τῶν ἄλλων Ἰώνων, ἢ κάλλιόν τι γεγόνασι, μωρίη πολλὴ λέγειν· τῶν Ἄβαντες μὲν ἐξ Εὐβοίης εἰσὶ οὐκ ἐλαχίστη μοῖρα, τοῖσι Ἰωνίης μέτα οὐδὲ τοῦ οὐνόματος οὐδέν· Μινύαι δὲ Ὀρχομένιοι ἀναμεμίχαται, καὶ Καδμεῖοι, καὶ Δρύοπες, καὶ Φωκέες ἀποδάσμιοι, καὶ Μολοσσοὶ, καὶ Ἀρκάδες Πελασγοὶ, καὶ Δωριέες Ἐπιδαύριοι, ἄλλά τε ἔθνεα πολλὰ ἀναμεμίχαται· οἱ δὲ αὐτέων, ἀπὸ τοῦ πρυτανηΐου τοῦ Ἀθηναίων ὁρμηθέντες, καὶ νομίζοντες γενναιότατοι εἶναι Ἰώνων· οὗτοι δὲ οὐ γυναῖκας ἠγάγοντο ἐς τὴν ἀποικίην, ἀλλὰ Καείρας ἔσχον, τῶν ἐφόνευσαν τοὺς γονέας. διὰ τοῦτον δὲ τὸν φόνον αἱ γυναῖκες αὗται, νόμον θέμεναι, σφίσι αὐτῇσι ὅρκους ἐπήλασαν, καὶ παρέδοσαν τῇσι θυγατράσι, μή κοτε ὁμοσιτῆσαι τοῖσι ἀνδράσι, μηδὲ οὐνόματι βῶσαι τὸν ἑωϋτῆς ἄνδρα, τοῦδε εἵνεκα, ὅτι ἐφόνευσαν σφέων τοὺς πατέρας καὶ ἄνδρας καὶ παῖδας, καὶ ἔπειτεν ταῦτα ποιήσαντες,
cap. 147. αὐτῇσι συνοίκεον. ταῦτα δὲ ἦν γινόμενα ἐν Μιλήτῳ. Βασιλέας δὲ ἐστήσαντο, οἱ μὲν αὐτῶν, Λυκίους, ἀπὸ Γλαύκου τοῦ Ἱππολόχου γεγονότας· οἱ δὲ, Καύκωνας Πυλίους, ἀπὸ Κόδρου τοῦ Μελάνθου· οἱ δὲ, καὶ συναμφοτέρους. ἀλλὰ γὰρ περιέχονται τοῦ οὐνόματος μᾶλλόν τι τῶν ἄλλων Ἰώνων. ἔστωσαν δὲ καὶ οἱ καθαρῶς γεγονότες Ἴωνες· εἰσὶ δὲ πάντες Ἴωνες, ὅσοι ἀπ' Ἀθηνέων γεγόνασι, καὶ Ἀπατούρια ἄγουσι

ἄγουσι ὁρτήν. ἄγουσι δὲ πάντες, πλὴν Ἐφεσίων καὶ Κο-
λοφωνίων. οὗτοι γὰρ μοῦνοι Ἰώνων οὐκ ἄγουσι Ἀπατούρια·
καὶ οὗτοι κατὰ φόνου τινὰ σκῆψιν. Τὸ δὲ Πανιώνιόν ἐστι cap. 148.
τῆς Μυκάλης χῶρος ἱρὸς, πρὸς ἄρκτον τετραμμένος, κοι-
νῇ ἐξαραιρημένος ὑπὸ Ἰώνων Ποσειδέωνι Ἑλικωνίῳ· ἡ δὲ
Μυκάλη ἐστὶ τῆς ἠπείρου ἄκρη, πρὸς ζέφυρον ἄνεμον κα-
τήκουσα Σάμῳ. ἐς τὴν συλλεγόμενοι ἀπὸ τῶν πολίων Ἴω-
νες, ἄγεσκον ὁρτὴν, τῇ ἔθεντο οὔνομα Πανιώνια. πε-
πόνθασι δὲ οὔτι μοῦναι αἱ Ἰώνων ὁρταὶ τοῦτο, ἀλλὰ καὶ
Ἑλλήνων πάντων ὁμοίως πᾶσαι ἐς τὠυτὸ γράμμα τελευ-
τῶσαι, κατάπερ τῶν Περσέων τὰ οὐνόματα. αὗται μὲν αἱ
Ἰάδες πόλιές εἰσι. Αἵδε δὲ αἱ Αἰολίδες, Κύμη, ἡ Φρι- cap. 149.
κωνὶς καλεομένη, Λήρισσαι, Νέον τεῖχος, Τῆμνος, Κίλ-
λα, Νότιον, Αἰγιρόεσσα, Πιτάνη, Αἰγαῖαι, Μύρινα,
Γρύνεια· αὗται ἕνδεκα Αἰολέων πόλιες αἱ ἀρχαῖαι. μία
γάρ σφεων παρελύθη ὑπὸ Ἰώνων, Σμύρνη. ἦσαν γὰρ καὶ
αὗται δυώδεκα αἱ ἐν τῇ ἠπείρῳ. οὗτοι δὲ οἱ Αἰολέες χώ-
ρην μὲν ἔτυχον κτίσαντες ἀμείνω Ἰώνων, ὡρέων δὲ ἥκου-
σαν οὐκ ὁμοίως. Σμύρνην δὲ ὧδε ἀπέβαλον Αἰολέες· Κο- cap. 150.
λοφωνίους ἄνδρας στάσει ἑσσωθέντας, καὶ ἐκπεσόντας ἐκ
τῆς πατρίδος, ὑπεδέξαντο. μετὰ δὲ, οἱ φυγάδες τῶν Κο-
λοφωνίων φυλάξαντες τοὺς Σμυρναίους ὁρτὴν ἔξω τείχεος
ποιευμένους Διονύσῳ, τὰς πύλας ἀποκληΐσαντες, ἔσχον τὴν
πόλιν. βοηθησάντων δὲ πάντων Αἰολέων, ὁμολογίῃ ἐχρή-
σαντο, τὰ ἔπιπλα ἀποδόντων τῶν Ἰώνων, ἐκλιπεῖν Σμύρ-
νην Αἰολέας. ποιησάντων δὲ ταῦτα Σμυρναίων, ἐπιδιεί-
λοντό σφεας αἱ ἕνδεκα πόλιες, καὶ ἐποιήσαντο σφέων αὐ-
τέων πολιήτας. Αὗται μέν νυν αἱ ἠπειρώτιδες Αἰολίδες cap. 151.
πόλιες, ἔξω τῶν ἐν τῇ Ἴδῃ οἰκημένων· κεχωρίδαται γὰρ
αὗται. αἱ δὲ τὰς νήσους ἔχουσαι, πέντε μὲν πόλιες τὴν
Λέσβον νέμονται· τὴν γὰρ ἕκτην ἐν τῇ Λέσβῳ οἰκεομέ-
νην Ἀρίσβαν ἠνδραπόδισαν Μεθυμναῖοι, ἐόντας ὁμαίμους.
ἐν Τενέδῳ δὲ μία οἰκέεται πόλις, καὶ ἐν τῇσι Ἑκατὸν
νήσοισι καλεομένῃσι ἄλλη μία. Λεσβίοισι μέν νυν καὶ
Τενεδίοισι, κατάπερ Ἰώνων τοῖσι τὰς νήσους ἔχουσι, ἦν δει-
νὸν οὐδέν. τῇσι δὲ λοιπῇσι πόλισι ἕαδε κοινῇ Ἴωσι ἕπεσθαι,
τῇ ἂν οὗτοι ἐξηγέωνται.

Ὁ

Herodotus, Lib. I. c. 6. Sub Croesi imperio inde ab an. 56○ ante Chr.

Ὁ δὲ Κροῖσος, Λυδὸς μὲν τὸ γένος, παῖς δὲ Ἀλυάττεω, βαρβάρων πρῶτος τῶν ἡμεῖς ἴδμεν, τὰς μὲν κατεστρέψατο Ἑλλήνων ἐς φόρου ἀπαγωγὴν, τὰς δὲ φίλας προσεποιήσατο. κατεστρέψατο μὲν Ἴωνάς τε καὶ Αἰολέας, καὶ Δωριέας τὰς ἐν τῇ Ἀσίῃ. Φίλας δὲ προσεποιήσατο Λακεδαιμονίας. πρὸ δὲ τῆς Κροίσου ἀρχῆς πάντες Ἕλληνες ἦσαν ἐλεύθεροι. τὸ γὰρ Κιμμερίων στράτευμα τὸ ἐπὶ τὴν Ἰωνίην ἀπικόμενον, Κροίσου ἐὸν πρεσβύτερον, οὐ καταστροφὴ ἐγένετο τῶν πολίων, ἀλλ' ἐξ ἐπιδρομῆς ἁρπαγή.

cap. 141. c. 547 ante Chr. A Persis subjugantur.

Ἴωνες δὲ καὶ Αἰολέες, ὡς οἱ Λυδοὶ τάχιστα κατεστράφατο ὑπὸ Περσέων, ἔπεμπον ἀγγέλους ἐς Σάρδις παρὰ Κῦρον, ἐθέλοντες ἐπὶ τοῖσι αὐτοῖσι εἶναι τοῖσι καὶ Κροίσῳ ἦσαν κατήκοοι. ὁ δὲ, ἀκούσας αὐτέων τὰ προΐσχοντο, ἔλεξέ σφι λόγον, ἄνδρα φὰς αὐλητὴν ἰδόντα ἰχθῦς ἐν τῇ θαλάσσῃ, αὐλέειν, δοκέοντά σφεας ἐξελεύσεσθαι ἐς γῆν· ὡς δὲ ψευσθῆναι τῆς ἐλπίδος, λαβεῖν ἀμφίβληστρον, καὶ περιβαλεῖν τε πλῆθος πολλὸν τῶν ἰχθύων καὶ ἐξειρύσαι. ἰδόντα δὲ παλλομένους, εἰπεῖν ἄρα αὐτὸν πρὸς τοὺς ἰχθῦς, "Παύεσθέ μοι ὀρχεόμενοι, ἐπεὶ οὐκ ἐμέο αὐλέοντος ἠθέ-"λετε ἐκβαίνειν ὀρχεόμενοι." Κῦρος μὲν τοῦτον τὸν λόγον τοῖσι Ἴωσι καὶ τοῖσι Αἰολεῦσι τῶνδε εἵνεκα ἔλεξε, ὅτι δὴ οἱ Ἴωνες πρότερον αὐτοῦ Κύρου δεηθέντος δι' ἀγγέλων ἀπίστασθαί σφεας ἀπὸ Κροίσου, οὐκ ἐπείθοντο· τότε δὲ κατεργασμένων τῶν πρηγμάτων, ἦσαν ἑτοῖμοι πείθεσθαι Κύρῳ. ὁ μὲν δὴ, ὀργῇ ἐχόμενος, ἔλεγέ σφι τάδε. Ἴωνες δὲ ὡς ἤκουσαν τούτων ἀνενειχθέντων ἐς τὰς πόλιας, τείχεά τε περιεβάλλοντο ἕκαστοι, καὶ συνελέγοντο ἐς Πανιώνιον οἱ ἄλλοι πλὴν Μιλησίων· πρὸς μούνους γὰρ τούτους ὅρκιον Κῦρος ἐποιήσατο, ἐπ' οἷσί περ ὁ Λυδός. τοῖσι δὲ λοιποῖσι Ἴωσι ἔδοξε κοινῷ λόγῳ πέμπειν ἀγγέλους ἐς Σπάρτην,

cap. 152.

δεησομένους Ἴωσι τιμωρέειν. Οἱ δὲ Λακεδαιμόνιοι ἔπεμπον ἐς Σάρδις κήρυκα ἀπερέοντα Κύρῳ αὐτέων ῥῆσιν, γῆς τῆς Ἑλλάδος μηδεμίην πόλιν σιναμωρέειν, ὡς αὐτῶν οὐ

cap. 153.

περιοψομένων. Ταῦτα εἰπόντος τοῦ κήρυκος, λέγεται Κῦρον ἐπείρεσθαι τοὺς παρεόντας οἱ Ἑλλήνων, τίνες ἐόντες ἄνθρωποι Λακεδαιμόνιοι, καὶ κόσοι πλῆθος, ταῦτα ἑωϋτῷ προαγορεύουσι. πυνθανόμενον δέ μιν εἰπεῖν πρὸς τὸν κήρυκα τὸν Σπαρτιήτην, "Οὐκ ἔδεισά κω ἄνδρας τοιούτους,

"τοῖ-

"τοῖσί ἐςι χῶρος ἐν μέσῃ τῇ πόλει ἀποδεδεγμένος, ἐς τὸν "συλλεγόμενοι, ἀλλήλες ὀμνῦντες ἐξαπατῶσι. τοῖσι, ἢν "ἐγὼ ὑγιαίνω, ἐ τὰ Ἰώνων πάθεα ἔςαι ἔλλεσχα, ἀλλὰ "τὰ οἰκήϊα." Ταῦτα ἐς τὲς πάντας Ἕλληνας ἀπέῤῥιψε ὁ Κῦρος τὰ ἔπεα, ὅτι ἀγορὰς κτησάμενοι, ὠνῇ τε καὶ πρήσει χρέωνται. αὐτοὶ γὰρ ὁ Πέρσαι ἀγορῇσι ἐδὲν ἐώθασι χρῆσθαι, ἐδέ σφι ἐςὶ τοπαράπαν ἀγορή. Ἀυτὸς δὲ ὁ Κῦρος ἀπήλαυνε ἐς Ἀγβάτανα, τὲς τε Ἴωνας ἐν ἐδενὶ λόγῳ ποιησάμενος τὴν πρώτην ἔιναι, ἥ τε γὰρ Βαβυλὼν ὁι ἦν ἐμπόδιος, καὶ τὸ Βάκτριον ἔθνος καὶ Σάκαι τε καὶ Ἀιγύπτιοι, ἐπ' ἓς ἐπεῖχέ τε ςρατηλατέειν αὐτὸς, ἐπὶ δὲ Ἴωνας ἄλλον πέμπειν ςρατηγόν. Μετ' ἐ πολὺ Ἅρπαγος, ὁ Μῆδος, ὑπὸ Κύρε ςρατηγὸς ἀποδεχθεὶς, ὡς ἀπίκετο ἐς τὴν Ἰωνίην, ἄιρεε τὰς πόλιας χώμασι· ὅκως γὰρ τειχήρεας ποιήσειε, τὸ ἐνθεῦτεν χώματα χῶν πρὸς τὰ τείχεα ἐπόρθεε. πρώτῃ δὲ Φωκαίῃ Ἰωνίης ἐπεχείρησε. Ὁ δὲ Φωκαιέες, ἕτοι ναυτιλίῃσι μακρῇσι πρῶτοι Ἑλλήνων ἐχρήσαντο· καὶ τόν τε Ἀδρίην καὶ τὴν Τυρσηνίην καὶ τὴν Ἰβηρίην καὶ τὸν Ταρτησσὸν ἕτοί ἐισι ὁι καταδέξαντες. ἐναυτίλλοντο δὲ ἐ ςρογγύλῃσι νηυσὶ, ἀλλὰ πεντηκοντέροισι. ἀπικόμενοι δὲ ἐς τὸν Ταρτησσὸν, προσφιλέες ἐγένοντο τῷ βασιλέϊ τῶν Ταρτησσίων, τῷ ἔνομα μὲν ἦν Ἀργανθώνιος· ἐτυράννευσε δὲ Ταρτησσε ὀγδώκοντα ἔτεα, ἐβίωσε δὲ πάντα ἔικοσι καὶ ἑκατόν. τέτῳ δὴ τῷ ἀνδρὶ προσφιλέες ὁι Φωκαιέες ἕτω δή τι ἐγένοντο, ὡς τὰ μὲν πρῶτά σφεας ἐκλιπόντας Ἰωνίην, ἐκέλευε τῆς ἑωϋτε χώρης οἰκῆσαι ὅκε βέλονται· μετὰ δὲ, ὡς τετο ἐκ ἔπειθε τὲς Φωκαιέας, ὁ δὲ πυθόμενος τὸν Μῆδον παρ' αὐτῶν ὡς αὔξοιτο, ἐδίδε σφι χρήματα τεῖχος περιβαλέσθαι τὴν πόλιν. ἐδίδε δὲ ἀφειδέως· καὶ γὰρ καὶ ἡ περίοδος τε τείχεος ἐκ ὀλίγοι ςάδιοί ἐισί· τετο δὲ πᾶν, λίθων μεγάλων καὶ ἓυ συναρμοσμένον. Τὸ μὲν δὴ τεῖχος τοῖσι Φωκαιεῦσι τρόπῳ τοιῷδε ἐξεποιήθη. ὁ δὲ Ἅρπαγος ὡς ἐπήλασε τὴν ςρατιὴν, ἐπολιόρκεε αὐτὲς, προϊσχόμενος ἔπεα, ὡς ὁι καταχρᾷ, ἐι βέλονται Φωκαιέες προμαχεῶνα ἕνα μῦνον τε τείχεος ἐρεῖψαι, καὶ ὄικημα ἓν κατιρῶσαι. ὁι δὲ Φωκαιέες, περιημεκτέοντες τῇ δελοσύνῃ, ἔφασαν θέλειν βελεύσασθαι ἡμέρην μίην, καὶ ἔπειτα

cap. 162. duce Harpagos.

cap. 163.

cap. 164.

Phocenses fugam capiunt.

ἔπειτα ὑποκρινέεσθαι. ἐν ᾧ δὲ βουλεύονται αὐτοὶ, ἀπαγαγεῖν ἐκεῖνον ἐκέλευον τὴν ςρατιὴν ἀπὸ τοῦ τείχεος. ὁ δ' Ἅρπαγος ἔφη εἰδέναι μὲν εὖ τὰ ἐκεῖνοι μέλλοιεν ποιέειν, ὅμως δέ σφι παριέναι βουλεύσασθαι. ἐν ᾧ ὦν ὁ Ἅρπαγος ἀπὸ τοῦ τείχεος ἀπήγαγε τὴν ςρατιὴν, οἱ Φωκαιέες ἐν τούτῳ κατασπάσαντες τὰς πεντηκοντέρους, ἐσθέμενοι τέκνα καὶ γυναῖκας καὶ ἔπιπλα πάντα, πρὸς δὲ καὶ τὰ ἀγάλματα τὰ ἐκ τῶν ἱρῶν, καὶ τὰ ἄλλα ἀναθήματα, χωρὶς ὅτι χαλκὸς ἢ λίθος ἢ γραφὴ ἦν, τὰ δὲ ἄλλα πάντα ἐσθέντες, καὶ αὐτοὶ ἐσβάντες, ἔπλεον ἐπὶ Χίου. τὴν δὲ

cap. 165. *Φωκαίην ἐρημωθεῖσαν ἀνδρῶν ἔσχον οἱ Πέρσαι. Οἱ δὲ Φωκαιέες, ἐπεί τέ σφι Χῖοι τὰς νήσους τὰς Οἰνούσσας καλεομένας οὐκ ἐβούλοντο ὠνεομένοισι πωλέειν, δειμαίνοντες μὴ αἱ μὲν ἐμπόριον γένωνται, ἡ δὲ αὐτέων νῆσος ἀποκληϊσθῇ τούτου εἵνεκα, πρὸς ταῦτα οἱ Φωκαιέες ἐςέλλοντο ἐς Κύρνον. ἐν γὰρ τῇ Κύρνῳ εἴκοσι ἔτεσι πρότερον τούτων ἐκ θεοπροπίου ἀνεςήσαντο πόλιν, τῇ οὔνομα ἦν Ἀλαλίη. Ἀργανθώνιος δὲ τηνικαῦτα ἤδη τετελευτήκεε. ςελλόμενοι δὲ ἐπὶ τὴν Κύρνον, πρῶτα καταπλεύσαντες ἐς τὴν Φωκαίην, κατεφόνευσαν τῶν Περσέων τὴν φυλακὴν, ἣ ἐφρούρεε παραδεξαμένη παρὰ Ἁρπάγου τὴν πόλιν· μετὰ δὲ, ὡς τοῦτό σφι ἐξέργαςο, ἐποιήσαντο ἰσχυρὰς κατάρας τῷ ὑπολειπομένῳ ἑωϋτῶν τοῦ ςόλου. πρὸς δὲ ταύτῃσι, καὶ μύδρον σιδήρεον κατεπόντωσαν· καὶ ὤμοσαν μὴ πρὶν ἐς Φωκαίην ἥξειν, πρὶν ἢ τὸν μύδρον τοῦτον ἀναφῆναι. ςελλομένων δὲ αὐτῶν ἐπὶ τὴν Κύρνον, ὑπὲρ ἡμίσεας τῶν ἀςῶν ἔλαβε πόθος τε καὶ οἶκτος τῆς πόλιος καὶ τῶν ἠθέων τῆς χώρης· ψευδόρκιοι δὲ γενόμενοι, ἀπέπλεον ὀπίσω ἐς τὴν Φωκαίην. οἱ δὲ αὐτῶν τὸ ὅρκιον ἐφύλασ-*

cap. 166. *σον, ἀερθέντες ἐκ τῶν Οἰνουσσέων ἔπλεον. Ἐπείτε δὲ ἐς τὴν Κύρνον ἀπίκοντο, οἴκεον κοινῇ μετὰ τῶν πρότερον ἀπικομένων ἐπ' ἔτεα πέντε, καὶ ἱρὰ ἐνιδρύσαντο. καὶ ἄγον γὰρ δὴ καὶ ἔφερον τοὺς περιοίκους ἅπαντας· ςρατεύονται ὦν ἐπ' αὐτοὺς κοινῷ λόγῳ χρησάμενοι Τυρσηνοὶ καὶ Καρχηδόνιοι, νηυσὶ ἑκάτεροι ἑξήκοντα. οἱ δὲ Φωκαιέες πληρώσαντες καὶ αὐτοὶ τὰ πλοῖα, ἐόντα ἀριθμὸν ἑξήκοντα, ἀντίαζον ἐς τὸ Σαρδόνιον καλεόμενον πέλαγος. συμμισγόντων δὲ τῇ ναυμαχίῃ, Καδμείη τις νίκη τοῖσι Φω-*

καιεῦσι

καιεῦσι ἐγένετο. ἀι μὲν γὰρ τεσσεράκοντά σφισι νῆες διεφθάρησαν, ἀι δὲ ἔικοσι ἀι περιέꙋσαι ἦσαν ἄχρηςοι· ἀπεςράφατο γὰρ τꙋ̀ς ἐμβόλꙋς. καταπλώσαντες δὲ ἐς τὴν Ἀλαλίην, ἀνέλαβον τὰ τέκνα καὶ τὰς γυναῖκας, καὶ τὴν ἄλλην κτῆσιν ὅσην διαί τε ἐγένοντο ἀι νῆές σφι ἄγειν· καὶ ἔπειτα ἀφέντες τὴν Κύρνον, ἔπλεον ἐς Ῥήγιον. Τῶν δὲ διαφθαρεισέων νεῶν τꙋ̀ς ἄνδρας, ὅι τε Καρχηδόνιοι καὶ ὁι Τυρσηνοὶ, ἔλαχόν τε αὐτέων πολλῷ πλεῖꙋς, καὶ τꙋ́τꙋς ἐξαγαγόντες κατέλευσαν. μετὰ δὲ Ἀγυλλαίοισι πάντα τὰ παριόντα τὸν χῶρον, ἐν τῷ ὁι Φωκαιέες καταλευσθέντες ἐκέατο, ἐγίνετο διάςροφα καὶ ἔμπηρα καὶ ἀπόπληκτα, ὁμοίως πρόβατα καὶ ὑποζύγια καὶ ἄνθρωποι. ὁι δὲ Ἀγυλλαῖοι ἐς Δελφꙋ̀ς ἔπεμπον, βꙋλόμενοι ἀκέσασθαι τὴν ἁμαρτάδα. ἡ δὲ Πυθίη σφέας ἐκέλευσε ποιέειν, τὰ καὶ νῦν ὁι Ἀγυλλαῖοι ἔτι ἐπιτελέꙋσι· καὶ γὰρ ἐναγίζꙋσί σφι μεγάλως, καὶ ἀγῶνα γυμνικὸν καὶ ἱππικὸν ἐπιςᾶσι. καὶ ὗτοι μὲν τῶν Φωκαιέων τοιꙋ́τῳ μόρῳ διεχρήσαντο, ὁι δὲ αὐτῶν ἐς τὸ Ῥήγιον καταφυγόντες, ἐνθεῦτεν ὁρμεώμενοι, ἐκτήσαντο πόλιν γῆς τῆς Ὀινωτρίης ταύτην, ἥτις νῦν Ὑέλη καλέεται. ἔκτισαν δὲ ταύτην, πρὸς ἀνδρὸς Ποσειδωνιήτεω μαθόντες, ὡς τὸν Κύρνον σφι ἡ Πυθίη ἔχρησε κτίσαι, ἥρων ἐόντα, ἀλλ᾽ ꙋ̓ τὴν νῆσον. Φωκαίης μέν νυν πέρι τῆς ἐν Ἰωνίῃ ὗτω ἔσχε. cap. 167.

Παραπλήσια δὲ τꙋ́τοισι καὶ Τήϊοι ἐποίησαν· ἐπεί τε γάρ σφεων εἷλε χώματι τὸ τεῖχος Ἅρπαγος, ἐσβάντες πάντες ἐς τὰ πλοῖα, ὤιχοντο πλέοντες ἐπὶ τῆς Θρηΐκίης, καὶ ἐνθαῦτα ἔκτισαν πόλιν Ἄβδηρα· τὴν πρότερος τꙋ́των Κλαζομένιος Τιμήσιος κτίσας, ꙋ̓κ ἀπώνητο, ἀλλ᾽ ὑπὸ Θρηΐκων ἐξελασθεὶς, τιμὰς νῦν ὑπὸ Τηΐων τῶν ἐν Ἀβδήροισι ὡς ἥρως ἔχει. cap. 168. Teii in Thraciam trajiciunt.

Ὁυτοι μέν νυν Ἰώνων μꙋ̃νοι τὴν δꙋλοσύνην ꙋ̓κ ἀνεχόμενοι, ἐξέλιπον τὰς πατρίδας. ὁι δ᾽ ἄλλοι Ἴωνες, πλὴν Μιλησίων, διὰ μάχης μὲν ἀπικέατο Ἁρπάγῳ, κατάπερ ὁι ἐκλιπόντες· καὶ ἄνδρες ἐγένοντο ἀγαθοὶ, περὶ τῆς ἑωϋτꙋ̃ ἕκαςος μαχόμενοι· ἑσσωθέντες δὲ καὶ ἁλόντες, ἔμενον κατὰ χώρην ἕκαςοι, καὶ τὰ ἐπιτασσόμενα ἐπετέλεον. Μιλήσιοι δὲ, ὡς καὶ πρότερόν μοι ἔιρηται, αὐτῷ Κύρῳ ὅρκιον ποιησάμενοι, ἡσυχίην ἄγον. ὗτω δὴ τὸ δεύτερον Ἰωνίη ἐδεδꙋ́λωτο. ὡς δὲ τꙋ̀ς ἐν τῇ ἠπείρῳ cap. 169.

ἠπείρῳ Ἴωνας ἐχειρώσατο Ἅρπαγος, οἱ τὰς νήσους ἔχοντες Ἴωνες, καταῤῥωδήσαντες ταῦτα, σφέας αὐτοὺς ἔδοσαν Κύρῳ. cap. 170. Κεκακωμένων δὲ Ἰώνων, καὶ συλλεγομένων οὐδὲν ἧσσον ἐς τὸ Πανιώνιον, πυνθάνομαι γνώμην Βίαντα ἄνδρα Πριηνέα ἀποδέξασθαι Ἴωσι χρησιμωτάτην, τῇ εἰ ἐπείθοντο, παρεῖχε ἂν σφι εὐδαιμονέειν Ἑλλήνων μάλιστα· ὃς ἐκέλευε κοινῷ στόλῳ Ἴωνας ἀερθέντας πλέειν ἐς Σαρδώ, καὶ ἔπειτα πόλιν μίαν κτίζειν πάντων Ἰώνων. καὶ οὕτω ἀπαλλαχθέντας σφέας δουλοσύνης, εὐδαιμονήσειν, νήσων τε ἁπασέων μεγίστην νεμομένους, καὶ ἄρχοντας ἄλλων· μένουσι δέ σφι ἐν τῇ Ἰωνίῃ οὐκ ἔφη ἐνορᾷν ἐλευθερίην ἔτι ἐσομένην. αὕτη μὲν Βίαντος τοῦ Πριηνέος γνώμη ἐπὶ διεφθαρμένοισι Ἴωσι γενομένη. χρηστὴ δὲ καὶ πρὶν ἢ διαφθαρῆναι Ἰωνίην, Θάλεω ἀνδρὸς Μιλησίου ἐγένετο, τὸ ἀνέκαθεν γένος ἐόντος Φοίνικος· ὃς ἐκέλευε ἓν βουλευτήριον Ἴωνας ἐκτῆσθαι· τὸ δὲ εἶναι ἐν Τέῳ· Τέων γὰρ μέσον εἶναι Ἰωνίης. τὰς δὲ ἄλλας πόλιας οἰκεομένας, μηδὲν ἧσσον νομίζεσθαι, κατάπερ εἰ δῆμοι εἶεν. οὕτω μὲν δή σφι γνώμας τοιάσδε ἀπεδέξαντο.

Tempore Darii Hystaspis rebellant duce Aristagora.

Ὡς ὁ Δαρεῖος τῶν Περσέων βασιλεὺς ἐποιέετο στρατηΐην ἐπὶ Σκύθας, καιρὸς ἦν εὔκαιρος τοῦ ἐλευθεροῦν τὴν Ἰωνίην, κατὰ τὴν γνώμην τῶν Σκυθέων καὶ Μιλτιάδεω, τυραννεύοντος χερσονησιωτέων τῶν ἐν Ἑλλησπόντῳ. οἱ δὲ Ἴωνες, ταχθέντες παρὰ τὸν Ἴστρον φρουρέειν, τότε οὐκ ἔθελον αὐτὴν ἐκδέχεσθαι. μετ᾽ οὐ πολὺ δὲ ἤρχετο ἐκ Νάξου τε καὶ Μιλήτου Ἴωσι γίνεσθαι κακά.

Herodot. Lib. V. cap. 30-35.

Ἐκ Νάξου ἔφυγον ἄνδρες τῶν παχέων ὑπὸ τοῦ δήμου· φυγόντες δὲ ἀπίκοντο ἐς Μίλητον· τῆς δὲ Μιλήτου ἐτύγχανε ἐπίτροπος ἐὼν Ἀρισταγόρης ὁ Μολπαγόρεω, γαμβρός τε ἐὼν καὶ ἀνεψιὸς Ἱστιαίου τοῦ Λυσαγόρεω, τὸν ὁ Δαρεῖος ἐν Σούσοισι κατεῖχε. ὁ γὰρ Ἱστιαῖος τύραννος ἦν Μιλήτου, καὶ ἐτύγχανε τοῦτον τὸν χρόνον ἐὼν ἐν Σούσοισι, ὅτε οἱ Νάξιοι ἦλθον, ξεῖνοι πρὶν ἐόντες τῷ Ἱστιαίῳ. ἀπικόμενοι δὲ οἱ Νάξιοι ἐς τὴν Μίλητον, ἐδέοντο τοῦ Ἀρισταγόρεω, εἴ κως αὐτοῖσι παράσχοι δύναμίν τινα, καὶ κατέλθοιεν ἐς τὴν ἑωϋτῶν· ὁ δὲ, ἐπιλεξάμενος ὡς ἢν δι᾽ ἑωϋτοῦ κατέλθωσι ἐς τὴν πόλιν, ἄρξει τῆς Νάξου· σκῆψιν δὲ ποιεύμενος τὴν ξεινίην τὴν Ἱστιαίου, τόνδέ σφι λόγον προσέφερε,

"Αὐτὸς

"Αὐτὸς μὲν ὑμῖν ἐ Φερέγγυός εἰμι δύναμιν τοσαύτην πα-
"ρασχεῖν, ὥϛε κατάγειν ἀεκόντων τῶν τὴν πόλιν ἐχόντων
"Ναξίων. πυνθάνομαι γὰρ ὀκτακισχιλίην ἀσπίδα Ναξίοι-
"σι ἔιναι, καὶ πλοῖα μακρὰ πολλά· μηχανήσομαι δὲ,
"πᾶσαν σπεδὴν ποιεύμενος. ἐπινοέω δὲ τῇδε· Ἀρταφέρ-
"νης μοὶ τυγχάνει ἐὼν Φίλος· ὁ δὲ Ἀρταφέρνης, Ὑςά-
"σπεος μέν ἐϛι παῖς, Δαρείε δὲ τῦ βασιλῆος ἀδελφεός·
"τῶν δ' ἐπιθαλασσίων τῶν ἐν τῇ Ἀσίῃ ἄρχει πάντων,
"ἔχων ϛρατιὴν τε πολλὴν καὶ πολλὰς νέας. τῦτον ὦν
"δοκέω τὸν ἄνδρα ποιήσειν τῶν ἂν χρήζωμεν." ταῦτα
ἀκέσαντες οἱ Νάξιοι, προσέθεσαν τῷ Ἀριϛαγόρῃ πρήσσειν
ἢ δύναιτο ἄριϛα· καὶ ὑπίσχεθαι δῶρα ἐκέλευον, καὶ δα-
πάνην τῇ ϛρατιῇ, ὡς αὐτοὶ διαλύσοντες· ἐλπίδας πολλὰς
ἔχοντες, ὅταν ἐπιφανέωσι ἐς τὴν Νάξον, πάντα ποιήσειν
τὲς Ναξίες τὰ ἂν αὐτοὶ κελεύωσι· ὡς δὲ καὶ τὲς ἄλλες
νησιώτας. τῶν γὰρ νήσων τετέων τῶν Κυκλάδων ἐδεμίη
κω ἦν ὑπὸ Δαρείῳ. Ἀπικόμενος δὲ ὁ Ἀριϛαγόρης ἐς τὰς cap. 31.
Σάρδις, λέγει πρὸς τὸν Ἀρταφέρνεα, ὡς Νάξος ἔιη νῆσος
μεγάθεϊ μὲν ἐ μεγάλη, ἄλλως δὲ, καλή τε καὶ ἀγαθὴ,
καὶ ἀγχῦ Ἰωνίης: χρήματα δὲ ἔνι πολλὰ, καὶ ἀνδράπο-
δα. "Σὺ ὦν ἐπὶ ταύτην τὴν χώρην ϛρατηλάτεε, κατά-
"γων ἐς αὐτὴν τὲς Φυγάδας ἐξ αὐτῆς. καί τοι ταῦτα
"ποιήσαντι τῦτο μὲν ἐϛι ἑτοῖμα παρ' ἐμοὶ χρήματα με-
"γάλα πάρεξ τῶν ἀναισιμωμάτων τῇ ϛρατιῇ· ταῦτα μὲν
"γὰρ δίκαιον ἡμέας τὲς ἄγοντας παρέχειν ἐϛί· τῦτο δὲ,
"νήσες προσκτήσεαι βασιλέϊ, αὐτήν τε Νάξον καὶ τὰς ἐκ
"ταύτης ἠρτημένας, Πάρον τε καὶ Ἄνδρον καὶ ἄλλας
"τὰς Κυκλάδας καλευμένας. ἐνθεῦτεν δὲ ὁρμεώμενος,
"εὐπετέως ἐπιθήσεαι Εὐβοίῃ νήσῳ μεγάλῃ τε καὶ εὐδαί-
"μονι, ἐκ ἐλάσσονι Κύπρε, καὶ κάρτα εὐπετέϊ χειρωθῆ-
ναι. ἀποχρῶσι δὲ ἑκατὸν νέες ταύτας πάσας χειρώσαθαι".
ὁ δὲ, ἀμείβετο αὐτὸν τοῖσδε, "Σὺ ἐς οἶκον τὸν βασιλῆος
"ἐξηγητὴς γίνεαι πρηγμάτων ἀγαθῶν. καὶ ταῦτα εὖ πα-
"ραινέεις πάντα, πλὴν τῶυ νεῶν τῦ ἀριθμῦ. ἀντὶ δὲ
"ἑκατὸν νεῶν, διηκόσιαί τοι ἑτοῖμοι ἔσονται ἅμα τῷ ἔαρι.
"δεῖ δὲ τέτοισι καὶ αὐτὸν βασιλῆα συνέπαινον γίνεθαι."
Ὁ μὲν δὴ Ἀριϛαγόρης ὡς ταῦτα ἤκεσε, περιχαρὴς ἐὼν, cap. 32.
ἀπήϊε ἐς Μίλητον. ὁ δὲ Ἀρταφέρνης, ὥς οἱ πέμψαντι
ἐς

ἐς Σοῦσα, καὶ ὑπερθέντι τὰ ἐκ τοῦ Ἀρισταγόρεω λεγόμενα συνέπαινος καὶ αὐτὸς Δαρεῖος ἐγένετο, παρεσκευάσατο μὲν διηκοσίας τριήρεας, πολλὸν δὲ κάρτα ὅμιλον Περσέων τε καὶ τῶν ἄλλων συμμάχων. στρατηγὸν δὲ τουτέων ἀπέδεξε Μεγαβάτην, ἄνδρα Πέρσην τῶν Ἀχαιμενιδέων, ἑωϋτοῦ τε καὶ Δαρείου ἀνεψιόν· τοῦ Παυσανίης ὁ Κλεομβρότου Λακεδαιμόνιος, εἰ δὴ ἀληθής γε ὁ λόγος, ὑστέρῳ χρόνῳ τουτέων ἡρμόσατο θυγατέρα, ἔρωτα σχὼν τῆς Ἑλλάδος τύραννος γενέσθαι. ἀποδέξας δὲ Μεγαβάτην στρατηγὸν Ἀρταφέρνης, ἀπέστειλε τὸν στρατὸν παρὰ τὸν Ἀρισταγόρεα. Παραλαβὼν δὲ ὁ Μεγαβάτης ἐκ τῆς Μιλήτου τόν τε Ἀρισταγόρεα καὶ τὴν Ἰάδα στρατιὴν, καὶ τοὺς Ναξίους, ἔπλεε πρόφασιν ἐπ' Ἑλλησπόντου· ἐπεί τε δὲ ἐγίνετο ἐν Χίῳ, ἔσχε τὰς νέας ἐς Καύκασα, ὡς ἐνθεῦτεν βορέῃ ἀνέμῳ ἐς τὴν Νάξον διαβάλοι. καὶ οὐ γὰρ ἔδεε τούτῳ τῷ στόλῳ Ναξίους ἀπολέσθαι, πρῆγμα τοιόνδε συνηνείχθη γενέσθαι· περιϊόντος Μεγαβάτεω τὰς ἐπὶ τῶν νεῶν φυλακὰς, ἐπὶ νεὸς Μυνδίης ἔτυχε οὐδεὶς φυλάσσων· ὁ δὲ, δεινόν τι ποιησάμενος, ἐκέλευσε τοὺς δορυφόρους ἐξευρόντας τὸν ἄρχοντα ταύτης τῆς νεὸς, τῷ οὔνομα ἦν Σκύλαξ, τοῦτον δῆσαι διὰ θαλαμίης διελόντας τῆς νεὸς κατὰ τοῦτο· ἔξω μὲν κεφαλὴν ποιεῦντας, ἔσω δὲ τὸ σῶμα. δεθέντος δὲ τοῦ Σκύλακος, ἐξαγγέλλει τις τῷ Ἀρισταγόρῃ ὅτι τὸν ξεῖνόν οἱ τὸν Μύνδιον Μεγαβάτης δήσας λυμαίνοιτο. ὁ δ' ἐλθὼν παραιτέετο τὸν Πέρσην. τυγχάνων δὲ οὐδενὸς τῶν ἐδέετο, αὐτὸς ἐλθὼν ἔλυσε· πυθόμενος δὲ, κάρτα δεινὸν ἐποιήσατο ὁ Μεγαβάτης, καὶ ἐσπέρχετο τῷ Ἀρισταγόρῃ. ὁ δὲ εἶπε, "Σοὶ "δὲ καὶ τούτοισι τοῖσι πρήγμασι τί ἐστι; οὐ σὲ ἀπέστειλε "Ἀρταφέρνης ἐμέο πείθεσθαι, καὶ πλέειν τῇ ἂν ἐγὼ κε"λεύω; τί πολλὰ πρήσσεις;" ταῦτα εἶπε Ἀρισταγόρης. ὁ δὲ θυμωθεὶς τούτοισι, ὡς νὺξ ἐγένετο, ἔπεμπε ἐς Νάξον πλοίῳ ἄνδρας φράσοντας τοῖσι Ναξίοισι πάντα τὰ

cap. 34. παρεόντα σφι πρήγματα. Οἱ γὰρ ὦν Νάξιοι οὐδὲν πάντως προσεδέκοντο ἐπὶ σφέας τὸν στόλον τοῦτον ὁρμήσεσθαι. ἐπεὶ μέν τοι ἐπύθοντο, αὐτίκα μὲν ἐσενείκαντο τὰ ἐκ τῶν ἀγρῶν ἐς τὸ τεῖχος, παρεσκευάσαντο δὲ, ὡς πολιορκησόμενοι, καὶ σῖτα καὶ ποτὰ, καὶ τεῖχος ἐσάξαντο. καὶ οὗτοι μὲν παρεσκευάδατο ὡς παρεσομένου σφι πολέμου· οἱ δ' ἐπεὶ

ἐπεί τε διέβαλον ἐκ τῆς Χίϐ τὰς νέας ἐς τὴν Νάξον, πρὸς πεφραγμένϐς προσεφέροντο, καὶ ἐπολιόρκεον μῆνας τέσσερας. ὡς δὲ τά τε ἔχοντες ἦλθον χρήματα ὁι Πέρσαι, ταῦτα κατεδεδαπάνητό σφι, καὶ αὐτῷ τῷ Ἀριςαγόρῃ προσαναισίμωτο πολλὰ, τϐ πλεῦνός τε ἐδέετο ἡ πολιορκίη, ἐνθαῦτα τείχεα τοῖσι φυγάσι τῶν Ναξίων οἰκοδομήσαντες, ἀπαλλάσσοντο ἐς τὴν ἤπειρον, κακῶς πρήσσοντες. Ἀριςαγόρης δὲ ὀκ εἶχε τὴν ὑπόσχεσιν τῷ Ἀρταφέρνεϊ ἐκπληρῶσαι. ἅμα δὲ ἐπίεζέ μιν ἡ δαπάνη τῆς ςρατιῆς ἀπαιτεομένη, ἀῤῥώδεέ τε, τϐ ςρατϐ πρήξαντος κακῶς· καὶ Μεγαβάτῃ διαβεβλημένος, ἐδόκεέ τε τὴν βασιληΐην τῆς Μιλήτϐ ἀπαιρήσεσθαι. ἀῤῥωδέων τε τϐτέων ἕκαςα, ἐβϐλεύετο ἀπόςασιν. συνέπιπτε γὰρ καὶ τὸν ἐςιγμένον τὴν κεφαλὴν ἀπῖχθαι ἐκ Σϐσέων παρ' Ἱςιαίϐ, σημαίνοντα ἀπίςασθαι Ἀριςαγόρην ἀπὸ βασιλῆος. ὁ γὰρ Ἱςιαῖος βϐλόμενος τῷ Ἀριςαγόρῃ σημῆναι, ἀποςῆναι, ἄλλως μὲν ὀδαμῶς εἶχε ἀσφαλέως σημῆναι, ὥς τε φυλασσομενέων τῶν ὁδῶν· ὁ δὲ, τῶν δϐλων τὸν πιςότατον ἀποξυρήσας τὴν κεφαλὴν, ἔςιξε, καὶ ἀνέμεινε ἀναφῦναι τὰς τρίχας. ὡς δὲ ἀνέφυσαν, τάχιςα ἀπέπεμπε ἐς Μίλητον, ἐντειλάμενος αὐτῷ ἄλλο μὲν ὀδέν· ἐπεὰν δὲ ἀπίκηται ἐς Μίλητον, κελέυειν Ἀριςαγόρην ξυρήσαντά μιν τὰς τρίχας, κατιδέσθαι ἐς τὴν κεφαλήν. τὰ δὲ ςίγματα ἐσήμαινε ὡς καὶ πρότερόν μοι εἴρηται, ἀπόςασιν. ταῦτα δὲ ὁ Ἱςιαῖος ἐποίεε, συμφορὴν ποιεύμενος μεγάλην τὴν ἑωϋτϐ κατοχὴν τὴν ἐν Σϐσοισι. ἀποςάσιος ὦν γινομένης, πολλὰς εἶχε ἐλπίδας μετήσεσθαι ἐπὶ θάλασσαν, μὴ δὲ νεώτερόν τι ποιεύσης τῆς Μιλήτϐ, ὀδαμᾶ ἐς αὐτὴν ἥξειν ἔτι ἐλογίζετο. Ἱςιαῖος μέν νυν ταῦτα διανοεύμενος, ἀπέπεμπε τὸν ἄγγελον. Ἀριςαγόρῃ δὲ συνέπιπτε τϐ αὐτϐ χρόνϐ πάντα ταῦτα συνελθόντα. ἐβϐλεύετο ὦν μετὰ τῶν ςασιωτέων, ἐκφήνας τήν τε ἑωϋτϐ γνώμην καὶ τὰ παρὰ τϐ Ἱςιαίϐ ἀπιγμένα. ὁι μὲν δὴ ἄλλοι πάντες γνώμην κατὰ τὠϋτὸ ἐξεφέροντο, κελέυοντες ἀπίςασθαι· Ἑκαταῖος δ' ὁ λογοποιὸς πρῶτα μὲν ὀκ ἔα πόλεμον βασιλέϊ τῶν Περσέων ἀναιρέεσθαι, καταλέγων τά τε ἔθνεα πάντα τῶν ἦρχε Δαρεῖος, καὶ τὴν δύναμιν αὐτϐ· ἐπεί τε δὲ ὀκ ἔπειθε, δεύτερα συνεβϐλευε ποιέειν ὅκως ναυκράτεες τῆς θαλάσσης ἔσονται· ἄλλως μὲν

cap. 35.

cap. 36.

μέν νυν ἐδαμῶς ἔφη λέγων ἐνορᾷν ἐσόμενον τῦτο. ἐπίςαϑαι γὰρ τὴν δύναμιν τὴν Μιλησίων ἐῦσαν ἀϑενέα· εἰ δὲ τὰ χρήματα καταιρεϑείη τὰ ἐκ τῦ ἱρῦ τῦ ἐν Βραγχίδῃσι, τὰ Κροῖσος ὁ Λυδὸς ἀνέϑηκε, πολλὰς εἶχε ἐλπίδας ἐπικρατήσειν τῆς ϑαλάσσης· καὶ ὕτω αὐτύς τε ἕξειν χρήμασι χρᾶϑαι, καὶ τὺς πολεμίυς ὐ συλήσειν αὐτά. τὰ δὲ χρήματα ἦν ταῦτα μεγάλα, ὡς δεδήλωταί μοι ἐν τῷ πρώτῳ τῶν λόγων. ἄυτη μὲν δὴ ὐκ ἐνίκα ἡ γνώμη. ἐδόκεε δὲ ὅμως ἀπίςαϑαι· ἕνα τε αὐτέων πλώσαντα ἐς Μυῦντα ἐς τὸ ςρατόπεδον τὸ ἀπὸ τῆς Νάξυ ἀπελϑὸν, ἐὸν ἐνϑαῦτα, συλλαμβάνειν πειρᾶϑαι τὺς ἐπὶ τῶν νεῶν ἐπιπλέοντας ςρατηγύς.
cap. 37. Ἀποπεμφϑέντος δὲ Ἰητραγόρεω κατ' αὐτὸ τῦτο, καὶ συλλαβόντος δόλῳ Ὀλίατον Ἰβανώλιος Μυλασσέα, καὶ Ἱςιαῖον Τύμνεω Τερμερέα, καὶ Κώην Ἐρξάνδρεω, τῷ Δαρεῖος Μιτυλήνην ἐδωρήσατο, καὶ Ἀριςαγόρην Ἡρακλείδεω Κυμαῖον, καὶ ἄλλυς συχνύς· ὕτω δὴ ἐκ τῦ ἐμφανέος ὁ Ἀριςαγόρης ἀπεςήκεε, πᾶν ἐπὶ Δαρείῳ μηχανώμενος. καὶ πρῶτα μὲν λόγῳ μετεὶς τὴν τυραννίδα, ἰσονομίην ἐποίεε τῇ Μιλήτῳ, ὡς ἂν ἑκόντες αὐτῷ ὁι Μιλήσιοι συναπιςαίατο· μετὰ δὲ, καὶ ἐν τῇ ἄλλῃ Ἰωνίῃ τὠυτὸ τῦτο ἐποίεε, τὺς μὲν ἐξελαύνων τῶν τυράννων, τὺς δ' ἔλαβε τυράννυς ἀπὸ τῶν νεῶν τῶν συμπλευσασέων ἐπὶ Νάξον, τύτυς δὲ φίλα βυλόμενος ποιέεϑαι τῇσι πόλισι, ἐξεδίδυ, ἄλλον ἐς ἄλλην πόλιν παραδιδὺς, ὅϑεν ἔιη ἕκαςος.
cap. 38. Κώην μέν νυν Μιτυληναῖοι, ἐπεί τε τάχιςα παρέλαβον, ἐξαγαγόντες κατέλευσαν· Κυμαῖοι δὲ τὸν σφέτερον αὐτέων ἀπῆκαν. ὡς δὲ καὶ ἄλλοι ὁι πλεῦνες ἀπίεσαν, τυράννων μέν νυν κατάπαυσις ἐγένετο ἀνὰ τὰς πόλιας· Ἀριςαγόρης δὲ ὁ Μιλήσιος ὡς τὺς τυράννυς κατέπαυσε, ςρατηγὺς ἐν ἑκάςῃ τῶν πολίων κελεύσας ἑκάςυς καταςῆσαι, δεύτερα αὐτὸς ἐς Λακεδαίμονα τριήρεϊ ἀπόςολος ἐγίνετο. ἔδεε γὰρ δὴ συμμαχίης τινός ὁι μεγάλης ἐξευρεϑῆναι.
cap. 49. Ἀπικνέεται δ' ὦν ὁ Ἀριςαγόρης ὁ Μιλήτυ τύραννος ἐς τὴν Σπάρτην, Κλεομένεος ἔχοντος τὴν ἀρχήν. τῷ δὴ ἐς λόγυς ἤιε, ὡς Λακεδαιμόνιοι λέγυσι, ἔχων χάλκεον πίνακα, ἐν τῷ γῆς ἁπάσης περίοδος ἐνετέτμητο, καὶ ϑάλασσά τε πᾶσα καὶ ποταμοὶ πάντες. ἀπικνεόμενος δὲ ἐς λόγυς ὁ Ἀριςαγόρης, ἔλεγε πρὸς αὐτὸν

τὸν τάδε, "Κλεόμενες, σπεδὴν μὲν τὴν ἐμὴν μὴ θωῦ-
"μάσῃς τῆς ἐνθαῦτα ἀπίξιος· τὰ κατήκοντα γάρ ἐςι τοι-
"αῦτα. Ἰώνων παῖδας δέλες εἶναι ἀντ' ἐλευθέρων, ὄνει-
"δος καὶ ἄλγος μέγιςον μὲν αὐτοῖσι ἡμῖν, ἔτι δὲ τῶν
"λοιπῶν ὑμῖν, ὅσῳ προεςέατε τῆς Ἑλλάδος. νῦν ὦν
"πρὸς θεῶν τῶν Ἑλληνίων ῥύσαθε Ἴωνας ἐκ τῆς δελο-
"σύνης, ἄνδρας ὁμαίμονας. εὐπετέως δὲ ὑμῖν ταῦτα χω-
"ρέειν διά τε ἐςί. ὅτε γὰρ οἱ βάρβαροι ἄλκιμοί εἰσι,
"ὑμεῖς τε τὰ ἐς τὸν πόλεμον, ἐς τὰ μέγιςα ἀνήκετε
"ἀρετῆς πέρι. ἥτε μάχη αὐτέων ἐςι τοιήδε, τόξα
"καὶ αἰχμὴ βραχέα. ἀναξυρίδας δὲ ἔχοντες ἔρχονται
"ἐς τὰς μάχας, καὶ κυρβασίας ἐπὶ τῇσι κεφαλῇσι. οὕ-
"τω εὐπετέες χειρωθῆναί εἰσι. ἔςι δὲ καὶ ἀγαθὰ τοῖσι
"τὴν ἤπειρον ἐκείνην νεμομένοισι, ὅσα οὐδὲ τοῖσι συνάπα-
"σι ἄλλοισι· ἀπὸ χρυσοῦ ἀρξαμένοισι, ἄργυρος, καὶ χαλ-
"κὸς, καὶ ἐσθὴς ποικίλη, καὶ ὑποζύγιά τε καὶ ἀνδρά-
"ποδα. τὰ θυμῷ βελόμενοι, αὐτοὶ ἂν ἔχοιτε. κατοί-
"κηνται δὲ ἀλλήλων ἐχόμενοι, ὡς ἐγὼ φράσω. Ἰώνων
"μὲν τῶνδε οἵδε Λυδοί, οἰκέοντές τε χώρην ἀγαθὴν καὶ
"πολυαργυρώτατοι ἐόντες." δεικνὺς δὲ ἔλεγε ταῦτα ἐς
τὴν τῆς γῆς περίοδον, τὴν ἐφέρετο ἐν τῷ πίνακι ἐντετ-
μημένην. "Λυδῶν δὲ, ἔφη λέγων ὁ Ἀριςαγόρης, οἵδε
"ἔχονται Φρύγες οἱ πρὸς τὴν ἠῶ, πολυπροβατώτατοί τε
"ἐόντες ἁπάντων τῶν ἐγὼ οἶδα καὶ πολυκαρπότατοι. Φρυ-
"γῶν δὲ ἔχονται Καππαδόκαι, τὲς ἡμεῖς Συρίες καλέο-
"μεν. τέτοισι δὲ πρόσεροι Κίλικες, κατήκοντες ἐπὶ θά-
"λασσαν τήνδε, ἐν ᾗ ἥδε Κύπρος νῆσος κέεται· οἱ πεν-
"τακόσια τάλαντα βασιλέϊ τὸν ἐπέτειον φόρον ἐπιτελεῦσι.
"Κιλίκων δὲ τῶνδε ἔχονται Ἀρμένιοι οἵδε, καὶ οὗτοι ἐόν-
"τες πολυπρόβατοι· Ἀρμενίων δὲ, Ματιηνοὶ, χώρην τήν-
"δε ἔχοντες. ἔχεται δὲ τέτων γῆ ἥδε Κισσίη, ἐν τῇ
"δὴ παρὰ ποταμὸν τόνδε Χοάσπην κείμενά ἐςι τὰ Σοῦσα
"ταῦτα, ἔνθα βασιλεύς τε μέγας δίαιταν ποιέεται, καὶ
"τῶν χρημάτων οἱ θησαυροὶ ἐνθαῦτά εἰσι. ἑλόντες δὲ
"ταύτην τὴν πόλιν, θαρσέοντες ἤδη τῷ Διῒ πλέτε πέρι
"ἐρίζετε. ἀλλὰ περὶ μὲν χώρης ἄρα οὐ πολλῆς, οὐδὲ οὕτω
"χρηςῆς, καὶ οὔραν σμικρῶν, χρεών ἐςι ὑμέας μάχας
"ἀναβάλλεσθαι πρός τε Μεσσηνίες ἐόντας ἰσοπαλέας, καὶ

"Ἀρκάδας τε καὶ Ἀργείους· τοῖσι οὔτε χρυσοῦ ἐχόμενόν "ἐστι οὐδὲν, οὔτε ἀργύρου, τῶν πέρι καί τινα ἐνάγει προθυ- "μίη μαχόμενον ἀποθνήσκειν. παρέχον δὲ τῆς Ἀσίης "πάσης ἄρχειν εὐπετέως, ἄλλό τι αἱρήσεσθε;" Ἀρισταγόρης μὲν ταῦτα ἔλεξε. Κλεομένης δὲ ἀμείβετο τοῖσδε, "Ὦ ξεῖνε Μιλήσιε, ἀναβάλλομαί τοι ἐς τρίτην ἡμέρην

cap. 50. "ἀποκρινέεσθαι." Τότε μὲν ἐς τοσοῦτον ἤλασαν. ἐπείτε δὲ ἡ κυρίη ἡμέρη ἐγένετο τῆς ἀποκρίσιος, καὶ ἦλθον ἐς τὸ συγκείμενον, εἴρετο ὁ Κλεομένης τὸν Ἀρισταγόρην, ὁκοσέων ἡμερέων ἀπὸ θαλάσσης τῆς Ἰώνων ὁδὸς εἴη παρὰ βασιλῆα. ὁ δὲ Ἀρισταγόρης, τἆλλα ἐὼν σοφὸς, καὶ διαβάλλων ἐκεῖνον εὖ, ἐν τούτῳ ἐσφάλη. χρεὼν γάρ μιν μὴ λέγειν τὸ ἐὸν, βουλόμενόν γε Σπαρτιήτας ἐξαγαγεῖν ἐς τὴν Ἀσίην, λέγει δ' ὦν, τριῶν μηνῶν φὰς εἶναι τὴν ἄνοδον. ὁ δὲ, ὑπαρπάσας τὸν ἐπίλοιπον λόγον, τὸν ὁ Ἀρισταγόρης ὥρμητο λέγειν περὶ τῆς ὁδοῦ, εἶπε, "Ὦ ξεῖνε "Μιλήσιε, ἀπαλλάσσεο ἐκ Σπάρτης πρὸ δύντος ἡλίου. οὐ- "δένα γὰρ λόγον εὐπετέα λέγεις Λακεδαιμονίοισι, ἐθέλων "σφέας ἀπὸ θαλάσσης τριῶν μηνῶν ὁδὸν ἀγαγεῖν."

Herodot. V. c. 97 - VI. 32. Ἀπελαυνόμενος δὲ ὁ Ἀρισταγόρης ἐκ τῆς Σπάρτης ἤϊε ἐς τὰς Ἀθήνας, ταῦτα ἔλεγε τὰ καὶ ἐν τῇ Σπάρτῃ, περὶ τῶν ἀγαθῶν τῶν ἐν τῇ Ἀσίῃ, καὶ τοῦ πολέμου τοῦ Περσικοῦ, ὡς οὔτε ἀσπίδα οὔτε δόρυ νομίζουσι, εὐπετέες τε χειρωθῆναι εἴησαν. ταῦτά τε δὴ ἔλεγε, καὶ πρὸς τοῖσι, τάδε, ὡς οἱ Μιλήσιοι τῶν Ἀθηναίων εἰσὶ ἄποικοι, καὶ οἰκός σφεας εἴη ῥύεσθαι δυναμένους μέγα. καὶ οὐδὲν ὅ, τι οὐκ ὑπίσχετο, οἷα κάρτα δεόμενος· ἐς ὃ ἀνέπεισέ σφεας. πολλοὺς γὰρ οἶκε εἶναι εὐπετέστερον διαβάλλειν ἢ ἕνα, εἰ Κλεομένεα μὲν τὸν Λακεδαιμόνιον μοῦνον οὐκ οἷός τε ἐγένετο διαβαλέειν, τρεῖς δὲ μυριάδας Ἀθηναίων ἐποίησε τοῦτο.

Auxilia mittunt Athenienses & Eretrii, an. 500 ante Chr. cap. 98. Ἀθηναῖοι μὲν δὴ ἀναπεισθέντες ἐψηφίσαντο εἴκοσι νέας ἀποστεῖλαι βοηθοὺς Ἴωσι, στρατηγὸν ἀποδέξαντες αὐτέων εἶναι Μελάνθιον, ἄνδρα τῶν ἀστῶν, ἐόντα τὰ πάντα δόκιμον· αὗται δὲ αἱ νέες, ἀρχαὶ κακῶν ἐγένοντο Ἕλλησί τε καὶ βαρβάροισι. Ἀρισταγόρης δὲ προπλώσας, καὶ ἀπικόμενος ἐς τὴν Μίλητον, ἐξευρὼν βούλευμα ἀπ' οὗ Ἴωσι μὲν ἔμελλε οὐδεμίη ὠφελίη ἔσεσθαι, οὐδ' ὦν οὐδὲ τούτου εἵνεκα ἐποίεε, ἀλλ' ὅκως βασιλῆα Δαρεῖον λυπήσειε, ἔπεμψε

ἐς

ἐς τὴν Φρυγίην ἄνδρα ἐπὶ τὰς Παίονας τὰς ἀπὸ Στρυμόνος ποταμȣ̃ αἰχμαλώτȣς γενομένȣς ὑπὸ Μεγαβάζȣ, οἰκέοντας δὲ τῆς Φρυγίης χῶρόν τε καὶ κώμην ἐπ' ἑωϋτῶν· ὃς ἐπειδὴ ἀπίκετο ἐς τὰς Παίονας, ἔλεγε τάδε, "Ἄνδρες "Παίονες, ἔπεμψέ με Ἀρισταγόρης ὁ Μιλήτȣ τύραννος, "σωτηρίην ὑμῖν ὑποθησόμενον, ἤνπερ βȣ́λησθε πείθεσθαι. "νῦν γὰρ Ἰωνίη πᾶσα ἀπέστηκε ἀπὸ βασιλῆος, καὶ ὑμῖν "παρέχει σώζεσθαι ἐπὶ τὴν ὑμετέρην αὐτέων. μέχρι μὲν "θαλάσσης, αὐτοῖσι ὑμῖν· τὸ δὲ ἀπὸ τȣ́τȣ, ἡμῖν ἤδη με"λήσει." ταῦτα δὲ ἀκȣ́σαντες οἱ Παίονες, κάρτα τε ἀσπαστὸν ἐποιήσαντο, καὶ ἀναλαβόντες παῖδάς τε καὶ γυναῖκας, ἀπεδίδρησκον ἐπὶ θάλασσαν. οἱ δέ τινες αὐτέων καὶ κατέμειναν, ἀῤῥωδήσαντες αὐτȣ̃. ἐπεί τε δὲ οἱ Παίονες ἀπικέατο ἐπὶ θάλασσαν, ἐνθεῦτεν ἐς Χίον διέβησαν. ἐόντων δὲ ἤδη ἐν Χίῳ, κατὰ πόδας ἐληλύθεε Περσέων ἵππος πολλὴ, διώκȣσα τὰς Παίονας. ὡς δὲ ȣ̓ κατέλαβον, ἐπηγγέλλοντο ἐς τὴν Χίον τοῖσι Παίοσι, ὅκως ἂν ὀπίσω ἀπέλθοιεν. οἱ δὲ Παίονες τὰς λόγȣς ȣ̓κ ἐνεδέκοντο· ἀλλ' ἐκ Χίȣ μὲν Χῖοί σφεας ἐς Λέσβον ἤγαγον, Λέσβιοι δὲ ἐς Δορίσκον ἐκόμισαν. ἐνθεῦτεν δὲ πεζῇ κομιζόμενοι, ἀπικέατο ἐς Παιονίην. Ἀρισταγόρης δὲ, ἐπειδὴ οἵ τε Ἀθηναῖοι ἀπικέατο εἴκοσι νηυσὶ, ἅμα ἀγόμενοι Ἐρετριέων πέντε τριήρεας, οἳ ȣ̓ τὴν Ἀθηναίων χάριν ἐστρατεύοντο, ἀλλὰ τὴν αὐτέων Μιλησίων, ὀφειλόμενά σφι ἀποδιδόντες. cap. 99.
οἱ γὰρ δὴ Μιλήσιοι πρότερον τοῖσι Ἐρετριεῦσι τὸν πρὸς Χαλκιδέας πόλεμον συνδιένεικαν, ὅτε περ καὶ Χαλκιδεῦσι ἀντία Ἐρετριέων καὶ Μιλησίων Σάμιοι ἐβοήθεον· ἔτοι ὦν ἐπεί τέ σφι ἀπικοίατο, καὶ οἱ ἄλλοι σύμμαχοι παρῆσαν, ἐποιέετο στρατηΐην ὁ Ἀρισταγόρης ἐς Σάρδις· αὐτὸς μὲν δὴ ȣ̓κ ἐστρατεύετο, ἀλλ' ἔμενε ἐν Μιλήτῳ· στρατηγȣ̀ς δὲ ἄλλȣς ἀπέδεξε Μιλησίων εἶναι, τὸν ἑωϋτȣ̃ τε ἀδελφεὸν Χαροπῖνον, καὶ τῶν ἄλλων ἀστῶν, Ἑρμόφαντον. Ἀπικόμενοι δὲ τῷ στόλῳ τȣ́τῳ Ἴωνες ἐς Ἔφεσον, πλοῖα μὲν κατέλιπον ἐν Κορήσσῳ τῆς Ἐφεσίης· αὐτοὶ δὲ ἀνέβαινον χειρὶ πολλῇ, ποιεύμενοι Ἐφεσίȣς ἡγεμόνας. πορευόμενοι δὲ παρὰ ποταμὸν Καΰστριον, ἐνθεῦτεν ἐπεί τε ὑπερβάντες τὸν Τμῶλον ἀπίκοντο, αἱρέȣσι Σάρδις, ȣ̓δενός σφι ἀντιωθέντος. αἱρέȣσι δὲ χωρὶς τῆς ἀκροπόλιος τἆλλα πάντα· cap. 100.

τὴν δὲ ἀκρόπολιν ἐῤῥύετο αὐτὸς Ἀρταφέρνης, ἔχων δύ-
cap. 101. ναμιν ἀνδρῶν οὐκ ὀλίγην. Τὸ δὲ μὴ λεηλατῆσαι ἑλόντας
σφεας τὴν πόλιν, ἔσχε τόδε· ἔσαν ἐν τῇσι Σάρδισι οἰκίαι,
αἱ μὲν πλεῦνες, καλάμιναι· ὅσαι δ' αὐτέων καὶ πλίνθιναι
ἔσαν, καλάμου εἶχον τὰς ὀροφάς· τουτέων δὴ μίην τῶν
τις στρατιωτέων ὡς ἐνέπρησε, αὐτίκα ἀπ' οἰκίης ἐς οἰκίην
ἰὸν τὸ πῦρ, ἐπενέμετο τὸ ἄστυ ἅπαν. καιομένου δὲ τοῦ
ἄστεος, οἱ Λυδοί τε καὶ ὅσοι Περσέων ἐνῆσαν ἐν τῇ πό-
λι, ἀπολαμφθέντες πάντοθεν, ὥστε τὰ περιέσχατα νεμο-
μένου τοῦ πυρὸς, καὶ οὐκ ἔχοντος ἐξήλυσιν ἐκ τοῦ ἄστεος,
συνέῤῥεον ἔς τε τὴν ἀγορὴν καὶ ἐπὶ τὸν Πακτωλὸν ποτα-
μὸν, ὅς σφι ψῆγμα χρυσοῦ καταφορέων ἐκ τοῦ Τμώλου,
διὰ μέσης τῆς ἀγορῆς ῥέει, καὶ ἔπειτα ἐς τὸν Ἕρμον πο-
ταμὸν ἐκδιδοῖ, ὁ δὲ ἐς θάλασσαν· ἐπὶ τοῦτον δὴ τὸν Πακ-
τωλὸν, καὶ ἐς τὴν ἀγορὴν ἀθροιζόμενοι οἵ τε Λυδοὶ καὶ
οἱ Πέρσαι, ἠναγκάζοντο ἀμύνεσθαι. οἱ δὲ Ἴωνες ὁρέον-
τες τοὺς μὲν τῶν πολεμίων ἀμυνομένους, τοὺς δὲ σὺν πλή-
θεϊ πολλῷ προσφερομένους, ἐξανεχώρησαν δείσαντες πρὸς
τὸ οὖρος τὸ Τμῶλον καλεόμενον. ἐνθεῦτεν δὲ ὑπὸ νύκτα
cap. 102. ἀπαλλάσσοντο ἐπὶ τὰς νέας. Αἱ δὲ Σάρδις ἐνεπρήσθησαν,
ἐν δὲ αὐτῇσι καὶ ἱρὸν ἐπιχωρίης θεοῦ Κυβήβης· τὸ σκη-
πτόμενοι οἱ Πέρσαι, ὕστερον ἀντενεπίμπρασαν τὰ ἐν Ἕλ-
λησι ἱρά. τότε δὲ οἱ Πέρσαι οἱ ἐντὸς Ἅλυος ποταμοῦ νο-
μοὺς ἔχοντες, προπυνθανόμενοι ταῦτα, συνηλίζοντο καὶ
ἐβοήθεον τοῖσι Λυδοῖσι· καί κως ἐν μὲν Σάρδισι οὐκέτι ἐόν-
τας τοὺς Ἴωνας εὑρίσκουσι, ἑπόμενοι δὲ κατὰ στίβον, αἱ-
ρέουσι αὐτοὺς ἐν Ἐφέσῳ. καὶ ἀντετάχθησαν μὲν οἱ Ἴω-
νες, συμβαλόντες δὲ, πολλὸν ἑσσώθησαν. καὶ πολλοὺς
αὐτέων οἱ Πέρσαι φονεύουσι, ἄλλους τε ὀνομαστούς· ἐν δὲ
δὴ, καὶ Εὐαλκίδεα στρατηγέοντα Ἐρετριέων, στεφανηφό-
ρους τε ἀγῶνας ἀναῤῥαιρηκότα, καὶ ὑπὸ Σιμωνίδεω τοῦ Κηΐου
πολλὰ αἰνεθέντα. οἱ δὲ αὐτέων ἀπέφυγον τὴν μάχην,
cap. 103. ἐσκεδάσθησαν ἀνὰ τὰς πόλιας. Τότε μὲν δὴ οὕτω ἠγωνί-
σαντο. μετὰ δὲ, Ἀθηναῖοι μὲν τοπαράπαν ἀπολιπόντες
τοὺς Ἴωνας, ἐπικαλεομένους σφέας πολλὰ δι' ἀγγέλων Ἀρι-
σταγόρεω, οὐκ ἔφασαν τιμωρήσειν σφίσι. Ἴωνες δὲ τῆς Ἀ-
θηναίων συμμαχίης στερηθέντες (οὕτω γάρ σφι ὑπῆρχε πε-
ποιημένα ἐς Δαρεῖον) οὐδὲν δὴ ἧσσον τὸν πρὸς τὸν βασι-

λῆα

λῆα πόλεμον ἐσκευάζοντο. πλώσαντες δὲ ἐς τὸν Ἑλλήσποντον, Βυζάντιόν τε καὶ τὰς ἄλλας πόλις ἁπάσας τὰς ταύτῃ, ὑπ' ἑωϋτοῖσι ἐποιήσαντο· ἐκπλώσαντές τε ἔξω τὸν Ἑλλήσποντον, Καρίης τὴν πολλὴν προσεκτήσαντο σφίσι σύμμαχον εἶναι. καὶ γὰρ τὴν Καῦνον πρότερον ὐ βυλομένην συμμαχέειν, ὡς ἐνέπρησαν τὰς Σάρδις, τότε σφι καὶ αὕτη προσεγένετο. Κύπριοι δὲ ἐθελονταί σφι πάντες προσεγένοντο, πλὴν Ἀμαθυσίων. ἀπέστησαν γὰρ καὶ ὗτοι ὧδε ἀπὸ Μήδων· ἦν Ὀνήσιλος, Γόργυ μὲν τῦ Σαλαμινίων βασιλῆος ἀδελφεὸς νεώτερος, Χέρσιος δὲ τῦ Σιρώμυ τῦ Εὐέλθοντος παῖς. ὗτος ὠνὴρ πολλάκις μὲν καὶ πρότερον τὸν Γόργον παρηγορέετο ἀπίσταθαι ἀπὸ βασιλῆος, τότε δ' ὡς καὶ τὺς Ἴωνας ἐπύθετο ἀπεστάναι, πάγχυ ἐπικείμενος ἐνῆγε. ὡς δὲ ὐκ ἔπειθε τὸν Γόργον, ἐνθαῦτά μιν φυλάξας ἐξελθόντα τὸ ἄστυ τὸ Σαλαμινίων ὁ Ὀνήσιλος, ἅμα τοῖσι ἑωϋτῦ στασιώτῃσι, ἀπεκλήϊσε τῶν πυλέων. Γόργος μὲν δὴ στερηθεὶς τῆς πόλιος, ἔφευγε ἐς Μήδυς· Ὀνήσιλος δὲ ἦρχε Σαλαμῖνος, καὶ ἀνέπειθε πάντας Κυπρίυς συναπίστασθαι· τὺς μὲν δὴ ἄλλυς ἀνέπεισε· Ἀμαθυσίυς δὲ ὐ βυλομένυς οἱ πείθεσθαι, ἐπολιόρκεε προσκατήμενος. cap. 104.

Ὀνήσιλος μέν νυν ἐπολιόρκεε Ἀμαθῦντα· βασιλέϊ δὲ Δαρείῳ ὡς ἐξαγγέλθη Σάρδις ἁλῦσας ἐμπεπρῆσθαι ὑπό τε Ἀθηναίων καὶ Ἰώνων, τὸν δὲ ἡγεμόνα γενέσθαι τῆς συλλογῆς, ὥστε ταῦτα συνυφανθῆναι, τὸν Μιλήσιον Ἀρισταγόρην, πρῶτα μὲν λέγεται αὐτὸν, ὡς ἐπύθετο ταῦτα, Ἰώνων ὐδένα λόγον ποιησάμενον, εὖ εἰδότα ὡς ὗτοί γε ὐ καταπροΐξονται ἀποστάντες, εἴρεσθαι οἵτινες εἶεν οἱ Ἀθηναῖοι. μετὰ δὲ πυθόμενον, αἰτῆσαι τὸ τόξον· λαβόντα δὲ καὶ ἐπιθέντα ὀϊστὸν, ἄνω ἐς τὸν ὐρανὸν ἀπεῖναι· καί μιν ἐς τὸν ἠέρα βαλόντα, εἰπεῖν, "Ὦ Ζεῦ, ἐκγενέσθαι "μοι Ἀθηναίυς τίσασθαι." εἴπαντα δὲ ταῦτα, προστάξαι ἑνὶ τῶν θεραπόντων, δείπνυ προκειμένυ αὐτῷ, ἐς τρὶς ἑκάστοτε εἰπεῖν, "Δέσποτα, μέμνεο τῶν Ἀθηναίων." cap. 105.

Προστάξας δὲ ταῦτα, εἶπε, καλέσας ἐς ὄψιν Ἱστιαῖον τὸν Μιλήσιον, τὸν ὁ Δαρεῖος κατεῖχε χρόνον ἤδη πολλὸν, "Πυν"θάνομαι, Ἱστιαῖε, ἐπίτροπον τὸν σὸν, τῷ σὺ Μίλητον ἐπέ"τρεψας, νεώτερα ἐς ἐμὲ πεποιηκέναι πρήγματα. ἄνδρας "γάρ μοι ἐκ τῆς ἑτέρης ἠπείρυ ἐπαγαγὼν, καὶ Ἴωνας σὺν "αὐτοῖ- cap. 106.

“αὐτοῖσι, τοὺς δώσοντας ἐμοὶ δίκην τῶν ἐποίησαν, τούτους
“ἀναγνώσας ἅμα ἐκείνοισι ἕπεσθαι, Σαρδίων με ἀπεστέρησε.
“νῦν ὦν κῶς τοι φαίνεται ταῦτα ἔχειν καλῶς; κῶς δ'
“ἄνευ τῶν σῶν βουλευμάτων τοιοῦτόν τι ἐπρήχθη; ὅρα μὴ
“ἐξ ὑστέρης σεωϋτὸν ἐν αἰτίῃ σχῇς.” εἶπε πρὸς ταῦτα ὁ
Ἱστιαῖος, “Βασιλεῦ, κοῖον ἐφθέγξαο ἔπος, ἐμὲ βουλεῦσαι
“πρῆγμα, ἐκ τοῦ σοί τι ἢ μέγα ἢ σμικρὸν ἔμελλε λυπηρὸν
“ἀνασχήσειν; τί δ' ἂν ἐπιδιζήμενος, ποιέοιμι ταῦτα; τεῦ
“δὲ ἐνδεὴς ἐών; τῷ πάρα μὲν πάντα ὅσαπερ σοί, πάντων
“δὲ πρὸς σέο βουλευμάτων ἐπακούειν ἀξιεῦμαι; ἀλλ' εἴπερ
“τι τοιοῦτον οἷον σὺ εἴρηκας πρήσσει ὁ ἐμὸς ἐπίτροπος,
“ἴσθι αὐτὸν ἐπ' ἑωϋτοῦ βαλλόμενον πεπρηχέναι. ἀρχὴν
“δὲ ἔγωγε οὐδὲ ἐνδέκομαι τὸν λόγον, ὅκως τι Μιλήσιοι
“καὶ ὁ ἐμὸς ἐπίτροπος νεώτερον πρήσσουσι περὶ πρήγματα
“τὰ σά· εἰ δ' ἄρα τι τοιοῦτο ποιεῦσι, καὶ σὺ τὸ ἐὸν ἀκή-
“κοας, ὦ βασιλεῦ, μάθε οἷον πρῆγμα ἐργάσαο, ἐμὲ ἀπὸ
“θαλάσσης ἀνάσπαστον ποιήσας. Ἴωνες γὰρ οἴκασι, ἐμεῦ
“ἐξ ὀφθαλμῶν σφι γενομένου, ποιῆσαι τῶν πάλαι ἵμερον
“εἶχον· ἐμέο δ' ἂν ἐόντος ἐν Ἰωνίῃ, οὐδεμίη πόλις ὑπεκί-
“νησε. νῦν ὦν ὡς τάχος με ἄφες πορευθῆναι ἐς Ἰω-
“νίην, ἵνα τοι κεῖνά τε πάντα καταρτίσω ἐς τὠυτὸ, καὶ
“τὸν Μιλήτου ἐπίτροπον τοῦτον τὸν ταῦτα μηχανησάμενον,
“ἐγχειρίθετον παραδῶ. ταῦτα δὲ κατὰ νόον τὸν σὸν ποιή-
“σας, θεοὺς ἐπόμνυμι τοὺς βασιληΐους, μὴ μὲν πρότερον
“ἐκδύσασθαι, τὸν ἔχων κιθῶνα, καταβήσομαι ἐς Ἰωνίην,
“πρὶν ἄν τοι Σαρδὼ νῆσον τὴν μεγίστην, δασμοφόρον ποιή-
cap. 107. “σω.” Ἱστιαῖος μὲν λέγων ταῦτα, διέβαλε· Δαρεῖος δὲ,
ἐπείθετο· καί μιν ἀπίει, ἐντειλάμενος, ἐπεὰν τὰ ὑπέσχε-
τό οἱ ἐπιτελέα ποιήσῃ, παραγίνεσθαί οἱ ὀπίσω ἐς τὰ Σοῦσα.
cap. 108. Ἐν ᾧ δὲ ἡ ἀγγελίη τε περὶ τῶν Σαρδίων παρὰ βασιλῆα
ἀνήϊε, καὶ Δαρεῖος τὰ περὶ τὸ τόξον ποιήσας, Ἱστιαίῳ ἐς
λόγους ἦλθε, καὶ Ἱστιαῖος μεμετιμένος ὑπὸ Δαρείου, ἐκομί-
ζετο ἐπὶ θάλασσαν· ἐν τούτῳ παντὶ τῷ χρόνῳ ἐγίνετο τάδε.
πολιορκέοντι τῷ Σαλαμινίῳ Ὀνησίλῳ Ἀμαθουσίους ἐξαγ-
γέλλεται, νηυσὶ στρατιὴν πολλὴν ἄγοντα Περσικὴν Ἀρτύ-
βιον, ἄνδρα Πέρσην, προσδόκιμον ἐς τὴν Κύπρον εἶναι.
πυθόμενος δὲ ταῦτα ὁ Ὀνήσιλος, κήρυκας διέπεμπε ἐς τὴν
Ἰωνίην, ἐπικαλεύμενός σφεας. Ἴωνες δὲ οὐκ ἐς μακρὴν
βουλευ-

βȣλευσάμενοι, ἧκον πολλῷ ϛόλῳ. Ἴωνές τε δὴ παρῆσαν ἐς τὴν Κύπρον, καὶ οἱ Πέρσαι νηυσὶ διαβάντες ἐκ τῆς Κιλικίης, ἤϊσαν ἐπὶ τὴν Σαλαμῖνα πεζῇ. τῇσι δὲ νηυσὶ οἱ Φοίνικες περιέπλωον τὴν ἄκρην, αἳ καλεῦνται Κληΐδες τῆς Κύπρȣ. Τȣ́τȣ δὲ τοιȣ́τȣ γινομένȣ, ἔλεξαν οἱ τύραννοι τῆς Κύπρȣ, συγκαλέσαντες τῶν Ἰώνων τȣ̀ς ϛρατηγȣ̀ς, cap. 109.
"Ἄνδρες Ἴωνες, αἵρεσιν ὑμῖν δίδομεν ἡμεῖς οἱ Κύπριοι, "ὁκοτέροισι βȣ́λεσθε προσφέρεσθαι, ἢ Πέρσῃσι, ἢ Φοίνιξι. "εἰ μὲν γὰρ πεζῇ βȣ́λεσθε ταχθέντες Περσέων διαπει-"ρᾶσθαι, ὥρη ἂν εἴη ὑμῖν ἐκβάντας ἐκ τῶν νεῶν, τάσ-"σεσθαι πεζῇ, ἡμέας δὲ ἐς τὰς νέας ἐμβαίνειν τὰς ὑμε-"τέρας, Φοίνιξι ἀνταγωνιευμένȣς· εἰ δὲ Φοινίκων μᾶλλον "βȣ́λεσθε διαπειρᾶσθαι, ποιέειν χρεών ἐϛι ὑμέας. ὁκότε-"ρα ἂν δὴ τȣτέων ἕλοισθε, ὅκως τὸ κατ' ὑμέας ἔϛαι ἥ "τε Ἰωνίη καὶ ἡ Κύπρος ἐλευθέρη." εἶπαν οἱ Ἴωνες πρὸς ταῦτα, "Ἡμέας ἀπέπεμψε τὸ κοινὸν τῶν Ἰώνων, "φυλάσσοντας τὴν θάλασσαν, ἀλλ' ȣ̓κ ἵνα Κυπρίοισι τὰς "νέας παραδόντες, αὐτοὶ Πέρσῃσι πεζῇ προσφερώμεθα. "ἡμεῖς μέν νυν ἐπ' ȣ̔ ἐτάχθημεν, ταύτῃ πειρησόμεθα "εἶναι χρηϛοί· ὑμέας δὲ χρεών ἐϛι ἀναμνησθέντας οἷα "ἐπάσχετε δȣλεύοντες πρὸς τῶν Μήδων, γίνεσθαι ἄνδρας "ἀγαθȣ́ς." Ἴωνες μὲν τȣ́τοισι ἀμείψαντο. Μετὰ δὲ, cap. 110
ἡκόντων ἐς τὸ πεδίον τὸ Σαλαμινίων τῶν Περσέων, διέτασσον οἱ βασιλῆες τῶν Κυπρίων, τȣ̀ς μὲν ἄλλȣς Κυπρίȣς κατὰ τȣ̀ς ἄλλȣς ϛρατιώτας ἀντιτάσσοντες. Σαλαμινίων δὲ καὶ Σολίων ἀπολέξαντες τὸ ἄριϛον, ἀντέτασσον Πέρσῃσι. Ἀρτυβίῳ δὲ τῷ ϛρατηγῷ τῶν Περσέων ἐθελοντὴς ἀντετάσσετο Ὀνήσιλος. Ἤλαυνε δὲ ἵππον ὁ Ἀρτύβιος δεδι- cap. 111
δαγμένον πρὸς ὁπλίτην ἀντιτάσσεσθαι ὀρθόν. πυθόμενος ὦν ταῦτα ὁ Ὀνήσιλος, ἦν γὰρ οἱ ὑπασπιϛὴς γένος μὲν Κὰρ τὰ δὲ πολέμια κάρτα δόκιμος, καὶ ἄλλως λήματος πλέος, εἶπε πρὸς τȣ̃τον, "Πυνθάνομαι τὸν Ἀρτυβίȣ ἵπ-"πον ἱϛάμενον ὀρθὸν, καὶ ποσὶ καὶ ϛόματι κατεργάζεσθαι "πρὸς τὸν ἂν προσενεχθῇ· σὺ ὦν βȣλευσάμενος, αὐτίκα "εἶπε ὁκότερον βȣ́λεαι φυλάξας πλῆξαι, εἴτε τὸν ἵππον, "εἴτε αὐτὸν Ἀρτύβιον." εἶπε πρὸς ταῦτα ὁ ὀπάων αὐτȣ̃, "Ὦ βασιλεῦ, ἑτοῖμος μὲν ἐγώ εἰμι ποιέειν καὶ ἀμφότε-"ρα, καὶ τὸ ἕτερον αὐτέων, καὶ πάντως τὸ ἂν ἐπιτάσ-

"σῃς

«σῆς σύ. ὡς μέντοι ἔμοιγε δοκέει εἶναι τοῖσι σοῖσι πρή-
«γμασι προσφερέστατον, φράσω. βασιλῆα μὲν καὶ στρα-
«τηγὸν χρεὼν εἶναί φημι βασιλέϊ τε καὶ στρατηγῷ προσ-
«φέρεσθαι. ἤν τε γὰρ κατέλῃς ἄνδρα στρατηγὸν, μέγα τοι
«γίνεται. καὶ δεύτερα, ἤν σε ἐκεῖνος, τὸ μὴ γένοιτο,
«ὑπ' ἀξιόχρεω καὶ ἀποθανεῖν, ἡμίσεα συμφορή. ἡμέας δὲ
«τοὺς ὑπηρέτας ἑτέροισί τε ὑπηρέτῃσι προσφέρεσθαι, καὶ
«πρὸς ἵππον, τοῦ σὺ τὰς μηχανὰς μηδὲν φοβηθῇς. ἐγὼ
«γὰρ δή τοι ὑποδέκομαι μή μιν ἀνδρὸς ἔτι γε μηδενὸς
cap. 112. «στήσεσθαι ἐναντίον." Ταῦτα εἶπε, καὶ μεταυτίκα συνέ-
μισγε τὰ στρατόπεδα πεζῇ, καὶ νηυσί· νηυσὶ μέν νυν Ἴω-
νες ἄκροι γενόμενοι, ταύτην τὴν ἡμέρην ὑπερεβάλοντο
τοὺς Φοίνικας, καὶ τουτέων Σάμιοι ἠρίστευσαν. πεζῇ δὲ ὡς
συνῆλθε τὰ στρατόπεδα, συμπεσόντα ἐμάχοντο. κατὰ δὲ
τοὺς στρατηγοὺς ἀμφοτέρους τάδε ἐγίνετο· ὡς προσεφέρετο
πρὸς τὸν Ὀνήσιλον ὁ Ἀρτύβιος, ἐπὶ τοῦ ἵππου κατήμενος,
ὁ Ὀνήσιλος, κατὰ συνεθήκατο τῷ ὑπασπιστῇ, παίει προσ-
φερόμενον αὐτὸν τὸν Ἀρτύβιον. ἐπιβαλόντος δὲ τοῦ ἵπ-
που τοὺς πόδας ἐπὶ τὴν Ὀνησίλου ἀσπίδα, ἐνθαῦτα ὁ Κὰρ
δρεπάνῳ πλήξας, ἀπαράσσει τοῦ ἵππου τοὺς πόδας. Ἀρ-
τύβιος μὲν δὴ ὁ στρατηγὸς τῶν Περσέων ὁμοῦ τῷ ἵππῳ
cap. 113. πίπτει αὐτοῦ ταύτῃ. Μαχομένων δὲ καὶ τῶν ἄλλων,
Στησήνωρ, τύραννος ἐὼν Κουρίου, προδιδοῖ ἔχων δύναμιν
ἀνδρῶν περὶ ἑωϋτὸν οὐ σμικρήν. οἱ δὲ Κουριέες οὗτοι λέγον-
ται εἶναι Ἀργείων ἄποικοι. Προδόντων δὲ τῶν Κουριέων,
αὐτίκα καὶ τὰ Σαλαμινίων πολεμιστήρια ἅρματα τὠυτὸ
τοῖσι Κουριεῦσι ἐποίεε. γινομένων δὲ τουτέων, κατυπέρτε-
ροι ἔσαν οἱ Πέρσαι τῶν Κυπρίων. τετραμμένου δὲ τοῦ
στρατοπέδου, ἄλλοι τε ἔπεσον πολλοὶ, καὶ δὴ καὶ Ὀνήσι-
λός τε ὁ Χέρσιος, ὅσπερ τὴν Κυπρίων ἀπόστασιν ἔπρηξε,
καὶ ὁ Σολίων βασιλεὺς Ἀριστόκυπρος, ὁ Φιλοκύπρου· Φι-
λοκύπρου δὲ τούτου τὸν Σόλων ὁ Ἀθηναῖος ἀπικόμενος ἐς
cap. 114. Κύπρον, ἐν ἔπεσι αἴνεσε τυράννων μάλιστα. Ὀνησίλου
μέν νυν Ἀμαθούσιοι, ὅτι σφέας ἐπολιόρκησε, ἀποταμόν-
τες τὴν κεφαλὴν ἐκόμισαν ἐς Ἀμαθοῦντα. καί μιν ἀνε-
κρέμασαν ὑπὲρ τῶν πυλέων. κρεμαμένης δὲ τῆς κεφα-
λῆς, καὶ ἤδη κοίλης, ἑσμὸς μελισσέων ἐσδὺς ἐς αὐ-
τὴν, κηρίων μιν ἐνέπλησε. τούτου δὲ γενομένου τοιούτου,
ἐχρέ-

ἐχρέωντο γὰρ περὶ αὐτῆς οἱ Ἀμαθέσιοι, ἐμαντεύθη σφι, τὴν μὲν κεφαλὴν κατελόντας θάψαι, Ὀνησίλεῳ δὲ θύειν ὡς ἥρωϊ ἀνὰ πᾶν ἔτος. καί σφι ποιεῦσι ταῦτα, ἄμεινον συνοίσεσθαι. Ἀμαθέσιοι μέν νυν ἐποίευν ταῦτα καὶ τὸ μέχρις ἐμεῦ. Ἴωνες δὲ οἱ ἐν Κύπρῳ ναυμαχήσαντες, ἐπεί τε ἔμαθον τὰ πρήγματα τὰ Ὀνησίλε διεφθαρμένα, καὶ τὰς πόλιας τῶν Κυπρίων πολιορκευμένας τὰς ἄλλας, πλὴν Σαλαμῖνος, ταύτην δὲ Γόργῳ τῷ προτέρῳ βασιλέϊ τὲς Σαλαμινίες παραδόντας, αὐτίκα μαθόντες οἱ Ἴωνες ταῦτα, ἀπέπλωον ἐς τὴν Ἰωνίην. τῶν δὲ ἐν Κύπρῳ πολίων ἀντέσχε χρόνον ἐπιπλεῖςον πολιορκευμένη Σόλοι, τὴν πέριξ ὑπορύσσοντες τὸ τεῖχος, πέμπτῳ μηνὶ εἷλον οἱ Πέρσαι. Κύπριοι μὲν δὴ ἐνιαυτὸν ἐλεύθεροι γενόμενοι, αὖτις ἐκ νέης κατεδεδέλωντο. Δαυρίσης δὲ ἔχων Δαρείε θυγατέρα, καὶ Ὑμέης τε καὶ Ὀτάνης, καὶ ἄλλοι Πέρσαι ςρατηγοὶ ἔχοντες καὶ ἔτοι Δαρείε θυγατέρας, ἐπιδιώξαντες τὲς ἐν Σάρδισι ςρατευσαμένες Ἰώνων, καὶ ἐσαράξαντές σφεας ἐς τὰς νέας, τῇ μάχῃ ὡς ἐπεκράτησαν, τὸ ἐνθεῦτεν ἐπιδιελόμενοι τὰς πόλις ἐπόρθεον. Δαυρίσης μὲν τραπόμενος πρὸς τὰς ἐν Ἑλλησπόντῳ πόλις, εἷλε μὲν Δάρδανον, εἷλε δὲ Ἄβυδόν τε καὶ Περκώτην, καὶ Λάμψακον καὶ Παισόν. ταύτας μὲν ἐπ' ἡμέρης ἑκάςης αἵρεε. ἀπὸ δὲ Παισε ἐλαύνοντί οἱ ἐπὶ Πάριον πόλιν, ἦλθε ἀγγελίη, τὲς Κᾶρας τὠυτὸ Ἴωσι φρονήσαντας, ἀπεςάναι ἀπὸ Περσέων. ἀποςρέψας ὦν ἐκ τε Ἑλλησπόντε, ἤλαυνε τὸν ςρατὸν ἐπὶ τὴν Καρίην. Καί κως ταῦτα τοῖσι Καρσὶ ἐξαγγέλθη πρότερον πρὶν ἢ τὸν Δαυρίσην ἀπικέσθαι. πυθόμενοι δὲ οἱ Κᾶρες συνελέγοντο ἐπὶ Λευκάς τε Στήλας καλεομένας, καὶ ποταμὸν Μαρσύην· ὃς ῥέων ἐκ τῆς Ἰδριάδος χώρης, ἐς τὸν Μαίανδρον ἐκδιδοῖ. συλλεχθέντων δὲ τῶν Καρῶν ἐνθαῦτα, ἐγένοντο βελαὶ ἄλλαι τε πολλαὶ, καὶ ἀρίςη γε δοκέεσα εἶναι ἐμοὶ, Πιξωδάρε τε Μαυσώλε, ἀνδρὸς Κινδυέος, ὃς τε Κιλίκων βασιλῆος Συεννέσιος εἶχε θυγατέρα· τέτε τε ἀνδρὸς ἡ γνώμη ἔφερε, διαβάντας τὸν Μαίανδρον τὲς Κᾶρας, καὶ κατὰ νώτε ἔχοντας τὸν ποταμὸν, ἔτω συμβάλλειν· ἵνα μὴ ἔχοντες ὀπίσω φεύγειν οἱ Κᾶρες, αὐτε τε μένειν ἀναγκαζόμενοι, γενοίατο ἔτι ἀμείνονες τῆς φύσιος. αὕτη μέν νυν ἐκ ἐνίκα ἡ γνώ-

cap. 115. cap. 116. cap. 117. cap. 118.

γνώμη, ἀλλὰ τοῖσι Πέρσῃσι κατὰ νώτε γίνεσθαι τὸν Μαίανδρον μᾶλλον ἢ σφίσι. δηλαδὴ ἢν φυγὴ τῶν Περσέων γένηται, καὶ ἑσσωθέωσι τῇ συμβολῇ, ὡς ἐκ ἀπονοστήσωσι ἐς τὸν ποταμὸν ἐσπίπτοντες.
cap. 119. Μετὰ δὲ, παρεόντων, καὶ διαβάντων τὸν Μαίανδρον τῶν Περσέων, ἐνθαῦτα ἐπὶ τῷ Μαρσύῃ ποταμῷ συνέβαλόν τε τοῖσι Πέρσῃσι οἱ Κᾶρες, καὶ μάχην ἐμαχέσαντο ἰσχυρὴν, καὶ ἐπὶ χρόνον πολλόν· τέλος δὲ, ἑσσώθησαν διὰ πλῆθος. Περσέων μὲν δὴ ἔπεσον ἄνδρες ἐς δισχιλίους, Καρῶν δὲ, ἐς μυρίους. ἐνθεῦτεν δὲ οἱ διαφυγόντες αὐτέων κατειλήθησαν ἐς Λάβρανδα, ἐς Διὸς Στρατίε ἱρὸν, μέγα τε καὶ ἅγιον ἄλσος πλατανίστων. μοῦνοι δὲ, τῶν ἡμεῖς ἴδμεν, Κᾶρές εἰσι οἱ Διῒ Στρατίῳ θυσίας ἀνάγεσι. κατειληθέντες ὦν ὗτοι ἐνθαῦτα, ἐβελεύοντο περὶ σωτηρίης, ὁκότερα ἢ παραδόντες σφέας ἑωϋτὲς Πέρσῃσι, ἢ ἐκλιπόντες τοπαράπαν τὴν Ἀσίην, ἄμεινον πρήξεσι.
cap. 120. Βελευομένοισι δέ σφι ταῦτα παραγίνονται βοηθέοντες Μιλήσιοί τε καὶ οἱ σύμμαχοι αὐτέων· ἐνθαῦτα δὲ, τὰ μὲν πρότερον οἱ Κᾶρες ἐβελεύοντο, μετῆκαν, οἱ δὲ αὖτις πολεμεῖν ἐξ ἀρχῆς ἀρτέοντο. καὶ ἐπιῦσι τε τοῖσι Πέρσῃσι συμβάλλεσι, καὶ μαχεσάμενοι ἐπὶ πλεῦν ἢ πρότερον, ἑσσώθησαν· πεσόντων δὲ πολλῶν, Μιλήσιοι μάλιστα ἐπλήγησαν.
cap. 121. Μετὰ δὲ τῦτο τὸ τρῶμα ἀνέλαβόν τε καὶ ἀνεμαχέσαντο οἱ Κᾶρες· πυθόμενοι γὰρ ὡς στρατέυεσθαι ὁρμέαται οἱ Πέρσαι ἐπὶ τὰς πόλις σφέων, ἐλόχησαν τὴν ἐν Πηδάσῳ ὁδόν· ἐς τὴν ἐμπεσόντες οἱ Πέρσαι νυκτὸς, διεφθάρησαν, καὶ αὐτοὶ, καὶ οἱ στρατηγοὶ αὐτέων, Δαυρίσης καὶ Ἀμόργης καὶ Σισιμάκης· σὺν δέ σφι ἀπέθανε καὶ Μύρσος ὁ Γύγεω. τῦ δὲ λόχε τύτε ἡγεμῶν ἦν Ἡρακλείδης Ἰβανώλιος, ἀνὴρ Μυλασσεύς·
cap. 122. ὗτοι μέν νυν τῶν Περσέων ὗτω διεφθάρησαν. Ὑμέης δὲ καὶ αὐτὸς ἐὼν τῶν ἐπιδιωξάντων τὺς ἐς Σάρδισι στρατευσαμένυς Ἰώνων, τραπόμενος ἐς τὴν Προποντίδα, εἷλε Κῖον τὴν Μυσίην· ταύτην δὲ ἐξελὼν, ὡς ἐπύθετο τὸν Ἑλλήσποντον ἐκλελοιπέναι Δαυρίσην, καὶ στρατέυεσθαι ἐπὶ Καρίης, καταλιπὼν τὴν Προποντίδα, ἐπὶ τὸν Ἑλλήσποντον ἦγε τὸν στρατόν· καὶ εἷλε μὲν Αἰολέας πάντας, ὅσοι τὴν Ἰλιάδα νέμονται, εἷλε δὲ Γέργιθας τὺς ὑπολειφθέντας τῶν ἀρχαίων Τευκρῶν· αὐτός τε Ὑμέης

αἱρέων

αἱρέων ταῦτα τὰ ἔθνεα, νέσῳ τελευτᾷ ἐν τῇ Τρωάδι. Ἕτος μὲν δὴ ἕτω ἐτελεύτησε. Ἀρταφέρνης δὲ ὁ Σαρδίων ὕπαρχος, καὶ Ὀτάνης ὁ τρίτος ςρατηγὸς, ἐτάχθησαν ἐπὶ τὴν Ἰωνίην, καὶ τὴν προσεχέα Αἰολίδα ςρατέυεσθαι. Ἰωνίης μέν νυν, Κλαζομενὰς αἱρέεσι· Αἰολέων δὲ, Κύμην. Ἁλισκομενέων δὲ τῶν πολίων, ἦν γὰρ δὴ ὡς διέδεξε, Ἀριςαγόρης ὁ Μιλήσιος ψυχὴν ἐκ ἄκρος, ὃς ταράξας τὴν Ἰωνίην, καὶ ἐγκερασάμενος πρήγματα μεγάλα, δρησμὸν ἐβέλευε, ὁρέων ταῦτα. πρὸς δέ οἱ καὶ ἀδύνατα ἐφαίνετο βασιλῆα Δαρεῖον ὑπερβαλέσθαι. πρὸς ταῦτα δὴ ὦν συγκαλέσας τὲς συςασιώτας, ἐβελέυετο, λέγων ὡς ἄμεινόν σφι εἴη κρησφύγετόν τι ὑπάρχον εἶναι, ἢν ἄρα ἐξωθέωνται ἐκ τῆς Μιλήτε· εἴτε δὴ ὦν ἐς Σαρδὼ ἐκ τε τόπε τέτε ἄγοι ἐς ἀποικίην, εἴτε ἐς Μύρκινον τὴν Ἠδωνῶν, τὴν Ἱςιαῖος ἐτείχεε παρὰ Δαρείε δωρεὴν λαβών. ταῦτα ἐπειρώτα ὁ Ἀριςαγόρης. Ἑκαταίε μέν νυν τε Ἡγησάνδρε, ἀνδρὸς λογοποιε, τετέων μὲν ἐς ἐδετέρην ςέλλειν ἔφερε ἡ γνώμη, ἐν Λέρῳ δὲ τῇ νήσῳ τεῖχος οἰκοδομησάμενον ἡσυχίην ἄγειν, ἢν ἐκπέσῃ ἐκ τῆς Μιλήτε· ἔπειτα δὲ ἐκ ταύτης ὁρμεώμενον, κατελεύσεσθαι ἐς τὴν Μίλητον· ταῦτα μὲν δὴ Ἑκαταῖος συνεβέλευε. Αὐτῷ δὲ Ἀριςαγόρῃ ἡ πλείςη γνώμη ἦν ἐς τὴν Μύκινον ἀπάγειν. τὴν μὲν δὴ Μίλητον ἐπιτρέπει Πυθαγόρῃ, ἀνδρὶ τῶν ἀςῶν δοκίμῳ· αὐτὸς δὲ παραλαβὼν πάντα τὸν βελόμενον, ἔπλεε ἐς τὴν Θρηΐκην· καὶ ἔσχε τὴν χώρην ἐπ' ἣν ἐςάλη. ἐκ δὲ ταύτης ὁρμεώμενος, ἀπόλλυται ὑπὸ Θρηΐκων αὐτός τε ὁ Ἀριςαγόρης, καὶ ὁ ςρατὸς αὐτε πόλιν περικατήμενος, καὶ βελομένων τῶν Θρηΐκων ὑποσπόνδων ἐξιέναι. Ἀριςαγόρης μέν νυν Ἰωνίην ἀποςήσας, ἕτω τελευτᾷ. Ἱςιαῖος δὲ ὁ Μιλήτε τύραννος μεμετιμένος ὑπὸ Δαρείε, παρῆν ἐς Σάρδις. ἀπιγμένον δὲ αὐτὸν ἐκ τῶν Σέσων, εἴρετο Ἀρταφέρνης ὁ Σαρδίων ὕπαρχος, κατὰ κοῖόν τι δοκέοι Ἴωνας ἀπεςάναι. ὁ δὲ ἔτε εἰδέναι ἔφη, ἐθώυμαζέ τε τὸ γεγονὸς, ὡς ἐδὲν δῆθεν τῶν παρεόντων πρηγμάτων ἐπιςάμενος. ὁ δὲ Ἀρταφέρνης ὁρέων αὐτὸν τεχνάζοντα εἶπε, εἰδὼς τὴν ἀτρεκίην τῆς ἀποςάσιος, "ἕτω "τοι Ἱςιαῖε ἔχει κατὰ ταῦτα τὰ πρήγματα· τἕτο τὸ ὑπό"δημα ἔῤῥαψας μὲν σὺ, ὑπεδήσατο δὲ Ἀριςαγόρης." Ἀρταφέρ-

cap. 123.

cap. 124.

cap. 125.

cap. 126.

Lib. VI. cap. 1.

cap. 2.

ταφέρνης μὲν ταῦτα ἐς τὴν ἀπόστασιν ἔχοντα εἶπε· Ἱστιαῖος δὲ, δείσας ὡς συνιέντα Ἀρταφέρνεα, ὑπὸ τὴν πρώτην ἐπελθοῦσαν νύκτα ἀπέδρη ἐπὶ θάλασσαν, βασιλῆα Δαρεῖον ἐξηπατηκώς· ὃς Σαρδὼ νῆσον τὴν μεγίστην ὑποδεξάμενος κατεργάσασθαι, ὑπέδυνε τῶν Ἰώνων τὴν ἡγεμονίην τοῦ πρὸς Δαρεῖον πολέμου. διαβὰς δὲ ἐς Χίον, ἐδέθη ὑπὸ Χίων, καταγνωσθεὶς πρὸς αὐτέων νεώτερα πρήσσειν πρήγματα ἐς ἑωϋτοὺς ἐκ Δαρείου. μαθόντες μέντοι οἱ Χῖοι τὸν πάντα λόγον, ὡς πολέμιος εἴη βασιλέϊ, ἔλυσαν αὐτόν.

cap. 3. Ἐνθαῦτα δὴ εἰρωτεώμενος ὑπὸ τῶν Ἰώνων ὁ Ἱστιαῖος, κατότι προθύμως οὕτω ἐπέστειλε τῷ Ἀρισταγόρῃ ἀπίστασθαι ἀπὸ βασιλῆος, καὶ κακὸν τοσοῦτον εἴη Ἴωνας ἐξεργασμένος· τὴν μὲν γενομένην αὐτοῖσι αἰτίην οὐ μάλα ἐξέφαινε, ὁ δὲ ἔλεγέ σφι, ὡς βασιλεὺς Δαρεῖος ἐβουλεύσατο Φοίνικας μὲν ἐξαναστήσας, ἐν τῇ Ἰωνίῃ κατοικίσαι, Ἴωνας δὲ, ἐν τῇ Φοινίκῃ· καὶ τούτων εἵνεκα ἐπιστέλλειε. οὐδέν τι πάντως ταῦτα βασιλῆος βουλευσαμένου, ἐδειμάτου τοὺς Ἴωνας.

cap. 4. Μετὰ δὲ, ὁ Ἱστιαῖος δι' ἀγγέλου ποιεύμενος Ἑρμίππου, ἀνδρὸς Ἀταρνείτεω, τοῖσι ἐν Σάρδισι ἐοῦσι Περσέων ἔπεμπε βιβλία, ὡς προλελεσχηνευμένων αὐτῷ, ἀποστάσιος πέρι. ὁ δὲ Ἕρμιππος πρὸς τοὺς μὲν ἀπεπέμφθη, οὐ διδοῖ, φέρων δὲ ἐνεχείρισε τὰ βιβλία Ἀρταφέρνεϊ. ὁ δὲ, μαθὼν ἅπαν τὸ γινόμενον, ἐκέλευε τὸν Ἕρμιππον τὰ μὲν παρὰ τοῦ Ἱστιαίου, δοῦναι φέροντα τοῖσί περ ἔφερε, τὰ δὲ ἀμοιβαῖα τὰ παρὰ τῶν Περσέων ἀντιπεμπόμενα Ἱστιαίῳ, ἑωϋτῷ δοῦναι. τούτων δὲ γενομένων φανερῶν, ἀπέκτεινε ἐνθαῦτα πολλοὺς Περσέων ὁ Ἀρταφέρνης.

cap. 5. Περὶ Σάρδις μὲν δὴ ἐγένετο ταραχή. Ἱστιαῖον δὲ, ταύτης ἀποσφαλέντα τῆς ἐλπίδος, Χῖοι κατῆγον ἐς Μίλητον, αὐτοῦ Ἱστιαίου δεηθέντος· οἱ δὲ Μιλήσιοι ἄσμενοι ἀπαλλαχθέντες καὶ Ἀρισταγόρεω, οὐδαμῶς πρόθυμοι ἔσαν ἄλλον τύραννον δέκεσθαι ἐς τὴν χώρην, οἷά τε ἐλευθερίης γευσάμενοι. καὶ δὴ, νυκτὸς γὰρ ἐούσης βίῃ ἐπειρᾶτο κατιὼν ὁ Ἱστιαῖος ἐς τὴν Μίλητον, τιτρώσκεται τὸν μηρὸν ὑπό τευ τῶν Μιλησίων· ὁ μὲν δὴ ὡς ἀπωστὸς τῆς ἑωϋτοῦ γίνεται, ἀπικνέεται ὀπίσω ἐς τὴν Χίον. ἐνθεῦτεν δὲ, οὐ γὰρ ἔπειθε τοὺς Χίους ὥστε ἑωϋτῷ δοῦναι νέας, διέβη ἐς Μιτυλήνην, καὶ ἔπεισε Λεσβίους δοῦναί οἱ νέας.

οἱ

οἱ δὲ, πληρώσαντες ὀκτὼ τριήρεας, ἔπλεον ἅμα Ἱςιαίῳ ἐς Βυζάντιον. ἐνθαῦτα δὲ ἱζόμενοι, τὰς ἐκ τȣ̃ Πόντȣ ἐκπλωέσας τῶν νεῶν ἐλάμβανον, πλὴν ἢ ὅσοι αὐτέων Ἱςιαίῳ ἔφασαν ἑτοῖμοι εἶναι πείθεσθαι. Ἱςιαῖος μέν νυν καὶ Μιτυληναῖοι ἐποίευν ταῦτα. ἐπὶ δὲ Μίλητον αὐτὴν ναυτικὸς πολλὸς καὶ πεζὸς ἦν ςρατὸς προσδόκιμος· συςραφέντες γὰρ οἱ ςρατηγοὶ τῶν Περσέων, καὶ ἓν ποιήσαντες ςρατόπεδον, ἤλαυνον ἐπὶ τὴν Μίλητον, τἄλλα πολίσματα περὶ ἐλάσσονος ποιησάμενοι. τȣ̃ δὲ ναυτικȣ̃ Φοίνικες μὲν ἔσαν προθυμότατοι, συνεςρατέυοντο δὲ καὶ Κύπριοι, νεωςὶ κατεςραμμένοι, καὶ Κίλικές τε καὶ Αἰγύπτιοι. οἱ μὲν δὴ ἐπὶ τὴν Μίλητον καὶ τὴν ἄλλην Ἰωνίην ἐςράτευον. Ἴωνες δὲ, πυνθανόμενοι ταῦτα, ἔπεμπον προβȣ́λȣς σφέων αὐτέων ἐς Πανιώνιον· ἀπικομένοισι δὲ τȣ́τοισι ἐς τȣ̃τον τὸν χῶρον, καὶ βȣλευομένοισι, ἔδοξε πεζὸν μὲν ςρατὸν μὴ συλλέγειν ἀντίξοον Πέρσῃσι, ἀλλὰ τὰ τείχεα ῥύεσθαι αὐτȣ̀ς Μιλησίȣς· τὸ δὲ ναυτικὸν πληρȣ̃ν, ὑπολειπομένȣς μηδεμίην τῶν νεῶν· πληρώσαντας δὲ, συλλέγεσθαι τὴν ταχίςην ἐς Λάδην, προναυμαχήσοντας Μιλήτȣ· ἡ δὲ Λάδη ἐςὶ νῆσος μικρὴ ἐπὶ τῇ πόλι τῇ Μιλησίων κειμένη. Μετὰ δὲ ταῦτα, πεπληρωμένῃσι τῇσι νηυσὶ παρῆσαν οἱ Ἴωνες· σὺν δέ σφι, καὶ Αἰολέων οἱ Λέσβον νέμονται· ἐτάσσοντο δὲ ὧδε· τὸ μὲν πρὸς τὴν ἕω εἶχον κέρας αὐτοὶ Μιλήσιοι, νέας παρεχόμενοι ὀγδώκοντα· εἴχοντο δὲ τȣτέων Πριηνέες δυώδεκα νηυσὶ, καὶ Μυȣ́σιοι τρισὶ νηυσί· Μυȣσίων δὲ Τήϊοι εἴχοντο ἑπτακαίδεκα νηυσί· Τηΐων δὲ εἴχοντο Χῖοι ἑκατὸν νηυσί· πρὸς δὲ τȣ́τοισι, Ἐρυθραῖοί τε ἐτάσσοντο καὶ Φωκαέες· Ἐρυθραῖοι μὲν, ὀκτὼ νέας παρεχόμενοι, Φωκαέες δὲ, τρεῖς. Φωκαέων δὲ εἴχοντο Λέσβιοι νηυσὶ ἑβδομήκοντα· τελευταῖοι δὲ ἐτάσσοντο ἔχοντες τὸ πρὸς ἑσπέρην κέρας Σάμιοι, ἑξήκοντα νηυσί. πασέων δὲ τȣτέων ὁ σύμπας ἀριθμὸς ἐγένετο, τρεῖς καὶ πεντήκοντα καὶ τριηκόσιαι τριήρεες· αὗται μὲν Ἰώνων ἔσαν. Τῶν δὲ βαρβάρων τὸ πλῆθος τῶν νεῶν ἔσαν ἑξακόσιαι· ὡς δὲ καὶ αὗται ἀπίκατο πρὸς τὴν Μιλησίην, καὶ ὁ πεζός σφι ἅπας παρῆν, ἐνθαῦτα οἱ Περσέων ςρατηγοὶ πυθόμενοι τὸ πλῆθος τῶν Ἰάδων νεῶν, καταῤῥώδησαν μὴ ȣ̓ δυνατοὶ γένωνται ὑπερβαλέ-

cap. 6. cap. 7. cap. 8. cap. 9.

βαλέσθαι, καὶ οὕτω οὔτε τὴν Μίλητον οἷοί τε ἔωσι ἐξελεῖν, μὴ οὐκ ἐόντες ναυκράτορες, πρός τε Δαρείου κινδυνεύσωσι κακόν τι λαβεῖν· ταῦτα ἐπιλεγόμενοι συλλέξαντες τῶν Ἰώνων τοὺς τυράννους, οἳ ὑπ' Ἀρισταγόρεω μὲν τοῦ Μιλησίου καταλυθέντες τῶν ἀρχέων, ἔφευγον ἐς Μήδους, ἐτύγχανον δὲ τότε συστρατευόμενοι ἐπὶ τὴν Μίλητον, τουτέων τῶν ἀνδρῶν τοὺς παρεόντας συγκαλέσαντες, ἔλεγόν σφιν τάδε, "Ἄνδρες Ἴωνες, νῦν τις ὑμέων εὖ ποιήσας φανήτω τὸν βασιλῆος οἶκον· τοὺς γὰρ ἑωυτοῦ ἕκαστος ὑμέων πολιήτας πειράσθω ἀποσχίζων ἀπὸ τοῦ λοιποῦ συμμαχικοῦ· προϊσχόμενοι δὲ ἐπαγγείλασθε τάδε, ὡς πείσονταί τε ἄχαρι οὐδὲν διὰ τὴν ἀπόστασιν, οὐδέ σφι οὔτε τὰ ἱρὰ οὔτε τὰ ἴδια ἐμπεπρήσεται· οὐδὲ βιαιότερον ἕξουσι οὐδὲν, ἢ πρότερον εἶχον· εἰ δὲ ταῦτα μὲν οὐ ποιήσουσι, οἱ δὲ πάντως διὰ μάχης ἐλεύσονται, τάδε σφι λέγετε ἐπηρεάζοντες, τά περ σφέας κατέξει, ὡς ἑσσωθέντες τῇ μάχῃ ἐξανδραποδιεῦνται, καὶ ὥς σφεων τοὺς παῖδας ἐκτομίας ποιήσομεν, τὰς δὲ παρθένους ἀνασπάστους ἐς Βάκ-
cap. 10. τρα· καὶ ὡς τὴν χώρην ἄλλοισι παραδώσομεν." Οἱ μὲν δὴ ἔλεγον ταῦτα· τῶν δὲ Ἰώνων οἱ τύραννοι διέπεμπον νυκτὸς ἕκαστος ἐς τοὺς ἑωυτοῦ ἐξαγγελλόμενος· οἱ δὲ Ἴωνες, ἐς τοὺς καὶ ἀπίκοντο αὗται αἱ ἀγγελίαι, ἀγνωμοσύνῃ τε διεχρέωντο, καὶ οὐ προσίεντο τὴν προδοσίην· ἑωυτοῖσί τε ἕκαστοι ἐδόκεον μούνοισι ταῦτα τοὺς Πέρσας ἐξαγγέλλεσθαι· ταῦτα μέν νυν ἰθέως ἀπικομένων ἐς τὴν Μί-
cap. 11. λητον τῶν Περσέων ἐγίνετο. Μετὰ δὲ, τῶν Ἰώνων συλλεχθέντων ἐς τὴν Λάδην, ἐγίνοντο ἀγοραί· καὶ δή κού σφι καὶ ἄλλοι ἠγορόωντο, ἐν δὲ δὴ καὶ ὁ Φωκαεὺς στρατηγὸς Διονύσιος, λέγων τάδε, "Ἐπὶ ξυροῦ γὰρ ἀκμῆς ἔχεται ἡμῖν τὰ πρήγματα, Ἄνδρες Ἴωνες, ἢ εἶναι ἐλευθέροισι ἢ δούλοισι, καὶ τούτοισι ὡς δρηπέτῃσι· νῦν ὦν ὑμέες, ἢν μὲν βούλησθε ταλαιπωρίας ἐνδέκεσθαι, τὸ παραχρῆμα μὲν πόνος ὑμῖν ἔσται, οἷοί τε δὲ ἔσεσθε, ὑπερβαλλόμενοι τοὺς ἐναντίους, εἶναι ἐλεύθεροι· εἰ δὲ μαλακίῃ τε καὶ ἀταξίῃ διαχρήσεσθε, οὐδεμίην ὑμέων ἔχω ἐλπίδα μὴ οὐ δώσειν ὑμέας δίκην τῷ βασιλέϊ τῆς ἀποστάσιος· ἀλλ' ἐμοί τε πείθεσθε, καὶ ἐμοὶ ὑμέας αὐτοὺς ἐπιτρέψατε· καὶ ὑμῖν ἐγὼ, θεῶν τὰ ἴσα νεμόντων, ὑπο-

"δέκο-

"δέκομαι ἢ ἐ συμμίξειν τὲς πολεμίες, ἢ συμμίσγοντας, "πολλὸν ἐλασσώσεσθαι." Ταῦτα ἀκέσαντες ὁι Ἴωνες ἐπιτρέπεσι σφέας αὐτὲς τῷ Διονυσίῳ· ὁ δὲ, ἀνάγων ἑκάστοτε ἐπὶ κέρας τὰς νέας, ὅκως τοῖσι ἐρέτῃσι χρήσαιτο, διέκπλοον ποιεύμενος τῇσι νηυσὶ δι' ἀλληλέων, καὶ τὲς ἐπιβάτας ὁπλίσειε, τὸ λοιπὸν τῆς ἡμέρης τὰς νέας ἔχεσκε ἐπ' ἀγκυρέων· παρεῖχέ τε τοῖσι Ἴωσι πόνον δι' ἡμέρης· μέχρι μέν νυν ἡμερέων ἑπτὰ ἐπείθοντό τε καὶ ἐποίευν τὸ κελευόμενον· τῇ δὲ ἐπὶ ταύτῃσι, ὁι Ἴωνες, ὅια ἀπαθέες ἐόντες πόνων τοιέτων, τετρυμένοι τε ταλαιπωρίῃσί τε καὶ ἡελίῳ, ἔλεξαν πρὸς ἑωϋτὲς τάδε, "Τίνα δαιμόνων "παραβάντες, τάδε ἀναπίμπλαμεν; ὅιτινες παραφρονήσαν-"τες, καὶ ἐκπλώσαντες ἐκ τε νόε, ἀνδρὶ Φωκαέϊ ἀλαζό-"νι, παρεχομένῳ νέας τρεῖς, ἐπιτρέψαντες ἡμέας ἑωϋτὲς "ἔχομεν; ὁ δὲ, παραλαβὼν ἡμέας, λυμαίνεται λύμῃσι "ἀνηκέστοισι· καὶ δὴ πολλοὶ μὲν ἡμέων ἐς νέσες πεπτώκα-"σι, πολλοὶ δὲ ἐπίδοξοι τὠϋτὸ τẽτο πείσεσθαι εἰσί· πρό τε "τέτων τῶν κακῶν, ἡμῖν γε κρέσσον καὶ ὁτιῶν ἄλλο πα-"θέειν ἐστὶ, καὶ τὴν μέλλεσαν δεληΐην ὑπομεῖναι, ἥτις "ἔσται, μᾶλλον ἢ τῇ παρεέσῃ συνέχεσθαι· φέρετε, τẽ λοι-"πẽ μὴ πειθώμεθα αὐτῷ." Ταῦτα ἔλεξαν· καὶ μετὰ ταῦτα αὐτίκα πείθεσθαι ἐδεὶς ἤθελε, ἀλλ' ὅια στρατιὴ, σκηνάς τε πηξάμενοι ἐν τῇ νήσῳ, ἐσκιητροφέοντο, καὶ ἐσβαίνειν ἐκ ἐθέλεσκον ἐς τὰς νέας, ἐδ' ἀναπειρᾶσθαι. Μαθόντες δὲ ταῦτα τὰ γινόμενα ἐκ τῶν Ἰώνων ὁι στρατηγοὶ τῶν Σαμίων, ἐνθαῦτα δὴ παρ' Αἰάκεος τẽ Συλοσῶντος, κείνες τὲς πρότερον ἔπεμπε λόγες Αἰάκης, κελευόντων τῶν Περσέων, δεόμενός σφεων ἐκλιπεῖν τὴν Ἰώνων συμμαχίην· ὁι Σάμιοι ὦν, ὁρέωντες ἅμα μὲν ἐẽσαν ἀταξίην πολλὴν ἐκ τῶν Ἰώνων, ἐδέκοντο τὲς λόγες· ἅμα δὲ κατεφαίνετό σφι εἶναι ἀδύνατον τὰ βασιλῆος πρήγματα ὑπερβαλέσθαι, εὖ τε ἐπιστάμενοι ὡς εἰ καὶ τὸ παρεὸν ναυτικὸν ὑπερβαλοίατο τὸν Δαρεῖον, ἄλλό σφι παρέσται πενταπλήσιον· προφάσιος ὦν ἐπιλαβόμενοι, ἐπεί τε τάχιστα εἶδον τὲς Ἴωνας ἀρνευμένες εἶναι χρηστὲς, ἐν κέρδεϊ ἐποιεῦντο περιποιῆσαι τά τε ἱρὰ τὰ σφέτερα καὶ τὰ ἴδια· ὁ δὲ Αἰάκης, παρ' ὅτευ τὲς λόγες ἐδέκοντο, παῖς μὲν ἦν Συλοσῶντος τẽ Αἰάκεος, τύραννος δὲ ἐὼν Σάμε, ὑπὸ τẽ Μιλησίε

cap. 12.

cap. 13.

ληϊσίϗ Ἀρισαγόρεω ἀπεςέρητο τὴν ἀρχὴν, κατάπερ οἱ ἄλλοι τῆς Ἰωνίης τύραννοι.
cap. 14. Τότε ὦν ἐπεὶ ἐπέπλωον οἱ Φοίνικες, οἱ Ἴωνες ἀντανῆγον καὶ αὐτοὶ τὰς νέας ἐπὶ κέρας· ὡς δὲ καὶ ἀγχϗ ἐγένοντο, καὶ συνέμισγον ἀλλήλοισι, τοενθεῦτεν ὀκ ἔχω ἀτρεκέως συγγράψαι, οἵτινες τῶν Ἰώνων ἐγένοντο ἄνδρες κακοὶ ἢ ἀγαθοὶ ἐν τῇ ναυμαχίῃ ταύτῃ· ἀλλήλϗς γὰρ καταιτιῶνται· λέγονται δὲ Σάμιοι ἐνθαῦτα, κατὰ τὰ συγκείμενα πρὸς τὸν Αἰάκεα, ἀειράμενοι τὰ ἱςία, ἀποπλῶσαι ἐκ τῆς τάξιος ἐς τὴν Σάμον, πλὴν ἕνδεκα νεῶν· τϗτέων δὲ οἱ τριήραρχοι παρέμενον καὶ ἐναυμάχεον, ἀνηκϗςήσαντες τοῖσι ςρατηγοῖσι· καί σφι τὸ κοινὸν τῶν Σαμίων ἔδωκε διὰ τϗτο τὸ πρῆγμα, ἐν ςήλῃ ἀναγραφῆναι πατρόθεν, ὡς ἀνδράσι ἀγαθοῖσι γενομένοισι· καὶ ἔςι αὕτη ἡ ςήλη ἐν τῇ ἀγορῇ· ἰδόμενοι δὲ καὶ Λέσβιοι τϗς προσεχέας φεύγοντας, τὠϋτὸ ἐποίευν τοῖσι Σαμίοισι· ὣς δὲ καὶ οἱ πλεῦνες τῶν Ἰώνων ἐποίευν τὰ αὐτὰ ταῦτα.
cap. 15. Τῶν δὲ παραμεινάντων ἐν τῇ ναυμαχίῃ περιέφθησαν τρηχύτατα Χῖοι, ὡς ἀποδεικνύμενοί τε ἔργα λαμπρὰ καὶ ὀκ ἐθελοκακέοντες· παρείχοντο μὲν γὰρ, ὥσπερ καὶ πρότερον ἐῤῥήθη, νέας ἑκατὸν, καὶ ἐπ' ἑκάςης αὐτέων, ἄνδρας τεσσεράκοντα τῶν ἀςῶν λογάδας ἐπιβατέυοντας· ὁρέοντες δὲ τϗς πολλϗς τῶν συμμάχων προδιδόντας, ὀκ ἐδικαίευν γενέσθαι τοῖσι κακοῖσι αὐτέων ὁμοῖοι, ἀλλὰ μετ' ὀλίγων συμμάχων μεμϗνωμένοι, διεπλώοντες ἐναυμάχεον, ἐς ὃ τῶν πολεμίων ἑλόντες νέας συχνὰς, ἀπέβαλον τῶν σφετέρων νεῶν τὰς πλεῦνας. Χῖοι μὲν δὴ τῇσι λοιπῇσι τῶν νεῶν ἀποφεύγϗσι ἐς τὴν ἑωϋτῶν.
cap. 16. Ὅσοισι δὲ τῶν Χίων ἀδύνατοι ἔσαν αἱ νέες ὑπὸ τρωμάτων, αὐτοὶ δὲ ὡς ἐδιώκοντο, καταφυγγάνϗσι πρὸς τὴν Μυκάλην· νέας μὲν δὴ αὐτϗ ταύτῃ ἐποκείλαντες κατέλιπον, οἱ δὲ πεζῇ ἐκομίζοντο διὰ τῆς ἠπείρϗ· ἐπεὶ δὲ ἐσέβαλον ἐς τὴν Ἐφεσίην κομιζόμενοι οἱ Χῖοι, νυκτός τε ἀπικέατο ἐς αὐτὴν, καὶ ἐόντων τῇσι γυναιξὶ αὐτόθι θεσμοφορίων, ἐνθαῦτα δὴ οἱ Ἐφέσιοι, ὅτε προακηκοότες ὡς εἶχε περὶ τῶν Χίων, ἰδόντες τε ςρατὸν ἐς τὴν χώρην ἐσβεβληκότα, πάγχυ σφέας καταδόξαντες εἶναι κλῶπας, καὶ ἰέναι ἐπὶ τὰς γυναῖκας, ἐξεβοήθεον πανδημεὶ, καὶ ἔκτεινον τϗς Χίϗς· ὅτοι μέν νυν τοιαύτῃσι περιέ-

φιέπιπτον τύχῃσι. Διονύσιος δὲ ὁ Φωκαεὺς, ἐπεί τε ἔμαθε τῶν Ἰώνων τὰ πρήγματα διεφθαρμένα, νέας ἑλὼν τρεῖς τῶν πολεμίων, ἀπέπλεε ἐς μὲν Φώκαιαν ὐκέτι, εὖ εἰδὼς ὡς ἀνδραποδιεῖται σὺν τῇ ἄλλῃ Ἰωνίῃ, ὁ δὲ ἰθέως ὡς εἶχε, ἔπλωε ἐς Φοινίκην· γαύλυς δὲ ἐνθαῦτα καταδύσας, καὶ χρήματα λαβὼν πολλὰ, ἔπλωε ἐς Σικελίην· ὁρμεώμενος δὲ ἐνθεῦτεν, ληϊςὴς κατεςήκεε Ἑλλήνων μὲν ὐδενὸς, Καρχηδονίων δὲ καὶ Τυρσηνῶν. cap. 17.

Οἱ δὲ Πέρσαι ἐπεί τε τῇ ναυμαχίῃ ἐνίκων τὰς Ἴωνας, τὴν Μίλητον πολιορκέοντες ἐκ γῆς καὶ θαλάσσης, καὶ ὑπορύσσοντες τὰ τείχεα, καὶ παντοίας μηχανὰς προσφέροντες, αἱρέυσι κατ᾽ ἄκρης, ἐν τῷ ἕκτῳ ἔτεϊ ἀπὸ τῆς ἀποςάσιος τῆς Ἀριςαγόρεω· καὶ ἀνδραποδίσαντο τὴν πόλιν, ὥςε συμπεσέειν τὸ πάθος τῷ χρηςηρίῳ τῷ ἐς Μίλητον γενομένῳ. cap. 18.

Χρεωμένοισι γὰρ Ἀργείοισι ἐν Δελφοῖσι περὶ σωτηρίης τῆς πόλιος τῆς σφετέρης, ἐχρήσθη ἐπίκοινον χρηςήριον· τὸ μὲν ἐς αὐτὰς τὰς Ἀργείυς φέρον, τὴν δὲ παρενθήκην ἔχρησε ἐς Μιλησίυς· τὸ μέν νυν ἐς αὐτὰς Ἀργείυς ἔχον, ἐπεὰν κατὰ τῦτο γένωμαι τῦ λόγυ, τότε μνησθήσομαι· τὰ δὲ τοῖσι Μιλησίοισι ὐ παρεῦσι ἔχρησε, ἔχει ὧδε, cap. 19.

Καὶ τότε δὴ Μίλητε, κακῶν ἐπιμήχανε ἔργων,
Πολλοῖσι δεῖπνόν τε καὶ ἀγλαὰ δῶρα γενήσῃ·
Σαὶ δ᾽ ἄλοχοι πολλοῖσι πόδας νίψυσι κομήταις·
Νηῦ δ᾽ ἡμετέρυ Διδύμοις ἄλλοισι μελήσει.

Τότε δὴ ταῦτα τὰς Μιλησίυς κατελάμβανε, ὅτε γε ἄνδρες μὲν οἱ πλεῦνες ἐκτείνοντο ὑπὸ τῶν Περσέων ἐόντων κομητέων, γυναῖκες δὲ καὶ τέκνα ἐν ἀνδραπόδων λόγῳ ἐγίνοντο· ἱρὸν δὲ τὸ ἐν Διδύμοισι, ὁ νηός τε καὶ τὸ χρηςήριον συληθέντα ἐνεπίμπρατο· τῶν δ᾽ ἐν τῷ ἱρῷ τύτῳ χρημάτων πολλάκις μνήμην ἑτέρωθι τῦ λόγυ ἐποιησάμην.

Ἐνθεῦτεν οἱ ζωγρηθέντες τῶν Μιλησίων ἤγοντο ἐς Σῦσας. βασιλεὺς δέ σφεας Δαρεῖος, κακὸν ὐδὲν ἄλλο ποιήσας, κατοίκισε ἐπὶ τῇ ἐρυθρῇ θαλάσσῃ, ἐν Ἄμπῃ πόλι, παρ᾽ ἣν Τίγρης ποταμὸς παραῤῥέων, ἐς θάλασσαν ἐξίει· τῆς δὲ Μιλησίης χώρης αὐτοὶ μὲν οἱ Πέρσαι εἶχον τὰ περὶ τὴν πόλιν καὶ τὸ πεδίον, τὰ δὲ ὑπεράκρια ἔδοσαν Καρσὶ Πηδασεῦσι ἐκτῆσθαι. cap. 20.

Παθῦσι δὲ ταῦτα Μιλησίοισι πρὸς Περσέων, ὐκ ἀπέδοσαν τὴν ὁμοίην Συβαρῖται, οἳ Λάον τε καὶ cap. 21.

 Σκί-

δρον οἴκεον, τῆς πόλιος ἀπεστερημένοι. Συβάριος γὰρ ἁλούσης ὑπὸ Κροτωνιητέων, Μιλήσιοι πάντες ἡβηδὸν ἀπεκείραντο τὰς κεφαλὰς, καὶ πένθος μέγα προεθήκαντο· πόλιες γὰρ αὗται μάλιστα δὴ τῶν ἡμεῖς ἴδμεν, ἀλλήλῃσι ἐξεινώθησαν, οὐδὲν ὁμοίως καὶ Ἀθηναῖοι. Ἀθηναῖοι μὲν γὰρ δῆλον ἐποιήσαν ὑπεραχθεσθέντες τῇ Μιλήτου ἁλώσει, τῇ τε ἄλλῃ πολλαχῇ, καὶ δὴ καὶ ποιήσαντι Φρυνίχῳ δρᾶμα Μιλήτου ἅλωσιν, καὶ διδάξαντι, ἐς δάκρυά τε ἔπεσε τὸ θέατρον, καὶ ἐζημίωσάν μιν, ὡς ἀναμνήσαντα οἰκήϊα κακὰ, χιλίῃσι δραχμῇσι· καὶ ἐπέταξαν μηκέτι μηδένα χρᾶ-
cap. 22. σθαι τούτῳ τῷ δράματι. Μίλητος μέν νυν Μιλησίων ἠρήμωτο· Σαμίων δὲ τοῖσί τι ἔχουσι, τὸ μὲν ἐς τοὺς Μήδους ἐκ τῶν στρατηγῶν τῶν σφετέρων ποιηθὲν οὐδαμῶς ἤρεσκε· ἐδόκεε δὲ μετὰ τὴν ναυμαχίην αὐτίκα βουλευομένοισι, πρὶν ἤ σφι ἐς τὴν χώρην ἀπικέσθαι τὸν τύραννον Αἰάκεα, ἐς ἀποικίην ἐκπλέειν, μηδὲ μένοντας, Μήδοισί τε καὶ Αἰάκεϊ δουλεύειν. Ζαγκλαῖοι γὰρ οἱ ἀπὸ Σικελίης τὸν αὐτὸν χρόνον τοῦτον πέμποντες ἐς τὴν Ἰωνίην ἀγγέλους, ἐπεκαλέοντο τοὺς Ἴωνας ἐς Καλὴν ἀκτὴν, βουλόμενοι αὐτόθι πόλιν κτίσαι Ἰώνων· ἡ δὲ Καλὴ αὕτη ἀκτὴ καλεομένη, ἔστι μὲν Σικελῶν, πρὸς δὲ Τυρσηνίην τετραμμένη τῆς Σικελίης· τουτέων ὦν ἐπικαλεομένων, οἱ Σάμιοι μοῦνοι Ἰώνων ἐστάλη-
cap. 23. σαν, σὺν δέ σφι Μιλησίων οἱ ἐκπεφευγότες. Ἐν ᾧ τοιόνδε δή τι συνήνεικε γενέσθαι· Σάμιοι γὰρ κομιζόμενοι ἐς Σικελίην, ἐγένοντο ἐν Λοκροῖσι τοῖσι Ἐπιζεφυρίοισι, καὶ Ζαγκλαῖοι, αὐτοί τε καὶ ὁ βασιλεὺς αὐτέων, τῷ οὔνομα ἦν Σκύθης, περιεκαθέατο πόλιν τῶν Σικελῶν ἐξελεῖν βουλόμενοι· μαθὼν δὲ ταῦτα ὁ Ῥηγίου τύραννος Ἀναξίλεως, τότε ἐὼν διάφορος τοῖσι Ζαγκλαίοισι, συμμίξας τοῖσι Σαμίοισι ἀναπείθει ὡς χρεὼν εἴη Καλὴν μὲν ἀκτὴν ἐπ' ἣν ἔπλεον, ἐᾶν χαίρειν, τὴν δὲ Ζάγκλην σχεῖν, ἐοῦσαν ἔρημον ἀνδρῶν· πειθομένων δὲ τῶν Σαμίων, καὶ σχόντων τὴν Ζάγκλην, ἐνθαῦτα οἱ Ζαγκλαῖοι ὡς ἐπύθοντο ἐχομένην τὴν πόλιν ἑωυτῶν, ἐβοήθεον αὐτῇ, καὶ ἐπεκαλέοντο Ἱπποκράτεα τὸν Γέλης τύραννον· ἦν γὰρ δή σφι οὗτος σύμμαχος· ἐπεί τε δὲ αὐτοῖσι καὶ ὁ Ἱπποκράτης σὺν τῇ στρατιῇ ἧκε βοηθέων, Σκύθην μὲν τὸν μούναρχον τῶν Ζαγκλαίων, ἀποβαλόντα τὴν πόλιν, ὁ Ἱπποκράτης πεδήσας,

καὶ

καὶ τὸν ἀδελφεὸν αὐτῦ Πυθογένεα, ἐς Ἴνυκον πόλιν ἀπέπεμψε· τὺς δὲ λοιπὺς Ζαγκλαίυς, κοινολογησάμενος τοῖσι Σαμίοισι, καὶ ὅρκυς δὺς καὶ δεξάμενος, προέδωκε· μισθὸς δέ οἱ ἦν εἰρημένος ὅδε ὑπὸ τῶν Σαμίων, πάντων τῶν ἐπίπλων καὶ ἀνδραπόδων τὰ ἡμίσεα λαβεῖν τῶν ἐν τῇ πόλι· τὰ δ' ἐπὶ τῶν ἀγρῶν πάντα, Ἱπποκράτεα λαγχάνειν· τὺς μὲν δὴ πλεῦνας τῶν Ζαγκλαίων αὐτὸς ἐν ἀνδραπόδων λόγῳ εἶχε δήσας· τὺς δὲ κορυφαίυς αὐτέων τριηκοσίυς ἔδωκε τοῖσι Σαμίοισι κατασφάξαι· ὐ μέν τοι οἵ γε Σάμιοι ἐποίησαν ταῦτα. Σκύθης δὲ ὁ τῶν Ζαγκλαίων μύναρχος ἐκ τῆς Ἰνύκυ ἐκδιδρήσκει ἐς Ἱμέρην· ἐκ δὲ ταύτης, παρῆν ἐς τὴν Ἀσίην, καὶ ἀνέβη παρὰ βασιλῆα Δαρεῖον· καί μιν ἐνόμισε Δαρεῖος πάντων ἀνδρῶν δικαιότατον εἶναι, ὅσοι ἐκ τῆς Ἑλλάδος παρ' ἑωϋτὸν ἀνέβησαν· καὶ γὰρ παραιτησάμενος βασιλῆα, ἐς Σικελίην ἀπίκετο· καὶ αὖτις ἐκ τῆς Σικελίης ὀπίσω παρὰ βασιλῆα, ἐς ὃ γήρᾳ μέγα ὄλβιος ἐὼν ἐτελεύτησε ἐν Πέρσῃσι. Σάμιοι δὲ ἀπαλλαχθέντες Μήδων, ἀπονητὶ πόλιν καλλίστην Ζάγκλην περιεβαλέατο· μετὰ δὲ τὴν ναυμαχίην τὴν ὑπὲρ Μιλήτυ γενομένην, Φοίνικες, κελευσάντων Περσέων, κατῆγον ἐς Σάμον Αἰάκεα τὸν Συλοσῶντος, ὡς πολλῦ τε ἄξιον γενόμενον σφίσι, καὶ μεγάλα κατεργασάμενον· καὶ Σαμίοισι μύνοισι τῶν ἀποστάντων ἀπὸ Δαρείυ διὰ τὴν ἔκλειψιν τῶν νεῶν τῶν ἐν τῇ ναυμαχίῃ, ὔτε ἡ πόλις, ὔτε τὰ ἱρὰ ἐνεπρήσθη. Μιλήτυ δὲ ἁλύσης, αὐτίκα Καρίην ἔσχον οἱ Πέρσαι· τὰς μὲν ἐθελοντὴν τῶν πολίων ὑποκυψάσας, τὰς δὲ ἀνάγκῃ προσηγάγοντο· ταῦτα μὲν δὴ ὕτω ἐγίνετο. Ἱστιαίῳ δὲ τῷ Μιλησίῳ ἐόντι περὶ Βυζάντιον, καὶ συλλαμβάνοντι τὰς Ἰώνων ὁλκάδας ἐκπλωύσας ἐκ τῦ Πόντυ, ἐξαγγέλλεται τὰ περὶ Μίλητον γενόμενα· τὰ μὲν δὴ περὶ Ἑλλήσποντον ἔχοντα πρήγματα ἐπιτράπει Βισάλτῃ Ἀπολλοφάνεος παιδὶ Ἀβυδηνῷ· αὐτὸς δὲ ἔχων Λεσβίυς, ἐς Χίον ἔπλεε· καὶ Χίων φρυρῇ ὐ προσιεμένῃ μιν, συνέβαλε ἐν Κοίλοισι καλεομένοισι τῆς Χίης χώρης· τύτων τε δὴ ἐφόνευσε συχνὺς, καὶ τῶν λοιπῶν Χίων, οἷα δὴ κεκακωμένων ἐκ τῆς ναυμαχίης, ὁ Ἱστιαῖος ἔχων τὺς Λεσβίυς ἐπεκράτησε, ἐκ Πολίχνης τῆς Χίων ὁρμεώμενος. Φιλέει δέ κως προσημαίνειν, εὖτ' ἂν μέλλῃ μεγάλα κακὰ ἢ πόλι ἢ ἔθνεϊ ἔσεσθαι·

cap. 24. (at line "ἐποίησαν ταῦτα. Σκύθης δὲ …")
cap. 25. (at line "ἐὼν ἐτελεύτησε ἐν Πέρσῃσι. Σάμιοι …")
cap. 26. (at line "γάγοντο· ταῦτα μὲν δὴ ὕτω ἐγίνετο. Ἱστιαίῳ …")
cap. 27. (at line "Πολίχνης τῆς Χίων ὁρμεώμενος. Φιλέει …")

καὶ γὰρ Χίοισι πρὸ τούτων σημήϊα μεγάλα ἐγένετο· τοῦτο μέν σφι πέμψασι ἐς Δελφοὺς χορὸν νεηνιέων ἑκατὸν, δύο μοῦνοι τουτέων ἀπενόστησαν, τοὺς δὲ ὀκτώ τε καὶ ἐννενήκοντα αὐτέων λοιμὸς ὑπολαβὼν ἀπήνεικε· τοῦτο δὲ, ἐν τῇ πόλι τὸν αὐτὸν τοῦτον χρόνον, ὀλίγον πρὸ τῆς ναυμαχίης, παισὶ γράμματα διδασκομένοισι, ἐνέπεσε ἡ στέγη, ὥστε ἀπ' ἑκατὸν καὶ εἴκοσι παίδων εἷς μοῦνος ἀπέφυγε· ταῦτα μέν σφι σημήϊα ὁ θεὸς προέδεξε· μετὰ δὲ ταῦτα, ἡ ναυμαχίη ὑπολαβοῦσα, ἐς γόνυ τὴν πόλιν ἔβαλε· ἐπὶ δὲ τῇ ναυμαχίῃ ἐπεγένετο Ἱστιαῖος Λέσβιους ἄγων· κεκακωμένων δὲ τῶν
cap. 28. Χίων, καταστροφὴν εὐπετέως αὐτέων ἐποιήσατο. Ἐνθεῦτεν δὲ ὁ Ἱστιαῖος ἐστρατεύετο ἐπὶ Θάσον, ἄγων Ἰώνων καὶ Αἰολέων συχνούς· περικατημένῳ δέ οἱ Θάσον ἦλθε ἀγγελίη, ὡς οἱ Φοίνικες ἀναπλώουσι ἐκ τῆς Μιλήτου ἐπὶ τὴν ἄλλην Ἰωνίην· πυθόμενος δὲ ταῦτα, Θάσον μὲν ἀπόρθητον λείπει, αὐτὸς δὲ ἐς τὴν Λέσβον ἠπείγετο ἄγων πᾶσαν τὴν στρατιήν· ἐκ Λέσβου δὲ λιμαινούσης οἱ τῆς στρατιῆς, πέρην διαβαίνει ἐκ τοῦ Ἀταρνέος ὡς ἀμήσων τὸν σῖτον, τόν τε ἐνθεῦτεν, καὶ τὸν ἐκ Καΐκου πεδίου τὸν τῶν Μυσῶν· ἐν δὲ τούτοισι τοῖσι χωρίοισι ἐτύγχανε ἐὼν Ἅρπαγος, ἀνὴρ Πέρσης, στρατηγὸς στρατιῆς οὐκ ὀλίγης· ὅς οἱ ἀποβάντι συμβαλὼν, αὐτόν τε Ἱστιαῖον ζωγρίῃ ἔλαβε, καὶ τὸν στρατὸν αὐτοῦ
cap. 29. τοῦ τὸν πλέω διέφθειρε. Ἐζωγρήθη δὲ ὁ Ἱστιαῖος ὧδε· ὡς ἐμάχοντο οἱ Ἕλληνες τοῖσι Πέρσῃσι ἐν τῇ Μαλήνῃ τῆς Ἀταρνείτιδος χώρης, οἱ μὲν συνέστασαν χρόνον ἐπὶ πολλὸν, ἡ δὲ ἵππος ὕστερον ὁρμηθεῖσα ἐπιπίπτει τοῖσι Ἕλλησι· τότε δὴ ἔργον τῆς ἵππου τοῦτο ἐγένετο· καὶ τετραμμένων τῶν Ἑλλήνων, ὁ Ἱστιαῖος ἐλπίζων οὐκ ἀπολέεσθαι ὑπὸ βασιλῆος διὰ τὴν παρεοῦσαν ἁμαρτάδα, φιλοψυχίην τοιήνδε τινὰ ἀναιρέεται· ὡς φεύγων τε κατελαμβάνετο ὑπ' ἀνδρὸς Πέρσεω, καὶ ὡς καταιρεόμενος, ὑπ' αὐτοῦ ἔμελλε συγκεντηθήσεσθαι, Περσίδα γλῶσσαν μετεὶς, καταμηνύει ἑωυτὸν,
cap. 30. ὡς εἴη Ἱστιαῖος ὁ Μιλήσιος. Εἰ μέν νυν, ὡς ἐζωγρήθη, ἄχθη ἀγόμενος παρὰ βασιλῆα Δαρεῖον, ὁ δὲ οὔτ' ἂν ἔπαθε κακὸν οὐδὲν, δοκέειν ἐμοὶ, ἀπῆκέ τ' ἂν αὐτῷ τὴν αἰτίην· νῦν δέ μιν, αὐτέων τε τουτέων εἵνεκα, καὶ ἵνα μὴ διαφυγὼν, αὖτις μέγας παρὰ βασιλέϊ γένηται, Ἀρταφέρνης τε ὁ Σαρδίων ὕπαρχος, καὶ ὁ λαβὼν Ἅρπαγος, ὡς ἀπίκετο ἀγό-

ἀγόμενος ἐς Σάρδις, τὸ μὲν αὐτοῦ σῶμα αὐτοῦ ταύτῃ ἀνεσταύρωσαν, τὴν δὲ κεφαλὴν ταριχεύσαντες, ἀνήνεικαν παρὰ βασιλῆα Δαρεῖον ἐς Σοῦσα. Δαρεῖος δὲ πυθόμενος ταῦτα καὶ ἐπαιτιησάμενος τοὺς ταῦτα ποιήσαντας, ὅτι μιν οὐ ζώοντα ἀνήγαγον ἐς ὄψιν τὴν ἑωϋτοῦ, τὴν κεφαλὴν τὴν Ἱστιαίου λούσαντάς τε καὶ περιστείλαντας εὖ ἐνετείλατο θάψαι, ὡς ἀνδρὸς μεγάλως ἑωϋτῷ τε καὶ Πέρσῃσι εὐεργέτεω· τὰ μὲν περὶ Ἱστιαῖον οὕτω ἔσχε. Ὁ δὲ ναυτικὸς στρατὸς ὁ Περσέων, χειμερίσας περὶ Μίλητον τῷ δευτέρῳ ἔτεϊ ὡς ἀνέπλωσε, αἱρέει εὐπετέως τὰς νήσους τὰς πρὸς τῇ ἠπείρῳ κειμένας, Χίον καὶ Λέσβον καὶ Τένεδον· ὅκως δὲ λάβοι τινὰ τῶν νήσων, ὡς ἑκάστην αἱρέοντες οἱ βάρβαροι ἐσαγήνευον τοὺς ἀνθρώπους· σαγηνεύουσι δὲ τόνδε τὸν τρόπον· ἀνὴρ ἀνδρὸς ἁψάμενος τῆς χειρὸς, ἐκ θαλάσσης τῆς βορηίης ἐπὶ τὴν νοτίην διήκουσι, καὶ ἔπειτα διὰ πάσης τῆς νήσου διέρχονται ἐκθηρεύοντες τοὺς ἀνθρώπους· αἵρεον δὲ καὶ τὰς ἐν τῇ ἠπείρῳ πόλιας τὰς Ἰάδας κατὰ τὰ αὐτά· πλὴν οὐκ ἐσαγήνευον τοὺς ἀνθρώπους· οὐ γὰρ οἷά τ' ἦν. Ἐνθαῦτα Περσέων οἱ στρατηγοὶ οὐκ ἐψεύσαντο τὰς ἀπειλὰς τὰς ἐπηπείλησαν τοῖσι Ἴωσι στρατοπεδευομένοισι ἐναντία σφίσι· ὡς γὰρ δὴ ἐπεκράτησαν τῶν πολίων, παῖδάς τε τοὺς εὐειδεστάτους ἐκλεγόμενοι ἐξέταμνον, καὶ ἐποίευν ἀντὶ τοῦ εἶναι ἐνόρχιας εὐνούχους· καὶ παρθένους τὰς καλλιστευούσας, ἀνασπαστοὺς παρὰ βασιλῆα· ταῦτά τε δὴ ἐποίευν, καὶ τὰς πόλιας ἐνεπίμπρασαν αὐτοῖσι τοῖσι ἱροῖσι. οὕτω δὴ τοτρίτον Ἴωνες κατεδουλώθησαν· πρῶτον μὲν, ὑπὸ Λυδῶν, δὶς δὲ, ἐπεξῆς τότε ὑπὸ Περσέων. cap. 31. cap. 32.

Αὐτέων δὲ συστρατευομένων τῷ Ξέρξῃ ἐπὶ τὴν Ἑλλάδα ἐν τῷ τρώματι ἐν Μυκάλῃ τῆς Ἰωνίης γενομένῳ, τὸ δευτέρον ἀπὸ Περσέων ἀπέστησαν. Ἀπικόμενοι δὲ ἐς Σάμον οἱ Ἕλληνες, ἐβουλεύοντο περὶ ἀναστάσιος τῆς Ἰωνίης, καὶ ὅπη χρεὼν εἴη τῆς Ἑλλάδος κατοικίσαι, τῆς αὐτοὶ ἐγκρατέες ἔσαν· τὴν δὲ Ἰωνίην ἀπεῖναι τοῖσι βαρβάροισι. ἀδύνατον γὰρ ἐφαίνετό σφι εἶναι ἑωϋτούς τε Ἰώνων προκατῆσθαι, φρουρέοντας τὸν πάντα χρόνον· καὶ ἑωϋτῶν μὴ προκατημένων, Ἴωνας οὐδεμίην ἐλπίδα ἔχον χαίροντας πρὸς τῶν Περσέων ἀπαλλάξειν. πρὸς ταῦτα Πελλοποννησίων μὲν τοῖσι ἐν τέλεϊ ἐοῦσι ἐδόκεε τῶν μηδισάν- Herodotus Lib. IX. cap. 106.

διασάντων ἐθνέων τῶν Ἑλληνικῶν τὰ ἐμπόρια ἐξαναστήσαντας, δοῦναι τὴν χώρην Ἴωσι ἐνοικῆσαι· Ἀθηναίοισι δὲ οὐκ ἐδόκεε ἀρχὴν, Ἰωνίην γενέσθαι ἀνάστατον, οὐδὲ Πελοποννησίοισι περὶ τῶν σφετέρων ἀποικιέων βουλεύειν. ἀντιτεινόντων δὲ τουτέων, προθύμως εἶξαν οἱ Πελοποννήσιοι· καὶ οὕτω δὴ Σαμίους τε καὶ Χίους καὶ Λεσβίους καὶ τοὺς ἄλλους νησιώτας, οἳ ἔτυχον συστρατευόμενοι τοῖσι Ἕλλησι, ἐς τὸ συμμαχικὸν ἐποιήσαντο, πίστι τε καταλαβόντες καὶ ὁρκίοισι, ἐμμένειν τε καὶ μὴ ἀποστήσεσθαι.

Sub principatu Atheniensium, a Xerxe usque ad Artaxerxem Longim. 475 ante Chr. *Diodor. Sic.* Lib. XI. c. 47. ibid. XII. 4. 449 ante Chr.

Οἱ μὲν Ἴωνες πρὸς τὸν ἀπὸ τῶν Περσῶν ὑποπτευόμενον πόλεμον φόρον ἔφερον εἰς τὸ ἐν Δήλῳ κοινὸν ταμιεῖον, οἱ δὲ Ἕλληνες προήσπιζον αὐτῶν. ὡς δὲ ἐγένοντο συνθῆκαι περὶ τῆς εἰρήνης τοῖς Ἀθηναίοις καὶ τοῖς συμμάχοις πρὸς Ἀρταξέρξην τὸν βασιλέα, αὐτὸς συνέθετο αὐτονόμους εἶναι τὰς κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις ἁπάσας, τοὺς δὲ τῶν Περσῶν σατράπας μὴ καταβαίνειν ἐπὶ θάλατταν κατωτέρω τριῶν ἡμερῶν ὁδὸν, μηδὲ ναῦν μακρὰν πλεῖν ἐντὸς Φασιλίδος καὶ Κυανέων.

Tempore belli Peloponnesiaci 429 ante Chr. ibid. XII. 42.

Οὐ πολλοῦ δὲ διαγενομένου χρόνου ἐν τῷ Πελοποννησιακῷ πολέμῳ τοῖς Ἀθηναίοις συνεμάχουν οἱ τὴν παράλιον τῆς Ἀσίας οἰκοῦντες, Κᾶρες καὶ Δωριεῖς καὶ Ἴωνες καὶ Ἑλλησπόντιοι καὶ νησιῶται πάντες, πλὴν τῶν ἐν Μήλῳ καὶ Θήρᾳ κατοικούντων.

Sub principatu Lacedæmoniorum. 402 ante Chr. ibid. XIV. 10.

Κατὰ δὲ τὴν Ἑλλάδα καὶ τὴν παράλιαν τῆς Ἀσίας, Λακεδαιμόνιοι καταλελυκότες τὴν Πελοποννησιακὸν πόλεμον, ὁμολογουμένην ἔσχον τὴν ἡγεμονίαν καὶ τὴν κατὰ γῆν καὶ τὴν κατὰ θάλατταν. καταστήσαντες δὲ ναύαρχον Λύσανδρον, τούτῳ προσέταξαν ἐπιπορεύεσθαι τὰς πόλεις, ἐν ἑκάστῃ τοὺς παρ' αὐτοῖς καλουμένους ἁρμοστὰς ἐγκαθιστάντα. ταῖς γὰρ δημοκρατίαις προσκόπτοντες οἱ Λακεδαιμόνιοι, δι' ὀλιγαρχίας ἐβούλοντο τὰς πόλεις διοικεῖσθαι. ἔταξαν δὲ καὶ φόρους τοῖς καταπολεμηθεῖσι, καὶ τὸν πρὸ τοῦ χρόνον οὐ χρώμενοι νομίσματι, τότε συνήθροιζον ἐκ τοῦ φόρου κατ' ἐνιαυτὸν πλείω τῶν χιλίων ταλάντων.

399 ante Chr. ibid. XIV. 12.

Ὡς δὲ ὁ Κῦρος, ἄρχων ἀποδεδειγμένος τῶν ἐπὶ θαλάττης σατραπῶν, καὶ φρονήματος πλήρης, διενοεῖτο στρατεύειν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην, καὶ οἱ Λακεδαιμόνιοι, νομίσαντες αὐτοῖς συνοίσειν τὸν πόλεμον, ἔγνωσαν

τῷ

τῷ Κύρῳ βοηθεῖν, οἱ μὲν Ἴωνες καὶ ἄλλοι τῶν σύνεγγυς τόπων ἠναγκάζοντο αὐτῷ συμμαχεῖν. διόπερ Ἀρταξέρξης ὁ τῆς Ἀσίας βασιλεὺς καταπεπολεμηκὼς Κῦρον ἀπέστειλε Τισσαφέρνην παραληψόμενον πάσας τὰς ἐπὶ θαλάττῃ σατραπείας καὶ τιμωρησόμενον αὐτὰς ἐπὶ τοῖς προτετολμημένοις, ὡς πρότερον δεδήλωται· οἱ δὲ Λακεδαιμόνιοι ταῖς κατὰ τὴν Ἀσίαν πόλεσι Ἑλλήνων βοηθήσειν ἐπαγγειλάμενοι, ὅπλα μὲν ἔλαβον ἐπὶ τὰς Πέρσας, ἐν δὲ τῇ εἰρήνῃ, ὑπὲρ ἧς Ἀνταλκίδαν τὸν ναύαρχον ἐξαπέστειλαν πρὸς Ἀρταξέρξην, συνέθεντο, τὰς μὲν κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις ὑπὸ βασιλέα τετάχθαι, τὰς δ᾽ ἄλλας Ἕλληνας ἅπαντας αὐτονόμους εἶναι. 398 ante Chr. ibid. XIV. 35. 385 ante Chr. ibid. XIV. 110.

Ἐκ τούτου τοῦ χρόνου ἡ ἐντὸς Ἅλυος ποταμοῦ Ἀσία ὑπὸ τοὺς Πέρσας ἔμενε, ἕως οὗ ὁ Ἀλέξανδρος σὺν τοῖς ὅπλοις ἐνέπεσε τῇ Ἀσίᾳ, εἰ καὶ ἀποστῆναι ἐπειρῶντο, ὡς πρότερον εἴρηται. A pace Antalcidica usque ad Alex. M.

Ἀλέξανδρος δὲ μετὰ τὴν ἐπὶ τῷ Γρανικῷ πέραν γενομένην μάχην ἐς Ἔφεσον ἀφικόμενος τοὺς τε φυγάδας, ὅσοι ἐξέπεσον τῆς πόλεως, κατήγαγε, καὶ τὴν ὀλιγαρχίαν καταλύσας, δημοκρατίαν κατέστησε· τοὺς δὲ φόρους, ὅσους τοῖς βαρβάροις ἀπέφερον, τῇ Ἀρτέμιδι ξυντελεῖν ἐκέλευσεν. Ὁ δὲ δῆμος ὁ τῶν Ἐφεσίων, ὡς ἀφῃρέθη αὐτοῖς ὁ ἀπὸ τῶν ὀλίγων φόβος, τούς τε Μέμνονα ἐπαγομένους, καὶ τοὺς τὸ ἱερὸν συλήσαντας τῆς Ἀρτέμιδος, καὶ τοὺς τὴν εἰκόνα τοῦ Φιλίππου τὴν ἐν τῷ ἱερῷ καταβαλόντας, καὶ τὸν τάφον ἐκ τῆς ἀγορᾶς ἀνορύξαντας τὸν Ἡροπύθου, τοῦ ἐλευθερώσαντος τὴν πόλιν, ὥρμησαν ἀποκτεῖναι. Καὶ Σύρφακα μὲν καὶ τὸν παῖδα αὐτοῦ Πελάγοντα καὶ τοὺς τῶν ἀδελφῶν τοῦ Σύρφακος παῖδας ἐκ τοῦ ἱεροῦ ἐξαγαγόντες κατέλευσαν· τοὺς δὲ ἄλλους διεκώλυσεν Ἀλέξανδρος προσωτέρω ἐπιζητεῖν καὶ τιμωρεῖσθαι· γνοὺς ὅτι ὁμοῦ τοῖς αἰτίοις καὶ οὐ ξὺν δίκῃ τινὰς, τοὺς μὲν κατ᾽ ἔχθραν, τοὺς δὲ κατὰ ἁρπαγὴν χρημάτων ἀποκτενεῖ, ξυγχωρηθὲν αὐτῷ, ὁ δῆμος. Καὶ εἰ δή τῳ ἄλλῳ, καὶ τοῖς ἐν Ἐφέσῳ πραχθεῖσιν, Ἀλέξανδρος ἐν τῷ τότε εὐδοκίμει. Αὐτὸς δὲ ἐπιμείνας ἐν Ἐφέσῳ, Ἀντίμαχον τὸν Ἀγαθοκλέους ἐπὶ τὰς Αἰολίδας πόλεις ξὺν δυνάμει ἐξέπεμψε καὶ ὅσαι Ἰωνικαὶ ὑπὸ τοῖς βαρβάροις ἔτι ἦσαν. Καὶ τὰς μὲν ὀλιγαρχίας πανταχοῦ Tempore Alexandri M. 336–323 ante Chr. *Arrianus*, Lib. I. c. 17.

καταλύειν ἐκέλευσε, δημοκρατίας δέ τε ἐγκαθιςάναι· καὶ τὰς νόμας τὰς σφῶν ἑκάσοισιν ἀποδᾶναι· καὶ τὰς φόρας ἀνεῖναι, ὅσας τοῖς βαρβάροις ἀπέφερον. Ἀυτὸς δὲ ἀναλαβὼν τῶν τε πεζῶν τὰς λοιπὰς καὶ τὰς τοξότας καὶ τὰς Ἀγριᾶνας καὶ τὰς Θρᾶκας ἱππέας καὶ τῶν ἑταίρων τήν τε βασιλικὴν ἴλην καὶ πρὸς ταύτῃ τρεῖς ἄλλας, ἐπὶ Μιλήτα ἐςέλλετο· καὶ τὴν μὲν ἔξω καλαμένην πόλιν ἐξ ἐφόδα ἔλαβεν ἐκλιπάσης τῆς φυλακῆς· ἐνταῦθα δὲ καταςρατοπεδεύσας, ἔγνω ἀποτειχίζειν τὴν ἔισω πόλιν. Ἡγησίςρατος γὰρ ὅτῳ ἡ φρερὰ ἡ Μιλησίων ἐκ βασιλέως ἐπετέτραπτο, πρόσθεν γράμματα παρ᾽ Ἀλέξανδρον ἔπεμπεν, ἐνδιδὰς τὴν Μίλητον· τότε δὲ ἀναθαῤῥήσας ἐπὶ τῷ Περσῶν ςρατῷ ἀ μακρὰν ὄντι, διασώζειν τοῖς Πέρσαις ἐπενόει τὴν πόλιν. Νικάνωρ δὲ τὸ Ἑλληνικὸν ναυτικὸν ἄγων, ὑποφθάνει τὰς Πέρσας, τρισὶν ἡμέραις πρότερος καταπλεύσας, ἢ τὰς Πέρσας Μιλήτῳ προσχεῖν· καὶ ὁρμίζεται ναυσὶν ἑξήκοντα καὶ ἑκατὸν ἐν τῇ νήσῳ τῇ Λάδῃ· κεῖται δὲ ἄυτη ἐπὶ τῇ Μιλήτῳ. Ἁι δὲ τῶν Περσῶν νῆες ὑςερήσασαι, ἐπειδὴ ἔμαθον ὁι ναύαρχοι τῶν ἀμφὶ Νικάνορα τὴν ἐν τῇ Λάδῃ προκαταγωγὴν, πρὸς τῇ Μυκάλῃ τῷ ὄρει ὡρμίσθησαν. Τὴν γὰρ Λάδην τὴν νῆσον προκατειλήφει Ἀλέξανδρος, ἀ τῶν νεῶν μόνον τῇ ἐγκαθορμίσει, ἀλλὰ καὶ τὰς Θρᾶκας καὶ τῶν ἄλλων ξένων ἐς τετρακισχιλίας διαβιβάσας ἐς αὐτήν. Ἦσαν δὲ τῶν βαρβάρων ἁι νῆες ἀμφὶ τὰς τετρακοσίας. Παρμενίων μὲν δὴ καὶ ὣς παρῄνει Ἀλεξάνδρῳ ναυμαχεῖν, τά τε ἄλλα κρατήσειν τῷ ναυτικῷ τὰς Ἕλληνας ἐλπίζων, καί τι καὶ θεῖον ἀνέπειθεν ἀυτὸν, ὅτι ἀετὸς ὤφθη καθήμενος ἐπὶ τᾶ ἀιγιαλᾶ κατὰ πρύμναν τῶν Ἀλεξάνδρα νεῶν. Καὶ γὰρ δὴ νικήσαντας μὲν, μεγάλα ὠφεληθήσεσθαι ἐς τὰ ὅλα· νικηθεῖσι δὲ, ἀ παρὰ μέγα ἔσεσθαι τὸ πταῖσμα· καὶ ὣς γὰρ θαλαττοκρατεῖν τὰς Πέρσας. καὶ ἀυτὸς δὲ ἔφη ἐπιβῆναι ἐθέλειν τῶν νεῶν, καὶ τᾶ κινδύνα μετέχειν. Ἀλέξανδρος δὲ τῇ τε γνώμῃ ἁμαρτάνειν ἔφη Παρμενίωνα, καὶ τᾶ σημεία τῇ ἀ κατὰ τὸ εἰκὸς ἐξηγήσει. Ὀλίγαις τε γὰρ ναυσὶ πρὸς πολλῷ πλείας ξὺν ἀδενὶ λογισμῷ ναυμαχήσειν, καὶ ἀ μεμελετηκότι τῷ σφῶν ναυτικῷ πρὸς ἠσκημένον τὸ τῶν Κυπρίων τε καὶ Φοινίκων·

κων· τήν τε ἐμπειρίαν τῶν Μακεδόνων καὶ τὴν τόλμαν
ἐν ἀβεβαίῳ χωρίῳ οὐκ ἐθέλειν παραδοῦναι τοῖς βαρβάροις·
καὶ ἡττηθεῖσι τῇ ναυμαχίᾳ οὐ μικρὰν τὴν βλάβην ἔσε-
σθαι ἐς τοῦ πολέμου τὴν πρώτην δόξαν· τά τε ἄλλα, καὶ
τοὺς Ἕλληνας νεωτεριεῖν πρὸς τοῦ ναυτικοῦ πταίσματος τὴν
ἐπαγγελίαν ἐπαρθέντας. Ταῦτα μὲν τῷ λογισμῷ ξυντι-
θεὶς οὐκ ἐν καιρῷ ἀπέφαινε ναυμαχεῖν· τὸ θεῖον δὲ αὐ-
τὸς ἄλλῃ ἐξηγεῖσθαι. Εἶναι μὲν γὰρ πρὸς αὐτοῦ τὸν ἀε-
τόν· ἀλλ' ὅτι ἐπὶ γῆς καθήμενος ἐφαίνετο, δοκεῖν οἱ
μᾶλλόν τι σημαίνειν, ὅτι ἐκ γῆς κρατήσει τοῦ Περσῶν
ναυτικοῦ. Καὶ ἐν τούτῳ Γλαύκιππος, ἀνὴρ τῶν δοκίμων ἐν cap. 19.
Μιλήτῳ, ἐκπεμφθεὶς παρὰ Ἀλέξανδρον παρὰ τοῦ δήμου τε
καὶ τῶν ξένων τῶν μισθοφόρων, οἷς μᾶλλόν τι ἐπετέ-
τραπτο ἡ πόλις, τά τε τείχη ἔφη ἐθέλειν τοὺς Μιλησίους
καὶ τοὺς λιμένας παρέχειν κοινοὺς Ἀλεξάνδρῳ καὶ Πέρ-
σαις· καὶ τὴν πολιορκίαν ἐπὶ τούτοις λύειν ἠξίου. Ἀλέ-
ξανδρος δὲ Γλαυκίππῳ μὲν προστάσσει ἀπαλλάττεσθαι κα-
τὰ τάχος ἐς τὴν πόλιν, καὶ Μιλησίοις ἐπαγγέλλειν πα-
ρασκευάζεσθαι, ὡς μαχουμένους ἔσωθεν. Αὐτὸς δ' ἐπιστή-
σας τῷ τείχει μηχανάς, καὶ τὰ μὲν καταβαλὼν δι' ὀλί-
γου τῶν τειχῶν, τὰ δὲ κατασείσας ἐπὶ πολύ, προσῆγε τὴν
στρατιὰν, ὡς ἐπιβησομένους, ᾗ κατερήριπτο ἢ ἐσεσάλευτο
τὸ τεῖχος, ἐφομαρτούντων καὶ μόνον οὐ θεωμένων τῶν
Περσῶν ἀπὸ τῆς Μυκάλης πολιορκουμένους τοὺς φίλους σφῶν
καὶ ξυμμάχους. Ἐν τούτῳ δὲ καὶ οἱ ἀμφὶ Νικάνορα
ἀπὸ τῆς Λάδης τὴν ὁρμὴν τῶν ξὺν Ἀλεξάνδρῳ κατιδόν-
τες, ἐς τὸν λιμένα ἐπέπλεον τῶν Μιλησίων, παρὰ γῆν
τὴν εἰρεσίαν ποιούμενοι, καὶ κατὰ τὸ στόμα τοῦ λιμένος,
ᾗπερ τὸ στενώτατον ἦν, ἀντιπρώρους βύζην τὰς τριήρεις ὁρ-
μίσαντες, ἀποκεκλείκεσαν, τῷ μὲν Περσικῷ ναυτικῷ τὸν
λιμένα, τοῖς Μιλησίοις δὲ τὴν ἐκ τῶν Περσῶν ὠφέλειαν.
Ἔνθα οἱ Μιλήσιοί τε καὶ οἱ μισθοφόροι, πανταχόθεν
ἤδη προσκειμένων σφίσι τῶν Μακεδόνων, οἱ μὲν αὐτῶν
ῥιπτοῦντες σφᾶς ἐν τῇ θαλάσσῃ, ἐπὶ τῶν ἀσπίδων ὑπτίων
ἐς νησῖδα τινὰ ἀνώνυμον τῇ πόλει ἐπικειμένην διενήχον-
το· οἱ δὲ, ἐς κελήτια ἐμβαίνοντες καὶ ἐπειγόμενοι ὑπο-
φθάσαι τὰς τριήρεις τῶν Μακεδόνων, ἐγκατελήφθησαν ἐν
τῷ στόματι τοῦ λιμένος πρὸς τῶν τριηρῶν, οἱ δὲ πολλοὶ
ἐν

ἐν αὐτῇ τῇ πόλει ἀπώλλυντο. Ἀλέξανδρος δὲ, ἐχομένης ἤδη τῆς πόλεως, ἐπὶ τὰς ἐς τὴν νῆσον καταπεφευγότας ἐπέπλει αὐτὸς, κλίμακας φέρειν ἐπὶ τὰς πρώρας τῶν τριηρῶν κελεύσας, ὡς κατὰ τὰ ἀπότομα τῆς νήσου, καθάπερ πρὸς τεῖχος, ἐκ τῶν νεῶν τὴν ἀπόβασιν ποιησόμενος. Ὡς δὲ διακινδυνεύειν ἐθέλοντας τοὺς ἐν τῇ νήσῳ ἑώρα, οἶκτος λαμβάνει αὐτὸν τῶν ἀνδρῶν, ὅτι γενναῖοί τε καὶ πιστοὶ αὐτῷ ἐφαίνοντο. Καὶ σπένδεται πρὸς αὐτοὺς ἐπὶ τῷδε, ὡς αὐτῷ ξυστρατεύειν. Ἦσαν δὲ οὗτοι μισθοφόροι Ἕλληνες ἐς τριακοσίους· αὐτοὺς δὲ Μιλησίους, ὅσοι μὴ ἐν τῇ καταλήψει τῆς πόλεως ἔπεσον, ἀφῆκε, καὶ ἐλευθέρους εἶναι ἔδωκεν. Οἱ δὲ βάρβαροι ἀπὸ τῆς Μυκάλης ὁρμώμενοι, ταῖς μὲν ἡμέραις ἐπέπλεον τῷ Ἑλληνικῷ ναυτικῷ, προκαλέσασθαι ἐς ναυμαχίαν ἐλπίζοντες· τὰς δὲ νύκτας πρὸς τῇ Μυκάλῃ οὐκ ἐν καλῷ ὡρμίζοντο, ὅτι ὑδρεύεσθαι ἀπὸ τοῦ Μαιάνδρου ποταμοῦ τῶν ἐκβολῶν διὰ μακροῦ ἠναγκάζοντο. Ἀλέξανδρος δὲ, ταῖς μὲν ναυσὶ τὸν λιμένα ἐφύλαττε τῶν Μιλησίων, ὡς μὴ βιάσαιντο οἱ βάρβαροι τὸν ἔσπλουν. Ἐκπέμπει δ' ἐς τὴν Μυκάλην Φιλώταν, ἄγοντα τούς τε ἱππέας καὶ τῶν πεζῶν τάξεις τρεῖς, παραγγείλας εἴργειν τῆς ἀποβάσεως τοὺς ἀπὸ τῶν νεῶν. Οἱ δὲ, ὕδατός τε σπάνει καὶ τῶν ἄλλων ἐπιτηδείων οὐδὲν ἄλλο ὅτι μὴ πολιορκούμενοι ἐν ταῖς ναυσὶν, ἐς Σάμον ἀπέπλευσαν· ἐκεῖθεν δὲ ἐπισιτισάμενοι αὖθις ἐπέπλεον τῇ Μιλήτῳ· καὶ τὰς μὲν πολλὰς τῶν νεῶν πρὸ τοῦ λιμένος ἐν μετεώρῳ παρέταξαν, εἴ πη ἐκκαλέσαιντο ἐς τὸ πέλαγος τοὺς Μακεδόνας· πέντε δὲ αὐτῶν εἰσέπλευσαν εἰς τὸν μεταξὺ τῆς τε ἄλλης νήσου καὶ τοῦ στρατοπέδου λιμένα, ἐλπίσαντες κενὰς καταλήψεσθαι τὰς Ἀλεξάνδρου ναῦς· ὅτι τοὺς ναύτας ἀποσκεδάννυσθαι τὸ πολὺ ἀπὸ τῶν νεῶν, τοὺς μὲν ἐπὶ φρυγανισμῷ, τοὺς δὲ ἐπὶ ξυγκομιδῇ τῶν ἐπιτηδείων, τοὺς δὲ καὶ εἰς προνομὰς ταττομένους, πεπυσμένοι ἦσαν. Ἀλλὰ μέρος μέν τι ἀπῆν τῶν ναυτῶν· ἐκ δὲ τῶν παρόντων ξυμπληρώσας Ἀλέξανδρος δέκα ναῦς, ὡς προσπλεούσας τὰς πέντε τῶν Περσῶν κατεῖδε, πέμπει ἐπ' αὐτὰς κατὰ σπουδὴν, ἐμβάλλειν ἀντιπρώρους κελεύσας. Οἱ δὲ ἐν ταῖς πέντε ναυσὶ τῶν Περσῶν, ὡς παρ' ἐλπίδα ἀναγομένους τοὺς Μακεδόνας ἐπὶ σφᾶς εἶδον, ὑποστρέψαντες ἐκ

πολλοῦ·

πολλȣ̃, ἔφευγον πρὸς τὸ ἄλλο ναυτικόν. Καὶ ἡ μὲν Ἰασσέων ναῦς ἁλίσκεται αὐτοῖς ἀνδράσιν ἐν τῇ φυγῇ, ȣ̓ ταχυναυτȣ̃σα. Αἱ δὲ τέσσαρες ἔφθασαν καταφυγεῖν εἰς τὰς οἰκείας τριήρεις. Οὕτω μὲν δὴ ἀπέπλευσαν ἄπρακτοι ἐκ Μιλήτȣ οἱ Πέρσαι. Ἀλέξανδρος δὲ καταλῦσαι ἔγνω τὸ ναυτικὸν, χρημάτων τε ἐν τῷ τότε ἀπορίᾳ, καὶ ἅμα ȣ̓κ ἀξιόμαχον ὁρῶν τὸ αὐτȣ̃ ναυτικὸν τῷ Περσικῷ· ȣ̓κȣν ȣ̓δ᾽ ἐθέλων μέρει τινὶ τῆς στρατιᾶς κινδυνεύειν. Ἄλλως τε ἐπενόει, κατέχων ἤδη τῷ πεζῷ τὴν Ἀσίαν, ὅτι ȣ̓τε ναυτικȣ̃ ἔτι δέοιτο, τάς τε παραλίȣς πόλεις λαβὼν, καταλύσει τὸ Περσῶν ναυτικὸν, ȣ̓τε ὁπόθεν τὰς ὑπηρεσίας πληρώσȣσιν, ȣ̓τε ὅπῃ τῆς Ἀσίας προσέξȣσιν ἔχοντας. Καὶ τὸν ἀετὸν ταύτῃ συνέβαλλεν, ὅτι ἐσήμηνεν αὐτῷ ἐκ τῆς γῆς κρατήσειν τῶν νεῶν. Ταῦτα μὲν ὁ Ἀλέξανδρος ἐν ταῖς κατὰ τὴν Ἀσίαν πόλεσιν Ἑλλήνων ἔπραττε. cap. 20.

Μετὰ δὲ αὐτȣ̃ τελευτὴν, ἐπεὶ ὁ Σέλευκος, πεσόντος Ἀντιγόνȣ κατὰ τὴν μάχην, τῆς μετ᾽ Εὐφράτην Συρίας ἐπὶ θαλάσσῃ, καὶ Φρυγίας τῆς ἀνὰ τὸν μεσόγαιον, ἄρχειν διέλαχεν ταῖς τῶν κατὰ τὴν Ἀσίαν Ἑλλήνων πόλεσιν ἐλευθέραις μὲν ȣ̓σαις, πάντα σχεδὸν κοινὰ ἦν πρὸς τȣ̀ς Σύρȣς. ὁ δὲ Ἀντίοχος Μέγας ἐπικληθεὶς, ἕκτος ἀπὸ Σελεύκȣ, μικρὸν ȣ̓δὲν ἐνθυμȣ́μενος, Ἑλλησποντίȣς ἐπῄει, καὶ Αἰολέας καὶ Ἴωνας, ὡς οἱ προσήκοντας, ἄρχοντι τῆς Ἀσίας, ὅτι καὶ πάλαι τῶν τῆς Ἀσίας βασιλέων ὑπήκȣον. Οἱ δὲ Ῥωμαῖοι προὐήσπιζον αὐτῶν παντὶ σθένει, δηλώσαντες τῷ Ἡρακλείδῃ, ἐπὶ διαλύσει τȣ̃ πολέμȣ ἐς τȣ̀ς Σκιπίωνας πεμφθέντι· ἐὰν ὁ Ἀντίοχος εἰρήνης δέηται, μὴ τῶν Ἰάδων, μηδὲ τῶν Αἰολίδων αὐτὸν ἐκστῆναι πόλεων, ἀλλὰ πάσης τῆς ἐπὶ τάδε Ταύρȣ· ὃ μὲν πρῶτον ὑπερεῖδε, ἔπειτα δὲ ἡττώμενος μάχῃ ἐπὶ Μαγνησίᾳ ἐδέχετο.

Tempore Seleucidarum.

Appian. Syr. cap. 1. 196 ante Chr.

cap. 29.

190 ante Chr.

Ἔμενον δὲ αὐτονόμοι καὶ φίλοι Ῥωμαίων ἐκ τȣ́τȣ τȣ̃ χρόνȣ μέχρι τȣ̃ Μιθριδάτȣ. Αὐτὸς δὲ ἐν τῷ κατὰ Ῥωμαίȣς πολέμῳ ἐς Ἰωνίαν Μαγνησίαν τε καὶ Ἔφεσον καὶ Μιτυλήνην παρῆλθεν, ἀσμένως αὐτὸν ἁπάντων δεχομένων, Ἐφεσίων δὲ καὶ τὰς Ῥωμαίων εἰκόνας τὰς παρὰ σφισι καθαιρέντων. Σύλλα δὲ τὴν Ἀσίαν καθισαμένȣ, οἱ καππαδοκίσαντες, ἄνδρες ἢ πόλεις, ἐκολάζοντο πικρῶς, καὶ

Tempore belli Mithridatici inde ab anno 89 ante Chr. *Appianus*, de bello Mithrid cap. 21.

cap. 61.

καὶ μάλιστα αὐτῶν Ἐφέσιοι σὺν αἰσχρᾷ κολακείᾳ ἐς τὰ Ῥωμαίων ἀναθήματα ἐνυβρίσαντες. Ἐπὶ δὲ τοῖσδε καὶ κήρυγμα περιῄει, τοὺς ἐν ἀξιώσει κατὰ πόλιν ἐς ἡμέραν ῥητὴν πρὸς τὸν Σύλλαν ἀπαντᾷν ἐς Ἔφεσον. Καὶ συνελθοῦσιν αὐτοῖς, ἐπὶ βήματος ἐδημηγόρησεν οὕτως. "Ἡμεῖς

cap. 62. "στρατῷ πρῶτον ἐς Ἀσίαν παρήλθομεν, Ἀντιόχου τοῦ Σύρων "βασιλέως πορθοῦντος ὑμᾶς. ἐξελάσαντες δ' αὐτὸν, καὶ "τὸν Ἅλυν καὶ Ταῦρον αὐτῷ θέμενοι τῆς ἀρχῆς ὅρον, οὐ "κατέσχομεν ὑμῶν, ἡμετέρων ἐξ ἐκείνου γενομένων· ἀλλὰ "μεθήκαμεν αὐτονόμους· πλὴν εἴ τινας Εὐμενεῖ καὶ Ῥο"δίοις, συμμαχήσασιν ἡμῖν, ἔδομεν, οὐχ ὑποτελεῖς, ἀλλ' "ἐπὶ προστάτεις εἶναι. τεκμήριον δ', ὅτι Λυκίους, αἰτιωμέ"νους τι, Ῥοδίων ἀπεστήσαμεν. Ἡμεῖς μὲν δὴ τοιοίδε περὶ "ὑμᾶς γεγόναμεν. Ὑμεῖς δὲ, Ἀττάλου τοῦ Φιλομήτορος τὴν "ἀρχὴν ἡμῖν ἐν διαθήκαις καταλιπόντος, Ἀριστονίκῳ καθ' "ἡμῶν τέτταρσιν ἔτεσι συνεμαχεῖτε· μέχρι καὶ Ἀριστόνικος "ἑάλω, καὶ ὑμῶν οἱ πλείους ἐς ἀνάγκην καὶ φόβον περιῆλ"θετε. Καὶ ὧδε πράσσοντες, ὅμως, ἔτεσιν εἴκοσι καὶ τέτ"ταρσιν ἐς μέγα περιουσίας καὶ κάλλους κατασκευῆς ἰδιωτι"κῆς τε καὶ δημοσίας προελθόντες, ὑπὸ εἰρήνης καὶ τρυ"φῆς ἐξυβρίσατε αὖθις· καὶ τὴν ἀσχολίαν ἡμῶν τὴν ἀμ"φὶ τὴν Ἰταλίαν φυλάξαντες, οἳ μὲν ἐπηγάγεσθε Μιθρι"δάτην, οἱ δ' ἐλθόντι συνέθεσθε. ὃ δ' ἐστὶ πάντων μιαρώ"τατον, ὑπέστητε αὐτῷ, μιᾶς ἡμέρας τοὺς Ἰταλιώτας ἅπαν"τας αὐτοῖς παισὶ καὶ μητράσιν ἀναιρήσειν. καὶ οὐδὲ τῶν "ἐς τὰ ἱερὰ συμφυγόντων διὰ τοὺς ὑμετέρους θεοὺς ἐφείσασθε. "Ἐφ' οἷς ἔδοτε μέν τινα καὶ αὐτῷ Μιθριδάτῃ δίκην, ἀπί"στῳ τε ἐς ὑμᾶς γενομένῳ, καὶ φόνου καὶ δημεύσεων ἐμπλή"σαντι ὑμᾶς, καὶ γῆς ἀναδασμοὺς ἐργασαμένῳ, καὶ χρεῶν "ἀποκοπὰς, καὶ δούλων ἐλευθερώσεις, καὶ τυράννους ἐπ' "ἐνίοις, καὶ λῃστήρια πολλὰ ἀνά τε γῆν καὶ θάλασσαν. ὡς "εὐθὺς ὑμᾶς ἔχειν ἐν πείρᾳ καὶ παραβολῇ, οἵους ἀνθ' οἵων "προστάτας ἐπελέγεσθε. Ἔδοσαν δέ τινα καὶ ἡμῖν δίκην "οἱ τῶνδε ἄρξαντες. ἀλλὰ δεῖ καὶ κοινὴν ὑμῖν ἐπιτεθῆ"ναι, τοιάδε ἐργασαμένοις. ἣν εἰκὸς μὲν ἦν ὁμοίαν οἷς "ἐδράσατε γενέσθαι. Μήποτε δὲ Ῥωμαῖοι σφαγὰς ἀσεβεῖς; "ἢ δημεύσεις ἀβούλους, ἢ δούλων ἐπαναστάσεις, ἢ ὅσα ἄλλα "βαρβαρικὰ, μηδ' ἐπὶ νοῦς λάβοιεν. Φειδοῖ δὲ γένους ἔτι

"καὶ

"καὶ ὀνόματος Ἑλληνικοῦ καὶ δόξης τῆς ἐπὶ τῇ Ἀσίᾳ, καὶ "τῆς Φιλτάτης Ῥωμαίοις εὐφημίας ἕνεκα, μόνους ὑμῖν ἐπι"γράφω πέντε ἐτῶν φόρους ἐσενεγκεῖν αὐτίκα, καὶ τὴν τοῦ "πολέμου δαπάνην, ὅση τε γέγονέ μοι, καὶ ἔσται καθισταμέ"νῳ τὰ ὑπόλοιπα. διαιρήσω δὲ ταῦθ' ἑκάστοις ἐγὼ κατὰ πό"λεις, καὶ τάξω προθεσμίαν. ταῖς ἐσφοραῖς καὶ τοῖς οὐ "φυλάξασιν ἐπιθήσω δίκην ὡς πολεμίοις." Τοσάδε εἰπὼν, ἐπιδιῄρει τοῖς πρέσβεσι τὴν ζημίαν, καὶ ἐπὶ τὰ χρήματα ἔπεμπεν. Αἱ δὲ πόλεις, ἀποροῦσαί τε, καὶ δανειζόμεναι μεγάλων τόκων, αἱ μὲν τὰ θέατρα τοῖς δανείζουσιν, αἱ δὲ τὰ γυμνάσια, ἢ τεῖχος, ἢ λιμένας, ἤ τι δημόσιον ἄλλο, σὺν ὕβρει στρατιωτῶν ἐπειγόντων, ὑπετίθεντο. τὰ μὲν δὴ χρήματα ὧδε τῷ Σύλλᾳ συνεκομίζετο. Καὶ κακῶν ἅδδην εἶχεν ἡ Ἀσία. Ἐπέπλει δ' αὐτὴν καὶ λῃστήρια πολύανδρα φανερῶς, στόλοις ἐοικότα μᾶλλον ἢ λῃσταῖς· Μιθριδάτου μὲν αὐτὰ πρώτου καθέντος ἐς τὴν θάλασσαν, ὅτε πάνθ' ὡς οὐκ ἐς πολὺ καθέξων ἐλυμαίνετο· πλεονάσαντα δ' ἐς τότε μάλιστα, καὶ οὐ τοῖς πλέουσι μόνοις, ἀλλὰ καὶ λιμέσι, καὶ χωρίοις, καὶ πόλεσιν ἐπιχειροῦντα φανερῶς. Ἰασσός γέ τοι καὶ Σάμος, καὶ Κλαζομεναὶ, καὶ Σαμοθρᾴκη, Σύλλα παρόντος, ἐλήφθησαν· καὶ τὸ ἱερὸν ἐσυλήθη τὸ Σαμοθρᾴκιον, χιλίων ταλάντων κόσμον, ὡς ἐνομίζετο. ὁ δὲ, εἴτε ἑκὼν, ὡς ἁμαρτόντας ἐνυβρίζεσθαι καταλιπὼν, εἴτ' ἐπὶ τὴν ἐς Ῥώμην στάσιν ἐπειγόμενος, ἐς τὴν Ἑλλάδα καὶ ἀπ' αὐτῆς ἐς τὴν Ἰταλίαν μετὰ τοῦ πλείονος στρατοῦ διέπλει. cap. 63.

Ὁ δὲ Πομπήϊος, τετελεκὼς τὸν πρὸς Μιθριδάτην πόλεμον, ὑπηγάγετο Ἰωνίαν καὶ λοιπὰς τῶν κατὰ τὴν Ἀσίαν Ἑλλήνων πόλεις τοῖς Ῥωμαίοις ὑπηκόας εἶναι. 62 ante Chr.


UNIVERSITY OF MICHIGAN
3 9015 06788 2384

